




VETUS TESTAMENTUM

GRÆCE ET LATINE.

PARISIIS. — EXCUDEBANT FIRMIN-DIDOT ET SOCIOS, VIA JACOB, 56.

Bible. O.T. Greek. Septuagint.

Η ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ

ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ.

VETUS TESTAMENTUM

GRÆCUM

JUXTA SEPTUAGINTA INTERPRETES,

EX AUCTORITATE

SIXTI QUINTI PONTIFICIS MAXIMI

EDITUM

JUXTA EXEMPLAR ORIGINALE VATICANUM.

NUNC DENUO RECOGNITUM, ACCURATISSIME EXPRESSUM, AD NORMAM VULGATÆ VERSICULIS DISTINCTUM.

CUM LATINA TRANSLATIONE,

ANIMADVERSIONIBUS, ET COMPLEMENTIS EX ALIIS MANUSCRIPTIS.

CURA ET STUDIO

J. N. JAGER,

ECCLESIÆ NANCEIENSIS CANONICI HONORARII.

EDITIO

DD. DE QUELEN, ARCHIEPISCOPO PARISIENSI

DICATA.

Tomus Secundus.

PARISIIS,

EDITORE AMBROSIO FIRMIN-DIDOT,

INSTITUTI FRANCIÆ TYPOGRAPHO,

VIA JACOB, 56.

M DCCC LXXVIII.

ΤΩΒΙΤ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Βίβλος λόγων Τωβὶτ, τοῦ Τωβιὴλ, τοῦ Ἀνανιὴλ, τοῦ Ἀδουὴλ, τοῦ Γαβαὴλ, ἐκ τοῦ σπέρματος Ἀσιὴλ, ἐκ τῆς φυλῆς Νεφθαλὶ,

2. ὃς ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐνεμεσσάρου τοῦ βασιλέως Ἀσσυρίων, ἐκ Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδίως τῆς Νεφθαλὶ ἐν τῇ Γαλιλαίᾳ ὑπεράνω Ἀσήρ.

3. Ἐγὼ Τωβὶτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνης πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου, καὶ τῷ ἔθνει, τοῖς προπορευθεῖσι μετ' ἐμοῦ εἰς χώραν Ἀσσυρίων εἰς Νινευῆ.

4. Καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν τῇ γῇ Ἰσραὴλ νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ Νεφθαλὶ τοῦ πατρός μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ἱεροσολύμων, τῆς ἐκλεγείσης ἀπὸ πασῶν τῶν φυλῶν Ἰσραὴλ, εἰς τὸ θυσιάζειν πάσας τὰς φυλάς· καὶ ἡγιάσθη ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ Ὑψίστου, καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

5. Καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ Βάαλ τῇ δαμάλει, καὶ ὁ οἶκος Νεφθαλὶ τοῦ πατρός μου.

6. Κἀγὼ μόνος ἐπορευόμην πλεονάκις εἰς Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προστάγματι αἰωνίῳ, τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γεννημάτων, καὶ τὰς πρωτοκουρίας ἔχων, καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν πρὸς τὸ θυσιαστήριον· πάντων τῶν γεννημάτων

7. τὴν δεκάτην ἐδίδουν τοῖς υἱοῖς Λευὶ τοῖς θεραπεύουσιν εἰς Ἱερουσαλὴμ, καὶ τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην, καὶ ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν Ἱεροσολύμοις καθ' ἕκαστον ἐνιαυτὸν,

8. καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο Δεββωρὰ ἡ μήτηρ τοῦ πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου.

9. Καὶ ὅτε ἐγενόμην ἀνὴρ, ἔλαβον Ἄνναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς ἡμῶν· καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβίαν.

10. Καὶ ὅτε ᾐχμαλωτίσθημεν εἰς Νινευῆ, πάντες οἱ ἀδελφοί μου, καὶ οἱ ἐκ τοῦ γένους μου, ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν,

11. ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν,

12. καθότι ἐμεμνήμην τοῦ Θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου.

13. Καὶ ἔδωκεν ὁ Ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ ἀγοραστής,

14. καὶ ἐπορευόμην εἰς τὴν Μηδίαν καὶ παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας ἀργυρίου τάλαντα δέκα.

15. Καὶ ὅτε ἀπέθανεν Ἐνεμεσσὰρ, ἐβασίλευσε Σενναχηρὶμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάθησαν, καὶ οὐκ ἔτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν Μηδίαν.

16. Καὶ ἐν ταῖς ἡμέραις Ἐνεμεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς μου·

17. τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι, καὶ ἱμάτια

TOBIT.

CAPUT. I.

1. Liber verborum Tobit, filii Tobiel, filii Ananiel, filii Aduel, filii Gabael, de semine Asiel, de tribu Nephthali,

2. qui captivus ductus est in diebus Enemessari regis Assyriorum, e Thisbes, quæ est a dextris Cydios Nephthali in Galilæa super Aser.

3. Ego Tobit viis veritatis ambulabam et justitiæ omnibus diebus vitæ meæ : et eleemosynas multas feci fratribus meis, et genti, profectis mecum in regionem Assyriorum in Nineve.

4. Et quando eram in regione mea in terra Israel, cum ego essem junior, universa tribus Nephthali patris mei recessit a domo Jerosolymorum, quæ fuerat electa ex omnibus tribubus Israel, ut omnes tribus sacrificarent : et sanctificatum fuerat templum habitationis Altissimi, et ædificatum fuerat in omnes generationes sæculi.

5. Et omnes tribus quæ simul recesserant sacrificabant ipsi Baal ipsi vitulæ, et domus Nephthali patris mei.

6. Et ego solus ibam sæpe in Jerosolyma in festivitatibus, sicut scriptum est omni Israel in præcepto æterno, primitias et decimas geniminum, et primas tonsuras habens, et dabam eas sacerdotibus filiis Aaron ad altare : omnium geniminum

7. decimam dabam filiis Levi ministrantibus in Jerusalem, et secundam decimam divendebam, et ibam et expendebam ea in Jerosolymis per singulos annos,

8. et tertiam dabam quibus conveniebat, sicut mandaverat Debbora mater patris mei, propterea quod orphanus relictus sum a patre meo.

9. Et quando factus sum vir, accepi Annam uxorem de semine patriæ meæ : et genui ex ea Tobiam.

10. Et quando captivi ducti sumus in Nineve, omnes fratres mei, et qui de genere meo, comedebant de panibus gentium,

11. ego autem conservavi animam meam ut non manducarem,

12. sicut memineram Dei in tota anima mea.

13. Et dedit Altissimus gratiam et formam in conspectu Enemessaris, et fui ejus emptor,

14. et ivi in Mediam et deposui Gabaelo fratri Gabriæ in Ragis Mediæ argenti talenta decem.

15. Et quando mortuus est Enemessar, regnavit Sennacherim filius ejus pro eo, et viæ ejus infirmatæ sunt et non ultra potui ire in Mediam.

16. Et in diebus Enemessaris eleemosynas multas faciebam fratribus meis :

17. panes meos dabam esurientibus, et vestimenta nudis :

τοῖς γυμνοῖς· καὶ εἴ τινα ἐκ τοῦ γένους μου ἐθεώρουν τεθνηκότα καὶ ἐῤῥιμμένον ὀπίσω τοῦ τείχους Νινευῆ, ἔθαπτον αὐτόν.

18. Καὶ εἴ τινα ἀπέκτεινε Σενναχηρὶμ ὁ βασιλεὺς, ὅτε ἦλθε φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη.

19. Πορευθεὶς δὲ εἷς τῶν ἐν Νινευῆ, ὑπέδειξε τῷ βασιλεῖ περὶ ἐμοῦ ὅτι θάπτω αὐτοὺς, καὶ ἐκρύβην. Ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα.

20. Καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου, καὶ οὐ κατελείφθη μοι οὐδὲν πλὴν Ἄννας τῆς γυναικός μου, καὶ Τωβίου τοῦ υἱοῦ μου.

21. Καὶ οὐ διῆλθον ἡμέραι πεντήκοντα, ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ αὐτοῦ· καὶ ἔφυγον εἰς τὰ ὄρη Ἀραρὰθ, καὶ ἐβασίλευσε Σαχερδονὸς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τῆς βασιλείας αὐτοῦ, καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν.

22. Καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευῆ. Ἀχιάχαρος δὲ ἦν ὁ οἰνοχόος, καὶ ἐπὶ τοῦ δακτυλίου, καὶ διοικητὴς, καὶ ἐκλογιστὴς, καὶ κατέστησεν αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας, ἦν δὲ ἐξάδελφός μου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ὅτε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου, καὶ ἀπεδόθη μοι Ἄννα ἡ γυνή μου, καὶ Τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ, ἥ ἐστιν ἁγία ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν.

2. Καὶ ἐθεασάμην ὄψα πολλὰ, καὶ εἶπα τῷ υἱῷ μου· Βάδισον καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς μέμνηται τοῦ Κυρίου, καὶ ἰδοὺ μένω σε.

3. Καὶ ἐλθὼν εἶπε· Πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐστραγγαλωμένος ἔῤῥιπται ἐν τῇ ἀγορᾷ.

4. Κἀγὼ, πρινὴ γεύσασθαί με, ἀναπηδήσας ἀνειλόμην αὐτὸν εἴς τι οἴκημα ἕως οὗ ἔδυ ὁ ἥλιος.

5. Καὶ ἐπιστρέψας ἐλουσάμην, καὶ ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ.

6. Καὶ ἐμνήσθην τῆς προφητείας Ἀμὼς, καθὼς εἶπεν· Στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος, καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον.

7. Καὶ ἔκλαυσα, καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην, καὶ ὀρύξας ἔθαψα αὐτόν.

8. Καὶ οἱ πλησίον ἐπεγέλων, λέγοντες· Οὐκ ἔτι φοβεῖται φονευθῆναι περὶ τοῦ πράγματος τούτου· καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς.

9. Καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας, καὶ ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς. Καὶ τὸ πρόσωπόν μου ἀκάλυπτον ἦν,

10. καὶ οὐκ ἤδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστί· καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου, καὶ ἐπορεύθην πρὸς ἰατροὺς, καὶ οὐκ ὠφέλησάν με, Ἀχιάχαρος δὲ ἔτρεφέ με ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα.

11. Καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο ἐν τοῖς γυναικείοις,

et si quem de genere meo aspiciebam mortuum et projectum post murum Nineve, sepeliebam eum.

18. Et si quem interfecerat Sennacherim rex, quando venit fugiens e Judæa, sepeliebam eos furatus : multos enim interfecit in furore suo, et quæsita sunt a rege corpora, et non sunt inventa.

19. Profectus autem unus eorum qui de Nineve, indicavit regi de me quia sepelio eos, et occultatus sum. Cognoscens autem quia quæror ut moriar, timore perculsus secessi.

20. Et direptæ sunt omnes substantiæ meæ, et non remansit mihi quicquam præter Annam uxorem meam, et Tobiam filium meum.

21. Et non transierunt dies quinquaginta, donec interfecerunt eum duo filii ejus : et fugerunt in montes Ararath, et regnavit Sacherdonus filius ejus pro eo, et constituit Achiacharum Anael filium fratris mei super omnem computationem regni sui, et super omnem administrationem.

22. Et postulavit Achiacharus pro me, et veni in Nineve. Achiacharus autem erat pincerna, et super annulum, et administrator, et computator, et constituit eum Sacherdonus secundo, erat autem filius fratris mei.

CAPUT II.

1. Quando autem deveni in domum meam, et restituta est mihi Anna uxor mea, et Tobias filius meus, in pentecoste festivitate, quæ est sanctá septem hebdomadarum, factum est prandium bonum mihi, et accubui ad manducandum.

2. Et aspexi obsonia multa, et dixi filio meo : Vade et adduc quemcunque inveneris fratrum nostrorum egentem, qui meminerit Domini, et ecce expecto te.

3. Et veniens dixit : Pater, unus de genere nostro strangulatus projectus est in platea.

4. Et ego, antequam ego gustarem, exiliens tuli in domum quamdam donec occidit sol.

5. Et reversus lavi me, et comedebam panem meum in tristitia.

6. Et recordatus sum prophetiæ Amos, quomodo dixit : Convertentur dies festi vestri in luctum, et omnes lætitiæ vestræ in lamentationem.

7. Et ploravi, et quando occiderat sol, abii, et fodiens sepelivi eum.

8. Et proximi irridebant, dicentes : Non adhuc timet interfici pro re hac : et aufugit, et ecce rursus sepelit mortuos.

9. Et in ipsa nocte redii cum sepeliissem, et cubui pollutus juxta murum atrii. Et facies mea discooperta erat,

10. et non vidi quia passeres in muro erant : et oculis meis apertis, immiserunt passeres calidum in oculos meos, et factæ sunt albugines in oculis meis, et ivi ad medicos, et non profuerunt mihi. Achiacharus autem nutriebat me quoadusque profectus sum in Elymaida.

11. Et uxor mea Anna serviebat in gynæceis,

12. καὶ ἀπέστελλε τοῖς κυρίοις· καὶ ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μισθὸν, προςδόντες καὶ ἔριφον.

13. Ὅτε δὲ ἦλθε πρός με, ἤρξατο κράζειν· καὶ εἶπα αὐτῇ· Πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν ἐστιν; Ἀπόδος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ θεμιτόν ἐστιν φαγεῖν κλεψιμαῖον.

14. Ἡ δὲ εἶπεν· Δῶρον δέδοταί μοι ἐπὶ τῷ μισθῷ. Καὶ οὐκ ἐπίστευον αὐτῇ, καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς κυρίοις, καὶ ἠρυθρίων πρὸς αὐτήν. Ἡ δὲ ἀποκριθεῖσα εἶπέ μοι· Ποῦ εἰσὶν αἱ ἐλεημοσύναι σου, καὶ αἱ δικαιοσύναι σου; Ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ λυπηθεὶς ἔκλαυσα, καὶ προςευξάμην μετ' ὀδύνης, λέγων·

2. Δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύναι καὶ ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα.

3. Μνήσθητί μου, καὶ ἐπίβλεψον ἐπ' ἐμέ. Μή με ἐκδικῇς ταῖς ἁμαρτίαις μου καὶ τοῖς ἀγνοήμασί μου καὶ τῶν πατέρων μου, ἃ ἥμαρτον ἐνώπιόν σου.

4. Παρήκουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν καὶ αἰχμαλωσίαν καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσι τοῖς ἔθνεσιν ἐν οἷς ἐσκορπίσμεθα.

5. Καὶ νῦν πολλαὶ αἱ κρίσεις σου εἰσὶ καὶ ἀληθιναὶ, ἐξ ἐμοῦ ποιῆσαι περὶ τῶν ἁμαρτιῶν μου καὶ τῶν πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου, οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου.

6. Καὶ νῦν κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ, καὶ γένωμαι γῆ, διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῇν· ὅτι ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐμοί. Ἐπίταξον ἀπολυθῆναί με τῆς ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

7. Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάῤῥᾳ ἐν Ἐκβατάνοις τῆς Μηδίας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν πατρὸς αὐτῆς,

8. ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτὰ, καὶ Ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν αὐτοὺς, πρινὴ γενέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξί. Καὶ εἶπαν αὐτῇ· Οὐ συνιεῖς ἀποπνίγουσά σου τοὺς ἄνδρας; Ἤδη ἑπτὰ ἔσχες, καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης.

9. Τί ἡμᾶς μαστιγοῖς; Εἰ ἀπέθαναν, βάδιζε μετ' αὐτῶν, μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγατέρα εἰς τὸν αἰῶνα.

10. Ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα, ὥστε ἀπάγξασθαι· καὶ εἶπε· Μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιήσω τοῦτο, ὄνειδος αὐτῷ ἔσται, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ' ὀδύνης εἰς ᾅδου.

11. Καὶ ἐδεήθη πρὸς τῇ θυρίδι, καὶ εἶπεν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔντιμον εἰς τοὺς αἰῶνας. Εὐλογησαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα.

12. Καὶ νῦν, Κύριε, τοὺς ὀφθαλμούς μου καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα.

13. Εἶπον, ἀπολῦσαί με ἀπὸ τῆς γῆς, καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν.

14. Σὺ γινώσκεις, Κύριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρὸς,

12. et mittebat dominis: et reddiderunt ei etiam ipsi mercedem, addentes etiam hœdum.

13. Quando autem venit ad me, cœpit clamare: et dixi ad eam: Unde hœdus? numquid furtivus est? Redde illum dominis: non enim licitum est manducare furtivum.

14. At illa dixit: Donum mihi datum est super mercedem. Et non credebam ei, et dicebam reddere illum dominis, et erubescebam adversus eam. At illa respondens dixit mihi: Ubi sunt eleemosynæ tuæ, et justitiæ tuæ? Ecce cognita omnia tecum.

CAPUT III.

1. Et tristatus ploravi, et deprecatus sum cum dolore, dicens:

2. Justus es, Domine, et omnia opera tua et omnes viæ tuæ misericordiæ et veritas, et judicium verum et justum tu judicas in sæculum.

3. Memento mei, et respice super me. Ne de me vindictam sumas propter peccata mea et ignorantias meas et patrum meorum, quæ peccaverunt in conspectu tuo.

4. Non enim obedierunt mandatis tuis, et dedisti nos in direptionem et captivitatem et mortem et parabolam improperii omnibus gentibus in quibus dispersi sumus.

5. Et nunc multa sunt judicia tua et vera, ex me ad faciendum pro peccatis meis et patrum meorum, quoniam non fecimus mandata tua, non enim ambulavimus in veritate coram te.

6. Et nunc secundum id quod placet coram te fac mecum: præcipe recipere spiritum meum, ut dissolvar, et fiam terra, quoniam expedit mihi mori quam vivere: quoniam improperia falsa audivi, et tristitia multa est in me. Præcipe absolvi me de necessitate jam in æternum locum, ne avertas faciem tuam a me.

7. In eadem die contigit filiæ Raguel Sarræ in Ecbatanis Mediæ, et ipsam improperari ab ancillis patris sui,

8. quoniam data fuerat viris septem, et Asmodæus malum dæmonium interfecerat eos, antequam illi fuissent cum ea ut in uxoribus. Et dixerunt ad eam: Non intelligis suffocans tu viros? Ecce septem habuisti, et unius eorum non es nominata.

9. Quid nos flagellas? Si mortui sunt, vade cum eis, non videamus tuum filium vel filiam in sæculum.

10. Hæc audiens tristata est valde, ut suffocaretur: et dixit: Una quidem sum patri meo: si fecero hoc, opprobrium ei erit, et senectutem ejus deducam cum dolore ad infernum.

11. Et oravit ad fenestram, et dixit: Benedictus es Domine Deus meus, et benedictum nomen tuum sanctum et honoratum in sæcula. Benedicant te omnia opera tua in sæculum.

12. Et nunc, Domine, oculos meos et faciem meam in te dedi.

13. Dixi, ut absolvas me de terra, et non facias me audire ultra improperium.

14. Tu cognoscis Domine, quia munda sum ab omni peccato viri,

15. καὶ οὐχ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. Μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομήσει αὐτὸν, οὐδὲ ἀδελφὸς ἐγγὺς, οὐδὲ ὑπάρχων αὐτῷ υἱὸς, ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα, ἤδη ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῆν; Καὶ εἰ μὴ δοκεῖ σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμὲ, καὶ ἐλεῆσαι με, καὶ μηκέτι ἀκοῦσαί με ὀνειδισμόν.

16. Καὶ εἰσηκούσθη προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δόξης τοῦ μεγάλου Ῥαφαὴλ,

17. καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ Τωβὶτ λεπίσαι τὰ λευκώματα, καὶ Σάῤῥαν τὴν τοῦ Ῥαγουὴλ δοῦναι Τωβίᾳ τῷ υἱῷ Τωβὶτ γυναῖκα, καὶ δῆσαι Ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι Τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν. Ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας Τωβὶτ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ Σάῤῥα ἡ τοῦ Ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

15. neque pollui nomen meum neque nomen patris mei in terra captivitatis meæ. Unigenita sum patri meo, et non adest ei puer qui hæreditabit eum, neque frater propinquus, neque existens ei filius, ut conservem me ei uxorem, jam perierunt mihi septem : ut quid mihi vivere? Et si non videtur tibi interficere me, præcipe respicere in me, et misereri mei, et non ultra audire improperium.

16. Et exaudita est deprecatio utrorumque coram gloria magni Raphael,

17. et missus est ad sanandum duo, ipsius Tobit desquamare albugines, et Sarram filiam Raguel dare Tobiæ filio Tobit uxorem, et ligare Asmodæum malum dæmonium, quoniam ad Tobiam pertinet hæreditare eam. In eodem tempore revertens Tobit introivit in domum suam, et Sarra filia Raguel descendit de superiore cubiculo suo.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ τοῦ ἀργυρίου οὗ παρέθετο Γαβαὴλ ἐν Ῥάγοις τῆς Μηδίας,

2. καὶ εἶπεν ἐν ἑαυτῷ· Ἐγὼ ᾐτησάμην θάνατον, τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου, ἵνα αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν με;

3. Καὶ καλέσας αὐτὸν εἶπεν· Παιδίον, ἐὰν ἀποθάνω, θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ, καὶ μὴ λυπήσῃς αὐτήν.

4. Μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθάνῃ, θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ.

5. Πάσας τὰς ἡμέρας, παιδίον, Κυρίου τοῦ Θεοῦ ἡμῶν μνημόνευε, καὶ μὴ θελήσῃς ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ. Δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας.

6. Διότι ποιοῦντός σου τὴν ἀλήθειαν, εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην.

7. Ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ Θεοῦ.

8. Ὡς σοὶ ὑπάρχοι κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην.

9. Θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης·

10. διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος.

11. Δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ Ὑψίστου.

12. Πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ πάσης πορνείας, καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων σου· μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατέρος σου, διότι υἱοὶ προφητῶν ἐσμεν· Νῶε, Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, οἱ πατέρες

CAPUT IV

1. In illa die recordatus est Tobit de argento quod deposuerat apud Gabael in Ragis Mediæ,

2. et dixit in seipso : Ego petii mortem, cur non voco Tobiam filium meum, ut ei indicem priusquam ego moriar?

3. Et vocans eum dixit : Fili, si mortuus fuero, sepeli me, et ne despicias matrem tuam : honora eam omnibus diebus vitæ tuæ, et fac quod placitum ei, et ne contristes eam.

4. Memento, fili, quia multa pericula vidit propter te in ventre : cum mortua fuerit, sepeli eam juxta me in uno sepulchro.

5. Omnibus diebus, fili, Domini Dei nostri recordare, et noli peccare et transgredi mandata ejus. Justitiam fac omnibus diebus vitæ tuæ, et ne ambularis viis injustitiæ.

6. Quoniam faciente te veritatem, prosperitates erunt in operibus tuis et omnibus facientibus justitiam.

7. Ex substantia tua fac eleemosynam, et non invideat oculus tuus in faciendo te eleemosynam. Ne avertas faciem tuam ab omni mendico, et a te non avertetur facies Dei.

8. Quomodo tibi fuerit secundum multitudinem, facito ex eis eleemosynam : si paucum tibi fuerit, juxta paucum ne timeas facere eleemosynam.

9. Præmium enim bonum thesaurizas tibi in diem necessitatis :

10. quoniam eleemosyna a morte liberat, et non permittit introire in tenebras.

11. Munus enim bonum est eleemosyna omnibus facientibus eam in conspectu Altissimi.

12. Attende tibi, fili, ab omni fornicatione, et uxorem primum accipe de semine patrum tuorum : non accipias uxorem alienam, quæ non est de tribu patris tui, quoniam filii prophetarum sumus : Noe, Abraham, Isaac, Jacob, isti patres nostri a sæculo. Memento, fili, quia ipsi omnes

ἡμῶν ἀπὸ τοῦ αἰῶνος. Μνήσθητι, παιδίον, ὅτι αὐτοὶ πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν αὐτῶν, καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

13. Καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελφούς σου, καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου, καὶ τῶν υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου, λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα· διότι ἐν τῇ ὑπερηφανίᾳ ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρειότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη· ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ.

14. Μισθὸς παντὸς ἀνθρώπου ὃς ἐὰν ἐργάσηται παρὰ σοὶ μὴ αὐλισθήτω, ἀλλ' ἀπόδος αὐτῷ παρ' αὐτίκα. Ἐὰν δουλεύσῃς τῷ Θεῷ, ἀποδοθήσεταί σοι. Πρόσεχε σεαυτῷ, παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ σου.

15. Καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. Οἶνον εἰς μέθην μὴ πίῃς, καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου.

16. Ἐκ τοῦ ἄρτου σου δίδου πεινῶντι, καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς. Πᾶν ὃ ἐὰν περισσεύσῃ σοι, ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην.

17. Ἔκχεον τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων, καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς.

18. Συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον, καὶ μὴ καταφρονήσῃς ἐπὶ πάσης συμβουλίας χρησίμης.

19. Καὶ ἐν παντὶ καιρῷ εὐλόγει Κύριον τὸν Θεὸν, καὶ παρ' αὐτοῦ αἴτησον ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαί σου εὐοδωθῶσιν· διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλ' αὐτὸς ὁ Κύριος δίδωσι πάντα τὰ ἀγαθὰ, καὶ ὃν ἐὰν θέλῃ, ταπεινοῖ καθὼς βούλεται. Καὶ νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου, καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου.

20. Καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα τάλαντα τοῦ ἀργυρίου ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας.

21. Καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν· ὑπάρχει σοι πολλὰ ἐὰν φοβηθῇς τὸν Θεὸν, καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας, καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καὶ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ· Πάτερ, ποιήσω πάντα ὅσα ἐντέταλσαί μοι·

2. ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον, καὶ οὐ γινώσκω αὐτόν;

3. Καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον, καὶ εἶπεν αὐτῷ· Ζήτησον σεαυτῷ ἄνθρωπον ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ, καὶ λάβε πορευθεὶς τὸ ἀργύριον.

4. Καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον, καὶ εὗρε Ῥαφαὴλ ὃς ἦν ἄγγελος,

5. καὶ οὐκ ᾔδει, καὶ εἶπεν αὐτῷ· Εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ ἐν Ῥάγοις τῆς Μηδίας, καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων;

6. Καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· Πορεύσομαι μετὰ σοῦ, καὶ τῆς ὁδοῦ ἐμπειρῶ, καὶ παρὰ Γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην.

7. Καὶ εἶπεν αὐτῷ Τωβίας· Ὑπόμεινόν με, καὶ ἐρῶ τῷ πατρί.

acceperunt uxores de fratribus suis, et benedicti sunt in filiis suis, et semen eorum hæreditabit terram.

13. Et nunc, fili, dilige fratres tuos, et noli superbire corde tuo præ fratribus tuis, et filiis et filiabus populi tui, accipere tibi ex eis uxorem : quoniam in superbia perditio et perturbatio multa, et in nequitia diminutio et egestas magna : nequitia enim mater est famis.

14. Merces omnis hominis quicunque operatus fuerit apud te non moretur, sed redde ei statim. Si servieris Deo, reddetur tibi. Attende tibi, fili, in omnibus operibus tuis, et esto eruditus in omni conversatione tua.

15. Et quod odio habes, nemini feceris. Vinum ad ebrietatem ne bibas, et non eat tecum ebrietas in via tua.

16. De pane tuo da esurienti, et de vestibus tuis nudis. Omne quodcumque super fuerit tibi, fac eleemosynam, et non invideat oculus tuus in faciendo te eleemosynam.

17. Effunde panes tuos super sepulturam justorum, et ne dederis peccatoribus.

18. Consilium ab omni prudente quære, et ne contemnas super omne consilium utile.

19. Et in omni tempore benedic Dominum Deum, et ab eo pete ut viæ tuæ rectæ sint, et omnes semitæ tuæ et consilia tua prosperentur : eo quod omnis gens non habet consilium, sed ipse Dominus dat omnia bona, et quemcumque voluerit, humiliat sicut vult. Et nunc, fili, recordare mandatorum meorum, et non deleantur de corde tuo.

20. Et nunc indico tibi decem talenta argenti quæ deposui apud Gabaelum filium Gabriæ in Ragis Mediæ.

21. Et ne timeas, fili, quia mendici facti sumus : sunt tibi multa si timueris Deum, et recesseris ab omni peccato, et feceris quod placitum coram eo.

CAPUT V.

1. Et respondens Tobias dixit ei : Pater, faciam omnia quæcumque mandasti mihi :

2. sed quomodo potero accipere argentum, et non cognosco eum?

3. Et dedit ei chirographum, et dixit ei : Quære tibi hominem qui simul ibit tecum, et dabo ei mercedem dum vivo, et accipe vadens argentum.

4. Et ivit quærere hominem, et invenit Raphael qui erat angelus,

5. et nesciebat, et dixit ei : Si possum ire tecum in Ragis Mediæ, et si peritus es locorum?

6. Et dixit ei angelus : Ibo tecum, et viæ peritus sum, et apud Gabael fratrem nostrum commoratus sum.

7. Et dixit ei Tobias : Sustine me, et dicam patri.

8. Καὶ εἶπεν αὐτῷ· Πορεύου, καὶ μὴ χρονίσῃς. Καὶ εἰσελθὼν εἶπε τῷ πατρί· Ἰδοὺ εὕρηκα ὅς συμπορεύσεταί μοι. Ὁ δὲ εἶπε· Φώνησον αὐτὸν πρὸς μὲ, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστι, καὶ εἰ πιστὸς τοῦ πορευθῆναι μετὰ σοῦ.

9. Καὶ ἐκάλεσεν αὐτὸν, καὶ εἰςῆλθε, καὶ ἠσπάσαντο ἀλλήλους.

10. Καὶ εἶπεν αὐτῷ Τωβίτ· Ἀδελφὲ, ἐκ ποίας φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ σύ; Ὑπόδειξόν μοι.

11. Καὶ εἶπεν αὐτῷ· Φυλὴν καὶ πατριὰν σὺ ζητεῖς, ἢ μίσθιον ὅς συμπορεύσεται μετὰ τοῦ υἱοῦ σου; Καὶ εἶπεν αὐτῷ Τωβίτ· Βούλομαι, ἀδελφὲ, ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ ὄνομα.

12. Ὅς δὲ εἶπεν· Ἐγὼ Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου τῶν ἀδελφῶν σου.

13. Καὶ εἶπεν αὐτῷ· Ὑγιαίνων ἔλθοις, ἀδελφὲ, καὶ μή μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν σου καὶ τὴν πατριάν σου ἐπιγνῶναι· καὶ σὺ τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς· ἐπεγίνωσκον γὰρ ἐγὼ Ἀνανίαν καὶ Ἰωνάθαν τοὺς υἱοὺς Σεμεΐ τοῦ μεγάλου, ὡς ἐπορευόμεθα κοινῶς εἰς Ἱεροσόλυμα προςκυνεῖν, ἀναφέροντες τὰ πρωτότοκα, καὶ τὰς δεκάτας τῶν γεννημάτων, καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν. Ἐκ ῥίζης καλῆς εἶ, ἀδελφὲ,

14. ἀλλὰ εἰπόν μοι τίνα σοι ἔσομαι μισθὸν διδόναι; Δραχμὴν τῆς ἡμέρας, καὶ τὰ δέοντά σοι ὡς καὶ τῷ υἱῷ μου,

15. καὶ ἔτι προςθήσω σοι ἐπὶ τὸν μισθὸν, ἐὰν ὑγιαίνοντες ἐπιστρέψητε.

16. Καὶ εὐδόκησαν οὕτως. Καὶ εἶπε πρὸς Τωβίαν· Ἕτοιμος γίνου πρὸς τὴν ὁδὸν, καὶ εὐοδωθείητε. Καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ πρὸς τὴν ὁδὸν, καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ· Πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ δὲ ἐν τῷ οὐρανῷ οἰκῶν Θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος αὐτοῦ συμπορευθήτω ὑμῖν. Καὶ ἐξῆλθον ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ κύων τοῦ παιδαρίου μετ' αὐτῶν.

17. Ἔκλαυσε δὲ Ἄννα ἡ μήτηρ αὐτοῦ, καὶ εἶπε πρὸς Τωβίτ· Τί ἐξαπέστειλας τὸ παιδίον ἡμῶν; Ἢ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν ἐστιν ἐν τῷ εἰςπορεύεσθαι αὐτὸν καὶ ἐκπορεύεσθαι ἐνώπιον ἡμῶν;

18. Ἀργύριον τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο.

19. Ὡς γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ Κυρίου, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει.

20. Καὶ εἶπεν αὐτῇ Τωβίτ· Μὴ λόγον ἔχε, ἀδελφή· ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτόν.

21. Ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων.

22. Καὶ ἐπαύσατο κλαίουσα.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Οἱ δὲ πορευόμενοι τὴν ὁδὸν, ἦλθον ἑσπέρας ἐπὶ τὸν Τίγριν ποταμὸν, καὶ ηὐλίζοντο ἐκεῖ.

2. Τὸ δὲ παιδάριον κατέβη περικλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ, καὶ ἐβουλήθη καταπιεῖν τὸ παιδάριον.

3. Ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ· Ἐπιλαβοῦ τοῦ ἰχθύος. Καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον, καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν.

8. Et dixit ei : Vade, et ne tardaveris. Et ingressus dixit patri : Ecce inveni qui simul ibit mecum. At ille dixit : Voca ipsum ad me, ut agnoscam cujus tribus est, ac si fidelis ad eundum tecum.

9. Et vocavit eum, et introivit, et salutarunt se invicem.

10. Et dixit ei Tobit : Frater, ex qua tribu et ex qua patria es tu? Indica mihi.

11. Et dixit ei : Tribum et patriam tu quæris, an mercenarium qui simul ibit cum filio tuo? Et dixit ei Tobit : Volo, frater, agnoscere genus tuum et nomen.

12. At ille dixit : Ego Azarias Ananiæ magni de fratribus tuis.

13. Et dixit ei : Sanus venias, frater, et ne mihi irascaris, quia quæsivi tribum tuam et patriam tuam agnoscere : et tu es frater meus ex pulchra et bona progenie : cognovi enim ego Ananiam et Jonathan filios Semei magni, quomodo ibamus una in Jerosolyma ad adorandum, offerentes primogenita, et decimas geniminum, et non erraverant in errore fratrum nostrorum. De bona radice es, frater,

14. sed dicito mihi quam tibi ero mercedem daturus? Drachmam die, et necessaria tibi sicut et filio meo,

15. et adhuc adjiciam tibi super mercedem, si sani reverteritis.

16. Et bene senserunt sic. Et dixit ad Tobiam : Paratus esto ad viam, et prosperemini. Et paravit filius ejus quæ ad viam, et dixit ei pater ejus : Vade cum homine hoc, qui autem in cœlo habitat Deus prosperabit viam vestram, et angelus ejus ibit vobiscum. Et exierunt utrique ad abeundum, et canis pueri cum eis.

17. Ploravit autem Anna mater ejus, et dixit ad Tobit : Quid emisisti filium nostrum? An non virga manus nostræ est in ingrediendo ipsum et egrediendo coram nobis?

18. Argentum argento non antevertat, sed peripsema filii nostri sit.

19. Quomodo enim datum est nobis vivere a Domino, hoc satis multum nobis est.

20. Et dixit ei Tobit : Ne sollicitudinem habeas, soror : sanus veniet, et oculi tui videbunt eum.

21. Angelus enim bonus ibit cum eo, et prosperabitur iter ejus, et redibit sanus.

22. Et cessavit plorans.

CAPUT VI.

1. Illi vero euntes viam, venerunt vesperi ad Tigrim flumen, et manserunt ibi.

2. Puer autem descendit ad lavandum se, et prosiliit piscis e flumine, et voluit devorare puerum.

3. Angelus autem dixit ei : Apprehende piscem. Et tenuit piscem puer, et projecit eum super terram.

4. Καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· Ἀνάτεμε τὸν ἰχθῦν, καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν, θὲς ἀσφαλῶς.

5. Καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος· τὸν δὲ ἰχθῦν ὀπτήσαντες ἔφαγον. Καὶ ὥδευον ἀμφότεροι, ἕως οὗ ἤγγισαν ἐν Ἐκβατάνοις.

6. Καὶ εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία ἀδελφὲ, τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ καὶ ἡ χολὴ τοῦ ἰχθύος;

7. Καὶ εἶπεν αὐτῷ· Ἡ καρδία καὶ τὸ ἧπαρ, ἐάν τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρὸν, ταῦτα δεῖ καπνίσαι ἐνώπιον ἀνθρώπου, ἢ γυναικὸς, καὶ μηκέτι ὀχληθῇ.

8. Ἡ δὲ χολὴ, ἐγχρῖσαι ἄνθρωπον ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται.

9. Ὡς δὲ προσήγγισαν τῇ Ῥάγῃ,

10. εἶπεν ὁ ἄγγελος τῷ παιδαρίῳ· Ἀδελφὲ, σήμερον αὐλισθησόμεθα παρὰ Ῥαγουὴλ, καὶ αὐτὸς συγγενής σου ἐστὶν, καὶ ἔστιν αὐτῷ θυγάτηρ ὀνόματι Σάῤῥα. Λαλήσω περὶ αὐτῆς, τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυναῖκα,

11. καὶ ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αυτῆς· καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐστι.

12. Καὶ νῦν ἄκουσόν μου, καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ὑποστρέψωμεν ἐκ Ῥαγῶν, ποιήσομεν τὸν γάμον· διότι ἐπίσταμαι Ῥαγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν νόμον Μωϋσῆ, ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοι καθήκει λαβεῖν, ἢ πάντα ἄνθρωπον.

13. Τότε εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία ἀδελφὲ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι, καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπολωλότας·

14. καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πατρὶ, καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτὴν, ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν προσαγόντων αὐτῇ. Καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθάνω, καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ' ὀδύνης ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν, καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς ὃς θάψει αὐτούς.

15. Εἶπε δὲ αὐτῷ ὁ ἄγγελος· Οὐ μέμνησαι τῶν λόγων ὧν ἐνετείλατό σοι ὁ πατήρ σου, ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; Καὶ νῦν ἄκουσόν μου, ἀδελφὲ, διότι σοι ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὕτη εἰς γυναῖκα.

16. Καὶ ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ τέφραν θυμιαμάτων, καὶ ἐπιθήσεις ἀπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος, καὶ καπνίσεις,

17. καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον, καὶ φεύξεται, καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ὅταν δὲ προσπορεύῃ αὐτῇ, ἐγέρθητε ἀμφότεροι, καὶ βοήσατε πρὸς τὸν ἐλεήμονα Θεὸν, καὶ σώσει ὑμᾶς, καὶ ἐλεήσει. Μὴ φοβοῦ, ὅτι σοὶ αὕτη ἡτοιμασμένη ἦν ἀπὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω ὅτι σοὶ ἔσται ἐξ αὐτῆς παιδία. Καὶ ὡς ἤκουσε Τωβίας ταῦτα, ἐφίλησεν αὐτὴν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκολλήθη σφόδρα αὐτῇ. Καὶ ἦλθεν εἰς Ἐκβάτανα.

4. Et dixit ei angelus : Incide piscem, et sumens cor et jecur et fel, repone tuto.

5. Et fecit puer sicut dixit ei angelus : piscem autem assantes comederunt. Et pergebant utrique, donec appropinquaverunt in Ecbatana.

6. Et dixit puer angelo : Azaria frater, quid est cor et jecur et fel piscis?

7. Et dixit ei : Cor et jecur, si quem turbaverit dæmonium vel spiritus malignus, hæc oportet suffire coram homine, vel muliere, et non ultra turbabitur.

8. Fel autem, unge hominem qui habet albugines in oculo, et sanabitur.

9. Ut autem appropinquaverunt Rage,

10. dixit angelus puero : Frater, hodie manebimus apud Raguel, et ipse cognatus tuus est, et est ei filia nomine Sarra. Loquar de ea, ut ipsa detur tibi in uxorem,

11. et quoniam ad te pertinet hæreditas ejus, et tu solus es de genere ejus : et puella pulchra et prudens est.

12. Et nunc audi me, et loquar patri ejus, et quando revertemus e Ragis, faciemus nuptias : quoniam novi Raguel quia non dabit eam viro alteri juxta legem Moysi, vel reus erit mortis, quoniam hæreditatem tibi convenit accipere, quam omnem hominem.

13. Tunc dixit puer angelo : Azaria frater, audivi ego puellam datam esse septem viris, et omnes in nuptiali thalamo periisse :

14. et nunc ego solus sum patri, et timeo ne ingressus moriar sicut et priores, quoniam dæmonium diligit eam, quod non nocet cuiquam nisi accedentibus ad eam. Et nunc ego timeo ne moriar, et deducam vitam patris mei et matris meæ cum dolore super me in sepulturam ipsorum, et filius alius non est eis qui sepeliet eos.

15. Dixit autem ei angelus : Non meministi verborum quæ mandavit tibi pater tuus, super accipiendo te uxorem de genere tuo? Et nunc audi me, frater, quoniam tibi erit in uxorem, et dæmonii nullam rationem habe, quoniam nocte hac dabitur tibi hæc ipsa in uxorem.

16. Et si ingressus fueris in thalamum, sumes cinerem thymiamatum, et superpones de corde et jecore piscis, et facies fumigare,

17. et olfaciet dæmonium, et fugiet, et non redibit iterum in sæculum sæculi. Quando autem accedes ad eam, surgite utrique, et clamate ad misericordem Deum, et salvabit vos, et miserebitur. Ne timeas, quoniam tibi hæc parata fuit a sæculo, et tu ipsam salvabis, et ibit tecum, et existimo quia tibi erunt ex ea filii. Et ut audivit Tobias hæc, dilexit eam, et anima ipsius adhæsit valde ei. Et venit in Ecbatana.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Καὶ παρεγένετο εἰς τὴν οἰκίαν Ῥαγουήλ. Καὶ Σάῤῥα δὲ ὑπήντησεν αὐτῷ, καὶ ἐχαιρέτισεν αὐτὸν, καὶ αὐτὸς αὐτούς· καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν.

2. Καὶ εἶπε Ῥαγουὴλ Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ· Ὡς ὅμοιος ὁ νεανίσκος Τωβὶτ τῷ ἀνεψιῷ μου;

3. Καὶ ἠρώτησεν αὐτοὺς Ῥαγουήλ· Πόθεν ἐστὲ, ἀδελφοί; Καὶ εἶπον αὐτῷ· Ἐκ τῶν υἱῶν Νεφθαλὶ τῶν αἰχμαλώτων ἐν Νινευῇ.

4. Καὶ εἶπεν αὐτοῖς· Γινώσκετε Τωβὶτ τὸν ἀδελφὸν ἡμῶν; Οἱ δὲ εἶπον· Γινώσκομεν. Καὶ εἶπεν αὐτοῖς· Ὑγιαίνει;

5. Οἱ δὲ εἶπαν· Καὶ ζῇ, καὶ ὑγιαίνει. Καὶ εἶπε Τωβίας· Πατήρ μου ἐστί.

6. Καὶ ἀνεπήδησε Ῥαγουὴλ, καὶ κατεφίλησεν αὐτὸν, καὶ ἔκλαυσε,

7. καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου υἱός. Καὶ ἀκούσας ὅτι Τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ, ἐλυπήθη καὶ ἔκλαυσε.

8. Καὶ Ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ Σάῤῥα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν, καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως· καὶ ἔθυσαν κριὸν προβάτων, καὶ παρέθηκαν ὄψα πλείονα. Εἶπε δὲ Τωβίας τῷ Ῥαφαήλ· Ἀζαρία ἀδελφὲ, λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ πρᾶγμα.

9. Καὶ μετέδωκε τὸν λόγον τῷ Ῥαγουὴλ, καὶ εἶπε Ῥαγουὴλ πρὸς Τωβίαν· Φάγε, πίε, καὶ ἡδέως γίνου,

10. σοὶ γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν, πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν.

11. Ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι, καὶ ὁπότε ἐὰν εἰςεπορεύοντο πρὸς αὐτὴν, ἀπέθνησκον ὑπὸ τὴν νύκτα. Ἀλλὰ τὸ νῦν ἔχον, ἡδέως γίνου. Καὶ εἶπε Τωβίας· Οὐ γεύομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ σταθῆτε πρὸς μέ.

12. Καὶ εἶπε Ῥαγουήλ· Κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δὲ ἀδελφὸς εἶ αὐτῆς, καὶ αὐτή σου ἐστίν· ὁ δὲ ἐλεήμων Θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα.

13. Καὶ ἐκάλεσε Σάῤῥαν τὴν θυγατέρα αὐτοῦ, καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν Τωβίᾳ γυναῖκα, καὶ εἶπεν· Ἰδοὺ κατὰ τὸν νόμον Μωϋσέως κομίζου αὐτὴν, καὶ ἄπαγε πρὸς τὸν πατέρα σου. Καὶ εὐλόγησεν αὐτούς.

14. Καὶ ἐκάλεσεν Ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ λαβὼν βιβλίον ἔγραψε συγγραφὴν, καὶ ἐσφραγίσατο.

15. Καὶ ἤρξαντο ἐσθίειν.

16. Καὶ ἐκάλεσε Ῥαγουὴλ Ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ εἶπεν αὐτῇ· Ἀδελφὴ, ἑτοίμασον τὸ ἕτερον ταμεῖον, καὶ εἰςάγαγε αὐτήν.

17. Καὶ ἐποίησεν ὡς εἶπε, καὶ εἰςήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσε. Καὶ ἀπεδέξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς, καὶ εἶπεν αὐτῇ·

18. Θάρσει, τέκνον, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς λύπης σου ταύτης· θάρσει, θύγατερ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰςήγαγον Τωβίαν πρὸς αὐτήν.

CAPUT VII.

1. Et advenit in domum Raguel. Et Sarra vero occurrit ei, et salutavit eum, et ipse eos : et introduxit eos in domum.

2. Et dixit Raguel Ednæ uxori suæ : Quam similis adolescens Tobit consobrino meo!

3. Et interrogavit eos Raguel : Unde estis, fratres? Et dixerunt ei : De filiis Nephthali captivorum in Nineve.

4. Et dixit eis : Noscitis Tobit fratrem nostrum? At illi dixerunt : Noscimus. Et dixit eis : Valet?

5. At illi dixerunt : Et vivit, et valet. Et dixit Tobias : Pater meus est.

6. Et prosiliit Raguel, et deosculatus est eum, et ploravit,

7. et benedixit eum, et dixit ei : Honesti et boni hominis filius. Et audiens quia Tobit amisit oculos suos, tristatus est et ploravit.

8. Et Edna uxor ejus et Sarra filia ejus ploraverunt, et susceperunt eos prompte : et immolaverunt arietem ovium, et apposuerunt obsonia plura. Dixit autem Tobias ad Raphael : Azaria frater, loquere de quibus dicebas in itinere, et perficiatur negotium.

9. Et communicavit verbum ipsi Raguel, et dixit Raguel ad Tobiam : Comede, bibe, et jucunde esto,

10. tibi enim convenit filiolam meam accipere, verumtamen indicabo tibi veritatem.

11. Dedi filiolam meam septem viris, et simul atque ingrediebantur ad eam, moriebantur sub noctem. Sed in præsentia, jucunde esto. Et dixit Tobias : Non gustabo quicquam hic, quoadusque stetis et statuatis ante me.

12. Et dixit Raguel : Duc illam ex nunc juxta judicium : tu vero frater es illius, et ipsa tui est : misericors autem Deus prosperavit vobis optima.

13. Et vocavit Sarram filiam suam, et sumens manum ejus tradidit eam Tobiæ uxorem, et dixit : Ecce juxta legem Moysi duc eam, et abduc ad patrem tuum. Et benedixit eos.

14. Et vocavit Ednam uxorem suam, et sumens librum scripsit syngrapham, et obsignavit.

15. Et cœperunt comedere.

16. Et vocavit Raguel Ednam uxorem suam, et dixit ei : Soror, para alterum thalamum, et introduc eam.

17. Et fecit sicut dixit, et introduxit eam illuc, et ploravit. Et suscepit lacrymas filiæ suæ, et dixit ei :

18. Confide, filia, Dominus cœli et terræ det tibi gratiam pro tristitia tua hac : confide, filia.

CAPUT VIII.

1. Postquam vero consummaverunt cœnantes, introduxerunt Tobiam ad eam.

2. Ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων Ῥαφαὴλ, καὶ ἔλαβε τὴν τέφραν τῶν θυμιαμάτων, καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ ἰχθύος καὶ τὸ ἧπαρ, καὶ ἐκάπνισεν.

3. Ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύπτου, καὶ ἔδησεν αὐτὸ ὁ ἄγγελος.

4. Ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη Τωβίας ἀπὸ τῆς κλίνης, καὶ εἶπεν· Ἀνάστηθι, ἀδελφὴ, καὶ προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς ὁ Κύριος.

5. Καὶ ἤρξατο Τωβίας λέγειν· Εὐλογητὸς εἶ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς αἰῶνας. Εὐλογησάτωσάν σε οἱ οὐρανοὶ, καὶ πᾶσαι αἱ κτίσεις σου.

6. Σὺ ἐποίησας Ἀδὰμ, καὶ ἔδωκας αὐτῷ βοηθὸν Εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ τούτων ἐγενήθη τὸ ἀνθρώπων σπέρμα. Σὺ εἶπας· Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ.

7. Καὶ νῦν, Κύριε, οὐ διὰ πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ' ἀληθείας· ἐπίταξον ἐλεῆσαί με, καὶ αὐτῇ συγκαταγηρᾶσαι.

8. Καὶ εἶπε μετ' αὐτοῦ· Ἀμήν.

9. Καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. Καὶ ἀναστὰς Ῥαγουὴλ ἐπορεύθη, καὶ ὤρυξε τάφον,

10. λέγων· Μὴ καὶ οὗτος ἀποθάνῃ;

11. Καὶ ἦλθε Ῥαγουὴλ εἰς τὴν οἰκίαν ἑαυτοῦ,

12. καὶ εἶπεν Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ· Ἀπόστειλον μίαν τῶν παιδισκῶν, καὶ ἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μὴ, ἵνα θάψωμεν αὐτὸν, καὶ μηδεὶς γνῷ.

13. Καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν, καὶ εὗρε τοὺς δύο καθεύδοντας·

14. καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς ὅτι ζῇ.

15. Καὶ εὐλόγησε Ῥαγουὴλ τὸν Θεὸν, λέγων· Εὐλογητὸς εἶ σὺ, ὁ Θεὸς, ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ· καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου, καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐκλεκτοί σου· εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας.

16. Εὐλογητὸς εἶ, ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ' ἡμῶν.

17. Εὐλογητὸς εἶ, ὅτι ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, Δέσποτα, ἔλεος, συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετ' εὐφροσύνης καὶ ἐλέους.

18. Ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον,

19. καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατέσσαρων.

20. Καὶ εἶπεν αὐτῷ Ῥαγουὴλ, πριν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου, ἐνόρκως, μὴ ἐξελθεῖν αὐτὸν ἐὰν μὴ πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου,

21. καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μεθ' ὑγείας πρὸς τὸν πατέρα, καὶ τὰ λοιπὰ ὅταν ἀποθάνω, καὶ ἡ γυνή μου.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Καὶ ἐκάλεσε Τωβίας τὸν Ῥαφαὴλ, καὶ εἶπεν αὐτῷ·

2. Ἀζαρία ἀδελφὲ, λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους, καὶ πορεύθητι ἐν Ῥάγοις τῆς Μηδίας παρὰ Γαβαὴλ, καὶ κόμισαί μοι τὸ ἀργύριον, καὶ αὐτὸν ἄγε μοι εἰς τὸν γάμον,

2. Ille autem vadens recordatus est verborum Raphael, et sumpsit cinerem thymiamatum, et superposuit cor piscis et jecur, et fecit fumigare.

3. Quando autem olfecit dæmonium odorem, fugit in superiora Ægypti, et ligavit ipsum angelus.

4. Ut autem clausi sunt utrique, surrexit Tobias de lecto, et dixit : Surge, soror, et deprecemur, ut misereatur nostri Dominus.

5. Et cœpit Tobias dicere : Benedictus es, Deus patrum nostrorum, et benedictum nomen tuum sanctum et honoratum in sæcula. Benedicant te cœli, et omnes creaturæ tuæ.

6. Tu fecisti Adam, et dedisti ei adjutricem Evam firmamentum uxorem ejus : ex his natum est hominum semen. Tu dixisti : Non bonum esse hominem solum, faciamus ei adjutricem similem ei.

7. Et nunc, Domine, non propter fornicationem ego accipio sororem meam hanc, sed super veritatem : præcipe misereri mei, et ei consenescere.

8. Et dixit secum : Amen.

9. Et dormierunt utrique nocte. Et surgens Raguel ivit, et effodit sepulcrum,

10. dicens : Nonne et hic morietur?

11. Et venit Raguel in domum suam,

12. et dixit Ednæ uxori suæ : Mitte unam ancillarum, et videant si vivit : si autem non, et sepeliamus eum, et nemo sciat.

13. Et intravit ancilla aperiens januam, et invenit ambos dormientes :

14. et egressa annuntiavit eis quia vivit.

15. Et benedixit Raguel Deum, dicens : Benedictus es tu, Deus, in omni benedictione munda et sancta : et benedicant te sancti tui, et omnes creaturæ tuæ, et omnes angeli tui et electi tui : benedicant te in sæcula.

16. Benedictus es, quoniam lætificasti me, et non factum est mihi sicut suspicabar, sed secundum multam misericordiam tuam fecisti nobiscum.

17. Benedictus es, quoniam misertus es duorum unigenitorum : fac eis, Domine, misericordiam, consumma vitam eorum in sanitate cum lætitia et misericordia.

18. Jussit autem famulos exaggerare sepulcrum,

19. et fecit eis nuptias diebus quatuordecim.

20. Et dixit ei Raguel, antequam consummarentur dies nuptiarum, cum juramento, non exire eum nisi impleti fuerint quatuordecim dies nuptiarum,

21. et tunc accipientem dimidium substantiæ ipsius ire cum sanitate ad patrem, et reliqua cum mortuus fuero, et uxor mea.

CAPUT IX.

1. Et vocavit Tobias Raphael, et dixit ei :

2. Azaria frater, sume tecum puerum et duos camelos, et vade in Ragis Mediæ ad Gabael, et affer mihi argentum, et ipsum adduc mihi ad nuptias,

3. διότι ὀμώμοκε Ῥαγουὴλ μὴ ἐξελθεῖν με.
4. Καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν.
5. Καὶ ἐπορεύθη Ῥαφαὴλ, καὶ ηὐλίσθη παρὰ Γαβαὴλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον· ὃς δὲ προήνεγκε τὰ θυλάκια ἐν ταῖς σφραγῖσιν, καὶ ἔδωκεν αὐτῷ.
6. Καὶ ὤρθρευσαν κοινῶς, καὶ ἦλθον εἰς τὸν γάμον, καὶ εὐλόγησε Τωβίας τὴν γυναῖκα αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Καὶ Τωβὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο ἑκάστης ἡμέρας, καὶ ὡς ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας, καὶ οὐκ ἤρχετο,
2. εἶπε· Μήποτε κατῄσχυνται; Ἢ μή ποτε ἀπέθανε Γαβαὴλ, καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ ἀργύριον;
3. Καὶ ἐλυπεῖτο λίαν.
4. Εἶπε δὲ αὐτῷ ἡ γυνή· Ἀπώλετο τὸ παιδίον, διότι κεχρόνικε. Καὶ ἤρξατο θρηνεῖν αὐτὸν, καὶ εἶπεν·
5. Οὐ μέλει μοι, τέκνον, ὅτι ἀφῆκά σε τὸ φῶς τῶν ὀφθαλμῶν μου.
6. Καὶ Τωβὶτ λέγει αὐτῇ· Σίγα, μὴ λόγον ἔχε, ὑγιαίνει.
7. Καὶ εἶπεν αὐτῷ· Σίγα, μὴ πλάνα με, ἀπώλετο τὸ παιδίον μου. Καὶ ἐπορεύετο καθ' ἡμέραν εἰς τὴν ὁδὸν ἔξω οἵας ἀπῆλθεν. Ἡμέρας τε ἄρτον οὐκ ἤσθιε, τὰς δὲ νύκτας οὐ διελίμπανε θρηνοῦσα Τωβίαν τὸν υἱὸν αὐτῆς, ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε Ῥαγουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ. Εἶπε δὲ Τωβίας τῷ Ῥαγουήλ·
8. Ἐξαπόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐκέτι ἐλπίζουσιν ὄψεσθαί με.
9. Εἶπε δὲ αὐτῷ ὁ πενθερός· Μεῖνον παρ' ἐμοὶ, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου, καὶ δηλώσουσιν αὐτῷ τὰ κατά σε.
10. Καὶ Τωβίας λέγει· Ἐξαπόστειλόν με πρὸς τὸν πατέρα μου.
11. Ἀναστὰς δὲ Ῥαγουὴλ ἔδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, καὶ τὸ ἥμισυ τῶν ὑπαρχόντων, σώματα καὶ κτήνη καὶ ἀργύριον,
12. καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλε, λέγων· Εὐοδώσει ὑμᾶς, τέκνα, ὁ Θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀποθανεῖν.
13. Καὶ εἶπε τῇ θυγατρὶ αὐτοῦ· Τίμα τοὺς πενθερούς σου, αὐτοὶ νῦν γονεῖς σου εἰσίν· ἀκούσαιμί σου ἀκοὴν καλήν· καὶ ἐφίλησεν αὐτήν. Καὶ Ἔδνα εἶπε πρὸς Τωβίαν· Ἀδελφὲ ἀγαπητὲ, ἀποκαταστῆσαί σε ὁ Κύριος τοῦ οὐρανοῦ, καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ Σάῤῥας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον τοῦ Κυρίου. Καὶ ἰδοὺ παρατίθεμαί σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, καὶ μὴ λυπήσῃς αὐτήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Μετὰ ταῦτα ἐπορεύετο καὶ Τωβίας εὐλογῶν τὸν Θεὸν, ὅτι εὐώδωσε τὴν ὁδὸν αὐτοῦ, καὶ κατευλόγει Ῥαγουὴλ καὶ Ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ ἐπορεύετο μέχρις οὗ ἐγγίσαι αὐτοὺς εἰς Νινευή.
2. Καὶ εἶπε Ῥαφαὴλ πρὸς Τωβίαν· Οὐ γινώσκεις, ἀδελφὲ, πῶς ἀφῆκας τὸν πατέρα σου;

3. quoniam juravit Raguel non exire me.
4. Et pater meus numerat dies, ac si tardavero valde, tristabitur nimis.
5. Et ivit Raphael, et mansit apud Gabael, et dedit ei chirographum : ille autem protulit arculas in sigillis, et dedit ei.
6. Et diluculo surrexerunt una, et venerunt ad nuptias, et benedixit Tobias uxorem suam.

CAPUT X.

1. Et Tobit pater ejus computabat unumquemque diem, et postquam completi sunt dies itineris, et non veniebat,
2. dixit : Numquid forte confusi fuerunt? Aut numquid forte mortuus est Gabael, et nemo ei dat argentum?
3. Et tristabatur nimis.
4. Dixit autem ei uxor : Periit puer, quandoquidem tardavit. Et cœpit flere eum, et dixit :
5. Non mihi curæ est, fili, quia dimisi te lumen oculorum meorum.
6. Et Tobit dicit ad eam : Tace, ne sollicita sis, valet.
7. Et dixit ei : Tace, ne decipias me, periit puer meus. Et ibat per diem ad viam foras qua abierat. Ac diebus panem non comedebat, et noctibus non intermittebat flens Tobiam filium suum, quoadusque consummati sunt quatuordecim dies nuptiarum, quas juraverat Raguel facere eum ibi. Dixit autem Tobias Raguel :
8. Dimitte me, quoniam pater meus et mater mea non ultra sperant aspicere me.
9. Dixit autem ei socer : Mane apud me, et ego mittam ad patrem tuum, et indicabunt ei quæ circa te.
10. Et Tobias dicit : Dimitte me ad patrem meum.
11. Surgens autem Raguel dedit ei Sarram uxorem ejus, et dimidium substantiæ, corpora et pecora et argentum,
12. et benedicens eos dimisit, dicens : Prosperabit vos, filii, Deus cœli priusquam ego moriar.
13. Et dixit filiæ suæ : Honora soceros tuos, ipsi nunc parentes tui sunt : audiam de te auditionem bonam : et osculatus est eam. Et Edna dixit ad Tobiam : Frater dilecte, restituat te Dominus cœli, et det mihi videre tuos filios ex Sarra filia mea, ut læter in conspectu Domini. Et ecce depono apud te filiam meam in deposito, et ne contristes eam.

CAPUT XI.

1. Post hæc ibat et Tobias benedicens Deum, quia prosperaverat viam ipsius, et benedicebat Raguel et Ednam uxorem ejus, et ibat quoadusque appropinquarunt ipsi in Nineve.
2. Et dixit Raphael ad Tobiam : Non cognoscis, frater, quomodo dimisisti patrem tuum?

3. Προδράμωμεν ἔμπροσθεν τῆς γυναικός σου, καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν·

4. λάβε δὲ παρὰ χεῖρα τὴν χολὴν τοῦ ἰχθύος. Καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὄπισθεν αὐτῶν.

5. Καὶ Ἄννα ἐκάθητο περιβλεπομένη εἰς τὴν ὁδὸν τὸν παῖδα αὐτῆς,

6. καὶ προσενόησεν αὐτὸν ἐρχόμενον, καὶ εἶπε τῷ πατρὶ αὐτοῦ· Ἰδοὺ ὁ υἱός μου ἔρχεται, καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ.

7. Καὶ Ῥαφαὴλ εἶπεν· Ἐπίσταμαι ἐγὼ ὅτι ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου.

8. Σὺ ἔγχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ δηχθεὶς διατρίψει, καὶ ἀποβαλεῖται τὰ λευκώματα, καὶ ὄψεταί σε.

9. Καὶ προςδραμοῦσα Ἄννα ἐπέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν αὐτῷ· Εἶδόν σε, παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι. Καὶ ἔκλαυσαν ἀμφότεροι.

10. Καὶ Τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν, καὶ προσέκοπτεν· ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν αὐτῷ,

11. καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ, καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ, λέγων· Θάρσει, πάτερ.

12. Ὡς δὲ συνεδήχθησαν, διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ,

13. καὶ ἐλεπίσθη ἀπὸ τῶν κάνθων τῶν ὀφθαλμῶν αὐτοῦ τὰ λευκώματα· καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ,

14. καὶ ἔκλαυσε καὶ εἶπεν· Εὐλογητὸς εἶ, ὁ Θεός, καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι,

15. ὅτι ἐμαστίγωσας καὶ ἠλέησάς με. Ἰδοὺ βλέπω Τωβίαν τὸν υἱόν μου. Καὶ εἰςῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων, καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενόμενα αὐτῷ ἐν τῇ Μηδίᾳ.

16. Καὶ ἐξῆλθε Τωβὶτ εἰς συνάντησιν τῇ νύμφῃ αὐτοῦ χαίρων καὶ εὐλογῶν τὸν Θεόν, πρὸς τῇ πύλῃ Νινευή. Καὶ ἐθαύμαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε.

17. Καὶ Τωβὶτ ἐξωμολογεῖτο ἐνώπιον αὐτοῦ, ὅτι ἠλέησεν αὐτοὺς ὁ Θεός. Καὶ ὡς ἤγγισε Τωβὶτ Σάῤῥᾳ τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν αὐτήν, λέγων· Ἔλθοις ὑγιαίνουσα, θύγατερ. Εὐλογητὸς ὁ Θεὸς ὃς ἤγαγέ σε πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου καὶ ἡ μήτηρ σου. Καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν Νινευῇ ἀδελφοῖς αὐτοῦ.

18. Καὶ παρεγένετο Ἀχιάχαρος, καὶ Νασβᾶς ὁ ἐξάδελφος αὐτοῦ,

19. καὶ ἤχθη ὁ γάμος Τωβία μετ' εὐφροσύνης ἡμέρας ἑπτά.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἐκάλεσε Τωβὶτ Τωβίαν τὸν υἱὸν αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ὅρα, τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσθεῖναι αὐτῷ δεῖ.

2. Καὶ εἶπεν· Πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ τὸ ἥμισυ ὧν ἐνήνοχα,

3. ὅτι με ἀγήοχέ σοι ὑγιῆ, καὶ τὴν γυναῖκά μου ἐθεράπευσε, καὶ τὸ ἀργύριόν μου ἤνεγκε, καὶ σὲ ὁμοίως ἐθεράπευσε.

3. Præcurramus ante uxorem tuam, et paremus domum :

4. sume autem ad manum fel piscis. Et iverunt, et simul venit canis post eos.

5. Et Anna sedebat circumspectans in viam puerum suum,

6. et prospexit eum venientem, et dixit patri ejus : Ecce filius meus venit, et homo qui ivit cum eo.

7. Et Raphael dixit : Scio ego quia aperiet oculos pater tuus.

8. Tu unge fel in oculos ejus, et erosus deteret, et abjiciet albugines, et videbit te.

9. Et accurrens Anna irruit super collum filii sui, et dixit ei : Vidi te, fili, ex nunc moriar. Et ploraverunt utrique.

10. Et Tobit exibat ad januam, et prolapsus est : filius autem ejus accurrens ei,

11. et apprehendit patrem suum, et inspersit fel super oculos patris sui, dicens : Confide, pater.

12. Ut autem erosi sunt, detrivit oculos suos,

13. et desquamatæ sunt ab angulis oculorum ejus albugines : et videns filium suum procidit super collum ejus,

14. et ploravit et dixit : Benedictus es, Deus, et benedictum nomen tuum in sæcula, et benedicti omnes sancti tui angeli,

15. quoniam flagellasti et misertus es mei. Ecce video Tobiam filium meum. Et intravit filius ejus gaudens, et annuntiavit patri suo magnalia facta sibi in Media.

16. Et exivit Tobit in obviam nurui suæ gaudens et benedicens Deum, ad portam Nineve. Et mirabantur spectantes eum euntem, quia vidit.

17. Et Tobit confitebatur coram eo, quia misertus est ipsorum Deus. Et ut appropinquavit Tobit nurui suæ, benedixit eam, dicens : Venias sana, filia. Benedictus Deus qui adduxit te ad nos, et pater tuus et mater tua. Et factum est gaudium omnibus qui in Nineve fratribus ejus.

18. Et advenit Achiacharus, et Nasbas filius fratris ipsius,

19. et factæ sunt nuptiæ Tobiæ cum lætitia diebus septem.

CAPUT XII.

1. Et vocavit Tobit Tobiam filium suum, et dixit ei : Vide, fili, mercedem homini qui venit una tecum, et adjicere ei oportet.

2. Et dixit : Pater, non lædor dans ei dimidium eorum quæ attuli,

3. quoniam me tibi reduxit sanum, et uxorem meam curavit, et argentum meum attulit, et te similiter curavit.

4. Καὶ εἶπεν ὁ πρεσβύτης· Δικαιοῦται αὐτῷ.
5. Καὶ ἐκάλεσε τὸν ἄγγελον, καὶ εἶπεν αὐτῷ· Λάβε τὸ ἥμισυ πάντων ὧν ἐνηνόχατε, καὶ ὕπαγε ὑγιαίνων.
6. Τότε καλέσας τοὺς δύο κρυπτῶς, εἶπεν αὐτοῖς· Εὐλογεῖτε τὸν Θεὸν, καὶ αὐτῷ ἐξομολογεῖσθε, καὶ μεγαλωσύνην δίδοτε αὐτῷ, καὶ ἐξομολογεῖσθε αὐτῷ ἐνώπιον πάντων τῶν ζώντων περὶ ὧν ἐποίησε μεθ' ὑμῶν. Ἀγαθὸν τὸ εὐλογεῖν τὸν Θεὸν, καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ἔργων τοῦ Θεοῦ ἐντίμως ὑποδεικνύοντες· καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ.
7. Μυστήριον βασιλέως καλὸν κρύψαι, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως. Ἀγαθὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς.
8. Ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης. Ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης ἢ πολὺ μετὰ ἀδικίας. Καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυσίον.
9. Ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν. Οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησθήσονται ζωῆς·
10. οἱ δὲ ἁμαρτάνοντες πολέμιοί εἰσι τῆς ἑαυτῶν ζωῆς.
11. Οὐ μὴ κρύψω ἀφ' ὑμῶν πᾶν ῥῆμα. Εἴρηκα δή· μυστήριον βασιλέως κρύψαι καλὸν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως.
12. Καὶ νῦν ὅτε προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάῤῥα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ Ἁγίου. Καὶ ὅτε ἔθαπτες τοὺς νεκροὺς, ὡσαύτως συμπαρήγμην σοι.
13. Καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου, ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρὸν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην.
14. Καὶ νῦν ἀπέστειλέ με ὁ Θεὸς ἰάσασθαί σε καὶ τὴν νύμφην σου Σάῤῥαν.
15. Ἐγώ εἰμι Ῥαφαὴλ, εἷς ἐκ τῶν ἑπτὰ ἁγίων ἀγγέλων οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου.
16. Καὶ ἐταράχθησαν οἱ δύο, καὶ ἔπεσαν ἐπὶ πρόσωπον, ὅτι ἐφοβήθησαν.
17. Καὶ εἶπεν αὐτοῖς· Μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν ἔσται· τὸν δὲ Θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα,
18. ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ Θεοῦ ἡμῶν ἦλθον· ὅθεν εὐλογεῖτε αὐτὸν εἰς τὸν αἰῶνα.
19. Πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε.
20. Καὶ νῦν ἐξομολογεῖσθε τῷ Θεῷ, διότι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον.
21. Καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν.
22. Καὶ ἐξωμολογοῦντο τὰ ἔργα τὰ μεγάλα καὶ θαυμαστὰ αὐτοῦ, ὡς ὤφθη αὐτοῖς ὁ ἄγγελος Κυρίου.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Καὶ Τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν, καὶ εἶπεν· Εὐλογητὸς ὁ Θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ,
2. ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ.

4. Et dixit senex : Juste sit ei.
5. Et vocavit angelum, et dixit ei : Accipe dimidium omnium quæ attulistis, et abduc sanus.
6. Tunc vocans ambos clam, dixit eis : Benedicite Deum, et ei confitemini, et magnificentiam date ei, et confitemini ei coram omnibus viventibus pro iis quæ fecit vobiscum. Bonum est benedicere Deum, et exaltare nomen ejus, verba operum Dei honorifice demonstrantes : et ne pigri sitis confiteri ei.
7. Mysterium regis bonum est occultare, opera autem Dei revelare honorifice. Bonum facite, et malum non inveniet vos.
8. Bonum oratio cum jejunio et eleemosyna et justitia. Bonum est paucum cum justitia quam multum cum injustitia. Bonum facere eleemosynam quam thesaurizare aurum.
9. Eleemosyna enim a morte liberat, et ipsa emundat omne peccatum. Facientes eleemosynas et justitias implebuntur vita :
10. peccantes autem sunt hostes suæ ipsorum vitæ.
11. Non occultabo a vobis omne verbum. Dixi jam : mysterium regis occultare bonum, opera autem Dei revelare honorifice.
12. Et nunc quando orasti tu et nurus tua Sarra, ego obtuli memoriale orationis vestræ coram Sancto. Et quando sepeliebas mortuos, similiter aderam tibi.
13. Et quando non piger eras surgere et relinquere prandium tuum, ut abiens operires mortuum, non latuisti me benefaciens, sed tecum fui.
14. Et nunc misit me Deus sanare te et nurum tuam Sarram.
15. Ego sum Raphael, unus ex septem sanctis angelis qui offerunt orationes sanctorum et ingrediuntur in conspectu gloriæ sancti.
16. Et turbati sunt ambo, et ceciderunt in faciem, quoniam timuerunt.
17. Et dixit eis : Ne timeatis, pax vobis erit : deum autem benedicite in sæcula,
18. quoniam non mea ipsius gratia, sed voluntate Dei nostri veni : unde benedicite eum in sæcula.
19. Omnibus diebus apparebam vobis, et non manducabam neque bibebam, sed visionem vos spectabatis.
20. Et nunc confitemini Deo, quoniam ascendo ad eum qui misit me, et scribite omnia quæ consummata sunt in libro.
21. Et surrexerunt, et non ultra viderunt eum.
22. Et confitebantur opera magna et mirabilia ejus, quomodo apparuerat eis angelus Domini.

CAPUT XIII.

1. Et Tobit scripsit orationem in exultationem, et dixit : Benedictus Deus vivens in sæcula, et regnum ejus,
2. quoniam ipse flagellat et miseretur, deducit ad infernum et reducit, et non est qui effugiet manum ejus.

3. Ἐξομολογεῖσθε αὐτῷ, οἱ υἱοὶ Ἰσραὴλ, ἐνώπιον τῶν ἐθνῶν, ὅτι αὐτὸς διέσπειρεν ἡμᾶς ἐν αὐτοῖς.

4. Ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ, ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος, καθότι αὐτὸς Κύριος ἡμῶν, καὶ Θεὸς αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας.

5. Καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν, καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐθνῶν οὗ ἐὰν σκορπισθῆτε ἐν αὐτοῖς.

6. Ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν, καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν, ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε ἐπιστρέψει πρὸς ὑμᾶς, καὶ οὐ μὴ κρύψει τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν. Καὶ θεάσασθε ἃ ποιήσει μεθ' ὑμῶν, καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν, καὶ εὐλογήσατε τὸν Κύριον τῆς δικαιοσύνης, καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων. Ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ, καὶ δεικνύω τὴν ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν. Ἐπιστρέψατε, ἁμαρτωλοὶ, καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ· τίς γινώσκει εἰ θελήσει ὑμᾶς, καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν;

7. Τὸν Θεόν μου ὑψῶ, καὶ ἡ ψυχή μου τῷ βασιλεῖ τοῦ οὐρανοῦ, καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ.

8. Λεγέτωσαν πάντες, καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἱεροσολύμοις.

9. Ἱεροσόλυμα πόλις Ἁγίου, μαστιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου, καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων.

10. Ἐξομολογοῦ τῷ Κυρίῳ ἀγαθῶς, καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων, ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς, καὶ εὐφράναι ἐν σοὶ τοὺς αἰχμαλώτους, καὶ ἀγαπῆσαι ἐν σοὶ τοὺς ταλαιπώρους εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

11. Ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, δῶρα ἐν χερσὶν ἔχοντες καὶ δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ. Γενεαὶ γενεῶν δώσουσί σοι ἀγαλλίαμα.

12. Ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα.

13. Χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, ὅτι συναχθήσονται καὶ εὐλογήσουσι τὸν Κύριον τῶν δικαίων.

14. Ὦ μακάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου. Μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου, καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα.

15. Ἡ ψυχή μου εὐλογείτω τὸν Θεὸν τὸν βασιλέα τὸν μέγαν,

16. ὅτι οἰκοδομηθήσεται Ἱερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ, καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου, καὶ οἱ πύργοι, καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ,

17. καὶ αἱ πλατεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι, καὶ λίθῳ ἐκ Σουφεὶρ ψηφολογηθήσονται.

18. Καὶ ἐροῦσι πᾶσαι αἱ ῥύμαι αὐτῆς ἀλληλούϊα καὶ αἴνεσιν, λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὃς ὕψωσε πάντας τοὺς αἰῶνας.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ.

3. Confitemini ei, filii Israel, in conspectu gentium, quoniam ipse disseminavit nos in eis.

4. Ibi demonstrate magnificentiam ejus, exaltate eum coram omni vivente, sicut ipse Dominus noster, et Deus ipse pater noster in omnia sæcula.

5. Et flagellabit nos in injustitiis nostris, et rursus miserebitur et congregabit nos ex omnibus gentibus ubicumque dispersi fueritis in eis.

6. Si reverteritis ad eum in toto corde vestro, et in tota anima vestra, ad faciendum coram eo veritatem, tunc redibit ad vos, et non occultabit faciem suam a vobis. Et videte quæ faciet vobiscum, et confitemini ei in toto ore vestro, et benedicite Dominum justitiæ, et exaltate regem sæculorum. Ego in terra captivitatis meæ confiteor ei, et ostendo fortitudinem et magnificentiam ejus genti peccatorum. Revertite, peccatores, et facite justitiam coram eo : quis scit si volet vos, et faciet misericordiam vobis?

7. Deum meum exalto, et anima mea regi cœli, et exultabit magnificentiam ejus.

8. Dicant omnes, et confiteantur ei in Jerosolymis.

9. Jerosolyma civitas sancti, flagellabit super opera filiorum tuorum, et rursus miserebitur filiorum justorum,

10. Confitere Domino bene, et benedic regem sæculorum, ut rursus tabernaculum ejus ædificetur in te cum gaudio, et lætificet in te captivos, et diligat in te miseros in omnes generationes sæculi.

11. Gentes multæ de longe venient ad nomen Domini Dei, munera in manibus habentes et munera regi cœli. Generationes generationum dabunt tibi exultationem.

12. Maledicti omnes qui odio habent te, benedicti erunt omnes diligentes te in sæculum.

13. Gaude et exulta super filiis justorum, quoniam congregabuntur et benedicent Dominum justorum.

14. O beati qui diligunt te, gaudebunt in pace tua. Beati quicumque tristati sunt super omnibus flagellis tuis, quoniam in te gaudebunt videntes omnem gloriam tuam, et lætabuntur in sæcula.

15. Anima mea benedicat Deum regem magnum,

16. quoniam ædificabitur Jerusalem saphiro et smaragdo, et lapide pretioso muri tui, et turres, et propugnacula in auro mundo,

17. et plateæ Jerusalem in beryllo et carbunculo, et lapide de Suphir sternentur.

18. Et dicent omnes vici ejus alleluia et laudem, dicentes : Benedictus Deus, qui exaltavit omnia sæcula.

CAPUT XIV.

1. Et cessavit confitens Tobit.

2. Καὶ ἦν ἐτῶν πεντηκονταοκτὼ ὅτε ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέβλεψε. Καὶ ἐποίει ἐλεημοσύνας· καὶ προςέθετο φοβεῖσθαι Κύριον τὸν Θεὸν, καὶ ἐξωμολογεῖτο αὐτῷ.

3. Μεγάλως δὲ ἐγήρασε· καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Τέκνον, λάβε τοὺς υἱούς σου, ἰδοὺ γεγήρακα, καὶ πρὸς τὸ ἀποτρέχειν ἐκ τοῦ ζῆν εἰμί.

4. Ἄπελθε εἰς τὴν Μηδίαν, τέκνον, ὅτι πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης περὶ Νινευὴ, ὅτι καταστραφήσεται· ἐν δὲ τῇ Μηδίᾳ ἔσται εἰρήνη μᾶλλον ἕως καιροῦ· καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ σκορπισθήσονται ἀπὸ τῆς ἀγαθῆς γῆς, καὶ Ἱεροσόλυμα ἔσται ἔρημος, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν αὐτῇ κατακαήσεται, καὶ ἔρημος ἔσται μέχρι χρόνου.

5. Καὶ πάλιν ἐλεήσει αὐτοὺς ὁ Θεὸς, καὶ ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν, καὶ οἰκοδομήσουσι τὸν οἶκον, οὐχ οἷος ὁ πρότερος, ἕως πληρωθῶσι καιροὶ τοῦ αἰῶνος. Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ τῶν αἰχμαλωσιῶν, καὶ οἰκοδομήσουσιν Ἱερουσαλὴμ ἐντίμως· καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται ἐνδόξως, καθὼς ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται.

6. Καὶ πάντα τὰ ἔθνη ἐπιστρέψουσιν ἀληθινῶς φοβεῖσθαι Κύριον τὸν Θεὸν, καὶ κατορύξουσι τὰ εἴδωλα αὐτῶν,

7. καὶ εὐλογήσουσι πάντα τὰ ἔθνη Κύριον· καὶ ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ Θεῷ· καὶ ὑψώσει Κύριος τὸν λαὸν αὐτοῦ, καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες Κύριον τὸν Θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες ἔλεος τοῖς ἀδελφοῖς ἡμῶν.

8. Καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευὴ, ὅτι πάντως ἔσται ἃ ἐλάλησεν ὁ προφήτης Ἰωνάς.

9. Σὺ δὲ τήρησον τὸν νόμον καὶ τὰ προστάγματα, καὶ γενοῦ φιλελεήμων καὶ δίκαιος, ἵνα σοι καλῶς ᾖ.

10. Καὶ θάψον με καλῶς, καὶ τὴν μητέρα σου μετ' ἐμοῦ, καὶ μηκέτι αὐλισθῆτε εἰς Νινευῆ. Τέκνον, ἴδε τί ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτὸν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ. Καὶ Ἀχιάχαρον μὲν ἔσωσε, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην, καὶ ἐσώθη ἐκ παγίδος θανάτου ἧς ἔπηξεν αὐτῷ. Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα, καὶ ἀπώλετο.

11. Καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη ποιεῖ, καὶ δικαιοσύνη ῥύεται. Καὶ ταῦτα αὐτοῦ λέγοντος, ἐξέλιπεν ἡ ψυχὴ αὐτοῦ ἐπὶ τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκατὸν πεντηκονταοκτὼ, καὶ ἔθαψαν αὐτὸν ἐνδόξως.

12. Καὶ ὅτε ἀπέθανεν Ἄννα, ἔθαψεν αὐτὴν μετὰ τοῦ πατρὸς αὐτοῦ. Ἀπῆλθε δὲ Τωβίας μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ εἰς Ἐκβάτανα πρὸς Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ,

13. καὶ ἐγήρασεν ἐντίμως, καὶ ἔθαψε τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως, καὶ ἐκληρονόμησε τὴν οὐσίαν αὐτῶν, καὶ Τωβὶτ τοῦ πατρὸς αὐτοῦ.

14. Καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν εἰκοσιεπτὰ ἐν Ἐκβατάνοις τῆς Μηδίας.

15. Καὶ ἤκουσε, πρινὴ ἀποθανεῖν αὐτὸν, τὴν ἀπώλειαν Νινευὴ, ἣν ᾐχμαλώτισε Ναβουχοδονόσορ, καὶ Ἀσύηρος, καὶ ἐχάρη, πρὸ τοῦ ἀποθανεῖν, ἐπὶ Νινευή.

2. Et erat annorum quinquaginta octo quando amisit visum, et post annos octo recuperavit visum. Et faciebat eleemosynas : et adjecit timere Dominum Deum, et confitebatur ei.

3. Magnopere autem senuit : et vocavit filium suum, et filios ejus, et dixit ei : Fili, accipe filios tuos, ecce senui, et ad exeundum e vita sum.

4. Abi in Mediam, fili, quoniam credidi quæcumque locutus est Jonas propheta de Nineve, quia subvertetur : in Media autem erit pax magis usque ad tempus : et quia fratres nostri in terra dispergentur a bona terra, et Jerosolyma erit deserta, et domus Dei in ea comburetur, et deserta erit usque ad tempus.

5. Et rursus miserebitur eorum Deus, et reducet eos in terram, et ædificabunt domum, non qualis prior, donec impleti fuerint tempora sæculi. Et post hæc revertent de captivitatibus, et ædificabunt Jerusalem honorifice : et domus Dei in ea ædificabitur gloriose, sicut locuti sunt de ea prophetæ.

6. Et omnes gentes convertentur veraciter ad timendum Dominum Deum, et defodient idola sua,

7. et benedicent omnes gentes Dominum : et populus ejus confitebitur Deo : et exaltabit Dominus populum suum, et gaudebunt omnes qui diligunt Dominum Deum in veritate et justitia, facientes misericordiam fratribus nostris.

8. Et nunc, fili, discede a Nineve, quoniam omnino erunt quæ locutus est propheta Jonas.

9. Tu autem serva legem et præcepta, et esto amator misericordiæ et justus, ut tibi bene sit.

10. Et sepeli me honeste, et matrem tuam mecum, et non ultra maneatis in Nineve. Fili, vide quid fecit Aman Achiacharo qui nutriverat eum, quomodo e luce adduxit eum in tenebras, et quæcumque retribuit ei. Et Achiacharum quidem salvavit, illi autem retributio retributa est, et ipse descendit in tenebras. Manasses fecit misericordiam, et salvatus est de laqueo mortis quem fixerat ei. Aman autem incidit in laqueum, et periit.

11. Et nunc, filii, videte quid eleemosyna facit, et justitia liberat. Et hæc ipso dicente, defecit anima ejus super lectum : erat autem annorum centum quinquaginta octo, et sepelierunt eum gloriose.

12. Et quando mortua est Anna, sepelivit eam cum patre suo. Discessit autem Tobias cum uxore sua et filiis suis in Ecbatana ad Raguel socerum suum,

13. et senuit honorifice, et sepelivit soceros suos gloriose, et hæreditavit substantiam eorum, et Tobit patris sui.

14. Et mortuus est annorum centum viginti septem in Ecbatanis Mediæ.

15. Et audivit, priusquam ipse moreretur, perditionem Nineve, quam captivavit Nabuchodonosor, et Asyeros, et gavisus est, antequam moreretur, super Nineve.

ΙΟΥΔΙΘ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ, ὃς ἐβασίλευσεν Ἀσσυρίων ἐν Νινευῆ τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς ἡμέραις Ἀρφαξὰδ, ὃς ἐβασίλευσε Μήδων ἐν Ἐκβατάνοις,

2. καὶ ᾠκοδόμησεν ἐπ' Ἐκβατάνων καὶ κύκλῳ τείχη ἐκ λίθων λελαξευμένων, εἰς πλάτος πηχῶν τριῶν, καὶ εἰς μῆκος πηχῶν ἕξ, καὶ ἐποίησε τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα, καὶ τὸ πλάτος αὐτοῦ πηχῶν πεντήκοντα,

3. καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατὸν, καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα,

4. καὶ ἐποίησε τὰς πύλας αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα, καὶ τὸ πλάτος αὐτῶν πήχεις τεσσαράκοντα εἰς ἐξόδους δυνάμεων δυνατῶν αὐτοῦ, καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ.

5. Καὶ ἐποίησε πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονόσορ πρὸς βασιλέα Ἀρφαξὰδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ, τοῦτό ἐστιν ἐν τοῖς ὁρίοις Ῥαγαῦ.

6. Καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ κατοικοῦντες τὴν ὀρεινὴν, καὶ πάντες οἱ κατοικοῦντες τὸν Εὐφράτην, καὶ τὸν Τίγριν, καὶ τὸν Ὑδάσπην, καὶ πεδίῳ Εἰριὼχ ὁ βασιλεὺς Ἐλυμαίων· καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα εἰς παράταξιν υἱῶν Χελεούλ.

7. Καὶ ἀπέστειλε Ναβουχοδονόσορ ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν Περσίδα, καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς, τοὺς κατοικοῦντας Κιλικίαν καὶ Δαμασκὸν, τὸν Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάντας τοὺς κατοικοῦντας κατὰ πρόσωπον παραλίας,

8. καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλου καὶ Γαλαὰδ, καὶ τὴν ἄνω Γαλιλαίαν, καὶ τὸ μέγα πεδίον Ἐσδρηλὼμ,

9. καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς, καὶ πέραν τοῦ Ἰορδάνου ἕως Ἱερουσαλὴμ, καὶ Βετάνη, καὶ Χελλοὺς, καὶ Κάδης, καὶ τοῦ ποταμοῦ Αἰγύπτου, καὶ Ταφνὰς, καὶ Ῥαμεσσὴ, καὶ πᾶσαν γῆν Γεσὲμ

10. ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως, καὶ πάντας τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας.

11. Καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες πᾶσαν τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονόσορ τοῦ βασιλέως Ἀσσυρίων, καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφοβήθησαν αὐτὸν, ἀλλ' ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ ἴσος· καὶ ἀνέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ πρὸ προσώπου αὐτῶν.

12. Καὶ ἐθυμώθη Ναβουχοδονόσορ ἐπὶ πᾶσαν τὴν γῆν ταύτην σφόδρα, καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ τῆς βασιλείας αὐτοῦ, εἰ μὴν ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας, καὶ Δαμασκηνῆς καὶ Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ, καὶ πάντας τοὺς κατοικοῦντας ἐν γῇ Μωάβ,

JUDITH.

CAPUT I.

1. Anno duodecimo regni Nabuchodonosor, qui regnavit super Assyrios in Nineve civitate magna, in diebus Arphaxad, qui regnavit super Medos in Ecbatanis,

2. et ædificavit super Ecbatana et in circuitu muros ex lapidibus sectis, in latitudine cubitorum trium, et in longitudine cubitorum sex, et fecit altitudinem muri cubitorum septuaginta, et latitudinem ejus cubitorum quinquaginta,

3. et turres ejus statuit super portas illius cubitorum centum, et latitudinem ejus fundavit in cubitis sexaginta,

4. et fecit portas ejus portas suscitatas in altitudinem cubitorum septuaginta, et latitudinem earum cubitos quadraginta ad exitus exercituum potentium ipsius, et ordines peditum ipsius.

5. Et fecit bellum in diebus illis rex Nabuchodonosor adversus regem Arphaxad in campo magno, hic est in finibus Ragay.

6. Et concurrerunt ad eum omnes habitantes montanam, et omnes habitantes Euphratem, et Tigrim, et Hydaspem, et campo Irioch rex Elymæorum : et convenerunt gentes multæ valde in aciem filiorum Cheleul.

7. Et misit Nabuchodonosor rex Assyriorum ad omnes habitantes Persidem, et ad omnes habitantes ad occidentem, habitantes Ciliciam et Damascum, Libanum et Antilibanum, et omnes qui habitabant ad faciem maritimæ,

8. et qui in gentibus Carmeli et Galaad, et superiorem Galilæam, et magnum campum Esdrelom,

9. et omnes qui in Samaria et civitatibus ejus, et trans Jordanem usque Jerusalem, et Betane, et Chellus, et Cades, et fluminis Ægypti, et Taphnas, et Ramesse, et omnem terram Gesem

10. usque ad veniendum supra Tanim et Memphim, et omnes habitantes Ægyptum usque ad veniendum super fines Æthiopiæ.

11. Et vilipenderunt omnes habitantes universam terram verbum Nabuchodonosor regis Assyriorum, et non convenerunt ei ad bellum, quoniam non timuerunt eum, sed erat coram eis tamquam vir æqualis : et remiserunt nuntios ejus vacuos in ignominia ante faciem suam.

12. Et indignatus est Nabuchodonosor super omnem terram hanc valde, et juravit per thronum et regnum suum, nimirum ulturum se omnes fines Ciliciæ, et Damascenæ et Syriæ, interempturum gladio suo, et omnes habitantes in terra Moab, et filios Ammon, et omnem Judæam, et omnes

καὶ τοὺς υἱοὺς Ἀμμὼν, καὶ πᾶσαν τὴν Ἰουδαίαν, καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασσῶν.

13. Καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ πρὸς Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει τῷ ἑπτακαιδεκάτῳ, καὶ ἐκραταιώθη ἐν τῷ πολέμῳ αὐτοῦ, καὶ ἀνέστρεψε πᾶσαν τὴν δύναμιν Ἀρφαξὰδ, καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ, καὶ πάντα τὰ ἅρματα αὐτοῦ,

14. καὶ ἐκυρίευσε τῶν πόλεων αὐτοῦ· καὶ ἀφίκετο ἕως Ἐκβατάνων, καὶ ἐκράτησε τῶν πύργων, καὶ ἐπρονόμευσε τὰς πλατείας αὐτῆς, καὶ τὸν κόσμον αὐτῆς ἔθηκεν εἰς ὄνειδος αὐτῆς.

15. Καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν τοῖς ὄρεσι Ῥαγαῦ, καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς ζιβύναις αὐτοῦ, καὶ ἐξωλόθρευσεν αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης.

16. Καὶ ἀνέστρεψε μετ' αὐτῶν αὐτὸς καὶ πᾶς ὁ σύμμικτος αὐτοῦ, πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα· καὶ ἦν ἐκεῖ ῥαθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ ἐφ' ἡμέρας ἑκατὸν εἴκοσι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ, δευτέρᾳ καὶ εἰκάδι τοῦ πρώτου μηνὸς, ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων, ἐκδικῆσαι πᾶσαν τὴν γῆν καθὼς ἐλάλησε.

2. Καὶ συνεκάλεσε πάντας τοὺς θεράποντας αὐτοῦ, καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ ἔθετο μετ' αὐτῶν τὸ μυστήριον τῆς βουλῆς αὐτοῦ, καὶ συνετέλεσε πᾶσαν τὴν κακίαν τῆς γῆς ἐκ τοῦ στόματος αὐτοῦ.

3. Καὶ αὐτοὶ ἔκριναν ὀλοθρεῦσαι πᾶσαν σάρκα οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ.

4. Καὶ ἐγένετο, ὡς συνετέλεσε τὴν βουλὴν αὐτοῦ, ἐκάλεσε Ναβουχοδονόσορ βασιλεὺς Ἀσσυρίων τὸν Ὀλοφέρνην ἀρχιστράτηγον τῆς δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ' αὐτὸν, καὶ εἶπε πρὸς αὐτόν·

5. Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος πάσης τῆς γῆς· Ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ τοῦ προσώπου μου, καὶ λήψῃ μετὰ σεαυτοῦ ἄνδρας πεποιθότας ἐν ἰσχύϊ αὐτῶν, πεζῶν εἰς χιλιάδας ἑκατὸν εἴκοσι, καὶ πλῆθος ἵππων σὺν ἀναβάταις μυριάδων δεκαδύο,

6. καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ δυσμὰς, ὅτι ἠπείθησαν τῷ ῥήματι τοῦ στόματός μου·

7. καὶ ἀπαγγελεῖς αὐτοῖς ἑτοιμάζειν γῆν καὶ ὕδωρ, ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ' αὐτοὺς, καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς ποσὶ τῆς δυνάμεώς μου, καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς,

8. καὶ οἱ τραυματίαι αὐτῶν πληρώσουσι τὰς φάραγγας καὶ τοὺς χειμάῤῥους αὐτῶν, καὶ ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐτῶν πληρωθήσεται.

9. Καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα πάσης τῆς γῆς.

10. Σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν ὅριον αὐτῶν, καὶ ἐκδώσουσί σοι ἑαυτοὺς, καὶ διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν.

11. Ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ ὀφθαλμός σου, δοῦναι αὐτοὺς εἰς φόνον καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ γῇ σου·

12. ὅτι ζῶν ἐγὼ, καὶ τὸ κράτος τῆς βασιλείας μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν χειρί μου.

qui in Ægypto usque ad veniendum super fines duorum marium.

13. Et aciem struxit in virtute sua adversus Arphaxad regem in anno septimo et decimo, et prævaluit in prælio suo, et evertit omnem virtutem Arphaxad, et omnem equitatum ejus, et omnes currus ejus,

14. et dominatus est civitatibus ejus : et pervenit usque Ecbatana, et obtinuit turres, et prædatus est plateas ejus, et ornatum ejus posuit in opprobrium ejus.

15. Et cepit Arphaxad in montibus Ragay, et confixit eum in jaculis suis, et exterminavit eum usque in diem illam.

16. Et revertit cum eis ipse et omnis commistus ejus, multitudo virorum bellatorum plurima valde : et erat ibi torpens et epulans ipse et virtus ejus per dies centum viginti.

CAPUT II.

1. Et in anno octavo et decimo, secunda et vigesima primi mensis, factum est verbum in domo Nabuchodonosor regis Assyriorum, ulcisci omnem terram sicut locutus erat.

2. Et convocavit omnes ministros suos, et omnes magnates suos, et posuit cum eis mysterium consilii sui, et consummavit omne malum terræ de ore suo.

3. Et ipsi judicaverunt exterminare omnem carnem qui non obsecuti fuerant sermoni oris ejus.

4. Et factum est, ut consummavit consilium suum, vocavit Nabuchodonosor rex Assyriorum Olophernem principem virtutis suæ, qui secundus erat ab ipso, et dixit ad eum :

5. Hæc dicit rex magnus, dominus universæ terræ : Ecce tu egredieris a facie mea, et sumes tecum viros confidentes in fortitudine sua, peditum ad millia centum viginti, et multitudinem equorum cum ascensoribus myriadum duodecim,

6. et egredieris in occursum omni terræ ad occidentem, quoniam non obedierunt verbo oris mei :

7. et annuntiabis eis parare terram et aquam, quoniam egrediar in furore meo super eos, et operiam omnem faciem terræ in pedibus virtutis meæ, et dabo illos in direptionem eis,

8. et cæsi istorum implebunt valles et torrentes ipsorum, et fluvius inundans mortuis eorum implebitur,

9. et ducam captivitatem eorum ad summitates universæ terræ.

10. Tu vero egressus præoccupabis mihi omnem terminum eorum, et dedent se tibi, et conservabis mihi eos in diem argutionis eorum.

11. Super inobedientes autem non parcet oculus tuus, dare eos in cædem et direptionem in omni terra tua :

12. quoniam vivens ego, et imperium regni mei, locutus sum et faciam hæc in manu mea.

13. Καὶ σὺ δὲ οὐ παραβήσῃ ἕν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλ' ἐπιτελῶν ἐπιτελέσεις, καθότι προςτέταχά σοι, καὶ οὐ μακρυνεῖς τοῦ ποιῆσαι αὐτά.

14. Καὶ ἐξῆλθεν Ὀλοφέρνης ἀπὸ προςώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἐκάλεσε πάντας τοὺς δυνάστας, καὶ τοὺς στρατηγοὺς καὶ ἐπιστάτας τῆς δυνάμεως Ἀσσοὺρ,

15. καὶ ἠρίθμησεν ἐκλεκτοὺς ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος αὐτοῦ, εἰς μυριάδας δεκαδύο, καὶ ἱππεῖς τοξότας μυρίους δισχιλίους,

16. καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσεται.

17. Καὶ ἔλαβε καμήλους καὶ ὄνους καὶ ἡμιόνους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρόβατα καὶ βόας καὶ αἶγας εἰς τὴν παρασκευὴν αὐτῶν, ὧν οὐκ ἦν ἀριθμὸς,

18. καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆθος, καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως πολὺ σφόδρα.

19. Καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς πορείαν τοῦ προελθεῖν βασιλέως Ναβουχοδονόσορ, καὶ καλύψαι πᾶν τὸ πρόςωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι καὶ πεζοῖς ἐπιλέκτοις αὐτῶν.

20. Καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συνεξῆλθον αὐτοῖς, καὶ ὡς ἡ ἄμμος τῆς γῆς· οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν.

21. Καὶ ἀπῆλθον ἐκ Νινευὴ ὁδὸν τριῶν ἡμερῶν ἐπὶ πρόςωπον τοῦ πεδίου Βαικτιλαὶθ, καὶ ἐπεστρατοπέδευσεν ἀπὸ Βαικτιλαὶθ πλησίον τοῦ ὄρους τοῦ ἐπ' ἀριστερᾷ τῆς ἄνω Κιλικίας.

22. Καὶ ἔλαβε πᾶσαν τὴν δύναμιν αὐτοῦ, τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς, καὶ τὰ ἅρματα αὐτοῦ, καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν ὀρεινήν.

23. Καὶ διέκοψε τὸ Φοὺδ καὶ Λοὺδ, καὶ ἐπρονόμευσαν πάντας υἱοὺς Ῥασσὶς καὶ υἱοὺς Ἰσμαὴλ τοὺς κατὰ πρόςωπον τῆς ἐρήμου πρὸς νότον τῆς Χελλαίων.

24. Καὶ παρῆλθε τὸν Εὐφράτην, καὶ διῆλθε τὴν Μεσοποταμίαν, καὶ διέσκαψε πάσας τὰς πόλεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάῤῥου Ἀβρωνᾶ ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν.

25. Καὶ κατελάβετο τὰ ὅρια τῆς Κιλικίας, καὶ κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ· καὶ ἦλθεν ἕως ὁρίων Ἰάφεθ, τὰ πρὸς νότον κατὰ πρόςωπον τῆς Ἀραβίας.

26. Καὶ ἐκύκλωσε πάντας τοὺς υἱοὺς Μαδιὰν, καὶ ἐνέπρησε τὰ σκηνώματα αὐτῶν, καὶ ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν.

27. Καὶ κατέβη εἰς πεδίον Δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ ἐνέπρησε πάντας τοὺς ἀγροὺς αὐτῶν· καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια ἔδωκεν εἰς ἀφανισμὸν, καὶ τὰς πόλεις αὐτῶν ἐσκύλευσε, καὶ τὰ πεδία αὐτῶν ἐξελίκμησε, καὶ ἐπάταξε πάντας τοὺς νεανίσκους αὐτῶν ἐν στόματι ῥομφαίας.

28. Καὶ ἐπέπεσεν ὁ φόβος καὶ ὁ τρόμος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν, τοὺς ὄντας ἐν Σιδῶνι καὶ Τύρῳ, καὶ τοὺς κατοικοῦντας Σοὺρ, καὶ Ὀχινὰ, καὶ πάντας τοὺς κατοικοῦντας Ἱεμναάν. Καὶ οἱ κατοικοῦντες ἐν Ἀζώτῳ καὶ Ἀσκάλωνι ἐφοβήθησαν αὐτὸν σφόδρα.

13. Et tu autem non transgredieris unum quid ex verbis domini tui, sed perficiens perficies, sicut præcepi tibi, et non cunctaberis facere hæc.

14. Et exivit Olophernes a facie domini sui, et vocavit omnes dynastas, et duces et præsides virtutis Assur,

15. et numeravit electos viros in aciem, sicut jusserat ei dominus ejus, ad myriadas duodecim, et equites sagittarios duodecim millia,

16. et ordinavit eos quemadmodum belli multitudo coordinatur.

17. Et sumpsit camelos et asinos et mulos ad impedimenta ipsorum, multitudinem plurimam valde, et oves et boves et capras ad apparatum ipsorum, quorum non erat numerus,

18. et rem frumentariam omni viro in multitudine, et aurum et argentum e domo regis multum valde.

19. Et exiit ipse et universa virtus ejus ad iter ad præcedendum regem Nabuchodonosor, et operiendum omnem faciem terræ ad occidentem in currubus et equitibus et peditibus electis ipsorum.

20. Et multus admistus tamquam locusta exierunt cum eis, et tamquam arena terræ : non enim erat numerus præ multitudine eorum.

21. Et abierunt de Nineve viam trium dierum super faciem campi Bæctilæth, et castra fecit a Bæctilæth prope montem qui ad sinistram superioris Ciliciæ.

22. Et sumpsit omnem virtutem suam, pedites et equites et currus suos, et abiit inde in montanam.

23. Et excidit Phud et Lud, et prædati sunt omnes filios Rassis et filios Ismael qui super faciem deserti ad austrum Chelleon.

24. Et transivit Euphratem, et pertransiit Mesopotamiam, et diruit omnes civitates excelsas quæ super torrentem Abrona usque ad veniendum super mare.

25. Et cepit fines Ciliciæ, et concidit omnes resistentes sibi : et venit usque ad fines Japheth, qui ad austrum super faciem Arabiæ.

26. Et circuivit omnes filios Madian, et incendit tabernacula eorum, et diripuit mandras eorum.

27. Et descendit in campum Damasci in diebus messis triticorum, et incendit omnes agros eorum : et greges et armenta boum dedit in perditionem, et civitates eorum spoliavit, et campos eorum ventilavit, et percussit omnes juvenes eorum in ore gladii.

28. Et incidit timor et tremor ejus super habitantes maritimam, eos qui erant in Sidone et Tyro, et habitantes Sur, et Ocina, et omnes habitantes Hiemnaan. Et habitantes in Azoto et Ascalone timuerunt eum valde.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους λόγοις εἰρηνικοῖς, λέγοντες·

2. Ἰδοὺ ἡμεῖς οἱ παῖδες Ναβουχοδονόσορ βασιλέως μεγάλου παρακείμεθα ἐνώπιόν σου, χρῆσαι ἡμῖν καθὼς ἀρεστόν ἐστι τῷ προςώπῳ σου.

3. Ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν, καὶ πᾶν πεδίον πυρῶν, καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια, καὶ πᾶσαι αἱ μάνδραι τῶν σκηνῶν ἡμῶν παράκεινται πρὸ προςώπου σου, χρῆσαι καθ' ὃ ἂν ἀρέσκῃ σοι.

4. Ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν, καὶ οἱ κατοικοῦντες ἐν αὐταῖς δοῦλοί σου εἰσίν· ἐλθὼν ἀπάντησον αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου.

5. Καὶ παρεγένοντο οἱ ἄνδρες πρὸς Ὀλοφέρνην, καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα.

6. Καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ, καὶ ἐφρούρησε τὰς πόλεις τὰς ὑψηλάς· καὶ ἔλαβεν ἐξ αὐτῶν εἰς συμμαχίαν ἄνδρας ἐπιλέκτους,

7. καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ, καὶ πᾶσα ἡ περίχωρος αὐτῶν μετὰ στεφάνων καὶ χορῶν καὶ τυμπάνων.

8. Καὶ κατέσκαψε πάντα τὰ ὅρια αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐξέκοψε. Καὶ ἦν δεδογμένον αὐτῷ ἐξολοθρεῦσαι πάντας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονόσορ λατρεύσωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ γλῶσσαι καὶ πᾶσαι αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν εἰς θεόν.

9. Καὶ ἦλθε κατὰ πρόςωπον Ἐσδρηλὼν πλησίον τῆς Δωταίας, ἥ ἐστιν ἀπέναντι τοῦ Πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας,

10. καὶ κατεστρατοπέδευσεν ἀναμέσον Γαιβαὶ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς δυνάμεως αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ Ἰουδαίᾳ πάντα ὅσα ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ ἀρχιστράτηγος Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευσε πάντα τὰ ἱερὰ αὐτῶν, καὶ ἔδωκεν αὐτὰ εἰς ἀφανισμὸν,

2. καὶ ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ προςώπου αὐτοῦ, καὶ περὶ Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ Κυρίου Θεοῦ αὐτῶν ἐταράχθησαν·

3. ὅτι προσφάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς συνελέλεκτο τῆς Ἰουδαίας, καὶ τὰ σκεύη, καὶ τὸ θυσιαστήριον, καὶ ὁ οἶκος ἐκ τῆς βεβηλώσεως ἡγιασμένα ἦν,

4. καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμαρείας, καὶ Κωνὰς, καὶ Βαιθωρὼν, καὶ Βελμὲν, καὶ Ἱεριχὼ, καὶ εἰς Χωβὰ, καὶ Αἰσωρὰ, καὶ τὸν αὐλῶνα Σαλὴμ,

5. καὶ προκατελάβοντο πάσας τὰς κορυφὰς τῶν ὀρέων τῶν ὑψηλῶν, καὶ ἐτειχίσαντο τὰς ἐν αὐτοῖς κώμας, καὶ παρέθεντο εἰς ἐπισιτισμὸν εἰς παρασκευὴν πολέμου, ὅτι προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερισμένα.

6. Καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐκείναις ἐν Ἱερουσαλὴμ, τοῖς κατοικοῦσι Βετυλούα, καὶ Βετομεσθαὶμ ἥ ἐστιν ἀπέναντι Ἐσδρηλὼν, κατὰ πρόςωπον τοῦ πεδίου τοῦ πλησίον Δωθαΐμ,

7. λέγων, διακατασχεῖν τὰς ἀναβάσεις τῆς ὀρει-

CAPUT III.

1. Et miserunt ad eum nuntios verbis pacificis, dicentes :

2. Ecce nos pueri Nabuchodonosor regis magni adsumus coram te, utere nobis sicut placitum est faciei tuæ.

3. Ecce villæ nostræ, et omnis campus tri icorum, et greges et armenta, et omnes mandræ tabernaculorum nostrorum adsunt ante faciem tuam, utere quomodo placuerit tibi.

4. Ecce et civitates nostræ, et habitantes in eis servi tui sunt : veniens occurre eis prout est bonum in oculis tuis.

5. Et advenerunt viri ad Olophernem, et annuntiaverunt ei secundum verba hæc.

6, Et descendit super maritimam ipse et virtus ejus, et præsidia posuit in civitatibus excelsis : et assumpsit ex eis in belli societatem viros electos,

7. et susceperunt eum ipsi, et omnis regio adjacens eorum cum coronis et choris et tympanis.

8. Et demolitus est omnes fines eorum, et lucos eorum excidit. Et erat decretum ei exterminare omnes deos terræ, ut ipsi soli Nabuchodonosor servirent omnes gentes, et omnes linguæ et omnes tribus eorum invocarent eum in deum.

9. Et venit super faciem Esdrelon prope Dotæam, quæ est contra Serram magnam Judææ,

10. et castrametatus est inter Gæbæ et Scytharum civitatem, et fuit ibi mensem dierum ad colligenda omnia impedimenta virtutis suæ.

CAPUT IV.

1. Et audierunt filii Israel habitantes in Judæa omnia quæcumque fecerat Olophernes gentibus, princeps militiæ Nabuchodonosor regis Assyriorum, et quomodo spoliaverat omnia templa earum, et dederat ea in perditionem,

2. et timuerunt valde valde a facie ejus, et pro Jerusalem et templo Domini Dei sui turbati sunt :

3. quoniam recenter ascenderant e captivitate, et nuper omnis populus collectus fuerat Judææ, et vasa, et altare, et domus ex pollutione fuerant sanctificata,

4. Et miserunt in omnem terminum Samariæ, et Conas, et Bæthoron, et Belmen, et Jericho, et in Choba, et Asora, et vallem Salem,

5. et præoccupaverunt omnia cacumina montium excelsorum, et muris circumdederunt pagos qui in eis, et reposuerunt in rem frumentariam ad apparatum belli, quoniam recenter fuerant campi ipsorum demessi.

6. Et scripsit Joacim sacerdos magnus, qui erat in diebus illis in Jerusalem, habitantibus Betylua, et Betomesthæm quæ est e regione Esdrelon, super faciem campi qui prope Dothaim,

7. dicens, obtinere ascensiones ipsius montanæ, quoniam

νῆς, ὅτι δι' αὐτῶν ἦν ἡ εἴςοδος εἰς τὴν Ἰουδαίαν· καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προςβαίνοντας, στενῆς τῆς προςβάσεως οὔσης, ἐπ' ἄνδρας τοὺς πάντας δύο.

8. Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ συνέταξεν αὐτοῖς Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, καὶ ἡ γερουσία παντὸς δήμου Ἰσραὴλ, οἳ ἐκάθηντο ἐν Ἱερουσαλήμ.

9. Καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ πρὸς τὸν Θεὸν ἐν ἐκτενίᾳ μεγάλῃ, καὶ ἐταπείνουσαν τὰς ψυχὰς αὐτῶν ἐν ἐκτενίᾳ μεγάλῃ,

10. αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ νήπια αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν· καὶ πᾶς πάροικος ἢ μισθωτὸς, καὶ ἀργυρώνητος αὐτῶν, ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν.

11. Καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ, τὰ παιδία, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν, καὶ ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ πρόσωπον Κυρίου· καὶ τὸ θυσιαστήριον σάκκῳ περιέβαλον,

12. καὶ ἐβόησαν πρὸς τὸν Θεὸν Ἰσραὴλ ὁμοθυμαδὸν ἐκτενῶς, τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν καὶ τὰς γυναῖκας εἰς προνομὴν, καὶ τὰς πόλεις τῆς κληρονομίας αὐτῶν εἰς ἀφανισμὸν, καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμὸν, ἐπίχαρμα τοῖς ἔθνεσι.

13. Καὶ εἰςήκουσε Κύριος τῆς φωνῆς αὐτῶν, καὶ εἰςεῖδεν τὴν θλῖψιν αὐτῶν. Καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας πλείους ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ, κατὰ πρόσωπον τῶν ἁγίων Κυρίου παντοκράτορος.

14. Καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον Κυρίου, ἱερεῖς καὶ οἱ λειτουργοῦντες Κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν, προςέφερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ, καὶ τὰς εὐχὰς, καὶ τὰ ἑκούσια δόματα τοῦ λαοῦ,

15. καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν, καὶ ἐβόων πρὸς Κύριον ἐκ πάσης δυνάμεως εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον Ἰσραήλ.

per eas erat introitus in Judæam : et erat facile prohibere eos accedentes, quod angustus accessus erat, duos super omnes viros.

8. Et fecerunt filii Israel sicut constituit eis Joacim sacerdos magnus, et senatus universi populi Israel, qui sedebant in Jerusalem.

9. Et exclamaverunt omnis vir Israel ad Deum in instantia magna, et humiliaverunt animas suas in instantia magna,

10. ipsi et uxores ipsorum, et infantes ipsorum, et jumenta ipsorum : et omnis incola vel mercenarius, vel argento emptus ipsorum, imposuerunt saccos super lumbos suos.

11. Et omnis vir Israel et mulier, pueri, et habitantes in Jerusalem, ceciderunt ad faciem templi, et cinere consperserunt capita sua, et extenderunt saccos suos ad faciem Domini : et altare sacco circumtexerunt,

12. et clamaverunt ad Deum Israel unanimiter assidue, ut non daret in direptionem infantes ipsorum et uxores in prædam, et civitates hæreditatis ipsorum in perditionem, et sancta in pollutionem et opprobrium, gaudium gentibus.

13. Et exaudivit Dominus vocem eorum, et inspexit tribulationem eorum. Et fuit populus jejunans dies plures in omni Judæa et Jerusalem, ad faciem sanctorum Dei omnipotentis.

14. Et Joacim sacerdos magnus et omnes assistentes ante Dominum, sacerdotes et ministrantes Domino, saccis accincti lumbos suos, offerebant holocaustoma jugis sacrificii, et vota, et spontanea dona populi,

15. et erat cinis super cidaras eorum, et clamabant ad Dominum ex omni virtute in bonum visitare omnem domum Israel.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καὶ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ἀσσοὺρ, διότι οἱ υἱοὶ Ἰσραὴλ παρεσκευάσαντο εἰς πόλεμον, καὶ τὰς διόδους τῆς ὀρεινῆς συνέκλεισαν, καὶ ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ, καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα.

2. Καὶ ὠργίσθη θυμῷ σφόδρα, καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας Μωὰβ, καὶ τοὺς στρατηγοὺς Ἀμμὼν, καὶ πάντας σατράπας τῆς παραλίας,

3. καὶ εἶπεν αὐτοῖς· Ἀναγγείλατε δή μοι, υἱοὶ Χαναὰν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ ὀρεινῇ, καὶ τίνες ἃς κατοικοῦσι πόλεις, καὶ τὸ πλῆθος τῆς δυνάμεως αὐτῶν, καὶ ἐν τίνι τὸ κράτος αὐτῶν, καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ τίς ἀνέστηκεν ἐπ' αὐτῶν βασιλεὺς ἡγούμενος στρατηγίας αὐτῶν,

4. καὶ διὰ τί κατενωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ πάντας τοὺς κατοικοῦντας ἐν δυσμαῖς.

5. Καὶ εἶπε πρὸς αὐτὸν Ἀχιὼρ ὁ ἡγούμενος πάντων υἱῶν Ἀμμών· Ἀκουσάτω δὴ ὁ κύριός μου λόγον ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγγελῶ σοι τὴν ἀλήθειαν περὶ τοῦ λαοῦ ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην, πλησίον σου οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ δούλου σου.

CAPUT V.

1. Et nuntiatum est Olopherni principi virtutis Assur, quia filii Israel parati erant ad prælium, et transitus montanæ concluserant, et muris circumdederant omne cacumen montis excelsi, et posuerant in campis scandala.

2. Et iratus est furore valde, et vocavit omnes principes Moab, et duces Ammon, et omnes satrapas maritimæ,

3. et dixit eis : Annuntiate nunc mihi, filii Chanaan, quis populus hic habitans in montana, et quænam quas habitant civitates, et quæ multitudo virtutis eorum, et in quo potestas eorum, et fortitudo eorum, et quis surrexit super eos rex dux exercitus eorum,

4. et cur erexerunt dorsum ut non venirent in occursum mihi præter omnes habitantes in occidente.

5. Et dixit ad eum Achior dux omnium filiorum Ammon : Audiat, quæso, dominus meus verbum ex ore servi tui, et annuntiabo tibi veritatem de populo qui habitat montanam hanc, prope te habitante, et non exibit mendacium ex ore servi tui.

6. Ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων,

7. καὶ παρῴκησαν τὸ πρότερον ἐν τῇ Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων,

8. καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν, καὶ προςεκύνησαν τῷ Θεῷ τοῦ οὐρανοῦ, Θεῷ ᾧ ἐπέγνωσαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ προςώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοποταμίαν, καὶ παρῴκησαν ἐκεῖ ἡμέρας πολλάς.

9. Καὶ εἶπεν ὁ Θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς παροικίας αὐτῶν, καὶ πορευθῆναι εἰς γῆν Χαναάν, καὶ κατῴκησαν ἐκεῖ, καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσι πολλοῖς σφόδρα.

10. Καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψε γὰρ τὸ πρόςωπον τῆς γῆς Χαναὰν λιμὸς, καὶ παρῴκησαν ἐκεῖ μέχρις οὗ διετράφησαν. Καὶ ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολὺ, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ γένους αὐτῶν.

11. Καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεσοφίσαντο αὐτοὺς ἐν πόνῳ καὶ ἐν πλίνθῳ, καὶ ἐταπείνωσαν αὐτοὺς καὶ ἔθεντο αὐτοὺς εἰς δούλους.

12. Καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν αὐτῶν, καὶ ἐπάταξε πᾶσαν τὴν γῆν Αἰγύπτου πληγαῖς, ἐν αἷς οὐκ ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ Αἰγύπτιοι ἀπὸ προςώπου αὐτῶν,

13. καὶ κατεξήρανεν ὁ Θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν,

14. καὶ ἤγαγεν αὐτοὺς εἰς ὁδὸν τοῦ Σινᾶ, καὶ Κάδης Βαρνῆ, καὶ ἐξέβαλον πάντας τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ,

15. καὶ ᾤκησαν ἐν γῇ Ἀμοῤῥαίων, καὶ πάντας τοὺς Ἐσεβωνίτας ἐξωλόθρευσαν ἐν τῇ ἰσχύϊ αὐτῶν· καὶ διαβάντες τὸν Ἰορδάνην ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινήν.

16. Καὶ ἐξέβαλον ἐκ προςώπου αὐτῶν τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν Ἰεβουσαῖον, καὶ τὸν Συχὲμ, καὶ πάντας τοὺς Γεργεσαίους, καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς.

17. Καὶ ἕως οὐχ ἥμαρτον ἐνώπιον τοῦ Θεοῦ αὐτῶν, ἦν τὰ ἀγαθὰ μετ' αὐτῶν, ὅτι Θεὸς μισῶν ἀδικίαν μετ' αὐτῶν ἐστίν.

18. Ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ ἧς διέθετο αὐτοῖς, ἐξωλοθρεύθησαν ἐν πολλοῖς πολέμοις ἐπὶ πολὺ σφόδρα, καὶ ᾐχμαλωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ ναὸς τοῦ Θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος, καὶ αἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν ὑπεναντίων.

19. Καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν Θεὸν αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς οὗ διεσπάρησαν ἐκεῖ, καὶ κατέσχον τὴν Ἱερουσαλὴμ οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος.

20. Καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν ἀγνόημα ἐν τῷ λαῷ τούτῳ, καὶ ἁμαρτάνουσιν εἰς τὸν Θεὸν αὐτῶν, καὶ ἐπισκεψόμεθα ὅτι ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀναβησόμεθα καὶ ἐκπολεμήσομεν αὐτούς.

21. Εἰ δὲ οὐκ ἔστιν ἀνομία ἐν τῷ ἔθνει αὐτῶν, παρελθέτω δὴ ὁ κύριός μου, μήποτε ὑπερασπίσῃ ὁ Κύριος αὐτῶν καὶ ὁ Θεὸς αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσόμεθα εἰς ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς.

22. Καὶ ἐγένετο, ὡς ἐπαύσατο Ἀχιὼρ λαλῶν τοὺς λόγους τούτους, καὶ ἐγόγγυσε πᾶς ὁ λαὸς ὁ κυκλῶν τὴν

6. Populus hic sunt prognati ex Chaldæis,

7. et incoluerunt antea in Mesopotamia, quoniam noluerunt sequi deos patrum suorum qui fuerunt in terra Chaldæorum,

8. et digressi sunt e via parentum suorum, et adoraverunt Deum cœli, Deum quem cognoverunt, et ejecerunt eos a facie deorum suorum, et fugerunt in Mesopotamiam, et incoluerunt ibi dies multos.

9. Et dixit Deus eorum ut exirent de incolatu suo, et irent in terram Chanaan, et habitaverunt ibi, et multiplicati sunt auro et argento et in pecoribus multis valde.

10. Et descenderunt in Ægyptum, operuerat enim faciem terræ Chanaan fames, et incoluerunt ibi quoadusque aucti sunt. Et facti sunt ibi in multitudinem plurimam, et non erat numerus generis eorum.

11. Et insurrexit eis rex Ægypti, et circumvenerunt eos in labore et latere, et humiliaverunt eos et posuerunt eos in servos.

12. Et exclamaverunt ad Deum suum, et percussit universam terram Ægypti plagis, in quibus non erat curatio : et ejecerunt eos Ægyptii a facie sua,

13. et exsiccavit Deus rubrum mare ante eos,

14. et duxit eos in viam Sina, et Cades Barne, et ejecerunt omnes habitantes in deserto,

15. et habitaverunt in terra Amorrhæorum, et omnes Esebonitas exterminarunt in fortitudine sua : et transeuntes Jordanem hæreditarunt universam montanam.

16. Et ejecerunt a facie sua Chananæum, et Pherezæum, et Jebusæum, et ipsum Sychem, et omnes Gergesæos, et inhabitarunt in ea dies multos.

17. Et quoadusque non peccaverunt in conspectu Dei sui, fuerunt bona cum eis, quoniam Deus odio habens injustitiam cum eis est.

18. Quando autem recesserunt a via quam disposuit eis, exterminati sunt in multis bellis plurimum valde, et captivi ducti sunt in terram non propriam, et templum Dei ipsorum factum est in pavimentum, et civitates eorum captæ sunt ab adversariis.

19. Et nunc revertentes ad Deum suum ascenderunt e dispersione ubi dispersi fuerunt illic, et tenuerunt Jerusalem ubi sanctuarium eorum, et habitarunt in montana, quoniam erat deserta.

20. Et nunc, dominator domine, siquidem est ignorantia in populo hoc, et peccant in Deum suum, et videbimus quia est in eis scandalum hoc, et ascendemus et debellabimus eos.

21. Si autem non est iniquitas in gente ipsorum, prætereat, quæso, dominus meus, ne forte protegat Dominus eorum et Deus eorum pro ipsis, et erimus in opprobrium coram omni terra.

22. Et factum est, ut cessavit Achior loquens sermones hos, et murmuravit omnis populus circumdans tabernaculum

σκηνὴν καὶ περιεστώς. Καὶ εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου, καὶ πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν Μωάβ, συγκόψαι αὐτόν,

23. οὐ γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ἰσραήλ· ἰδοὺ γὰρ λαὸς ἐν ᾧ οὐκ ἔστι δύναμις, οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν.

24. Διὸ δὴ ἀναβησόμεθα, καὶ ἔσονται εἰς κατάβρωμα πάσης τῆς στρατιᾶς σου, δέσποτα Ὀλοφέρνη.

et adstans. Et dixerunt magnates Olophernis, et omnes habitantes maritimam, et Moab, concidere eum,

23. non enim timebimus a filiis Israel : ecce enim populus in quo non est virtus, neque potentia ad aciem fortem.

24. Quare nunc ascendamus, et erunt in escam universi exercitus tui, domine Olophernes.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν κύκλῳ τῆς συνεδρείας, καὶ εἶπεν Ὀλοφέρνης ὁ ἀρχιστράτηγος δυνάμεως Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναντίον παντὸς τοῦ δήμου ἀλλοφύλων, καὶ πρὸς πάντας υἱοὺς Μωάβ·

2. Καὶ τίς εἶ σὺ, Ἀχιὼρ, καὶ οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ, ὅτι προεφήτευσας ἐν ἡμῖν καθὼς σήμερον, καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ πολεμῆσαι, ὅτι ὁ Θεὸς αὐτῶν ὑπερασπιεῖ αὐτῶν; Καὶ τίς ὁ Θεὸς εἰ μὴ Ναβουχοδονόσορ;

3. Οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ, καὶ ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς, καὶ οὐ ῥύσεται αὐτοὺς ὁ Θεὸς αὐτῶν· ἀλλ' ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐτοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν.

4. Κατακαύσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὄρη αὐτῶν μεθυσθήσεται ἐν τῷ αἵματι αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται νεκρῶν αὐτῶν· καὶ οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον ἡμῶν, ἀλλὰ ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ κύριος πάσης τῆς γῆς. Εἶπε γὰρ, οὐ ματαιωθήσεται τὰ ῥήματα τῶν λόγων αὐτοῦ.

5. Σὺ δὲ, Ἀχιὼρ, μισθωτὲ τοῦ Ἀμμὼν, ὃς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου, οὐκ ὄψει ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης, ἕως οὗ ἐκδικήσω τὸ γένος τῶν ἐξ Αἰγύπτου.

6. Καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς στρατιᾶς μου καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου, καὶ πεσῇ ἐν τοῖς τραυματίαις αὐτῶν, ὅταν ἐπιστρέψω.

7. Καὶ ἀποκαταστήσουσί σε οἱ δοῦλοί μου εἰς τὴν ὀρεινὴν, καὶ θήσουσί σε ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων,

8. καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ' αὐτῶν.

9. Καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ ληφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον. Ἐλάλησα, καὶ οὐδὲν διαπεσεῖται τῶν ῥημάτων μου.

10. Καὶ προσέταξεν Ὀλοφέρνης τοῖς δούλοις αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ αὐτοῦ, συλλαβεῖν τὸν Ἀχιὼρ καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς Βετυλούα, καὶ παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ.

11. Καὶ συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ, καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ πεδίον, καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινὴν, καὶ παρεγένοντο ἐπὶ τὰς πηγὰς αἳ ἦσαν ὑποκάτω Βετυλούα.

12. Καὶ ὡς εἶδαν αὐτοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἀνέλαβον τὰ ὅπλα αὐτῶν, καὶ ἀπῆλθον ἔξω τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ πᾶς ἀνὴρ σφενδονήτης διεκράτησαν τὴν ἀνάβασιν αὐτῶν, καὶ ἔβαλον ἐν λίθοις ἐπ' αὐτούς.

CAPUT VI.

1. Et ut cessavit tumultus virorum qui in circuitu consessus, et dixit Olophernes princeps virtutis Assur ad Achior coram omni populo alienigenarum, et ante omnes filios Moab :

2. Et quis es tu, Achior, et mercenarii Ephraim, quia prophetasti in nobis sicut hodie, et dixisti genus Israel non oppugnare, quoniam Deus eorum proteget eos? Et quis est Deus nisi Nabuchodonosor?

3. Hic mittet potentiam suam, et exterminabit eos a facie terræ, et non liberabit eos Deus eorum : sed nos servi ejus percutiemus eos tamquam virum unum, et non sustinebunt potentiam equorum nostrorum.

4. Comburemus enim eos in ipsis, et montes eorum inebriabuntur in sanguine ipsorum, et campi eorum implebuntur mortuis ipsorum : et non resistet vestigium pedum eorum ad faciem nostram, sed perditione perdentur, dicit rex Nabuchodonosor dominus universæ terræ. Dixit enim, non evanescent verba sermonum ejus.

5. Tu autem, Achior, mercenarie Ammon, qui locutus es verba hæc in die injustitiæ tuæ, non videbis amplius faciem meam a die hac, quoadusque ultus fuero genus eorum qui ex Ægypto.

6. Et tunc pertransibit ferrum exercitus mei et populus ministrorum meorum costas tuas, et cades in cæsis eorum, quando revertero.

7. Et reducent te servi mei in montanam, et ponent te in una civitatum ascensionum,

8. et non peribis donec exterminatus fueris cum illis.

9. Et siquidem speras corde tuo quia non capientur, ne concidat tuus vultus. Locutus sum, et nihil decidet de verbis meis.

10. Et jussit Olophernes servos suos, qui erant assistentes in tabernaculo ejus, comprehendere Achior et reducere eum in Betylua, et tradere in manus filiorum Israel.

11. Et comprehenderunt eum servi ejus, et duxerunt eum extra castra in campum, et promoverunt e medio campestris in montanam, et advenerunt super fontes quæ erant sub Betylua.

12. Et ut viderunt eos viri civitatis super cacumen montis, sumpserunt arma sua, et abierunt extra civitatem ad cacumen montis : et omnis vir fundibularius tenuit ascensum ipsorum, et jaculati sunt in lapidibus super eos.

13. Καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους ἔδησαν τὸν Ἀχιὼρ, καὶ ἀφῆκαν ἐῤῥιμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους, καὶ ἀπῴχοντο πρὸς τὸν κύριον αὐτῶν.

14. Καταβάντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ, καὶ λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν Βετυλούα, καὶ κατέστησαν αὐτὸν ἐπὶ τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν,

15. οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις, Ὀζίας ὁ τοῦ Μιχὰ ἐκ τῆς φυλῆς Συμεὼν, καὶ Ἄβρις ὁ τοῦ Γοθονιὴλ, καὶ Χαρμὶς υἱὸς Μελχιήλ.

16. Καὶ συνεκάλεσαν πάντας τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον πᾶς νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστησαν τὸν Ἀχιὼρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν· καὶ ἐπηρώτησεν αὐτὸν Ὀζίας τὸ συμβεβηκός.

17. Καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ ῥήματα τῆς συνεδρίας Ὀλοφέρνου, καὶ πάντα τὰ ῥήματα ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρχόντων υἱῶν Ἀσσοὺρ, καὶ ὅσα ἐμεγαλοῤῥημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον Ἰσραήλ.

18. Καὶ πεσόντες ὁ λαὸς προσεκύνησαν τῷ Θεῷ, καὶ ἐβόησαν λέγοντες·

19. Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανείας αὐτῶν, καὶ ἐλέησον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ.

20. Καὶ παρεκάλεσαν τὸν Ἀχιὼρ, καὶ ἐπῄνεσαν αὐτὸν σφόδρα.

21. Καὶ παρέλαβεν αὐτὸν Ὀζίας ἐκ τῆς ἐκκλησίας εἰς οἶκον αὐτοῦ, καὶ ἐποίησε πότον τοῖς πρεσβυτέροις. Καὶ ἐπεκαλέσαντο τὸν Θεὸν Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.

ΚΕΦΑΛΑΙΟΝ Ζ′.

1. Τῇ δ᾽ ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ παντὶ τῷ λαῷ αὐτοῦ, οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βετυλούα, καὶ τὰς ἀναβάσεις τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι, καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς Ἰσραήλ.

2. Καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς ἀνὴρ δυνατὸς αὐτῶν, καὶ ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν, χιλιάδες ἀνδρῶν πεζῶν ἑκατὸν ἑβδομήκοντα, καὶ ἱππέων χιλιάδες δεκαδύο, χωρὶς τῆς ἀποσκευῆς καὶ τῶν ἀνδρῶν οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα.

3. Καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον Βετυλούα ἐπὶ τῆς πηγῆς, καὶ παρέτειναν εἰς εὖρος ἐπὶ Δωθαῒμ καὶ ἕως Βελθὲμ, καὶ εἰς μῆκος ἀπὸ Βετυλούα ἕως Κυαμῶνος, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλώμ.

4. Οἱ δὲ υἱοὶ Ἰσραὴλ, ὡς εἶδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα· καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Νῦν ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ, οὔτε αἱ φάραγγες, οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐτῶν.

5. Καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν, καὶ ἀνακαύσαντες πυρὰς ἐπὶ τοὺς πύργους αὐτῶν, ἔμενον φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην.

6. Τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν Ὀλοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν Ἰσραὴλ, οἳ ἦσαν ἐν Βετυλούα,

13. Et subeuntes subter montem ligaverunt Achior, et reliquerunt projectum subter radicem montis, et abierunt ad dominum suum.

14. Descendentes autem filii Israel de civitate sua steterunt super eum, et solventes eum abduxerunt in Betylua, et constituerunt eum super principes civitatis suæ,

15. qui erant in temporibus illis, Ozias filius Micha de tribu Symeon, et Abris filius Gothoniel, et Charmis filius Melchiel.

16. Et convocaverunt omnes seniores civitatis, et concurrerunt omnis juvenis eorum et mulieres in ecclesiam, et statuerunt Achior in medio populi sui : et interrogavit eum Ozias quod acciderat.

17. Et respondens annuntiavit eis verba consessus Olophernis, et omnia verba quæcumque locutus erat in medio principum filiorum Assur, et quæcumque magniloquo locutus erat Olophernes in domum Israel.

18. Et procidentes populus adoraverunt Deum, et clamaverunt dicentes :

19. Domine Deus cœli, respice super superbias eorum, et miserere humiliationis generis nostri, et respice in faciem sanctificatorum tibi in die hac.

20. Et consolati sunt Achior, et laudaverunt eum valde.

21. Et assumpsit eum Ozias de ecclesia in domum suam, et fecit convivium senioribus. Et advocaverunt Deum Israel in adjutorium tota nocte illa.

CAPUT VII.

1. Postridie autem annuntiavit Olophernes universo exercitui suo, et omni populo suo, qui venerant in auxilium ipsius, movere castra super Betylua, et ascensiones montanæ præoccupare, et facere bellum adversus filios Israel.

2. Et movit castra in die illa omnis vir potens eorum, et virtus eorum virorum bellatorum, millia virorum peditum centum septuaginta, et equitum millia duodecim, præter apparatum et viros qui erant pedites in eis, multitudo plurima valde.

3. Et castrametati sunt in valle prope Betylua super fontem, et extenderunt in latitudinem super Dothaim et usque Belthem, et in longitudinem a Betylua usque ad Cyamonem, quæ est contra Esdrelom.

4. Filii autem Israel, ut viderunt eorum multitudinem, turbati sunt valde : et dixit unusquisque ad proximum suum : Nunc exsorbebunt hi faciem terræ universæ, et neque montes excelsi, neque valles, neque colles sustinebunt gravitatem eorum.

5. Et assumentes unusquisque vasa bellica sua, et accendentes pyras super turres suas, manebant custodientes totam noctem illam.

6. Die autem secunda eduxit Olophernes universum equitatum suum ad faciem filiorum Israel, qui erant in Betylua,

7. καὶ ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν, καὶ τὰς πηγὰς τῶν ὑδάτων αὐτῶν ἐφώδευσεν, καὶ προκατελάβετο αὐτὰς, καὶ ἐπέστησεν αὐταῖς παρεμβολὰς ἀνδρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν αὐτοῦ.

8. Καὶ προσελθόντες αὐτῷ πάντες οἱ ἄρχοντες τῶν υἱῶν Ἡσαῦ, καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ Μωὰβ, καὶ οἱ στρατηγοὶ τῆς παραλίας, εἶπαν·

9. Ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν, ἵνα μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου.

10. Ὁ γὰρ λαὸς οὗτος τῶν υἱῶν Ἰσραὴλ οὐ πέποιθεν ἐπὶ τοῖς δόρασιν αὐτῶν, ἀλλ' ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς· οὐ γάρ ἐστιν εὐχερὲς προςβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν.

11. Καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς αὐτοὺς καθὼς γίνεται πόλεμος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς.

12. Ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου, διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ ὕδατος ἣ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους,

13. διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοικοῦντες Βετυλούα, καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα, καὶ ἐκδώσουσι τὴν πόλιν ἑαυτῶν, καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς πλησίον κορυφὰς τῶν ὀρέων, καὶ παρεμβαλοῦμεν ἐπ' αὐταῖς εἰς προφυλακὴν, τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα.

Τη Κω 14. Καὶ τακήσονται ἐν τῷ λιμῷ, αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν· καὶ πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ' αὐτοὺς, καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐτῶν,

15. καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρὸν, ἀνθ' ὧν ἐστασίασαν, καὶ οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ.

16. Καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον Ὀλοφέρνου, καὶ ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ συνέταξαν ποιεῖν καθὼς ἐλάλησαν.

17. Καὶ ἀπῆρε παρεμβολὴ υἱῶν Ἀμμὼν, καὶ μετ' αὐτῶν χιλιάδες πέντε υἱῶν Ἀσσούρ· καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι, καὶ προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱῶν Ἰσραήλ.

18. Καὶ ἀνέβησαν υἱοὶ Ἡσαῦ καὶ οἱ υἱοὶ Ἀμμὼν, καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέναντι Δωθαΐμ, καὶ ἀπέστειλαν ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι Ἐκρεβὴλ ἥ ἐστι πλησίον Χοὺς, ἥ ἐστιν ἐπὶ τοῦ χειμάῤῥου Μοχμοὺρ, καὶ ἡ λοιπὴ στρατιὰ τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ, καὶ ἐκάλυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ αἱ σκηναὶ καὶ αἱ ἀπαρτίαι αὐτῶν κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ, καὶ ἦσαν εἰς πλῆθος πολὺ σφόδρα.

19. Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀνεβόησαν πρὸς Κύριον Θεὸν αὐτῶν, ὅτι ὠλιγοψύχησε τὸ πνεῦμα αὐτῶν, ὅτι ἐκύκλωσαν πάντες οἱ ἐχθροὶ αὐτῶν, καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου αὐτῶν.

20. Καὶ ἔμεινε κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ἀσσοὺρ, οἱ πεζοὶ καὶ τὰ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριακοντατέσσαρας. Καὶ ἐξέλιπε πάντας τοὺς κατοικοῦντας Βετυλούα πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων·

7. et consideravit ascensiones civitatis eorum, et fontes aquarum eorum aggressus est, et occupavit eos, et imposuit eis castra virorum bellatorum, et ipse rediit ad populum suum.

8. Et accedentes ei omnes principes filiorum Esau, et omnes duces populi Moab, et duces maritimæ, dicebant :

9. Audiat nunc verbum dominus noster, ut non fiat quassatio in virtute tua.

10. Populus enim hic filiorum Israel non confidunt in lanceis suis, sed in sublimitatibus montium suorum, in quibus ipsi inhabitant in eis : non enim est facile accedere cacuminibus montium eorum.

11. Et nunc, domine, ne belles adversus eos sicut fit bellum prælii, et non cadet de populo tuo vir unus.

12. Mane in castris tuis, custodiens omnem virum de virtute tua, et obtineant pueri tui fontem aquæ qui egreditur e radice montis,

13. quoniam inde aquantur omnes habitantes Betylua, et perdet eos sitis, et dedent civitatem suam, et nos et populus noster ascendemus super vicina cacumina montium, et castrametabimur in eis ad custodiam, ut non exeat e civitate vir unus.

14. Et tabefient in fame, ipsi et uxores eorum, et filii eorum : et priusquam veniat gladius super eos, sternentur in plateis habitationis suæ, ∪ ∪ ?

15. et retribues eis retributionem malam, pro eo quod rebellarunt, et non occurrerunt faciei tuæ in pace.

16. Et placuerunt verba eorum in conspectu Olophernis, et in conspectu omnium ministrorum ejus, et constituerunt facere sicut locuti fuerant.

17. Et promoverunt castra filiorum Ammon, et cum eis millia quinque filiorum Assur : et castrametati sunt in valle, et præoccupaverunt aquas et fontes aquarum filiorum Israel.

18. Et ascenderunt filii Esau et filii Ammon, et castrametati sunt in montana contra Dothaim, et miserunt ex ipsis ad austrum et subsolanum e regione Ecrebel quæ est prope Chus, quæ est super torrentem Mochmur, et reliquus exercitus Assyriorum castrametati sunt in campo, et operuerunt omnem faciem terræ : et tabernacula et impedimenta eorum castrametata sunt in turba multa, et fuerunt in multitudine plurima valde.

19. Et filii Israel exclamaverunt ad Dominum Deum suum, quoniam pusillanimis factus est spiritus eorum, quoniam in circuitu erant omnes inimici ipsorum, et non erat effugere e medio eorum.

20. Et manserunt in circuitu eorum castra Assur, pedites et currus et equites eorum, diebus triginta quatuor. Et defecerunt omnibus habitantibus Betylua omnia receptacula sua aquarum :

21. καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ οὐκ εἶχον πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν.

22. Καὶ ἠθύμησαν τὰ νήπια αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης, καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως, καὶ ἐν ταῖς διόδοις τῶν πυλῶν, καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς.

23. Καὶ ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζίαν καὶ τοὺς ἄρχοντας τῆς πόλεως, οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, καὶ ἀνεβόησαν φωνῇ μεγάλῃ, καὶ εἶπαν ἐναντίον πάντων τῶν πρεσβυτέρων·

24. Κρίναι ὁ Θεὸς ἀναμέσον ἡμῶν καὶ ὑμῶν, ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀδικίαν μεγάλην, οὐ λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν Ἀσσούρ.

25. Καὶ νῦν οὐκ ἔστι βοηθὸς ἡμῶν, ἀλλὰ πέπρακεν ἡμᾶς ὁ Θεὸς εἰς τὰς χεῖρας αὐτῶν, τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ καὶ ἀπωλείᾳ μεγάλῃ.

26. Καὶ νῦν ἐπικαλέσασθε αὐτούς, καὶ ἔκδοσθε τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ὀλοφέρνου, καὶ πάσῃ τῇ δυνάμει αὐτοῦ.

27. Κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐτοῖς εἰς διαρπαγήν· ἐσόμεθα γὰρ εἰς δούλους, καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν, καὶ οὐκ ὀψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφθαλμοῖς ἡμῶν, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς ψυχὰς αὐτῶν.

28. Μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὸν Θεὸν ἡμῶν καὶ Κύριον τῶν πατέρων ἡμῶν, ὃς ἐκδικεῖ ἡμᾶς κατὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ κατὰ τὰ ἁμαρτήματα τῶν πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σήμερον.

29. Καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς ἐκκλησίας πάντων ὁμοθυμαδὸν, καὶ ἐβόησαν πρὸς Κύριον τὸν Θεὸν φωνῇ μεγάλῃ.

30. Καὶ εἶπε πρὸς αὐτοὺς Ὀζίας· Θαρσεῖτε, ἀδελφοί· διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας, ἐν αἷς ἐπιστρέψει Κύριος ὁ Θεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς· οὐ γὰρ ἐγκαταλείψει ἡμᾶς εἰς τέλος.

31. Ἐὰν δὲ διέλθωσιν αὗται, καὶ μὴ ἔλθῃ ἐφ' ἡμᾶς βοήθεια, ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν.

32. Καὶ ἐσκόρπισε τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολήν· καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἐξαπέστειλε. Καὶ ἦσαν ἐν ταπεινώσει πολλῇ ἐν τῇ πόλει.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδὶθ θυγάτηρ Μεραρὶ, υἱοῦ Ὢξ, υἱοῦ Ἰωσὴφ, υἱοῦ Ὀζιὴλ, υἱοῦ Ἐλκία, υἱοῦ Ἠλιοὺ, υἱοῦ Χελκίου, υἱοῦ Ἐλιάβ, υἱοῦ Ναθαναὴλ, υἱοῦ Σαλαμιὴλ, υἱοῦ Σαρασαδαΐ, υἱοῦ Ἰσραήλ·

2. καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσῆς, τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέθανεν ἐν ἡμέραις θερισμοῦ κριθῶν·

3. ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ δράγμα ἐν τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην, καὶ ἐτελεύτησεν ἐν Βετυλούᾳ τῇ πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀναμέσον Δωθαΐμ καὶ Βαλαμών.

21. et cisternæ evacuabantur, et non habebant bibere ad satietatem aquam diem unum, quoniam in mensura dabant eis bibere.

22. Et consternati sunt infantes eorum, et mulieres eorum et juvenes defecerunt præ siti, et cadebant in plateis civitatis, et in transitibus portarum, et non erat robur ultra in eis.

23. Et congregati sunt omnis populus ad Oziam et principes civitatis, juvenes et mulieres et pueri, et exclamaverunt voce magna, et dixerunt coram omnibus senioribus :

24. Judicet Deus inter nos et vos, quoniam fecistis in nobis injustitiam magnam, non loquentes pacifica cum filiis Assur.

25. Et nunc non est adjutor noster, sed vendidit nos Deus in manus eorum, ut prosternamur coram eis in siti et perditione magna.

26. Et nunc invocate eos, et date civitatem omnem in direptionem populo Olophernis, et omni virtuti ejus.

27. Melius enim nobis fieri eis in direptionem : erimus enim in servos, et vivet anima nostra, et non videbimus mortem infantium nostrorum in oculis nostris, et uxores et filios nostros deficientes animas eorum.

28. Contestamur vobis cœlum et terram, et Deum nostrum et Dominum patrum nostrorum, qui ulciscitur nos secundum peccata nostra, et secundum peccata patrum nostrorum, ut non faciat juxta verba hæc in die hodierna.

29. Et facta est ploratio magna in medio ecclesiæ omnium unanimiter, et clamaverunt ad Dominum Deum voce magna.

30. Et dixit ad eos Ozias : Confidite, fratres : obduremus adhuc quinque dies, in quibus convertet Dominus Deus noster misericordiam suam super nos : non enim derelinquet nos in finem.

31. Si autem transierint hi, et non venerit super nos auxilium, faciam secundum verba vestra.

32. Et dispersit populus in castra ipsius : et ad muros et turres civitatis suæ abierunt, et mulieres et filios in domos suas dimisit. Et fuerunt in humiliatione multa in civitate.

CAPUT VIII.

1. Et audivit in illis diebus Judith filia Merari, filii Ox, filii Joseph, filii Oziel, filii Elcia, filii Eliu, filii Chelciæ, filii Eliab, filii Nathanael, filii Salamiel, filii Sarasadai, filii Israel :

2. Et vir ejus Manasses, de tribu ejus et de patria ejus, et mortuus est in diebus messis hordeorum :

3. instabat enim super ligantem manipulum in campo, et æstus venit super caput ejus, et procidit in lectum, et obiit in Betylua civitate sua, et sepelierunt eum cum patribus ejus in agro qui inter Dothaim et Belamon.

4. Καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας.

5. Καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς, καὶ ἐπέθηκεν ἐπὶ τὴν ὀσφῦν αὐτῆς σάκκον· καὶ ἦν ἐπ' αὐτῆς τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.

6. Καὶ ἐνήστευε πάσας τὰς ἡμέρας χηρεύσεως αὐτῆς, χωρὶς προσαββάτων καὶ σαββάτων, καὶ προνουμηνιῶν καὶ νουμηνιῶν, καὶ ἑορτῶν, καὶ χαρμοσυνῶν οἴκου Ἰσραήλ.

7. Καὶ ἦν καλὴ τῷ εἴδει, καὶ ὡραία τῇ ὄψει σφόδρα. Καὶ ὑπελείπετο αὐτῇ Μανασσῆς ὁ ἀνὴρ αὐτῆς χρυσίον καὶ ἀργύριον, καὶ παῖδας καὶ παιδίσκας, καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμενεν ἐπ' αὐτῶν.

8. Καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν, ὅτι ἐφοβεῖτο τὸν Θεὸν σφόδρα.

9. Καὶ ἤκουσε τὰ ῥήματα τοῦ λαοῦ τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύχησαν ἐπὶ τῇ σπάνει τῶν ὑδάτων· καὶ ἤκουσε πάντας τοὺς λόγους Ἰουδὶθ οὓς ἐλάλησε πρὸς αὐτοὺς Ὀζίας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις.

10. Καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῆς, ἐκάλεσεν Ὀζίαν καὶ Χαβρὶν καὶ Χαρμὶν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς.

11. Καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶπε πρὸς αὐτούς· Ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων ἐν Βετυλούα· ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ ἐστήσατε τὸν ὅρκον ὃν ἐλαλήσατε ἀναμέσον τοῦ Θεοῦ καὶ ὑμῶν, καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ ὁ Κύριος βοηθῆσαι ἡμῖν.

12. Καὶ νῦν τίνες ἐστὲ ὑμεῖς οἳ ἐπειράσατε τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον, καὶ ἵστασθε ὑπὲρ τοῦ Θεοῦ ἐν μέσῳ υἱῶν ἀνθρώπων;

13. Καὶ νῦν Κύριον παντοκράτορα ἐξετάζετε, καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος·

14. ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ εὑρήσετε, καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ λήψεσθε· καὶ πῶς τὸν Θεὸν ὃς ἐποίησε τὰ πάντα ταῦτα ἐρευνήσετε, καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε, καὶ τὸν λογισμὸν αὐτοῦ κατανοήσετε; Μηδαμῶς, ἀδελφοί, μὴ παροργίζετε Κύριον τὸν Θεὸν ἡμῶν,

15. ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις, ἢ καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν.

16. Ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς ἀπειληθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου διαιτηθῆναι.

17. Διόπερ ἀναμένοντες τὴν παρ' αὐτοῦ σωτηρίαν, ἐπικαλεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν, ἐὰν ᾖ αὐτῷ ἀρεστόν.

18. Ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν, οὐδέ ἐστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλή, οὔτε πατριά, οὔτε δῆμος, οὔτε πόλις ἐξ ἡμῶν, οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις,

19. ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες ἡμῶν, καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν.

4. Et fuit Judith in domo sua viduitatem servans annos tres et menses quatuor.

5. Et fecit sibi tabernaculum super solarium domus suæ, et imposuit super lumbum suum cilicium : et erant super eam vestimenta viduitatis ejus.

6. Et jejunabat omnibus diebus viduitatis suæ, præter antesabbata et sabbata, et anteneomenias et neomenias, et festivitates, et lætas solemnitates domus Israel.

7. Et erat pulchra specie, et decora aspectu valde. Et reliquerat ei Manasses vir ejus aurum et argentum, et pueros et ancillas, et pecora et agros, et manebat super ea.

8. Et non erat qui inferret ei verbum malum, quoniam timebat Deum valde.

9. Et audivit verba populi mala in principem, quia animo defecerunt super raritate aquarum : et audivit omnia verba Judith quæ locutus erat ad eos Ozias, quomodo juraverat eis tradilurum civitatem post dies quinque Assyriis.

10. Et mittens ancillam suam quæ præerat omnibus substantiis suis, vocavit Oziam et Chabrin et Charmin seniores civitatis suæ.

11. Et venerunt ad eam, et dixit ad eos : Audite nunc me, principes habitantium in Betylua : quoniam non rectum est verbum vestrum quod locuti estis coram populo in die hac, et statuistis juramentum quod locuti estis inter Deum et vos, et dixistis dedituros civitatem inimicis nostris, nisi in illis diebus conversus fuerit Dominus ad adjuvandum nos.

12. Et nunc qui estis vos qui tentastis Deum in die hodierna, et statuistis pro Deo in medio filiorum hominum ?

13. Et nunc Dominum omnipotentem examinatis, et nihil cognoscetis usque in sæculum :

14. quoniam profundum cordis hominis non invenietis, et verba cogitationis ejus non percipietis : et quomodo Deum qui fecit omnia hæc investigabitis, et mentem ejus cognoscetis, et cogitationem ejus contemplabimini ? Nequaquam, fratres, nolite ad iracundiam provocare Dominum Deum nostrum,

15. quoniam si noluerit in istis quinque diebus auxiliari nobis, ipse habet potestatem in quibus velit tegere diebus, vel etiam exterminare nos ante faciem inimicorum nostrorum.

16. Vos autem ne extorqueatis consilia Domini Dei nostri, quoniam non tamquam homo Deus ut minis terreatur, neque tamquam filius hominis ut judicetur.

17. Quamobrem exspectantes eam quæ ab ipso salutem, invocemus eum in adjutorium nostrum, et exaudiet vocem nostram, si fuerit ipsi placitum.

18. Quoniam non surrexit in generationibus nostris, neque est in hodierna die neque tribus, neque patria, neque oppidum, neque civitas ex nobis, qui adorent deos manufactos, sicut factum est in prioribus diebus,

19. quorum gratia dati sunt in gladium et in direptionem patres nostri, et ceciderunt ruina magna coram inimicis nostris.

20. Ἡμεῖς δὲ ἕτερον Θεὸν οὐκ ἐπέγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι οὐχ ὑπερόψεται ἡμᾶς, οὐδ' ἀπὸ τοῦ γένους ἡμῶν.

21. Ὅτι ἐν τῷ ληφθῆναι ἡμᾶς, οὕτως καθήσεται πᾶσα ἡ Ἰουδαία, καὶ προνομευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει τὴν βεβήλωσιν αὐτῶν ἐκ τοῦ στόματος ἡμῶν,

22. καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν, καὶ τὴν αἰχμαλωσίαν τῆς γῆς, καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας ἡμῶν ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ἐὰν δουλεύσωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς πρόσκομμα καὶ εἰς ὄνειδος ἐναντίον τῶν κτωμένων ἡμᾶς.

23. Ὅτι οὐ κατευθυνθήσεται ἡ δουλεία ἡμῶν εἰς χάριν, ἀλλ' εἰς ἀτιμίαν θήσει αὐτὴν Κύριος ὁ Θεὸς ἡμῶν.

24. Καὶ νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡμῶν ὅτι ἐξ ἡμῶν κρέμαται ἡ ψυχὴ αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ θυσιαστήριον ἐπεστήρικται ἐφ' ἡμῖν.

25. Παρὰ ταῦτα πάντα εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς πατέρας ἡμῶν.

26. Μνήσθητε ὅσα ἐποίησε μετὰ Ἀβραάμ, καὶ ὅσα ἐπείρασε τὸν Ἰσαάκ, καὶ ὅσα ἐγένετο τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ·

27. ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν τῆς καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ' εἰς νουθέτησιν μαστιγοῖ Κύριος τοὺς ἐγγίζοντας αὐτῷ.

28. Καὶ εἶπε πρὸς αὐτὴν Ὀζίας· Πάντα ὅσα εἶπας, ἀγαθῇ καρδίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου.

29. Ὅτι οὐκ ἐν τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλὰ ἀπ' ἀρχῆς ἡμερῶν σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐστι τὸ πλάσμα τῆς καρδίας σου.

30. Ἀλλ' ὁ λαὸς ἐδίψησε σφόδρα, καὶ ἠνάγκασαν ποιῆσαι ἡμᾶς καθὰ ἐλαλήσαμεν αὐτοῖς, καὶ ἀπαγαγεῖν ὅρκον ἐφ' ἡμᾶς, ὃν οὐ παραβησόμεθα.

31. Καὶ νῦν δεήθητι περὶ ἡμῶν, ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ Κύριος τὸν ὑετὸν εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ ἐκλείψομεν ἔτι.

32. Καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· Ἀκούσατέ μου, καὶ ποιήσω πρᾶγμα ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν.

33. Ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα ταύτην, καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἅβρας μου, καὶ ἐν ταῖς ἡμέραις μεθ' ἃς εἴπατε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐπισκέψεται Κύριος τὸν Ἰσραὴλ ἐν χειρί μου.

34. Ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν μου, οὐ γὰρ ἐρῶ ὑμῖν, ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ.

35. Καὶ εἶπεν Ὀζίας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν· Πορεύου εἰς εἰρήνην, καὶ Κύριος ὁ Θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐχθρῶν ἡμῶν.

36. Καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν ἐπὶ τὰς διατάξεις αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Ἰουδὶθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐπέθετο

20. Nos autem alium Deum non agnovimus præter eum : unde speramus quia non despiciet nos, neque a genere nostro.

21. Quoniam cum capti fuerimus nos, sic sedebit omnis Judæa, et diripientur sancta nostra, et quæret pollutionem eorum de ore nostro,

22. et cædem fratrum nostrum, et captivitatem terræ, et desolationem hæreditatis nostræ convertet in caput nostrum in gentibus, ubicumque servierimus ibi, et erimus in offendiculum et in opprobrium coram possidentibus nos.

23. Quoniam non dirigetur servitus nostra in gratiam, sed in ignominiam dabit eam Dominus Deus noster.

24. Et nunc, fratres, ostendamus fratribus nostris quia ex nobis pendet anima eorum, et sancta et domus et altare innitentur super nos.

25. Præter hæc omnia gratias agamus Domino Deo nostro, qui tentat nos sicut et patres nostros.

26. Recordamini quæcumque fecit cum Abraham, et quæcumque tentavit Isaac, et quæcumque evenerunt Jacob in Mesopotamia Syriæ pascenti pecora Laban fratris matris suæ :

27. quoniam non sicut illos examinavit in examen cordis eorum, etiam nos non est ultus, sed ad monitionem flagellat Dominus appropinquantes sibi.

28. Et dixit ad eam Ozias : Omnia quæcumque dixisti, bono corde locuta es, et non est qui resistat verbis tuis.

29. Quoniam non hodie sapientia tua manifesta est, sed a principio dierum tuorum novit omnis populus intellectum tuum, quomodo bona est formatio cordis tui.

30. Sed populus sitivit vehementer, et coegerunt facere nos secundum ea quæ locuti sumus eis, et inducere juramentum super nos, quod non transgrediemur.

31. Et nunc ora pro nobis, quoniam mulier pia es, et mittet Dominus pluviam ad impletionem cisternarum nostrarum, et non deficiemus ultra.

32. Et dixit ad eos Judith : Audite me, et faciam rem quæ perveniet in generationes generationum filiis generis nostri.

33. Vos stabitis super portam nocte hac, et exibo ego cum ancilla mea, et in diebus post quos dixistis tradituros civitatem inimicis nostris, visitabit Dominus Israel in manu mea.

34. Vos autem non perscrutabimini actionem meam, non enim dicam vobis, donec perfecta fuerint quæ ego facio.

35. Et dixit Ozias et principes ad eam : Vade in pace, et Dominus Deus ante te in ultionem inimicorum nostrorum.

36. Et revertentes e tabernaculo iverunt ad ordines suos.

CAPUT IX.

1. Judith autem procidit in faciem, et imposuit cinerem

σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον. Καὶ ἦν ἄρτι προσφερόμενον ἐν Ἱερουσαλὴμ εἰς τὸν οἶκον τοῦ Θεοῦ τὸ θυμίαμα τῆς ἑσπέρας ἐκείνης, καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδὶθ πρὸς Κύριον, καὶ εἶπε·

2. Κύριε ὁ Θεὸς τοῦ πατρός μου Συμεὼν, ᾧ ἔδωκας ἐν χειρὶ ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν, οἳ ἔλυσαν μήτραν παρθένου εἰς μίασμα, καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην, καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος· εἶπας γάρ· Οὐχ οὕτως ἔσται.

3. Καὶ ἐποίησαν ἀνθ' ὧν ἔδωκας ἄρχοντας αὐτῶν εἰς φόνον, καὶ τὴν στρωμνὴν αὐτῶν ἣ ᾐδέσατο τὴν ἀπάτην αὐτῶν εἰς αἷμα, καὶ ἐπάταξας δούλους ἐπὶ δυνάσταις, καὶ δυνάστας ἐπὶ θρόνους αὐτῶν.

4. Καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν, καὶ θυγατέρας εἰς αἰχμαλωσίαν, καὶ πάντα τὰ σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ σοῦ, οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν σου, καὶ ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν, καὶ ἐπεκαλέσαντό σε εἰς βοηθόν. Ὁ Θεὸς, ὁ Θεὸς ὁ ἐμὸς, καὶ εἰσάκουσον ἐμοῦ τῆς χήρας.

5. Σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων, καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν ἃ ἐνενοήθης,

6. καὶ παρέστησαν ἃ ἐβουλεύσω, καὶ εἶπαν· Ἰδοὺ πάρεσμεν· πᾶσαι γὰρ αἱ ὁδοί σου ἕτοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει.

7. Ἰδοὺ γὰρ Ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ' ἵππῳ καὶ ἀναβάτῃ, ἐγαυρίασαν ἐν βραχίονι πεζῶν, ἤλπισαν ἐν ἀσπίδι καὶ ἐν γαισῷ καὶ τόξῳ καὶ σφενδόνῃ, καὶ οὐκ ἔγνωσαν ὅτι σὺ εἶ Κύριος συντρίβων πολέμους· Κύριος ὄνομά σοι.

8. Σὺ ῥάξον αὐτῶν τὴν ἰσχὺν ἐν δυνάμει σου, καὶ κάταξον τὸ κράτος αὐτῶν ἐν τῷ θυμῷ σου· ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου, μιᾶναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης σου, καὶ καταβαλεῖν σιδήρῳ κέρας θυσιαστηρίου σου.

9. Βλέψον εἰς ὑπερηφανίαν αὐτῶν, ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφαλὰς αὐτῶν. Δὸς ἐν χειρί μου τῆς χήρας ὃ διενοήθην κράτος·

10. πάταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου ἐπ' ἄρχοντι, καὶ ἄρχοντα ἐπὶ θεράποντι αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστεμα ἐν χειρὶ θηλείας.

11. Οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία σου ἐν ἰσχύουσιν, ἀλλὰ ταπεινῶν εἶ Θεὸς, ἐλαττόνων εἶ βοηθὸς, ἀντιλήπτωρ ἀσθενούντων, ἀπεγνωσμένων σκεπαστὴς, ἀπηλπισμένων σωτήρ.

12. Ναὶ, ναὶ, ὁ Θεὸς τοῦ πατρός μου, καὶ Θεὸς κληρονομίας Ἰσραὴλ, δέσποτα τῶν οὐρανῶν καὶ τῆς γῆς, κτίστα τῶν ὑδάτων, βασιλεῦ πάσης κτίσεώς σου, σὺ εἰσάκουσον τῆς δεήσεώς μου,

13. καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα καὶ μώλωπα αὐτῶν οἳ κατὰ τῆς διαθήκης σου, καὶ οἴκου ἡγιασμένου σου, καὶ κορυφῆς Σιὼν, καὶ οἴκου κατασχέσεως υἱῶν σου ἐβουλεύσαντο σκληρά.

14. Καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος σου, καὶ πάσης φυλῆς, ἐπίγνωσιν τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ Θεὸς πάσης δυνάμεως καὶ κράτους, καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων τοῦ γένους Ἰσραὴλ εἰ μὴ σύ.

super caput suum, et nudavit quem indueral saccum. Et erat nuper oblatum in Jerusalem in domo Dei thymiama vesperæ illius, et clamavit voce magna Judith ad Dominum, et dixit:

2. Domine Deus patris mei Symeon, cui dedisti in manu gladium in ultionem alienigenarum, qui solverant vulvam virginis in pollutionem, et nudaverunt femur in confusionem, et polluerunt vulvam in opprobrium : dixisti enim : Non sic erit.

3. Et pro iis quæ fecerunt, dedisti principes eorum in cædem, et stratum eorum quod noverat deceptionem eorum in sanguinem, et percussisti servos super dynastas, et dynastas super thronos eorum.

4. Et dedisti uxores eorum in direptionem, et filias in captivitatem, et omnia spolia in distributionem filiorum dilectorum a te, qui etiam zelaverant zelum tuum, et abominati erant contaminationem sanguinis sui, et invocaverant te in adjutorem. Deus, Deus meus, etiam exaudi me viduam.

5. Tu enim fecisti quæ ante illa, et illa et quæ deinceps et quæ nunc et supervenientia cogitasti, et facta sunt quæ in mente habuisti,

6. et affuerunt quæ deliberasti, et dixerunt : Ecce adsumus : omnes enim viæ tuæ paratæ, et judicium tuum in præcognitione,

7. Ecce enim Assyrii multiplicati sunt in virtute sua, exaltati sunt super equo et ascensore, gloriati sunt in brachio peditum, speraverunt in clypeo et in gæso et arcu et fundibula, et non cognoverunt quia tu es Dominus conterens bella : Dominus nomen tibi.

8. Tu frange eorum fortitudinem in virtute tua, et prosterne robur eorum in furore tuo : deliberaverunt enim polluere sancta tua, contaminare tabernaculum requietis nominis gloriæ tuæ, et diruere ferro cornu altaris tui.

9. Aspice in superbiam eorum, mitte iram tuam in capita eorum. Da in manu mea viduæ quod cogitavi robur :

10. percute servum e labiis deceptionis meæ super principem, et principem super ministrum ejus, frange eorum celsitudinem in manu fœminæ.

11. Non enim in multitudine robur tuum, neque potentatus tuus in fortibus, sed humilium es Deus, minorum es adjutor, susceptor infirmorum, deploratorum protector, desperatorum salvator.

12. Næ, næ, Deus patris mei, et Deus hæreditatis Israel, domine cœlorum et terræ, creator aquarum, rex omnis creaturæ tuæ, tu exaudi orationem meam,

13. et da verbum meum et deceptionem in vulnus et livorem eorum qui contra testamentum tuum, et domum sanctificatam tuam, et verticem Sion, et domum possessionis filiorum tuorum deliberaverunt dura.

14. Et fac super omnem gentem tuam, et omnem tribum, cognitionem ad sciendum quia tu es Deus omnis virtutis et potentiæ, et non est alius protegens genus Israel nisi tu.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Καὶ ἐγένετο, ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν Θεὸν Ἰσραὴλ, καὶ συνετέλεσε πάντα τὰ ῥήματα ταῦτα,

2. καὶ ἀνέστη ἀπὸ τῆς πτώσεως, καὶ ἐκάλεσε τὴν ἅβραν αὐτῆς, καὶ κατέβη εἰς τὸν οἶκον ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς,

3. καὶ περιείλατο τὸν σάκκον ὃν ἐνεδεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς, καὶ περιεκλύσατο τὸ σῶμα ὕδατι, καὶ ἐχρίσατο μύρῳ παχεῖ, καὶ διέταξε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς, καὶ ἐπέθετο μίτραν ἐπ' αὐτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύνης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ·

4. καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς, καὶ περιέθετο τοὺς χλιδῶνας καὶ τὰ ψέλλια, καὶ τοὺς δακτυλίους, καὶ τὰ ἐνώτια, καὶ πάντα τὸν κόσμον αὐτῆς· καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν ἀνδρῶν ὅσοι ἂν ἴδωσιν αὐτήν.

5. Καὶ ἔδωκε τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου, καὶ καμψάκην ἐλαίου, καὶ πήραν ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων καθαρῶν, καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα αὐτῆς, καὶ ἐπέθηκεν ἐπ' αὐτῇ.

6. Καὶ ἐξήλθοσαν ἐπὶ τὴν πύλην τῆς πόλεως Βετυλούα, καὶ εὕροσαν ἐφεστῶτας ἐπ' αὐτῆς Ὀζίαν, καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως Χαβρὶν καὶ Χαρμίν.

7. Ὡς δὲ εἶδον αὐτὴν, καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς, καὶ τὴν στολὴν μεταβεβληκυῖαν αὐτῆς, καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα, καὶ εἶπαν αὐτῇ·

8. Ὁ Θεὸς, ὁ Θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χάριν, καὶ τελειῶσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ, καὶ ὕψωμα Ἱερουσαλήμ. Καὶ προσεκύνησε τῷ Θεῷ,

9. καὶ εἶπε πρὸς αὐτούς· Ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξελεύσομαι εἰς τελείωσιν τῶν λόγων ὧν ἐλαλήσατε μετ' ἐμοῦ. Καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησαν,

10. καὶ ἐποίησαν οὕτως. Καὶ ἐξῆλθεν Ἰουδὶθ, αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετ' αὐτῆς· ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος, ἕως διῆλθε τὸν αὐλῶνα, καὶ οὐκ ἔτι ἐθεώρουν αὐτήν.

11. Καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυλακὴ τῶν Ἀσσυρίων,

12. καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν· Τίνων εἶ, καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ; Καὶ εἶπε· Θυγάτηρ εἰμὶ τῶν Ἑβραίων, καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσι δίδοσθαι ὑμῖν εἰς κατάβρωμα.

13. Κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν, τοῦ ἀναγγεῖλαι ῥήματα ἀληθείας, καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδὸν καθ' ἣν πορεύσεται, καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σὰρξ μία, οὐδὲ πνεῦμα ζωῆς.

14. Ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς, καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς, καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα, καὶ εἶπαν πρὸς αὐτήν·

15. Σέσωκας τὴν ψυχήν σου, σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ

CAPUT X.

1. Et factum est, ut cessavit clamans ad Deum Israel, et consummavit omnia verba hæc,

2. et surrexit a dejectione, et vocavit ancillam suam, et descendit in domum in qua versabatur in ea in diebus sabbatorum et in festivitatibus suis,

3. et circumabstulit saccum quem induerat, et exuit vestimenta viduitatis suæ, et circumlavit corpus aqua, et unxit unguento pingui, et discriminavit capillos capitis sui, et imposuit mitram super illud, et induit vestimenta lætitiæ suæ, in quibus amiciebatur in diebus vitæ viri sui Manasse :

4. et sumpsit sandalia in pedes suos, et circumposuit monilia et armillas, et annulos, et inaures, et omnem ornatum suum : et ornata est valde in deceptionem oculorum hominum quicumque viderint eam.

5. Et dedit ancillæ suæ ascoperam vini, et campsacem olei, et peram implevit farinis et palatha et panibus mundis, et circumduplicavit omnia vasa sua, et imposuit super eam.

6. Et exiverunt ad portam civitatis Betylua, et invenerunt insistentes super eam Oziam, et seniores civitatis Chabrin et Charmin.

7. Ut autem viderunt eam, et erat mutata facies ejus, et stolam mutatam ejus, et mirati sunt super pulchritudine ejus quamplurimum valde, et dixerunt ei :

8. Deus, Deus patrum nostrorum det te in gratiam, et perficere adinventiones tuas in gloriationem filiorum Israel, et exaltationem Jerusalem. Et adoravit Deum,

9. et dixit ad eos : Præcipite aperire mihi portam civitatis, et exibo ad perfectionem verborum quæ locuti estis mecum. Et præceperunt juvenibus aperire ei sicut locuti fuerant,

10. et fecerunt sic. Et exiit Judith, ipsa et ancilla ejus cum ea : prospectabant autem eam viri civitatis quoadusque descendit montem, donec transiit vallem, et non ultra aspiciebant eam.

11. Et ibant in valle in rectum, et occurrerunt ei exploratores Assyriorum,

12. et ceperunt eam et interrogaverunt : Quorum es, et unde venis, et quo vadis? Et dixit : Filia sum Hebræorum, et aufugio a facie eorum, quoniam dandi sunt vobis in devorationem.

13. Et ego venio ad faciem Olophernis principis virtutis vestræ, ad annuntiandum verba veritatis, et ostendam ante faciem ejus viam per quam ibit, et dominabitur universæ montanæ, et non dissonabit de viris ejus caro una, neque spiritus vitæ.

14. Ut autem audiverunt viri verba ejus, et contemplati sunt faciem ejus, et erat ante eos admirabilis pulchritudine valde, et dixerunt ad eam :

15. Salvasti animam tuam, festinans descendere ad faciem domini nostri : et nunc accede ad tabernaculum ejus,

τὴν σκηνὴν αὐτοῦ, καὶ ἀφ' ἡμῶν προπέμψουσί σε, ἕως παραδώσουσί σε εἰς τὰς χεῖρας αὐτοῦ.

16. Ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε ποιήσει.

17. Καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν, καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἄβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου.

18. Καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς Ὀλοφέρνου, ἕως προςήγγειλαν αὐτῷ περὶ αὐτῆς.

19. Καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς, καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ' αὐτῆς. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Τίς καταφρονήσει τοῦ λαοῦ τούτου ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; Ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν.

20. Καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες Ὀλοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ, καὶ εἰςήγαγον αὐτὴν εἰς τὴν σκηνήν.

21. Καὶ ἦν Ὀλοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένων.

22. Καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ.

23. Ὡς δὲ ἦλθε κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ καὶ τῶν θεραπόντων αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς· καὶ πεσοῦσα ἐπὶ πρόσωπον προςεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· Θάρσησον, γύναι, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον ὅς τις ᾑρέτικε δουλεύειν βασιλεῖ Ναβουχοδονόσορ πάσης τῆς γῆς.

2. Καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρεινὴν, εἰ μὴ ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ' αὐτοὺς, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἐποίησαν ταῦτα.

3. Καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας ἀπ' αὐτῶν καὶ ἦλθες πρὸς ἡμᾶς; Ἥκεις γὰρ εἰς σωτηρίαν. Θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ, καὶ εἰς τὸ λοιπόν.

4. Οὐ γάρ ἐστιν ὃς ἀδικήσει σε, ἀλλ' εὖ σε ποιήσει καθὰ γίνεται τοῖς δούλοις τοῦ κυρίου μου βασιλέως Ναβουχοδονόσορ.

5. Καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· Δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ παιδίσκη σου κατὰ πρόσωπόν σου, καὶ οὐκ ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ.

6. Καὶ ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ σοῦ ὁ Θεὸς, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων αὐτοῦ.

7. Ζῇ γὰρ βασιλεὺς Ναβουχοδονόσορ πάσης τῆς γῆς, καὶ ζῇ τὸ κράτος αὐτοῦ, ὃς ἀπέστειλέ σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ, ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ, καὶ πάντα τὸν οἶκον αὐτοῦ.

et ex nobis præmittent te, donec tradent te in manus ejus.

16. Si autem steteris coram eo, ne timeas corde tuo, sed annuntia secundum verba tua, et bene tibi faciet.

17. Et elegerunt ex ipsis viros centum, et adjunxerunt ei et ancillæ ejus, et duxerunt eas ad tabernaculum Olophernis.

18. Et factus est concursus in omnibus castris, personuerat enim in tabernaculis præsentia ejus : et venientes circumdabant eam sicut stabat extra tabernaculum Olophernis, donec annuntiaverunt ei de ea.

19. Et mirabantur super pulchritudine ejus, et mirabantur filios Israel ex ea. Et dixit unusquisque ad proximum suum : Quis contemnet populum hunc qui habet in se mulieres tales? Quoniam non bonum est remanere ex eis virum unum, qui dimissi poterunt decipere omnem terram.

20. Et exierunt qui dormiebant juxta Olophernem et omnes ministri ejus, et introduxerunt eam in tabernaculum.

21. Et erat Olophernes requiescens super lectum suum in conopeo, quod erat ex purpura et auro et smaragdo et lapidibus pretiosis intextis.

22. Et annuntiaverunt ei de ea, et exivit in proscenium, et lampades argenteæ præcedentes eum.

23. Ut autem venit ad faciem ejus Judith et ministrorum ejus, mirati sunt omnes super pulchritudine faciei ejus : et procidens in faciem adoravit eum, et erexerunt eam servi ejus.

CAPUT XI.

1. Et dixit ad eam Olophernes : Confide, mulier, ne timeas corde tuo, quoniam ego non malefaciam homini quisquis elegerit servire regi Nabuchodonosor omnis terræ.

2. Et nunc populus tuus habitans montanam, nisi vilipendissent me, non elevassem hastam meam super eos, sed ipsi sibi fecerunt hæc.

3. Et nunc dic mihi cujus gratia aufugisti ab eis et venisti ad nos? Venis enim ad salutem. Confide, in nocte hac vives, et in reliquum.

4. Non enim est qui tibi injuriam illaturus sit, sed bene tibi faciet sicut fit servis domini mei regis Nabuchodonosor.

5. Et dixit ad eum Judith : Suscipe verba servæ tuæ, et loquatur ancilla tua ad faciem tuam, et non annuntiabo mendacium domino meo in nocte hac.

6. Et si secutus fueris verba ancillæ tuæ, perfecte negotium faciet tecum Deus, et non decidet dominus meus a studiis suis.

7. Vivit enim rex Nabuchodonosor universæ terræ, et vivit imperium ejus, qui misit te ad correctionem omnis animæ, quia non solum homines propter te servient ei, sed etiam bestiæ agri et pecora et volatilia cœli propter fortitudinem tuam vivent super Nabuchodonosor, et omnem domum ejus.

8. Ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ πανουργεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι σὺ μόνος ἀγαθὸς ἐν πάσῃ βασιλείᾳ, καὶ δυνατὸς ἐν ἐπιστήμῃ, καὶ θαυμαστὸς ἐν στρατεύμασι πολέμου.

9. Καὶ νῦν ὁ λόγος ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρείᾳ σου, ἠκούσαμεν τὰ ῥήματα αὐτοῦ, ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βετυλούα, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα ὅσα ἐξελάλησεν παρὰ σοί.

10. Διὸ, δέσποτα κύριε, μὴ παρέλθῃς τὸν λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου, ὅτι ἀληθής ἐστιν· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ κατισχύει ῥομφαία ἐπ' αὐτοὺς, ἐὰν μὴ ἁμάρτωσιν εἰς τὸν Θεὸν αὐτῶν.

11. Καὶ νῦν, ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος, καὶ ἐπιπεσεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα ἐν ᾧ παροργιοῦσι τὸν Θεὸν αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτοπίαν.

12. Ἐπεὶ γὰρ ἐξέλιπεν αὐτοὺς τὰ βρώματα, καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβουλεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν, καὶ πάντα ὅσα διεστείλατο αὐτοῖς ὁ Θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι.

13. Καὶ τὰς ἀπαρχὰς τοῦ σίτου, καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκόσιν ἐν Ἱερουσαλὴμ ἀπέναντι τοῦ προσώπου τοῦ Θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψασθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ.

14. Καὶ ἀπεστάλκασιν εἰς Ἱερουσαλὴμ, ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα, τοὺς μετοικίσαντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας.

15. Καὶ ἔσται, ὡς ἂν ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

16. Ὅθεν ἐγὼ ἡ δούλη σου, ἐπιγνοῦσα ταῦτα πάντα, ἀπέδρων ἀπὸ προσώπου αὐτῶν. Καὶ ἀπέστειλέ με ὁ Θεὸς ποιῆσαι μετὰ σοῦ πράγματα ἐφ' οἷς ἐκστήσεται πᾶσα ἡ γῆ ὅσοι ἐὰν ἀκούσωσιν αὐτά.

17. Ὅτι ἡ δούλη σου θεοσεβής ἐστι, καὶ θεραπεύουσα νυκτὸς καὶ ἡμέρας τὸν Θεὸν τοῦ οὐρανοῦ· καὶ νῦν μενῶ παρά σοι, κύριέ μου, καὶ ἐξελεύσεται ἡ δούλη σου κατὰ νύκτα εἰς τὴν φάραγγα, καὶ προσεύξομαι πρὸς τὸν Θεόν· καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν·

18. καὶ ἐλθοῦσα προσανοίσω σοι· ἐξελεύσῃ σὺν πάσῃ τῇ δυνάμει σου, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐτῶν.

19. Καὶ ἄξω σε διὰ μέσου τῆς Ἰουδαίας, ἕως τοῦ ἐλθεῖν ἀπέναντι Ἱερουσαλὴμ· καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις αὐτοὺς ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν. Καὶ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ ἀπέναντί σου, ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν μου, καὶ ἀπηγγέλη μοι, καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι.

20. Καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον Ὀλοφέρνου, καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς, καὶ εἶπαν·

21. Οὐκ ἔστι τοιαύτη γυνὴ ἀπ' ἄκρου ἕως ἄκρου τῆς γῆς καλῷ προσώπῳ καὶ συνέσει λόγων.

22. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· Εὖ ἐποίησεν

8. Audivimus enim sapientiam tuam et calliditates animæ tuæ, et annuntiatum est omni terræ quia tu solus bonus in omni regno, et potens in scientia, et mirabilis in expeditionibus belli.

9. Et nunc sermo quem locutus est Achior in consessu tuo, audivimus verba ejus, quoniam servaverunt eum viri Betylua, et annuntiavit eis omnia quæcumque elocutus erat apud te.

10. Quare, dominator domine, ne transgrediaris verbum ejus, sed depone illud in corde tuo, quoniam verax est : non enim sumitur vindicta de genere nostro, non prævalet gladius adversus eos, nisi peccaverint in Deum suum.

11. Et nunc, ut non fiat dominus meus ejectus et re infecta desistens, et cadet mors super faciem eorum, et occupavit eos peccatum in quo irritabunt Deum suum, quandocumque fecerint absurditatem.

12. Quoniam enim defecerunt eos escæ, et rarefacta est omnis aqua, deliberaverunt injicere manum jumentis suis, et omnia quæcumque distinxit eis Deus in legibus suis non comedere, decreverunt insumere.

13. Et primitias frumenti, et decimas vini et olei, quæ servaverant sanctificantes sacerdotibus assistentibus in Jerusalem ante faciem Dei nostri, decreverunt expendere, quæ neque manibus oportebat tangere quemquam eorum qui de populo.

14. Et miserunt in Jerusalem, quoniam qui ibi habitant fecerunt hæc, eos qui transportarent ipsis remissionem a senatu.

15. Et erit, simul ac renuntiatum ipsis fuerit et fecerint, dabuntur tibi in perditionem in die illa.

16. Unde ego serva tua, cognoscens hæc omnia, aufugi a facie eorum. Et misit me Deus facere tecum negotia super quibus stupebit universa terra quicumque audiverint ea.

17. Quoniam serva tua Dei cultrix est, et ministrans nocte et die Deo cœli : et nunc manebo apud te, domine mi, et exibit serva tua per noctem in vallem, et deprecabor ad Deum : et dicet mihi quando fecerint peccata sua :

18. et veniens deferam tibi; egredieris cum omni virtute tua, et non est qui resistet tibi ex eis.

19. Et ducam te per medium Judææ, usque ad veniendum contra Jerusalem : et ponam sedem tuam in medio ejus, et ages eos tamquam oves quibus non est pastor. Et non latrabit canis lingua sua coram te, quoniam hæc dicta sunt mihi secundum præcognitionem meam, et annuntiata sunt mihi, et missa sum annuntiare tibi.

20. Et placuerunt verba ejus coram Olopherne, et coram omnibus ministris ejus, et mirati sunt super sapientia ejus, et dixerunt :

21. Non est talis mulier a summo usque ad summum terræ pulchra specie et intellectu verborum.

22. Et dixit ad eam Olophernes : Bene fecit Deus mittens

ὁ Θεὸς ἀποστείλας σε ἔμπροσθεν τοῦ λαοῦ, τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος, ἐν δὲ τοῖς φαυλίσασι τὸν κύριόν μου ἀπώλειαν.

23. Καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου, καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου. Ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλάλησας, ὁ Θεός σου ἔσται μου θεὸς, καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβουχοδονόσορ καθήσῃ, καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν.

te ante populum, ut fiat in manibus nostris potentia, in iis autem qui vilipenderunt dominum meum perditio.

23. Et nunc venusta es tu in specie tua, et bona in verbis tuis. Quare si feceris sicut locuta es, Deus tuus erit meus deus, et tu in domo regis Nabuchodonosor sedebis, et eris nominata apud omnem terram.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἐκέλευσεν εἰςαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀργυρώματα, καὶ αὐτοῦ συνέταξε καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων αὐτοῦ, καὶ τοῦ οἴνου αὐτοῦ πίνειν.

2. Καὶ εἶπεν Ἰουδίθ· Οὐ φάγομαι ἐξ αὐτῶν, ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ' ἐκ τῶν ἠκολουθηκότων μοι χορηγηθήσεται.

3. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· Ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόθεν ἐξοίσομέν σοι δοῦναι ὅμοια αὐτοῖς; Οὐ γάρ ἐστι μεθ' ἡμῶν ἐκ τοῦ ἔθνους σου.

4. Καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτόν· Ζῇ ἡ ψυχή σου, κύριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ' ἐμοῦ, ἕως ἂν ποιήσῃ Κύριος ἐν χειρί μου ἃ ἐβουλεύσατο.

5. Καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες Ὀλοφέρνου εἰς τὴν σκηνὴν, καὶ ὕπνωσε μέχρι μεσούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἑωθινὴν φυλακὴν,

6. καὶ ἀπέστειλε πρὸς Ὀλοφέρνην, λέγουσα· Ἐπιταξάτω δὴ ὁ κύριός μου, ἐᾶσαι τὴν δούλην σου ἐπὶ προςευχὴν ἐξελθεῖν.

7. Καὶ προςέταξεν Ὀλοφέρνης τοῖς σωματοφύλαξι μὴ διακωλύειν αὐτήν. Καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς, καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βετυλούα, καὶ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος.

8. Καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ Κυρίου Θεοῦ Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀνάστεμα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ.

9. Καὶ εἰςπορευομένη καθαρὰ παρέμενε ἐν τῇ σκηνῇ, μέχρις οὗ προςηνέγκατο τὴν τροφὴν αὐτῆς πρὸς ἑσπέραν.

10. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ, ἐποίησεν Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις, καὶ οὐκ ἐκάλεσεν εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις.

11. Καὶ εἶπε Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ· Πεῖσον δὴ πορευθεὶς τὴν γυναῖκα τὴν Ἑβραίαν ἥ ἐστι παρὰ σοὶ, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς, καὶ φαγεῖν καὶ πιεῖν μεθ' ἡμῶν.

12. Ἰδοὺ γὰρ αἰσχρὸν τῷ προςώπῳ ἡμῶν, εἰ γυναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ, ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα, καταγελάσεται ἡμῶν.

13. Καὶ ἐξῆλθε Βαγώας ἀπὸ προςώπου Ὀλοφέρνου, καὶ εἰςῆλθε πρὸς αὐτὴν, καὶ εἶπε· Μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόςωπον αὐτοῦ, καὶ πιέσαι μεθ' ἡμῶν εἰς εὐφροσύνην οἶνον, καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ἀσσοὺρ αἳ παρεστήκασιν ἐν οἴκῳ Ναβουχοδονόσορ.

14. Καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· Καὶ τίς εἰμι ἐγὼ

CAPUT XII.

1. Et jussit introducere eam ubi posita erat supellex argentea sua, et ibi præcepit parari ei de obsoniis suis, et de vino suo bibere.

2. Et dixit Judith : Non comedam ex eis, ut non fiat scandalum, sed de iis quæ secuta sunt me præbebitur.

3. Et dixit ad eam Olophernes : Si autem defecerint quæ sunt tecum, unde proferemus tibi ad dandum similia eis? Non enim est nobiscum de gente tua.

4. Et dixit Judith ad eum : Vivit anima tua, domine mi, quia non insumet serva tua ea quæ sunt mecum, donec fecerit Dominus in manu mea quæ deliberavit.

5. Et duxerunt eam ministri Olophernis in tabernaculum, et dormivit usque ad mediam noctem : et surrexit ad matutinam vigiliam,

6. et misit ad Olophernem, dicens : Præcipiat, quæso, dominus meus, permittere servam tuam ad deprecationem exire.

7. Et præcepit Olophernes custodibus corporis non prohibere eam. Et mansit in castris dies tres, et exibat per noctem in vallem Betylua, et baptizabatur in castris super fontem aquæ.

8. Et ut ascenderat, orabat Dominum Deum Israel dirigere viam ipsius ad suscitationem filiorum populi sui.

9. Et ingrediens munda manebat in tabernaculo, quoadusque attulisset alimentum suum ad vesperam.

10. Et factum est in die quarta, fecit Olophernes convivium servis suis solis, et non vocavit ad ministerium quemquam ex iis qui ad usus.

11. Et dixit Bagoæ eunucho, qui erat præfectus super omnia quæ ipsius : Persuade nunc vadens mulieri illi Hebrææ quæ est apud te, venire ad nos, et comedere et bibere nobiscum.

12. Ecce enim fœdum faciei nostræ, si mulierem talem omittamus non conversantes cum ea, quoniam si hanc non allexerimus, irridebit nos.

13. Et exivit Bagoas a facie Olophernis, et intravit ad eam, et dixit : Ne cunctetur, quæso, puella pulchra hæc veniens ad dominum meum glorificari ad faciem ejus, et bibere nobiscum in lætitia vinum, et fieri in die hac sicut filia una filiorum Assur quæ assistunt in domo Nabuchodonosor.

14. Et dixit ad eum Judith : Et quæ sum ego contradi-

ἀντεροῦσα τῷ κυρίῳ μου; Ὅτι πᾶν ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεστὸν, σπεύσασα ποιήσω, καὶ ἔσται τοῦτο ἀγαλλίαμα ἕως ἡμέρας θανάτου μου.

15. Καὶ διαναστᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ· καὶ προσῆλθεν ἡ δούλη αὐτῆς, καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ ἔλαβε παρὰ Βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς, εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ' αὐτῶν.

16. Καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδὶθ, καὶ ἐξέστη ἡ καρδία Ὀλοφέρνου ἐπ' αὐτὴν, καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ· καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ' αὐτῆς, καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν, ἀφ' ἧς ἡμέρας εἶδεν αὐτήν.

17. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· Πίε δὴ, καὶ γενήθητι μεθ' ἡμῶν εἰς εὐφροσύνην.

18. Καὶ εἶπεν Ἰουδίθ· Πίομαι δὴ, κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου.

19. Καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐτοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς.

20. Καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ' αὐτῆς, καὶ ἔπιεν οἶνον πολὺν σφόδρα, ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ' οὗ ἐγεννήθη.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

1. Ὡς δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν· καὶ Βαγώας συνέκλεισε τὴν σκηνὴν ἔξωθεν, καὶ ἀπέκλεισε τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι, διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον.

2. Ὑπελείφθη δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ, καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ· ἦν γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος.

3. Καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς, καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς καθάπερ καθ' ἡμέραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα.

4. Καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου, καὶ οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου. Καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν κλίνην αὐτοῦ, εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς· Κύριε ὁ Θεὸς πάσης δυνάμεως, ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου, εἰς ὕψωμα Ἱερουσαλὴμ,

5. ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου, καὶ ποιῆσαι τὸ ἐπιτήδευμά μου, εἰς θραῦμα ἐχθρῶν οἳ ἐπανέστησαν ἡμῖν.

6. Καὶ προσελθοῦσα τῷ κανόνι τῆς κλίνης ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου, καθεῖλε τὸν ἀκινάκην αὐτοῦ ἀπ' αὐτοῦ,

7. καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, καὶ εἶπεν· Κραταίωσόν με, ὁ Θεὸς Ἰσραὴλ, ἐν τῇ ἡμέρᾳ ταύτῃ.

8. Καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύϊ αὐτῆς, καὶ ἀφεῖλε τὴν κεφαλὴν αὐτοῦ ἀπ' αὐτοῦ,

9. καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς,

cens domino meo? Quia omne quod erit in oculis ejus placitum, festinans faciam, et erit hoc exultatio usque ad diem mortis meæ.

15. Et exurgens ornavit se veste et omni ornatu muliebri: et accessit serva ejus, et stravit ei ante Olophernem humi pelles, quas acceperat a Bagoa ad quotidianum usum suum, ut manducaret accumbens super eas.

16. Et ingressa recubuit Judith, et stupuit cor Olophernis super eam, et commota est anima ejus: et erat cupidus valde congrediendi cum ea, et observabat tempus decipiendi eam, ex qua die vidit eam.

17. Et dixit ad eam Olophernes: Bibe, quæso, et esto nobiscum in lætitia.

18. Et dixit Judith: Bibam nunc, domine, quoniam magnificata est vita mea in me hodie præ omnibus diebus generationis meæ.

19. Et sumens comedit et bibit coram eo quæ paraverat serva ipsius.

20. Et lætatus est Olophernes ex ea, et bibit vinum multum valde, quantum non biberat unquam in die una ex quo natus erat.

CAPUT XIII.

1. Ut autem sero factum est, festinaverunt servi illius divertere: et Bagoas conclusit tabernaculum deforis, et exclusit assistentes a facie domini sui, et abierunt ad cubilia sua: erant enim omnes defatigati, eo quod plurimum productum esset convivium.

2. Remansit autem Judith sola in tabernaculo, et Olophernes jacens super lectum suum: erat enim circumfusum ei vinum.

3. Et dixit Judith servæ suæ stare extra cubiculum ipsius, et observare exitum ejus sicut quotidie, exire enim dixit ad orationem suam: et Bagoæ locuta est juxta verba hæc.

4. Et abierunt omnes a facie, et nemo remansit in cubiculo a parvo usque ad magnum. Et stans Judith apud lectum illius, dixit in corde suo: Domine Deus omnis virtutis, respice in hora hac super opera manuum mearum, in exaltationem Jerusalem,

5. quoniam nunc tempus suscipere hæreditatem tuam, et facere studium meum, in quassationem hostium qui insurrexerunt nobis.

6. Et accedens ad canonem lecti qui erat ad caput Olophernis, deposuit acinacem ejus ab eo,

7. et appropinquans lecto apprehendit comam capitis ejus, et dixit: Confirma me, Deus Israel, in die hac.

8. Et percussit in cervicem ejus bis in fortitudine sua, et abstulit caput ejus ab eo,

9. et revolvit corpus ejus a strato, et abstulit conopeum

καὶ ἀφεῖλε τὸ κωνωπεῖον ἀπὸ τῶν στύλων· καὶ μετ' ὀλίγον ἐξῆλθε, καὶ παρέδωκε τῇ ἄβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου.

10. Καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς, καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν. Καὶ διελθοῦσαι τὴν παρεμβολὴν, ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην, καὶ προςανέβησαν τὸ ὄρος Βετυλούα, καὶ ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς.

11. Καὶ εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν· Ἀνοίξατε, ἀνοίξατε δὴ τὴν πύλην, μεθ' ἡμῶν ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ σήμερον ἐποίησε.

12. Καὶ ἐγένετο, ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν· καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς πόλεως.

13. Καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτὴν, καὶ ἤνοιξαν τὴν πύλην, καὶ ὑπεδέξαντο αὐτάς· καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περιεκύκλωσαν αὐτάς.

14. Ἡ δὲ εἶπε πρὸς αὐτοὺς φωνῇ μεγάλῃ· Αἰνεῖτε τὸν Θεὸν, αἰνεῖτε· αἰνεῖτε τὸν Θεὸν, ὃς οὐκ ἀπέστησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραὴλ, ἀλλ' ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ.

15. Καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας ἔδειξε, καὶ εἶπεν αὐτοῖς· Ἰδοὺ ἡ κεφαλὴ Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως Ἀσσοὺρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ· καὶ ἐπάταξεν αὐτὸν ὁ Κύριος ἐν χειρὶ θηλείας.

16. Καὶ ζῇ Κύριος ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ μου ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ' ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην.

17. Καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα, καὶ κύψαντες προςεκύνησαν τῷ Θεῷ, καὶ εἶπαν ὁμοθυμαδόν· Εὐλογητὸς εἶ, ὁ Θεὸς ἡμῶν, ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου.

18. Καὶ εἶπεν αὐτῇ Ὀζίας· Εὐλογητὴ σὺ, θυγάτηρ, τῷ Θεῷ τῷ ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογημένος Κύριος ὁ Θεὸς, ὃς ἔκτισε τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ὃς κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν,

19. ὅτι οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν Θεοῦ ἕως αἰῶνος.

20. Καὶ ποιῆσαι σοι αὐτὰ ὁ Θεὸς εἰς ὕψος αἰώνιον, τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς, ἀνθ' ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, ἀλλ' ἐπεξῆλθες πτώματι ἡμῶν, ἐπ' εὐθεῖαν πορευθεῖσα ἐνώπιον τοῦ Θεοῦ ἡμῶν. Καὶ εἶπαν πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· Ἀκούσατε δή μου, ἀδελφοὶ, καὶ λαβόντες τὴν κεφαλὴν ταύτην, κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως τοῦ τείχους ὑμῶν.

2. Καὶ ἔσται, ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος καὶ ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήψεσθε ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν, καὶ ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔξω

a columnis: et post paucum exivit, et tradidit ancillæ suæ caput Olophernis.

10. Et injecit illud in peram ciborum suorum, et exierunt ambæ simul secundum consuetudinem suam. Et transeuntes castra, circumierunt vallem illam, et ascenderunt montem Betylua, et venerunt ad portas ejus.

11. Et dixit Judith a longe iis qui custodiebant super portas: Aperite, aperite nunc portam, nobiscum Deus, Deus noster, ad faciendam adhuc fortitudinem in Israel et potentiam contra inimicos, sicut etiam hodie fecit.

12. Et factum est, ut audierunt viri civitatis ejus vocem ejus, festinaverunt descendere ad portam civitatis suæ: et convocaverunt seniores civitatis.

13. Et concurrerunt omnes a parvo usque ad magnum, quoniam præter opinionem erat eis venire ipsam, et aperuerunt portam, et susceperunt eas: et accendentes ignem ad illuminationem circumdederunt eas.

14. At illa dixit ad eos voce magna: Laudate Deum, laudate: laudate Deum, qui non amovit misericordiam suam a domo Israel, sed fregit inimicos nostros per manum meam in nocte hac.

15. Et proferens caput e pera ostendit, et dixit eis: Ecce caput Olophernis principis virtutis Assur, et ecce conopeum in quo recumbebat in ebrietatibus suis: et percussit eum Dominus in manu fœminæ.

16. Et vivit Dominus qui custodivit me in via mea qua ivi, quoniam decepit eum facies mea in perditionem ipsius, et non fecit peccatum mecum in pollutionem et confusionem.

17. Et obstupuit omnis populus valde, et procumbentes adoraverunt Deum, et dixerunt unanimiter: Benedictus es, Deus noster, qui ad nihilum redegisti in die hodierna inimicos populi tui.

18. Et dixit ei Ozias: Benedicta tu, filia, Deo altissimo præ omnibus mulieribus quæ super terram, et benedictus Dominus Deus, qui creavit cœlos et terram, qui direxit te in fractionem capitis principis inimicorum nostrorum,

19. quoniam non removebitur spes tua a corde hominum commemorantium fortitudinem Dei usque in sæculum.

20. Et faciat ea tibi Deus in sublimitatem æternam, visitando te in bonis, eo quod non pepercisti animæ tuæ propter humiliationem generis nostri, sed subvenisti ruinæ nostræ, in rectum vadens coram Deo nostro. Et dixerunt omnis populus: Fiat, fiat.

CAPUT XIV.

1. Et dixit ad eos Judith: Audite nunc me, fratres, et tollentes caput hoc, suspendite illud super pinnaculum muri vestri.

2. Et erit, cum illuxerit aurora et exiverit sol super terram, sumetis unusquisque vasa bellica vestra, et exibitis omnis vir fortis extra civitatem, et dabitis principem in eos,

τῆς πόλεως, καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς, ὡς καταβαίνοντες ἐπὶ τὸ πεδίον εἰς τὴν προφυλακὴν υἱῶν Ἀσσοὺρ, καὶ οὐ καταβήσεσθε.

tamquam descendentes in campum ad excubias filiorum Assur, et non descendetis.

3. Καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὴν παρεμβολὴν αὐτῶν, καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως Ἀσσοὺρ, καὶ συνδραμοῦνται ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ οὐχ εὑρήσουσιν αὐτὸν, καὶ ἐπιπεσεῖται ἐπ' αὐτοὺς φόβος, καὶ φεύξονται ἀπὸ προσώπου ὑμῶν.

3. Et sumentes isti armaturas suas ibunt ad castra sua, et excitabunt duces virtutis Assur, et concurrent ad tabernaculum Olophernis, et non invenient eum, et irruet super eos timor, et fugient a facie vestra.

4. Καὶ ἐπακολουθήσαντες ὑμεῖς, καὶ πάντες οἱ κατοικοῦντες πᾶν ὅριον Ἰσραὴλ, καταστρώσατε αὐτοὺς ἐν ταῖς ὁδοῖς αὐτῶν.

4. Et insecuti vos, et omnes habitantes omnem terminum Israel, prosternite eos in viis eorum.

5. Πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα, καλέσατέ μοι Ἀχιὼρ τὸν Ἀμμανίτην, ἵνα ἰδὼν ἐπιγνῷ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς.

5. Priusquam vero faciatis hæc, vocate mihi Achior Ammanitem, ut videns agnoscat eum qui vilipendebat domum Israel, et ipsum tamquam ad mortem miserat ad nos.

6. Καὶ ἐκάλεσαν τὸν Ἀχιὼρ ἐκ τοῦ οἴκου Ὀζία· ὡς δὲ ἦλθε, καὶ εἶδε τὴν κεφαλὴν Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ ἐκκλησίᾳ τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ.

6. Et vocaverunt Achior e domo Oziæ: ut autem venit, et vidit caput Olophernis in manu viri unius de ecclesia populi, cecidit in faciem, et exsolutus est spiritus ejus.

7. Ὡς δὲ ἀνέλαβον αὐτὸν, προσέπεσε τοῖς ποσὶν Ἰουδὶθ, καὶ προσεκύνησε τῷ προσώπῳ αὐτῆς, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν παντὶ σκηνώματι Ἰούδα καὶ ἐν παντὶ ἔθνει, οἵ τινες ἀκούσαντες τὸ ὄνομά σου ταραχθήσονται.

7. Ut autem recrearunt eum, procidit ad pedes Judith, et adoravit faciem ejus, et dixit: Benedicta tu in omni tabernaculo Juda et in omni gente, qui quidem audientes nomen tuum turbabuntur.

8. Καὶ νῦν ἀνάγγειλόν μοι ὅσα ἐποίησας ἐν ταῖς ἡμέραις ταύταις. Καὶ ἀπήγγειλεν αὐτῷ Ἰουδὶθ ἐν μέσῳ τοῦ λαοῦ πάντα ὅσα ἦν πεποιηκυῖα, ἀφ' ἧς ἡμέρας ἐξῆλθεν ἕως οὗ ἐλάλει αὐτοῖς.

8. Et nunc annuntia mihi quæcumque fecisti in diebus his. Et annuntiavit ei Judith in medio populi omnia quæcumque fuerat faciens, ex qua die exiit usque dum loquebatur eis.

9. Ὡς δὲ ἐπαύσατο λαλοῦσα, ἠλάλαξεν ὁ λαὸς φωνῇ μεγάλῃ, καὶ ἔδωκεν φωνὴν εὐφρόσυνον ἐν τῇ πόλει αὐτῶν.

9. Ut autem cessavit loquens, jubilavit populus voce magna, et dedit vocem lætam in civitate sua.

10. Ἰδὼν δὲ Ἀχιὼρ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἐπίστευσε τῷ Θεῷ σφόδρα, καὶ περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ, καὶ προσετέθη πρὸς τὸν οἶκον Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης.

10. Videns autem Achior omnia quæcumque fecerat Deus Israel, credidit Deo valde, et circumcidit carnem præputii sui, et appositus est ad domum Israel usque in diem hanc.

11. Ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη, καὶ ἐκρέμασαν τὴν κεφαλὴν Ὀλοφέρνου ἐκ τοῦ τείχους, καὶ ἀνέλαβε πᾶς ἀνὴρ Ἰσραὴλ τὰ ὅπλα αὐτοῦ, καὶ ἐξήλθοσαν κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις τοῦ ὄρους.

11. Postquam vero aurora ascendit, et suspenderunt caput Olophernis e muro, et sumpsit omnis vir Israel arma sua, et exiverunt per spiras ad ascensiones montis.

12. Οἱ δὲ υἱοὶ Ἀσσοὺρ, ὡς εἶδον αὐτοὺς, διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν· οἱ δὲ ἦλθον ἐπὶ στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν.

12. Filii autem Assur, ut viderunt eos, miserunt ad præfectos suos: illi autem venerunt ad duces et ad chiliarchos et ad omnem principem suum.

13. Καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ εἶπαν τῷ ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ· Ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ δοῦλοι καταβαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον, ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.

13. Et advenerunt ad tabernaculum Olophernis, et dixerunt ei qui super omnia illius: Excita nunc dominum nostrum, quoniam ausi sunt servi descendere super nos ad prælium, ut exterminentur in finem.

14. Καὶ εἰσῆλθε Βαγώας, καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς· ὑπενοεῖτο γὰρ καθεύδειν αὐτὸν μετὰ Ἰουδίθ.

14. Et intravit Bagoas, et pulsavit aulam tabernaculi: suspicabatur enim dormire illum cum Judith.

15. Ὡς δὲ οὐδεὶς ἐπήκουσε, διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα, καὶ εὗρεν αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐῤῥιμμένον νεκρὸν, καὶ ἡ κεφαλὴ αὐτοῦ ἀφῄρητο ἀπ' αὐτοῦ.

15. Ut autem nemo exaudivit, disjungens intravit in cubiculum, et invenit eum super stratum projectum mortuum, et caput ejus ablatum erat ab eo.

16. Καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.

16. Et clamavit voce magna cum ploratu et fletu et clamore forti, et discidit vestimenta sua.

17. Καὶ εἰσῆλθεν εἰς τὴν σκηνὴν οὗ ἦν Ἰουδὶθ καταλύουσα, καὶ οὐχ εὗρεν αὐτήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν, κράζων·

17. Et intravit in tabernaculum ubi fuit Judith divertens, et non invenit eam: et prosiliit ad populum, vociferans:

18. Ἠθέτησαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην μία γυνὴ

18. Prævaricati sunt servi, fecit confusionem una mulier

τῶν Ἑβραίων εἰς τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονόσορ, ὅτι ἰδοὺ Ὀλοφέρνης χαμαὶ, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ.

19. Ὡς δὲ ἤκουσαν ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ἀσσοὺρ, τοὺς χιτῶνας αὐτῶν διέῤῥηξαν, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτῶν σφόδρα, καὶ ἐγένετο αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβολῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέστησαν ἐπὶ τὸ γεγονὸς,

2. καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλησίον ἔτι, ἀλλ' ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ πεδίου καὶ τῆς ὀρεινῆς.

3. Καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ κύκλῳ Βετυλούα καὶ ἐτράπησαν εἰς φυγήν· καὶ τότε οἱ υἱοὶ Ἰσραὴλ πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν ἐξεχύθησαν ἐπ' αὐτούς.

4. Καὶ ἀπέστειλεν Ὀζίας εἰς Βαιτομασθαὶμ καὶ Χωβαὶ καὶ Χωλὰ, καὶ εἰς πᾶν ὅριον Ἰσραὴλ, τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελεσμένων, καὶ ἵνα πάντες ἐπεκχυθῶσι τοῖς πολεμίοις εἰς τὴν ἀναίρεσιν αὐτῶν.

5. Ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ, πάντες ὁμοθυμαδὸν ἐπέπεσον ἐπ' αὐτοὺς, καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβά· ὡσαύτως δὲ καὶ οἱ ἐξ Ἱερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ πάσης τῆς ὀρεινῆς· ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γεγονότα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν. Καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γαλιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ, ἕως οὗ παρῆλθον Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς.

6. Οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες Βετυλούα ἐπέπεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ, καὶ ἐπρονόμευσαν αὐτοὺς, καὶ ἐπλούτησαν σφόδρα.

7. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψαντες ἀπὸ τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι καὶ ἐπαύλεις ἐν τῇ ὀρεινῇ καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύρων, ἦν γὰρ πλῆθος πολὺ σφόδρα.

8. Καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία τῶν υἱῶν Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθὰ ἃ ἐποίησε Κύριος τῷ Ἰσραὴλ, καὶ τοῦ ἰδεῖν τὴν Ἰουδὶθ, καὶ λαλῆσαι μετ' αὐτῆς εἰρήνην.

9. Ὡς δὲ εἰσῆλθον πρὸς αὐτὴν, εὐλόγησαν αὐτὴν πάντες ὁμοθυμαδὸν, καὶ εἶπαν πρὸς αὐτήν· Σὺ ὕψωμα Ἰσραὴλ, σὺ γαυρίαμα μέγα τοῦ Ἰσραὴλ, σὺ καύχημα μέγα τοῦ γένους ἡμῶν.

10. Ἐποίησας πάντα ταῦτα ἐν χειρί σου, ἐποίησας τὰ ἀγαθὰ μετὰ Ἰσραήλ· καὶ εὐδόκησαι ἐπ' αὐτοῖς ὁ Θεός. Εὐλογημένη γίνου παρὰ τῷ παντοκράτορι Κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. Καὶ εἶπε πᾶς ὁ λαός· Γένοιτο.

11. Καὶ ἐλαφύρευσεν πᾶς ὁ λαὸς τὴν παρεμβολὴν ἐφ' ἡμέρας τριάκοντα, καὶ ἔδωκαν τῇ Ἰουδὶθ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ πάντα τὰ ἀργυρώματα, καὶ τὰς κλίνας, καὶ τὰ ὅλκια, καὶ πάντα τὰ σκευάσματα αὐτοῦ· καὶ λαβοῦσα αὐτὴ ἐπέθηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς, καὶ ἔζευξε τὰς ἁμάξας αὐτῆς, καὶ ἐσώρευσεν αὐτὰ ἐπ' αὐτῶν.

12. Καὶ συνέδραμε πᾶσα γυνὴ Ἰσραὴλ τοῦ ἰδεῖν αὐτὴν, καὶ εὐλόγησαν αὐτήν· καὶ ἐποίησαν αὐτῇ χορὸν

Hebræorum in domum regis Nabuchodonosor, quoniam ecce Olophernes humi, et caput non est super eum.

19. Ut autem audiverunt verba hæc principes virtutis Ass ır, tunicas suas disciderunt, et turbata est anima eorum valde, et facta est eorum vociferatio et clamor magnus valde in medio castrorum.

CAPUT XV.

1. Et ut audiverunt qui erant in tabernaculis, obstupuerunt super factum,

2. et irruit super eos timor et tremor, et non fuit homo manens ad faciem proximi ultra, sed effusi unanimiter fugiebant super omnem viam campi et montanæ.

3. Et qui castrametati erant in montana in circuitu Betylua et versi sunt in fugam : et tunc filii Israel omnis vir bellator ex eis effuderunt se super eos.

4. Et misit Ozias in Bæthomasthæm et Chobai et Chola, et ad omnem terminum Israel, qui annuntiarent super his quæ confecta fuerant, et ut omnes superfunderentur hostibus ad perditionem eorum.

5. Ut autem audiverunt filii Israel, omnes unanimiter irruerunt super eos, et cædebant eos usque Choba : similiter autem et qui de Jerusalem advenerant et ex omni montana : annuntiaverunt enim eis quæ facta erant castris inimicorum suorum. Et qui in Galaad et qui in Galilæa dissipaverunt eos plaga magna, quoadusque præterierunt Damascum et fines ejus.

6. Cæteri autem qui habitabant Betylua irruerunt in castra Assur, et prædati sunt eos, et ditati sunt valde.

7. Filii autem Israel revertentes a cæde dominati sunt reliquorum, et pagi et villæ in montana et campestri obtinuerunt multa spolia, erat enim multitudo plurima valde.

8. Et Joacim sacerdos magnus et seniores filiorum Israel habitantes in Jerusalem venerunt ad spectandum bona quæ fecerat Dominus Israeli, et ad videndam Judith, et loquendum cum ea pacem.

9. Ut autem intrarunt ad eam, benedixerunt eam omnes unanimiter, et dixerunt ad eam : Tu sublimitas Israel, tu exsultatio magna Israel, tu gloriatio magna generis nostri.

10. Fecisti omnia hæc in manu tua, fecisti bona cum Israel : et bene sentiat super eis Deus. Benedicta esto apud omnipotentem Dominum in æternum tempus. Et dixit omnis populus : Fiat.

11. Et spoliavit omnis populus castra per dies triginta, et dederunt Judith tabernaculum Olophernis, et omnem argenteam supellectilem, et lectos, et pelvem, et omne vasarium ejus : et accipiens ipsa imposuit super mulam suam, et junxit plaustra sua, et coacervavit ea super illa.

12. Et concurrit omnis mulier Israel ad videndam eam, et benedixerunt eam : et fecerunt ei chorum ex se : et

ἐξ αὐτῶν· καὶ ἔλαβε θύρσους ἐν ταῖς χερσὶν αὐτῆς, καὶ ἔδωκε ταῖς γυναιξὶ ταῖς μετ' αὐτῆς,

13. καὶ ἐστεφανώσαντο τὴν ἐλαίαν αὕτη καὶ αἱ μετ' αὐτῆς. Καὶ προῆλθε παντὸς τοῦ λαοῦ ἐν χορείᾳ, ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ ἠκολούθει πᾶς ἀνὴρ Ἰσραὴλ ἐνωπλισμένοι μετὰ στεφάνων καὶ ὕμνων ἐν τῷ στόματι αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

1. Καὶ ἐξῆρχεν Ἰουδὶθ τὴν ἐξομολόγησιν ταύτην ἐν παντὶ Ἰσραὴλ, καὶ ὑπεφώνει πᾶς ὁ λαὸς τὴν αἴνεσιν ταύτην.

2. Καὶ εἶπεν Ἰουδίθ· Ἐξάρχετε τῷ Θεῷ μου ἐν τυμπάνοις, ᾄσατε τῷ Κυρίῳ μου ἐν κυμβάλοις, ἐναρμόσασθε αὐτῷ ψαλμὸν καινὸν, ὑψοῦτε καὶ ἐπικαλέσασθε τὸ ὄνομα αὐτοῦ·

3. ὅτι Θεὸς συντρίβων πολέμους Κύριος,

4. ὅτι εἰς παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ ἐξείλατό με ἐκ χειρὸς τῶν καταδιωκόντων με.

5. Ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βοῤῥᾶ, ἦλθεν ἐν μυριάσι δυνάμεως αὐτοῦ, ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξε χειμάῤῥους, καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε βουνούς.

6. Εἶπεν ἐμπρήσειν τὰ ὅριά μου, καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ, καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος, καὶ τὰ νήπιά μου δώσειν εἰς προνομὴν, καὶ τὰς παρθένους μου σκυλεῦσαι.

7. Κύριος παντοκράτωρ ἠθέτησεν αὐτοὺς ἐν χειρὶ θηλείας.

8. Οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων, οὐδὲ υἱοὶ Τιτάνων ἐπάταξαν αὐτὸν, οὐδὲ ὑψηλοὶ Γίγαντες ἐπέθεντο αὐτῷ, ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν.

9. Ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς εἰς ὕψος τῶν πονούντων ἐν Ἰσραὴλ,

10. ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ, καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ, καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ.

11. Τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε ψυχὴν αὐτοῦ· διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.

12. Ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς, καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐῤῥάχθησαν.

13. Τότε ἠλάλαξαν οἱ ταπεινοί μου, καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου, καὶ ἐπτοήθησαν· ὕψωσαν τὴν φωνὴν αὐτῶν, καὶ ἀνετράπησαν.

14. Υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς, καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς· ἀπώλοντο ἐκ παρατάξεως Κυρίου μου.

15. Ὑμνήσω τῷ Θεῷ μου ὕμνον καινόν.

16. Κύριε, μέγας εἶ, καὶ ἔνδοξος, θαυμαστὸς ἐν ἰσχύϊ, ἀνυπέρβλητος.

17. Σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου, ὅτι εἶπας, καὶ ἐγενήθησαν· ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου.

18. Ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσεται, πέτραι δὲ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται, ἐπὶ δὲ τοῖς φοβουμένοις σε σὺ εὐϊλατεύεις αὐτοῖς.

19. Ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι· ὁ δὲ φοβούμενος τὸν Κύριον μέγας διαπαντός.

sumpsit thyrsos in manibus suis, et dedit mulieribus quæ secum,

13. et coronatæ sunt oliva ipsa et quæ cum ipsa. Et præivit omnem populum in chorœa, ducens omnes mulieres, et sequebatur omnis vir Israel armati cum coronis et hymnis in ore suo.

CAPUT XVI.

1. Et inchoavit Judith confessionem hanc in omni Israel, et subcinebat omnis populus laudem hanc.

2. Et dixit Judith : Incipite Deo meo in tympanis, cantate Domino meo in cymbalis, modulamini ei psalmum novum, exaltate et invocate nomen ejus :

3. quoniam Deus conterens bella Dominus,

4. quoniam in castris ejus in medio populi eripuit me de manu persequentium me.

5. Venit Assur e montibus ab aquilone, venit in myriadibus virtutis suæ, quarum multitudo earum obstruxerat torrentes, et equitatus eorum operuerat colles.

6. Dixit combusturum fines meos, et juvenes meos peremptururm in gladio, et lactentes meos positurum in pavimentum, et infantes meos daturum in direptionem, et virgines meas spoliaturum.

7. Dominus omnipotens frustratus est eos in manu fœminæ.

8. Non enim cecidit potens eorum a juvenibus, neque filii Titanum percusserunt eum, neque excelsi gigantes invaserunt eum, sed Judith filia Merari in pulchritudine faciei suæ dissolvit eum.

9. Exuit enim stolam viduitatis suæ in sublimitate laborantium in Israel,

10. unxit faciem suam in unguento, et ligavit capillos suos in mitra, et sumpsit stolam lineam in deceptionem illius.

11. Sandalium ipsius rapuit oculum ejus, et pulchritudo ipsius captivavit animam ejus : pertransiit acinaces cervicem ejus.

12. Horruerunt Persæ audaciam ipsius, et Medi confidentia ipsius disrupti sunt.

13. Tunc vociferati sunt humiles mei, et timuerunt infirmi mei, et expaverunt : exaltaverunt vocem suam, et reversi sunt.

14. Filii puellarum compunxerunt eos, et tamquam pueros transfugarum vulnerabant eos : perierunt ab acie Domini mei.

15. Hymnum dicam Deo meo, hymnum novum.

16. Domine, magnus es, et gloriosus, mirabilis in fortitudine, insuperabilis.

17. Tibi serviat omnis creatura tua, quoniam dixisti, et facta sunt : misisti spiritum tuum, et ædificavit, et non est qui resistet voci tuæ.

18. Montes enim a fundamentis cum aquis commovebuntur, petræ autem a facie tua tamquam cera liquescent, super timentes autem te tu bene propitiaris eis.

19. Quoniam parvum omne sacrificium in odorem suavitatis, et minimus omnis adeps in holocaustoma tibi : timens autem Dominum magnus semper.

20. Οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου, Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως,
21. δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν, καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.
22. Ὡς δὲ ἦλθοσαν εἰς Ἱερουσαλὴμ, προσεκύνησαν τῷ Θεῷ· καὶ ἡνίκα ἐκαθαρίσθη ὁ λαὸς, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα.
23. Καὶ ἀνέθηκεν Ἰουδὶθ πάντα τὰ σκεύη Ὀλοφέρνου, ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ τὸ κωνωπεῖον ὃ ἔλαβεν αὐτὴ ἐκ τοῦ κοιτῶνος αὐτοῦ, εἰς ἀνάθημα τῷ Θεῷ ἔδωκε.
24. Καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ Ἰουδὶθ μετ' αὐτῶν κατέμεινεν.
25. Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ· καὶ Ἰουδὶθ ἀπῆλθεν εἰς Βετυλούα, καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς, καὶ ἐγένετο κατὰ τὸν καιρὸν αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ.
26. Καὶ πολλοὶ ἐπεθύμησαν αὐτὴν, καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς, ἀφ' ἧς ἡμέρας ἀπέθανε Μανασσῆς ὁ ἀνὴρ αὐτῆς, καὶ προςετέθη πρὸς τὸν λαὸν αὐτοῦ.
27. Καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα·
28. καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε, καὶ ἀφῆκε τὴν ἅβραν αὐτῆς ἐλευθέραν, καὶ ἀπέθανεν εἰς Βετυλούα, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ,
29. καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ ἡμέρας ἑπτά. Καὶ διεῖλε τὰ ὑπάρχοντα αὐτῆς, πρὸ τοῦ ἀποθανεῖν αὐτὴν, πᾶσι τοῖς ἔγγιστα Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς, καὶ τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς.
30. Καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν τοὺς υἱοὺς Ἰσραὴλ ἐν ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ ἀποθανεῖν αὐτὴν ἡμέρας πολλάς.

20. Væ gentibus insultantibus generi meo, Dominus omnipotens ulciscetur eos in die judicii,
21. dando ignem et vermes in carnes eorum, et plorabunt in sensu usque in sæculum.
22. Ut autem venerunt in Jerusalem, adoraverunt Deum: et postquam mundatus est populus, obtulerunt holocaustomata sua, et spontanea sua et dona.
23. Et posuit Judith omnia vasa Olophernis, quæ dederat populus ipsi, et conopæum quod sumpserat ipsa e cubili ejus, in anathema Deo dedit.
24. Et fuit populus lætans in Jerusalem ad faciem sanctorum per menses tres, et Judith cum eis mansit.
25. Post dies autem hos discessit unusquisque ad hæreditatem suam: et Judith abiit in Betylua, et mansit super substantiam suam. Et facta est per tempus suum gloriosa in universa terra.
26. Et multi concupierunt eam, et non cognovit vir eam omnibus diebus vitæ ejus, ex qua die mortuus est Manasses vir ejus, et appositus est ad populum suum.
27. Et erat procedens magna valde:
28. et senuit in domo viri sui annos centum quinque, et dimisit ancillam suam liberam, et mortua est in Betylua, et sepelierunt eam in spelunca viri ejus Manasse,
29. et luxit eam domus Israel dies septem. Et distribuit substantiam suam, antequam ipsa moreretur, omnibus propinquis Manasse viri sui, et propinquis generis sui.
30. Et non fuit amplius qui terreret filios Israel in diebus Judith et postquam ipsa mortua est dies multos.

ΕΣΘΗΡ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

(*Cap.* XI, 2-XII, 1-6.) Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου βασιλέως, τῇ μιᾷ τοῦ νισὰν, ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου, τοῦ Σεμεΐου, τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμὶν, ἄνθρωπος Ἰουδαῖος, οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας, θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως. Ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας ἧς ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἐξ Ἱερουσαλὴμ, μετὰ Ἰεχονίου τοῦ βασιλέως τῆς Ἰουδαίας. Καὶ τοῦτο αὐτοῦ τὸ ἐνύπνιον. Καὶ ἰδοὺ φωναὶ καὶ θόρυβος, βρονταὶ καὶ σεισμὸς, τάραχος ἐπὶ τῆς γῆς· καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν· καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη, καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος. Καὶ ἰδοὺ ἡμέρα σκότους καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ τάραχος μέγας ἐπὶ τῆς γῆς, καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον φοβούμενοι τὰ ἑαυτῶν κακὰ, καὶ ἡτοιμάσθησαν ἀπολέσθαι, καὶ

ESTHER.

CAPUT I.

(*Cap.* XI, 2-XII, 1-6.) Anno secundo regnante Artaxerse magno, prima die mensis nisan, vidit somnium Mardochæus filius Jairi, filii Semeiæ, filii Cisæi, de tribu Benjamin, homo Judæus, qui habitabat in urbe Susis, homo magnus, ministrans in aula regis. Erat autem ex captivitate quam captivam duxerat Nabuchodonosor rex Babylonis e Jerusalem cum Jechonia rege Judææ. Et hoc ejus somnium. Et ecce voces et tumultus, tonitrua et terræ motus, conturbatio super terram: et ecce duo dracones magni parati processerunt utrique ad colluctandum: et facta est eorum vox magna, et voce eorum parata est omnis gens ad bellum, ut impugnarent justorum gentem. Et ecce dies tenebrarum et caliginis, tribulatio et angustia, afflictio et turbatio magna super terram, et turbata est universa gens justa timentes sua mala, et parati erant perire, et clamaverunt ad Deum. A clamore autem eorum factum est tamquam a parvo fonte flumen magnum, aqua multa. Et lumen et sol exortus est, et humiles exaltati

ἐβόησαν πρὸς τὸν Θεόν. Ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡςανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ. Καὶ φῶς καὶ ὁ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν, καὶ κατέφαγον τοὺς ἐνδόξους. Καὶ διεγερθεὶς Μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο, καὶ τί ὁ Θεὸς βεβούλευται ποιῆσαι, εἶχεν αὐτὸ ἐν τῇ καρδίᾳ, καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός. Καὶ ἡσύχασε Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβαθὰ καὶ Θάῤῥα τῶν δύο εὐνούχων τοῦ βασιλέως, τῶν φυλασσόντων τὴν αὐλὴν, ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας αὐτῶν ἐξηρεύνησεν· καὶ ἔμαθεν ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ· καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐτῶν. Καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους, καὶ ὁμολογήσαντες ἀπήχθησαν. Καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψε περὶ τῶν λόγων τούτων. Καὶ ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαίῳ θεραπεύειν ἐν τῇ αὐλῇ, καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτων. Καὶ ἦν Ἀμὰν Ἀμαδάθου Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασιλέως, καὶ ἐζήτησε κακοποιῆσαι τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ, ὑπὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως.

1. Καὶ ἐγένετο, μετὰ τοὺς λόγους τούτους, ἐν ταῖς ἡμέραις Ἀρταξέρξου, οὗτος ὁ Ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἐκράτησεν.

2. Ἐν αὐταῖς ταῖς ἡμέραις, ὅτε ἐθρονίσθη βασιλεὺς Ἀρταξέρξης ἐν Σούσοις τῇ πόλει,

3. ἐν τῷ τρίτῳ ἔτει βασιλεύοντος αὐτοῦ, δοχὴν ἐποίησε τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσι, καὶ τοῖς Περσῶν καὶ Μήδων ἐνδόξοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν.

4. Καὶ μετὰ ταῦτα, μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐτοῦ, καὶ τὴν δόξαν τῆς εὐφροσύνης τοῦ πλούτου αὐτοῦ ἐν ἡμέραις ἑκατὸν ὀγδοήκοντα·

5. ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ βασιλεὺς πότον τοῖς ἔθνεσι τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέρας ἕξ, ἐν αὐλῇ οἴκου τοῦ βασιλέως,

6. κεκοσμημένη βυσσίνοις καὶ καρπασίνοις τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις καὶ πορφυροῖς, ἐπὶ κύβοις χρυσοῖς καὶ ἀργυροῖς, ἐπὶ στύλοις παρίνοις καὶ λιθίνοις· κλῖναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδίνου λίθου, καὶ πιννίνου, καὶ παρίνου λίθου· καὶ στρωμναὶ διαφανεῖς ποικίλως διηνθισμέναι, κύκλῳ ῥόδα πεπασμένα.

7. Ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἀνθράκινον κυλίκιον προκείμενον ἀπὸ ταλάντων τρισμυρίων· οἶνος πολὺς καὶ ἡδὺς, ὃν αὐτὸς ὁ βασιλεὺς ἔπινεν.

8. Ὁ δὲ πότος οὗτος οὐ κατὰ προκείμενον νόμον ἐγένετο· οὕτως δὲ ἠθέλησεν ὁ βασιλεὺς, καὶ ἐπέταξε τοῖς οἰκονόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ τῶν ἀνθρώπων.

9. Καὶ Ἀστὶν ἡ βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς βασιλείοις, ὅπου ὁ βασιλεὺς Ἀρταξέρξης.

10. Ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἡδέως γενόμενος ὁ βασίλευς εἶπε τῷ Ἀμὰν, καὶ Βαζὰν, καὶ Θάῤῥα, καὶ Βαραζὶ, καὶ Ζαθολθὰ, καὶ Ἀβαταζὰ, καὶ Θαραβὰ, τοῖς ἑπτὰ εὐνούχοις τοῖς διακόνοις τοῦ βασιλέως Ἀρταξέρξου,

11. εἰςαγαγεῖν τὴν βασίλισσαν πρὸς αὐτὸν, βασιλεύειν

sunt, et devoraverunt inclytos. Et excitatus Mardochæus qui viderat somnium hoc, et quid Deus deliberaverat facere, habuit illud in corde, et in omni verbo volebat cognoscere illud usque ad noctem. Et quievit Mardochæus in aula cum Gabatha et Tharra duobus eunuchis regis, qui custodiebant aulam, et audivit eorum sermocinationes et curas eorum perscrutatus est : et didicit quia parant manus inferre Artaxersi regi : et indicavit regi de his. Et examinavit rex utrosque eunuchos, et confessi strangulati sunt. Et scripsit rex verba hæc in commentario, et Mardochæus scripsit de verbis his. Et præcepit rex Mardochæo ministrare in aula, et dedit ei munera pro his. Et erat Aman Amadathi Bugæus inclytus coram rege, et quæsivit nocere Mardochæo et populo ejus, propter duos eunuchos regis.

1. Et factum est, post verba hæc, in diebus Artaxersis, hic Artaxerses ab Indica centum viginti septem regiones obtinuit.

2. In istis diebus, quando sedit in throno rex Artaxerses in Susis civitate,

3. in anno tertio regnante ipso, convivium fecit amicis et reliquis gentibus, et Persarum et Medorum inclytis, et principibus satraparum.

4. Et post hæc, postquam ostendit eis divitias regni sui, et gloriam lætitiæ opulentiæ suæ in diebus centum octoginta :

5. quando autem impleti sunt dies nuptiarum, fecit rex convivium gentibus inventis in civitate per dies sex, in atrio domus regis,

6. ornato byssinis et carpasinis extentis super funibus byssinis et purpureis, super cubos aureos et argenteos, super columnas parias et lapideas : lecti aurei et argentei super pavimentum smaragdini lapidis, et pinnini, et parii lapidis : et strata pellucida varie ornata floribus, in circuitu rosæ sparsæ.

7. Pocula aurea et argentea, et gemmatus calix propositus e talentis triginta millibus : vinum multum et suave, quod ipse rex bibebat.

8. Potus autem hic non secundum propositam legem fiebat : sic enim voluit rex, et præcepit œconomis facere voluntatem ipsius et hominum.

9. Et Astin regina fecit convivium mulieribus in regiis, ubi rex Artaxerses.

10. In die autem septima exhilaratus rex dixit ad Aman, et Bazan, et Tharra, et Barazi, et Zatholtha, et Abataza, et Tharaba, septem eunuchos ministros regis Artaxersis,

11. ut introducerent reginam ad ipsum, ad faciendum eam

αὐτὴν, καὶ περιθεῖναι αὐτῇ τὸ διάδημα, καὶ δεῖξαι αὐτὴν τοῖς ἄρχουσι καὶ τοῖς ἔθνεσι τὸ κάλλος αὐτῆς, ὅτι καλὴ ἦν.

12. Καὶ οὐκ εἰσήκουσεν αὐτοῦ Ἀστὶν ἡ βασίλισσα ἐλθεῖν μετὰ τῶν εὐνούχων· καὶ ἐλυπήθη ὁ βασιλεὺς καὶ ὠργίσθη,

13. καὶ εἶπε τοῖς φίλοις αὐτοῦ· Κατὰ ταῦτα ἐλάλησεν Ἀστὶν, ποιήσατε οὖν περὶ τούτου νόμον καὶ κρίσιν.

14. Καὶ προσῆλθεν αὐτῷ Ἀρκεσαῖος καὶ Σαρσαθαῖος καὶ Μαλισεὰρ, οἱ ἄρχοντες Περσῶν καὶ Μήδων, οἱ ἐγγὺς τοῦ βασιλέως, οἱ πρῶτοι παρακαθήμενοι τῷ βασιλεῖ,

15. καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τοὺς νόμους ὡς δεῖ ποιῆσαι Ἀστὶν τῇ βασιλίσσῃ, ὅτι οὐκ ἐποίησε τὰ ὑπὸ τοῦ βασιλέως προσταχθέντα διὰ τῶν εὐνούχων.

16. Καὶ εἶπεν ὁ Μουχαῖος πρὸς τὸν βασιλέα καὶ τοὺς ἄρχοντας· Οὐ τὸν βασιλέα μόνον ἠδίκησεν Ἀστὶν ἡ βασίλισσα, ἀλλὰ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς ἡγουμένους τοῦ βασιλέως·

17. καὶ γὰρ διηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς βασιλίσσης, καὶ ὡς ἀντεῖπε τῷ βασιλεῖ. Ὡς οὖν ἀντεῖπε τῷ βασιλεῖ Ἀρταξέρξῃ,

18. οὕτω σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχόντων Περσῶν καὶ Μήδων, ἀκούσασαι τὰ τῷ βασιλεῖ λεχθέντα ὑπ' αὐτῆς, τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν.

19. Εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, προσταξάτω βασιλικὸν, καὶ γραφήτω κατὰ τοὺς νόμους Μήδων καὶ Περσῶν, καὶ μὴ ἄλλως χρησάσθω, μηδὲ εἰσελθέτω ἔτι ἡ βασίλισσα πρὸς αὐτὸν, καὶ τὴν βασιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς.

20. Καὶ ἀκουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως, ὃν ἐὰν ποιῇ ἐν τῇ βασιλείᾳ αὐτοῦ· καὶ οὕτω πᾶσαι αἱ γυναῖκες περιθήσουσι τιμὴν τοῖς ἀνδράσιν ἑαυτῶν, ἀπὸ πτωχοῦ ἕως πλουσίου.

21. Καὶ ἤρεσεν ὁ λόγος τῷ βασιλεῖ καὶ τοῖς ἄρχουσι, καὶ ἐποίησεν ὁ βασιλεὺς καθὰ ἐλάλησεν ὁ Μουχαῖος,

22. καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν βασιλείαν κατὰ χώραν, κατὰ τὴν λέξιν αὐτῶν, ὥστε εἶναι φόβον αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς τοῦ θυμοῦ, καὶ οὐκ ἔτι ἐμνήσθη τῆς Ἀστὶν, μνημονεύων οἷα ἐλάλησε, καὶ ὡς κατέκρινεν αὐτήν.

2. Καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· Ζητηθήτω τῷ βασιλεῖ κοράσια ἄφθορα καλὰ τῷ εἴδει·

3. καὶ καταστήσει ὁ βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας αὐτοῦ· καὶ ἐπιλεξάτωσαν κοράσια παρθενικὰ καλὰ τῷ εἴδει εἰς Σοῦσαν τὴν πόλιν εἰς τὸν γυναικῶνα, καὶ παραδοθήτωσαν τῷ εὐνούχῳ τοῦ βασιλέως τῷ φύλακι τῶν γυναικῶν· καὶ δοθήτω σμῆγμα, καὶ ἡ λοιπὴ ἐπιμέλεια.

4. Καὶ ἡ γυνὴ ἣ ἂν ἀρέσῃ τῷ βασιλεῖ βασιλεύσει ἀντὶ Ἀστίν. Καὶ ἤρεσε τῷ βασιλεῖ τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτως.

5. Καὶ ἄνθρωπος ἦν Ἰουδαῖος ἐν Σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτοῦ Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου, τοῦ Σεμείου, τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμὶν,

regnare, et circumponendum ei diadema, et ostendendam eam principibus et gentibus pulchritudinem ejus, quoniam pulchra erat.

12. Et non exaudivit eum Astin regina ut veniret cum eunuchis : et tristatus est rex et iratus est,

13. et dixit amicis suis : Secundum hæc locuta est Astin, facite igitur de hoc legem et judicium.

14. Et accessit ad eum Arcesæus et Sarsathæus et Malisear, principes Persarum et Medorum, qui prope regem, qui primi assidentes regi,

15. et annuntiaverunt ei secundum leges quomodo oportet facere Astin reginæ, quia non fecit ea quæ a rege sunt constituta per eunuchos.

16. Et dixit Muchæus ad regem et principes : Non regem solum injuria affecit Astin regina, sed etiam omnes principes et duces regis :

17. etenim narravit eis verba reginæ, et quomodo contradixit regi. Sicut igitur contradixit regi Artaxersi,

18. sic hodie reliquæ dominæ principum Persarum et Medorum, audientes quæ regi dicta sunt ab ea, audebunt similiter vilipendere viros suos.

19. Si igitur videtur regi, statuat edictum regium, et scribatur secundum leges Medorum et Persarum, et non aliter utatur, neque ingrediatur ultra regina ad eum, et regnum illius det rex mulieri meliori ea.

20. Et audiatur lex quæ a rege, quamcumque fecerit in regno suo : et ita omnes mulieres deferent honorem viris suis, a mendico usque ad divitem.

21. Et placuit verbum regi et principibus, et fecit rex sicut locutus est Muchæus,

22. et misit in omne regnum per regionem, juxta sermonem eorum, ut esset timor eis in domibus suis.

CAPUT II.

1. Et post verba hæc cessavit rex a furore, et non ultra recordatus est ipsius Astin, in memoria habens qualia locuta erat, et quomodo condemnaverat eam.

2. Et dixerunt ministri regis : Quærantur regi puellæ incorruptæ pulchræ specie :

3. et constituet rex præfectos in omnibus regionibus regni sui : et deligant puellas virgines pulchras specie in Susam civitatem in gynæceum, et tradantur eunucho regis custodi mulierum : et detur unguentum abstergens, et reliquus cultus.

4. Et mulier quæ placuerit regi regnabit pro Astin. Et placuit regi res, et fecit sic.

5. Et homo erat Judæus in Susis civitate, et nomen ejus Mardochæus filius Jairi, filii Semeiæ, filii Cisæi, de tribu Benjamin,

6. ὃς ἦν αἰχμάλωτος ἐξ Ἱερουσαλὴμ, ἣν ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος.

7. Καὶ ἦν τούτῳ παῖς θρεπτὴ, θυγάτηρ Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ Ἐσθήρ. Ἐν δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς, ἐπαίδευσεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. Καὶ ἦν τὸ κοράσιον καλὸν τὸ εἴδει.

8. Καὶ ὅτε ἠκούσθη τὸ τοῦ βασιλέως πρόσταγμα, συνήχθησαν πολλὰ κοράσια εἰς Σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα Γαΐ, καὶ ἤχθη Ἐσθὴρ πρὸς Γαῒ τὸν φύλακα τῶν γυναικῶν.

9. Καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον, καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. Καὶ ἔσπευσεν δοῦναι αὐτῇ τὸ σμῆγμα, καὶ τὴν μερίδα, καὶ τὰ ἑπτὰ κοράσια τὰ ὑποδεδειγμένα αὐτῇ ἐκ βασιλικοῦ· καὶ ἐχρήσατο αὐτῇ καλῶς καὶ ταῖς ἅβραις αὐτῆς ἐν τῷ γυναικῶνι.

10. Καὶ οὐχ ὑπέδειξεν Ἐσθὴρ τὸ γένος αὐτῆς οὐδὲ τὴν πατρίδα, ὁ γὰρ Μαρδοχαῖος ἐνετείλατο αὐτῇ μὴ ἀπαγγεῖλαι.

11. Καθ' ἑκάστην δὲ ἡμέραν περιεπάτει ὁ Μαρδοχαῖος κατὰ τὴν αὐλὴν τὴν γυναικείαν, ἐπισκοπῶν τί Ἐσθὴρ συμβήσεται.

12. Οὗτος δὲ ἦν καιρὸς κορασίου εἰςελθεῖν πρὸς τὸν βασιλέα, ὅταν ἀναπληρώσῃ μῆνας δεκαδύο· οὕτως γὰρ ἀναπληροῦνται αἱ ἡμέραι τῆς θεραπείας· μῆνας ἓξ ἀλειφομέναις ἐν σμυρνίνῳ ἐλαίῳ, καὶ μῆνας ἓξ ἐν τοῖς ἀρώμασι καὶ ἐν τοῖς σμήγμασι τῶν γυναικῶν,

13. καὶ τότε εἰςπορεύεται πρὸς τὸν βασιλέα· καὶ ᾧ ἐὰν εἴπῃ, παραδώσει αὐτὴν συνεισέρχεσθαι αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως τῶν βασιλείων·

14. δείλης εἰςπορεύεται, καὶ πρὸς ἡμέραν ἀποτρέχει εἰς τὸν γυναικῶνα τὸν δεύτερον, οὗ Γαῒ ὁ εὐνοῦχος τοῦ βασιλέως ὁ φύλαξ τῶν γυναικῶν, καὶ οὐκ ἔτι εἰςπορεύεται πρὸς τὸν βασιλέα, ἐὰν μὴ κληθῇ ὀνόματι.

15. Ἐν δὲ τῷ ἀναπληροῦσθαι τὸν χρόνον Ἐσθὴρ τῆς θυγατρὸς Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς Μαρδοχαίου εἰςελθεῖν πρὸς τὸν βασιλέα, οὐδὲν ἠθέτησεν ὧν ἐνετείλατο ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν· ἦν γὰρ Ἐσθὴρ εὑρίσκουσα χάριν παρὰ πάντων τῶν βλεπόντων αὐτήν.

16. Καὶ εἰςῆλθεν Ἐσθὴρ πρὸς Ἀρταξέρξην τὸν βασιλέα τῷ δωδεκάτῳ μηνὶ, ὅς ἐστιν ἀδὰρ, τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ.

17. Καὶ ἠράσθη ὁ βασιλεὺς Ἐσθὴρ, καὶ εὗρε χάριν παρὰ πάσας τὰς παρθένους, καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα τὸ γυναικεῖον.

18. Καὶ ἐποίησεν ὁ βασιλεὺς πότον πᾶσι τοῖς φίλοις αὐτοῦ καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτὰ, καὶ ὕψωσε τοὺς γάμους Ἐσθὴρ, καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

19. Ὁ δὲ Μαρδοχαῖος ἐθεράπευεν ἐν τῇ αὐλῇ.

20. Ἡ δὲ Ἐσθὴρ οὐχ ὑπέδειξε τὴν πατρίδα αὐτῆς· οὕτως γὰρ ἐνετείλατο αὐτῇ Μαρδοχαῖος, φοβεῖσθαι τὸν Θεὸν, καὶ ποιεῖν τὰ προστάγματα αὐτοῦ καθὼς ἦν μετ' αὐτοῦ. Καὶ Ἐσθὴρ οὐ μετήλλαξε τὴν ἀγωγὴν αὐτῆς.

21. Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως οἱ ἀρχισωματοφύλακες, ὅτι προήχθη Μαρδοχαῖος, καὶ ἐζήτουν ἀποκτεῖναι Ἀρταξέρξην τὸν βασιλέα.

22. Καὶ ἐδηλώθη Μαρδοχαίῳ ὁ λόγος, καὶ ἐσήμανεν Ἐσθὴρ, καὶ αὐτὴ ἐνεφάνισε τῷ βασιλεῖ τὰ τῆς ἐπιβουλῆς.

6. qui fuerat ductus captivus e Jerusalem, quam captivaverat Nabuchodonosor rex Babylonis.

7. Et erat huic puella nutrita, filia Aminadab fratris patris ipsius, et nomen ei Esther. In transmigrando autem parentes ejus, erudivit eam sibi in mulierem. Et erat puella pulchra specie.

8. Et quando auditum est edictum regis, congregatæ sunt multæ puellæ in Susam civitatem sub manum Gai, et ducta est Esther ad Gai custodem mulierum.

9. Et placuit ei puella, et invenit gratiam in conspectu ejus. Et festinavit dare ei unguentum, et partem, et septem puellas assignatas ei e domo regia : et usus est illa bene et ancillis ejus in gynæceo.

10. Et non indicavit Esther genus suum neque patriam, Mardochæus enim mandaverat ei non annuntiare.

11. Per singulos autem dies deambulabat Mardochæus per atrium gynæcei, speculans quid Esther accideret.

12. Hoc autem erat tempus puellæ intrandi ad regem, cum impleverit menses duodecim : sic enim implentur dies cultus : menses sex unctis in oleo myrrhino, et menses sex in aromatibus et in unguentis mulierum,

13. et tunc ingreditur ad regem : et quicumque dixerit, tradet eam ut simul ingrediatur ad se de gynæceo usque ad regias :

14. vespere ingreditur, et versus diem recurrit in gynæceum secundum, ubi Gai eunuchus regis custos mulierum, et non ultra ingreditur ad regem, nisi vocata fuerit nomine.

15. Dum autem impleretur tempus Esther filiæ Aminadab fratris patris Mardochæi intrandi ad regem, nihil prævaricata est eorum quæ mandavit eunuchus custos mulierum : erat enim Esther inveniens gratiam apud omnes aspicientes eam.

16. Et intravit Esther ad Artaxersem regem duodecimo mense, qui est adar, septimo anno regni ejus.

17. Et amavit rex Esther, et invenit gratiam præ omnibus virginibus, et imposuit ei diadema muliebre.

18. Et fecit rex convivium omnibus amicis suis et virtutibus per dies septem, et exaltavit nuptias Esther, et remissionem fecit iis qui sub regno ipsius.

19. Mardochæus autem serviebat in aula.

20. Esther autem non indicavit patriam suam : sic enim mandaverat ei Mardochæus, timere Deum, et facere præcepta ejus sicut erat cum eo. Et Esther non mutavit educationem suam.

21. Et tristati sunt duo eunuchi regis principes custodum corporis, quoniam provectus fuerat Mardochæus, et quærebant occidere Artaxersem regem.

22. Et manifestum fuit Mardochæo verbum, et significavit Esther, et ipsa patefecit regi insidias.

23. Ὁ δὲ βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους, καὶ ἐκρέμασεν αὐτούς. Καὶ προσέταξεν ὁ βασιλεὺς καταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ, ὑπὲρ τῆς εὐνοίας Μαρδοχαίου, ἐν ἐγκωμίῳ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Μετὰ δὲ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς Ἀρταξέρξης Ἀμὰν Ἀμαδαθοῦ Βουγαῖον, καὶ ὕψωσεν αὐτὸν, καὶ ἐπρωτοβάθρει πάντων τῶν φίλων αὐτοῦ,

2. καὶ πάντες οἱ ἐν τῇ αὐλῇ προσεκύνουν αὐτῷ· οὕτως γὰρ προσέταξεν ὁ βασιλεὺς ποιῆσαι. Ὁ δὲ Μαρδοχαῖος οὐ προσεκύνει αὐτῷ.

3. Καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βασιλέως τῷ Μαρδοχαίῳ· Μαρδοχαῖε, τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα;

4. Καθ' ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ, καὶ οὐχ ὑπήκουεν αὐτῶν. Καὶ ὑπέδειξαν τῷ Ἀμὰν Μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον, καὶ ὑπέδειξεν αὐτοῖς ὁ Μαρδοχαῖος ὅτι Ἰουδαῖός ἐστι.

5. Καὶ ἐπιγνοὺς Ἀμὰν ὅτι οὐ προσκυνεῖ αὐτῷ Μαρδοχαῖος, ἐθυμώθη σφόδρα,

6. καὶ ἐβουλεύσατο ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν Ἀρταξέρξου βασιλείαν Ἰουδαίους.

7. Καὶ ἐποίησε ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας Ἀρταξέρξου, καὶ ἔβαλε κλήρους ἡμέραν ἐξ ἡμέρας, καὶ μῆνα ἐκ μηνὸς, ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος Μαρδοχαίου· καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ὅς ἐστιν ἀδάρ.

8. Καὶ ἐλάλησε πρὸς τὸν βασιλέα Ἀρταξέρξην, λέγων· Ὑπάρχει ἔθνος διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου, οἱ δὲ νόμοι αὐτῶν ἔξαλλοι παρὰ πάντα τὰ ἔθνη, τῶν δὲ νόμων τοῦ βασιλέως παρακούουσι, καὶ οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς.

9. Εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάτω ἀπολέσαι αὐτοὺς, κἀγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως ἀργυρίου τάλαντα μύρια.

10. Καὶ περιελόμενος ὁ βασιλεὺς τὸν δακτύλιον, ἔδωκεν εἰς χεῖρας τῷ Ἀμὰν, σφραγίσαι κατὰ τῶν γεγραμμένων κατὰ τῶν Ἰουδαίων.

11. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἀμάν· Τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς βούλει.

12. Καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ, τῇ τρισκαιδεκάτῃ, καὶ ἔγραψαν, ὡς ἐπέταξεν Ἀμὰν, τοῖς στρατηγοῖς καὶ τοῖς ἄρχουσι κατὰ πᾶσαν χώραν ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ταῖς ἑκατὸν εἰκοσιεπτὰ χώραις, τοῖς τε ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν αὐτῶν λέξιν, διὰ Ἀρταξέρξου τοῦ βασιλέως.

13. Καὶ ἀπεστάλη διὰ βιβλιοφόρων εἰς τὴν Ἀρταξέρξου βασιλείαν, ἀφανίσαι τὸ γένος τῶν Ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου, ὅς ἐστιν ἀδάρ, καὶ διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν. Τῆς δὲ ἐπιστολῆς ἐστι τὸ ἀντίγραφον τόδε· (*Cap.* XIII, 1-7.) Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρχαις ὑποτεταγμένοις τάδε γράφει· Πολλῶν ἐπάρξας ἐθνῶν, καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων, τοὺς τῶν ὑποτεταγμένων ἀκυμάντους διαπαντὸς καταστῆσαι βίους, τήν τε βασιλείαν ἥμερον

23. Rex autem examinavit duos illos eunuchos, et suspendit eos. Et præcepit rex se ponere in commentario in regia bibliotheca, pro benevolentia Mardochæi, in encomio.

CAPUT III.

1. Post hæc autem glorificavit rex Artarxerses Aman Amadathi Bugæum, et exaltavit eum, et prior sedebat omnibus amicis suis,

2. et omnes qui in aula adorabant eum : ita enim præcepit rex facere. Mardochæus autem non adorabat eum.

3. Et locuti sunt qui in aula regis Mardochæo : Mardochæe, quid non observas ea quæ a rege dicuntur?

4. Per singulos dies loquebantur ei, et non obediebat eis. Et indicarunt Aman Mardochæum verbis regis repugnantem, et indicarat eis Mardochæus quia Judæus est.

5. Et cognoscens Aman quia non adorat eum Mardochæus, indignatus est valde,

6. et decrevit delere omnes qui sub Artarxersis regno Judæos.

7. Et fecit decretum in anno duodecimo regni Artarxersis, et misit sortes diem ex die, et mensem ex mense, ut perderet in una die genus Mardochæi : et cecidit sors in quartam et decimam mensis qui est adar.

8. Et locutus est ad regem Artaxersem, dicens : Est gens disseminata in gentibus in omni regno tuo, leges autem eorum diversæ præter omnes gentes, legibus autem regis sunt inobedientes, et non confert regi permittere eos.

9. Si videtur regi, decernat perdere eos, et ego describam in gazophylacio regis argenti talenta decem millia.

10. Et tollens rex annulum, dedit in manus Aman, ad obsignandum super iis quæ scripta contra Judæos.

11. Et dixit rex ad Aman : Argentum quidem habe, gente autem utere sicut vis.

12. Et vocati sunt scribæ regis mense primo, tertia decima die, et scripserunt, sicut præcepit Aman, ducibus et principibus per omnem regionem ab Indica usque ad Æthiopiam, centum viginti septem provinciis, et principibus gentium secundum eorum linguam, per Artaxersem regem.

13. Et missum est per tabellarios in Artaxersis regnum, delere genus Judæorum in die una mensis duodecimi, qui est adar, et diripere substantias eorum. Epistolæ autem exemplar est hoc : (*Cap.* XIII, 1-7.) Rex magnus Artaxerses iis qui ab India usque ad Æthiopiam centum viginti septem provinciarum principibus et locorum præfectis subjectis hæc scribit : Multis cum imperarem gentibus, et universum obtinuissem orbem, volui confidentia potestatis non elatus, sed mitius et cum mansuetudine semper gubernans, subjectorum tranquillas perpetuo reddere vitas, et regnum placidum et pervium usque ad fines præbens, renovare etiam optatam omnibus hominibus pacem. Percunctante autem me consilia

καὶ πορευτὴν μέχρι περάτων παρεξόμενος, ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην. Πυθομένου δέ μου τῶν συμβούλων πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ' ἡμῖν διενέγκας, καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτως καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος, καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος Ἀμὰν, ἐπέδειξεν ἡμῖν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυλαῖς ἀναμεμίχθαι δυσμενῆ λαόν τινα, τοῖς νόμοις ἀντίθετον πρὸς πᾶν ἔθνος, τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς διατάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ' ἡμῶν κατευθυνομένην ἀμέμπτως συναρχίαν. Διειληφότες οὖν τόδε τὸ ἔθνος μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ κείμενον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον, καὶ δυσνοοῦν τοῖς ἡμετέροις πράγμασι τὰ χείριστα συντελοῦν κακὰ, καὶ πρὸς τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν· προστετάχαμεν οὖν τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων, καὶ δευτέρου πατρὸς ἡμῶν; πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσαι ὁλοριζὶ, ταῖς τῶν ἐχθρῶν μαχαίραις, ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ τοῦ ἐνεστῶτος ἔτους, ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες, εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πράγματα.

14. Τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ χώραν· καὶ προσετάγη πᾶσι τοῖς ἔθνεσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν ταύτην.

15. Ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς Σοῦσαν. Ὁ δὲ βασιλεὺς καὶ Ἀμὰν ἐκωθωνίζοντο· ἐταράσσετο δὲ ἡ πόλις.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ὁ δὲ Μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον διέῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἐνεδύσατο σάκκον, καὶ κατεπάσατο σποδόν· καὶ ἐκπηδήσας διὰ τῆς πλατείας τῆς πόλεως, ἐβόα φωνῇ μεγάλῃ· Αἴρεται ἔθνος μηδὲν ἠδικηκός.

2. Καὶ ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως, καὶ ἔστη· οὐ γὰρ ἦν αὐτῷ ἐξὸν εἰσελθεῖν εἰς τὴν αὐλὴν, σάκκον ἔχοντι καὶ σποδόν.

3. Καὶ ἐν πάσῃ χώρᾳ, οὗ ἐξετίθετο τὰ γράμματα, κραυγὴ καὶ κοπετὸς καὶ πένθος μέγα τοῖς Ἰουδαίοις, σάκκον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς.

4. Καὶ εἰσῆλθον αἱ ἅβραι καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης, καὶ ἀνήγγειλαν αὐτῇ· καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός· καὶ ἀπέστειλε στολίσαι τὸν Μαρδοχαῖον, καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον· ὁ δὲ οὐκ ἐπείσθη.

5. Ἡ δὲ Ἐσθὴρ προσεκαλέσατο Ἀχραθαῖον τὸν εὐνοῦχον αὐτῆς, ὃς παρειστήκει αὐτῇ, καὶ ἀπέστειλε μαθεῖν αὐτῇ παρὰ τοῦ Μαρδοχαίου τὸ ἀκριβές.

7. Ὁ δὲ Μαρδοχαῖος ὑπέδειξεν αὐτῷ τὸ γεγονὸς, καὶ τὴν ἐπαγγελίαν ἣν ἐπηγγείλατο Ἀμὰν τῷ βασιλεῖ εἰς τὴν γάζαν ταλάντων μυρίων, ἵνα ἀπολέσῃ τοὺς Ἰουδαίους.

8. Καὶ τὸ ἀντίγραφον τὸ ἐν Σούσοις ἐκτεθὲν ὑπὲρ τοῦ ἀπολέσθαι αὐτοὺς ἔδωκεν αὐτῷ δεῖξαι τῇ Ἐσθὴρ, καὶ εἶπεν αὐτῷ, ἐντείλασθαι αὐτῇ εἰσελθούσῃ παραι-

rios quomodo perducatur hoc ad finem, is qui moderatione apud nos præcellit, et in benevolentia immutabilis et stabili fide probatus, et secundum a rege honorem adeptus Aman, indicavit nobis in omnibus quæ per orbem tribubus admistum esse odiosum populum quemdam, legibus oppositum adversus omnes gentes, et regum prætermittentes assidue constitutiones, ut non componatur is qui a nobis dirigitur sine vitio concors principatus. Cum igitur acceperimus hanc ipsam gentem solam ex adverso omni semper homini positam, commutantem institutionem legum peregrinam, et dissentientem nostris rebus pessima consummare mala, et ad id ut regnum bonum statum non consequatur: præcipimus igitur eos qui significantur vobis in scriptis ab Aman præposito super negotia, et secundo patre nostro, omnes cum uxoribus et filiis perdere radicitus, ipsis inimicorum gladiis, sine ulla misericordia et clementia, die quartadecima duodecimi mensis adar præsentis anni, ut qui olim et nunc inimici in die una violente ad infernum descendentes, in posterum tempus bene constitutas et tranquillas præbeant nobis perfecte res.

14. Exemplaria autem epistolarum edita sunt per regionem; et imperatum fuit omnibus gentibus paratos esse in diem istam.

15. Urgebatur autem negotium et in Susa. Rex autem et Aman epulabantur: turbabatur autem civitas.

CAPUT IV.

1. Mardochæus autem cognoscens id quod consummatum fuerat discidit vestimenta sua, et indutus est sacco, et conspersit se cinere: et exsiliens per plateam civitatis, clamabat voce magna: Tollitur gens quæ nihil injuste egit.

2. Et venit usque ad portam regis, et stetit: non enim erat ei licitum ingredi in aulam, saccum habenti et cinerem.

3. Et in omni regione ubi editæ fuerant litteræ, clamor et planctus et luctus magnus Judæis, saccum et cinerem straverant sibi.

4. Et intraverunt ancillæ et eunuchi reginæ, et annuntiarunt ei: et turbata est audiens factum: et misit ad induendum stola Mardochæum, et auferendum ejus saccum: ille autem persuasus non est.

5. Esther autem advocavit Achrathæum eunuchum suum, qui assistebat ei, et misit ut disceret ipsa a Mardochæo rem ipsam exquisite.

7. Mardochæus autem indicavit ei factum, et promissionem quam promiserat Aman regi in gazam talentorum decem millium, ut perdat Judæos.

8. Et exemplar in Susis editum de ipsis perdendis dedit ei ad ostendendum ipsi Esther, et dixit ei, ut mandaret illi ingredienti deprecari regem, et orare eum pro populo, me-

τήσασθαι τὸν βασιλέα, καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ λαοῦ, μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου, ὡς ἐτράφης ἐν χειρί μου, διότι Ἀμὰν ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησε καθ' ἡμῶν εἰς θάνατον. Ἐπικάλεσαι τὸν Κύριον, καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν, ῥῦσαι ἡμᾶς ἐκ θανάτου.

mor dierum humiliationis tuæ, quomodo nutrita es in manu mea, quoniam Aman secundus a rege locutus est contra nos ad mortem. Invoca Dominum, et loquere regi pro nobis, libera nos a morte.

9. Εἰσελθὼν δὲ ὁ Ἀχραθαῖος ἐλάλησεν αὐτῇ πάντας τοὺς λόγους τούτους.

9. Ingressus autem Achrathæus locutus est ei omnia verba hæc.

10. Εἶπε δὲ Ἐσθὴρ πρὸς Ἀχραθαῖον· Πορεύθητι πρὸς Μαρδοχαῖον, καὶ εἰπὸν,

10. Dixit autem Esther ad Achrathæum : Vade ad Mardochæum, et dic,

11. ὅτι τὰ ἔθνη πάντα τῆς βασιλείας γινώσκει ὅτι πᾶς ἄνθρωπος ἢ γυνὴ, ὃς εἰςελεύσεται πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος, οὐκ ἔστιν αὐτῷ σωτηρία· πλὴν ᾧ ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβδον, οὗτος σωθήσεται. Κἀγὼ οὐ κέκλημαι εἰςελθεῖν πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα.

11. quia gentes omnes regni sciunt quia omnis homo vel mulier, qui ingredietur ad regem in aulam interiorem non vocatus, non est ei salus : tantum cui extenderit rex auream virgam, hic salvabitur. Et ego non sum vocata ingredi ad regem, sunt ipsi dies triginta.

12. Καὶ ἀπήγγειλεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ.

12. Et annuntiavit Achrathæus Mardochæo omnia verba Esther.

13. Καὶ εἶπε Μαρδοχαῖος πρὸς Ἀχραθαῖον· Πορεύθητι, καὶ εἰπὸν αὐτῇ· Ἐσθὴρ, μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ παρὰ πάντας τοὺς Ἰουδαίους·

13. Et dixit Mardochæus ad Achrathæum : Vade, et dic ei : Esther, ne dixeris tibi, quia salvaberis sola in regno præter omnes Judæos :

14. ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ τῷ καιρῷ, ἄλλοθεν βοήθεια καὶ σκέπη ἔσται τοῖς Ἰουδαίοις· σὺ δὲ, καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε. Καὶ τίς εἶδεν εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας;

14. quoniam nisi audieris in tempore hoc, aliunde auxilium et protectio erit Judæis : tu autem, et domus patris tui peribitis. Et quis novit si ad tempus hoc facta es regina?

15. Καὶ ἐξαπέστειλεν Ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτὴν, πρὸς Μαρδοχαῖον, λέγουσα·

15. Et misit Esther eum qui veniebat ad se, ad Mardochæum, dicens :

16. Βαδίσας ἐκκλησίασον τοὺς Ἰουδαίους τοὺς ἐν Σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοὶ, καὶ μὴ φάγητε μηδὲ πίητε ἐπὶ ἡμέρας τρεῖς νύκτα καὶ ἡμέραν· κἀγὼ δὲ καὶ αἱ ἅβραι μου ἀσιτήσομεν· καὶ τότε εἰςελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέσθαι με δέῃ.

16. Vadens convoca Judæos qui in Susis, et jejunate super me, et non comedatis, neque bibatis per dies tres nocte et die : et ego vero et ancillæ meæ abstinebimus a cibo : et tunc ingrediar ad regem præter legem, etiam si perire me oporteat.

17. Καὶ βαδίσας Μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ Ἐσθήρ. (*Cap.* XIII, 8, XIV.) Καὶ ἐδεήθη Κυρίου, μνημονεύων πάντα τὰ ἔργα Κυρίου, καὶ εἶπε· Κύριε, Κύριε βασιλεῦ πάντων κρατῶν, ὅτι ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστι, καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ· ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανόν. Καὶ Κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ Κυρίῳ. Σὺ πάντα γινώσκεις· σὺ οἶδας, Κύριε, ὅτι οὐκ ἐν ὕβρει, οὐδὲ ἐν ὑπερηφανείᾳ, οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον Ἀμάν· ὅτι ηὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν Ἰσραήλ. Ἀλλ' ἐποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀνθρώπου ὑπεράνω δόξης Θεοῦ· καὶ οὐ προσκυνήσω οὐδένα πλὴν σοῦ τοῦ Κυρίου μου, καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανείᾳ. Καὶ νῦν, Κύριε ὁ Θεὸς ὁ βασιλεὺς, ὁ Θεὸς Ἀβραὰμ, φεῖσαι τοῦ λαοῦ σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς καταφθορὰν, καὶ ἐπεθύμησαν ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου. Μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου. Ἐπάκουσον τῆς δεήσεώς μου, καὶ ἱλάσθητι τῷ κλήρῳ σου, καὶ στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνῶμέν σου τὸ ὄνομα, Κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σε, Κύριε. Καὶ πᾶς Ἰσραὴλ ἐκέκραξεν ἐξ ἰσχύος αὐτῶν, ὅτι θάνατος αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν. Καὶ Ἐσθὴρ ἡ βασίλισσα κατέφυγεν ἐπὶ τὸν Κύριον ἐν ἀγῶνι θανάτου

17. Et pergens Mardochæus fecit quæcumque mandarat ei Esther. (*Cap.* XIII, 8, XIV.) Et deprecatus est Dominum, memor omnium operum Domini, et dixit : Domine, Domine rex omnipotens, quia in potestate tua sunt omnia, et non est qui dissentiat a te cum tu volueris salvare Israel : quoniam tu fecisti cœlum et terram, et omne quod suspicitur in sub cœlesti. Et Dominus es omnium et non est qui resistat tibi Domino. Tu omnia cognoscis : tu nosti, Domine, quia non in contumelia, neque in superbia, neque in cupiditate gloriæ feci hoc, ut non adorarem superbum Aman : quoniam bene affectus eram osculari vestigia pedum ejus ad salutem Israel. Sed feci hoc, ut non ponerem gloriam hominis super gloriam Dei : et non adorabo quemquam præter te Dominum meum, et non faciam hæc in superbia. Et nunc, Domine Deus rex, Deus Abraam, parce populo tuo, quoniam intuentur nos ad perditionem, et concupierunt perdere eam quæ a principio hæreditatem tuam. Ne despicias partem tuam, quam tibi redemisti e terra Ægypti. Exaudi deprecationem meam, et propitiare sorti tuæ, et verte luctum nostrum in delectationem, ut viventes hymnis celebremus nomen tuum, Domine, et ne deleas os laudantium te, Domine. Et omnis Israel vociferatus est ex fortitudine sua, quoniam mors sua in oculis ipsorum. Et Esther regina confugit ad Dominum in agone mortis comprehensa, et auferens vestimenta gloriæ

κατειλημμένη, καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς, ἐνεδύσατο ἱμάτια στενοχωρίας καὶ πένθους, καὶ ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων, σποδοῦ καὶ κοπριῶν ἐνέπλησε τὴν κεφαλὴν αὐτῆς· καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα· καὶ πάντα τόπον κόσμου ἀγαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν τριχῶν αὐτῆς. Καὶ ἐδεῖτο Κυρίου Θεοῦ Ἰσραὴλ, καὶ εἶπε· Κύριέ μου, βασιλεὺς ἡμῶν, σὺ εἶ μόνος, βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μὴ σὲ, ὅτι κίνδυνός μου ἐν χειρί μου. Ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου, ὅτι σὺ, Κύριε, ἔλαβες τὸν Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν, καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον, καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας. Καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, ἀνθ' ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. Δίκαιος εἶ Κύριε. Καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλ' ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐτῶν, ἐξᾶραι ὁρισμὸν στόματός σου, καὶ ἀφανίσαι κληρονομίαν σου, καὶ ἐμφράξαι στόμα αἰνούντων σοι, καὶ σβέσαι δόξαν οἴκου σου καὶ θυσιαστηρίου σου, καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀρετὰς ματαίων, καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα. Μὴ παραδῷς, Κύριε, τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι, καὶ μὴ καταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ' αὐτούς· τὸν δὲ ἀρξάμενον ἐφ' ἡμᾶς παραδειγμάτισον. Μνήσθητι, Κύριε, γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν, καὶ ἐμὲ θάρσυνον, βασιλεῦ τῶν θεῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν. Δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος, καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ. Ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου, καὶ βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ εἰ μὴ σὲ, Κύριε. Πάντων γνῶσιν ἔχεις, καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων, καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων, καὶ παντὸς ἀλλοτρίου. Σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανείας μου, ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων, καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. Καὶ οὐκ ἔφαγεν ἡ δούλη σου τράπεζαν Ἀμὰν, καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν· καὶ οὐκ ηὐφράνθη ἡ δούλη σου ἀφ' ἡμέρας μεταβολῆς μου μέχρι νῦν, πλὴν ἐπὶ σοὶ, Κύριε ὁ Θεὸς Ἀβραάμ. Ὁ Θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον φωνῆς ἀπηλπισμένων, καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων, καὶ ῥῦσαί με ἐκ τοῦ φόβου μου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐπαύσατο προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας, καὶ περιεβάλλετο τὴν δόξαν αὐτῆς· καὶ γενηθεῖσα ἐπιφανὴς, ἐπικαλεσαμένη τὸν πάντων ἐπόπτην Θεὸν καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας· καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς. Καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς· καὶ τὸ πρόσωπον αὐτῆς ἱλαρὸν, ὡς προσφιλές· ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου. Καὶ εἰσελθοῦσα πάσας τὰς θύρας κατέστη ἐνώπιον τοῦ βα-

suæ, induit vestimenta angustiæ et luctus, et pro superbis suavitatibus, cinere et fimo implevit caput suum: et corpus suum humiliavit valde: et omnem locum ornatus exsultationis suæ replevit laceratis capillis suis. Et deprecata est Dominum Deum Israel, et dixit: Domine mi, rex noster, tu es solus, adjuva me solam, et non habentem adjutorem nisi te, quoniam periculum meum in manu mea. Ego audiebam a nativitate mea in tribu patriæ meæ, quia tu, Domine, assumpsisti Israel ex omnibus gentibus, et patres nostros ex omnibus majoribus eorum in hæreditatem æternam, et fecisti eis quæcumque locutus es. Et nunc peccavimus coram te, et tradidisti nos in manus inimicorum nostrorum, eo quod glorificavimus deos eorum. Justus es, Domine. Et nunc non satis habuerunt in amaritudine servitutis nostræ, sed posuerunt manus suas super manus idolorum suorum, ad tollendam determinationem oris tui, et delendam hæreditatem tuam, et obturandum os laudantium te, et extinguendam gloriam domus tuæ et altaris tui, et aperiendum os gentium ad virtutes vanorum, et admirationi habendum regem carneum in sæculum. Ne tradas, Domine, sceptrum tuum iis qui non sunt, et non irrideant in ruina nostra, sed verte consilium eorum super eos: et in eum qui cœpit super nos exempla statue. Memento, Domine, ostende te in tempore tribulationis nostræ, et da mihi fiduciam, rex deorum et omni principatui imperans. Da sermonem bene compositum in os meum coram leone, et transfer cor illius in odium impugnantis nos, in consummationem ejus et consentientium ei. Nos autem libera in manu tua, et adjuva me solam, et non habentem nisi te, Domine. Omnium scientiam habes, et nosti quia odi gloriam iniquorum, et abominor cubile incircumcisorum, et omnis alieni. Tu nosti necessitatem meam, quia abominor signum superbiæ meæ, quod est super caput meum in diebus ostentationis meæ: abominor illud sicut pannum menstruorum, et non porto illud in diebus silentii mei. Et non comedit serva tua mensam Aman, et non glorificavi convivium regis, neque bibi vinum libaminum: et non est lætata serva tua a die translationis meæ usque nunc, nisi in te, Domine Deus Abraam. Deus fortis super omnes, exaudi vocem desperatorum, et erue nos de manu malignantium, et libera me a timore meo.

CAPUT V.

1. Et factum est in die tertia, ut cessavit orans, exuit vestimenta servitutis, et circumdata est gloria sua: et facta splendens, invocans omnium inspectorem Deum et salvatorem, assumpsit duas famulas; et uni quidem innitebatur tamquam deliciis diffluens, altera autem subsequebatur allevans vestem ejus. Et ipsa rubens vigore pulchritudinis suæ: et facies ejus hilaris, tamquam jucunda: cor autem ejus arctatum præ timore. Et ingressa omnes januas stetit in conspectu regis. Et ipse sedebat super thronum regni sui, et

σιλέως. Καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνδεδύκει, ὅλος διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. Καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ, ἐν ἀκμῇ θυμοῦ ἔβλεψεν. Καὶ ἔπεσεν ἡ βασίλισσα, καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατεπέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἅβρας τῆς προπορευομένης. Καὶ μετέβαλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραΰτητα, καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ μέχρις οὗ κατέστη, καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς, καὶ εἶπεν αὐτῇ· Τί ἐστιν, Ἐσθήρ; Ἐγὼ ὁ ἀδελφός σου, θάρσει, οὐ μὴ ἀποθάνῃς· ὅτι κοινὸν τὸ πρόσταγμα ἡμῶν ἐστιν. Πρόσελθε.

2. Καὶ ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἠσπάσατο αὐτήν, καὶ εἶπε· Λάλησόν μοι. Καὶ εἶπεν αὐτῷ· Εἶδόν σε, κύριε, ὡς ἄγγελον Θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ φόβου τῆς δόξης σου, ὅτι θαυμαστὸς εἶ, κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν. Ἐν δὲ τῷ διαλέγεσθαι αὐτήν, ἔπεσεν ἀπὸ ἐκλύσεως. Καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

3. Καὶ εἶπεν ὁ βασιλεύς· Τί θέλεις, Ἐσθήρ; καὶ τί σου ἐστὶ τὸ ἀξίωμα; Ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι.

4. Εἶπε δὲ Ἐσθήρ· Ἡμέρα μου ἐπίσημος σήμερόν ἐστι· εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλθάτω καὶ αὐτὸς καὶ Ἀμὰν εἰς τὴν δοχὴν ἣν ποιήσω σήμερον.

5. Καὶ εἶπεν ὁ βασιλεύς· Κατασπεύσατε Ἀμάν, ὅπως ποιήσωμεν τὸν λόγον Ἐσθήρ. Καὶ παραγίνονται ἀμφότεροι εἰς τὴν δοχήν, ἣν εἶπεν Ἐσθήρ.

6. Ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐσθήρ· Τί ἐστιν, βασίλισσα Ἐσθήρ; καὶ ἔσται ὅσα ἀξιοῖς.

7. Καὶ εἶπε· Τὸ αἴτημά μου, καὶ τὸ ἀξίωμα·

8. Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, ἐλθάτω ὁ βασιλεὺς καὶ Ἀμὰν ἔτι τὴν αὔριον εἰς τὴν δοχὴν ἣν ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.

9. Καὶ ἐξῆλθεν ὁ Ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐφραινόμενος· ἐν δὲ τῷ ἰδεῖν Ἀμὰν Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ, ἐθυμώθη σφόδρα.

10. Καὶ εἰσελθὼν εἰς τὰ ἴδια, ἐκάλεσε τοὺς φίλους, καὶ Ζωσάραν τὴν γυναῖκα αὐτοῦ,

11. καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ, καὶ τὴν δόξαν ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας.

12. Καὶ εἶπεν Ἀμάν· Οὐ κέκληκεν ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχήν, ἀλλ' ἢ ἐμέ, καὶ εἰς τὴν αὔριον κέκλημαι.

13. Καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν ἴδω Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ.

14. Καὶ εἶπε πρὸς αὐτὸν Ζωσάρα ἡ γυνὴ αὐτοῦ, καὶ οἱ φίλοι· Κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα, ὄρθρου δὲ εἶπον τῷ βασιλεῖ, καὶ κρεμασθήτω Μαρδοχαῖος ἐπὶ τοῦ ξύλου· σὺ δὲ εἴσελθε εἰς τὴν δοχὴν σὺν τῷ βασιλεῖ, καὶ εὐφραίνου. Καὶ ἤρεσε τὸ ῥῆμα τῷ Ἀμὰν καὶ ἑτοιμάσθη τὸ ξύλον.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

1. Ὁ δὲ Κύριος ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασι-

omnem stolam splendoris sui induerat, totus in auro et lapidibus pretiosis, et erat terribilis valde. Et elevans faciem suam inflammatam gloria, in vigore furoris aspexit. Et cecidit regina, et mutavit colorem suum in dissolutione, et procubuit super caput ancillæ præeuntis. Et immutavit Deus spiritum regis ad mansuetudinem, et factus in agonia prosiliit e throno suo, et assumpsit eam super ulnas suas, donec restituta est, et consolabatur eam verbis pacificis, et dixit ei : Quid est, Esther? Ego frater tuus, confide, non morieris : quoniam commune præceptum nostrum est. Accede.

2. Et elevans auream virgam imposuit super cervicem ejus, et amplexus est eam, et dixit : Loquere mihi. Et dixit ad eum : Vidi te, domine, tamquam angelum Dei, et turbatum est cor meum præ timore gloriæ tuæ, quoniam mirabilis es, domine, et facies tua gratiarum plena. Dum autem ipsa loqueretur, cecidit præ dissolutione. Et rex turbatus est, et omne famulitium ejus consolabatur eam.

3. Et dixit rex : Quid vis, Esther? et quod tuum est postulatum? Usque ad dimidium regni mei, et erit tibi.

4. Dixit autem Esther : Dies mea insignis hodie est : si igitur videtur regi, veniat et ipse et Aman ad convivium quod faciam hodie.

5. Et dixit rex : Vocate cito Aman, ut faciamus verbum Esther. Et adveniunt utrique ad convivium, quod dixit Esther.

6. In potatione autem dixit rex ad Esther : Quid est, regina Esther? et erunt quæcumque postulaveris?

7. Et dixit : Petitio mea, et postulatum :

8. Si inveni gratiam in conspectu regis, veniat rex et Aman adhuc cras ad convivium quod faciam eis, et cras faciam ea.

9. Et exiit Aman a rege alacer lætus. In videndo autem Aman Mardochæum Judæum in aula, indignatus est valde.

10. Et ingressus in propria, vocavit amicos, et Zosaram uxorem suam,

11. et demonstravit eis divitias suas, et gloriam quam rex ei circumposuerat, et quomodo fecerat eum tenere primum locum et præesse regno.

12. Et dixit Aman : Non vocavit regina cum rege quemquam ad convivium, nisi me, etiam in crastinam vocatus sum.

13. Et hæc mihi non placent, quamdiu videro Mardochæum Judæum in aula.

14. Et dixit ad eum Zosara uxor ejus, et amici : Cædatur tibi lignum cubitorum quinquaginta, mane autem dic regi, et suspendatur Mardochæus super lignum : tu autem intra ad convivium cum rege, et lætare. Et placuit verbum ipsi Aman, et paratum fuit lignum.

CAPUT VI.

1. Dominus autem amovit somnum a rege nocte illa :

λέως τὴν νύκτα ἐκείνην· καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ εἰςφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ.

2. Εὗρε δὲ τὰ γράμματα τὰ γραφέντα περὶ Μαρδοχαίου, ὡς ἀπήγγειλε τῷ βασιλεῖ περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐτοὺς, καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ.

3. Εἶπε δὲ ὁ βασιλεύς· Τίνα δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ; Καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· Οὐχ ἐποίησας αὐτῷ οὐδέν.

4. Ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας Μαρδοχαίου, ἰδοὺ Ἀμὰν ἐν τῇ αὐλῇ· εἶπε δὲ ὁ βασιλεύς· Τίς ἐν τῇ αὐλῇ; Ὁ δὲ Ἀμὰν εἰςῆλθεν εἰπεῖν τῷ βασιλεῖ, κρεμάσαι τὸν Μαρδοχαῖον ἐπὶ τῷ ξύλῳ ᾧ ἡτοίμασε.

5. Καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· Ἰδοὺ Ἀμὰν ἕστηκεν ἐν τῇ αὐλῇ. Καὶ εἶπεν ὁ βασιλεύς· Καλέσατε αὐτόν.

6. Εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν· Τί ποιήσω τῷ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι; Εἶπε δὲ ἐν ἑαυτῷ Ἀμάν· Τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ;

7. Εἶπε δὲ πρὸς τὸν βασιλέα· Ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι,

8. ἐνεγκάτωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην ἣν ὁ βασιλεὺς περιβάλλεται, καὶ ἵππον ἐφ' ὃν ὁ βασιλεὺς ἐπιβαίνει,

9. καὶ δότω ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων, καὶ στολισάτω τὸν ἄνθρωπον ὃν ὁ βασιλεὺς ἀγαπᾷ· καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως, λέγων· Οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς δοξάζει.

10. Εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν· Καλῶς ἐλάλησας· οὕτως ποίησον τῷ Μαρδοχαίῳ τῷ Ἰουδαίῳ, τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ, καὶ μὴ παραπεσάτω σου λόγος ὧν ἐλάλησας.

11. Ἔλαβε δὲ Ἀμὰν τὴν στολὴν καὶ τὸν ἵππον, καὶ ἐστόλισε τὸν Μαρδοχαῖον, καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως, καὶ ἐκήρυσσε λέγων· Οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς θέλει δοξάσαι.

12. Ἐπέστρεψε δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν· Ἀμὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια λυπούμενος κατὰ κεφαλῆς.

13. Καὶ διηγήσατο Ἀμὰν τὰ συμβεβηκότα αὐτῷ Ζωσάρᾳ τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις. Καὶ εἶπαν πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή· Εἰ ἐκ γένους Ἰουδαίων Μαρδοχαῖος, ἦρξαι ταπεινοῦσθαι ἐνώπιον αὐτοῦ· πεσὼν πεσῇ, καὶ οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι Θεὸς ζῶν μετ' αὐτοῦ.

14. Ἔτι αὐτῶν λαλούντων, παραγίνονται οἱ εὐνοῦχοι, ἐπισπεύδοντες τὸν Ἀμὰν ἐπὶ τὸν πότον ὃν ἡτοίμασεν Ἐσθήρ.

et dixit ministro suo afferre litteras memoriales dierum ad legendum ei.

2. Invenit autem litteras scriptas de Mardochæo, quomodo annuntiarat regi de duobus eunuchis regis dum illi custodias agerent, et quærerent inferre manum Artaxersi.

3. Dixit autem rex : Quam gloriam vel gratiam fecimus Mardochæo? Et dixerunt ministri regis : Non fecisti ei quicquam.

4. Dum autem percunctaretur rex de benevolentia Mardochæi, ecce Aman in aula : dixit autem rex : Quis in aula? Aman autem intraverat ad dicendum regi, ut suspenderet Mardochæum in ligno quod paraverat.

5. Et dixerunt ministri regis : Ecce Aman stat in aula. Et dixit rex : Vocate eum.

6. Dixit autem rex ad Aman : Quid faciam homini quem ego volo glorificare? Dixit autem in seipso Aman : Quem vult rex glorificare nisi me?

7. Dixit autem ad regem : Hominem quem vult rex glorificare,

8. afferant pueri regis stolam byssinam qua rex circumdatur, et equum super quem rex inscendit,

9. et det uni amicorum regis honoratorum, et induat stola hominem quem rex diligit : et ascendere faciat eum super equum, et prædicet per plateam civitatis, dicens : Sic erit omni homini quem rex glorificat.

10. Dixit autem rex ad Aman : Probe locutus es : sic facito Mardochæo Judæo, servienti in aula, et non decidat a te verbum ex iis quæ locutus es.

11. Sumpsit autem Aman stolam et equum , et stola induit Mardochæum, et imposuit eum super equum et transivit per plateam civitatis, et prædicabat dicens : Sic erit omni homini quem rex vult glorificare.

12. Rediit autem Mardochæus in aulam : Aman autem reversus est in propria tristans demisso capite.

13. Et narravit Aman quæ sibi acciderant Zosaræ uxori suæ et amicis. Et dixerunt ad eum amici et uxor ? Si de genere Judæorum Mardochæus, cœpisti humiliari coram eo : cadens cades, et non poteris eum ulcisci, quoniam Deus vivens cum eo.

14. Adhuc ipsis loquentibus, adveniunt eunuchi urgentes Aman ad convivium quod paraverat Esther.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Εἰςῆλθε δὲ ὁ βασιλεὺς καὶ Ἀμὰν, συμπιεῖν τῇ βασιλίσσῃ.

2. Εἶπε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ· Τί ἐστιν, Ἐσθὴρ βασίλισσα, καὶ τί τὸ αἴτημά σου, καὶ τί τὸ ἀξίωμά σου; καὶ ἔστω σοι ἕως ἡμίσους τῆς βασιλείας μου.

CAPUT VII.

1. Intravit autem rex et Aman, ut biberent cum regina.

2. Dixit autem rex ad Esther secunda die in potatione : Quid est, Esther regina, et quæ petitio tua, et quod postulatum tuum? et esto tibi usque ad dimidium regni mei.

3. Καὶ ἀποκριθεῖσα εἶπεν· Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ ψυχὴ τῷ αἰτήματί μου, καὶ ὁ λαός μου τῷ ἀξιώματί μου.

4. Ἐπράθημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δουλείαν, ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρήκουσα· οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως.

5. Εἶπε δὲ ὁ βασιλεύς· Τίς οὗτος ὅς τις ἐτόλμησε ποιῆσαι τὸ πρᾶγμα τοῦτο;

6. Εἶπε δὲ Ἐσθήρ· Ἄνθρωπος ἐχθρὸς Ἀμὰν ὁ πονηρὸς οὗτος. Ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης.

7. Ὁ δὲ βασιλεὺς ἐξανέστη ἀπὸ τοῦ συμποσίου εἰς τὸν κῆπον· ὁ δὲ Ἀμὰν παρῃτεῖτο τὴν βασίλισσαν, ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα.

8. Ἐπέστρεψεν δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου· Ἀμὰν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην, ἀξιῶν τὴν βασίλισσαν. Εἶπε δὲ ὁ βασιλεύς· Ὥστε καὶ τὴν γυναῖκα βιάζῃ ἐν τῇ οἰκίᾳ μου; Ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.

9. Εἶπε δὲ Βουγαθὰν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα· Ἰδοὺ καὶ ξύλον ἡτοίμασεν Ἀμὰν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ ὤρθωται ἐν τοῖς Ἀμὰν ξύλον πηχῶν πεντήκοντα. Εἶπε δὲ ὁ βασιλεύς· Σταυρωθήτω ἐπ᾽ αὐτοῦ.

10. Καὶ ἐκρεμάσθη Ἀμὰν ἐπὶ τοῦ ξύλου ὃ ἡτοιμάσθη Μαρδοχαίῳ. Καὶ τότε ὁ βασιλεὺς ἐκόπασε τοῦ θυμοῦ.

3. Et respondens dixit : Si inveni gratiam in conspectu regis, detur anima petitioni meæ, et populus meus postulationi meæ.

4. Venditi enim sumus et ego et populus meus in perditionem et direptionem et servitutem, nos et filii nostri in pueros et ancillas, et non audivi : non enim dignus criminator aula regis.

5. Dixit autem rex : Quis iste qui ausus est facere rem hanc?

6. Dixit autem Esther : Homo inimicus Aman malignus iste. Aman autem turbatus est ex rege et regina.

7. Rex autem surrexit a symposio in hortum : Aman autem deprecabatur reginam, viderat enim se in malis esse.

8. Revertit autem rex de horto : Aman autem procubuerat super lectum, orans reginam. Dixit autem rex : Ut etiam uxori vim afferat in domo mea? Aman autem audiens confusus est facie.

9. Dixit autem Bugathan unus eunuchorum ad regem : Ecce et lignum paravit Aman Mardochæo qui locutus est pro rege, et erectum est in propriis Aman lignum cubitorum quinquaginta. Dixit autem rex : Crucifigatur in eo.

10. Et suspensus est Aman super lignum quod paratum fuerat Mardochæo. Et tunc rex cessavit a furore

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Ἐσθὴρ ὅσα ὑπῆρχεν Ἀμὰν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ τοῦ βασιλέως· ὑπέδειξε γὰρ Ἐσθὴρ ὅτι ἐνοικείωται αὐτῇ.

2. Ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύλιον ὃν ἀφείλατο Ἀμὰν, καὶ ἔδωκεν αὐτὸν Μαρδοχαίῳ, καὶ κατέστησεν Ἐσθὴρ Μαρδοχαῖον ἐπὶ πάντων τῶν Ἀμάν.

3. Καὶ προσθεῖσα ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ ἠξίου ἀφελεῖν τὴν Ἀμὰν κακίαν, καὶ ὅσα ἐποίησε τοῖς Ἰουδαίοις.

4. Ἐξέτεινε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τὴν ῥάβδον τὴν χρυσῆν· ἐξηγέρθη δὲ Ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ,

5. καὶ εἶπεν Ἐσθήρ· Εἰ δοκεῖ σοι, καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Ἀμὰν, τὰ γραφέντα ἀπολέσθαι τοὺς Ἰουδαίους οἵ εἰσιν ἐν τῇ βασιλείᾳ σου.

6. Πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου;

7. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐσθήρ· Εἰ πάντα τὰ ὑπάρχοντα Ἀμὰν ἔδωκα καὶ ἐχαρισάμην σοι, καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς Ἰουδαίοις, τί ἔτι ἐπιζητεῖς;

8. Γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου, ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου· ὅσα γὰρ γράφεται τοῦ βασιλέως ἐπιτάξαντος, καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν.

9. Ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνὶ, ὅς ἐστι νισὰν, τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς Ἰουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν, ἀπὸ τῆς Ἰνδικῆς ἕως

CAPUT VIII.

1. Et in eadem die rex Artaxerses largitus est Esther quæcumque fuerant Aman calumniatori, et Mardochæus accersitus est a rege : indicavit enim Esther quia sibi propinquus erat.

2. Sumpsit autem rex annulum quem abstulerat ab Aman, et dedit eum Mardochæo, et Esther constituit Mardochæum super omnia quæ fuerant Aman.

3. Et adjiciens locuta est ad regem, et procidit ad pedes ejus, et postulavit auferre malum ipsius Aman, et quæcumque fecerat Judæis.

4. Extendit autem rex ad Esther virgam auream : surrexit autem Esther ad adstandum regi,

5. et dixit Esther : Si videtur tibi, et inveni gratiam, mittatur ut revertantur litteræ missæ ab Aman, scriptæ ut perderentur Judæi qui sunt in regno tuo.

6. Quomodo enim potero videre afflictionem populi mei, et quomodo potero salvari in perditione patriæ meæ?

7. Et dixit rex ad Esther : Si omnem substantiam Aman dedi et gratificatus sum tibi, et ipsum suspendi super lignum, quoniam manus intulerat Judæis, quid adhuc quæris?

8. Scribite etiam vos ex nomine meo, sicut videtur vobis, et obsignate annulo meo : quæcumque enim scribuntur rege præcipiente, et obsignata fuerint annulo meo, non est eis contradicere.

9. Vocati autem sunt scribæ in primo mense, qui est nisan, tertia et vigesima ejusdem anni, et scriptum est Judæis quæcumque mandavit œconomis et principibus satraparum, ab India usque ad Æthiopiam, centum viginti

τῆς Αἰθιοπίας, ἑκατὸν εἰκοσιεπτὰ σατράπαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν αὐτῶν λέξιν.

10. Ἐγράφη δὲ διὰ τοῦ βασιλέως, καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ. Καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων,

11. ὡς ἐπέταξεν αὐτοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ πόλει, βοηθῆσαί τε αὐτοῖς, καὶ χρῆσθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν ὡς βούλονται,

12. ἐν ἡμέρᾳ μιᾷ ἐν πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς, ὅς ἐστιν Ἀδάρ.

13. Ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα· (*Cap.* XVI.) Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις, χωρῶν ἄρχουσι, καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν. Πολλοὶ, τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι, μεῖζον ἐφρόνησαν, καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν, καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι· καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ Θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην. Πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ' ἐξουσίαις τεταγμένων, τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα, παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστήσασα περιέβαλε συμφοραῖς ἀνηκέστοις, τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην. Σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιστέρων ὡς παρεδώκαμεν ἱστοριῶν ὅσα ἐστὶ παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι, καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, εἰς τὸ τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης παρεξόμεθα χρώμενοι ταῖς μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ' ἐπιεικεστέρας ἀπαντήσεως. Ὡς γὰρ Ἀμὰν Ἀμαδαθοῦ Μακεδὼν, ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος, καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν, ἔτυχεν ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον, ὥστε ἀναγορεύεσθαι ἡμῶν πατέρα, καὶ προσκυνούμενον ὑπὸ πάντων, τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν. Οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς, καὶ τοῦ πνεύματος, τόν τε ἡμέτερον σωτῆρα καὶ διαπαντὸς εὐεργέτην Μαρδοχαῖον, καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Ἐσθὴρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν· διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους, τὴν τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι. Ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις, ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου, μεγίστου, ζῶντος Θεοῦ, τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει. Καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ Ἀμὰν Ἀμαδαθοῦ ἀποσταλεῖσι γράμμασι· διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι

septem satrapis per provinciam et provinciam, secundum eorum linguam.

10. Scriptum est autem per regem, et obsignatum annulo ejus. Et miserunt litteras per tabellarios,

11. quomodo præcepit eis uti legibus suis in omni civitate, et auxiliari illis, et uti inimicis ipsorum et adversariis ipsorum sicut volunt,

12. in die una in omni regno Artaxersis, tertia decima die duodecimi mensis, qui est adar.

13. Quarum est exemplar epistolæ quæ scripta sunt : (*Cap.* XVI.) Rex magnus Artaxerses ab India usque Æthiopiam centum viginti septem provinciis, regionum principibus, et iis qui nostra curant, valere. Multi, plurima benefacientium bonitate frequentius honorati, majora sapuerunt, et non solum subjectos nobis quærunt malis afficere, et satietatem non valentes ferre, etiam in suos ipsorum benefactores aggrediuntur machinari : et gratitudinem non solum ex hominibus auferentes, sed etiam insolitorum bonorum pompis elati, illius omnia inspicientis semper Dei inimicam malignis sententiam existimant se vitaturos. Sæpe autem et multos eorum qui in potestatibus sunt constituti, qui persuasi sunt suscipere amicorum negotia, blanditia participes sanguinum innocentum eos reddens circumdedit calamitatibus incurabilibus, fallaci malignitatis deceptione decipientibus imperantium simplicem probitatem. Contemplari autem licet, non tam ex veteribus ut tradidimus historiis exquirentes vos quæcumque ad pedes impie sunt consummata eorum qui indigna dominatione premunt pestifera corruptela, et attendere ad ea quæ post hæc, quomodo regnum tranquillum omnibus hominibus cum pace præbebimus utentes mutationibus, et quæ ad conspectum veniunt dijudicantes semper cum æquiore occursu. Etenim Aman Amadathi Macedo, revera alienus a Persarum sanguine, et multum distans a nostra benignitate, peregrinus a nobis susceptus, consecutus est quam habemus erga omnem gentem humanitatem eo usque, ut appellaretur noster pater, et adoratus ab omnibus, secundam regalis throni personam gereret. Non ferens autem superbiam studuit principatu privare nos, et spiritu, et nostrum salvatorem ac per omnia benefactorem Mardochæum, et inculpatam regni consortem Esther cum universa horum gente multiplicibus artificiorum deceptionibus petens ad perditionem. : per hos enim modos putavit nactus nos desolatos, Persarum imperium ad Macedonas transferre. Nos autem traditos a ter exitiali illo ad perditionem Judæos invenimus non esse maleficos, sed justissimis gubernari legibus, esse autem filios altissimi, maximi, viventis Dei, qui direxit et nobis et majoribus nostris regnum in pulcherrima dispositione. Recte igitur facietis non utentes missis ab Aman Amadathi litteris : eo quod ipse qui hæc molitus est apud Susarum portas crucifixus est cum tota familia, dignum eo qui omnia tenet Deo velociter reddente ei judicium. Exemplar autem epistolæ

σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος Θεοῦ διατάχους ἀποδόντος αὐτῷ κρίσιν. Τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ, μετὰ παῤῥησίας ἐᾷν τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νομίμοις, καὶ συνεπισχύειν αὐτοῖς, ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ· ταύτην γὰρ ὁ τὰ πάντα δυναστεύων Θεὸς ἀντ' ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐποίησεν αὐτοῖς εὐφροσύνην. Καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε, ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾖ ἡμῖν καὶ τοῖς εὐνοοῦσι Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι μνημόσυνον τῆς ἀπωλείας. Πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ' ὀργῆς· οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος κατασταθήσεται. Τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι πάντας τοὺς Ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους.

14. Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα ἐπιτελεῖν· ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σούσοις.

15. Ὁ δὲ Μαρδοχαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν, καὶ στέφανον ἔχων χρυσοῦν, καὶ διάδημα βύσσινον πορφυροῦν· ἰδόντες δὲ οἱ ἐν Σούσοις ἐχάρησαν.

16. Τοῖς δὲ Ἰουδαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη

17. κατὰ πόλιν καὶ χώραν, οὗ ἂν ἐξετέθη τὸ πρόσταγμα· οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα, χαρὰ καὶ εὐφροσύνη τοῖς Ἰουδαίοις, κώθων καὶ εὐφροσύνη. Καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμοντο, καὶ ἰουδάϊζον διὰ τὸν φόβον τῶν Ἰουδαίων.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ, τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς, ὅς ἐστιν ἀδὰρ, παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασιλέως.

2. Ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ἰουδαίοις· οὐδεὶς γὰρ ἀντέστη, φοβούμενος αὐτούς.

3. Οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν, καὶ οἱ τύραννοι, καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ἰουδαίους· ὁ γὰρ φόβος Μαρδοχαίου ἐνέκειτο αὐτοῖς.

4. Προςέπεσε γὰρ τὸ πρόςταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ.

6. Καὶ ἐν Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ἰουδαῖοι ἄνδρας πεντακοσίους,

7. τόν τε Φαρσαννὲς, καὶ Δελφὼν, καὶ Φασγὰ,

8. καὶ Φαραδαθὰ, καὶ Βαρεὰ, καὶ Σαρβακὰ,

9. καὶ Μαρμασιμὰ, καὶ Ῥουφαῖον, καὶ Ἀρσαῖον, καὶ Ζαβουθαῖον,

10. τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδαθοῦ Βουγαίου τοῦ ἐχθροῦ τῶν Ἰουδαίων, καὶ διήρπασαν

11. ἐν αὐτῇ τῇ ἡμέρᾳ. Ἐπεδόθη τε ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις.

12. Εἶπε δὲ ὁ βασιλεὺς πρὸς Ἐσθήρ· Ἀπώλεσαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει ἄνδρας πεντακοσίους, ἐν δὲ τῇ περιχώρῳ πῶς, οἴει, ἐχρήσαντο; Τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοι;

hujus edentes in omni loco, cum libertate permittatis Judæos uti suis legitimis, et adminiculo sitis eis, ut illos qui in se in tempore tribulationis insurrexerant, ulciscantur die tertiadecima duodecimi mensis adar eadem die : hanc enim omnium dominator Deus pro perditione electi generis fecit eis lætitiam. Et vos igitur in inclytis vestris festivitatibus insignem diem cum omni lætitia agite, ut et nunc et post hæc salus sit nobis et iis qui benevoli sunt Persis, iis autem qui nobis insidiantur memoriale perditionis. Omnis autem civitas vel provincia omnino, quæ secundum hæc non fecerit, hasta et igni consumetur cum ira; non solum hominibus invia, sed etiam bestiis et volatilibus in omne tempus odiosissima reddetur. Exemplaria autem proponantur visibiliter in omni regno, paratique sint omnes Judæi in hanc diem, debellare suos adversarios.

14. Igitur ipsi quidem equites exiverunt festinantes ea quæ a regè dicta erant perficere : propositum est autem edictum etiam in Susis.

15. Mardochæus autem processit ornatus regali stola, et coronam habens auream, et diadema byssinum purpureum : videntes autem qui in Susis gavisi sunt.

16. Judæis autem facta est lux et lætitia

17. per civitatem et provinciam, ubicumque propositum fuerat edictum : ubicumque propositum fuerat edictum, gaudium et lætitia Judæis, epulatio et lætitia. Et multi ex gentibus circumcidebantur, et judaizabant propter timorem Judæorum.

CAPUT. IX.

1. In duodecimo enim mense, tertiadecima mensis, qui est adar, aderant litteræ scriptæ a rege.

2. In eadem die perierunt qui adversabantur Judæis : nullus enim contra stetit, timens eos.

3. Principes enim satraparum, et tyranni, et regii scribæ honorabant Judæos : timor enim Mardochæi incubuerat eis.

4. Advenerat enim edictum regis ut nominatus esset in omni regno.

6. Et in Susis civitate interfecerunt Judæi viros quingentos,

7. et Pharsannes, et Delphon, et Phasga,

8. et Pharadatha, et Barea, et Sarbaca,

9. et Marmasima, et Ruphæum, et Arsæum, et Zabuthæum,

10. decem filios Aman Amadathi Bugæi inimici Judæorum, et diripuerunt

11. in eadem die. Et datus est numerus regi eorum qui perierant in Susis.

12. Dixit autem rex ad Esther : Peremerunt Judæi in Susis civitate viros quingentos, in adjacente autem quomodo, putas, usi sunt? Quid igitur postulas amplius, et erit tibi?

13. Καὶ εἶπεν Ἐσθὴρ τῷ βασιλεῖ· Δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε τοὺς δέκα υἱοὺς Ἀμὰν κρεμάσαι.

14. Καὶ ἐπέτρεψεν οὕτως γενέσθαι, καὶ ἐξέθηκε τοῖς Ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν Ἀμὰν κρεμάσαι.

15. Καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ ἀδὰρ, καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους, καὶ οὐδὲν διήρπασαν.

16. Οἱ δὲ λοιποὶ τῶν Ἰουδαίων οἱ ἐν τῇ βασιλείᾳ συνήχθησαν, καὶ ἑαυτοῖς ἐβοήθουν, καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων· ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ ἀδὰρ, καὶ οὐδὲν διήρπασαν.

17. Καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης.

18. Οἱ δὲ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ τῇ τεσσαρεσκαιδεκάτῃ, καὶ ἀνεπαύσαντο· ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης.

19. Διὰ τοῦτο οὖν οἱ Ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσι τὴν τεσσαρεσκαιδεκάτην τοῦ ἀδὰρ ἡμέραν ἀγαθὴν μετ' εὐφροσύνης, ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον.

20. Ἔγραψε δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον, καὶ ἐξαπέστειλε τοῖς Ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλείᾳ, τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν,

21. στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθὰς, ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην καὶ τὴν πεντεκαιδεκάτην τοῦ ἀδάρ·

22. ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν· καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη αὐτοῖς, ὃς ἦν ἀδὰρ, ἀπὸ πένθους εἰς χαρὰν, καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων καὶ εὐφροσύνης, ἐξαποστέλλοντες μερίδας τοῖς φίλοις καὶ τοῖς πτωχοῖς.

23. Καὶ προσεδέξαντο οἱ Ἰουδαῖοι, καθὼς ἔγραψεν αὐτοῖς ὁ Μαρδοχαῖος·

24. πῶς Ἀμὰν Ἀμαδαθοῦ ὁ Μακεδὼν ἐπολέμει αὐτοὺς, καθὼς ἔθετο ψήφισμα καὶ κλῆρον ἀφανίσαι αὐτοὺς,

25. καὶ ὡς εἰσῆλθε πρὸς τὸν βασιλέα, λέγων κρεμάσαι τὸν Μαρδοχαῖον· ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους κακὰ, ἐπ' αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτὸς, καὶ τὰ τέκνα αὐτοῦ.

26. Διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραὶ διὰ τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραὶ, διὰ τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης, καὶ ὅσα πεπόνθασι διὰ ταῦτα, καὶ ὅσα αὐτοῖς ἐγένετο,

27. καὶ ἔστησε. Καὶ προσεδέχοντο οἱ Ἰουδαῖοι ἐφ' ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ ἐπὶ τοῖς προστεθειμένοις ἐπ' αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. Αἱ δὲ ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενεὰν, καὶ πόλιν, καὶ πατριὰν, καὶ χώραν.

28. Αἱ δὲ ἡμέραι αὗται τῶν Φρουραὶ ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν.

29. Καὶ ἔγραψεν Ἐσθὴρ ἡ βασίλισσα, θυγάτηρ Ἀμιναδὰβ, καὶ Μαρδοχαῖος ὁ Ἰουδαῖος, ὅσα ἐποίησαν, τό, τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρουραί.

13. Et dixit Esther regi : Detur Judæis ut utantur similiter cras, ut decem filios Aman suspendant.

14. Et permisit rex sic fieri, et permisit Judæis civitatis corpora filiorum Aman suspendere.

15. Et congregati sunt Judæi in Susis quartadecima adar, et occiderunt viros trecentos, et nihil diripuerunt.

16. Cæteri autem ex Judæis qui in regno congregati sunt, et seipsos adjuvabant, et requieverunt ab hostibus : peremerunt enim ex eis quindecim millia die tertiadecima adar, et nihil diripuerunt.

17. Et requieverunt quartadecima ejusdem mensis, et egerunt diem illum requietis cum gaudio et lætitia.

18. Judæi autem qui in Susis civitate congregati sunt etiam quartadecima, et requieverunt : egerunt autem et quintamdecimam cum gaudio et lætitia,

19. Propter hoc igitur Judæi qui disseminati sunt in omni regione quæ extra muros agunt quartamdecimam adar diem bonam cum lætitia, mittentes partes unusquisque proximo.

20. Scripsit autem Mardochæus verba hæc in libro, et misit Judæis, quicumque erant in regno Artaxersis, iis qui prope et iis qui longe,

21. ut statuerent dies hos bonos, et celebrarent quartamdecimam et quintamdecimam adar :

22. in his enim diebus requieverunt Judæi ab inimicis suis : et mensem in quo facta est eis conversio, qui erat adar, ex luctu in gaudium, et ex dolore in bonam diem, celebrarent totum bonos dies nuptiarum et lætitiæ, mittentes partes amicis et mendicis.

23. Et susceperunt Judæi, sicut scripsit eis Mardochæus :

24. quomodo Aman Amadathi Macedo impugnabat eos, sicut posuerat decretum et sortem delendi eos,

25. et ut intravit ad regem, dicens suspenderet Mardochæum : quæcumque vero aggressus est inducere super Judæos mala, super ipsum evenerunt, et suspensus est ipse, et filii ejus.

26. Propter hoc vocati sunt dies illi Phruræ propter sortes, quoniam lingua eorum vocantur Phruræ, per verba epistolæ hujus, et quæcumque passi sunt propter hæc, et quæcumque evenerunt ipsis,

27. et statuit. Et susceperunt Judæi super se et super semen suum et super appositos ad ipsos, nec sane aliter utentur. Dies autem hi memoriale perfectum per progeniem et progeniem, et civitatem, et patriam, et regionem.

28. Dies autem hi ipsorum Phruræ celebrabuntur in omne tempus, et memoria eorum non deficiet a generationibus.

29. Et scripsit Esther regina, filia Aminadab, et Mardochæus Judæus, quæcumque fecerunt, et firmamentum epistolæ ipsorum Phruræ.

31. Καὶ Μαρδοχαῖος καὶ Ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν, καὶ τότε στήσαντες κατὰ τῆς ὑγιείας ἑαυτῶν καὶ τὴν βουλὴν αὐτῶν.

32. Καὶ Ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

31. Et Mardochæus et Esther regina statuerunt sibi per se, et tunc statuentes per sanitatem suam ipsorum et consilium ipsorum.

32. Et Esther verbo statuit in sæculum, et scriptum est in memoriali.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ τῆς θαλάσσης·

2. καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν, πλοῦτόν τε καὶ δόξαν τῆς βασιλείας αὐτοῦ, ἰδοὺ γέγραπται ἐν βιβλίῳ βασιλέων Περσῶν καὶ Μήδων εἰς μνημόσυνον.

3. Ὁ δὲ Μαρδοχαῖος διεδέχετο τὸν βασιλέα Ἀρταξέρξην, καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ, καὶ δεδοξασμένος ὑπὸ τῶν Ἰουδαίων· καὶ φιλούμενος διηγεῖτο τὴν ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτοῦ.

4. Καὶ εἶπε Μαρδοχαῖος· Παρὰ τοῦ Θεοῦ ἐγένετο ταῦτα.

5. Ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου οὗ εἶδον περὶ τῶν λόγων τούτων· οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν λόγος.

6. Ἡ μικρὰ πηγὴ ἣ ἐγένετο ποταμὸς, καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολύ. Ἐσθήρ ἐστιν ὁ ποταμὸς, ἣν ἐγάμησεν ὁ βασιλεὺς, καὶ ἐποίησε βασίλισσαν.

7. Οἱ δὲ δύο δράκοντες, ἐγώ εἰμι καὶ Ἀμάν.

8. Τὰ δὲ ἔθνη τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν Ἰουδαίων.

9. Τὸ δὲ ἔθνος τὸ ἐμὸν, οὗτός ἐστιν Ἰσραὴλ, οἱ βοήσαντες πρὸς τὸν Θεὸν, καὶ σωθέντες. Καὶ ἔσωσε Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐῤῥύσατο Κύριος ἡμᾶς ἐκ πάντων τῶν κακῶν τούτων· καὶ ἐποίησεν ὁ Θεὸς τὰ σημεῖα, καὶ τὰ τέρατα τὰ μεγάλα, ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσι.

10. Διὰ τοῦτο ἐποίησε κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ Θεοῦ, καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι.

11. Καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν, καὶ εἰς ἡμέραν κρίσεως, ἐνώπιον τοῦ Θεοῦ καὶ πᾶσι τοῖς ἔθνεσι.

12. Καὶ ἐμνήσθη ὁ Θεὸς τοῦ λαοῦ αὐτοῦ, καὶ ἐδικαίωσε τὴν κληρονομίαν αὐτοῦ.

13. Καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ ἀδὰρ τῇ τεσσαρεσκαιδεκάτῃ, καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς, μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐνώπιον τοῦ Θεοῦ, κατὰ γενεὰν εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ Ἰσραήλ.

CAPUT X.

1. Scripsit autem rex ad regnum terræ et maris :

2. et fortitudinem ejus et magnificentiam ejus, et divitias et gloriam regni ejus, ecce scripta sunt in libro regum Persarum et Medorum in memoriam.

3. Mardochæus autem secundus erat a rege Artaxerse, et magnus erat in regno, et glorificatus a Judæis : et amatus narrabat educationem omni genti suæ.

4. Et dixit Mardochæus : A Deo facta sunt ista.

5. Recordatus enim sum somnii quod videram de verbis his : neque enim præteriit de eis verbum.

6. Parvus fons qui factus est flumen, et erat lux et sol et aqua multa. Esther est flumen, quam matrimonio junxit rex, et fecit reginam.

7. Duo vero dracones, ego sum et Aman.

8. Gentes autem quæ convenerant ad perdendum nomen Judæorum.

9. Gens autem mea, hic est Israel, qui clamantes ad Deum, et salvati. Et salvavit Dominus populum suum, et eruit Dominus nos ex omnibus malis his : et fecit Deus signa, et prodigia magna, quæ non sunt facta in gentibus.

10. Propter hoc fecit sortes duas, unam populo Dei, et unam omnibus gentibus.

11. Et venerunt duæ sortes hæ ad horam et tempus, et ad diem judicii, coram Deo et omnibus gentibus.

12. Et recordatus est Deus populi sui, et justificavit hæreditatem suam.

13. Et erunt eis dies hi in mense adar die quartadecima, et quintadecima mensis, cum synagoga et gaudio et lætitia coram Deo, per progeniem in sæculum in populo ejus Israel.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευίτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ, τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραὶ, ἣν ἔφασαν εἶναι καὶ ἡρμηνευκέναι Λυσίμαχον Πτολεμαίου, τὸν ἐν Ἱερουσαλήμ. ΤΕΛΟΣ ΤΗΣ ΕΣΘΗΡ.

CAPUT XI.

1. Anno quarto regnante Ptolemæo et Cleopatra attulit Dositheus, qui dicebat se esse sacerdotem et Levitam, et Ptolemæus filius ejus, propositam epistolam ipsorum Phruræ, quam dixerunt esse et interpretatum esse Lysimachum Ptolemæi, qui in Jerusalem. FINIS ESTHER.

Quæ sequuntur in editione Romana et in codice Alexandrino per totum librum varie intertexta, in Hebræis aut Syris codicibus non exstant. Hic ea posuimus ex Complutensi ad collationem nostræ latinæ Vulgatæ.

2. Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου, τῇ μιᾷ τοῦ νισὰν, ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰάρου τοῦ Σεμεὶ τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμὶν,

3. ἄνθρωπος Ἰουδαῖος, οἰκῶν ἐν Σούσοις τῇ πόλει· ἄνθρωπος μέγας, θεραπευτὴς ὢν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

2. Anno secundo regnante Artaxerse magno, una nisan, somnium vidit Mardochæus filius Jari filii Semeï filii Cisæi, ex tribu Benjamin,

3. homo Judæus, habitans in Susis civitate : homo magnus, minister exsistens in aula regis.

4.

4. Ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας ἧς ᾐχμαλώτευσε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος ἐξ Ἱερουσαλὴμ μετὰ Ἰεχονίου βασιλέως τῆς Ἰουδαίας.

5. Καὶ τοῦτο αὐτοῦ τὸ ἐνύπνιον. Καὶ ἰδοὺ φωνὴ θορύβου, βρονταὶ καὶ σεισμὸς καὶ τάραχος ἐπὶ τῆς γῆς,

6. καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι, ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν.

7. Καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη, καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος.

8. Καὶ ἰδοὺ ἡμέρα σκότους καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ τάραχος μέγας ἐπὶ τῆς γῆς.

9. Καὶ ἐταράχθη πᾶν ἔθνος δικαίων φοβούμενοι τὰ ἑαυτῶν κακὰ, καὶ ἡτοιμάσθησαν ἀπολέσθαι.

10. Καὶ ἐβόησαν πρὸς τὸν Θεόν· ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡσανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ.

11. Καὶ φῶς καὶ ὁ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον τοὺς ἐνδόξους.

12. Καὶ διεγερθεὶς Μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο, καὶ τί ὁ Θεὸς βουλεύεται ποιῆσαι· εἶχε τὸ ἐνύπνιον τοῦτο ἐν τῇ καρδίᾳ, καὶ ἐν παντὶ λόγῳ ἠθέλησεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός.

4. Erat autem ex captivitate quam captivavit Nabuchodonosor rex Babylonis de Jerusalem cum Jechonia rege Judææ.

5. Et hoc ejus somnium. Et ecce vox tumultus, tonitrua et terræ motus et conturbatio super terram,

6. et ecce duo dracones magni, parati processerunt utrique præliari.

7. Et facta est eorum vox magna, et voce eorum parata est omnis gens ad prælium, ut expugnarent justorum gentem.

8. Et ecce dies tenebrarum et caliginis, tribulatio et angustia, afflictio et turbatio magna super terram.

9. Et conturbata est omnis gens justa timentes sua mala, et parati sunt perire.

10. Et clamaverunt ad Deum : ab autem clamore eorum factum est sicut a parvo fonte fluvius magnus, aqua multa.

11. Et lux et sol ortus est, et humiles exaltati sunt et devoraverunt inclytos.

12 Et cum surrexit Mardochæus qui vidit somnium hoc, et quid Deus deliberat facere : habuit somnium hoc in corde, et in omni verbo voluit cognoscere hoc usque ad noctem.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἡσύχασε Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβαθὰ καὶ Θάῤῥα, τῶν δύο εὐνούχων τοῦ βασιλέως, τῶν φυλασσόντων τὴν αὐλήν.

2. Ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς, καὶ τὰς μερίμνας αὐτῶν ἐξηρεύνησε, καὶ ἔμαθεν ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ, καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐτῶν.

3. Καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους αὐτοῦ, καὶ ὁμολογήσαντες ἀπήχθησαν.

4. Καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψε περὶ τῶν λόγων.

5. Καὶ ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαῖον θεραπεύειν ἐν τῇ αὐλῇ, καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτου.

6. Καὶ ἦν Ἀμὰν Ἀμαδαθοῦ Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασιλέως, καὶ ἐζήτησε κακοποιῆσαι τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ ὑπὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως· τῆς δὲ ἐπιστολῆς ἐστι τὸ ἀντίγραφον τόδε.

CAPUT XII.

1. Et quievit Mardochæus in aula cum Gabatha et Tharra, duobus eunuchis regis, custodientibus aulam.

2. Audivitque eorum cogitationes, et curas eorum scrutatus est, et didicit quod parant manus injicere Artaxersi regi, et demonstravit regi de eis.

3. Et quæsivit rex duos eunuchos suos, et confitentes appensi sunt.

4. Et scripsit rex sermones hos in commentariis, et Mardochæus scripsit de verbis.

5. Et præcepit rex Mardochæum deservire in aula, et dedit ei dona propter hoc.

6. Et erat Aman Amadathus Bugæus inclytus coram rege, et quæsivit affligere Mardochæum et populum ejus propter duos eunuchos regis : at epistolæ est exemplar hoc.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρχαις ὑποτεταγμένοις, τάδε γράφει.

2. Πολλῶν ἐπάρξας ἐθνῶν καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην, μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων, τοὺς τῶν ὑποτεταγμένων ἀκυμάντους διαπαντὸς καταστῆσαι βίου, τήν τε βασιλείαν ἥρεμον καὶ πορευτὴν μέχρι περάντων παρεξόμενος, ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην.

3. Πυθομένου δέ μου τῶν συμβούλων πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ' ἡμῖν διαπρέψας, καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτῳ καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος, καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος, Ἀμὰν,

CAPUT XIII.

1. Rex magnus Artaxerses his qui ab India usque ad Æthiopiam centum viginti septem provinciarum principes et locorum præsides ordinati sunt, hæc scribit.

2. Cum multis imperassem gentibus et universi dominarer orbis terræ, volui, non temeritate potentiæ elatus, mitius autem et cum quiete semper gubernans, subjectos tranquillos semper statuere vita, et regnum quietum et pervium usque ad fines præbens, renovareque desideratam cunctis hominibus pacem.

3. Quærente autem me a consiliariis quomodo duceretur hoc ad finem, qui sapientia apud nos præcedebat, et in benevolentia immutabili et firma fide approbatus est, et secundo regis dono præcedebat, Aman,

4. ἀπέδειξεν ἡμῖν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυλαῖς ἀναμεμίχθαι δυσμενῆ λαόν τινα, τοῖς νόμοις ἀντίθετον πρὸς πᾶν ἔθνος, τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς διατάγματα, πρὸς τὸ μὴ κατατεί·εσθαι τὴν ὑφ' ἡμῶν κατευθυνομένην ἀμέμπτως συναρχίαν.

5. Διειληφότες οὖν ὡς τόδε τὸ ἔθνος μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ κείμενον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον καὶ δυσνοοῦν τοῖς ἡμετέροις πράγμασι, τὰ χείριστά τε συντελοῦν κακὰ, καὶ πρὸς τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν·

6. προστετάχαμεν οὖν τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πρὸς ἡμῶν, πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσθαι ὁλοῤῥίζως τῶν ἐχθρῶν ταῖς μαχαίραις, ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ τοῦ ἐνεστῶτος ἔτους·

7. ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες, εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῶν διὰ τέλους τὰ πράγματα.

8. Καὶ ἐδεήθη Κυρίου, μνημονεύων πάντα τὰ ἔργα Κυρίου, καὶ εἶπε·

9. Κύριε, κύριε βασιλεῦ παντοκράτωρ, ὅτι ἐν ἐξουσίᾳ σου πᾶν ἐστι, καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ·

10. ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανόν.

11. Καὶ Κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ Κυρίῳ.

12. Σὺ πάντα γινώσκεις· σὺ οἶδας, Κύριε, ὅτι οὐκ ἐν ὕβρει, οὐδὲ ἐν ὑπερηφανίᾳ, οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον Ἀμάν·

13. ὅτι εὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν Ἰσραὴλ,

14. ἀλλ' ἐποίησα τοῦτο ἵνα μὴ θῶ δόξαν ἀνθρώπου ὑπεράνω δόξης Θεοῦ· καὶ οὐ προσκυνήσω οὐδένα πλήν σου, Κύριε, καὶ οὐ ποιήσω αὐτὸ ἐν ὑπερηφανίᾳ.

15. Καὶ νῦν, Κύριε ὁ Θεὸς ὁ βασιλεὺς, φεῖσαι τοῦ λαοῦ σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς καταφθορὰν, καὶ ἐπεθύμησαν ἀπολέσθαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου.

16. Μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου.

17. Ἐπάκουσον τῆς δεήσεώς μου, καὶ ἱλάσθητι τῷ κλήρῳ σου, καὶ στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνήσωμέν σου τὸ ὄνομα, Κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σε, Κύριε.

18. Καὶ πᾶς Ἰσραὴλ ἐκέκραξαν ἐξ ἰσχύος αὐτῶν, ὅτι θάνατος αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ Ἐσθὴρ ἡ βασίλισσα κατέφυγεν ἐπὶ τὸν Κύριον, ἐν ἀγῶνι θανάτου κατειλημμένη.

2. Καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς, ἐνεδύσατο ἱμάτια στενοχωρίας καὶ πένθους· καὶ ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων, σποδοῦ καὶ κοπριῶν ἐνέπλησε τὴν κεφαλὴν αὐτῆς· καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα· καὶ πάντα τόπον ἀγαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν τριχῶν αὐτῆς.

4. indicavit nobis in omnibus per orbem terræ tribubus commistum esse inimicum populum quemdam, legibus contrarium ad omnem gentem, et regum prætermittentes assidue edicta, ut non deducatur qui a nobis dirigitur sine defectu principatus.

5. Cum didicissemus ergo quod hæc gens sola in rebellione omni semper homini posita sit, (vitam) legum peregrinam permutans et dissentiens nostris rebus, pessimaque consumens mala, et ut non regnum constantiam consequeretur :

6. præcepimus igitur eos qui significantur vobis in scriptis ab Aman præposito in rebus et secundo a nobis, omnes cum mulieribus et filiis perdi radicitus inimicorum gladiis, sine omni misericordia et parcitate, quartadecima duodecimi mensis adar præsentis anni :

7. ut qui olim et nunc inimici in die una violenter in infernum descendentes, in posterum tempus quietas et tranquillas præbeant nobis perfecte res.

8. Et deprecatus est Dominum, memor omnium operum Domini, et dixit :

9. Domine, domine rex omnipotens, quia in potestate tua cuncta sunt, et non est qui resistat tibi cum volueris tu salvare Israel :

10. quia tu fecisti cœlum et terram, et omne mirabile in sub cœlo.

11. Et Dominus es omnium, et non est qui resistat tibi Domino.

12. Tu omnia nosti : tu scis, Domine, quia non in contumelia, neque in superbia, neque in gloriæ cupiditate feci hoc, ut non adorarem superbum Aman :

13. quia complacebam deosculari vestigia pedum ejus ad salutem Israel,

14. sed feci hoc ut non ponerem gloriam hominis super gloriam Dei : et non adorabo quemquam præter te, Domine, et non faciam hoc in superbia.

15. Et nunc, Domine Deus rex, parce populo tuo, quia respiciunt nos in perditionem, et desideraverunt perdere eam quæ a principio hæreditatem tuam.

16. Ne despicias partem tuam, quam tibi redemisti de terra Ægypti.

17. Exaudi deprecationem meam, et propitius esto sorti tuæ, et converte luctum nostrum in gaudium, ut viventes laudemus nomen tuum, Domine, et ne perdas os laudantium te, Domine.

18. Et omnis Israel clamaverunt ex fortitudine sua, quoniam mors eorum in oculis eorum.

CAPUT XIV.

1. Et Esther regina confugit ad Dominum, in agone mortis comprehensa.

2. Et deponens vestes gloriæ suæ, induta est indumentis angustiæ et luctus : et pro superbis unguentis, cinere et stercore implevit caput suum : et corpus suum humiliavit valde : et omnem locum exsultationis suæ implevit laceratis crinibus suis.

3. Καὶ ἐδεῖτο Κυρίου Θεοῦ Ἰσραὴλ, καὶ εἶπε· Κύριέ μου, ὁ βασιλεὺς ἡμῶν συ εἶ μόνος· βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μή σε,

4. ὅτι κίνδυνός μου ἐν χειρί μου.

5. Ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου, ὅτι σὺ, Κύριε, ἔλαβες τὸν Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν, καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον, καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας.

6. Καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τοῖς ἐχθροῖς ἡμῶν,

7. ἀνθ' ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. Δίκαιος εἶ, Κύριε.

8. Καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλὰ ἔθηκας τὰς χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐτῶν,

9. ἐξᾶραι ὁρισμὸν στόματός σου καὶ ἀφανίσαι κληρονομίαν σου, καὶ ἐμφράξαι στόμα αἰνούντων σε, καὶ σβέσαι δόξαν οἴκου σου καὶ θυσιαστηρίου σου,

10. καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀρετὰς ματαίων, καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα.

11. Μὴ παραδῷς, Κύριε, τὸ σκῆπτρον σου τοῖς μὴ οὖσι, καὶ μὴ καταγελάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ' αὐτούς· τὸν δὲ ἀρξάμενον ἐφ' ἡμᾶς παραδειγμάτισον.

12. Μνήσθητι, Κύριε, γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν, καὶ ἐμὲ θάρσυνον, βασιλεῦ τῶν ἐθνῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν·

13. δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος, καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ.

14. Ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου, καὶ βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ ἕτερον βοηθὸν εἰ μή σε, Κύριε. Πάντων γνῶσιν ἔχεις,

15. καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων, καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων καὶ παντὸς ἀλλοτρίου.

16. Σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανίας μου ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων, καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου.

17. Καὶ οὐκ ἔφαγεν ἡ δούλη σου τράπεζαν Ἀμὰν, καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν·

18. καὶ οὐκ εὐφράνθη ἡ δούλη σου ἀφ' ἡμέρας μεταβολῆς μου μέχρι τοῦ νῦν, πλὴν ἐπὶ σοὶ, Κύριε ὁ Θεὸς Ἀβραάμ.

19. Ὁ Θεὸς ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον φωνῆς ἀπηλπισμένων, καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων, καὶ ῥῦσαί με ἐκ τοῦ φόβου μου.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

4. Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐπαύσατο προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τοῦ πένθους, καὶ περιεβάλετο δόξαν αὐτῆς.

5. Καὶ γενηθεῖσα ἐπιφανὴς, ἐπικαλεσαμένη τὸν πάντων ἐπόπτην καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας·

3. Et deprecabatur Dominum Deum Israel, et dixit : Domine mi, rex noster tu es solus, adjuva me solitariam et non habentem adjutorem nisi te,

4. quoniam periculum meum in manu mea.

5. Ego audivi a nativitate mea in tribu familiæ meæ, quod tu, Domine, tulisti Israel de omnibus gentibus, et patres nostros de omnibus majoribus suis in hæreditatem sempiternam, et fecisti eis quæ locutus es.

6. Et nunc peccavimus in conspectu tuo, et tradidisti nos in manus inimicis nostris,

7. eo quod glorificavimus deos eorum. Justus es, Domine.

8. Et nunc non eis sufficit amaritudine servitutis nostræ, sed posuisti manus eorum super manus idolorum suorum,

9. ut extollerent determinationem oris tui et delerent hæreditatem tuam, et obturarent os laudantium te, et exstinguerent gloriam domus tuæ et altaris tui,

10. et aperirent os gentium ad virtutes stultorum, et magnificaretur rex carnalis in sempiternum.

11. Ne tradas, Domine, sceptrum tuum his qui non sunt, et ne derideant in casu nostro, sed converte consilium eorum super eos : at qui incœpit super nos disperde.

12. Memento, Domine, notum te fac in tempore tribulationis nostræ, et da mihi fiduciam, rex gentium et omnis principatus dominator :

13. tribue sermonem compositum in ore meo in conspectu leonis, et transfer cor illius in odium oppugnantis nos, in perditionem ejus et eorum qui consentiunt ei.

14. Nos autem libera in manu tua, et adjuva me solitariam et non habentem alium adjutorem nisi te, Domine. Omnium scientiam habes,

15. et nosti quod oderim gloriam iniquorum, et detester cubile incircumcisorum et omnis alienigenæ.

16. Tu scis necessitatem meam, quod abominer signum superbiæ meæ quod est super caput meum in diebus ostentationis meæ : detester illud quasi pannum menstruorum, et non portem illud in diebus silentii mei.

17. Et non comedit ancilla tua in mensa Aman, et non magnificavi convivium regis, neque bibi vinum libaminum :

18. et non lætata sit ancilla tua a die translationis meæ usque nunc, verum in te, Domine Deus Abraam.

19. Deus fortis super omnes, exaudi vocem desperantium, et libera nos de manu malignantium, et libera me timore meo.

CAPUT XV.

4. Et factum est in die tertia, ut cessavit orans, deposuit vetimesnta luctus, et induta est gloria sua.

5. Et facta splendens, cum invocasset omnium spectatorem et salvatorem, assumpsit duas famulas :

6. καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο, ὡς τρυφερευομένη,
7. ἡ δὲ ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς.

8. Καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς, καὶ τὸ πρόσωπον αὐτοῦ ἱλαρὸν ὡς προσφιλές· ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου.

9. Καὶ εἰσελθοῦσα πάσας τὰς θύρας, κατέστη ἐνώπιον τοῦ βασιλέως· καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ· καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνεδεδύκει, ὅλος διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα.

10. Καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ, ἐν ἀκμῇ θυμοῦ ἐπέβλεψε. Καὶ ἔπεσεν ἡ βασίλισσα καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἅβρας τῆς προπορευομένης.

11. Καὶ μετέβαλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραότητα· καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου, καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ μέχρις οὗ κατέστη, καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς, καὶ εἶπεν αὐτῇ·

12. Τί ἐστιν, Ἐσθήρ; Ἐγὼ ὁ ἀδελφός σου, θάρσει,
13. οὐ μὴ ἀποθάνῃς, ὅτι κοινὸν τὸ πρόσταγμα ἡμῶν ἐστι.
14. Πρόσελθε.
15. Καὶ ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἠσπάσατο αὐτὴν, καὶ εἶπεν· Λάλησόν μοι.

16. Καὶ εἶπεν αὐτῷ· Εἶδόν σε, κύριε, ὡς ἄγγελον Θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ τοῦ φόβου τῆς δόξης σου·

17. ὅτι θαυμαστὸς εἶ, κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν.
18. Ἐν δὲ τῷ διαλέγεσθαι αὐτὴν, ἔπεσεν ἀπὸ ἐκλύσεως αὐτῆς.
19. Καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

1. Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατράπαις χωρῶν ἄρχουσι, καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν.

2. Πολλοὶ, τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι, μεῖζον ἐφρόνησαν,
3. καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν, καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι·
4. καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ Θεοῦ τὴν μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην.
5. Πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ' ἐξουσίαις τεταγμένων, τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα, παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστήσασα, περιέβαλε συμφοραῖς ἀνηκέστοις,
6. τῷ τῆς κακοηθείας ψεύδει παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην.
7. Σκοπεῖν δὲ ἔξεστιν οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέ-

6. et quidem super unam innitebatur, quasi delicata,
7. at altera sequebatur levans indumenta ejus.

8. Et ipsa rubefacta vigore pulchritudinis suæ, et vultus ejus hilaris quasi amabilis : at cor ejus arctatum præ timore.

9. Et ingressa omnes portas, stetit coram rege : et ipse sedebat super solium regni sui : et omnem stolam splendoris sui indutus erat, totus in auro et lapidibus pretiosis, et erat terribilis nimis.

10. Et elevans faciem suam incensam gloria, in acie furoris conspexit. Et corruit regina et mutavit colorem suum in dissolutione, et reclinavit se super caput ancillæ præcedentis.

11. Et convertit Deus spiritum regis in mansuetudinem : et festinans exsilivit de solio, et assumpsit eam in ulnis suis donec rediret, et consolabatur eam verbis pacificis, et dixit ei :

12. Quid est, Esther? Ego frater tuus, confide,
13. non morieris, quoniam commune præceptum nostrum est.
14. Accede.
15. Et tollens auream virgam imposuit super collum ejus, et amplexatus est eam, et dixit : Loquere mihi.

16. Et dixit ei : Vidi te, domine, quasi angelum Dei, et turbatum est cor meum præ timore gloriæ tuæ :

17. quoniam mirabilis es, domine, et facies tua gratiarum plena.
18. Cum autem loqueretur ipsa, corruit præ dissolutione sua.
19. Et rex turbabatur, et omnis famulatus ejus consolabatur eam.

CAPUT XVI.

1. Rex magnus Artaxerses his qui ab India usque ad Æthiopiam centum viginti septem satrapis regionum principes sunt, et his qui nostra sapiunt, valere.

2. Multi, plurima eorum qui benefaciunt bonitate frequentius honorati, magis superbierunt,
3. et non solum subjectos nobis quærunt affligere, et ubertatem non potentes ferre, et in suos benefactores conantur machinari :
4. et gratitudinem non solum ab hominibus auferentes, sed et inexperientia bonorum elationibus elevati, ejus qui omnia cernit semper Dei odiosam arbitrantur fugere posse sententiam.
5. Sæpe autem et multos ex his qui in potestatibus constituti sunt, qui crediti sunt gubernare amicorum res, solatium participes sanguine innocentum constituens, induit calamitatibus immedicabilibus,
6. pravitatis mendacio fraude decipientium eorum qui dominantur simplicem benevolentiam.

7. Considerare autem licet non tantum ex veteribus ut

ρων ὡς παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶ παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα, τῇ τῶν ἀναξίως δυναστευόντων λοιμότητι,

8. καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, ὥστε τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης παρεξόμεθα·

9. χρώμενοί τε μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ' ἐπιεικεστέρας ἀπαντήσεως.

10. Ὡς γὰρ Ἀμὰν Ἀμαδαθοῦ Μακεδὼν, ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος, καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρηστότητος, καὶ ξενωθεὶς ἡμῖν,

11. ἔτυχεν ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπιτοσοῦτον, ὥστε ἀγορεύεσθαι ἡμῶν πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων, τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν.

12. Οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν, ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος,

13. τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ πάντων εὐεργέτην Μαρδοχαῖον, καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Ἐσθὴρ, σὺν παντὶ τῷ τούτων ἔθνει, πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν·

14. διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους, τὴν τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετατάξαι.

15. Ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους, εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις,

16. ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος Θεοῦ, τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει.

17. Καλῶς οὖν ποιεῖτε μὴ προσχρησάμενοι τοῖς ὑπὸ Ἀμὰν Ἀμαδαθοῦ ἀποσταλεῖσι γράμμασι·

18. διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον, πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ πάντα ἐπικρατοῦντος Θεοῦ διατάχους ἀποδόντος αὐτῷ κρίσιν.

19. Τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ, μετὰ παρρησίας ἐᾷν τοὺς Ἰουδαίους χρήσασθαι τοῖς ἑαυτῶν νόμοις,

20. καὶ συνεπισχύειν αὐτοῖς· ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ·

21. ταύτην γὰρ ὁ πάντα δυναστεύων Θεὸς, ἀντ' ὀλεθρίας τοῦ ἐκλέκτου γένους, ἐποίησεν αὐτοῖς εὐφροσύνην.

22. Καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε·

23. ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ἡμῖν καὶ τοῖς εὐνοοῦσι Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι, μνημόσυνον τῆς ἀπωλείας.

24. Πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ' ὀργῆς· καὶ οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστός τε κατασταθήσεται.

tradidimus historiis, quæ sunt prope vos quærentes inique consummata, eorum qui indigne dominantur peste,

8. et attendere ad ea quæ post hæc, ita ut regnum sine turbatione omnibus hominibus cum pace præbeamus :

9. utentesque mutationibus, ea autem quæ ad conspectum veniunt discernentes semper cum mansueta obviatione.

10. Ut enim Aman Amadathu Macedo, veritatibus alienus de Persarum sanguine, et multum distans a nostra benignitate, et hospitatus a nobis,

11. consecutus est quam habemus ad omnem gentem humanitatem in tantum, ut vocaretur noster pater et adoraretur ab omnibus, secundam regii throni personam gerens.

12. Non ferens autem superbiam, nixus est principatu privare nos et spiritu,

13. et nostrum salvatorem et in omnibus benefactorem Mardochæum, et irreprehensibilem regni consortem Esther, cum omni horum gente, multiplicibus viarum deceptionibus expetens in perditionem :

14. per enim modos istos existimavit accipiens nos desertos, Persarum dominium in Macedonas transferre.

15. Nos vero ab exitiali traditos in necem Judæos, reperimus non malefactores exsistentes, justissimis vero degentes legibus,

16. exsistentes autem filios altissimi maximi viventis Dei, qui dirigit nobis que et primogenitoribus nostris regnum in optima dispositione.

17. Bene ergo facite non utentes his quæ ab Aman Amadathu missæ fuerunt litteris :

18. propterea quod hic qui hæc operatus est, ante Susarum portas appensus est cum omni familia, dignum eo qui omnium dominator Deo velociter reddente ei judicium.

19. Et exemplar epistolæ hujus præponentes in omni loco, cum libertate dimittatis Judæos uti suis legibus,

20. et adjuvetis eos : ut eos qui in tempus tribulationis impositi erant eis ulciscantur tertia decima duodecimi mensis adar eadem die :

21. hanc enim omnium dominator Deus, pro perditione electi generis, fecit eis gaudium.

22. Et vos ergo in insignibus vestris festivitatibus insignem diem cum omni lætitia ducite :

23. ut et nunc et post hæc salus nobis et benevolis Persis, his vero qui nobis insidiantur, memoriale perditionis.

24. Omnis autem civitas vel regio omnino, quæ juxta hæc non fecerit, lancea et igni consumetur cum ira : et non solum hominibus invia, sed et bestiis et volatilibus in omne tempus inimicissimaque constituetur.

ΙΩΒ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι ᾧ ὄνομα Ἰὼβ, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινὸς, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

2. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.

3. Καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν.

4. Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους ἐποιοῦσαν πότον καθ' ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν.

5. Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν Ἰὼβ, καὶ ἐκαθάριζεν αὐτοὺς ἀνιστάμενος τοπρωῒ, καὶ προσέφερε περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν. Ἔλεγε γὰρ Ἰώβ· Μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς Θεόν. Οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας.

6. Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου, καὶ ὁ διάβολος ἦλθεν μετ' αὐτῶν.

7. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν παραγέγονας; Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ εἶπε· Περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν, πάρειμι.

8. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ; Ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἐπὶ τῆς γῆς; Ἄνθρωπος ἄμεμπτος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος;

9. Ἀπεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον τοῦ Κυρίου· Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Κύριον;

10. Οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; Τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας, καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς;

11. Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.

12. Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. Καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ Κυρίου.

13. Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου·

14. καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ· Τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν,

15. καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

16. Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος, καὶ

JOB.

CAPUT I.

1. Homo quidam erat in regione Ausitide cui nomen Job, et erat homo ille verax, sine crimine, justus, colens Deum, abstinens ab omni mala re.

2. Nati sunt autem ei filii septem et filiæ tres.

3. Et erant pecora ejus oves septies mille, cameli ter mille, juga boum quingenta, fœminæ asinæ pascuales quingentæ, et ministerium multum valde, et opera magna erant ei super terram, et erat homo ille nobilis inter eos qui a solis ortu.

4. Convenientes autem filii ejus ad invicem faciebant convivium per singulos dies, assumentes simul et tres sorores suas, ut comederent et biberent cum eis.

5. Cumque consummati essent dies convivii, mittebat Job, et purificabat eos exsurgens mane, et offerebat pro eis victimas secundum numerum eorum, et vitulum unum pro peccato pro animabus eorum. Dicebat enim Job: Ne forte filii mei in mente sua cogitaverint mala erga Deum. Sic igitur faciebat Job omnibus diebus.

6. Et factum est sicut dies hæc, et ecce venerunt angeli Dei ut starent coram Domino, et diabolus venit cum eis.

7. Et dixit Dominus diabolo: Unde ades? Et respondens diabolus Domino, dixit: Postquam circuivi terram, et perambulvi eam quæ sub cœlo, adsum.

8. Et dixit ei Dominus: Attendisti mente tua super puerum meum Job? Quod non est juxta eum in terra? Homo sine crimine, verax, colens Deum, abstinens ab omni mala re?

9. Respondit autem diabolus, et dixit coram Domino: Num gratis Job colit Dominum?

10. Nonne tu munisti ea quæ extra ipsum, et quæ intra domum ejus, et quæ extra ex omnibus quæ sunt in circuitu ejus? Opera autem manuum ejus benedixisti, et pecora ejus multa fecisti super terram?

11. Sed mitte manum tuam, et tange omnia quæ habet: certe in faciem te benedicet.

12. Tunc dixit Dominus diabolo: Ecce omnia quæcumque sunt ei, do in manum tuam, sed ipsum ne tetigeris. Et exivit diabolus a Domino.

13. Et erat sicut dies hæc, filii Job et filiæ ejus bibebant vinum in domo fratris sui senioris:

14. et ecce nuntius venit ad Job, et dixit ei: Juga boum arabant, et fœminæ asinæ pascebantur conjunctæ eis,

15. et venientes prædones prædati sunt eas, et pueros interfecerunt in gladiis: salvatus autem ego solus veni ut annuntiarem tibi.

16. Adhuc isto loquente venit alius nuntius, et dixit ad

εἶπε πρὸς Ἰώϐ· Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως· σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

17. Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰώϐ· Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

18. Ἔτι τούτου λαλοῦντος ἄλλος ἄγγελος ἔρχεται, λέγων τῷ Ἰώϐ· Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ,

19. ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν· ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

20. Οὕτως ἀναστὰς Ἰὼϐ ἔῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς, καὶ πεσὼν χαμαὶ προσεκύνησε,

21. καὶ εἶπεν· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

22. Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼϐ ἐναντίον τοῦ Κυρίου, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἔναντι Κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν παραστῆναι ἐναντίον τοῦ Κυρίου.

2. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν σὺ ἔρχῃ; Τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ Κυρίου· Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι.

3. Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον· Προσέσχες οὖν τῷ θεράποντί μου Ἰώϐ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς; Ἄνθρωπος ἄκακος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, ἔτι δὲ ἔχεται ἀκακίας· σὺ δὲ εἶπας ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι.

4. Ὑπολαβὼν δὲ ὁ διάβολος εἶπε τῷ Κυρίῳ· Δέρμα ὑπὲρ δέρματος, ὅσα ὑπάρχει ἀνθρώπῳ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει.

5. Οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.

6. Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.

7. Ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τοῦ Κυρίου καὶ ἔπαισε τὸν Ἰὼϐ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς.

8. Καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.

9. Χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· Μέχρι τίνος καρτερήσεις λέγων· « Ἰδοὺ « ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλ-« πίδα τῆς σωτηρίας μου; Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ « μνημόσυνον ἀπὸ τῆς γῆς, υἱοὶ καὶ θυγατέρες, ἐμῆς « κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα

Job : Ignis cecidit de cœlo, et combussit oves, et pastores devoravit similiter : salvatus autem ego solus veni ut annuntiarem tibi.

17. Adhuc isto loquente venit alius nuntius, et dixit ad Job : Equites fecerunt nobis capita tria, et circumdederunt camelos, et ceperunt eos, et pueros occiderunt in gladiis : salvatus autem sum ego solus, et veni ut annuntiarem tibi.

18. Adhuc isto loquente, alius nuntius advenit, dicens ipsi Job : Filiis tuis et filiabus tuis manducantibus et bibentibus apud fratrem suum seniorem,

19. repente spiritus magnus irruit e deserto, et tetigit quatuor angulos domus, et cecidit domus super parvulos tuos, et mortui sunt : salvatus autem sum ego solus, et veni ut annuntiarem tibi.

20. Sic exsurgens Job conscidit vestimenta sua, et totondit comam capitis, et procumbens humi adoravit,

21. et dixit : Ipse nudus egressus sum de utero matris meæ, nudus et revertar illuc : Dominus dedit, Dominus abstulit : sicut Domino placuit, ita factum est, sit nomen Domini benedictum.

22. In omnibus his quæ acciderunt ei nihil peccavit Job coram Domino, et non dedit insipientiam Deo.

CAPUT II.

1. Factum est autem ut dies hæc, et venerunt angeli Dei ut assisterent coram Domino, et diabolus venit in medio eorum ut assisteret coram Domino.

2. Et dixit Dominus diabolo : Unde tu advenis ? Tunc dixit diabolus in conspectu Domini : Postquam peragravi eam quæ sub cœlo, et obambulavi universam, adsum.

3. Dixit autem Dominus ad diabolum : Attendisti igitur famulo meo Job, quod non est juxta eum de iis qui sunt super terram ? Homo innocens, verax, irreprehensibilis, timens Deum, abstinens ab omni malo, adhuc autem retinet innocentiam : tu vero dixisti substantiam ejus frustra perdere.

4. Suscipiens autem diabolus dixit Domino : Pellem pro pelle, quæcumque sunt homini pro anima sua pendet.

5. Alioquin autem mittens manum tuam, tange ossa ejus et carnes ejus : certe in faciem te benedicet.

6. Dixit autem Dominus diabolo : Ecce trado tibi eum : tantummodo animam ejus custodi.

7. Exivit autem diabolus a Domino et percussit Job ulcere maligno a pedibus usque ad caput.

8. Et sumpsit testam, ut saniem raderet, et sedebat in sterquilinio extra civitatem.

9. Tempore autem multo transacto dixit ei uxor ejus : Quousque sustinebis dicens : « Ecce permaneo tempus ad-« huc parvum, exspectans spem salutis meæ? Ecce enim « deletum est memoriale tuum de terra, filii et filiæ, mei « uteri dolores et labores, quos in vacuum laboravi cum « ærumnis : tu vero ipse in putredine vermium sedes per-

« μετὰ μόχθων· σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κά-
« θησαι διανυκτερεύων αἴθριος, κἀγὼ πλανωμένη καὶ
« λάτρις τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας, προςδεχο-
« μένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν
« μόχθων μου καὶ τῶν ὀδυνῶν αἵ με νῦν συνέχουσιν. »
Ἀλλὰ εἰπόν τι ῥῆμα εἰς Κύριον, καὶ τελεύτα.

10. Ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ· Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ Θεοῦ.

11. Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ, παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν· Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεὺς, Βαλδὰδ ὁ Σαυχέων τύραννος, Σωφὰρ Μιναίων βασιλεύς· καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν, τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν.

12. Ἰδόντες δὲ αὐτὸν πόῤῥωθεν, οὐκ ἐπέγνωσαν· καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολὴν, καὶ καταπασάμενοι γῆν,

13. παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, καὶ οὐδεὶς αὐτῶν ἐλάλησεν· ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

1. Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ, καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ,

2. λέγων·

3. Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη ᾗ εἶπαν· Ἰδοὺ ἄρσεν.

4. Ἡ νὺξ ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ Κύριος ἄνωθεν, μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος·

5. ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου, ἐπέλθοι ἐπ' αὐτὴν γνόφος· καταραθείη ἡ ἡμέρα

6. καὶ ἡ νὺξ ἐκείνη, ἀπενέγκοιτο αὐτὴν σκότος· μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ, μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν.

7. Ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη μηδὲ χαρμονή·

8. ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.

9. Σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης· ὑπομείναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα.

10. Ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου, ἀπήλλαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου.

11. Διατί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην;

12. Ἱνατί δὲ συνήντησάν μοι τὰ γόνατα; ἱνατί δὲ μαστοὺς ἐθήλασα;

13. Νῦν ἂν κοιμηθεὶς ἡσύχασα, ὑπνώσας δὲ ἀνεπαυσάμην

14. μετὰ βασιλέων, βουλευτῶν γῆς, οἳ ἐγαυριῶντο ἐπὶ ξίφεσιν,

15. ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσὸς, οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου·

16. ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, ἢ ὥσπερ νήπιοι οἳ οὐκ εἶδον φῶς.

« noctans sub dio, et ego errans et ancilla locum ex loco
« et domum e domo, exspectans solem quando occidet, ut
« requiescam ab ærumnis et doloribus qui me nunc pre-
« munt. » Sed dicito aliquod verbum in Dominum, et morere.

10. Ille vero inspiciens dixit ei : Tamquam una insipientum mulierum locuta es. Si bona suscepimus de manu Domini, mala cur non sustinebimus? In omnibus his quæ acciderunt ei nihil peccavit Job labiis coram Deo.

11. Cum audissent autem tres amici ejus mala omnia quæ supervenerant ei, advenerunt unusquisque e propria regione ad eum : Eliphaz Tæmanorum rex, Baldad Sauchæorum tyrannus, Sophar Minæorum rex : et accesserunt ad eum unanimiter, ad consolandum et visitandum eum.

12. Cum vidissent autem eum de longe, non agnoverunt : et clamantes voce magna ploraverunt, scindentes unusquisque stolam suam, et aspergentes terram,

13. assederunt ei septem dies et septem noctes, et nemo eorum locutus est : videbant enim plagam esse gravem et magnam valde.

CAPUT III.

1. Post hæc aperuit Job os suum, et maledixit diei suæ,

2. dicens :

3. Pereat dies in qua natus sum, et nox illa qua dixerunt : Ecce masculus.

4. Nox illa sit tenebræ, neque requirat eam Dominus desuper, nec veniat in eam lumen :

5. sed excipiant illam tenebræ et umbra mortis, superveniat in eam caligo : maledicta sit dies

6. et nox illa, auferant eam tenebræ : non sit in diebus anni, neque numeretur in diebus mensium.

7. Sed nox illa sit dolor, et non veniat super eam lætitia neque gaudium :

8. sed maledicat ei qui maledicit diem illam, qui habet magnum cetum opprimere.

9. Obtenebrescant sidera noctis illius : permaneat, et in lucem non veniat, et non videat luciferum exorientem.

10. Quoniam non conclusit portas ventris matris meæ, abstulisset enim utique laborem ab oculis meis.

11. Quare enim in ventre non obii? ex utero autem exii, et non protinus perii?

12. Ut quid autem occurrerunt mihi genua? quare autem ubera suxi?

13. Nunc utique dormiens quiescerem, somnum autem capiens requiescerem

14. cum regibus, consiliariis terræ, qui gloriabantur in gladiis,

15. aut cum principibus, quibus multum fuit aurum, qui compleverunt domos suas argento :

16. aut tamquam obortivum exiens de vulva matris, aut tamquam infantes qui non viderunt lucem.

17. Ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι.
18. Ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι οὐκ ἤκουσαν φωνὴν φορολόγου.
19. Μικρὸς καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ.
20. Ἱνατί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς;
21. Οἳ ἱμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσιν, ἀνορύσσοντες ὥσπερ θησαυρούς,
22. περιχαρεῖς δὲ ἐγένοντο ἐὰν κατατύχωσι.
23. Θάνατος ἀνδρὶ ἀνάπαυμα, συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ.
24. Πρὸ γὰρ τῶν σίτων μου στεναγμὸς ἥκει, δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ.
25. Φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι.
26. Οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει·
2. Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; Ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;
3. Εἰ γὰρ σὺ ἐνουθέτησας πολλούς, καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας,
4. ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασι, γόνασί τε ἀδυνατοῦσι θάρσος περιέθηκας·
5. νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ ἥψατό σου, σὺ ἐσπούδασας.
6. Πότερον οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφροσύνῃ, καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου;
7. Μνήσθητι οὖν, τίς καθαρὸς ὢν ἀπώλετο, ἢ πότε ἀληθινοὶ ὁλόῤῥιζοι ἀπώλοντο;
8. Καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα, οἱ δὲ σπείροντες αὐτὰ ὀδύνας θεριοῦσιν ἑαυτοῖς.
9. Ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται.
10. Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη.
11. Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν, σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους.
12. Εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, οὐδὲν ἄν σοι τούτων κακὸν ἀπήντησε. Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ;
13. Φόβῳ δὲ καὶ ἠχῷ νυκτερινῇ ἐπιπίπτων φόβος ἐπ' ἀνθρώπους,
14. φρίκη μοι συνήντησε καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ διέσεισε,
15. καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν, ἔφριξαν δέ μου τρίχες καὶ σάρκες.
16. Ἀνέστην καὶ οὐκ ἐπέγνων, εἶδον καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον.
17. Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ Κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;
18. Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησε·

17. Ubi impii accenderunt furorem iræ, ibi requieverunt fatigati corpore.
18. Pariter autem sæculares non audierunt vocem exactoris.
19. Pusillus et magnus ibi est, et servus timens dominum suum.
20. Ut quid enim data est eis qui in amaritudine sunt lux, et vita animabus quæ sunt in doloribus?
21. Qui desiderant mortem et non contingit illis, effodientes quasi thesauros,
22. læti autem facti sunt si fuerint consecuti.
23. Mors viro requies, conclusit enim Deus super eum.
24. Ante escas quippe meas gemitus adest, et fleo ego coarctatus timore.
25. Timor enim quem verebar venit mihi, et quem metueram occurrit mihi.
26. Neque in pace fui, neque in silentio, neque in requie, venit autem mihi ira.

CAPUT IV.

1. Suscipiens autem Eliphaz Thæmanites, ait :
2. Num sæpe tibi sermo est habitus in molestia? Pondus autem verborum tuorum quis sustinebit?
3. Si enim tu erudivisti multos, et manus infirmas consolatus es,
4. et eos qui infirmabantur erexisti verbis, genibusque impotentibus fiduciam circumposuisti :
5. nunc autem venit super te labor et tetigit te, turbatus es.
6. Nonne timor tuus est in stultitia, et spes tua et iniquitas viæ tuæ?
7. Recordare igitur, quis cum mundus esset periit, vel quando veraces radicitus perierunt?
8. Quemadmodum vidi eos qui arabant absurda, qui autem seminant ea dolores metent sibi.
9. A præcepto Domini peribunt, a spiritu autem iræ ejus delebuntur.
10. Robur leonis, et vox leænæ, et gaudium draconum exstinctum est.
11. Myrmicoleon periit eo quod non haberet escam, et catuli leonum divisi sunt ab invicem.
12. Si quod autem verbum verax fuisset in sermonibus tuis, nihil tibi horum malum accidisset. Numquid non capiet auris mea ab eo magnifica?
13. Timore autem et sonitu nocturno incidens timor super homines,
14. horror mihi occurrit et tremor, et valde ossa mea concussit,
15. et spiritus in faciem meam incurrit, horruerunt autem pili mihi et carnes.
16. Surrexi et non cognovi, vidi et non erat figura ante oculos meos, sed auram et vocem audiebam.
17. Quid enim? numquid homo coram Domino mundus erit? vel de operibus suis inculpabilis vir?
18. Si contra servos suos non credit, et adversus angelos suos pravum quid advertit :

19. τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον,

20. καὶ ἀπὸ πρωΐθεν μέχρι ἑσπέρας οὐκ ἔτι εἰσί· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι, ἀπώλοντο.

21. Ἐνεφύσησε γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν, ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Ἐπικάλεσαι δὲ εἴ τις σοι ὑπακούσεται, ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ.

2. Καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργὴ, πεπλανημένον δὲ θανατοῖ ζῆλος.

3. Ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα.

4. Πόῤῥω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας, κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος.

5. Ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται, αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται· ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς·

6. οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος, οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος.

7. Ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ, νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται.

8. Οὐ μὴν δὲ, ἀλλὰ ἐγὼ δεηθήσομαι Κυρίου, Κύριον δὲ τὸν πάντων δεσπότην ἐπικαλέσομαι,

9. τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός,

10. τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν,

11. τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας ἐξεγείροντα,

12. διαλλάσσοντα βουλὰς πανούργων, καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές.

13. Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει, βουλὴν δὲ πολυπλόκων ἐξέστησεν.

14. Ἡμέρας συναντήσεται αὐτοῖς σκότος, τὸ δὲ μεσημβρινὸν ψηλαφήσαισαν ἴσα νυκτὶ,

15. ἀπόλοιντο δὲ ἐν πολέμῳ, ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου.

16. Εἴη δὲ ἀδυνάτῳ ἐλπὶς, ἀδίκου δὲ στόμα ἐμφραχθείη.

17. Μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ Κύριος, νουθέτημα δὲ Παντοκράτορος μὴ ἀπαναίνου.

18. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.

19. Ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν.

20. Ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε.

21. Ἀπὸ μάστιγος γλώσσης σε κρύψει, καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων.

22. Ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς.

23. Θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι.

24. Εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ.

19. habitantes autem domos luteas, ex quibus et ipsi de eodem luto sumus, percussit illos tamquam tinea,

20. et a mane usque ad vesperam ultra non sunt : eo quod non possent sibi ipsis subvenire, perierunt,

21. Insufflavit enim eis et exaruerunt, interierunt quia non habebant sapientiam.

CAPUT V.

1. Invoca autem si quis tibi respondeat, vel si quem angelorum sanctorum aspicias.

2. Etenim stultum perimit ira, errantem autem occidit zelus.

3. Ego autem vidi stultos radicem mittentes, sed statim absumpta est illorum habitatio.

4. Longe fiant filii eorum a salute, et conterantur super januas minorum, et non erit qui eripiat.

5. Quæ enim illi congregaverunt, justi comedent, ipsi vero de malis non liberabuntur : exhauriatur fortitudo eorum :

6. non enim prodiet de terra labor, neque de montibus germinabit molestia.

7. Sed homo nascitur labori, pulli autem vulturis altissime volitant.

8. Verumtamen ego deprecabor Dominum, Dominum autem omnium horum dominatorem invocabo,

9. qui facit magna et non vestigabilia, gloriosaque et magnifica, quorum non est numerus,

10. qui dat pluviam super terram, qui mittit aquam super eam quæ sub cœlo,

11. qui facit humiles in altitudinem, et suscitat eos qui perierant,

12. qui avertit consilia versutorum, et non facient manus eorum veritatem.

13. Qui capit sapientes in prudentia, consilium autem astutorum disjecit.

14. In die occurrent eis tenebræ, in meridie autem palpent tamquam in nocte,

15. et pereant in bello, infirmus autem egrediatur de manu potentis.

16. Sit autem infirmo spes, injusti autem os obstruatur.

17. Beatus autem homo quem arguit Dominus, monitionem vero Omnipotentis ne renuas.

18. Ipse enim dolere facit, et rursus restituit : percussit, et manus ejus sanaverunt.

19. Sexies de necessitatibus te eruet, in septimo vero non te tanget malum.

20. In fame te liberabit a morte, in prælio vero de manu ferri solvet te.

21. A flagello linguæ abscondet te, et non timebis a malis venientibus.

22. Injustos et iniquos deridebis, et feroces bestias non timebis.

23. Bestiæ enim feræ pacatæ erunt tibi.

24. Deinde scies quod in pace erit domus tua : habitatio autem tabernaculi tui non peccabit.

25. Γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου, τὰ δὲ τέκνα σου ἔσται ὥςπερ τὸ παμβότανον τοῦ ἀγροῦ.

26. Ἐλεύσῃ δὲ ἐν τάφῳ ὥςπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος, ἢ ὥςπερ θημωνία ἅλωνος καθ' ὥραν συγκομισθεῖσα.

27. Ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν· ταῦτά ἐστιν ἃ ἀκηκόαμεν· σὺ δὲ γνῶθι σεαυτῷ, εἴ τι ἔπραξας.

25. Scies autem quod multum semen tuum, et filii tui erunt quasi omnis herba campi.

26. Et venies in sepulcrum tamquam frumentum maturum quod in tempore messuerunt, vel sicut acervus areæ in tempore comportatus.

27. Ecce hæc ita exquisivimus : hæc sunt quæ audivimus : tu vero scito tibi ipsi, si quid egeris.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργὴν, τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδὸν,

3. καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται· ἀλλ', ὡς ἔοικε, τὰ ῥήματά μου ἐστὶ φαῦλα.

4. Βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μου ἐστὶν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με.

5. Τί γάρ; Μὴ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν; Εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα;

6. Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός, εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς;

7. Οὐ δύναται γὰρ παύσασθαί μου ἡ ὀργή· βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου ὥςπερ ὀσμὴν λέοντος.

8. Εἰ γὰρ δῴη καὶ ἔλθοι μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ Κύριος·

9. ἀρξάμενος ὁ Κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με ἀνελέτω.

10. Εἴη δέ μου πόλις τάφος, ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐτῆς· οὐ φείσομαι· οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια Θεοῦ μου.

11. Τίς γάρ μου ἡ ἰσχὺς, ὅτι ὑπομένω; ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή;

12. Μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου; ἢ αἱ σάρκες μου εἰσὶ χάλκεαι;

13. ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν; Βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν,

14. ἀπείπατό με ἔλεος, ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέ με.

15. Οὐ προςεῖδόν με οἱ ἐγγύτατοί μου, ὥςπερ χειμάῤῥους ἐκλείπων, ἢ ὥςπερ κῦμα παρῆλθόν με.

16. Οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασί μοι ὥςπερ χιὼν ἢ κρύσταλλος πεπηγώς.

17. Καθὼς τακεῖσα θέρμης γενομένης, οὐκ ἐπεγνώσθη ὅπερ ἦν,

18. οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων, ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην.

19. Ἴδετε ὁδοὺς Θαιμανῶν, ἀτραποὺς Σαβῶν οἱ διορῶντες,

20. καὶ αἰσχύνην ὀφειλήσουσιν οἱ ἐπὶ πόλεσιν καὶ χρήμασι πεποιθότες.

21. Ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως, ὥςτε ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε.

22. Τί γάρ; Μήτι ὑμᾶς ᾔτησα, ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι,

23. ὥςτε σῶσαί με ἐξ ἐχθρῶν, ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με;

24. Διδάξατέ με, ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι, φράσατέ μοι.

CAPUT VI.

1. Respondens autem Job, dicit :

2. Si vero quis appendens appenderet iram meam, dolores autem meos tolleret in statera pariter,

3. et utique arena maris gravior erit : sed, ut videtur, verba mea sunt mala.

4. Sagittæ enim Domini in corpore meo sunt, quarum furor earum bibit sanguinem meum : cum incœpero loqui, stimulant me.

5. Quid enim? Numquid frustra onager clamabit, nisi escas requirens? Numquid et erumpet vocem bos cum habeat in præsepe cibos?

6. Numquid potest sine sale edi panis, aut est sapor in sermonibus vanis?

7. non potest enim cessare ira mea : fœtorem enim video escas meas sicut est odor leonis.

8. Si enim det et veniat postulatio mea, et spem meam det Dominus :

9. qui cœpit Dominus vulneret me, in finem autem ne me tollat.

10. Sit autem mea civitas sepulcrum, super cujus muros saltabam super eam : non parcam : non enim mentitus sum verba sancta Dei mei.

11. Quæ enim virtus mea, ut sufferam? aut quod tempus meum, ut sustineat anima mea?

12. Numquid virtus lapidum virtus mea? aut carnes meæ sunt æneæ?

13. aut non in ipso confidebam? Sed adjutorium a me recessit,

14. negavit me misericordia, visitatio vero Domini me despexit.

15. Propinqui mei non respexerunt me, tamquam torrens deficiens, aut sicut fluctus transierunt me.

16. Qui verebantur me, nunc irruerunt super me sicut nix aut gelu concretum.

17. Quemadmodum quod liquefactum est calore exorto, non cognitum est quod erat,

18. ita et ego derelictus sum ab omnibus, perii autem et exul de domo mea factus sum.

19. Vias Thæmanorum videte, semitas Sabæorum intuentes,

20. et confusionem debebunt qui in civitatibus et pecuniis confiderunt.

21. Nunc autem et vos insurrexistis in me sine misericordia, itaque videntes vulnus meum timete.

22. Quid enim? Numquid aliquid vos petii, aut fortitudine vestra indigeo,

23. ut salvetis me de inimicis, vel de manu potentium liberetis me?

24. Docete me, et ego obmutescam : si quid erravi, dicite mihi.

25. Ἀλλ', ὡς ἔοικε, φαῦλα ἀληθινοῦ ῥήματα, οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι,

26. οὐδὲ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει, οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι.

27. Πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν.

28. Νυνὶ δὲ εἰςβλέψας εἰς πρόςωπα ὑμῶν, οὐ ψεύσομαι.

29. Καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε.

30. Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον, ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥςπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ;

2. ἢ ὥςπερ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ, καὶ τετευχὼς σκιᾶς; ἢ ὥςπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ;

3. Οὕτω κἀγὼ ὑπέμεινα μῆνας κενοὺς, νύκτες δὲ ὀδυνῶν δεδομέναι μοί εἰσιν.

4. Ἐὰν κοιμηθῶ, λέγω· Πότε ἡμέρα; Ὡς δ' ἂν ἀναστῶ, πάλιν· Πότε ἑσπέρα; Πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωΐ,

5. φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων, τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων·

6. ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος λαλιᾶς, ἀπόλωλε δὲ ἐν κενῇ ἐλπίδι.

7. Μνήσθητι οὖν ὅτι πνεῦμά μου ἡ ζωὴ, καὶ οὐκ ἔτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν.

8. Οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με, οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ, καὶ οὐκ ἔτι εἰμὶ,

9. ὥςπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ. Ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκ ἔτι μὴ ἀναβῇ,

10. οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον, οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ.

11. Ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου, λαλήσω ἐν ἀνάγκῃ ὢν, ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος.

12. Πότερον θάλασσα εἰμὶ ἢ δράκων, ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν;

13. Εἶπα ὅτι παρακαλέσει με ἡ κλίνη μου, ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου·

14. ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις.

15. Ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου, ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου.

16. Οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. Ἀπόστα ἀπ' ἐμοῦ, κενὸς γάρ μου ὁ βίος.

17. Τί γάρ ἐστιν ἄνθρωπος ὅτι ἐμεγάλυνας αὐτὸν, ἢ ὅτι προςέχεις τὸν νοῦν εἰς αὐτόν;

18. Ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωΐ, καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς;

19. Ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύελόν μου;

20. Εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶξαι, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων; Διατί ἔθου με κατεντευτήν σου, εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον;

25. Sed, ut videtur, vilia veracis verba, non enim a vobis fortitudinem peto,

26. neque correptio vestra verbis me sedabit, neque enim elocutionem sermonis vestri sustinebo.

27. Verumtamen super pupillum irruitis, autem insultatis super amicum vestrum.

28. Nunc autem inspiciens in facies vestras, non mentiar.

29. Sedete, obsecro, et non sit injustum, et rursus justo adestote.

30. Non est enim in lingua mea iniquitas, aut fauces meæ nonne intellectum meditantur?

CAPUT VII.

1. Numquid non tentatio est vita hominis super terram, et sicut quotidiani mercenarii vita ejus?

2. aut tamquam servus metuens dominum suum, et consecutus umbram? aut tamquam mercenarius exspectans mercedem suam?

3. Sic et ego exspectavi menses vanos, noctes autem dolorum datæ sunt mihi.

4. Si dormiero, dico : Quando dies? Et si surrexero, rursus : Quando vesper? Repleor autem doloribus a vespera usque ad mane,

5. et conspergitur corpus meum in putredine vermium, infundo autem glebas terræ a sanie radens :

6. et vita mea exilior est quam loquela, periit autem in vana spe.

7. Recordare ergo quia spiritus est vita mea, et non revertetur ultra oculus meus ad cernendum bonum.

8. Non circumspiciet me oculus videntis me, oculi tui in me, et non ultra sum,

9. tamquam nubes expurgata de cœlo. Si enim homo descenderit ad infernum, ultra non ascendet,

10. et non revertetur amplius in domum suam, neque cognoscet amplius eum locus ejus.

11. Propterea itaque et ego non parcam ori meo, loquar cum in necessitate sim, aperiam amaritudinem animæ meæ compressus.

12. Utrumne mare sum ego aut draco, quia statuisti super me custodiam?

13. Dixi quia consolabitur me lectus meus, et referam ad meipsum privatim sermonem thoro meo :

14. exterres me per somnia, et per visiones me obstupefacis.

15. Absolves a spiritu meo animam meam, a morte autem ossa mea.

16. Non enim in sempiternum vivam, ut longanimiter agam. Discede a me, vana est enim vita mea.

17. Quid enim est homo quod magnificasti eum, aut quod adhibes mentem erga eum?

18. Num visitationem ejus facies usque mane, et in requie judicabis eum?

19. Usquequo non sinis me, neque dimittis me, donec deglutiam salivam meam?

20. Si ego peccavi, quid potero facere, qui scis mentem hominum? Quare constituisti me ut loquerer adversus te, sum autem super te onus?

21. Διατί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; Νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι, ὀρθρίζων δὲ οὐκ ἔτι εἰμί.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει·
2. Μέχρι τίνος λαλήσεις ταῦτα, πνεῦμα πολυῤῥῆμον τοῦ στόματός σου;
3. Μὴ ὁ Κύριος ἀδικήσει κρίνων, ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;
4. Εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.
5. Σὺ δὲ ὄρθριζε πρὸς Κύριον παντοκράτορα δεόμενος·
6. εἰ καθαρὸς εἶ καὶ ἀληθινὸς, δεήσεως ἐπακούσεταί σου, ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης·
7. ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα, τὰ δὲ ἔσχατά σου ἀμύθητα.
8. Ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων.
9. Χθιζοὶ γάρ ἐσμεν, καὶ οὐκ οἴδαμεν· σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος.
10. Ἢ οὐχ οὗτοί σε διδάξουσι, καὶ ἀναγγελοῦσι, καὶ ἐκ καρδίας ἐξάξουσί ῥήματα;
11. Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου;
12. Ἔτι ὂν ἐπὶ ῥίζης, καὶ οὐ μὴ θερισθῇ; Πρὸ τοῦ πιεῖν, πᾶσα βοτάνη οὐχὶ ξηραίνεται;
13. Οὕτω τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ Κυρίου· ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται.
14. Ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος, ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή.
15. Ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ· ἐπιλαβομένου δὲ αὐτοῦ, οὐ μὴ ὑπομείνῃ·
16. ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου, καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται.
17. Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται· ἐν δὲ μέσῳ χαλίκων ζήσεται.
18. Ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν. Οὐχ ἑώρακας τοιαῦτα,
19. ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη, ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει.
20. Ὁ γὰρ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον· πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται.
21. Ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως.
22. Οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην, δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·
2. Ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστί· πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ Κυρίῳ;
3. Ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων.
4. Σοφὸς γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας. Τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν;

21. Quare non fecisti iniquitatis meæ oblivionem, et purgationem peccati mei? Nunc autem in terram abibo, mane autem surgens ultra non ero.

CAPUT VIII.

1. Respondens autem Baldad Sauchites, ait :
2. Usquequo loqueris hæc, spiritus multiloquus oris tui?
3. Numquid Dominus injuste aget judicans, aut qui omnia fecit turbabit justitiam?
4. Si filii tui peccaverunt coram eo, misit in manu iniquitates eorum.
5. Tu autem diluculo surge ad Dominum omnipotentem deprecans :
6. si mundus es et verax, deprecationem exaudiet tuam, restituet autem tibi habitaculum justitiæ :
7. et erunt priora quidem tua pauca, novissima autem tua inenarrabilia.
8. Interroga enim generationem primam, et investiga per genus patrum.
9. Hesterni enim sumus, et nescimus : umbra enim est nostra super terram vita.
10. Aut numquid non hi docebunt te, et referent, et e corde proferent verba?
11. Numquid viret scirpus sine aqua, aut exaltabitur pratum sine potu?
12. Adhuc in sua radice consistit, et non metetur? Antequam saliat, omnis herba nonne arescit?
13. Sic igitur erunt novissima omnium qui obliviscuntur Domini : spes enim impii peribit.
14. Inhabitabilis enim ejus erit domus, aranea autem evadet ejus tabernaculum.
15. Si suffulserit domum suam, non stabit : et cum cœperit, non permanebit :
16. humidus enim est sub cœlo, et de putredine ejus germen ejus ascendet.
17. In congregatione lapidum dormit : in medio autem silicum vivet.
18. Si absorbuerit, locus mentietur eum. Non vidisti talia,
19. quoniam subversio impii talis, de terra autem alterum germinabit.
20. Dominus enim non improbabit innocentem; nec ullum munus impii accipiet.
21. Veracium autem os implebit risu, labia autem eorum confessione.
22. Inimici autem eorum induentur confusionem, et tabernaculum impii non erit.

CAPUT IX.

1. Respondens autem Job, ait :
2. Vere scio quia ita est : quomodo enim erit justus homo apud Dominum?
3. Si enim voluerit judicari cum eo, non obaudiet ei, ut non contradicat ad unum sermonem ejus de mille.
4. Sapiens est enim mente, robustusque et magnus. Quis durus factus ante eum permansit?

5. Ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ·
6. ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται·
7. ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει·
8. ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης·
9. ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον, καὶ ταμεῖα νότου·
10. ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.
11. Ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω· ἐὰν παρέλθῃ με, οὐδ' ὣς ἔγνων.
12. Ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει, ἢ τίς ἐρεῖ αὐτῷ· Τί ἐποίησας;
13. Αὐτὸς γὰρ ἀπέστραπται ὀργήν, ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν.
14. Ἐὰν δέ μου ὑπακούσεται, ἢ διακρίνει τὰ ῥήματά μου.
15. Ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου, τοῦ κρίματος αὐτοῦ δεηθήσομαι.
16. Ἐάν τε καλέσω καὶ μὴ ὑπακούσῃ, οὐ πιστεύω ὅτι εἰσακήκοέν μου τῆς φωνῆς.
17. Μὴ γνόφῳ με ἐκτρίψῃ· πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκε διακενῆς.
18. Οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, ἐνέπλησε δέ με πικρίας,
19. ὅτι μὲν γὰρ ἰσχύει κράτει· τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;
20. Ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει· ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι.
21. Εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖταί μου ἡ ζωή.
22. Διὸ εἶπον· Μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή,
23. ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ, ἀλλὰ δίκαιοι καταγελῶνται.
24. Παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβοῦς, πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει. Εἰ δὲ μὴ αὐτός ἐστι, τίς ἐστιν;
25. Ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος δρομέως· ἀπέδρασαν, καὶ οὐκ εἴδοσαν.
26. Ἦ καί ἐστι ναυσὶν ἴχνος ὁδοῦ, ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν;
27. Ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ στενάξω·
28. σείομαι πᾶσι τοῖς μέλεσιν, οἶδα γὰρ ὅτι οὐκ ἀθῷόν με ἐάσεις.
29. Ἐπειδὴ δέ εἰμι ἀσεβής, διὰ τί οὐκ ἀπέθανον;
30. Ἐὰν γὰρ ἀπολούσωμαι χιόνι, καὶ ἀποκαθάρωμαι χερσὶ καθαραῖς,
31. ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας, ἐβδελύξατο δέ με ἡ στολή.
32. Οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀντικρινοῦμαι, ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν.
33. Εἴθε ἦν ὁ μεσίτης ἡμῶν, καὶ ἐλέγχων, καὶ διακούων ἀναμέσον ἀμφοτέρων.
34. Ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον, ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω,

5. Qui in vetustatem perducit montes et nesciunt, qui vertit eos in ira :
6. qui commovet eam quæ sub cœlo a fundamentis, et columnæ ejus quatiuntur :
7. qui dicit soli et non oritur, contra sidera autem signaculum ponit :
8. qui extendit cœlum solus, et ambulat super mare tamquam super pavimentum :
9. qui facit Pleiada et Hesperum et Arcturum, et penetralia austri :
10. qui facit magna et non vestigabilia, gloriosaque et mirabilia, quorum non est numerus.
11. Si transgressus me fuerit, non videbo : si prætericrit me, neque sic novi.
12. Si removerit, quis restituet, aut quis dicet ei : Quid fecisti?
13. Ipse enim avertit a se iram, sub eo incurvati sunt ceti qui sub cœlo.
14. Si vero me audierit, vel dijudicat verba mea.
15. Quod si etiam fuero justus, non exaudiet me, judicium ejus rogabo.
16. Si vero invocavero et non exaudierit, non credam quod exaudiverit vocem meam.
17. Ne caligine me conterat : multas autem tribulationes meas fecit in vanum.
18. Non enim sinit me respirare, implevit autem me amaritudine,
19. quoniam scilicet valet potentia : quis igitur judicio ejus resistet?
20. Quod si etiam fuero justus, os meum impia loquetur : sive fuero sine crimine, pravus evadam.
21. Si enim impie egi, non novi animo, verumtamen aufertur vita mea.
22. Quapropter dixi : Magnum et potentem disperdit ira,
23. quia nequam homines in magna morte erunt, sed justi deridentur.
24. Traditi enim sunt in manus impii, facies judicum ejus operit. Quod si non ipse est, quis est?
25. Vita autem mea levior est cursore : aufugerunt, et non viderunt.
26. Numquid et est navibus vestigium viæ, aut aquilæ volantis quærentis escam?
27. Quod etsi locutus fuero, obliviscar dum loquor, declinans in faciem ingemiscam :
28. commoveor omnibus membris, scio enim quod non insontem me sines.
29. Et quia sum iniquus, quare non sum mortuus?
30. Nam si lotus fuero nive, et mundatus fuero mundis manibus,
31. satis in sorde me traxisti, et exsecratum est vestimentum.
32. Non es enim homo sicut ego, cui contradicam, ut veniamus pariter in judicium.
33. Utinam esset nobis medians, et arguens, et disceptans inter utrumque!
34. Avertat a me virgam, timor autem ejus non me transversum agat,

35. καὶ οὐ μὴ φοβηθῶ, ἀλλὰ λαλήσω· οὐ γὰρ οὕτω συνεπίσταμαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Κάμνων τῇ ψυχῇ μου, στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου· λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος,
2. καὶ ἐρῶ πρὸς Κύριον· Μή με ἀσεβεῖν δίδασκε· καὶ διατί με οὕτως ἔκρινας;
3. Ἦ καλόν σοι ἐὰν ἀδικήσω; ὅτι ἀπείπω ἔργα χειρῶν σου, βουλῇ δὲ ἀσεβῶν προσέσχες.
4. Ἦ ὥσπερ βροτὸς ὁρᾷ, καθορᾷς; ἢ καθὼς ὁρᾷ ἄνθρωπος, βλέψῃ;
5. Ἦ ὁ βίος σου ἀνθρώπινός ἐστιν, ἢ τὰ ἔτη σου ἀνδρὸς,
6. ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας;
7. Οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα· ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;
8. Αἱ χεῖρές σου ἔπλασάν με καὶ ἐποίησάν με· μετὰ ταῦτα μεταβαλών με, ἔπαισας.
9. Μνήσθητι ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις.
10. Ἦ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἐτύρωσας δέ με ἶσα τυρῷ;
11. Δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνείρας.
12. Ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοὶ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα.
13. Ταῦτα ἔχων ἐν σεαυτῷ, οἶδα ὅτι πάντα δύνασαι· ἀδυνατεῖ δέ σοι οὐδέν.
14. Ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με, ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷον με πεποίηκας.
15. Ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· ἐὰν δὲ ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι, πλήρης γὰρ ἀτιμίας εἰμί.
16. Ἀγρεύομαι γὰρ ὥσπερ λέων εἰς σφαγήν· πάλιν γὰρ μεταβαλὼν δεινῶς με ὀλέκεις,
17. ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου· ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω, ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια.
18. Ἱνατί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον; Ὀφθαλμὸς δέ με οὐκ εἶδε,
19. καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην; Διατί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;
20. Ἦ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου; Ἔασόν με ἀναπαύσασθαι μικρὸν,
21. πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω, εἰς γῆν σκοτεινὴν καὶ γνοφερὰν,
22. εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾷν ζωὴν βροτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος, λέγει·
2. Ὁ τὰ πολλὰ λέγων, καὶ ἀντακούσεται· ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος; Εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος.
3. Μὴ πολὺς ἐν ῥήμασι γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι.
4. Μὴ γὰρ λέγε ὅτι καθαρός εἰμι τοῖς ἔργοις, καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ·

35. et non timebo, sed loquar : non enim sic conscius sum.

CAPUT X.

1. Laborans anima mea, gemens dimittam super me verba mea : loquar amaritudine animæ meæ compressus,
2. et dicam ad Dominum : Noli me docere impium esse. et cur me ita judicasti?
3. Aut bonum est tibi si inique egero? quia despexisti opera manuum tuarum, et ad consilium impiorum animadvertisti.
4. Aut sicut mortalis videt, despectas? aut sicut homo videt, perspicies?
5. Aut humana est vita tua, aut anni tui sunt viri,
6. quoniam inquisivisti iniquitatem meam, et peccata mea investigasti?
7. Scis enim me non egisse impie : sed quis est qui de manibus tuis eripiat?
8. Manus tuæ plasmaverunt me et fecerunt me : postea mutans, percussisti me.
9. Memor esto quod lutum finxisti me, et in terram me iterum convertes.
10. Nonne tamquam lac mulsisti me, et coagulasti me æque ac caseum?
11. Pelle autem et carne vestisti me, ossibusque et nervis conseruisti me.
12. Vitam autem et misericordiam posuisti apud me, et visitatio tua custodivit spiritum meum.
13. Hæc cum habeas in teipso, scio quod omnia potes : et nihil tibi evadit impossibile.
14. Quod si et peccavero, custodis me, ab iniquitate autem non insontem me fecisti.
15. Sive enim impie egero, væ mihi : et si justus fuero, non possum suspicere, plenus enim sum opprobrio.
16. Et capior sicut leo ad occisionem : iterum enim commutans sæpe me perdis,
17. instaurans in me inquisitionem meam : ira autem magna mihi usus es, et induxisti super me tentationes.
18. Quare ergo de ventre eduxisti me, et non sum mortuus? Oculus autem non vidisset me,
19. et essem tamquam non fuissem? Cur enim de utero in monumentum non sum translatus?
20. Aut numquid non est parva vita temporis mei? Patere me requiescere pusillum,
21. antequam eam unde non revertar, ad terram tenebrosam et caliginosam,
22. ad terram tenebrarum æternarum, ubi non est lux, neque est videre vitam hominum.

CAPUT XI.

1 Respondens autem Sophar Minæus, ait :
2. Qui multa dicit, et vicissim audiet : aut etiam eloquens putat se esse justum? Benedictus natus mulieris brevis vitæ.
3. Ne multus sis in verbis, cum nemo sit qui contradicat tibi.
4. Noli enim dicere quia mundus sum operibus, et irreprehensibilis ante eum :

5. ἀλλὰ πῶς ἂν ὁ Κύριος λαλῆσαι πρὸς σὲ, καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ;

6. Εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσται τῶν κατὰ σέ· καὶ τότε γνώσῃ ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ Κυρίου ὧν ἡμάρτηκας.

7. Ἦ ἴχνος Κυρίου εὑρήσεις, ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ Παντοκράτωρ;

8. Ὑψηλὸς ὁ οὐρανὸς, καὶ τί ποιήσεις; Βαθύτερα δὲ τῶν ἐν ᾅδου, τί οἶδας;

9. Ἦ μακρότερα μέτρου γῆς, ἢ εὔρους θαλάσσης;

10. Ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ· Τί ἐποίησας;

11. Αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων, ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται.

12. Ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις· βροτὸς δὲ γεννητὸς γυναικὸς, ἴσα ὄνῳ ἐρημίτῃ.

13. Εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν.

14. Εἰ ἄνομόν τί ἐστιν ἐν χερσί σου, πόῤῥω ποίησον αὐτὸ ἀπὸ σοῦ, ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω·

15. οὕτω γὰρ ἀναλάμψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρὸν, ἐκδύσῃ δὲ ῥύπον, καὶ οὐ μὴ φοβηθήσῃ·

16. καὶ τὸν κόπον ἐπιλήσῃ, ὥσπερ κῦμα παρελθὸν, καὶ οὐ πτοηθήσῃ·

17. ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος, ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή·

18. πεποιθώς τε ἔσῃ, ὅτι ἔστι σοι ἐλπὶς, ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη·

19. ἡσυχάσεις γὰρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε· μεταβαλόμενοι δὲ πολλοί σου δεηθήσονται.

20. Σωτηρία δὲ αὐτοὺς ἀπολείψει· ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια, ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Εἶτα ὑμεῖς ἐστε ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευτήσει σοφία;

3. Κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστι,

4. δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγεννήθη εἰς χλεύασμα.

5. Εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπὸ ἄλλων, οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων. Οὐ μὴν δὲ ἀλλὰ μηδεὶς πεποιθέτω, πονηρὸς ὢν, ἀθῷος ἔσεσθαι·

6. ὅσοι παροργίζουσι τὸν Κύριον, ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται.

7. Ἀλλὰ δὴ ἐρώτησον τετράποδα ἐάν σοι εἴπωσι, πετεινὰ δὲ οὐρανοῦ ἐάν σοι ἀπαγγείλωσιν.

8. Ἐκδιήγησαι γῇ ἐάν σοι φράσῃ, καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης.

9. Τίς οὖν οὐκ ἔγνω ἐν πᾶσι τούτοις, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα;

10. Εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων ζώντων, καὶ πνεῦμα παντὸς ἀνθρώπου.

11. Οὖς μὲν γὰρ ῥήματα διακρίνει, λάρυγξ δὲ σῖτα γεύεται.

12. Ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη.

13. Παρ' αὐτῷ σοφία καὶ δύναμις, αὐτῷ βουλὴ καὶ σύνεσις.

5. sed quomodo Dominus loquetur ad te, et aperiet labia sua tecum?

6. Deinde annuntiabit tibi virtutem sapientiæ, quia duplex erit ad ea quæ circa te: et tunc scies quia digna eveniunt tibi a Domino quæ peccasti.

7. Aut vestigium Domini invenies, aut ad ultima pervenisti quæ fecit Omnipotens?

8. Sublime est cœlum, et quid facies? Profundiora autem iis quæ in inferno, quid nostri?

9. Nonne longiora quam mensura terræ, vel latitudo maris?

10. Si autem subverterit omnia, quis dicet illi: Quid fecisti?

11. Ipse enim scit opera iniquorum, videns autem absurda non despiciet.

12. Homo vero aliter natat sermonibus: et vir natus mulieris, tamquam onager solitarius.

13. Nam si tu mundum posuisti cor tuum, et extendis manus ad eum.

14. Si iniquum quid est in manu tua, longe facito illud a te, et iniquitas in domo tua non maneat:

15. sic enim fulgebit facies tua tamquam aqua pura, exues autem sordem, et non timebis:

16. et laborem oblivisceris tamquam fluctum qui præterit, et non terreberis:

17. et oratio tua tamquam lucifer erit, de meridie autem orietur tibi vita:

18. confidensque eris, quia est tibi spes, et de cura ac sollicitudine apparebit tibi pax:

19. quiesces enim, et non erit qui oppugnet te: transmutati autem multi rogabunt te.

20. Salus autem eos deseret: spes enim eorum perditio, et oculi impiorum tabescent.

CAPUT XII.

1. Respondens autem Job, ait:

2. Itaque vos estis homines, aut vobiscum morietur sapientia?

3. Et mihi quidem cor juxta vos est,

4. sed justus vir et sine crimine venit in derisum.

5. In tempus autem statutum paratus fuerat ut caderet ab aliis, et domus ejus ut devastarentur ab iniquis. Verumtamen nemo confidat, cum malignus sit, futurum se insontem:

6. quicumque irritant Dominum, tamquam inquisitio in eos non sit futura.

7. Sed tamen interroga quadrupedia si tibi respondeant, volatilia autem cœli si tibi annuntient.

8. Enarra terræ si tibi dicat, et exponent tibi pisces maris.

9. Quis igitur non cognovit in omnibus his, quod manus Domini fecit hæc?

10. Si non in manu ejus est anima omnium viventium, et spiritus omnis hominis?

11. Nam auris quidem dijudicat verba, fauces autem cibos gustant.

12. In multo tempore sapientia est, et in multa vita est scientia.

13. Apud eum sapientia et virtus, ipsi est consilium et intellectus.

5.

14. Ἐὰν καταβάλῃ, τίς οἰκοδομήσει; Ἐὰν κλείσῃ κατ' ἀνθρώπων, τίς ἀνοίξει;

15. Ἐὰν κωλύσῃ τὸ ὕδωρ, ξηρανεῖ τὴν γῆν· ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας.

16. Παρ' αὐτῷ κράτος καὶ ἰσχὺς, αὐτῷ ἐπιστήμη καὶ σύνεσις.

17. Διάγων βουλευτὰς αἰχμαλώτους, κριτὰς δὲ γῆς ἐξέστησε.

18. Καθιζάνων βασιλεῖς ἐπὶ θρόνους, καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν.

19. Ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους, δυνάστας δὲ γῆς κατέστρεψε.

20. Διαλλάσσων χείλη πιστῶν, σύνεσιν δὲ πρεσβυτέρων ἔγνω.

21. Ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας, ταπεινοὺς δὲ ἰάσατο.

22. Ἀνακαλύπτων βαθέα ἐκ σκότους, ἐξήγαγε δὲ εἰς φῶς σκιὰν θανάτου.

23. Πλανῶν ἔθνη καὶ ἀπολλύων αὐτὰ, καταστρωννύων ἔθνη καὶ καθοδηγῶν αὐτά.

24. Διαλλάσσων καρδίας ἀρχόντων γῆς· ἐπλάνησε δὲ αὐτοὺς ἐν ὁδῷ ᾗ οὐκ ᾔδεισαν.

25. Ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς, πλανηθείησαν δὲ ὥσπερ ὁ μεθύων.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Ἰδοὺ ταῦτα ἑώρακέ μου ὁ ὀφθαλμὸς, καὶ ἀκήκοέ μου τὸ οὖς·

2. καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίστασθε, καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν.

3. Οὐ μὴν δὲ, ἀλλ' ἐγὼ πρὸς Κύριον λαλήσω, ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βούληται.

4. Ὑμεῖς δὲ ἐστὲ ἰατροὶ ἄδικοι, καὶ ἰαταὶ κακῶν πάντες.

5. Εἴη δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀποβήσεται ὑμῖν σοφία.

6. Ἀκούσατε δὲ ἔλεγχον τοῦ στόματός μου, κρίσιν δὲ χειλέων μου προσέχετε.

7. Πότερον οὐχ ἔναντι Κυρίου λαλεῖτε, ἔναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον;

8. Ἢ ὑποστελεῖσθε; Ὑμεῖς δὲ αὐτοὶ κριταὶ γίνεσθε.

9. Καλὸν γὰρ ἐὰν ἐξιχνιάσῃ ὑμᾶς· εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ,

10. οὐδὲν ἧττον ἐλέγξει ὑμᾶς. Εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε,

11. πότερον οὐχ ἡ δῖνα αὐτοῦ στροβήσει ὑμᾶς; ὁ φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν,

12. ἀποβήσεται δὲ ὑμῶν τὸ γαυρίαμα ἴσα σποδῷ, τὸ δὲ σῶμα πήλινον.

13. Κωφεύσατε ἵνα λαλήσω, καὶ ἀναπαύσωμαι θυμοῦ,

14. ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι, ψυχὴν δέ μου θήσω ἐν χειρί.

15. Ἐάν με χειρώσηται ὁ δυνάστης, ἐπεὶ καὶ ἦρκται, ἦ μὴν λαλήσω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ·

16. καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.

17. Ἀκούσατε, ἀκούσατε τὰ ῥήματά μου, ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.

14. Si destruxerit, quis ædificabit? Si clauserit contra homines, quis aperiet?

15. Si prohibuerit aquam, siccabit terram : quod et si emiserit, perdidit evertens eam.

16. Apud ipsum potentia et fortitudo, ipsi scientia et intellectus.

17. Qui ducit consultores captivos, judices autem terræ in pavorem misit.

18. Qui collocat reges super sedes, et circumdedit baltheo lumbos eorum.

19. Qui emittit sacerdotes captivos, dynastas autem terræ evertit.

20. Qui permutat labia fidelium, intelligentiam autem senum cognovit.

21. Qui effudit ignominiam super principes, humiles autem sanavit.

22. Qui revelat profunda de tenebris, et produxit in lucem umbram mortis.

23. Decipiens gentes et perdens eas, sternens gentes et in viam ducens eas.

24. Permutans corda principum terræ : errare fecit eos in via quam non noverant.

25. Palpent tenebras et non lucem, errent autem tamquam ebrius.

CAPUT XIII.

1. Ecce hæc vidit oculus meus, et audivit auris mea;

2. et novi quæcumque et vos scitis, et non sum minus intelligens quam vos.

3. Verumtamen ego ad Dominum loquar, et arguam in conspectu ejus si voluerit.

4. Vos autem estis medici injusti, et curatores malorum omnes.

5. Sit autem vobis obmutescere, et evadet vobis sapientia.

6. Audite ergo increpationem oris mei, judicium vero labiorum meorum animadvertite.

7. Numquid non coram Domino loquimini, et ante conspectum ejus profertis dolum?

8. An subtrahetis vos? Vos autem ipsi judices sitis.

9. Bonum enim si investiget vos : si enim omnia facientes adjiciemini ei,

10. nihilominus arguet vos. Quod et si occultas personas mirati fueritis,

11. nonne commotio ejus versabit vos? timor autem ab eo cadet super vos,

12. evadet autem elatio vestra tamquam cinis, corpus autem luteum.

13. Obmutescite ut loquar, et requiescam ab ira,

14. apprehendens meas carnes dentibus meis, et animam meam ponam in manu.

15. Licet opprimat me qui potens est, quoniam et cœpit, tamen loquar et coram eo arguam :

16. et hoc mihi evadet in salutem, non enim coram eo dolus ingredietur.

17. Audite, audite verba mea, narrabo enim vobis audientibus.

18. Ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι.

19. Τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι, ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω;

20. Δυεῖν δέ μοι χρήσῃ, τότε ἀπὸ τοῦ προςώπου σου οὐ κρυβήσομαι.

21. Τὴν χεῖρα ἀπ' ἐμοῦ ἀπέχου, καὶ ὁ φόβος σου μή με καταπλησσέτω.

22. Εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι· ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν.

23. Πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου καὶ ἀνομίαι μου, δίδαξόν με τίνες εἰσί;

24. Διατί ἀπ' ἐμοῦ κρύπτῃ, ἥγησαι δέ με ὑπεναντίον σοι;

25. Ἦ ὡς φύλλον κινούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ, ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι;

26. Ὅτι κατέγραψας κατ' ἐμοῦ κακὰ, περιέθηκας δέ μοι νεότητος ἁμαρτίας.

27. Ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι, ἐφύλαξας δέ μου πάντα τὰ ἔργα, εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου.

28. Ὃ παλαιοῦται ἴσα ἀσκῷ, ἢ ὥςπερ ἱμάτιον σητόβρωτον.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Βροτὸς γὰρ γεννητὸς γυναικὸς, ὀλιγόβιος, καὶ πλήρης ὀργῆς,

2. ἢ ὥςπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν, ἀπέδρα δὲ ὥςπερ σκιὰ, καὶ οὐ μὴ στῇ.

3. Οὐχὶ καὶ τούτου λόγον ἐποιήσω, καὶ τοῦτον ἐποίησας εἰςελθεῖν ἐν κρίματι ἐνώπιόν σου;

4. Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; Ἀλλ' οὐδεὶς,

5. ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς. Ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ' αὐτοῦ· εἰς χρόνον ἔθου, καὶ οὐ μὴ ὑπερβῇ.

6. Ἀπόστα ἀπ' αὐτοῦ ἵνα ἡσυχάσῃ, καὶ εὐδοκήσῃ τὸν βίον, ὥςπερ ὁ μισθωτός.

7. Ἔστι γὰρ δένδρῳ ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ.

8. Ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ, ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ

9. ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει, ποιήσει δὲ θερισμὸν, ὥςπερ νεόφυτον.

10. Ἀνὴρ δὲ τελευτήσας ᾤχετο, πεσὼν δὲ βροτὸς οὐκ ἔτι ἐστί.

11. Χρόνῳ γὰρ σπανίζεται θάλασσα, ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη·

12. ἄνθρωπος δὲ κοιμηθεὶς οὐ μὴν ἀναστῇ ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συῤῥαφῇ, καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν.

13. Εἰ γὰρ ὤφελον ἐν ᾅδῃ με ἐφύλαξας, ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργὴ, καὶ τάξῃ μοι χρόνον ἐν ᾧ μνείαν μου ποιήσῃ.

14. Ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ. Ὑπομενῶ ἕως πάλιν γένωμαι.

15. Εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι, τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ.

18. Ecce ego appropinquo judicio meo, novi ego quod justus apparebo.

19. Quis est enim qui judicium sit facturus mihi, quia nunc obmutescam et deficiam?

20. Duo autem mihi præbeas, tunc a facie tua non abscondar.

21. Manum aufer a me, et timor tuus non me terreat.

22. Deinde vocabis, ego autem tibi obediam : aut loqueris, ego autem tibi dabo responsum.

23. Quot sunt peccata mea et iniquitates meæ, doce me quænam sunt?

24. Cur absconderis a me, et putas me esse contrarium tibi?

25. Numquid quasi folium quod movetur a vento vereberis, aut quasi fœno quod fertur a spiritu opposuisti te mihi?

26. Quoniam scripsisti contra me mala, et imposuisti mihi peccata juventutis.

27. Et posuisti in impedimento pedem meum, et observasti omnia opera mea, et ad radices pedum meorum pervenisti.

28. Qui veterascit sicut uter, aut velut vestimentum quod a tinea comestum est.

CAPUT XIV.

1. Homo enim natus ex muliere, brevi vivens tempore, et plenus iracundiæ,

2. aut tamquam flos efflorescens decidit, aufugit autem velut umbra, et non stabit.

3. Numquid et hujus rationem fecisti, et hunc fecisti venire in judicium coram te?

4. Quis enim mundus erit a sorde? At nemo,

5. et si unus dies sit vita ejus super terram. Dinumerati enim sunt menses ejus ab eo : ad tempus posuisti, et non transgredietur.

6. Discede ab eo ut requiescat, et bene velit vitam, sicut mercenarius.

7. Est enim arbori spes : si enim excisa fuerit, adhuc pullulabit, et germen ejus non deficiet.

8. Si enim senuerit in terra radix ejus, et in petra autem interierit truncus ejus

9. ab odore aquæ germinabit, faciet autem messem, sicut novella plantatio.

10. Vir vero cum mortuus fuerit abiit, et mortalis cum ceciderit non ultra est.

11. Tempore enim rarefit mare, et fluvius desolatus exaruit :

12. homo autem cum dormierit non utique resurget quoadusque cœlum non sit consutum, et non excitabuntur de somno suo.

13. Itaque utinam apud inferos me custodisses, et abscondisses me donec requiesceret ira tua, et constituas mihi tempus in quo memoriam mei facias.

14. Si enim mortuus fuerit homo, vivet consummatis diebus vitæ suæ. Sustinebo donec rursus fiam.

15. Deinde vocabis, et ego obediam tibi, sed opera manuum tuarum ne repellas.

16. Ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα, καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου.
17. Ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ, ἐπεσημήνω δὲ εἴτι ἄκων παρέβην.
18. Καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται, καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς.
19. Λίθους ἐλέαναν ὕδατα, καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς· καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.
20. Ὦσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο· ἐπέστησας αὐτῷ τὸ πρόσωπον, καὶ ἐξαπέστειλας.
21. Πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ, οὐκ οἶδεν· ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται.
22. Ἀλλ' ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει·
2. Πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεῦμα, καὶ ἐνέπλησε πόνον γαστρὸς,
3. ἐλέγχων ἐν ῥήμασιν οἷς οὐ δεῖ, καὶ ἐν λόγοις οἷς οὐδὲν ὄφελος;
4. Οὐ καὶ σὺ ἀπεποιήσω φόβον, συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ Κυρίου;
5. Ἔνοχος εἶ ῥήμασι στόματός σου, οὐδὲ διέκρινας ῥήματα δυναστῶν.
6. Ἐλέγξαι σε τὸ σὸν στόμα καὶ μὴ ἐγὼ, τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου.
7. Τί γάρ; Μὴ πρῶτος ἀνθρώπων ἐγεννήθης, ἢ πρὸ θινῶν ἐπάγης;
8. Ἦ σύνταγμα Κυρίου ἀκήκοας, ἢ συμβούλῳ σοι ἐχρήσατο ὁ Θεὸς, εἰς δέ σε ἀφίκετο σοφία;
9. Τί γὰρ οἶδας ὃ οὐκ οἴδαμεν, ἢ τί συνίεις σὺ ὃ οὐ καὶ ἡμεῖς;
10. Καί γε πρεσβύτης καί γε παλαιὸς ἐν ἡμῖν, βαρύτερος τοῦ πατρός σου ἡμέραις.
11. Ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι, μεγάλως ὑπερβαλλόντως λελάληκας.
12. Τί ἐτόλμησεν ἡ καρδία σου, ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου,
13. ὅτι θυμὸν ἔῤῥηξας ἔναντι Κυρίου, ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα;
14. Τίς γὰρ ὢν βροτὸς, ὅτι ἔσται ἄμεμπτος; ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός;
15. Εἰ κατὰ ἁγίων οὐ πιστεύει, οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ.
16. Ἔα δὲ, ἐβδελυγμένος καὶ ἀκάθαρτος ἀνὴρ, πίνων ἀδικίας ἴσα ποτῷ·
17. Ἀναγγελῶ δέ σοι, ἄκουέ μου, ἃ δὴ ἑώρακα ἀναγγελῶ σοι,
18. ἃ σοφοὶ ἐροῦσιν, καὶ οὐκ ἔκρυψαν πατέρες αὐτῶν.
19. Αὐτοῖς μόνοις ἐδόθη ἡ γῆ, καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς ἐπ' αὐτούς.
20. Πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι, ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ.
21. Ὁ δὲ φόβος αὐτοῦ ἐν ὠσὶν αὐτοῦ· ὅταν δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή.
22. Μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους, ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας σιδήρου,

16. Numerasti autem adinventiones meas, et non præteribit te ullum peccatorum meorum.
17. Signasti autem in sacculo iniquitates meas, et annotasti si quid invitus erravi.
18. Et quidem mons cadens decidet, et petra veterascet de loco suo.
19. Lapides lævigaverunt aquæ, et demerserunt aquæ supina cumuli terræ : et patientiam hominis perdidisti.
20. Impulisti eum in finem, et abiit : adjecisti ei faciem, et dimisisti.
21. Et cum multi fuerunt filii ejus, nescit : sin autem pauci fuerint, ignorat.
22. Sed carnes ejus doluerunt, et anima ejus luxit.

CAPUT XV.

1. Respondens autem Eliphaz Thæmanites, ait :
2. Numquid sapiens responsionem dabit scientiæ spiritus, et implevit dolorem ventris,
3. arguens in verbis quibus non oportet, et in sermonibus quibus nulla utilitas?
4. Nonne et tu repulisti timorem, consummasti autem verba talia coram Domino?
5. Reus es verbis oris tui, neque dijudicasti verba potentum.
6. Arguat te os tuum et non ego, et labia tua testificabuntur contra te.
7. Quid enim? Numquid primus homo natus es, aut ante colles concretus es?
8. Aut constitutionem Domini audisti, aut consiliario te usus est Deus, et in te pervenit sapientia?
9. Quid enim nosti quod non novimus, aut quid intelligis tu quod non et nos?
10. Sed et senex et antiquus in nobis est, patre tuo gravior diebus.
11. Pauca præ iis quæ peccasti accepisti verbera, valde supra modum locutus es.
12. Quid ausum fuit cor tuum, aut quid sustinuerunt oculi tui,
13. quod furorem erupisti ante Dominum, protulisti autem ex ore verba talia?
14. Quis enim cum homo sit, quia erit sine crimine? aut tamquam futurus justus natus de muliere?
15. Si in sanctis non credit, et cœlum non est mundum ante eum?
16. Sine vero, abominatus et immundus vir, bibens injustitias quasi potionem?
17. Annuntiabo autem tibi, audi me, quæ utique vidi annuntiabo tibi,
18. quæ sapientes dicent, et non celaverunt parentes eorum.
19. Ipsis solis data est terra, nec supervenit illis extraneus.
20. Omnis vita impii in sollicitudine, anni autem numerati potenti data sunt.
21. Timor autem ipsius in auribus ipsius : cum putaverit se esse jam in pace, veniet ejus subversio.
22. Non credat converti a tenebris, decretus enim est jam in manus ferri,

23. κατατέτακται δὲ εἰς σῖτα γυψίν· οἶδε δὲ ἐν ἑαυτῷ ὅτι μένει εἰς πτῶμα· ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει,

24. ἀνάγκη δὲ καὶ θλῖψις αὐτὸν καθέξει, ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων·

25. ὅτι ἦρκεν χεῖρας ἐναντίον τοῦ Κυρίου, ἔναντι δὲ Κυρίου παντοκράτορος ἐτραχηλίασεν.

26. Ἔδραμε δὲ ἐναντίον αὐτοῦ ὕβρει ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ.

27. Ὅτι ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ, καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων.

28. Αὐλισθείη δὲ πόλεις ἐρήμους, εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται.

29. Οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα· οὐ μὴ βάλῃ ἐπὶ τὴν γῆν σκιὰν,

30. οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος· τὸν βλαστὸν αὐτοῦ μαράναι ἄνεμος, ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος.

31. Μὴ πιστευέτω ὅτι ὑπομενεῖ, κενὰ γὰρ ἀποβήσεται αὐτῷ.

32. Ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ.

33. Τρυγηθείη δὲ ὡς ὄμφαξ πρὸ ὥρας, ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας.

34. Μαρτύριον γὰρ ἀσεβοῦς θάνατος· πῦρ δὲ καύσει οἴκους δωροδεκτῶν.

35. Ἐν γαστρὶ δὲ λήψεται ὀδύνας, ἀποβήσεται δὲ αὐτῷ κενὰ, ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Ἀκήκοα τοιαῦτα πολλὰ, παρακλήτορες κακῶν πάντες.

3. Τί γάρ; Μὴ τάξις ἐστὶ ῥήμασι πνεύματος; ἢ τί παρενοχλήσει σοι ὅτι ἀποκρίνῃ;

4. Κἀγὼ καθ' ὑμᾶς λαλήσω. Εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν ἀντὶ τῆς ἐμῆς,

5. εἶτ' ἐναλοῦμαι ὑμῖν ῥήμασι· κινήσω δὲ καθ' ὑμῶν κεφαλήν.

6. Εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου, κίνησιν δὲ χειλέων οὐ φείσομαι.

7. Ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα· ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;

8. Νῦν δὲ κατάκοπόν με πεποίηκε, μωρὸν, σεσηπότα, καὶ ἐπελάβου μου,

9. εἰς μαρτύριον ἐγενήθη, καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου, κατὰ πρόσωπόν μου ἀνταπεκρίθη.

10. Ὀργῇ χρησάμενος κατέβαλέ με, ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας, βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσαν.

11. Ἀκίσιν ὀφθαλμῶν ἐνήλατο, ὀξεῖ ἔπαισέ με εἰς τὰ γόνατα, ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμοί.

12. Παρέδωκε γάρ με ὁ Κύριος εἰς χεῖρας ἀδίκων, ἐπὶ δὲ ἀσεβέσιν ἔῤῥιψέ με.

13. Εἰρηνεύοντα διεσκέδασέ με· λαβών με τῆς κόμης διέτιλε, κατέστησέ με ὥσπερ σκοπόν.

14. Ἐκύκλωσάν με λόγχαις βάλλοντες εἰς νεφρούς μου, οὐ φειδόμενοι ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου.

15. Κατέβαλόν με πτῶμα ἐπὶ πτώματι ἔδραμον πρός με δυνάμενοι.

23. et dispositus in escas vulturum : novit autem in seipso quod manet in ruinam : dies autem tenebrosa ipsum versabit,

24. angustia autem et tribulatio ipsum comprimet, sicut dux in prima acie decidens :

25. quia elevavit manus contra Dominum, et contra Dominum omnipotentem induravit cervicem.

26. Cucurrit autem contra eum injuria in crassitudine dorsi scuti sui.

27. Quia operuit faciem ejus in adipe suo, et fecit peristomium super femora.

28. Habitet autem civitates desertas, et ingrediatur in domos non habitatas : quæ autem illi paraverunt, alii auferent.

29. Et non ditabitur, nec permanebit substantia ejus : non immittet super terram umbram,

30. neque effugiet tenebras : stirpem ejus arefaciet ventus, decidat autem flos ejus.

31. Non credat quia sustinebit, vana enim evadent ei.

32. Præcisio ejus ante horam corrumpetur, et ramus ejus non condensabitur.

33. Vindemietur sicut acresta ante horam, decidat autem tamquam flos olivæ.

34. Testimonium enim impii mors : ignis vero comburet domos eorum qui munera accipiunt.

35. Concipiet et in ventre gemitus, evadent autem ei vana, venter ejus sustinebit dolum.

CAPUT XVI.

1. Respondens autem Job, ait :

2. Audivi talia multa, consolatores malorum omnes.

3. Quid ergo? Numquid ordo est sermonibus spiritus? aut quid molestum tibi erit quod respondeas?

4. Et ego secundum vos loquar. Si subjecta esset anima vestra pro mea,

5. deinde insultabo in vos verbis : movebo vero contra vos caput.

6. Sit autem fortitudo in ore meo, motui autem labiorum non parcam.

7. Si enim loquar, non dolebo vulnus : quod etsi tacebo, quid minus vulnerabor?

8. Nunc autem lassatum me fecit, stultum, putrem, et apprehendisti me,

9. in testimonium fuit, et surrexit super me mendacium meum, contra faciem meam respondit.

10. Iracundia usus dejecit me, fremuit super me dentibus, sagittæ piratarum ejus super me deciderunt.

11. Acie oculorum irruit, mucrone percussit me in genibus, simul autem concurrerunt in me.

12. Tradidit enim me Dominus in manus injustorum, et super impios projecit me.

13. In pace cum essem discerpsit me; tenens me coma divulsit, statuit me sicut signum.

14. Circumdederunt me lanceis emittentes in renes meos, non parcentes effuderunt in terram fel meum.

15. Dejecerunt me ruinam super ruinam, cucurrerunt erga me potentes.

16. Σάκκον ἔῤῥαψαν ἐπὶ βύρσης μου, τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη.
17. Ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ, ἐπὶ δὲ βλεφάροις μου σκιά.
18. Ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά.
19. Γῆ, μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου, μηδὲ εἴη τόπος τῇ κραυγῇ μου.
20. Καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου, ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις.
21. Ἀφίκοιτό μου ἡ δέησις πρὸς Κύριον, ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός.
22. Εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι Κυρίου, καὶ υἱῷ ἀνθρώπου τῷ πλησίον αὐτοῦ.
23. Ἔτη δὲ ἀριθμητὰ ἥκασιν, ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι πορεύσομαι.

16. Cilicium assuerunt corio meo, robur autem meum in terra exstinctum est.
17. Venter meus combustus est a fletu, et super palpebras meas umbra.
18. Injustum autem nihil fuit in manibus meis, deprecatio autem mea munda.
19. Terra, ne operias super sanguinem carnis meæ, nec sit locus clamori meo.
20. Et ecce nunc in cœlis est testis meus, et conscius meus in excelsis.
21. Perveniat oratio mea ad Dominum, et coram eo stillet oculus meus.
22. Sit autem redargutio viro coram Domino, et filio hominis ad proximum suum.
23. Anni enim dinumerati venerunt, et via per quam non revertar ambulabo.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

1. Ὀλέκομαι πνεύματι φερόμενος, δέομαι δὲ ταφῆς, καὶ οὐ τυγχάνω.
2. Λίσσομαι κάμνων, καὶ τί ποιήσας; Ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι.
3. Τίς ἐστιν οὗτος; Τῇ χειρί μου συνδεθήτω.
4. Ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως, διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς.
5. Τῇ μερίδι ἀναγγελεῖ κακίας, ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν.
6. Ἔθου δέ με θρύλλημα ἐν ἔθνεσι, γέλως δὲ αὐτοῖς ἀπέβην.
7. Πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου, πεπολιόρκημαι μεγάλως ὑπὸ πάντων.
8. Θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ, δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπαναστάίη.
9. Σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδὸν, καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος.
10. Οὐ μὴν δὲ, ἀλλὰ πάντες ἐρείδετε καὶ δεῦτε δή· οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές.
11. Αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ, ἐῤῥάγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου.
12. Νύκτα εἰς ἡμέραν ἔθηκα, φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους.
13. Ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος, ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή.
14. Θάνατον ἐπεκαλεσάμην πατέρα μου εἶναι, μητέρα δέ μου καὶ ἀδελφὴν σαπρίαν.
15. Ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπὶς, ἢ τὰ ἀγαθά μου ὄψομαι;
16. Ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσονται, ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα;

CAPUT XVII.

1. Pereo spiritu agitatus, oro autem sepulcrum, et non contingit mihi.
2. Preces adhibeo cum labore, et quid feci? Et furati sunt extranei bona mea.
3. Quis est iste? Manu mea ligetur.
4. Quia cor eorum abscondisti a prudentia, propter hoc ne exaltaveris eos.
5. Parti nuntiabit mala, et oculi super filios tabuerunt.
6. Posuisti autem me fabulam in nationibus, et risus illis deveni.
7. Cæcati enim sunt ab ira oculi mei, expugnatus sum valde ab omnibus.
8. Admiratio tenuit veraces super hoc, justus autem super inimicum consurgat.
9. Teneat autem fidelis viam suam, et purus manibus sumat audaciam.
10. Verumtamen omnes incumbite et venite, quæso: non enim invenio in vobis veritatem.
11. Dies mei transierunt in strepitu, et rupti sunt articuli cordis mei.
12. Noctem in diem posui, lumen prope a facie tenebrarum.
13. Nam si sustinuero, inferi domus mea erunt, et in caligine stratum est stratum meum.
14. Interitum appellavi patrem meum esse, matrem autem meam et sororem tabem.
15. Ubi igitur est mea jam spes, aut bona mea videbo?
16. Aut mecum ad inferos descendent, aut pariter super pulverem descendemus?

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει·
2. Μέχρι τίνος οὐ παύσῃ; Ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν.
3. Διατί δὲ ὥσπερ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου;
4. Κέχρηταί σοι ὀργή. Τί γάρ; Ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανὸν, ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων;

CAPUT XVIII.

1. Respondens autem Baldad Sauchites, ait:
2. Quousque non cessabis? Cohibe te, ut et ipsi loquamur.
3. Et cur tamquam quadrupedia tacuimus coram te?
4. Usa est te ira. Quid enim? Si tu mortuus fueris, inhabitabilis erit ea quæ sub cœlo, aut subvertentur montes a fundamentis?

5. Καὶ φῶς ἀσεβῶν σβεσθήσεται, καὶ οὐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ;

6. Τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ, ὁ δὲ λύχνος ἐπ' αὐτῷ σβεσθήσεται.

7. Θηρεύσαισαν ἐλάχιστοι τὰ ὑπάρχοντα αὐτοῦ· σφάλαι δὲ αὐτοῦ ἡ βουλή.

8. Ἐμβέβληται δὲ ὁ ποῦς αὐτοῦ ἐν παγίδι, ἐν δικτύῳ ἑλιχθείη.

9. Ἔλθοισαν δὲ ἐπ' αὐτὸν παγίδες, κατισχύσει ἐπ' αὐτὸν διψῶντας.

10. Κέκρυπται ἐν τῇ γῇ σχοινίον αὐτοῦ, καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβον.

11. Κύκλῳ ὀλέσαισαν αὐτὸν ὠδύναι· πολλοὶ δὲ περὶ πόδα αὐτοῦ ἔλθοισαν

12. ἐν λιμῷ στενῷ· πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον.

13. Βρωθείησαν αὐτοῦ κλῶνες ποδῶν, κατέδεται δὲ αὐτοῦ τὰ ὡραῖα θάνατος.

14. Ἐκραγείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις, σχοίη δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ.

15. Κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ, κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ θείῳ.

16. Ὑποκάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται, καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ.

17. Τὸ μνημόσυνον αὐτοῦ ἀπώλοιτο ἐκ γῆς, καὶ ὑπάρξει ὄνομα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω.

18. Ἀπώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος.

19. Οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ, οὐδὲ σεσωσμένος ἐν τῇ ὑπ' οὐρανὸν ὁ οἶκος αὐτοῦ.

20. Ἀλλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι. Ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι, πρώτους δὲ ἔσχε θαῦμα.

21. Οὗτοί εἰσιν οἱ οἶκοι ἀδίκων, οὗτος δὲ ὁ τόπος τῶν μὴ εἰδότων τὸν Κύριον.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου, καὶ καθαιρεῖτε με λόγοις; Γνῶτε μόνον ὅτι ὁ Κύριος ἐποίησέ με οὕτως.

3. Καταλαλεῖτέ μου, οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι.

4. Ναὶ δὴ ἐπ' ἀληθείας ἐγὼ ἐπλανήθην, παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος· λαλῆσαι ῥήματα ἃ οὐκ ἔδει, τὰ δὲ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐπὶ καιροῦ.

5. Ἔα δὲ, ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθε, ἐνάλλεσθε δέ μοι ὀνείδει.

6. Γνῶτε οὖν ὅτι Κύριός ἐστιν ὁ ταράξας, ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσεν.

7. Ἰδοὺ γελῶ ὀνείδει, οὐ λαλήσω· κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα.

8. Κύκλῳ περιῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ, ἐπὶ πρόσωπόν μου σκότος ἔθετο.

9. Τὴν δὲ δόξαν ἀπ' ἐμοῦ ἐξέδυσεν, ἀφεῖλε δὲ στέφανον ἀπὸ κεφαλῆς μου.

10. Διέσπασέ με κύκλῳ καὶ ᾠχόμην, ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου.

11. Δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο, ἡγήσατο δέ με ὥσπερ ἐχθρόν.

12. Ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοὶ, ταῖς ὁδοῖς μου ἐκύκλωσαν ἐγκάθετοι.

5. Et lumen impiorum exstinguetur, et non procedet lumen eorum?

6. Lux ejus tenebræ in domo, et lucerna super eum exstinguetur.

7. Venentur infirmi substantiam ejus : erret autem ejus consilium.

8. Et immissus est pes ejus in laqueum, in rete involvatur.

9. Venient autem super eum laquei, confortabit super eum sitientes.

10. Absconditus est in terra funiculus ejus, et captio ejus in semita.

11. Per circuitum perdant eum dolores : multi vero circa pedes ejus veniant

12. in angustia famis : ruina autem parata est ei insignis.

13. Comedantur rami pedum ejus, mors autem devoret speciosa ejus.

14. Rumpatur autem de habitaculo ejus sanitas, teneat vero eum necessitas causa regali.

15. Habitabit in tabernaculo ejus in nocte ejus, aspergentur speciosa ejus sulphure.

16. De subtus radices ejus siccabuntur, et desursum decidet messio ejus.

17. Memoriale ejus pereat de terra, et erit nomen ei super faciem extra.

18. Expellat eum de luce in tenebras.

19. Non erit cognominatus in populo suo, neque domus ejus salvata in ea quæ sub cœlo.

20. Sed in rebus ejus vivent alii. Super eum gemuerunt ultimi, primos autem tenuit admiratio.

21 Hæc sunt domus impiorum, hic vero est locus eorum qui non noverunt Dominum.

CAPUT XIX.

1. Respondens autem Job, ait :

2. Usquequo molestiam facietis animæ meæ, et destruetis me verbis? Scitote tantum quia Dominus fecit me sic.

3. Loquimini contra me, non reveriti me infesti estis mihi.

4. Esto utique in veritate ego erravi, apud me vero moratur error: loqui verba quæ non oportebat, verba autem mea errant et non in tempore.

5. Sine vero, quoniam super me magnificamini, insultatis autem mihi opprobrio.

6. Scitote igitur quia Dominus est qui turbavit, et vallum suum super me exaltavit.

7. Ecce rideo opprobrio, non loquar : clamabo, et nusquam judicium.

8. In circuitu circumædificatus sum, et non transibo, in vultu meo tenebras posuit.

9. Et gloriam meam a me exuit, abstulit autem coronam de capite meo.

10. Dirupit me undique et abii, excidit vero tamquam arborem spem meam.

11. Graviter autem mihi ira usus est, et arbitratus est me tamquam inimicum.

12. Unanimiter autem venerunt tentationes ejus super me, viis meis in circuitu insederunt insidiatores.

13. Ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν, ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ· φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν·

14. οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου, καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου.

15. Γείτονες οἰκίας θεράπαιναί τε μου, ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν.

16. Θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσε· στόμα δέ μου ἐδέετο,

17. καὶ ἱκέτευον τὴν γυναῖκά μου, προσεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου·

18. οἱ δὲ εἰς τὸν αἰῶνά με ἀπεποιήσαντο· ὅταν ἀναστῶ, κατ' ἐμοῦ λαλοῦσιν.

19. Ἐβδελύξαντό με οἱ ἰδόντες με· οὓς δὴ ἠγαπήκειν, ἐπανέστησάν μοι.

20. Ἐν δέρματί μου ἐσάπησαν αἱ σάρκες μου, τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται.

21. Ἐλεήσατέ με, ἐλεήσατέ με, ὦ φίλοι· χεὶρ γὰρ Κυρίου ἡ ἁψαμένη μου ἐστί.

22. Διατί με διώκετε ὥσπερ καὶ ὁ Κύριος, ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε;

23. Τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου, τεθῆναι δὲ αὐτὰ ἐν βιβλίῳ εἰς τὸν αἰῶνα,

24. ἐν γραφείῳ σιδηρῷ καὶ μολίβῳ, ἢ ἐν πέτραις ἐγγλυφῆναι;

25. Οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύειν με μέλλων, ἐπὶ γῆς

26. ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα· παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη,

27. ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι, ἃ ὁ ὀφθαλμός μου ἑώρακε, καὶ οὐκ ἄλλος, πάντα δέ μοι συντετέλεσται ἐν κόλπῳ.

28. Εἰ δὲ καὶ ἐρεῖτε· Τί ἐροῦμεν ἔναντι αὐτοῦ καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ;

29. Εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος, θυμὸς γὰρ ἐπ' ἀνόμους ἐπελεύσεται· καὶ τότε γνώσονται ποῦ ἐστιν αὐτῶν ἡ ὕλη.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

1. Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος, λέγει·

2. Οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα, καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ·

3. παιδείαν ἐντροπῆς μου ἀκούσομαι, καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι.

4. Μὴ ταῦτα ἔγνως ἀπὸ τοῦ ἔτι, ἀφ' οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς;

5. Εὐφροσύνη δὲ ἀσεβῶν πτῶμα ἐξαίσιον, χαρμονὴ δὲ παρανόμων ἀπώλεια.

6. Ἐὰν ἀναβῇ εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται.

7. Ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται· οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσι· Ποῦ ἐστιν;

8. Ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ, ἔπτη δὲ ὥσπερ φάσμα νυκτερινόν.

9. Ὀφθαλμὸς παρέβλεψε, καὶ οὐ προσθήσει, καὶ οὐκ ἔτι προσνοήσει αὐτὸν ὁ τόπος αὐτοῦ.

10. Τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες, αἱ δὲ χεῖρες αὐτοῦ πυρσεύσαισαν ὀδύνας.

11. Ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ, καὶ μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται.

13. A me fratres mei recesserunt, noverunt alienos quam me : amici vero mei immisericordes facti sunt :

14. non adhæserunt mihi proximi mei, et scientes nomen meum obliti sunt mei.

15. Vicini domus et ancillæ meæ, alienigena fui coram eis.

16. Servum meum vocavi, et non obedivit : os autem meum deprecabatur,

17. et rogabam uxorem meam, et invocabam blanditiis filios concubinarum mearum :

18. illi vero in sæculum me adversati sunt : cum exsurrexero, contra me loquuntur.

19. Abominati sunt me qui me videbant : et quos dilexeram, consurrexerunt in me.

20. In cute mea computruerunt carnes meæ, et ossa mea in dentibus hærent.

21. Miseremini mei, miseremini mei, o amici : manus enim Domini est quæ tetigit me.

22. Quare me persequimini sicut et Dominus, et de carnibus meis non satiamini?

23. Quis enim utique det ut scripta sint verba mea, et ipsa posita in libro in sæculum,

24. et in stylo ferreo et plumbo, aut in petris insculpta?

25. Scio enim quia æternus est qui me resoluturus est, super terram

26 ad ressuscitandam cutem meam quæ perpetitur hæc : a Domino enim hæc mihi consummata sunt,

27. quorum ego mihi conscius sum, quæ oculus meus vidit, et non alius, et omnia mihi consummata sunt in sinu,

28. Quod si et dixeritis : Quid dicemus contra eum, et radicem sermonis inveniemus in eo?

29. Cavete utique et vos a tegmine, ira enim super iniquos veniet : et tunc cognoscent ubi est eorum materia.

CAPUT XX.

1. Respondens autem Sophar Minæus, ait :

2. Non sic putabam contradicere te his, et non intelligitis magis quam et ego :

3. eruditionem confusionis meæ audiam, et spiritus ex intelligentia respondet mihi.

4. Nonne hæc nosti ab eo quod olim, ex quo positus est homo super terram?

5. Lætitia autem impiorum ruina insignis, gaudium vero iniquorum est perditio.

6. Si ascenderint in cœlum dona ejus, et sacrificium ejus tetigerit nubes.

7. Nam cum visus fuerit jam firmatus esse, tunc in finem peribit : qui autem noverant eum dicent : Ubi est?

8. Tamquam somnium quod avolavit non invenietur, volavit autem sicut visio nocturna.

9. Oculus vidit, et non adjiciet, et non ultra animadvertet eum locus suus.

10. Filios ejus disperdant minores, manus vero ejus succendant dolores.

11. Ossa ejus impleta sunt juventute ejus, et cum eo super pulverem dormient.

12. Ἐὰν γλυκανθῇ ἐν στόματι αὐτοῦ κακία, κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ,

13. οὐ φείσεται αὐτῆς, καὶ οὐκ ἐγκαταλείψει αὐτήν· καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ,

14. καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ. Χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ.

15. Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται, ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος.

16. Θυμὸν δὲ δρακόντων θηλάσειεν, ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως.

17. Μὴ ἴδοι ἄμελξιν νομάδων, μηδὲ νομὰς μέλιτος καὶ βουτύρου.

18. Εἰς κενὰ καὶ μάταια ἐκοπίασε, πλοῦτον ἐξ οὗ οὐ γεύσεται· ὥςπερ στρίφνος ἀμάσητος, ἀκατάποτος.

19. Πολλῶν γὰρ δυνατῶν οἴκους ἔθλασε· δίαιταν δὲ ἥρπασε, καὶ οὐκ ἔστησεν.

20. Οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν, ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ σωθήσεται.

21. Οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ, διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά.

22. Ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται, πᾶσα δὲ ἀνάγκη ἐπ' αὐτὸν ἐπελεύσεται.

23. Εἴ πως εἴη πληρῶσαι γαστέρα αὐτοῦ, ἐπαποστείλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς, νίψαι ἐπ' αὐτὸν ὀδύνας·

24. καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου, τρώσαι αὐτὸν τόξον χάλκειον.

25. Διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος, ἄστρα δὲ ἐν διαίταις αὐτοῦ. Περιπατήσαισαν ἐπ' αὐτῷ φόβοι,

26. πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι. Κατέδεται αὐτὸν πῦρ ἄκαυστον, κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον,

27. ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς ἀνομίας, γῆ δὲ ἐπανασταίη αὐτῷ.

28. Ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος, ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ.

29. Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.

12. Si dulcuerit in ore ejus malignitas, abscondet eam sub lingua sua,

13. non parcet ei, et non relinquet eam : et colliget eam in medio gutture suo,

14. et non poterit subvenire sibi. Fel aspidis in ventre ejus.

15. Divitiæ inique congregatæ evomentur, de domo ejus extrahet eum angelus.

16. Et furorem draconum sugat, et interficiat illum lingua colubri.

17. Non videat mulctram pecórum, neque pabula mellis et butyri.

18. In vanum et frustra laboravit, divitias ex quibus non gustabit : tamquam durum quid quod mandi non potest, nec glutiri.

19. Multorum enim potentum domos fregit : et habitaculum diripuit, et non statuit.

20. Non est ejus salus facultatibus, in desiderio suo non salvabitur.

21. Non sunt reliquiæ cibis ejus, propter hoc non florebunt ejus bona.

22. Et cum putaverit se jam repletum esse, coarctabitur, omnis autem necessitas in eum superveniet.

23. Si quomodo sit implere ventrem suum, immittat in eum furorem iræ, lavet super eum dolores :

24. et non salvetur de manu ferri, vulneret eum sagitta ærea.

25. Pertranseat per corpus ejus jaculum, sidera autem in tabernaculis ejus. Obambulent super eum timores,

26. omnes autem tenebræ ei permaneant. Comedet eum ignis qui non accenditur, lædat autem advena domum ejus,

27. et detegat cœlum iniquitates ejus, terra vero insurgat adversus eum.

28. Trahat domum ejus perditio in finem, dies iræ superveniat ei.

29. Hæc est pars hominis impii a Domino, et possessio bonorum ejus a superintendente.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Ἀκούσατε, ἀκούσατέ μου τῶν λόγων, ἵνα μὴ ᾖ μοι παρ' ὑμῶν αὕτη ἡ παράκλησις.

3. Ἄρατέ με, ἐγὼ δὲ λαλήσω, εἶτ' οὐ καταγελάσετέ μου.

4. Τί γάρ; Μὴ ἀνθρώπου μου ἡ ἔλεγξις; ἢ διὰ τί οὐ θυμωθήσομαι;

5. Εἰςβλέψαντες εἰς ἐμὲ θαυμάσετε, χεῖρα θέντες ἐπὶ σιαγόνι.

6. Ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα· ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι.

7. Διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ;

8. Ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς.

9. Οἱ οἶκοι αὐτῶν εὐθηνοῦσι, φόβος δὲ οὐδαμοῦ, μάστιξ δὲ παρὰ Κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς.

10. Ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησε, διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα καὶ οὐκ ἔσφαλε.

11. Μένουσι δὲ ὡς πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προςπαίζουσιν,

CAPUT XXI.

1. Respondens autem Job, ait :

2. Audite, audite sermones meos, ut non sit mihi a vobis hæc consolatio.

3. Sustinete me, ego autem loquar, deinde non irridebitis me.

4. Quid enim? Numquid hominis est castigatio mea? aut quare non irascar?

5. Inspicientes in me admirabimini, manum ponentes super maxillam.

6. Si etenim recordatus fuero, sollicitus fui : et tenentur carnes meæ doloribus.

7. Quare impii vivunt, senuerunt autem et in divitiis?

8. Semen eorum secundum animam, et filii eorum in oculis.

9. Domus eorum abundant, timor autem nusquam, et flagellum a Domino non est super eos.

10. Bos eorum non fœtum immaturum peperit, salva vero evasit eorum prægnans et non frustrata est.

11. Et permanent sicut oves æternæ, et parvuli eorum ludunt,

12. ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν, καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ.

13. Συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν, ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν.

14. Λέγει δὲ Κυρίῳ· Ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι.

15. Τί Ἱκανὸς, ὅτι δουλεύσομεν αὐτῷ; καὶ τίς ὠφέλεια, ὅτι ἀπαντήσομεν αὐτῷ;

16. Ἐν χερσὶ γὰρ ἦν αὐτῶν τὰ ἀγαθὰ, ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ.

17. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν λύχνος σβεσθήσεται, ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφὴ, ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς.

18. Ἔσονται δὲ ὥςπερ ἄχυρα ὑπ' ἀνέμου, ἢ ὥςπερ κονιορτὸς ὃν ὑφείλετο λαῖλαψ.

19. Ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ, ἀνταποδώσει πρὸς αὐτὸν καὶ γνώσεται.

20. Ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγὴν, ἀπὸ δὲ Κυρίου μὴ διασωθείη.

21. Ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν.

22. Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; Αὐτὸς δὲ φόνους διακρίνει.

23. Οὗτος ἀποθανεῖται ἐν κράτει ἁπλοσύνης αὐτοῦ, ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν.

24. Τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος, μυελὸς δὲ αὐτοῦ διαχεῖται.

25. Ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς, οὐ φαγὼν οὐδὲν ἀγαθόν.

26. Ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται, σαπρία δὲ αὐτοὺς ἐκάλυψεν.

27. Ὥςτε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ μοι.

28. Ὥςτε ἐρεῖτε· Ποῦ ἐστιν οἶκος ἄρχοντος, καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν;

29. Ἐρωτήσατε παραπορευομένους ὁδὸν, καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε.

30. Ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρὸς, εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται.

31. Τίς ἀπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ, καὶ ἃ αὐτὸς ἐποίησε; Τίς ἀνταπωδώσει αὐτῷ;

32. Καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη, καὶ αὐτὸς ἐπὶ σωρῶν ἠγρύπνησεν.

33. Ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάῤῥου, καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται, καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι.

34. Πῶς δὲ παρακαλεῖτέ με κενά; Τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

1. Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει·

2. Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην;

3. Τί γὰρ μέλει τῷ Κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος, ἢ ὠφέλεια ὅτι ἁπλώσῃς τὴν ὁδόν σου;

4. Ἦ λόγον σου ποιούμενος ἐλέγξεις, καὶ συνειςελεύσεταί σοι εἰς κρίσιν;

5. Πότερον οὐχ ἡ κακία σου ἐστὶ πολλὴ, ἀναρίθμητοι δέ σου εἰσὶν αἱ ἁμαρτίαι;

6. Ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διακενῆς, ἀμφίασιν δὲ γυμνῶν ἀφείλου.

12. sumentes psalterium et citharam, et lætantur voce psalmi.

13. Consummaverunt autem in bonis vitam suam, et in requie inferni dormierunt.

14. Dicit autem Domino : Recede a me, vias tuas scire nolo.

15. Quid est Omnipotens, quia serviemus ei? et quæ utilitas, quoniam obviam ibimus ei?

16. Erant enim in manibus eorum bona, opera autem impiorum non inspicit.

17. Immo vero et impiorum lucerna exstinguetur, et superveniet eis subversio, dolores autem habebunt eos ab ira.

18. Erunt autem tamquam paleæ sub vento, aut tamquam pulvis quem abstulit turbo.

19. Deficiant filios bona ejus, retribuet ad eum et cognoscet.

20. Videant oculi ejus necem suam, et a Domino non salvetur.

21. Quia voluntas ejus in domo ejus cum eo, et numeri mensium ejus divisi sunt.

22. Numquid non Dominus est qui docet intellectum et scientiam? Ipse autem homicidia dijudicat.

23. Hic morietur in robore simplicitatis suæ, totus autem bene affectus et prospere agens.

24. Et intestina ejus plena sunt adipe, medulla autem ejus diffunditur.

25. Ille vero moritur ab amaritudine animæ suæ, cum non comederit ullum bonum.

26. Simul autem super terram dormiunt, putredo autem eos operuit.

27. Itaque scio vos audacter mihi insistere.

28. Quia dicetis : Ubi est domus principis, et ubi est velamen in tabernaculis impiorum?

29. Interrogate eos qui transeunt per viam, et signa eorum non alienabitis.

30. Quoniam in diem perditionis sublimatur malignus, in diem iræ ejus abducentur.

31. Quis annuntiabit in faciem ejus viam ejus, et quæ ipse fecit? Quis retribuet ei?

32. Et ipse in sepulcra deductus est, et ipse super acervos vigilavit.

33. Dulces fuerunt ei lapides torrentis, et post eum omnis homo abibit, et ante eum innumerabiles.

34. Quomodo autem consolamini me inaniter? Et ut ego ex vobis requiescam nihil est.

CAPUT XXII.

1. Respondens autem Eliphaz Thæmanites, ait :

2. Nonne Dominus est qui docet intellectum et scientiam?

3. Quid enim curæ est Domino, si tu fuisti operibus sine crimine, aut utilitas quod simplicem facies viam tuam?

4. Aut rationem tui habens argues, et veniet tecum in judicium?

5. Nonne malitia tua est multa, et innumerabilia tua sunt peccata?

6. In pignus autem accepisti fratres tuos in vanum, et amictum nudorum abstulisti.

7. Οὐδὲ ὕδωρ διψῶντας ἐπότισας, ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν.
8. Ἐθαύμασας δέ τινων πρόσωπον, ᾤκισας δὲ τοὺς ἐπὶ τῆς γῆς.
9. Χήρας δὲ ἐξαπέστειλας κενάς, ὀρφανοὺς δὲ ἐκάκωσας.
10. Τοιγαροῦν ἐκύκλωσάν σε παγίδες, καὶ ἐσπούδασέ σε πόλεμος ἐξαίσιος.
11. Τὸ φῶς σοι εἰς σκότος ἀπέβη, κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψε.
12. Μὴ οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ, τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσε;
13. Καὶ εἶπας· Τί ἔγνω ὁ Ἰσχυρὸς, ἢ κατὰ τοῦ γνόφου κρίνει;
14. Νεφέλη ἀποκρυφὴ αὐτοῦ καὶ οὐχ ὁραθήσεται, καὶ γῦρον οὐρανοῦ διαπορεύεται.
15. Μὴ τρίβον αἰώνιον φυλάξεις, ἣν ἐπάτησαν ἄνδρες δίκαιοι,
16. οἳ συνελήφθησαν ἄωροι; Ποταμὸς ἐπιῤῥέων οἱ θεμέλιοι αὐτῶν.
17. Οἱ λέγοντες· Κύριος τί ποιήσει ἡμῖν; ἢ τί ἐπάξεται ἡμῖν ὁ Παντοκράτωρ;
18. Ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν ἀγαθῶν, βουλὴ δὲ ἀσεβῶν πόῤῥω ἀπ' αὐτοῦ.
19. Ἰδόντες δίκαιοι ἐγέλασαν, ἄμεμπτος δὲ ἐμυκτήρισεν.
20. Εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν, καὶ τὸ κατάλειμμα αὐτῶν καταφάγεται πῦρ.
21. Γενοῦ δὴ σκληρός· ἐὰν ὑπομείνῃς, εἶτα ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς.
22. Ἔκλαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν, καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου.
23. Ἐὰν δὲ ἐπιστραφῇς καὶ ταπεινώσῃς σεαυτὸν ἔναντι Κυρίου, πόῤῥω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον.
24. Θήσῃ ἐπὶ χώματι ἐν πέτρᾳ, καὶ ὡς πέτρα χειμάῤῥου Σωφίρ.
25. Ἔσται οὖν σου ὁ Παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν, καθαρὸν δὲ ἀποδώσει σε ὥσπερ ἀργύριον πεπυρωμένον.
26. Εἶτα παῤῥησιασθήσῃ ἐναντίον Κυρίου, ἀναβλέψας εἰς τὸν οὐρανὸν ἱλαρῶς.
27. Εὐξαμένου δέ σου πρὸς αὐτὸν, εἰσακούσεταί σου, δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχάς.
28. Ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης, ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος.
29. Ὅτι ἐταπείνωσας σεαυτὸν, καὶ ἐρεῖς· Ὑπερηφανεύσατο, καὶ κύφοντα ὀφθαλμοῖς σώσει.
30. Ῥύσεται ἀθῷον, καὶ διασώθητι ἐν καθαραῖς χερσί σου.

7. Neque aqua sitientes potasti, sed esurientium subtraxisti panem.
8. Et admiratus es quorumdam personam, habitare autem fecisti eos qui super terram.
9. Et viduas dimisisti inanes, et pupillos afflixisti.
10. Igitur circumdederunt te laquei, et sollicitavit te bellum insigne.
11. Lumen tibi in tenebras conversum est, et dormientem te aqua operuit.
12. Nonne is qui excelsa habitat aspicit, eos autem qui contumelia afficiuntur humiliavit?
13. Et dixisti : Quid novit Fortis, an per caliginem dijudicat?
14. Nubes latibulum ejus et non videbitur, et ambitum cœli perambulat.
15. Numquid semitam sæculi observabas, quam calcaverunt viri justi,
16 qui capti sunt immaturi? Flumen decurrens fundamenta eorum.
17. Qui dicunt : Dominus quid faciet nobis? aut quid inducet nobis Omnipotens?
18. Ille vero implevit domos eorum bonis, consilium vero impiorum longe est ab eo.
19. Videntes justi riserunt, et inculpabilis subsannavit.
20. Si non deleta est substantia eorum, et reliquias eorum comedet ignis.
21. Esto utique durus : si sustinueris, deinde fructus tuus erit in bonis.
22. Excipe autem ex ore illius enuntiationem, et assume verba ejus in corde tuo.
23. Sin autem conversus fueris et humiliaveris teipsum coram Domino, procul fecisti iniquitatem a tabernaculo tuo.
24. Poneris super aggerem in petra, et tamquam petra torrentis Sophir.
25. Erit igitur tuus Omnipotens adjutor ab inimicis, et purum reddet te tamquam argentum examinatum igni.
26. Deinde fiducialiter ages coram Domino, inspiciens cœlum hilariter.
27. Et cum deprecatus fueris ad eum, exaudiet te, et dabit tibi reddere vota.
28. Et restituet tibi tabernaculum justitiæ, et super vias tuas erit lumen.
29. Quoniam humiliasti teipsum, et dices : Elatus est in superbiam, et demissum oculis salvabit.
30. Eruet innocentem, et salvaberis munditia manuum tuarum.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·
2. Καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς ἐστι, καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐμῷ στεναγμῷ.
3. Τίς δ' ἄρα γνοίη ὅτι εὕροιμι αὐτὸν, καὶ ἔλθοιμι εἰς τέλος;
4. Εἴποιμι δὲ ἐμαυτοῦ κρίμα, τὸ δὲ στόμα μου ἐμπλῆσαι ἐλέγχων.

CAPUT XXIII.

1. Respondens autem Job, ait :
2. Et quidem scio quia de manu mea est increpatio, et manus ejus gravis facta est super gemitum meum.
3. Quis igitur noverit quod inveniam eum, et dicam in finem?
4. Et dicam meum ipsius judicium, os autem meum replere increpationibus.

5. Γνοίην δὲ ἰάματα ἅ μοι ἐρεῖ, αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ.

6. Καὶ ἐν πολλῇ ἰσχύϊ ἐπελεύσεταί μοι, εἶτα ἐν ἀπειλῇ μοι οὐ χρήσεται.

7. Ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ' αὐτοῦ, ἐξαγάγοι δὲ εἰς τέλος τὸ κρίμα μου.

8. Εἰ γὰρ πρῶτος πορεύσομαι, καὶ οὐκ ἔτι εἰμί· τὰ δὲ ἐπ' ἐσχάτοις, τί οἶδα;

9. Ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον· περιβαλεῖ δεξιὰ καὶ οὐκ ὄψομαι.

10. Οἶδε γὰρ ἤδη ὁδόν μου, διέκρινε δέ με ὥςπερ τὸ χρυσίον.

11. Ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ, ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα καὶ οὐ μὴ ἐκκλίνω

12. ἀπὸ ἐνταλμάτων αὐτοῦ, καὶ οὐ μὴ παρέλθω· ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ.

13. Εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτω, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ; Ὃ γὰρ αὐτὸς ἠθέλησε καὶ ἐποίησε.

14. Διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα· νουθετούμενος δὲ ἐφρόντισα αὐτοῦ.

15. Ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ· κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ.

16. Κύριος δὲ ἐμαλάκυνε τὴν καρδίαν μου· ὁ δὲ Παντοκράτωρ ἐσπούδασέν με.

17. Οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος, πρὸ προσώπου δέ μου ἐκάλυψε γνόφος.

5. Et cognoscam sanationes quas loquetur mihi, sentiam vero quæ annuntiabit mihi.

6. Et in multa virtute superveniet mihi, deinde in minis me non utetur.

7. Veritas enim et increpatio est ab eo, educat autem in finem judicium meum.

8. Nam si primus ambulavero, et non ultra sum : quæ autem in novissimis, quid novi?

9. A læva si ipse aget et non apprehendi : circumteget dextra et non videbo.

10. Scit enim jam viam meam, probavit autem me sicut aurum.

11. Egrediar autem in præceptis ejus, vias enim ejus custodivi et non declino

12. a præceptis ejus, et non prætercam : in sinu autem meo abscondi verba ejus.

13. Si autem et ipse judicavit sic, quis est qui contradicat ei? Ipse enim voluit et fecit.

14. Propterea super ipso trepidavi : et commonitus sollicitus fui de eo.

15. Idcirco a facie ejus turbabor : considerabo, et timebo ab eo.

16. Et Dominus mollivit cor meum : Omnipotens autem sollicitavit me.

17. Non enim noveram quod supervenient mihi tenebræ, ante faciem autem meam operuit caligo.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

1. Διατί δὲ Κύριον ἔλαθον ὧραι,

2. ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον σὺν ποιμένι ἁρπάσαντες;

3. Ὑποζύγιον ὀρφανῶν ἀπήγαγον, καὶ βοῦν χήρας ἠνεχύρασαν.

4. Ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας, ὁμοθυμαδὸν δὲ ἐκρύβησαν πραεῖς γῆς.

5. Ἀπέβησαν δὲ ὥςπερ ὄνοι ἐν ἀγρῷ, ὑπὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν τάξιν· ἡδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους.

6. Ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν. Ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ εἰργάσαντο.

7. Γυμνοὺς πολλοὺς ἐκοίμισαν ἄνευ ἱματίων, ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο.

8. Ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται· παρὰ τὸ μὴ ἔχειν ἑαυτοὺς σκέπην, πέτραν περιεβάλοντο.

9. Ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ, ἐκπεπτωκότα δὲ ἐταπείνωσαν.

10. Γυμνοὺς δὲ ἐκοίμισαν ἀδίκως, πεινώντων δὲ τὸν ψωμὸν ἀφείλαντο.

11. Ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν, ὁδὸν δὲ δικαίαν οὐκ ᾔδεισαν.

12. Οἳ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλοντο, ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα.

13. Αὐτὸς δὲ διατί τούτων ἐπισκοπὴν οὐ πεποίηται; ἐπὶ γῆς ὄντων αὐτῶν καὶ οὐκ ἐπέγνωσαν, ὁδὸν δὲ δικαιοσύνης οὐκ ᾔδεισαν, οὐδὲ ἀτραποὺς αὐτῶν ἐπορεύθησαν

14. Γνοὺς δὲ αὐτῶν τὰ ἔργα, παρέδωκεν αὐτοὺς εἰς σκότος, καὶ νυκτὸς ἔσται ὡς κλέπτης.

CAPUT XXIV.

1. Quare autem Dominum latuerunt horæ,

2. et impii terminum transgressi sunt, gregem cum pastore rapientes?

3. Subjugale pupillorum adduxerunt, et bovem viduæ pro pignore tulerunt.

4. Divertere fecerunt impotentes a via justa, et simul absconditi sunt mites terræ.

5. Et evaserunt tamquam asini in agro, super me egressi suum ipsorum ordinem : suavis factus est ei panis in adolescentes.

6. Agrum ante tempus non suum demessuerunt. Impotentes vineas impiorum sine mercede et sine cibo operati sunt.

7. Nudos multos dormire fecerunt sine vestimentis, indumentum vero animæ eorum abstulerunt.

8. De stillicidiis montium madescunt : eo quod ipsi non habeant operimentum, petram sibi circumdederunt.

9. Rapuerunt ab ubere pupillum, eum vero qui ceciderat humiliaverunt.

10. Et nudos dormire fecerunt injuste, esurientium autem buccellam abstulerunt.

11. In angustiis insidiati sunt inique, et viam justam non noverunt.

12. Hi de civitate domibus propriis ejiciebantur, anima vero parvulorum in gemitu valde fuit.

13. Ipse autem cur horum visitationem non fecit? cum super terram ipsi essent et non agnoverunt, et viam justitiæ non noverunt, neque semitas eorum ambulaverunt.

14. At qui novit eorum opera, tradidit eos in tenebras, et noctu erit ut fur.

15. Καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξε σκότος, λέγων· Οὐ προνοήσει με ὀφθαλμὸς, καὶ ἀποκρυβὴν προςώπου ἔθετο.

16. Διώρυξεν ἐν σκότει οἰκίας, ἡμέρας ἐσφράγισαν ἑαυτοὺς, οὐκ ἐπέγνωσαν φῶς.

17. Ὅτι ὁμοθυμαδὸν αὐτοῖς τὸ πρωῒ σκιὰ θανάτου, ὅτι ἐπιγνώσεται τάραχος σκιᾶς θανάτου.

18. Ἐλαφρός ἐστιν ἐπὶ πρόςωπον ὕδατος, καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς, ἀναφανείη δὲ τὰ φυτὰ αὐτῶν

19. ἐπὶ γῆς ξηρά· ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν.

20. Εἶτ' ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία· ὥςπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς ἐγένετο. Ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν, συντριβείη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ.

21. Στεῖραν δὲ οὐκ εὖ ἐποίησε, καὶ γύναιον οὐκ ἠλέησε,

22. θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους· ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς.

23. Μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ.

24. Πολλοὺς γὰρ ἐκάκωσε τὸ ὕψωμα αὐτοῦ, ἐμαράνθη δὲ ὥςπερ μολόχη ἐν καύματι, ἢ ὥςπερ στάχυς ἀπὸ καλάμης αὐτόματος ἀποπεσών.

25. Εἰ δὲ μὴ, τίς ἐστιν ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματα μου;

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

1. Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει·

2. Τί γὰρ προοίμιον ἢ φόβος παρ' αὐτοῦ ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ;

3. Μὴ γάρ τις ὑπολάβοι ὅτι ἐστὶ παρέλκυσις πειραταῖς, ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ;

4. Πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι Κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι αὑτὸν γεννητὸς γυναικός;

5. Εἰ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσκει, ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ;

6. Ἔα δὲ, ἄνθρωπος σαπρία, καὶ υἱὸς ἀνθρώπου σκώληξ.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει·

2. Τίνι πρόςκεισαι, ἢ τίνι μέλλεις βοηθεῖν; Πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς, καὶ ᾧ βραχίων κραταιός ἐστι;

3. Τίνι συμβεβούλευσαι; οὐχ ᾧ πᾶσα σοφία; Τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις;

4. Τίνι ἀνήγγειλας ῥήματα; Πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ;

5. Μὴ γίγαντες μαιωθήσονται ὑποκάτωθεν ὕδατος, καὶ τῶν γειτόνων αὐτοῦ;

6. Γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ.

7. Ἐκτείνων βορέαν ἐπ' οὐδὲν, κρεμάζων γῆν ἐπὶ οὐδενός·

8. δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ, καὶ οὐκ ἐῤῥάγη νέφος ὑποκάτω αὐτοῦ.

9. Ὁ κρατῶν πρόςωπον θρόνου, ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ.

10. Πρόςταγμα ἐγύρωσεν ἐπὶ πρόςωπον ὕδατος, μέχρι συντελείας φωτὸς μετὰ σκότους.

15. Et oculus adulteri observavit tenebras, dicens : Non considerabit me oculus, et operimentum faciei posuit.

16. Suffodit in tenebris domos, per diem obsignaverunt seipsos, non cognoverunt lucem.

17. Quia simul eis mane umbra mortis, quia cognoscet tumultum umbræ mortis.

18. Levis est super faciem aquæ, maledicatur pars eorum super terram, et appareant plantæ eorum

19. super terram aridæ : fasciculum enim pupillorum rapuerunt.

20. Deinde rememoratum est peccatum ejus, et sicut nebula roris factus est non apparens. Retribuantur autem ei quæ fecit, et conteratur sicut lignum insanabile omnis iniquus.

21. Sterili enim non fecit bene, et mulieris misertus non est,

22. furore autem evertit impotentes : consurgens ergo non credat contra vitam suam.

23. Cum infirmari cœperit non speret sanitatem, sed cadet morbo.

24. Multis enim nocuit altitudo ejus, emarcuit autem sicut malva in æstu, aut sicut de stipula spica decidens sponte sua.

25. Alioquin, quis est qui loquatur mendacium me dicere, et ponet nihilum verba mea?

CAPUT XXV.

1. Respondens autem Baldad Sauchites, ait :

2. Quid enim exordium quam timor ab eo qui facit universitatem in altissimo?

3. Nemo enim putet esse moram piratis, in quos autem non venient insidiæ ab eo?

4. Quomodo enim erit homo justus coram Deo? vel quisnam mundaverit se natus ex muliere?

5. Si lunæ præcipit, et non lucet, nec stellæ sunt mundæ apud eum?

6. Sine vero, homo putredo, et filius hominis vermis.

CAPUT XXVI.

1. Respondens autem Job, ait :

2. Cui ades, vel quem adjuturus es? Numquid non cui multa est fortitudo, et cui brachium potens est?

3. Cui consilium dedisti? nonne cui omnis sapientia? Quem insequeris? nonne cui maxima est virtus?

4. Cui annuntiasti verba? Spiramen autem cujus est quod exit ex te?

5. Numquid gigantes formabuntur subter aquam, et vicinos ejus?

6. Nudus est infernus coram eo, et non est velamen perditioni.

7. Extendens aquilonem super nihilum, suspendens terram super nihilum :

8. ligans aquam in nubibus ejus, et non est scissa nubes sub eo.

9. Qui tenet faciem throni, extendens super eum nubem suam.

10. Præceptum circumdedit super faciem aquæ, usque ad consummationem lucis cum tenebris.

11. Στῦλοι οὐρανοῦ ἐπετάσθησαν, καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ.
12. Ἰσχύϊ κατέπαυσε τὴν θάλασσαν, ἐπιστήμῃ δὲ ἔστρωται τὸ κῆτος.
13. Κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν· προστάγματι δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην.
14. Ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ· σθένος δὲ βροντῆς αὐτοῦ τίς οἶδεν ὁπότε ποιήσει;

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

1. Ἔτι δὲ προσθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ·
2. Ζῇ ὁ Θεὸς, ὃς οὕτω με κέκρικε, καὶ ὁ Παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν·
3. εἰ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥινὶ,
4. μὴ λαλήσειν τὰ χείλη μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.
5. Μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω, οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν μου.
6. Δικαιοσύνῃ δὲ προσέχων οὐ μὴν προῶμαι, οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας.
7. Οὐ μὴν δὲ, ἀλλὰ εἴησαν οἱ ἐχθροί μου ὥςπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι ὥςπερ ἡ ἀπώλεια τῶν παρανόμων.
8. Καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ, ὅτι ἐπέχει; Πεποιθὼς ἐπὶ Κύριον ἆρα σωθήσεται,
9. ἢ τὴν δέησιν αὐτοῦ εἰςακούσεται ὁ Θεός; Ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης,
10. μὴ ἔχει τινὰ παῤῥησίαν ἔναντι αὐτοῦ, ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰςακούσεται αὐτοῦ;
11. Ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ Κυρίου, ἅ ἐστι παρὰ Παντοκράτορι, οὐ ψεύσομαι.
12. Ἰδοὺ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε.
13. Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ Παντοκράτορος ἐπ' αὐτούς.
14. Ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται· ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προςαιτήσουσιν.
15. Οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χήρας δὲ αὐτῶν οὐδεὶς ἐλεήσει.
16. Ἐὰν συναγάγῃ ὥςπερ γῆν ἀργύριον, ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον,
17. ταῦτα πάντα δίκαιοι περιποιήσονται, τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν.
18. Ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥςπερ σῆτες, καὶ ὥςπερ ἀράχνη.
19. Πλούσιος κοιμηθήσεται καὶ οὐ προσθήσει, ὀφθαλμοὺς αὐτοῦ διήνοιξε, καὶ οὐκ ἔστι.
20. Συνήντησαν αὐτῷ ὥςπερ ὕδωρ αἱ ὀδύναι, νυκτὶ δὲ ὑφείλετο αὐτὸν γνόφος.
21. Ἀναλήψεται δὲ αὐτὸν καύσων καὶ ἀπελεύσεται, καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.
22. Καὶ ἐπιῤῥίψει ἐπ' αὐτὸν καὶ οὐ φείσεται, ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται.
23. Κροτήσει ἐπ' αὐτοὺς χεῖρας αὐτῶν, καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

11. Columnæ cœli expansæ sunt, et obstupuerunt ab increpatione ejus.
12. Virtute sedavit mare, et scientia stratus est cetus.
13. Et claustra cœli metuunt eum : præcepto autem peremit draconem desertorem.
14. Ecce hæ partes viæ ejus, et super stillam verbi audiemus in eo : virtutem autem tonitrui ejus quis scivit quando faciet?

CAPUT XXVII.

1. Adhuc autem adjiciens Job dixit prooemio :
2. Vivit Deus, qui sic me judicavit, et Omnipotens qu affecit amaritudine animam meam :
3. siquidem adhuc halitu meo immanente, et spiritus divinus qui circa me est in naribus,
4. labia mea non loquentur iniqua, neque anima mea meditabitur injusta.
5. Absit a me justos vos pronuntiare donec moriar, non enim separabo a me innocentiam meam.
6. Justitiæ autem inhærens non deseram, nec enim conscius sum mihi commisisse absurda.
7. Verumtamen sint inimici mei sicut eversio impiorum, et qui super me insurgunt sicut perditio iniquorum.
8. Etenim quæ spes est impio, quia expectat? Confidensne super Dominum salvabitur,
9. aut deprecationem illius exaudiet Deus? Aut si evenerit ei necessitas,
10. habetne fiduciam coram eo, aut tamquam si invocaverit eum exaudiet eum?
11. Quapropter annuntiabo vobis quid sit in manu Domini, quæ sint apud Omnipotentem, non mentiar.
12. Ecce omnes nostis quia vana vanis adjicitis.
13. Hæc est pars hominis impii a Domino, possessio vero potentium veniet ab Omnipotente super eos.
14. Quod si multi fuerint filii eorum, in occisionem erunt : si autem et viri facti fuerint, mendicabunt.
15. Et qui circa eum sunt in morte morientur, et viduis eorum nemo miserebitur.
16. Si collegerit ut terram argentum, et æque ac lutum paraverit aurum,
17. hæc omnia justi vindicabunt, et pecunias ejus veraces obtinebunt.
18. Evadet autem domus ejus sicut tineæ, et sicut aranea.
19. Dives dormiet et non adjiciet, oculos suos aperuit, et non est.
20. Occurrerunt ei sicut aqua dolores, nocte autem sustulit eum caligo.
21. Tollet autem eum æstus et abibit, et ventilabit eum de loco suo.
22. Et projiciet super eum et non parcet, de manu ejus fuga fugiet.
23. Plaudet super eos manibus suis, et exsibilabit eum de loco suo.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

1. Ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται, τόπος δὲ χρυσίου ὅθεν διηθεῖται.
2. Σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται.
3. Τάξιν ἔθετο σκότει, καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται, λίθος σκοτία καὶ σκιὰ θανάτου.
4. Διακοπὴ χειμάῤῥου ἀπὸ κονίας, οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν, ἐκ βροτῶν ἐσαλεύθησαν.
5. Γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος, ὑποκάτω αὐτῆς ἐστράφη ὡςεὶ πῦρ.
6. Τόπος σαπφείρου οἱ λίθοι αὐτῆς, καὶ χῶμα χρυσίον αὐτῷ.
7. Τρίβος, οὐκ ἔγνω αὐτὴν πετεινὸν, καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπός·
8. καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων.
9. Ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ, κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη.
10. Δίνας δὲ ποταμῶν διέῤῥηξε, πᾶν δὲ ἔντιμον εἶδέ μου ὁ ὀφθαλμός.
11. Βάθη δὲ ποταμῶν ἀνεκάλυψεν, ἔδειξε δὲ αὐτοῦ δύναμιν εἰς φῶς.
12. Ἡ δὲ σοφία πόθεν εὑρέθη, ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης;
13. Οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς, οὐδὲ μὴν εὑρέθη ἐν ἀνθρώποις.
14. Ἄβυσσος εἶπεν· Οὐκ ἔνεστιν ἐν ἐμοί· καὶ ἡ θάλασσα εἶπεν· Οὐκ ἔνεστι μετ' ἐμοῦ.
15. Οὐ δώσει συγκλεισμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς.
16. Καὶ οὐ συμβασταχθήσεται χρυσίῳ Σωφὶρ, ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ.
17. Οὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος, καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ.
18. Μετέωρα καὶ Γαβὶς οὐ μνησθήσεται, καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα.
19. Οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας, χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται.
20. Ἡ δὲ σοφία πόθεν εὑρέθη, ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως;
21. Λέληθε πάντα ἄνθρωπον, καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη.
22. Ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν· Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.
23. Ὁ Θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδὸν, αὐτὸς δὲ οἶδε τὸν τόπον αὐτῆς.
24. Αὐτὸς γὰρ τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰδὼς πάντα τὰ ἐν τῇ γῇ,
25. ἃ ἐποίησεν, ἀνέμων σταθμὸν, ὕδατος μέτρα
26. ὅτε ἐποίησεν. Οὕτως ἰδὼν ἠρίθμησε, καὶ ὁδὸν ἐν τινάγματι φωνάς.
27. Τότε εἶδεν αὐτὴν, καὶ ἐξηγήσατο αὐτὴν, ἑτοιμάσας ἐξιχνίασεν.
28. Εἶπε δὲ ἀνθρώπῳ· Ἰδοὺ ἡ θεοσέβεια ἐστὶ σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν ἐπιστήμη.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

1. Ἔτι δὲ προςθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ·

CAPUT XXVIII.

1. Est enim argento locus unde fit, locus autem auro unde percolatur.
2. Etenim ferrum quidem de terra fit, æs autem similiter ut lapis cæditur.
3. Ordinem posuit tenebris, et omnem finem ipse perscrutatur, lapis tenebræ et umbra mortis.
4. Decisio torrentis a pulvere, et qui obliviscuntur viam justam infirmati sunt, ex hominibus commoti sunt.
5. Terra, ex ea egredietur panis, de subtus ea versatum est sicut ignis.
6. Locus sapphiri lapides ejus, et agger aurum ei.
7. Semita, quam non cognovit avis, nec vidit eam oculus vulturis:
8. et non calcaverunt eum filii superborum, non transiit super eam leo.
9. In durissimo lapide extendit manum suam, et evertit a radicibus montes.
10. Et gurgites fluminum dirupit, omne vero pretiosum vidit oculus meus.
11. Et altitudines fluminum revelavit, et ostendit virtutem suam in lumine.
12. Sapientia autem unde inventa est, et qualis locus est scientiæ?
13. Non novit homo viam ejus, neque inventa est in hominibus.
14. Abyssus dixit: Non est in me: et mare dixit: Non est mecum.
15. Non dabit conclusuram pro ea, et non pendetur argentum commutatio ejus.
16. Et non conferetur auro Sophir, in onyche pretioso et saphiro.
17. Non æquabitur ei aurum et vitrum, et commutatio ejus vasa aurea.
18. Sublimia et Gabis non erunt in memoria, et attrahe sapientiam super intima.
19. Non æquabitur ei topazium Æthiopiæ, auro puro non conferetur.
20. Sapientia autem unde inventa est, et qualis locus est intelligentiæ?
21. Latuit omnem hominem, et a volucribus cœli abscondita est.
22. Perditio et mors dixerunt: Audivimus vero ejus gloriam.
23. Dominus bene cognovit viam ejus, et ipse novit locum ejus.
24. Ipse enim omne quod est sub cœlo perspicit, nota habens omnia quæ in terra omnia,
25. quæ fecit, ventorum libramentum, aquarum mensuras
26. quando fecit. Sic videns numeravit, et viam in concussione voces.
27. Tunc vidit eam, et exposuit eam, cum parasset investigavit.
28. Dixit autem homini: Ecce cultus Dei est sapientia, et abstinere a malis est scientia.

CAPUT XXIX.

1. Adhuc autem adjiciens Job dixit prooemio:

2. Τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν ὧν με ὁ Θεὸς ἐφύλαξεν;

3. Ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου, ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει·

4. ὅτε ἤμην ἐπιβρίθων ὁδοὺς, ὅτε ὁ Θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου·

5. ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες·

6. ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ, τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι·

7. ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος.

8. Ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται δὲ πάντες ἔστησαν.

9. Ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στόματι.

10. Οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη.

11. Ὅτι οὖς ἤκουσε καὶ ἐμακάρισέ με, ὀφθαλμὸς δὲ ἰδών με ἐξέκλινε.

12. Διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ ᾧ οὐκ ἦν βοηθὸς ἐβοήθησα.

13. Εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι, στόμα δὲ χήρας με εὐλόγησε.

14. Δικαιοσύνην δὲ ἐνδεδύκειν, ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι.

15. Ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν.

16. Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων, δίκην δὲ ἣν οὐκ ᾔδειν ἐξιχνίασα.

17. Συνέτριψα δὲ μύλας ἀδίκων, ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξήρπασα.

18. Εἶπα δέ· Ἡ ἡλικία μου γηράσει ὥσπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω.

19. Ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου.

20. Ἡ δόξα μου κενὴ μετ' ἐμοῦ, καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται.

21. Ἐμοῦ ἀκούσαντες προσέσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ.

22. Ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο, περιχαρεῖς ὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλουν.

23. Ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετὸν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν.

24. Ἐὰν γελάσω πρὸς αὐτοὺς, οὐ μὴ πιστεύσωσι, καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν.

25. Ἐξελεξάμην ὁδὸν αὐτῶν, καὶ ἐκάθισα ἄρχων, καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις, ὃν τρόπον παθεινοὺς παρακαλῶν.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

1. Νυνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι, νῦν νουθετοῦσί με ἐν μέρει, ὧν ἐξουδένουν τοὺς πατέρας αὐτῶν, οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων.

2. Καί γε ἰσχὺς χειρῶν αὐτῶν ἱνατί μοι; Ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια.

3. Ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος, οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν·

4. οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι, οἵτινες ἅλιμα ἦν αὐτῶν τὰ σῖτα, ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ῥίζας ξύλων ἐμασσῶντο ὑπὸ λιμοῦ μεγάλου,

2. Quis utique me ponat juxta mensem priorum dierum, quibus me Deus custodiebat?

3. Sicut cum lucebat lucerna ejus super caput meum, cum lumine ejus ambulabam in tenebris :

4. cum eram gravescens viis, cum Deus visitationem faciebat domus meæ :

5. cum eram materiatus nimis, et in circuitu meo pueri :

6. cum fluebant viæ meæ butyro, et montes mei fluebant lacte :

7. cum exibam matutinus in civitate, et in plateis ponebatur mihi sella.

8. Videntes me adolescentes abscondebantur, senes autem omnes steterunt.

9. Et potentes cessaverunt loqui, digitum imponentes super os.

10. Qui autem audiverunt beatificabant me, et lingua eorum gutturi eorum adhæsit.

11. Quia auris audivit et beatificavit me, et oculus videns me declinavit.

12. Salvavi enim mendicum de manu potentis, et pupillum cui non erat adjutor adjuvi.

13. Benedictio pereuntis super me veniat, et os viduæ benedixit me.

14. Justitiam vero indutus sum, et vestitus sum judicio sicut diploide.

15. Oculus fui cæcorum et pes claudorum.

16. Ego fui pater impotentium, et judicium quod non noveram exquisivi.

17. Confregi autem molas iniquorum, de medio dentium eorum rapinam eripui.

18. Dixi autem : Ætas mea senescet sicut truncus palmæ, multo vivam tempore.

19. Radix aperta est super aquam, et ros morabitur in messe mea.

20. Gloria mea vana mecum, et arcus meus in manu ejus graditur.

21. Qui me audierunt attenderunt, et siluerunt super consilio meo.

22. Et in sermone meo non adjecerunt, sed gavisi sunt cum loquerer eis.

23. Sicut terra sitiens suscipiens pluviam, sic isti meum sermonem.

24. Si riderem ad eos, non credebant, et lumen faciei meæ non decidebat.

25. Elegi viam eorum, et sedi princeps, et habitabam sicut rex in accinctis, quasi si consolans tristes.

CAPUT XXX.

1. Nunc autem deriserunt me minimi, nunc monent me in parte, quorum spernebam parentes eorum, quos non putavi dignos canibus meorum gregum.

2. Et quidem virtus manuum eorum ut quid mihi? Super eos peribat consummatio.

3. In egestate et fame sterilis, qui fugiebant inaquosam heri pressuram et miseriam :

4. qui circuibant alima in resonante, quorum quidem alima erat eorum cibaria, inhonorati autem et abjecti, egentes omni bono, qui et radices lignorum manducabant propter magnam famem,

5. ἐπανέστησάν μοι κλέπται,
6. ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν.
7. Ἀναμέσον εὐήχων βοήσονται, οἳ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο.
8. Ἀφρόνων υἱοὶ καὶ ἀτίμων ὄνομα καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς.
9. Νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσιν.
10. Ἐβδελύξαντο δέ με ἀποστάντες μακράν, ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφείσαντο πτύελον.
11. Ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέ με, καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλαν.
12. Ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν, πόδα αὐτῶν ἐξέτειναν, καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπωλείας αὐτῶν.
13. Ἐξετρίβησαν τρίβοι μου, ἐξέδυσαν γάρ μου τὴν στολήν. Βέλεσιν αὐτοῦ κατηκόντισέ με.
14. Κέχρηται δέ μοι ὡς βούλεται, ἐν ὀδύναις πέφυρμαι,
15. ἐπιστρέφονταί μου αἱ ὀδύναι, ᾤχετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα, καὶ ὥσπερ νέφος ἡ σωτηρία μου.
16. Καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν.
17. Νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέχυται, τὰ δὲ νεῦρά μου διαλέλυται.
18. Ἐν πολλῇ ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς, ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχε με.
19. Ἥγησαι δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς.
20. Κέκραγα δὲ πρὸς σὲ καὶ οὐκ ἀκούεις μου· ἔστησαν δὲ καὶ κατενόησάν με.
21. Ἐπέβησαν δέ μοι ἀνελεημόνως, χειρὶ κραταιᾷ με ἐμαστίγωσας.
22. Ἔταξας δέ με ἐν ὀδύναις, καὶ ἀπέῤῥιψάς με ἀπὸ σωτηρίας.
23. Οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει, οἰκία γὰρ παντὶ θνητῷ γῆ.
24. Εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο.
25. Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις.
26. Ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς, ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν.
27. Ἡ κοιλία μου ἐξέζεσε καὶ οὐ σιωπήσεται, προέφθασάν με ἡμέραι πτωχείας.
28. Στένων πεπόρευμαι ἄνευ φιμοῦ, ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς.
29. Ἀδελφὸς γέγονα σειρήνων, ἑταῖρος δὲ στρουθῶν.
30. Τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως, τὰ δὲ ὀστᾶ μου ἀπὸ καύματος.
31. Ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα, ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

1. Διαθήκην ἔθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον.
2. Καὶ τί ἐμέρισεν ὁ Θεὸς ἄνωθεν, καὶ κληρονομία Ἱκανοῦ ἐξ ὑψίστων;
3. Οὐαί, ἀπώλεια τῷ ἀδίκῳ καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν.

5. insurrexerunt super me fures,
6. quorum domus erant cavernæ petrarum.
7. Inter medium bene sonantium clamabunt, qui sub sarmentis agrestibus manebant.
8. stultorum filii et ignobilium nomen et gloria exstincta est de terra.
9. Nunc autem cithara eorum ego sum, et me fabulam habent.
10. Et abominati sunt me discedentes procul, nec in faciem meam pepercerunt spuere.
11. Aperiens enim pharetram suam afflixit me, et frenum faciei meæ emiserunt.
12. Super dextra germinis insurrexerunt, pedem suum extenderunt, et straverunt super me semitas perditionis ipsorum.
13. Contritæ sunt semitæ meæ, exuerunt enim me stola. Jaculis suis vulneravit me.
14. Abusus est me sicut vult, doloribus maceratus sum,
15. convertuntur in me dolores, discessit spes mea sicut spiritus, et sicut nubes salus mea.
16. Et nunc super me effundetur anima mea, habent autem me dies dolorum.
17. Nocte vero ossa mea confusa sunt, et nervi mei dissoluti sunt.
18. In multa virtutè apprehendit stolam meam, quasi ora vestimenti mei circumdedit me.
19. Reputasti autem me sicut lutum, in terra et cinere pars mea.
20. Clamavi autem ad te et non audis me: steterunt autem et consideraverunt me.
21. Insultarunt autem mihi immisericorditer, manu potenti me flagellasti.
22. Statuisti autem me in doloribus, et projecisti me a salute.
23. Novi enim quod mors me conteret, domus enim est omni mortali terra.
24. Atque utinam possem mihi ipse manus afferre, aut rogarem alium, et faceret mihi hoc.
25. Ego autem super omni impotente flevi, gemui videns virum in necessitatibus.
26. Ego autem inhærens bonis, ecce occurrerunt mihi magis dies malorum.
27. Venter meus efferbuit et non tacebit, prævenerunt me dies mendicitatis.
28. Gemens ivi sine freno, et steti in cœtu clamans.
29. Frater factus sum syrenum, et socius struthionum.
30. Et cutis mea obtenebrata est valde, et ossa mea ab æstu.
31. Versa est autem in luctum cithara mea, et psalmus meus in fletum mihi.

CAPUT XXXI.

1. Testamentum posui oculis meis, et non intelligam super virgine.
2. Et quid partitus est Deus desuper, et hæreditas Omnipotentis ex altissimis?
3. Væ, perditio injusto et abalienatio facientibus iniquitatem.

4. Οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται;

5. Εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν, εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον·

6. ἔσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ, οἶδε δὲ ὁ Κύριος τὴν ἀκακίαν μου.

7. Εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ, εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου, εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων,

8. σπείραιμι ἄρα καὶ ἄλλοι φάγοισαν, ἄῤῥιζος δὲ γενοίμην ἐπὶ γῆς.

9. Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς,

10. ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ, τὰ δὲ νήπιά μου ταπεινωθείη.

11. Θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος τὸ μιᾶναι ἀνδρὸς γυναῖκα.

12. Πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν, οὗ δ' ἂν ἐπέλθῃ ἐκ ῥιζῶν ἀπώλεσεν.

13. Εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με.

14. Τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιῆται ὁ Κύριος; Ἐὰν δὲ καὶ ἐπισκοπὴν, τίνα ἀπόκρισιν ποιήσομαι;

15. Πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν γαστρὶ, καὶ ἐκεῖνοι γεγόνασι; Γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ.

16. Ἀδύνατοι δὲ χρείαν ἥν ποτε εἶχον οὐκ ἀπέτυχον, χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα.

17. Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα·

18. Ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατὴρ, καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα·

19. εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα αὐτόν·

20. ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με, ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν·

21. εἰ ἐπῆρα ὀρφανῷ χεῖρα, πεποιθὼς ὅτι πολλή μοι βοήθεια περίεστιν·

22. ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδὸς, ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβείη.

23. Φόβος γὰρ Κυρίου συνέσχε με, ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω.

24. Εἰ ἔταξα χρυσίον εἰς χοῦν μου, εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα,

25. εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου, εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου·

26. ἢ οὐχ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα, σελήνην δὲ φθίνουσαν; Οὐ γὰρ ἐπ' αὐτοῖς ἐστι·

27. καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου, εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα·

28. καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη, ὅτι ἐψευσάμην ἐναντίον Κυρίου τοῦ ὑψίστου·

29. Εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου, καὶ εἶπεν ἡ καρδία μου· Εὖγε·

30. ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου, θρυλληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος.

31. Εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; Λίαν μου χρηστοῦ ὄντος·

4. Nonne ipse videbit viam meam, et omnes gressus meos enumerabit?

5. Si vero incessi cum irrisoribus, vel si festinavit ad dolum pes meus :

6. steti enim in statera justa, novit autem Dominus innocentiam meam.

7. Si declinavit pes meus de via, vel si oculo obsecutum est cor meum, vel si manibus meis tetigi dona,

8. seram igitur et alii edant, et sine radice sim super terram.

9. Si secutum est cor meum mulierem viri alterius, aut si obsedi januas ejus,

10. placeat quoque uxor mea alteri, et filii mei humilientur.

11. Furor enim iræ indomitus commaculare viri uxorem.

12. Ignis enim est ardens super omnes partes, quocumque supervenerit a radicibus perdidit.

13. Quod si et despexi judicium famuli mei aut ancillæ, cum ipsi litigarent mecum.

14. Quid enim faciam si inquisitionem mei faciat Dominus? Quod si et visitationem, quod responsum dabo?

15. Nonne sicut ego factus sum in utero, et illi facti sunt? Facti autem sumus in eodem ventre.

16. Impotentes autem quacumque aliquando re opus habebant non sunt frustrati, et viduæ oculum non tabefeci.

17. Quod si et buccellam meam comedi solus, et pupillo non communicavi :

18. Quoniam a juventute mea enutriebam ut pater, et de ventre matris meæ dux eis fui :

19. aut si despexi nudum pereuntem, et non operui eum :

20. et si non benedixerunt me impotentes, et de tonsura agnorum meorum calefacti sunt humeri eorum :

21. si levavi super pupillum manum, confidens quia mihi est adjutorium multum :

22. discedat humerus meus a junctura, et brachium meum a cubito confringatur.

23. Timor enim Domini continuit me, a prehensione ejus non sustinebo.

24. Si posui aurum in congium meum, quod si et in lapide pretioso fidebam,

25. si et lætatus sum cum esset mihi census multus, si et in innumerabilibus posui manum meam :

26. an non videmus solem qui lucebat deficientem, lunam autem decrescentem? Non enim in eis est :

27. et si deceptum est clam cor meum, quod et si osculatus sum manum meam, ponens ad os meum :

28. et hoc igitur mihi iniquitas maxima computetur, quod mentitus sum coram Domino altissimo.

29. Quod si et gavisus sum super ruina inimicorum meorum, et dixit cor meum : Euge :

30. audiat auris mea maledictionem meam, et diffamer a populo meo male affectus.

31. Quod si et sæpe dixerunt ancillæ meæ : Quis utique det nobis ut carnibus ejus satiemur? Cum valde bonus essem :

32. ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο·
33. εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου·
34. οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν· εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ·
35. τίς δῴη ἀκούοντά μου; Χεῖρα δὲ Κυρίου εἰ μὴ ἐδεδοίκειν, συγγραφὴν δὲ ἣν εἶχον κατά τινος,
36. ἐπ' ὤμοις ἂν περιθέμενος στέφανον, ἀνεγίνωσκον,
37. καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐδὲν λαβὼν παρὰ χρεωφειλέτου·
38. εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν, εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν·
39. εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς, εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκλαβὼν ἐλύπησα·
40. ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος. Καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν.

32. et foris non manebat hospes, et ostium meum omni venienti patuit :
33. quod si et cum non sponte peccassem abscondi peccatum meum :
34. non enim expavi turbam multitudinis, ut non enarrarem coram eis : aut si dimisi infirmum sinu vacuo exire januam meam :
35. quis mihi tribuat auditorem? Et manum Domini si non timui, syngrapham vero quam habui contra quempiam,
36. in humeris utique circumponens coronam, legebam,
37. et si non scindens eam reddidi, nihil accipiens a debitore :
38. si super me unquam terra gemuit, aut si sulci ejus ploraverunt simul :
39. aut si et virtutem ejus comedi solus sine pretio, aut si animam domini terræ recipiens contristavi :
40. pro tritico germinet mihi urtica, et pro hordeo spina. Et cessavit Job a verbis.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

1. Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ἰὼβ, ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.
2. Ὠργίσθη δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης ἐκ τῆς συγγενείας Ῥὰμ, τῆς Αὐσίτιδος χώρας· ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον Κυρίου.
3. Καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα Ἰὼβ, καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ.
4. Ἐλιοὺς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν Ἰὼβ, ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις.
5. Καὶ εἶδεν Ἐλιοὺς ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ.
6. Ὑπολαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης, εἶπε· Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι, διὸ ἡσύχασα φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην.
7. Εἶπα δὲ, ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν, ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασι σοφίαν·
8. ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς· πνοὴ δὲ Παντοκράτορός ἐστιν ἡ διδάσκουσα.
9. Οὐχ οἱ πολυχρόνιοί εἰσιν σοφοὶ, οὐδ' οἱ γέροντες οἴδασι κρίμα.
10. Διὸ εἶπα· Ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα.
11. Ἐνωτίζεσθέ μου τὰ ῥήματα· ἐρῶ γὰρ ὑμῶν ἀκουόντων ἄχρις οὗ ἐτάσητε λόγους,
12. καὶ μέχρι ὑμῶν συνήσω, καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων, ἀνταποκρινόμενος ῥήματα αὐτοῦ, ἐξ ὑμῶν·
13. ἵνα μὴ εἴπητε· Εὕρομεν σοφίαν Κυρίῳ προςθέμενοι.
14. Ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα.
15. Ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι, ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους.
16. Ὑπέμεινα, οὐ γὰρ ἐλάλησα, ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν.
17. Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει· Πάλιν λαλήσω,

CAPUT XXXII.

1. Cessaverunt autem et tres amici ejus ultra contradicere Job, erat enim Job justus coram eis.
2. Iratus est autem Elius filius Barachiel Buzites de cognatione Ram, Ausitidis regionis : iratus est autem in Job valde, eo quod pronuntiaverat seipsum justum coram Domino.
3. Et vero adversus tres amicos iratus est valde, eo quod non potuerant respondere opposita ipsi Job, et posuerant ipsum esse impium.
4. Elius autem sustinuerat dare responsionem Job, quoniam seniores eo erant diebus.
5. Et vidit Elius quod non est responsio in ore trium virorum, et indignatus est ira sua.
6. Suscipiens autem Elius filius Barachiel Buzites, dixit : Junior quidem sum tempore, vos autem estis seniores, quare silui timens in vobis annuntiare meam ipsius scientiam.
7. Dixi autem, quod non est tempus quod loquitur, et in multis annis noverunt sapientiam :
8. sed spiritus est in hominibus : spiratio autem Omnipotentis est quæ docet :
9. Non longævi sunt sapientes, neque senes noverunt judicium.
10. Quare dixi : Audite me, et annuntiabo vobis quæ novi.
11. Auribus percipite mea verba : dicam enim vobis audientibus quoadusque exquiratis sermones,
12. et usque ad vos intelligam, et ecce non erat ipsi Job qui argueret, qui vicissim responderet verbis ejus, ex vobis :
13. ut ne dicatis : Invenimus sapientiam Domino adjecti.
14. Homini autem permisistis loqui talia verba.
15. Exterriti sunt, non responderunt ultra, veteres fecerunt ex se sermones.
16. Sustinui, non enim locutus sum, quia steterunt, non responderunt.
17. Suscipiens autem Elius, ait : Rursus loquar,

18. πλήρης γάρ εἰμι ῥημάτων, ὠλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός.

19. Ἡ δὲ γαστήρ μου ὥςπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος, ἢ ὥςπερ φυσητὴρ χαλκέως ἐῤῥηγώς.

20. Λαλήσω, ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη,

21. ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ.

22. Οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπα· εἰ δὲ μὴ, καὶ ἐμὲ σῆτες ἔδονται.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

1. Οὐ μὴν δὲ, ἀλλὰ ἄκουσον, Ἰὼβ, τὰ ῥήματά μου, καὶ λαλιάν ἐνωτίζου μου.

2. Ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου.

3. Καθαρά μου ἡ καρδία ῥήμασιν, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει.

4. Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με.

5. Ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν πρὸς ταῦτα, ὑπόμεινον, στῆθι κατ' ἐμὲ, καὶ ἐγὼ κατὰ σέ.

6. Ἐκ πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγὼ, ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα.

7. Οὐχ ὁ φόβος μου σὲ στροβήσει, οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί.

8. Πλὴν εἶπας ἐν ὠσί μου, φωνὴν ῥημάτων σου ἀκήκοα· διότι λέγεις·

9. Καθαρός εἰμι οὐχ ἁμαρτὼν, ἄμεμπτος εἰμὶ, οὐ γὰρ ἠνόμησα·

10. μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν· ἥγηται δέ με, ὥςπερ ὑπεναντίον.

11. Ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξε δέ μου πάσας τὰς ὁδούς.

12. Πῶς γὰρ λέγεις· Δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ μου; αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.

13. Λέγεις δέ· Διατί τῆς δίκης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα;

14. Ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ Κύριος, ἐν δὲ τῷ δευτέρῳ,

15. ἐνύπνιον ἢ ἐν μελέτῃ νυκτερινῇ, ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους, ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης·

16. τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων, ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν.

17. Ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας, τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐῤῥύσατο.

18. Ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ.

19. Πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης, καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε.

20. Πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προςδέξασθαι, καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει.

21. Ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά.

22. Ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ.

23. Ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν. Ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον, ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν, τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ,

18. plenus enim sum verborum, perdidit enim me spiritus ventris.

19. Venter autem meus sicut uter musto fervens ligatus, aut veluti follis ærarii diruptus.

20. Loquar, ut requiescam aperiens labia,

21. hominem enim non verebor, sed neque erga mortalem confundar.

22. Non enim novi admirari facies: alioquin, et me tineæ edent.

CAPUT XXXIII.

1. Verumtamen audi, Job, verba mea, et auribus percipe locutionem meam.

2. Ecce enim aperui os meum, et locuta est lingua mea.

3. Mundum est cor meum verbis, et intellectus labiorum meorum munda cogitabit.

4. Spiritus divinus est qui me fecit, spiratio autem Omnipotentis est quæ docet me.

5. Si poteris, da mihi responsionem, ad hæc sustine, sta juxta me, et ego juxta te.

6. De luto formatus es tu sicut et ego, ex eodem formati sumus.

7. Non timor meus te turbabit, neque manus mea gravis erit super te.

8. Verumtamen dixisti in auribus meis, vocem verborum tuorum audivi: quandoquidem dicis:

9. Mundus sum non peccans, sine crimine sum, non enim inique egi:

10. accusationem autem contra me invenit: putavit autem me, sicut adversarium.

11. Posuit autem in ligno pedem meum, et observavit omnes vias meas.

12. Quomodo enim dicis: Justus sum, et non exaudivit me? æternus enim est qui est super homines.

13. Dicis autem: Cur judicium meum non exaudivit meum omne verbum?

14. Semel enim loquatur Dominus, secundo autem,

15. somnium aut in meditatione nocturna, sicut quando incidit sævus timor in homines, in dormitationibus super cubili:

16. tunc revelat mentem hominum, in speciebus timoris talibus eos exterruit.

17. Avertat hominem ab injustitia, et corpus ejus a ruina liberavit.

18. Et pepercit animæ ejus a morte, et non cadat ille in bello.

19. Iterum autem arguit eum in languore super cubile, et multitudo ossium ejus obtorpuit.

20. Et omnem escam frumenti non poterit sumere, et anima ejus cibum desiderabit.

21. quoadusque putruerint ejus carnes, et ostenderit ossa sua inania.

22. Appropinquavit autem ad mortem anima ejus, et vita ejus in inferno.

23. Si fuerint mille angeli mortiferi, unus eorum non vulnerabit eum. Si cogitaverit corde reverti ad Dominum, annuntiaverit autem homini suum ipsius crimen, et suam stultitiam ostenderit,

24. ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον· ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ.

25. Ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου, ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.

26. Εὐξάμενος δὲ πρὸς Κύριον καὶ δεκτὰ αὐτῷ ἔσται, εἰσελεύσεται προσώπῳ ἱλαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην.

27. Εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ, λέγων· Οἷα συνετέλουν; Καὶ οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον.

28. Σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν, καὶ ἡ ζωή μου φῶς ὄψεται.

29. Ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ Ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ ἀνδρός.

30. Καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ θανάτου, ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν.

31. Ἐνωτίζου, Ἰώϐ, καὶ ἄκουέ μου· κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω.

32. Εἰ εἰσί σοι λόγοι, ἀποκρίθητί μοι. Λάλησον, θέλω γὰρ δικαιωθῆναί σε.

33. Εἰ μή, σὺ ἄκουσόν μου, κώφευσον καὶ διδάξω σε.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

1. Ὑπολαϐὼν δὲ Ἐλιοὺς, λέγει·

2. Ἀκούσατέ μου, σοφοὶ, ἐπιστάμενοι, ἐνωτίζεσθε.

3. Ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν.

4. Κρίσιν ἑλώμεθα ἑαυτοῖς, γνῶμεν ἀναμέσον ἑαυτῶν, ὅ τι καλόν.

5. Ὅτι εἴρηκεν Ἰώϐ· Δίκαιός εἰμι· ὁ Κύριος ἀπήλλαξέ μου τὸ κρίμα.

6. Ἐψεύσατο δὲ τῷ κρίματί μου, βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας.

7. Τίς ἀνὴρ ὥσπερ Ἰώϐ, πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ;

8. Οὐχ ἁμαρτὼν οὐδὲ ἀσεϐήσας, ἢ οὐδ' οὐ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα, τοῦ πορευθῆναι μετὰ ἀσεϐῶν;

9. Μὴ γὰρ εἴπῃς, ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρὸς, καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίου.

10. Διὸ, συνετοὶ καρδίας, ἀκούσατέ μου, μή μοι εἴη ἔναντι Κυρίου ἀσεϐῆσαι, καὶ ἔναντι Παντοκράτορος ταράξαι τὸ δίκαιον.

11. Ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν, καὶ ἐν τρίϐῳ ἀνδρὸς εὑρήσει αὐτόν.

12. Οἴει δὲ τὸν Κύριον ἄτοπα ποιήσειν, ἢ ὁ Παντοκράτωρ ταράξει κρίσιν, ὃς ἐποίησε τὴν γῆν;

13. Τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν, καὶ τὰ ἐνόντα πάντα;

14. Εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν,

15. τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδὸν, πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη.

16. Εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα, ἐνωτίζου φωνὴν ῥημάτων.

17. Ἴδε σὺ τὸν μισοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς, ὄντα αἰώνιον δίκαιον.

18. Ἀσεϐὴς ὁ λέγων βασιλεῖ· Παρανομεῖς, ἀσεϐέστατε, τοῖς ἄρχουσιν.

24. retinebit ne cadat in mortem : et renovabit corpus ejus sicut tectorium in pariete, et ossa ejus implebit medulla.

25. Et molliet carnes ejus sicut parvuli, et restituet eum virum factum inter homines.

26. Deprecatus autem ad Dominum et accepta ei erunt, intrabit facie hilari cum professione : reddet autem hominibus justitiam.

27. Deinde tunc accusabit homo se ipse, dicens : Qualia consummabam? Et non digne in me inquisivit pro iis quæ peccavi.

28. Salva animam meam ne veniat in corruptionem, et vita mea lucem videbit.

29. Ecce hæc omnia operatur Fortis vias tres cum viro.

30. Et eruit animam meam de morte, ut vita mea in lumine collaudet illum.

31. Auribus percipe, Job, et audi me : obmutesce, et ego quidem loquar.

32. Si sunt tibi sermones, responde mihi. Loquere, volo enim justificari te.

33. Sin minus, tu audi me, obmutesce et docebo te.

CAPUT XXXIV.

1. Respondens autem Elius, dixit :

2. Audite me, sapientes, qui habetis scientiam, auribus percipite.

3. Quia auris sermones probat, et guttur gustat escam.

4. Judicium eligimus nobis, noscamus inter nos, quod bonum.

5. Quia dixit Job : Justus sum : Dominus removit judicium meum.

6. Et mentitus est in judicio meo, violentum jaculum meum sine injustitia.

7. Quis vir ut Job, bibens subsannationem sicut aquam?

8. Qui neque peccavit neque impie egit, aut neque communicavit cum facientibus iniqua, ut ambularet cum impiis?

9. Ne enim dixeris, quia non erit visitatio viri, et visitatio ei a Domino.

10. Quare, intelligentes corde, audite me, absit a me coram Domino impie agere, et coram Omnipotente turbare justitiam.

11. Sed reddat homini sicut facit unusquisque eorum, et in semita viri inveniet eum.

12. Putas autem Dominum absurda facturum, aut Omnipotens turbabit judicium, qui fecit terram?

13. Quis autem est qui facit eam quæ sub cœlo, et quæ insunt omnia?

14. Nam si velit cohibere, et spiritum apud se detinere,

15. peribit omnis caro simul, et omnis mortalis in terram abibit, unde et formatus est.

16. Sin autem non sis monitus, audi hæc, auribus percipe vocem verborum.

17. Vide tu eum qui odit iniqua, et perdit malignos, esse æternum justum.

18. Impius est qui dicit, regi : Injuste agis, impiissime principibus.

19. Ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν.

20. Κενὰ δὲ αὐτοῖς ἀποβήσεται, τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός· ἐχρήσαντο γὰρ παρανόμως, ἐκκλεινομένων ἀδυνάτων.

21. Αὐτὸς γὰρ ὁρατὴς ἐστι ἔργων ἀνθρώπων, λέληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν.

22. Οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα·

23. ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι.

24. Ὁ γὰρ Κύριος πάντας ἐφορᾷ· ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

25. Ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, καὶ στρέψει νύκτα καὶ ταπεινωθήσονται.

26. Ἔσβεσε δὲ ἀσεβεῖς, ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ.

27. Ὅτι ἐξέκλιναν ἐκ νόμου Θεοῦ, δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν,

28. τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων, καὶ κραυγὴν πτωχῶν εἰςακούσεται.

29. Καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται; Καὶ κρύψει πρόςωπον, καὶ τίς ὄψεται αὐτόν; Καὶ κατὰ ἔθνους, καὶ κατὰ ἀνθρώπου ὁμοῦ.

30. Βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυςκολίας λαοῦ.

31. Ὅτι πρὸς τὸν Ἰσχυρὸν ὁ λέγων· Εἴληφα, οὐκ ἐνεχυράσω·

32. ἄνευ ἐμαυτοῦ ὄψομαι· σὺ δεῖξόν μοι εἰ ἀδικίαν εἰργασάμην, οὐ μὴ προςθήσω.

33. Μὴ ἀπὸ σοῦ ἀποτίσει αὐτήν, ὅτι σὺ ἀπώσῃ; Ὅτι σὺ ἐκλέξῃ, καὶ οὐκ ἐγώ; Καὶ τί ἔγνως, λάλησον.

34 Διὸ συνετοὶ καρδίας ἐροῦσι ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα.

35. Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησεν, τὰ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ.

36. Οὐ μὴν δὲ ἀλλὰ μάθε, Ἰὼβ, μὴ δῷς ἔτι ἀνταπόκρισιν, ὥςπερ οἱ ἄφρονες.

37. Ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡμῶν, ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα ἐναντίον τοῦ Κυρίου.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

1. Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει·

2. Τί τοῦτο ἡγήσω ἐν κρίσει; Σὺ τίς εἶ, ὅτι εἶπας· Δίκαιός εἰμι ἔναντι Κυρίου; (*)

4. Ἐγὼ σοι δώσω ἀπόκρισιν, καὶ τοῖς τρισὶ φίλοις σου.

5. Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἴδε· κατάμαθε δὲ νέφη, ὡς ὑψηλὰ ἀπὸ σοῦ.

6. Εἰ ἥμαρτες, τί πράξεις; Εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι;

7. Ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, ἢ τί ἐκ χειρός σου λήψεται;

8. Ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.

9. Ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος πολλῶν.

(*) 3. Ἢ ἐρεῖς· Τί ποιήσω ἁμαρτών; (*Alex.*)

19. Qui non est veritus faciem honorati, neque novit honorem ponere potentibus, admirari facies eorum.

20. Vana autem eis evadent, clamasse et orare virum : abusi sunt enim inique, exhonoratis infirmis.

21. Ipse enim inspector est operum hominum, latuit autem eum nihil eorum quæ agunt.

22. Neque erit locus ut latitent qui faciunt iniqua :

23. quoniam non super virum ponet ultra.

24. Dominus enim omnes inspicit : qui comprehendit non vestigabilia, et gloriosa et magnifica, quorum non est numerus.

25. Qui cognoscit eorum opera, et evertet noctem et humiliabuntur.

26. Et exstinxit impios, conspicui autem coram eo.

27. Quoniam declinaverunt de lege Dei, et justificationes ejus non cognoverunt,

28. ut perferatur ad eum clamor pauperum, et clamorem mendicorum exaudiet.

29. Et ipse quietem dabit, et quis condemnabit? Et abscondet faciem, et quis videbit eum? Et contra gentes, et contra hominem simul.

30. Qui regnare facit hominem hypocritam propter perversitatem populi.

31. Quoniam erga fortem qui dicit : Suscepi, non auferam loco pignoris :

32. absque me videbo : tu ostende mihi si injustitiam operatus sum, non adjiciam.

33. Numquid a te reddet eam, quia tu expelles? Quoniam tu eliges, et non ego? Et quid nosti, loquere.

34. Quare intelligentes corde dicent hæc, et vir sapiens audivit verbum meum.

35. Job autem non in intellectu locutus est, verba ejus non in scientia.

36. Verumtamen disce, Job, ne dederis ultra responsionem, sicut insipientes.

37. Ut ne adjiciamus super peccata nostra, et iniquitas super nos computabitur, multa loquentibus verba contra Dominum.

CAPUT XXXV.

1. Respondens autem Elius, ait :

2. Quare hoc existimasti in judicio? Tu quis es, quia dixisti : Justus sum ante conspectum Domini?

4. Ego tibi dabo responsionem, et istis tribus amicis tuis.

5. Aspice in cœlum, et vide : respice autem in nubes, quam altæ sint a te.

6. Si peccasti, quid ages? Quod si et multa inique egisti, quid potes facere?

7. Quoniam igitur justus es, quid dabis ei, aut quid de manu tua accipiet?

8. Viro simili tui impietas tua, et filio hominis justitia tua.

9. A multitudine calumniis appetiti vociferabuntur, clamabunt a brachio multorum.

3. Aut dices : Quid faciam cum peccavero?

10. Καὶ οὐκ εἶπε· Ποῦ ἐστιν ὁ Θεὸς ὁ ποιήσας με, ὁ κατατάσσων φυλακὰς νυκτερινὰς,

11. ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ δὲ πετεινῶν οὐρανοῦ;

12. Ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰςακούσῃ, καὶ ἀπὸ ὕβρεως πονηρῶν.

13. Ἄτοπα γὰρ οὐ βούλεται ἰδεῖν ὁ Κύριος, αὐτὸς γὰρ ὁ Παντοκράτωρ,

14. ὁρατής ἐστι τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με· κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αὐτὸν αἰνέσαι, ὡς ἐστὶ καὶ νῦν.

15. Ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ, καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα.

16. Καὶ Ἰὼϐ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

ΚΕΦΑΛΑΙΟΝ Λς'.

1. Προσθεὶς δὲ ἔτι Ἐλιοὺς, λέγει·

2. Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε· ἔτι γὰρ ἐν ἐμοί ἐστι λέξις.

3. Ἀναλαϐὼν τὴν ἐπιστήμην μου μακρὰν, ἔργοις δέ μου

4. δίκαια ἐρῶ ἐπ' ἀληθείας, καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς.

5. Γίνωσκε δὲ ὅτι ὁ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον, δυνατὸς ἰσχύϊ καρδίας

6. ἀσεϐῆ οὐ μὴ ζωοποιήσῃ, καὶ κρῖμα πτωχῶν δώσει.

7. Οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ, καὶ μετὰ βασιλέων εἰς θρόνον, καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος, καὶ ὑψωθήσονται.

8. Καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται ἐν σχοινίοις πενίας.

9. Καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν.

10. Ἀλλὰ τοῦ δικαίου εἰςακούσεται, καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας.

11. Ἐὰν ἀκούσωσι καὶ δουλεύσωσι, συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις.

12. Ἀσεϐεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν Κύριον, καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν.

13. Καὶ ὑποκριταὶ καρδίᾳ τάξουσι θυμόν· οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς.

14. Ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν, ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων,

15. ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον· κρῖμα δὲ πραέων ἐκθήσει.

16. Καὶ προσεπιηπάτησέ σε ἐκ στόματος ἐχθροῦ, ἄϐυσσος κατάχυσις ὑποκάτω αὐτῆς, καὶ κατέϐη τράπεζά σου πλήρης πιότητος.

17. Οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρῖμα,

18. θυμὸς δὲ ἐπ' ἀσεϐεῖς ἔσται, δι' ἀσέϐειαν δώρων ὧν ἐδέχοντο ἐπ' ἀδικίαις.

19. Μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων, καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν

20. μὴ ἐξελκύσῃς τὴν νύκτα, τοῦ ἀναϐῆναι λαοὺς ἀντ' αὐτῶν·

10. Et non dixit : Ubi est Deus qui fecit me, qui distribuit custodias nocturnas,

11. qui separat me a quadrupedibus terræ, et a volatilibus cœli?

12. Ibi vociferabuntur, et non exaudies, et ab injuria malorum.

13. Absurda enim non vult Dominus videre, ipse enim Omnipotens,

14. perspector est eorum qui consummant iniqua, et salvabit me : judicare autem coram eo, si potes collaudare eum, sicuti est et nunc.

15. Quia non est visitans iram suam, neque cognovit delictum aliquod vehementer.

16. Et Job vane aperit os suum, in ignorantia verba aggravat.

CAPUT XXXVI.

1. Adjiciens autem adhuc Elius, ait :

2. Sustine me pusillum adhuc, ut te doceam : adhuc enim est in me sermo.

3. Suscipiens scientiam meam de longe, operibus autem meis

4. quæ justa sunt loquar in veritate, et non injusta verba injuste intelliges.

5. Cognosce autem quia Dominus non abjiciet innocentem, fortis robore cordis

6. non vivificabit impium, et judicium pauperum dabit.

7. Non auferet a justo oculos suos, et cum regibus in solio, et sedere eos faciet in victoria, et exaltabuntur.

8. Et qui compediti sunt in compedibus capientur in funibus paupertatis.

9. Et annuntiabit eis opera eorum et delicta eorum, quoniam valebunt.

10. Sed justum exaudiet, et dixit quia convertentur ab iniquitate.

11. Si audierint et servierint, complebunt dies suos in bonis, et annos suos in decoribus.

12. Impios vero non facit salvos eo quod noluerunt scire Dominum, et quod cum monerentur inobedientes erant.

13. Et hypocritæ corde ordinabunt furorem : non clamabunt, quia ligavit eos.

14. Moriatur ergo in juventute anima eorum, et vita eorum vulnerata ab angelis,

15. eo quod tribulaverunt infirmum et invalidum : judicium vero mansuetorum exponet.

16. Et superdecepit te ab ore inimici, abyssus effusio sub ea, et descendit mensa tua plena pinguedine.

17. Non deficiet autem a justis judicium,

18. et ira super impios erit, propter impietatem munerum quæ accipiebant super iniquitatibus.

19. Non te avertat voluntaria mens a prece infirmorum cum in necessitate fuerint, et omnes qui tenent fortitudinem

20. noli extrahere per noctem, ut ascendant populi pro iis :

21. ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα· ἐπὶ τούτων γὰρ ἐξεῖλω ἀπὸ πτωχείας.
22. Ἰδοὺ ὁ Ἰσχυρὸς κραταιώσει ἐν ἰσχύϊ αὐτοῦ· τίς γάρ ἐστι κατ' αὐτὸν δυνάστης;
23. Τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα, ἢ τίς ὁ εἰπών· Ἔπραξεν ἄδικα;
24. Μνήσθητι ὅτι μεγάλα ἐστὶν αὐτοῦ τὰ ἔργα, ὧν ἦρξαν ἄνδρες.
25. Πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ, ὅσοι τιτρωσκόμενοί εἰσι βροτοί.
26. Ἰδοὺ ὁ ἰσχυρὸς πολὺς, καὶ οὐ γνωσόμεθα· ἀριθμὸς ἐτῶν αὐτοῦ, καὶ ἀπέραντος.
27. Ἀριθμηταὶ δὲ αὐτῷ σταγόνες ὑετοῦ, καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην.
28. Ῥυήσονται παλαιώματα, ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ. Ὥραν ἔθετο κτήνεσιν, οἴδασι δὲ κοίτης τάξιν. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος.
29. Καὶ ἐὰν συνῇ ἀπέκτασις νεφέλης, ἰσότητα σκηνῆς αὐτοῦ
30. ἰδοὺ ἐκτενεῖ ἐπ' αὐτὸν Ἠδὼ, καὶ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν.
31. Ἐν γὰρ αὐτοῖς κρινεῖ λαοὺς, δώσει τροφὴν τῷ ἰσχύοντι.
32. Ἐπὶ χειρῶν ἐκάλυψε φῶς, καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι.
33. Ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ Κύριος, κτῆσις καὶ περὶ ἀδικίας.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

1. Καὶ ἀπὸ ταύτης ἐταράχθη ἡ καρδία μου, καὶ ἀπεῤῥύη ἐκ τοῦ τόπου αὐτῆς.
2. Ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ Κυρίου, καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται.
3. Ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ, καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς.
4. Ὀπίσω αὐτοῦ βοήσεται φωνῇ, βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ· καὶ οὐκ ἀνταλλάξει αὐτοὺς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ.
5. Βροντήσει ὁ Ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια· ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν,
6. συντάσσων χιόνι, γίνου ἐπὶ γῆς, καὶ χειμὼν ὑετὸς, καὶ χειμὼν ὑετῶν δυναστείας αὐτοῦ.
7. Ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν.
8. Εἰσῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην, ἡσύχασαν δὲ ἐπὶ κοίτης.
9. Ἐκ ταμιείων ἐπέρχονται ὀδύναι, ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος.
10. Καὶ ἀπὸ πνοῆς Ἰσχυροῦ δώσει πάγος. Οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται,
11. καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη. Διασκορπιεῖ νέφος φῶς αὐτοῦ,
12. καὶ αὐτὸς κυκλώματα διαστρέψει, ἐν θεεβουλαθὼθ, εἰς ἔργα αὐτῶν. Πάντα ὅσα ἂν ἐντείληται αὐτοῖς,
13. ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς, ἐάν τε εἰς παιδείαν, ἐὰν εἰς τὴν γῆν αὐτοῦ, ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν.
14. Ἐνωτίζου ταῦτα, Ἰώβ· στῆθι νουθετούμενος δύναμιν Κυρίου.

21. sed cura ne facias indecentia : super his enim elegisti ab inopia.
22. Ecce Fortis roborabit in fortitudine sua : quis enim est sicut ille potens?
23. Et quis est qui discutiat opera ejus, aut quis est qui dicat : Fecit injusta?
24. Memento quia magna sunt opera ejus, quorum dominati sunt viri.
25. Omnis homo vidit in ipso, quicumque vulnerati sunt mortales.
26. Ecce fortis multus, et nesciemus : numerus annorum ejus, et infinitus.
27. Numerabiles autem ei stillæ pluviæ, et effundentur ad pluviam in nube.
28. Fluent antiquitates, obumbraverunt autem nubes super innumerabili homine. Horam constituit jumentis, et sciunt cubilis ordinem. In his omnibus non obstupescit animus tuus, nec mutatur cor tuum a corpore.
29. Et si constiterit extensio nubis, æqualitatem tabernaculi ejus
30. ecce extendit super eum Edo, et radices maris contexit.
31. In eis enim judicabit populos, dabit escam valido.
32. In manibus contexit lumen, et mandavit de ea in occurrenti.
33. Annuntiabit de eo amicum suum Dominus, possessio et de injustitia.

CAPUT XXXVII.

1. Et ab hac turbatum est cor meum, et effluxit de loco suo.
2. Audi auditionem in ira furoris Domini, et meditatio de ore ejus egredietur.
3. Subter universum cœlum principium ejus, et lumen ejus subter alas terræ.
4. Post eum clamabit voce, tonabit in voce superbiæ suæ : et non commutabit eos, quoniam audiet vocem ejus.
5. Tonabit Fortis in voce sua mirabiliter : fecit enim magna quæ nesciebamus,
6. præcipiens nivi, esto super terram, et tempestas pluviæ, et tempestas pluviarum potestatis ejus.
7. In manu omnis hominis signat, ut sciat omnis homo infirmitatem suam.
8. Introierunt autem bestiæ sub tegmen, et quieverunt super cubile.
9. De promptuariis superveniunt dolores, et ab extraneis partibus frigus.
10. Et a spiratione Fortis dabit gelu. Gubernat autem aquam qualiter illi placuerit,
11. et electum format nubes. Disperget nubilum lucem ejus,
12. et ipse circuitus pervertet, in theebulathoth, in opera eorum. Omnia quæ mandaverit eis,
13. hæc constituta sunt ab eo super terram, sive in disciplinam, sive in terram suam, si in misericordia inveniet eum.
14. Auribus percipe hæc, Job : sta commonitus virtutem Domini.

15. Οἴδαμεν ὅτι Θεὸς ἔθετο ἔργα αὐτοῦ, φῶς ποιήσας ἐκ σκότους.

16. Ἐπίσταται δὲ διάκρισιν νεφῶν, ἐξαίσια δὲ πτώματα πονηρῶν.

17. Σοῦ δὲ ἡ στολὴ θερμή, ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς.

18. Στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώματα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως.

19. Διατί δίδαξόν με, τί ἐροῦμεν αὐτῷ; Καὶ παυσώμεθα πολλὰ λέγοντες.

20. Μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν, ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;

21. Πᾶσι δὲ οὐχ ὁρατὸν τὸ φῶς, τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν, ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν.

22. Ἀπὸ βοῤῥᾶ νέφη χρυσαυγοῦντα, ἐπὶ τούτοις μεγάλη ἡ δόξα καὶ τιμὴ

23. Παντοκράτορος, καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύϊ αὐτοῦ· ὁ τὰ δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν;

24. Διὸ φοβηθήσονται αὐτὸν οἱ ἄνθρωποι· φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

1. Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως, εἶπεν ὁ Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν·

2. Τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;

3. Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι.

4. Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; Ἀπάγγειλον δέ μοι εἰ ἐπίστῃ σύνεσιν.

5. Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; Ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς;

6. Ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι; Τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς;

7. Ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου.

8. Ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαίμασσε ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη.

9. Ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα.

10. Ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας.

11. Εἶπα δὲ αὐτῇ· Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

12. Ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; Ἑωσφόρος δὲ εἶδε τὴν ἑαυτοῦ τάξιν,

13. ἐπιλαβέσθαι πτερύγων γῆς, ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς;

14. Ἦ σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς;

15. Ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας;

16. Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας;

17. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν;

18. Νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ' οὐρανόν; Ἀνάγγειλον δή μοι, πόση τίς ἐστι,

15. Scimus quia posuit Deus opera sua, cum faceret lumen de tenebris.

16. Scit autem differentiam nubium, et ingentes lapsus malorum.

17. Tua vero stola est calida, quiescit vero super terram.

18. Firmationes cum eo in antiquitates, validæ ut visio effusionis.

19. Quare doce me, quid dicemus ei? Et requiescamus multa dicentes.

20. Numquid liber et scriba astitit mihi, ut stans faciam hominem tacere?

21. Omnibus autem non est visibile lumen, splendidum est in antiquitatibus, sicut quod ab eo super nubes.

22. Ab aquilone nubes coloris aurei, in his magna est gloria et honor

23. Omnipotentis, et non invenimus alium similem virtuti ejus : qui justa judicat, non putas exaudire eum?

24. Propterea timebunt eum homines : timebunt quoque eum et sapientes corde.

CAPUT XXXVIII.

1. Et postquam quievit Elius loqui, dixit Dominus ad Job per turbinem et nubes :

2. Quis est hic qui celat me consilium, continens autem sermones in corde, et me putat celare?

3. Accingere tamquam vir lumbum tuum : interrogabo autem te, tu autem responde mihi.

4. Ubi eras cum fundarem terram? Indica autem mihi si nosti scientiam.

5. Quis posuit mensuras ejus, si nosti? Aut quis est qui induxit super eam funiculum?

6. Super quod circuli ejus fixi sunt? Quis est autem qui misit lapidem angularem super eam?

7. Quando facta sunt sidera, laudaverunt me voce magna omnes angeli mei.

8. Conclusi autem portis mare, cum fremeret ex utero matris suæ egrediens.

9. Posui autem ei nubem operimentum, et nebula quasi fascia obvolvi illud.

10. Et posui illi terminos, circumponens claustra et portas.

11. Et dixi ei : Hucusque venies, et non transibis, sed in te ipso comminuentur fluctus tui.

12. Aut numquid tecum lucem constitui matutinam? Et cognovit lucifer ordinem suum,

13. apprehendere pennas terræ, excutere impios ex ea?

14. Aut tu sumens terram lutum plasmasti animal, et idoneum ad loquendum eum posuisti super terram?

15. Et abstulisti ab impiis lucem, et brachium superborum comminuisti?

16. Aut venisti ad fontem maris, aut in vestigiis abyssi ambulasti?

17. Aut tibi aperiuntur metu portæ mortis, aut janitores inferni videntes te timuerunt?

18. Aut cognovisti latitudinem ejus quæ sub cœlo? Narra ergo mihi, quantanam sit,

19. ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς; σκότους δὲ ποῖος ὁ τόπος;
20. Εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν, εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν·
21. οἶδα ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν σου πολύς;
22. Ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος, θησαυροὺς δὲ χαλάζης ἑώρακας;
23. Ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν, εἰς ἡμέραν πολέμων καὶ μάχης;
24. Πόθεν δὲ ἐκπορεύεται πάχνη, ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ' οὐρανόν;
25. Τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν, ὁδὸν δὲ κυδοιμῶν,
26. τοῦ ὑετίσαι ἐπὶ γῆν οὗ οὐκ ἀνήρ, ἔρημον οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ,
27. τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον, καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης.
28. Τίς ἐστιν ὑετοῦ πατήρ; Τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου,
29. ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος, πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν,
30. ἣ καταβαίνει ὥσπερ ὕδωρ ῥέον; Πρόσωπον ἀσεβοῦς τίς ἔπτηξεν;
31. Συνῆκας δὲ δεσμὸν Πλειάδος, καὶ φραγμὸν Ὠρίωνος ἤνοιξας;
32. Ἢ διανοίξεις Μαζουρὼθ ἐν καιρῷ αὐτοῦ, καὶ Ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτά;
33. Ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ, ἢ τὰ ὑπ' οὐρανὸν ὁμοθυμαδὸν γινόμενα;
34. Καλέσεις δὲ νέφος φωνῇ, καὶ τρόμῳ ὕδατος λάβρου ὑπακούσεταί σου;
35. Ἀποστελεῖς δὲ κεραυνοὺς καὶ πορεύσονται; Ἐροῦσι δέ σοι· Τί ἐστι;
36. Τίς δὲ ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν, ἢ ποικιλτικὴν ἐπιστήμην;
37. Τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ, οὐρανὸν δὲ εἰς γῆν ἔκλινε;
38. Κέχυται δὲ ὥσπερ γῆ κονία, κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον.
39. Θηρεύσεις δὲ λέουσι βοράν, ψυχὰς δὲ δρακόντων ἐμπλήσεις;
40. Δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν, κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.
41. Τίς δὲ ἡτοίμασε κόρακι βοράν; Νεοσσοὶ γὰρ αὐτοῦ πρὸς Κύριον κεκράγασι πλανώμενοι, τὰ σῖτα ζητοῦντες.

19. aut in qua terra habitet lux? aut quis tenebrarum locus?
20. Si duces me in fines eorum, quod si et nosti semitas eorum :
21. novi igitur quia tunc natus es, et numerus annorum tuorum multus?
22. Aut venisti in thesauros nivis, aut thesauros grandinis vidisti?
23. Et reposita sunt tibi in tempus inimicorum, in diem bellorum et pugnæ?
24. Unde autem procedit pruina, aut dispergitur auster in eam quæ sub cœlo?
25. Quis autem præparavit fluxum validæ pluviæ, et viam tempestatum,
26. ut pluat super terram ubi non est vir, desertum ubi non est homo in eo,
27. ut satiet inviam et inhabitabilem, et ut germinet exitus herbæ virentis.
28. Quis est pluviæ pater? Et quis est qui peperit glebas roris,
29. et de cujus utero procedit glacies, aut pruinam in cœlo quis peperit,
30. quæ descendit sicut aqua fluens? Faciem impii quis exterruit?
31. Aut intellexisti nexum Pleiadis, et septum Orionis aperuisti?
32. An aperies Mazaroth in tempore suo, et Vesperum super comam ejus duces ea?
33. Scis autem commutationes cœli, aut quæ sub cœlo simul facta?
34. Vocabis autem nubem voce, et tremore aquæ validæ obediet tibi?
35. Mittes autem fulmina et ibunt? Aut dicent tibi : Quid est?
36. Quis autem dedit mulieribus texturæ sapientiam, aut variegandi scientiam?
37. Aut quis est qui numeret nubes sapientia, et cœlum in terram inclinavit?
38. Diffusus est autem sicut terra cinis, et agglutinavi eum sicut lapide cubum.
39. Aut venaberis leonibus escam, aut animas draconum replebis?
40. Timuerunt enim in cubilibus suis, et sedent in sylvis insidiantes.
41. Quis autem præparavit corvo escam? Pulli enim ejus ad Dominum clamaverunt errantes, cibaria quærentes.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄.

1. Εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας, ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων,
2. ἠρίθμησας δὲ μῆνας αὐτῶν πλήρεις τοκετοῦ αὐτῶν, ὠδῖνας δὲ αὐτῶν ἔλυσας,
3. ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβου, ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς;
4. Ἀποῤῥήξουσι τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γεννήματι· ἐξελεύσονται, καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς.
5. Τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν;

CAPUT XXXIX.

1. Si cognovisti tempus pariendi tragelaphorum petræ, aut partus cervarum custodisti,
2. et numerasti menses earum plenos partus earum, et dolores earum solvisti,
3. et nutristi hinnulos earum sine metu, et partus earum emittes?
4. Abrumpent suos filios, multiplicabuntur in genimine : exibunt, et non revertentur eis.
5. Quis autem est qui dimisit onagrum liberum, et vincula ejus quis resolvit?

6. Ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον, καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα.

7. Καταγελῶν πολυοχλίας πόλεως, μέμψιν δὲ φορολόγου οὐκ ἀκούων.

8. Κατασκέψεται ὄρη νομὴν αὐτοῦ, καὶ ὀπίσω παντὸς χλωροῦ ζητεῖ.

9. Βουλήσεται δέ σοι μονόκερως δουλεῦσαι, ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου;

10. Δήσεις δὲ ἐν ἱμᾶσι ζυγὸν αὐτοῦ, ἢ ἑλκύσει σου αὔλακας ἐν πεδίῳ;

11. Πέποιθας δὲ ἐπ' αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ, ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου;

12. Πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον, εἰσοίσει δέ σου τὸν ἅλωνα;

13. Πτέρυξ τερπομένων νεέλασσα, ἐὰν συλλάβῃ ἀσίδα καὶ νέσσα·

14. ὅτι ἀφήσει εἰς γῆν τὰ ὠὰ αὐτῆς, καὶ ἐπὶ χοῦν θάλψει·

15. καὶ ἐπελάθετο, ὅτι ποῦς σκορπιεῖ, καὶ θηρία ἀγροῦ καταπατήσει.

16. Ἀπεσκλήρυνε τὰ τέκνα ἑαυτῆς, ὥστε μὴ ἑαυτήν· εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου.

17. Ὅτι κατεσιώπησεν αὐτῇ ὁ Θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέρισεν αὐτῇ ἐν τῇ συνέσει.

18. Κατὰ καιρὸν ἐν ὕψει ὑψώσει, καταγελάσεται ἵππου καὶ τοῦ ἐπιβάτου αὐτοῦ.

19. Ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν, ἐνέδυσας δὲ τραχήλῳ αὐτοῦ φόβον;

20. Περιέθηκας δὲ αὐτῷ πανοπλίαν, δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ.

21. Ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ, ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ.

22. Συναντῶν βασιλεῖ καταγελᾷ, καὶ οὐ μὴν ἀποστραφῇ ἀπὸ σιδήρου.

23. Ἐπ' αὐτῷ γαυριᾷ τόξον καὶ μάχαιρα,

24. καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν· καὶ οὐ μὴ πιστεύσει, ἕως ἂν σημάνῃ σάλπιγξ.

25. Σάλπιγγος δὲ σημαινούσης, λέγει Εὖγε· πόῤῥωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ.

26. Ἐκ δὲ τῆς σῆς ἐπιστήμης ἕστηκεν ἱέραξ, ἀναπετάσας τὰς πτέρυγας, ἀκίνητος, καθορῶν τὰ πρὸς νότον;

27. Ἐπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετὸς, γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται,

28. ἐπ' ἐξοχῇ πέτρας, καὶ ἀποκρύφῳ;

29. Ἐκεῖσε ὢν ζητεῖ τὰ σῖτα, πόῤῥωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι.

30. Νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι· οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται.

31. Καὶ ἀπεκρίθη Κύριος ὁ Θεὸς τῷ Ἰὼβ, καὶ εἶπε·

32. Μὴ κρίσιν μετὰ Ἱκανοῦ ἐκκλίνει; Ἐλέγχων δὲ Θεὸν, ἀποκριθήσεται αὐτήν.

33. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει τῷ Κυρίῳ·

34. Τί ἔτι ἐγὼ κρίνομαι, νουθετούμενος καὶ ἐλέγχων Κύριον, ἀκούων τοιαῦτα οὐθὲν ὤν; Ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα; Χεῖρα θήσω ἐπὶ στόματί μου.

35. Ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.

6. Posui enim habitationem ejus desertum, et tabernacula ejus salsuginem.

7. Irridens multas turbas civitatis, et querelam exactoris non audiens.

8. Considerabit montes pascuam suam, et post omne viride quærit.

9. Volet autem monoceros servire tibi, aut dormire super præsepe tuum?

10. Et alligabis in loris jugum ejus, aut ducet sulcos tuos in campo?

11. Confidis autem in eo, quia multa est virtus ejus, et dimittis ei opera tua?

12. Et credes quia reddet tibi sementem, et in aream tuam inferet?

13. Penna lætantium neelassa, si conceperit assida et nessa:

14. quod relinquet in terra ova sua, et in pulvere calefaciet:

15. et oblita est, quia pes disperdet, et bestiæ agri conculcabunt.

16. Obduravit filios suos, ut non seipsam: frustra laboravit sine timore.

17. Quia tacere fecit ei Deus sapientiam, et non partitus est ei in intellectu.

18. Cum fuerit tempus in altum exaltabit, irridebit equum et ascensorem ejus.

19. An tu circumdedisti equo virtutem, et induisti collum ejus timore?

20. Et circumposuisti ei armaturam, et gloriam pectorum ejus audaciæ.

21. Fodiens in campo luxuriat, et procedit in campum in virtute.

22. Occurens regi deridet, nec se avertet a ferro.

23. Super ipsum gaudet arcus et gladius,

24. et iracundia evertet terram: nec credet, donec significaverit tuba.

25. Cum autem tuba significaverit, dicit Euge: et procul odoratur pugnam cum saltu et clamore.

26. Ex tua vero scientia stetit accipiter, expansis pennis, immobilis, respiciens quæ ad austrum?

27. Atque tuo præcepto exaltatur aquila, aut vultur super nidum suum sedens moratur,

28. in summitate petræ, et abscondito?

29. Cum ibi fuerit quærit escas, longe oculi ejus speculantur.

30. Et pulli ejus consperguntur in sanguine: ubicumque autem fuerint cadavera, confestim reperiuntur.

31. Et respondit Dominus Deus ad Job, et dixit:

32. Numquid judicium cum Omnipotente declinat? Et arguens Deum, respondebit.

33. Respondens autem Job, dicit Domino:

34. Quid adhuc ego judicor, commonitus et arguens Dominum, audiens talia cum nihil sim? Ego vero quod responsum dabo ad hæc? Manum ponam ad os meum.

35. Semel locutus sum, et iterum non adjiciam.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

1. Ἔτι δὲ ὑπολαβὼν ὁ Κύριος, εἶπε τῷ Ἰὼβ ἐκ τοῦ νέφους·

2. Μὴ, ἀλλὰ ζῶσαι ὥςπερ ἀνὴρ τὴν ὀσφύν σου, ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι.

3. Μὴ ἀποποιοῦ μου τὸ κρῖμα. Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;

4. Ἢ βραχίων σοί ἐστι κατὰ τοῦ Κυρίου, ἢ φωνῇ κατ' αὐτοῦ βροντᾷς;

5. Ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν, δόξαν δὲ καὶ τιμὴν ἀμφίασαι.

6. Ἀπόστειλον δὲ ἀγγέλους ὀργῇ, πάντα δὲ ὑβριστὴν ταπείνωσον.

7. Ὑπερήφανον δὲ σβέσον, σῆψον δὲ ἀσεβεῖς παραχρῆμα.

8. Κρύψον δὲ εἰς γῆν ὁμοθυμαδὸν, τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον.

9. Ὁμολογήσω ὅτι δύναται ἡ δεξιά σου σῶσαι.

10. Ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοὶ, χόρτον ἴσα βουσὶν ἐσθίουσιν.

11. Ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός.

12. Ἔστησεν οὐρὰν ὡς κυπάρισσον, τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται.

13. Αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι, ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.

14. Τουτέστιν ἀρχὴ πλάσματος Κυρίου· πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.

15. Ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον ἐποίησε χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ.

16. Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται, παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον.

17. Σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν ῥαδάμνοις, καὶ κλῶνες ἀγροῦ.

18. Ἐὰν γένηται πλημμύρα, οὐ μὴ αἰσθηθῇ· πέποιθεν, ὅτι προςκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ.

19. Ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτὸν, ἐνσκολιευόμενος τρήσει ῥῖνα.

20. Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ, περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ;

21. Ἢ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ, ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ;

22. Λαλήσει δέ σοι δεήσει, ἱκετηρίᾳ μαλακῶς;

23. Θήσεται δὲ μετὰ σου διαθήκην; Λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον;

24. Παίξῃ δὲ ἐν αὐτῷ ὥςπερ ὀρνέῳ; ἢ δήσεις αὐτὸν ὥςπερ στρουθίον παιδίῳ;

25. Ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔθνη;

26. Πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ, καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ.

27. Ἐπιθήσεις δὲ αὐτῷ χεῖρα, μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν σώματι αὐτοῦ, καὶ μηκέτι γινέσθω.

28. Οὐχ ἑώρακας αὐτόν; Οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας;

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

1. Οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι; Τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς;

CAPUT XL.

1. Adhuc autem respondens Dominus, dixit ad Job de nube :

2. Nequaquam, sed accinge sicut vir lumbum tuum, interrogabo autem te, et tu mihi responde.

3. Ne repellas judicium meum. Putas autem me aliter tibi respondisse, quam ut appareas justus?

4. Numquid brachium tibi est contra Dominum, aut voce contra eum tonas?

5. Assume nunc altitudinem et virtutem, gloriam vero et honorem induere.

6. Mitte autem angelos ira, et omnem contumeliosum humilia.

7. Et superbum exstingue, et corrumpe impios statim.

8. Absconde autem in terram simul, et facies eorum imple ignominia.

9. Confitebor quod potest dextera tua salvare.

10. Verum utique ecce bestiæ apud te, fœnum sicut boves comedunt.

11. Ecce utique fortitudo ejus in lumbo, et virtus ejus super umbilico ventris.

12. Erexit caudam sicut cupressum, et nervi ejus complicati sunt.

13. Costæ ejus costæ æneæ, et spina ejus ferrum fusile.

14. Hoc est principium formationis Domini : factum ut illuderetur ab angelis ejus.

15. Adveniens autem ad montem præruptum fecit lætitiam quadrupedibus in tartaro.

16. Sub omnigenis arboribus dormit, juxta papyrum et calamum et carectum.

17. Obumbrant autem in eo arbores magnæ cum ramis, et sarmenta agri.

18. Si fuerit inundatio, non sentiet : confidit, quia subibit Jordanis in os ejus.

19. In oculo suo capiet eum : intortus forabit nasum.

20. Duces autem draconem in hamo, et circumpones capistrum circa nasum ejus?

21. Aut ligabis circulum in naribus ejus, et armilla terebrabis labium ejus?

22. Loquetur autem tibi prece, supplicatione molliter?

23. Ponet autem tecum testamentum? Accipies autem eum servum sempiternum?

24. Ludes autem in eo sicut avi? aut ligabis eum sicut passerem puero?

25. Pascuntur autem in eo gentes, partiuntur autem eum gentes Phœnicum?

26. Omne navigans conveniens non ferent pellem unam caudæ ejus, et in navigiis piscatorum caput ejus.

27. Impones autem ei manum, recordatus belli quod fit in corpore ejus, et non ultra fiat.

28. Nonne vidisti eum? Nonne super iis quæ dicuntur miratus es?

CAPUT XLI.

1. Non timuisti, quia paratus est mihi? Quis est enim qu mihi ex adverso steterit?

2. Ἢ τίς ἀντιστήσεταί μοι, καὶ ὑπομενεῖ; Εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν·

3. Οὐ σιωπήσομαι δι' αὐτὸν, καὶ λόγον δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ.

4. Τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι;

5. Πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει; Κύκλῳ ὀδόντων αὐτοῦ φόβος.

6. Τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκεαι· σύνδεσμος δὲ αὐτοῦ ὥσπερ σμυρίτης λίθος.

7. Εἷς τοῦ ἑνὸς κολλῶνται, πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν.

8. Ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται· συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν.

9. Ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου.

10. Ἐκ στόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι, καὶ διαῤῥιπτοῦνται ὡς ἐσχάραι πυρός.

11. Ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων.

12. Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται·

13. ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις, ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια.

14. Σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται· καταχέει ἐπ' αὐτὸν, οὐ σαλευθήσεται.

15. Ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος, ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος.

16. Στραφέντος δὲ αὐτοῦ, φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς ἀλλομένοις.

17. Ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι δόρυ, καὶ θώρακα.

18. Ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν.

19. Οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκεον· ἥγηται μὲν πετροβόλον χόρτον.

20. Ὡς καλάμη ἐλογίσθησαν σφυρὰ, καταγελᾷ δὲ σεισμοῦ πυρφόρου.

21. Ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς, πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.

22. Ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον· ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον,

23. τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· ἐλογίσατο ἄβυσσον εἰς περίπατον.

24. Οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου.

25. Πᾶν ὑψηλὸν ὁρᾷ· αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

1. Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει τῷ Κυρίῳ·

2. Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν.

3. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; Φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν; Τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἐπιστάμην;

4. Ἄκουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον.

2. Vel quis resistet mihi, et sustinebit? Si universa quæ sub cœlo mea est.

3. Non tacebo propter eum, et rationem virtutis miserebitur æqualem sibi.

4. Quis revelabit faciem indumenti ejus, et in rugam pectoris ejus quis utique ingrediatur?

5. Portas faciei ejus quis aperiet? In circuitu dentium ejus timor.

6. Interiora ejus scuta ænea: et colligatio ejus sicut lapis smyrites.

7. Unus uni conglutinantur, spiritus autem non transibit eum.

8. Vir fratri suo agglutinabitur: cohærent et ecce non divellentur,

9. In sternutamento ejus effulget lumen, et oculi ejus species luciferi.

10. De ore ejus egrediuntur quasi lampades accensæ, et projiciuntur sicut scintillæ ignis.

11. De naribus ejus egreditur fumus camini accensi igne carbonum.

12. Anima ejus carbones, et flamma de ore ejus procedit:

13. in collo autem ejus habitat potentia, ante eum currit perditio.

14. Carnes autem corporis ejus sunt agglutinatæ: effundit super eum, non commovebitur.

15. Cor ejus induratum est ut lapis, stetit autem sicut incus immota.

16. Cum se autem verterit, timor bestiis quadrupedibus super terram saltantibus.

17. Si occurrerint ei lanceæ, nihil facient hastam, et thoracem.

18. Nam ferrum quidem putat paleas, æs autem sicut lignum putridum.

19. Non vulnerabit eum arcus æneus: putat autem machinam petras jacientem fœnum.

20. Sicut calamus reputati sunt mallei, et deridet concussionem igniferam.

21. Lectus ejus obelisci acuti, et omne aurum maris sub eo sicut lutum inenarrabile.

22. Fervere facit abyssum tamquam officinam ærariam: putat autem mare tamquam vas unguentarium,

23. et tartarum abyssi tamquam captivum: reputavit abyssum in deambulatorium.

24. Nihil est super terram simile ei factum ut illudatur ab angelis meis.

25. Omne sublime videt: ipse autem rex omnium quæ in aquis.

CAPUT XLII.

1. Respondens autem Job, dicit Domino:

2. Novi quod omnia potes, et nihil tibi est impossibile.

3. Quis enim est qui celat te consilium? Parcens autem verbis, et te putat celare? Quis autem annuntiabit mihi quæ non novi, magna et mirabilia quæ nescivi?

4. Verum audi me, Domine, ut et ego loquar: interrogabo autem hoc, et tu doce me.

5. Ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.

6. Διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν.

7. Ἐγένετο δὲ, μετὰ τὸ λαλῆσαι τὸν Κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ἰὼβ, εἶπεν ὁ Κύριος Ἐλιφὰζ τῷ Θαιμανίτῃ· Ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδὲν, ὥσπερ ὁ θεράπων μου Ἰώβ.

8. Νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς, καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ἰὼβ, καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν. Ἰὼβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψομαι· εἰ μὴ γὰρ δι' αὐτὸν, ἀπώλεσα ἂν ὑμᾶς· οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ἰώβ.

9. Ἐπορεύθη δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, καὶ Βαλδὰδ ὁ Σαυχίτης, καὶ Σωφὰρ ὁ Μιναῖος, καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ Κύριος· καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ἰώβ.

10. Ὁ δὲ Κύριος ηὔξησε τὸν Ἰώβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ, ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν. Ἔδωκεν δὲ ὁ Κύριος διπλᾶ, ὅσα ἦν ἔμπροσθεν Ἰὼβ, εἰς διπλασιασμόν.

11. Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ αἱ ἀδελφαὶ αὐτοῦ, πάντα τὰ συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτὸν, καὶ πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου· φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ παρεκάλεσαν αὐτὸν, καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν ἐπ' αὐτῷ ὁ Κύριος. Ἔδωκε δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦ καὶ ἀσήμου.

12. Ὁ δὲ Κύριος εὐλόγησε τὰ ἔσχατα Ἰὼβ ἢ τὰ ἔμπροσθεν· ἦν δὲ τὰ κτήνη αὐτοῦ, πρόβατα μύρια τετρακισχίλια, κάμηλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι θήλειαι νομάδες χίλιαι.

13. Γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ, καὶ θυγατέρες τρεῖς.

14. Καὶ ἐκάλεσε τὴν μὲν πρώτην Ἡμέραν· τὴν δὲ δευτέραν Κασίαν· τὴν δὲ τρίτην Ἀμαλθαίας κέρας.

15. Καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς.

16. Ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· τὰ δὲ πάντα ἔτη ἔζησεν διακόσια τεσσαράκοντα. Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν. Καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν.

« Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν
« ὁ Κύριος ἀνίστησιν. Οὗτος ἑρμηνεύεται ἐκ τῆς συρια-
« κῆς βίβλου, ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς
« ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας· προϋπῆρχε δὲ
« αὐτῷ ὄνομα Ἰωβάβ. Λαβὼν δὲ γυναῖκα Ἀράβισσαν,
« γεννᾷ υἱὸν, ᾧ ὄνομα Ἐννών. Ἦν δὲ αὐτὸς πατρὸς μὲν
« Ζαρὲ ἐκ τῶν Ἡσαῦ υἱῶν υἱὸς, μητρὸς δὲ Βοσόῤῥας,
« ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. Καὶ οὗτοι
« οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ, ἧς καὶ αὐτὸς
« ἦρξε χώρας· πρῶτος Βαλὰκ ὁ τοῦ Βεὼρ, καὶ ὄνομα
« τῇ πόλει αὐτοῦ Δενναβά. Μετὰ δὲ Βαλὰκ, Ἰωβὰβ ὁ
« καλούμενος Ἰώβ. Μετὰ δὲ τοῦτον, Ἀσὼμ ὁ ὑπάρχων
« ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας. Μετὰ δὲ τοῦτον,
« Ἀδὰδ υἱὸς Βαρὰδ, ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ

5. Auditu enim auris audivi te antea, nunc autem oculus meus vidit te.

6. Quamobrem sprevi me ipsum, et extabui : putavi autem me terram et cinerem.

7. Factum est autem, postquam Dominus locutus est omnia verba hæc ad Job, dixit Dominus ad Eliphaz Thæmanitem : Peccasti tu et duo amici tui : non enim locuti estis coram me verum quippiam, sicut famulus meus Job.

8. Nunc autem sumite septem vitulos et septem arietes, et ite ad famulum meum Job, et faciet holocaustum pro vobis. Et Job famulus meus precabitur pro vobis, quoniam non nisi faciem ejus accipiam : nam nisi propter ipsum, perdidissem utique vos : non enim locuti estis verum contra famulum meum Job.

9. Ivit autem Eliphaz Thæmanites, et Baldad Sauchites, et Sophar Minæus, et fecerunt sicut præcepit eis Dominus : et solvit peccatum eis propter Job.

10. Dominus autem auxit Job : et cum ille precatus etiam esset pro amicis suis, dimisit eis peccatum. Dedit autem Dominus dupla, quæcumque erant antea Job, in duplicationem.

11. Audierunt autem omnes fratres ejus, et sorores ejus, quæcumque acciderant ei, et venerunt ad eum, et omnes quicumque noverant eum a principio : comedentes autem et bibentes apud eum consolati sunt eum, et mirati sunt super omnibus quæ induxit super eum Dominus. Dedit autem ei unusquisque agnum unum, et tetradrachmum auri et non signati.

12 Et benedixit Dominus novissima Job præ iis quæ antea: et fuerunt pecora ejus, oves decies et quater mille, cameli sexies mille, juga boum mille, asinæ fœminæ pascuales mille.

13. Et nascuntur ei filii septem, et filiæ tres.

14. Et primam quidem vocavit Diem : et secundam Casiam : et tertiam Cornu Amalthææ.

15. Et non sunt inventæ juxta filias Job meliores eis in ea quæ sub cœlo : dedit autem eis pater hæreditatem inter fratres.

16. Et vixit Job post plagam annos centum septuaginta : omnes autem annos vixit ducentos quadraginta. Et vidit Job filios suos, et filios filiorum suorum, quartam generationem. Et mortuus est Job senior et plenus dierum.

« Scriptum est autem ipsum rursus resurrecturum cum
« quibus resuscitat Dominus. Hic interpretatione redditur
« ex libro syriaco, in terra quidem Ausitide habitans, in
« finibus Idumææ et Arabiæ : et erat ei nomen Jobab. Cum
« autem accepisset uxorem Arabissam, generat filium, cui
« nomen Ennon. Erat autem ipse ex patre quidem Zare de
« filiis Esau filius, matris autem Bosorræ, ita ut ipse sit
« quintus ab Abraham. Et hi sunt reges qui regnaverunt in
« Edom, cujus regionis etiam ipse dominatus est : primus
« Balac filius Beor, et nomen civitatis ejus Dennaba. Post
« Balac autem, Jobab qui vocatur Job. Post hunc autem,
« Asom qui erat dux ex regione Thæmanitide. Post hunc
« autem, Adad filius Barad, qui excidit Madiam in campo

« Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθαίμ. Οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι, Ἐλιφὰζ τῶν Ἡσαῦ υἱῶν, « Θαιμανῶν βασιλεὺς, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, « Σωφὰρ ὁ Μιναίων βασιλεύς. »

« Moab, et nomen civitatis ejus Gethæm. Amici autem qui « ad eum venerunt, Eliphaz de filiis Esau, Thæmanorum « rex, Baldad tyrannus Sauchæorum, Sophar rex Minæorum. »

ΨΑΛΜΟΙ.

Α'.

1. Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.
2. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
3. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ· καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.
4. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.
5. Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.
6. Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Β'.

1. Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;
2. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπιτοαυτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.
3. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.
4. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.
5. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.
6. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ,
7. διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός μέ· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.
8. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.
9. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.
10. Καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.
11. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
12. Δράξασθε παιδείας, μή ποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.
13. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

PSALMI.

I.

1. Beatus vir qui non abiit in consilio impiorum, et in via peccatorum non stetit, et in cathedra pestilentiæ non sedit.
2. Sed in lege Domini voluntas ejus, et in lege ejus meditabitur die ac nocte.
3. Et erit tamquam lignum quod plantatum est secus decursus aquarum, quod fructum suum dabit in tempore suo ; et folium ejus non defluet, et omnia quæcumque faciet prosperabuntur.
4. Non sic impii, non sic, sed tamquam pulvis quem projicit ventus a facie terræ.
5. Ideo non resurgent impii in judicio, neque peccatores in consilio justorum.
6. Quoniam novit Dominus viam justorum, et iter impiorum peribit.

II.

1. Quare fremuerunt gentes, et populi meditati sunt inania?
2. Adstiterunt reges terræ, et principes convenerunt in unum adversus Dominum, et adversus Christum ejus.
3. Dirumpamus vincula eorum, et projiciamus a nobis jugum ipsorum.
4. Qui habitat in cœlis irridebit eos, et Dominus subsannabit eos.
5. Tunc loquetur ad eos in ira sua, et in furore suo conturbabit eos.
6. Ego autem constitutus sum rex ab eo super Sion montem sanctum ejus,
7. prædicans præceptum Domini. Dominus dixit ad me : Filius meus es tu, ego hodie genui te.
8. Postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ.
9. Reges eos in virga ferrea, tamquam vas figuli confringes eos.
10. Et nunc, reges, intelligite, erudimini, omnes qui judicatis terram.
11. Servite Domino in timore, et exsultate ei cum tremore.
12. Apprehendite disciplinam, nequando irascatur Dominus, et pereatis de via justa.
13. Cum exarserit in brevi ira ejus, beati omnes qui confidunt in eo.

Γ'.

1. Ψαλμὸς τῷ Δαυὶδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

2. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

3. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Διάψαλμα.

4. Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

5. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Διάψαλμα.

6. Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

7. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ ἐπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

8. ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

9. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δ'.

1. Εἰς τὸ τέλος ἐν ψαλμοῖς, ᾠδὴ τῷ Δαυίδ.

2. Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς μοι. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

3. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἱνατί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Διάψαλμα.

4. Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

5. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Διάψαλμα.

6. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον· Πολλοὶ λέγουσι· Τίς δείξει ὑμῖν τὰ ἀγαθά;

7. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.

8. Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

9. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω·

10 ὅτι σὺ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ε'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης, ψαλμὸς τῷ Δαυίδ.

2. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου,

3. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου·

4. ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε, τοπρωῒ εἰσακούσῃ τῆς φωνῆς μου.

5. Τοπρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι· Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ·

6. οὐδὲ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

III.

1. Psalmus ipsi David, cum fugeret a facie Absalom filii sui.

2. Domine, quid multiplicati sunt qui tribulant me? Multi insurgunt adversus me.

3. Multi dicunt animæ meæ : Non est salus ipsi in Deo ejus. *Diapsalma.*

4. Tu autem, Domine, susceptor meus es, gloria mea et exaltans caput meum.

5. Voce mea ad Dominum clamavi, et exaudivit me de monte sancto suo. *Diapsalma.*

6. Ego dormivi et somnum cepi, exsurrexi, quoniam Dominus suscipiet me.

7. Non timebo millia populi circumdantis me. Exsurge, Domine, salvum me fac, Deus meus :

8. quoniam tu percussisti omnes adversantes mihi sine causa, dentes peccatorum contrivisti.

9. Domini est salus, et super populum tuum benedictio tua.

IV.

1. In finem in Psalmis, canticum ipsi David.

2. Cum invocarem, exaudivit me Deus justitiæ meæ : in tribulatione dilatasti mihi. Miserere mei, et exaudi orationem meam.

3. Filii hominum, usquequo graves corde? Ut quid diligitis vanitatem, et quæritis mendacium? *Diapsalma.*

4. Et scitote quoniam mirificavit Dominus sanctum suum : Dominus exaudiet me cum clamavero ad eum.

5. Irascimini et nolite peccare : quæ dicitis in cordibus vestris, in cubilibus vestris compungimini. *Diapsalma.*

6. Sacrificate sacrificium justitiæ, et sperate in Domino : Multi dicunt : Quis ostendet nobis bona?

7. Signatum est super nos lumen vultus tui, Domine : Dedisti lætitiam in cor meum.

8. A fructu frumenti et vini et olei sui multiplicati sunt.

9. In pace in idipsum dormiam, et somnum capiam :

10. quoniam tu, Domine, singulariter in spe habitare fecisti me.

V.

1. In finem, pro ea quæ hæreditatem consequitur, psalmus ipsi David.

2. Verba mea auribus percipe, Domine, intellige clamorem meum,

3. intende voci orationis meæ, rex meus et Deus meus :

4. quoniam ad te orabo, Domine, mane exaudies vocem meam.

5. Mane astabo tibi, et videbo : Quoniam non Deus volens iniquitatem tu es :

6. neque habitabit juxta te malignus, neque permanebunt injusti ante oculos tuos.

6. Ἐμίσησας, Κύριε, πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

7. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

8. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

9. Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

10. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

11. Κρῖνον αὐτοὺς, ὁ Θεός· ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτοὺς, ὅτι παρεπίκρανάν σε, Κύριε.

12. Καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ἐλπίζοντες ἐπὶ σὲ, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς· καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου,

13. ὅτι σὺ εὐλογήσεις δίκαιον. Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ς'.

1. Εἰς τὸ τέλος, ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαυίδ.

2. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

3. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.

4. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σὺ, Κύριε, ἕως πότε;

5. Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου,

6. ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

7. Ἐκοπίασα ἐν στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

8. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

9. Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

10. Εἰσήκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

11. Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου· ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.

Ζ'.

1. Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί.

2. Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με,

3. μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος.

4. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου·

6. Odisti, Domine, omnes qui operantur iniquitatem, perdes omnes qui loquuntur mendacium.

7. Virum sanguinum et dolosum abominabitur Dominus.

8. Ego autem in multitudine misericordiæ tuæ, introibo in domum tuam, adorabo ad templum sanctum tuum in timore tuo.

9. Domine, deduc me in tua justitia propter inimicos meos, dirige in conspectu tuo viam meam.

10. Quoniam non est in ore eorum veritas, cor eorum vanum est. Sepulcrum patens est guttur eorum, linguis suis dolose agebant.

11. Judica illos, Deus : decidant a cogitationibus suis, secundum multitudinem impietatum eorum expelle eos, quoniam irritaverunt te, Domine.

12. Et lætentur in te omnes qui sperant in te, in æternum exsultabunt, et habitabis in eis : et gloriabuntur in te omnes qui diligunt nomen tuum,

13. quoniam tu benedices justo. Domine, ut scuto bonæ voluntatis coronasti nos.

VI.

1. In finem, in hymnis pro octava, psalmus ipsi David.

2. Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me.

3. Miserere mei, Domine, quoniam infirmus sum: sana me, Domine, quoniam conturbata sunt ossa mea.

4. Et anima mea turbata est valde, sed tu, Domine, usquequo?

5. Convertere, Domine, eripe animam meam : salvum me fac propter misericordiam tuam,

6. quoniam non est in morte qui memor sit tui : in inferno autem quis confitebitur tibi?

7. Laboravi in gemitu meo, lavabo per singulas noctes lectum meum : in lacrymis meis stratum meum rigabo.

8. Turbatus est a furore oculus meus : inveteravi inter omnes inimicos meos.

9. Discedite a me, omnes qui operamini iniquitatem, quoniam exaudivit Dominus vocem fletus mei.

10. Exaudivit Dominus deprecationem meam, Dominus orationem meam suscepit.

11. Erubescant et conturbentur vehementer omnes inimici mei : convertantur et erubescant valde velociter.

VII.

1. Psalmus ipsi David, quem cantavit Domino pro verbis Chusi filii Iemeni.

2. Domine Deus meus, in te speravi, salvum me fac ex omnibus persequentibus me, et libera me,

3. ne quando rapiat ut leo animam meam, dum non est qui redimat neque qui salvum faciat.

4. Domine Deus meus, si feci istud, si est iniquitas in manibus meis :

5. εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

6. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Διάψαλμα.

7. Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου· ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω,

8. καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.

9. Κύριος κρινεῖ λαούς. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

10. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.

11. Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

12. Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.

13. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.

14. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

15. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν.

16. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

17. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

18. Ἐξομολογήσομαι Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

5. si reddidi retribuentibus mihi mala, decidam ergo ab inimicis meis inanis.

6. Persequatur ergo inimicus animam meam et comprehendat, et conculcet in terra vitam meam, et gloriam meam in pulverem deducat. *Diapsalma.*

7. Exsurge, Domine, in ira tua, exaltare in finibus inimicorum meorum : exsurge, Domine Deus meus, in præcepto quod mandasti,

8. et synagoga populorum circumdabit te. Et propter hanc in altum regredere.

9. Dominus judicabit populos. Judica me, Domine, secundum justitiam meam, et secundum innocentiam meam super me.

10. Consummetur nunc nequitia peccatorum, et diriges justum, scrutans corda et renes Deus.

11. Justum adjutorium meum a Domino qui salvos facit rectos corde.

12. Deus judex justus, et fortis et longanimis, et non iram adducens per singulos dies.

13. Nisi conversi fueritis, gladium suum vibrabit : arcum suum tetendit, et paravit illum.

14. Et in eo paravit vasa mortis, sagittas suas ardentibus effecit.

15. Ecce parturiit injustitiam, concepit laborem, et peperit iniquitatem.

16. Lacum aperuit et effodit eum, et incidet in foveam quam fecit.

17. Convertetur labor ejus in caput ejus, et in verticem ipsius iniquitas ejus descendet.

18. Confitebor Domino secundum justitiam ejus, psallam nomini Domini altissimi.

Η'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Δαυίδ.

2. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

3. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον· ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

4. Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας.

5. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

6. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν,

7. καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου·

8. πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,

9. τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.

10. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

VIII.

1. In finem, pro torcularibus, psalmus ipsi David.

2. Domine Dominus noster, quam admirabile est nomen tuum in universa terra! Quoniam elevata est magnificentia tua super cœlos.

3. Ex ore infantium et lactentium perfecisti laudem : propter inimicos tuos, ut destruas inimicum et ultorem.

4. Quoniam videbo cœlos opera digitorum tuorum, lunam et stellas quæ tu fundasti.

5. Quid est homo, quod memor es ejus? aut filius hominis, quoniam visitas eum?

6. Minuisti eum paulo minus ab angelis, gloria et honore coronasti eum,

7. et constituisti eum super opera manuum tuarum :

8. omnia subjecisti sub pedibus ejus, oves et boves universas, insuper et pecora campi,

9. volucres cœli, et pisces maris, qui perambulant semitas maris.

10. Domine Dominus noster, quam admirabile est nomen tuum in universa terra!

Θ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαυίδ.

2. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

IX.

1. In finem, pro occultis filii, psalmus ipsi David.

2. Confitebor tibi, Domine, in toto corde meo, narrabo omnia mirabilia tua.

3. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοὶ, ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε.

4. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

5. Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.

6. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

7. Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου·

8. καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει. Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ·

9. καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

10. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει.

11. Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.

12. Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιὼν, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.

13. Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων.

14. Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου·

15. ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

16. Ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν· ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ ποὺς αὐτῶν.

17. Γινώσκεται Κύριος κρίματα ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. ΩΔΗ ΔΙΑΨΑΛΜΑΤΟΣ.

18. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.

19. Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχὸς, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα.

20. Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος· κριθήτωσαν ἔθνη ἐνώπιόν σου.

21. Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Διάψαλμα.

1. Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψει;

2. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός· συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.

3. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

4. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλὸς, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει·

5. οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ. Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.

6. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.

3. Lætabor et exsultabo in te, psallam nomini tuo, Altissime.

4. In convertendo inimicum meum retrorsum, infirmabuntur et peribunt a facie tua.

5. Quoniam fecisti judicium meum et causam meam, sedisti super thronum, qui judicas justitiam.

6. Increpasti gentes, et periit impius : nomen eorum delesti in sæculum, et in sæculum sæculi.

7. Inimici defecerunt frameæ in finem, et civitates destruxisti. Periit memoria eorum cum sonitu :

8. et Dominus in æternum permanet. Paravit in judicio thronum suum:

9. et ipse judicabit orbem terrarum in justitia, judicabit populos in rectitudine.

10. Et factus est Dominus refugium pauperi, adjutor in opportunitatibus in tribulatione.

11. Et sperent in te qui cognoscunt nomen tuum, quoniam non dereliquisti quærentes te, Domine.

12. Psallite Domino qui habitat in Sion, annuntiate inter gentes studia ejus.

13. Quoniam requirens sanguinem eorum recordatus est, non est oblitus orationis pauperum.

14. Miserere mei, Domine, vide humilitatem meam de inimicis meis, qui exaltas me de portis mortis :

15. ut annuntiem omnes laudes tuas in portis filiæ Sion.

16. Exsultabo in salutari tuo. Infixæ sunt gentes in interitu quem fecerunt : in laqueo isto quem absconderunt comprehensus est pes eorum.

17. Cognoscitur Dominus judicia faciens, in operibus manuum suarum comprehensus est peccator. ODA DIAPSALMATIS.

18. Convertantur peccatores in infernum, omnes gentes quæ obliviscuntur Deum.

19. Quia non in finem oblivio erit pauperis, patientia pauperum non peribit in æternum.

20. Exsurge, Domine, non confortetur homo: judicentur gentes in conspectu tuo.

21. Constitue, Domine, legislatorem super eos: sciant gentes quoniam homines sunt. *Diapsalma.*

1. Ut quid, Domine, recessisti longe, despicis in opportunitatibus, in tribulatione?

2. Dum superbit impius incenditur pauper : comprehenduntur in consiliis quibus cogitant.

3. Quoniam laudatur peccator in desideriis animæ suæ, et qui iniqua gerit benedicitur.

4. Irritavit Dominum peccator, secundum multitudinem iræ suæ non exquiret :

5. non est Deus in conspectu ejus. Contaminantur viæ illius in omni tempore : auferuntur judicia tua a facie ejus : omnium inimicorum suorum dominabitur.

6. Dixit enim in corde suo : Non movebor a generatione in generationem sine malo.

7. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.

8. Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῷον·

9. οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν. Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ· ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχὸν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκῦσαι αὐτόν.

10. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτὸν, κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

11. Εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεὸς, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

12. Ἀνάστηθι, Κύριε ὁ Θεὸς, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃς τῶν πενήτων.

13. Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ ζητήσει.

14. Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός.

15. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ.

16. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.

17. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

18. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

7. Cujus maledictione os ejus plenum est et amaritudine et dolo, sub cujus lingua labor et dolor.

8. Sedet in insidiis cum divitibus in occultis, ut interficiat innocentem :

9. oculi ejus in pauperem respiciunt. Insidiatur in occulto velut leo in spelunca sua : insidiatur ut rapiat pauperem, rapere pauperem dum attrahit eum.

10. In laqueo suo humiliabit eum, inclinabit se et cadet cum dominatus fuerit pauperum.

11. Dixit enim in corde suo : Oblitus est Deus, avertit faciem suam ne videat in finem.

12. Exsurge, Domine Deus, exaltetur manus tua, ne obliviscaris pauperum.

13. Propter quid irritavit impius Deum? Dixit enim in corde suo : Non requiret.

14. Vides quoniam tu laborem et iram consideras, ut tradas eos in manus tuas. Tibi derelictus est pauper, orphano tu fuisti adjutor.

15. Contere brachium peccatoris et maligni : quæretur peccatum illius et non invenietur.

16. Dominus regnabit in æternum, et in sæculum sæculi : peribitis, gentes, de terra illius.

17. Desiderium pauperum exaudivit Dominus, præparationem cordis eorum attendit auris tua.

18. Judicare pupillo et humili, ut non apponat ultro magnificare se homo super terram.

Ι΄.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

2. Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;

3. Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.

4. Ὅτι ἃ κατηρτίσω, καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησε;

5. Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

6. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ· ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

7. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

8. Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν· εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ.

X.

1. In finem, psalmus ipsi David.

2. In Domino confido quomodo dicetis animæ meæ : Transmigra in montes sicut passer?

3. Quoniam ecce peccatores intenderunt arcum, paraverunt sagittas in pharetra, ut sagittent in obscura luna rectos corde.

4. Quoniam quæ perfecisti, destruxerunt : justus autem quid fecit?

5. Dominus in templo sancto suo, Dominus, in cœlo sedes ejus : oculi ejus in pauperem respiciunt, palpebræ ejus interrogant filios hominum.

6. Dominus interrogat justum et impium : qui autem diligit iniquitatem odit animam suam.

7. Pluet super peccatores laqueos, ignis et sulphur et spiritus procellarum pars calicis eorum.

8. Quoniam justus Dominus et justitias dilexit : æquitatem vidit facies ejus.

ΙΑ΄.

1. Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαυίδ.

2. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

XI.

1. In finem pro octava, psalmus ipsi David.

2. Salvum me fac, Domine, quoniam defecit sanctus, quoniam diminutæ sunt veritates a filiis hominum.

3. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν.

4. Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλοῤῥήμονα·

5. τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστι, τίς ἡμῶν κύριος ἐστίν;

6. Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος· θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

7. Τὰ λόγια Κυρίου λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

8. Σὺ, Κύριε, φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.

9. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΙΒ'.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

1. Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

2. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας;

3. Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;

4. Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον·

5. μή ποτε εἴποι ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ·

6. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα· ἀγαλλιάσεται ἡ καρδία μου ἐν τῷ σωτηρίῳ σου. Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΙΓ'.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

1. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

2. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν Θεόν.

3. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων τὰ χείλη αὐτῶν. Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.

4. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατέσθοντες τὸν λαόν μου βρώσει ἄρτου;

5. Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ ἦν φόβος.

6. Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ, βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

7. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Ἐν

3. Vana locuti sunt unusquisque ad proximum suum : labia dolosa in corde, et corde locuti sunt.

4. Disperdat Dominus universa labia dolosa, et linguam magniloquam :

5. qui dixerunt : Linguam nostram magnificabimus, labia nostra a nobis sunt, quis noster dominus est?

6. Propter miseriam inopum, et gemitum pauperum, nunc exsurgam, dicit Dominus : ponam in salutari, fiducialiter agam in eo.

7. Eloquia Domini eloquia casta, argentum igne examinatum, probatum terræ, purgatum septuplum.

8. Tu, Domine, servabis nos, et custodies nos a generatione hac, et in æternum.

9. In circuitu impii ambulant : secundum altitudinem tuam multiplicasti filios hominum.

XII.

In finem, psalmus ipsi David.

1. Usquequo, Domine, oblivisceris me in finem? usquequo avertes faciem tuam a me?

2. Quamdiu ponam consilia in anima mea, dolores in corde meo per diem?

3. Usquequo exaltabitur inimicus meus super me?

4. Respice, exaudi me, Domine Deus meus. Illumina oculos meos, ne umquam obdormiam in mortem :

5. ne quando dicat inimicus meus : Prævalui adversus eum. Qui tribulant me exsultabunt si mortuus fuero :

6. ego autem in misericordia tua speravi : exsultabit cor meum in salutari tuo. Cantabo Domino qui bona tribuit mihi, et psallam nomini Domini altissimi.

XIII.

In finem, psalmus ipsi David.

1. Dixit insipiens in corde suo : Non est Deus. Corruperunt et abominabiles facti sunt in studiis : non est qui faciat bonitatem, non est usque ad unum.

2. Dominus de cœlo prospexit super filios hominum, ut videat si est intelligens aut requirens Deum.

3. Omnes declinaverunt, simul inutiles facti sunt, non est qui faciat bonum, non est usque ad unum. Sepulcrum patens est guttur eorum, linguis suis dolose agebant, venenum aspidum labia eorum. Quorum os maledictione et amaritudine plenum est, veloces pedes eorum ad effundendum sanguinem. Contritio et infelicitas in viis eorum, et viam pacis non cognoverunt : non est timor Dei ante oculos eorum.

4. Nonne cognoscent omnes qui operantur iniquitatem, qui devorant populum meum cibo panis?

5. Dominum non invocaverunt, illic trepidaverunt timore ubi non erat timor.

6. Quoniam Deus in generatione justa est, consilium inopis confudistis, quoniam Dominus spes ejus est.

7. Quis dabit ex Sion salutare Israel? Cum converterit

τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσθω Ἰακὼβ, καὶ εὐφρανθήτω Ἰσραήλ.

Dominus captivitatem plebis suæ, exsultet Jacob, et lætetur Israel.

ΙΔ'.

Ψαλμὸς τῷ Δαυίδ.

1. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου, καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;

2. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην·

3. λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ· οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.

4. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος· τοὺς δὲ φοβουμένους Κύριον δοξάζει. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν.

5. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

XIV.

Psalmus ipsi David.

1. Domine, quis habitabit in tabernaculo tuo, et quis requiescet in monte sancto tuo?

2. Qui ingreditur sine macula, et operatur justitiam.

3. qui loquitur veritatem in corde suo, qui non egit dolum in lingua sua : nec fecit proximo suo malum, et opprobrium non accepit adversus proximos suos.

4. Ad nihilum deductus est in conspectu ejus malignus : timentes autem Dominum glorificat. Qui jurat proximo suo et non decipit.

5. Pecuniam suam non dedit ad usuram, et munera super innocentes non accepit. Qui facit hæc non commovebitur in æternum.

ΙΕ'.

Στηλογραφία τῷ Δαυίδ.

1. Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.

2. Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

3. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσε πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

4. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων· οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

5. Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

6. Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστίν.

7. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

8. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός· ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

9. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

10. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

11. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

XV.

Tituli inscriptio ipsi David.

1. Conserva me, Domine, quoniam in te speravi.

2. Dixi Domino : Deus meus es tu, quoniam bonorum meorum non eges.

3. Sanctis qui sunt in terra ejus, mirificavit omnes voluntates suas in eis.

4. Multiplicatæ sunt infirmitates eorum, postea acceleraverunt. Non congregabo conventicula eorum de sanguinibus : nec memor ero nominum eorum per labia mea.

5. Dominus pars hæreditatis meæ et calicis mei : tu es qui restitues hæreditatem meam mihi.

6. Funes ceciderunt mihi in præclaris : etenim hæreditas mea præclara est mihi.

7. Benedicam Dominum qui tribuit mihi intellectum insuper autem et usque ad noctem erudierunt me renes mei.

8. Providebam Dominum in conspectu meo semper : quoniam a dextris est mihi, ne commovear.

9. Propter hoc lætatum est cor meum, et exsultavit lingua mea : insuper autem et caro mea requiescet in spe.

10. Quoniam non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem.

11. Notas mihi fecisti vias vitæ, adimplebis me lætitia cum vultu tuo : delectationes in dextra tua in finem.

Ις'.

Προσευχὴ τοῦ Δαυίδ.

1. Εἰσάκουσον, Κύριε, τῆς δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου. Ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις.

2. Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι· οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

XVI.

Oratio ipsius David.

1. Exaudi, Domine, justitiam meam, intende deprecationi meæ. Auribus percipe orationem meam, non in labiis dolosis.

2. A vultu tuo judicium meum prodeat : oculi mei videant æquitates.

3. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

4. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων· διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

5. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῇ τὰ διαβήματά μου.

6. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰςάκουσον τῶν ῥημάτων μου.

7. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.

8. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ· ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με,

9. ἀπὸ προςώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με· οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον·

10. τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

11. Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐγκλῖναι ἐν τῇ γῇ.

12. Ὑπέλαβόν με ὡςεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡςεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

13. Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου

14. ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε, ἀπολύων ἀπὸ γῆς, διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. Ἐχορτάσθησαν ὑείων, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

15. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προςώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.

ΙΖ'.

1. Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυὶδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ᾗ ἐῤῥύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ, καὶ εἶπεν·

2. Ἀγαπήσω σε, Κύριε ἰσχύς μου.

3. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ Θεός μου βοηθός μου, ἐλπιῶ ἐπ' αὐτόν. Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.

4. Αἰνῶν ἐπικαλέσομαι Κύριον· καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

5. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με.

6. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.

7. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα· ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰςελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

8. Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ· καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.

9. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ· καὶ πῦρ ἀπὸ προςώπου αὐτοῦ κατεφλόγισεν· ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

3. Probasti cor meum, visitasti nocte: igne me examinasti, et non est inventa in me iniquitas.

4. Ut non loquatur os meum opera hominum: propter verba labiorum tuorum ego custodivi vias duras.

5. Perfice gressus meos in semitis tuis, ut non moveantur vestigia mea.

6. Ego clamavi, quoniam exaudisti me, Deus: inclina aurem tuam mihi, et exaudi verba mea.

7. Mirifica misericordias tuas, qui salvos facis sperantes in te.

8. A resistentibus dexteræ tuæ, custodi me ut pupillam oculi: in tegmine alarum tuarum protege me,

9. a facie impiorum qui me nunc afflixerunt: inimici mei animam meam circumdederunt:

10. adipem suum concluserunt, os eorum locutum est superbiam.

11. Projicientes me nunc circumdederunt me, oculos suos statuerunt declinare in terram.

12. Susceperunt me sicut leo paratus ad prædam, et sicut catulus leonis habitans in occultis.

13. Exsurge, Domine, præveni eos, et supplanta eos: erue animam meam ab impio, frameam tuam

14. ab inimicis manus tuæ. Domine, perdens de terra, dispertire eos in vita eorum, et de absconditis tuis adimpletus est venter eorum. Saturati sunt porcina, et dimiserunt reliquias parvulis suis.

15. Ego autem in justitia apparebo conspectui tuo, satiabor cum apparuerit gloria tua.

XVII.

1. In finem puero Domini ipsi David, quæ locutus est Domino verba cantici hujus, in die qua eripuit eum Dominus de manu omnium inimicorum ejus, et de manu Saul, et dixit:

2. Diligam te, Domine fortitudo mea.

3. Dominus firmamentum meum, et refugium meum, et liberator meus. Deus meus adjutor meus, sperabo in eum. Protector meus, et cornu salutis meæ, et susceptor meus.

4. Laudans invocabo Dominum: et ab inimicis meis salvus ero.

5. Circumdederunt me dolores mortis, et torrentes iniquitatis conturbaverunt me.

6. Dolores inferni circumdederunt me, prævenerunt me laquei mortis.

7. In tribulatione mea invocavi Dominum, et ad Deum meum clamavi: audivit de templo sancto suo vocem meam, et clamor meus in conspectu ejus introibit in aures ejus.

8. Et commota est, et contremuit terra: et fundamenta montium conturbata sunt, et commota sunt, quoniam iratus est eis Deus.

9. Ascendit fumus in ira ejus: et ignis a facie ejus exarsit: carbones succensi sunt ab eo.

10. Καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη· καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

11. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη· ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

12. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.

13. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.

14. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

15. Καὶ ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς· καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς.

16. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης· ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

17. Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με· προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

18. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με· ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

19. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου· καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.

20. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν· ῥύσεταί με, ὅτι ἠθέλησέ με.

21. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι·

22. ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου·

23. ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ.

24. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

25. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

26. Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ.

27. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

28. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

29. Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.

30. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

31. Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ· τὰ λόγια Κυρίου πεπυρωμένα· ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.

32. Ὅτι τίς Θεὸς πλὴν τοῦ Κυρίου, καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;

33. Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου·

34. ὁ καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

35. Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου,

36. καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό μου· καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος καὶ ἡ παιδεία σου αὐτή με διδάξει.

10. Et inclinavit cœlum et descendit: et caligo sub pedibus ejus.

11. Et ascendit super Cherubim et volavit: et volavit super pennas ventorum.

12. Et posuit tenebras latibulum suum : in circuitu ejus tabernaculum ejus, tenebrosa aqua in nubibus aeris.

13. Præ fulgore in conspectu ejus nubes transierunt, grando et carbones ignis.

14. Et intonuit de cœlo Dominus, et Altissimus dedit vocem suam.

15. Et emisit sagittas et dissipavit eos: et fulgura multiplicavit et conturbavit eos.

16. Et apparuerunt fontes aquarum, et revelata sunt fundamenta orbis terrarum : ab increpatione tua, Domine, ab inspiratione spiritus iræ tuæ.

17. Misit de summo et accepit me : assumpsit me de aquis multis.

18. Eruet me de inimicis meis potentibus, et ab his qui oderunt me: quoniam confortati sunt super me.

19. Prævenerunt me in die afflictionis meæ: et factus est Dominus firmamentum meum.

20. Et eduxit me in latitudinem: eruet me, quoniam voluit me.

21. Et retribuet mihi Dominus secundum justitiam meam, et secundum puritatem manuum mearum retribuet mihi:

22. quia custodivi vias Domini, nec impie gessi a Deo meo:

23. quoniam omnia judicia ejus in conspectu meo, et justitiæ ejus non recesserunt a me.

24. Et ero immaculatus cum eo, et observabo me ab iniquitate mea.

25. Et retribuet mihi Dominus secundum justitiam meam, et secundum puritatem manuum mearum, in conspectu oculorum ejus.

26. Cum sancto sanctificaberis, et cum viro innocente innocens eris.

27. Et cum electo electus eris, et cum perverso perverteris.

28. Quoniam tu populum humilem salvum facies, et oculos superborum humiliabis.

29. Quoniam tu illuminabis lucernam meam, Domine Deus meus, illuminabis tenebras meas.

30. Quoniam in te eripiar a tentatione, et in Deo meo transgrediar murum.

31. Deus meus, immaculata via ejus: eloquia Domini igne examinata: protector est omnium sperantium in se.

32. Quoniam quis Deus præter Dominum, et quis Deus præter Deum nostrum?

33. Deus qui præcinxit me virtute, et posuit immaculatam viam meam:

34. qui perfecit pedes meos tamquam cervi, et super excelsa statuit me.

35. Qui docet manus meas ad prælium, et posuisti arcum æreum brachia mea,

36. et dedisti mihi protectionem salutis meæ, et dextera tua suscepit me : et disciplina tua correxit me in finem, et disciplina tua ipsa me docebit.

37. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου.

38. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτοὺς, καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν.

39. Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

40. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον· συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου.

41. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.

42. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.

43. Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου· ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.

44. Ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ· καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.

45. Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι.

46. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι· υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

47. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.

48. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμὲ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων.

49. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με· ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.

50 Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.

51. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

ΙΗ'.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

2. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

3. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

4. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

5. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

6. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ,

7. ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.

8. Ὁ νόμος τοῦ Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια.

9. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς.

10. Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα Κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

11. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.

37. Dilatasti gressus meos subter me, et non sunt infirmata vestigia mea.

38. Persequar inimicos meos, et comprehendam illos, et non revertar donec deficiant.

39. Confringam illos, nec poterunt stare : cadent subtus pedes meos.

40. Et præcinxisti me virtute ad bellum : supplantasti omnes insurgentes in me subter me.

41. Et inimicos meos dedisti mihi dorsum, et odio habentes me disperdidisti.

42. Clamaverunt, nec erat qui salvos faceret, ad Dominum, nec exaudivit eos.

43. Et comminuam eos ut pulverem ante faciem venti : ut lutum platearum delebo eos.

44. Erue me de contradictionibus populi : constitues me in caput gentium.

45. Populus quem non cognovi servivit mihi : in auditu auris obedivit mihi.

46. Filii alieni mentiti sunt mihi : filii alieni inveterati sunt, et claudicaverunt a semitis suis.

47. Vivit Dominus, et benedictus Deus meus, et exaltetur Deus salutis meæ.

48. Deus qui das vindictas mihi, et subdis populos sub me, liberator meus de inimicis iracundis.

49. Ab insurgentibus in me exaltabis me : a viro iniquo eripies me.

50. Propterea confitebor tibi in gentibus, Domine, et nomini tuo psallam.

51. Magnificans salutes regis ejus, et faciens misericordiam christo suo David, et semini ejus in sæculum.

XVIII.

1. In finem, psalmus ipsi David.

2. Cœli enarrant gloriam Dei : et opus manuum ejus annuntiat firmamentum.

3. Dies diei eructat verbum, et nox nocti annuntiat scientiam.

4. Non sunt loquelæ neque sermones quorum non audiantur voces eorum.

5. In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum.

6. In sole posuit tabernaculum suum, et ipse tamquam sponsus procedens de thalamo suo. Exsultabit ut gigas ad currendam viam suam,

7. a summo cœlo egressio ejus, et occursus ejus usque ad summum cœli : nec est qui se abscondat a calore ejus.

8. Lex Domini immaculata, convertens animas : testimonium Domini fidele, sapientiam præstans parvulis.

9. Justitiæ Domini rectæ, lætificantes cor : præceptum Domini lucidum, illuminans oculos.

10. Timor Domini castus, permanens in sæculum sæculi : judicia Domini vera, justificata in idipsum :

11. desiderabilia super aurum et lapidem pretiosum multum, et dulciora super mel et favum.

12. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

12. Etenim servus tuus custodit ea : in custodiendis illis retributio multa.

13. Παραπτώματα τίς συνήσει; Ἐκ τῶν κρυφίων μου καθάρισόν με,

13. Delicta quis intelliget? Ab occultis meis munda me,

14. καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

14. et ab alienis parce servo tuo. Si mei non fuerint dominati, tunc immaculatus ero, et mundabor a delicto magno.

15. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.

15. Et erunt in beneplacitum eloquia oris mei, et meditatio cordis mei in conspectu tuo semper. Domine, adjutor meus et redemptor meus!

ΙΘ'. / XIX.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

1. In finem, psalmus ipsi David.

2. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

2. Exaudiat te Dominus in die tribulationis, protegat te nomen Dei Jacob.

3. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

3. Mittat tibi auxilium de sancto, et de Sion tueatur te.

4. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Διάψαλμα.

4. Memor sit omnis sacrificii tui, et holocaustum tuum pinguefaciat. *Diapsalma.*

5. Δῴη σοι κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

5. Tribuat tibi secundum cor tuum, et omne consilium tuum compleat.

6. Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

6. Exsultabimus in salutari tuo, et in nomine Dei nostri magnificabimur.

7. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου· νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

7. Impleat Dominus omnes petitiones tuas : nunc cognovi quoniam salvum fecit Dominus christum suum. Exaudiet illum de cœlo sancto suo, in potentatibus salus dexteræ ejus.

8. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

8. Hi in curribus, et hi in equis : nos autem in nomine Domini Dei nostri magnificabimur.

9. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

9. Ipsi obligati sunt et deciderunt : nos autem surreximus et erecti sumus.

10. Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

10. Domine, salvum fac regem, et exaudi nos in quacumque die invocaverimus te.

Κ'. / XX.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

1. In finem, psalmus ipsi David.

2. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

2. Domine, in virtute tua lætabitur rex, et super salutare tuum exultabit vehementer.

3. Τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Διάψαλμα.

3. Desiderium animæ ejus dedisti ei, et petitione labiorum ejus non fraudasti eum. *Diapsalma.*

4. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

4. Quoniam prævenisti eum in benedictionibus dulcedinis : posuisti super caput ejus coronam de lapide pretioso.

5. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

5. Vitam petiit a te, et dedisti ei longitudinem dierum in sæculum sæculi.

6. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

6. Magna est gloria ejus in salutari tuo : gloriam et magnum decorem impones super eum.

7. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

7. Quoniam dabis ei benedictionem in sæculum sæculi : lætificabis eum in gaudio cum vultu tuo.

8. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον· καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

8. Quoniam rex sperat super Dominum : et in misericordia Altissimi non commovebitur.

9. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

9. Inveniatur manus tua omnibus inimicis tuis : dextera tua inveniat omnes qui te oderunt.

10. Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου· Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

10. Pones eos ut clibanum ignis in tempore vultus tui : Dominus in ira sua conturbabit eos, et devorabit eos ignis.

11. Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.
12. Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὴν ἣν οὐ μὴ δύνωνται στῆσαι.
13. Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.
14. Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

11. Fructum illorum de terra perdes, et semen eorum a filiis hominum.
12. Quoniam declinaverunt in te mala, cogitaverunt consilium quod non poterunt stabilire.
13. Quoniam pones eos dorsum in reliquis tuis, præparabis vultum eorum.
14. Exaltare, Domine, in virtute tua : cantabimus et psallemus virtutes tuas.

ΚΑ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαυίδ.
2. Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι· ἱνατί ἐγκατέλιπές με; Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.
3. Ὁ Θεός μου, κεκράξομαι ἡμέρας πρὸς σὲ καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.
4. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.
5. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐῤῥύσω αὐτούς.
6. Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.
7. Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.
8. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.
9. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.
10. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου,
11. ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας· ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σὺ,
12. μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.
13. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με.
14. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.
15. Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου· ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.
16. Ἐξηράνθη ὡσεὶ ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.
17. Ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας,
18. ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
19. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
20. Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες.
21. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.
22. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.
23. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

XXI

1. In finem, pro susceptione matutina, psalmus ipsi David.
2. Deus, Deus meus, respice in me : quare me dereliquisti? Longe a salute mea verba delictorum meorum.
3. Deus meus, clamabo ad te per diem et non exaudies, et nocte et non ad insipientiam mihi.
4. Tu autem in sancto habitas, laus Israel.
5. In te speraverunt patres nostri, speraverunt et eruisti eos.
6. Ad te clamaverunt et salvi facti sunt : in te speraverunt et non sunt confusi.
7. Ego autem sum vermis et non homo, opprobrium hominum et abjectio plebis.
8. Omnes qui conspiciebant me subsannaverunt me, locuti sunt labiis, moverunt caput.
9. Speravit in Dominum, eruat eum : salvum faciat eum, quoniam vult eum.
10. Quoniam tu es qui extraxisti me de ventre, spes mea ab uberibus matris meæ,
11. in te projectus sum ex utero : de ventre matris meæ Deus meus es tu,
12. ne discedas a me, quoniam tribulatio proxima est, quoniam non est qui adjuvet.
13. Circumdederunt me vituli multi, tauri pingues obsederunt me.
14. Aperuerunt super me os suum, sicut leo rapiens et rugiens.
15. Sicut aqua effusus sum, et dispersa sunt omnia ossa mea : factum est cor meum sicut cera liquescens in medio ventris mei.
16. Exaruit velut testa virtus mea, et lingua mea adhæsit faucibus meis, et in pulverem mortis deduxisti me.
17. Quoniam circumdederunt me canes multi, consilium malignantium obsedit me. Foderunt manus meas et pedes,
18. dinumeraverunt omnia ossa mea, ipsi vero consideraverunt et inspexerunt me.
19. Diviserunt sibi vestimenta mea, et super vestem meam miserunt sortem.
20. Tu autem, Domine, ne elongaveris auxilium meum, in defensionem meam respice.
21. Erue a framea animam meam, et de manu canis unicam meam.
22. Salvum me fac de ore leonis, et a cornibus unicornium humilitatem meam.
23. Narrabo nomen tuum fratribus meis, in medio ecclesiæ cantabo te.

24. Οἱ φοβούμενοι Κύριον, αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξάσατε αὐτὸν,

25. φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραὴλ, ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.

26. Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.

27. Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

28. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

29. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν

30. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν.

31. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.

32. Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

24. Qui timetis Dominum, laudate eum, universum semen Jacob, magnificate eum,

25. timeat eum omne semen Israel, quoniam non sprevit neque despexit deprecationem pauperis, neque avertit faciem suam a me, et cum clamarem ad eum exaudivit me.

26. A te laus mea in ecclesia magna, vota mea reddam in conspectu timentium eum.

27. Edent pauperes et saturabuntur, et laudabunt Dominum qui requirunt eum: vivent corda eorum in sæculum sæculi.

28. Reminiscentur et convertentur ad Dominum universi fines terræ, et adorabunt in conspectu ejus universæ familiæ gentium.

29. Quoniam Domini est regnum, et ipse dominabitur gentium.

30. Manducaverunt et adoraverunt omnes pingues terræ, in conspectu ejus procident omnes qui descendunt in terram.

31. Et anima mea ipsi vivet, et semen meum serviet ipsi.

32. Annuntiabitur Domino generatio ventura, et annuntiabunt justitiam ejus populo qui nascetur, quem fecit Dominus.

ΚΒ'.

Ψαλμὸς τῷ Δαυίδ.

1. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει·

2. εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με,

3. τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

4. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ· ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.

5. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον.

6. Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

XXII.

Psalmus ipsi David.

1. Dominus pascit me, et nihil mihi deerit:

2. in loco pascuæ ibi me collocavit: super aquam refectionis educavit me,

3. animam meam convertit. Deduxit me super semitas justitiæ, propter nomen suum.

4. Nam et si ambulavero in medio umbræ mortis, non timebo mala, quoniam tu mecum es: virga tua et baculus tuus, ipsa me consolata sunt.

5. Parasti in conspectu meo mensam, adversus eos qui tribulant me: impinguasti in oleo caput meum, et calix tuus inebrians quam præclarus est!

6. Et misericordia tua subsequetur me omnibus diebus vitæ meæ, et ut inhabitem in domo Domini in longitudinem dierum.

ΚΓ'.

Ψαλμὸς τῷ Δαυίδ, τῆς μιᾶς σαββάτου.

1. Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

2. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

3. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

4. Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

5. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

XXIII.

Psalmus ipsi David, una sabbati.

1. Domini est terra et plenitudo ejus, orbis terrarum et universi qui habitant in eo.

2. Ipse super maria fundavit eum, et super flumina præparavit eum.

3. Quis ascendet in montem Domini, aut quis stabit in loco sancto ejus?

4. Innocens manibus et mundus corde, qui non accepit in vano animam suam, et non juravit in dolo proximo suo.

5. Hic accipiet benedictionem à Domino, et misericordiam a Deo salutari suo.

6. Αὕτη ἡ γενεὰ ζητούντων αὐτὸν, ζητούντων τὸ πρόςωπον τοῦ Θεοῦ Ἰακώβ. Διάψαλμα.
7. Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰςελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
8. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.
9. Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰςελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
10. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης.

ΚΔ΄.

Ψαλμὸς τῷ Δαυίδ.

1. Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου,
2. ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην,
3. μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.
4. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.
5. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.
6. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν.
7. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.
8. Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.
9. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
10. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.
11. Ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.
12. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο.
13. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
14. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.
15. Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
16. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
17. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
18. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
19. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.
20. Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
21. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

6. Hæc est generatio quærentium eum, quærentium faciem Dei Jacob. *Diapsalma.*
7. Tollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit rex gloriæ.
8. Quis est iste rex gloriæ? Dominus fortis et potens, Dominus potens in prælio.
9. Tollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit rex gloriæ.
10. Quis est iste rex gloriæ? Dominus virtutum, ipse est rex gloriæ.

XXIV.

Psalmus ipsi David.

1. Ad te, Domine, levavi animam meam,
2. Deus meus, in te confidi : non erubescam,
3. neque irrideant me inimici mei : etenim universi qui sustinent te non confundentur.
4. Confundantur inique agentes supervacue. Vias tuas Domine, notas fac mihi, et semitas tuas edoce me.
5. Deduc me in veritatem tuam, et doce me, quia tu es Deus salvator meus, et te sustinui tota die.
6. Reminiscere miserationum tuarum, Domine, et quia misericordiæ tuæ a sæculo sunt.
7. Delicta juventutis meæ et ignorantias meas ne memineris : secundum misericordiam tuam memor esto mei, propter bonitatem tuam, Domine.
8. Dulcis et rectus Dominus, propter hoc legem dabit delinquentibus in via.
9. Deducet mansuetos in judicio, docebit mites vias suas.
10. Universæ viæ Domini misericordia et veritas, requirentibus testamentum ejus et testimonia ejus.
11. Propter nomen tuum, Domine, et propitiaberis peccato meo, multum est enim.
12. Quis est homo qui timet Dominum? Legem statuet ei in via quam elegit.
13. Anima ejus in bonis demorabitur, et semen ejus hæreditabit terram.
14. Firmamentum est Dominus timentium eum, et testamentum ipsius ad manifestandum eis.
15. Oculi mei semper ad Dominum, quoniam ipse evellet de laqueo pedes meos.
16. Respice in me et miserere mei, quoniam unicus et pauper sum ego.
17. Tribulationes cordis mei multiplicatæ sunt, de necessitatibus meis erue me.
18. Vide humilitatem meam et laborem meum, et dimitte omnia peccata mea.
19. Vide inimicos meos, quoniam multiplicati sunt, et odio iniquo oderunt me.
20. Custodi animam meam et erue me : non confundar, quoniam speravi in te.
21. Innocentes et recti adhæserunt mihi, quoniam sustinui te, Domine.

22. Λύτρωσαι, ὁ Θεὸς, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

22. Redime, Deus, Israel ex omnibus tribulationibus ejus.

ΚΕʹ.

Τοῦ Δαυίδ.

1. Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ σαλευθῶ.
2. Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.
3. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
4. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.
5. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
6. Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε,
7. τοῦ ἀκοῦσαι φωνῆς αἰνέσεως, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
8. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου.
9. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου·
10. ὧν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
11. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με καὶ ἐλέησόν με.
12. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

XXV.

Ipsius David.

1. Judica me, Domine, quoniam ego in innocentia mea ambulavi, et in Domino sperans non movebor.
2. Proba me, Domine, et tenta me, ure renes meos et cor meum.
3. Quoniam misericordia tua ante oculos meos est, et complacui in veritate tua.
4. Non sedi cum consilio vanitatis, et cum iniqua gerentibus non introibo.
5. Odio habui ecclesiam malignantium, et cum impiis non sedebo.
6. Lavabo inter innocentes manus meas, et circumdabo altare tuum, Domine,
7. ut audiam vocem laudis, et enarrem universa mirabilia tua.
8. Domine, dilexi decorem domus tuæ et locum habitationis gloriæ tuæ.
9. Ne simul perdas cum impiis animam meam, et cum viris sanguinum vitam meam :
10. in quorum manibus iniquitates sunt, dextera eorum repleta est muneribus.
11. Ego autem in innocentia mea ambulavi, redime me et miserere mei.
12. Pes meus stetit in rectitudine, in ecclesiis benedicam te, Domine.

Κϛʹ.

Τοῦ Δαυίδ, πρὸ τοῦ χρισθῆναι.

1. Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;
2. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου· οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.
3. Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4. Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
5. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.
6. Ἐν πέτρᾳ ὕψωσέ με, καὶ νῦν ἰδοὺ ὕψωσε τὴν κεφαλήν μου ἐπ' ἐχθρούς μου. Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ, ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.
7. Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου ἧς ἐκέκραξα, ἐλέησόν με, καὶ εἰσάκουσόν μου.
8. Σοὶ εἶπεν ἡ καρδία μου, ἐξεζήτησα τὸ πρόσωπόν σου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.
9. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ, μὴ ἐγκαταλίπῃς με, καὶ μὴ ὑπερίδῃς με, ὁ Θεὸς ὁ σωτήρ μου

XXVI.

Ipsius David, priusquam liniretur.

1. Dominus illuminatio mea et salus mea, quem timebo? Dominus protector vitæ meæ, a quo trepidabo?
2. Dum appropinquant super me nocentes, ut edant carnes meas : qui tribulant me et inimici mei, ipsi infirmati sunt et ceciderunt. Si consistant adversum me castra, non timebit cor meum.
3. Si insurgat in me bellum, in hoc ego spero.
4. Unam petii a Domino, hanc requiram : ut inhabitem in domo Domini omnes dies vitæ meæ : contempler delectationem Domini, et visitem templum ejus.
5. Quoniam abscondit me in tabernaculo suo in die malorum meorum, protexit me in abscondito tabernaculi sui.
6. In petra exaltavit me, et nunc ecce exaltavit caput meum super inimicos meos. Circuivi et immolavi in tabernaculo ejus hostiam vociferationis, cantabo et psallam Domino.
7. Exaudi, Domine, vocem meam qua clamavi ad te, miserere mei et exaudi me.
8. Tibi dixit cor meum, quæsivi vultum tuum : vultum tuum, Domine, requiram.
9. Ne avertas vultum tuum a me, ne declines in ira a servo tuo. Adjutor meus esto, ne derelinquas me, neque despicias me, Deus salvator meus.

10. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προςελάβετό με.
11. Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
12. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
13. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.
14. Ὑπόμεινον τὸν Κύριον, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

10. Quoniam pater meus et mater mea dereliquerunt me, Dominus autem assumpsit me.
11. Legem pone mihi, Domine, in via tua, et dirige me in semita justa propter inimicos meos.
12. Ne tradideris me in animas tribulantium me, quoniam insurrexerunt mihi testes iniqui, et mentita est iniquitas sibi.
13. Credo videre bona Domini in terra viventium.
14. Sustine Dominum, viriliter age, et confortetur cor tuum, et sustine Dominum.

ΚΖ'.

Τοῦ Δαυίδ.

1. Πρὸς σὲ, Κύριε, ἐκέκραξα· ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἐπ' ἐμοὶ, μήποτε παρασιωπήσῃς ἐπ' ἐμοὶ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
2. Εἰςάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, ἐν τῷ αἴρειν με χεῖράς μου εἰς ναὸν ἅγιόν σου.
3. Μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με· τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
4. Δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν· κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
5. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
6. Εὐλογητὸς Κύριος, ὅτι εἰςήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.
7. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην· καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.
8. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστι.
9. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

XXVII.

Ipsius David.

1. Ad te, Domine, clamavi : Deus meus, ne sileas super me, ne quando sileas super me, et assimilabor descendentibus in lacum.
2. Exaudi vocem deprecationis meæ, dum oro ad te, dum extollo manus meas ad templum sanctum tuum.
3. Ne simul trahas cum peccatoribus animam meam, et cum operantibus iniquitatem ne comperdas me : cum his qui loquuntur pacem cum proximis suis, mala autem in cordibus eorum.
4. Da illis secundum opera eorum, et secundum malignitatem adinventionum ipsorum : secundum opera manuum illorum da eis, redde retributionem eorum ipsis.
5. Quoniam non intellexerunt in operibus Domini et in operibus manuum ejus, destrues illos et non ædificabis eos.
6. Benedictus Dominus, quoniam exaudivit vocem deprecationis meæ.
7. Dominus adjutor meus et protector meus, in ipso speravit cor meum, et adjutus sum : et refloruit caro mea, et ex voluntate mea confitebor ei.
8. Dominus fortitudo plebis suæ, et protector salutarium Christi sui est.
9. Salvum fac populum tuum, et benedic hæreditatem tuam, et pasce illos, et extolle illos usque in sæculum.

ΚΗ'.

Ψαλμὸς τῷ Δαυὶδ ἐξοδίου σκηνῆς.

1. Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.
2. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμὴν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προςκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
3. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν.
4. Φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.
5. Φωνὴ Κυρίου συντρίβοντος κέδρους· συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου.
6. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

XXVIII.

Psalmus ipsi David exodii tabernaculi.

1. Afferte Domino, filii Dei, afferte Domino filios arietum.
2. Afferte Domino gloriam et honorem, afferte gloriam nomini ejus, adorate Dominum in aula sancta ejus.
3. Vox Domini super aquas, Deus majestatis intonuit, Dominus super aquas multas.
4. Vox Domini in virtute, vox Domini in magnificentia.
5. Vox Domini confringentis cedros : confringet Dominus cedros Libani.
6. Et comminuet eos tamquam vitulum Libani, et dilectus sicut filius unicornium.

7. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρὸς,
8. φωνὴ Κυρίου συσσείοντος ἔρημον· συσσείσει Κύριος τὴν ἔρημον Κάδης.
9. Φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμοὺς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.
10. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
11. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

7. Vox Domini intercidentis flammam ignis,
8. vox Domini concutientis desertum : commovebit Dominus desertum Cades.
9. Vox Domini perficientis cervos, et revelabit sylvas, et in templo ejus unusquisque dicet gloriam.
10. Dominus diluvium inhabitare facit, et sedebit Dominus rex in æternum.
11. Dominus virtutem populo suo dabit, Dominus benedicet populum suum in pace.

ΚΘ'.

1. Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τοῦ Δαυίδ.

2. Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.
3. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με.
4. Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
5. Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.
6. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ· τοεσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τοπρωῒ ἀγαλλίασις.
7. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
8. Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.
9. Πρὸς σὲ, Κύριε, κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.
10. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
11. Ἤκουσε Κύριος, καὶ ἠλέησέ με· Κύριος ἐγενήθη βοηθός μου.
12. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ, διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.
13. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

XXIX.

1. In finem, psalmus cantici dedicationis domus ipsius David.

2. Exaltabo te, Domine, quoniam suscepisti me, nec delectasti inimicos meos super me.
3. Domine Deus meus, clamavi ad te, et sanasti me.
4. Domine, reduxisti ab inferno animam meam, salvum fecisti me a descendentibus in lacum.
5. Psallite Domino, sancti ejus, et confitemini memoriæ sanctitatis ejus.
6. Quoniam ira in indignatione ejus, et vita in voluntate ejus : vespere dominabitur fletus, et in matutinum exultatio.
7. Ego autem dixi in abundantia mea : Non movebor in æternum.
8. Domine, in voluntate tua præstitisti decori meo virtutem : avertisti autem faciem tuam, et factus sum conturbatus.
9. Ad te, Domine, clamabo, et ad Deum meum deprecabor.
10. Quæ utilitas in sanguine meo, dum descendo in corruptionem? Numquid confitebitur tibi pulvis, aut annuntiabit veritatem tuam?
11. Audivit Dominus, et misertus est mei : Dominus factus est adjutor meus.
12. Convertisti planctum meum in gaudium mihi, conscidisti saccum meum, et accinxisti me lætitia.
13. Ut psallat tibi gloria mea, et non compungar. Domine Deus meus, in æternum confitebor tibi.

Λ'.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ, ἐκστάσεως.

2. Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.
3. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με· γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς, τοῦ σῶσαί με.
4. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.
5. Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.
6. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.

XXX.

1. In finem, psalmus ipsi David, exstasis.

2. In te, Domine, speravi, non confundar in æternum : in justitia tua erue me et exime me.
3. Inclina ad me aurem tuam, accelera ut eximas me : esto mihi in Deum protectorem et in domum refugii, ut salvum me facias.
4. Quoniam fortitudo mea et refugium meum es tu, et propter nomen tuum deduces me et enutries me.
5. Educes me de laqueo hoc quem absconderunt mihi, quoniam tu es protector meus, Domine.
6. In manus tuas commendabo spiritum meum : redemisti me, Domine Deus veritatis.

7. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς· ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα,

8. ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

9. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

10. Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

11. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

12. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου· οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ,

13. ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός,

14. ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν· ἐν τῷ συναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

15. Ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα, Κύριε· εἶπα· Σὺ εἶ ὁ Θεός μου,

16. ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.

17. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.

18. Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν οἱ ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.

19. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

20. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

21. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων· σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

22. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

23. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

24. Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

25. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΛΑ'.

Συνέσεως τῷ Δαυίδ.

1. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

2. Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

3. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

7. Odisti observantes vanitates supervacue : ego autem in Domino speravi,

8. exsultabo et lætabor in misericordia tua. Quoniam respexisti humilitatem meam, salvam fecisti de necessitatibus animam meam.

9. Nec conclusisti me in manus inimici, statuisti in loco spatioso pedes meos.

10. Miserere mei, Domine, quoniam tribulor : conturbatus est in ira oculus meus, anima mea et venter meus.

11. Quoniam defecit in dolore vita mea, et anima mea in gemitibus : infirmata est in paupertate virtus mea, et ossa mea conturbata sunt.

12. Super omnes inimicos meos factus sum opprobrium, et vicinis meis valde, et timor notis meis : qui videbant me foras fugerunt a me,

13. oblivioni datus sum tamquam mortuus a corde, factus sum tamquam vas perditum,

14. quoniam audivi vituperationem multorum accolentium in circuitu : dum congregarentur ipsi simul adversum me, ut acciperent animam meam consiliati sunt.

15. Ego autem in te speravi, Domine : dixi : Tu es Deus meus,

16. in manibus tuis sortes meæ. Erue me de manu inimicorum meorum, et a persequentibus me.

17. Illustra faciem tuam super servum tuum, salvum me fac in misericordia tua.

18. Domine, non confundar, quoniam invocavi te : erubescant impii, et deducantur in infernum.

19 Muta fiant labia dolosa, quæ loquuntur adversus justum iniquitatem in superbia et contemptu.

20. Quam magna multitudo dulcedinis tuæ, Domine quam abscondisti timentibus te! Perfecisti sperantibus in te, in conspectu filiorum hominum.

21. Abscondes eos in abscondito faciei tuæ a conturbatione hominum : proteges eos in tabernaculo a contradictione linguarum.

22. Benedictus Dominus, quoniam mirificavit misericordiam suam in civitate munitionis.

23. Ego autem dixi in extasi mea : Projectus sum a facie oculorum tuorum. Ideo exaudisti, Domine, vocem orationis meæ dum clamarem ad te.

24. Diligite Dominum, omnes sancti ejus, quoniam veritates requirit Dominus, et retribuet iis qui abundanter faciunt superbiam.

25. Viriliter agite, et confortetur cor vestrum, omnes qui speratis in Domino.

XXXI.

Intelligentiæ ipsi David.

1. Beati quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata.

2. Beatus vir cui non imputabit Dominus peccatum, nec est in ore ejus dolus.

3. Quoniam tacui, inveteraverunt ossa mea, a clamando me tota die.

4. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι ἄκανθαν. Διάψαλμα.

5. Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα. Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Διάψαλμα.

6. Ὑπὲρ ταύτης προςεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

7. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Διάψαλμα.

8. Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

9. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

10. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

11. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

ΛΒ'.

Τῷ Δαυίδ.

1. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

2. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

3. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.

4. Ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

5. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

6. Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

7. Συνάγων ὡςεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

8. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

9. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

10. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.

11. Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς.

12. Μακάριον τὸ ἔθνος οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

13. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων,

14. ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

15. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.

16. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

4. Quoniam die ac nocte gravata est super me manus tua, conversus sum in ærumna dum configeretur mihi spina. *Diapsalma.*

5. Peccatum meum notum feci, et injustitiam meam non operui. Dixi : Pronuntiabo adversum me injustitiam meam Domino, et tu remisisti impietatem cordis mei. *Diapsalma.*

6. Pro hac orabit ad te omnis sanctus, in tempore opportuno : verumtamen in diluvio aquarum multarum ad eum non appropinquabunt.

7. Tu es refugium meum a tribulatione quæ circumdedit me : exsultatio mea redime me a circumdantibus me. *Diapsalma.*

8. Intellectum dabo tibi, et instruam te in via hac qua gradieris, obfirmabo super te oculos meos.

9. Nolite fieri sicut equus et mulus, quibus non est intellectus : in freno et camo maxillas eorum constringe, qui non appropinquant ad te.

10. Multa flagella peccatoris, sperantem autem in Domino misericordia circumdabit.

11. Lætamini in Domino et exsultate, justi, et gloriamini, omnes recti corde.

XXXII.

Ipsi David.

1. Exsultate, justi, in Domino, rectos decet laudatio.

2. Confitemini Domino in cithara, in psalterio decachordo psallite ei.

3. Cantate ei canticum novum, bene psallite in vociferatione.

4. Quia rectum est verbum Domini, et omnia opera ejus in fide.

5. Diligit misericordiam et judicium, misericordia Domini plena est terra.

6. Verbo Domini cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum.

7. Congregans sicut utrem aquas maris, ponens in thesauris abyssos.

8. Timeat Dominum omnis terra, ab eo autem commoveantur omnes inhabitantes orbem.

9. Quoniam ipse dixit et facta sunt, ipse mandavit et creata sunt.

10. Dominus dissipat consilia gentium, reprobat autem cogitationes populorum, et reprobat consilia principum.

11. Consilium vero Domini manet in æternum, cogitationes cordis ejus a generationibus in generationes.

12. Beata gens cujus est Dominus Deus ejus, populus quem elegit in hæreditatem sibi.

13. De cœlo respexit Dominus, vidit omnes filios hominum,

14. de præparato habitaculo suo respexit super omnes qui inhabitant terram.

15. Qui finxit sigillatim corda eorum, qui intelligit omnia opera eorum.

16. Non salvatur rex per multam virtutem, et gigas non salvabitur in multitudine fortitudinis suæ.

17. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.
19. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20. Ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστι.
21. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22. Γένοιτο τὸ ἔλεός σου, Κύριε, ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

ΛΓ'.

1. **Τῷ Δαυὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν.**

2. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.
3. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπιτοαυτό.
5. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐῤῥύσατό με.
6. Προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
7. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
8. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.
9. Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν.
10. Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
11. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Διάψαλμα.
12. Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.
13. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
14. Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
15. Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
16. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
17. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
18. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.
19. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
20. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.
21. Φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

17. Fallax equus ad salutem, in abundantia autem virtutis suæ non salvabitur.
18. Ecce oculi Domini super metuentes eum, sperantes super misericordia ejus.
19. Ut eruat a morte animas eorum, et alat eos in fame.
20. Anima nostra patiens est Domino, quoniam adjutor et protector noster est.
21. Quia in eo lætabitur cor nostrum, et in nomine sancto ejus speravimus.
22. Fiat misericordia tua, Domine, super nos, quemadmodum speravimus in te.

XXXIII.

1. **Ipsi David, cum mutavit vultum suum coram Abimelech, et dimisit eum, et abiit.**

2. Benedicam Dominum in omni tempore, semper laus ejus in ore meo.
3. In Domino laudabitur anima mea : audiant mansueti et lætentur.
4. Magnificate Dominum mecum, et exaltemus nomen ejus in idipsum.
5. Exquisivi Dominum, et exaudivit me, et ex omnibus parœciis meis eripuit me.
6. Accedite ad eum et illuminamini, et facies vestræ non confundentur.
7. Iste pauper clamavit, et Dominus exaudivit eum, et de omnibus tribulationibus ejus salvavit eum.
8. Immittet angelus Domini in circuitu timentium eum, et eripiet eos.
9. Gustate, et videte quoniam suavis est Dominus : beatus vir qui sperat in eum.
10. Timete Dominum, omnes sancti ejus, quoniam non est inopia timentibus eum.
11. Divites eguerunt et esurierunt, inquirentes autem Dominum non minuentur omni bono. *Diapsalma.*
12. Venite, filii, audite me; timorem Domini docebo vos.
13. Quis est homo qui vult vitam, diligit dies videre bonos?
14. Contine linguam tuam a malo, et labia tua ne loquantur dolum.
15. Declina a malo et fac bonum, quære pacem et persequere eam.
16. Oculi Domini super justos, et aures ejus in precem eorum.
17. Vultus autem Domini super facientes mala, ut perdat de terra memoriam eorum.
18. Clamaverunt justi, et Dominus exaudivit eos, et ex omnibus tribulationibus eorum liberavit eos.
19. Juxta est Dominus iis qui contrito sunt corde, et humiles spiritu salvabit.
20. Multæ tribulationes justorum, et de omnibus his liberabit eos Dominus.
21. Custodit omnia ossa eorum, unum ex eis non conteretur.

22. Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

23. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

ΛΔ'.

Τῷ Δαυίδ.

1. Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

2. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μοι.

3. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με· εἰπὸν τῇ ψυχῇ μου· Σωτηρία σου ἐγώ εἰμι.

4. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ λογιζόμενοί μοι κακά.

5. Γενηθήτωσαν ὡσεὶ χοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

6. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

7. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.

8. Ἐλθέτω αὐτοῖς παγὶς ἣν οὐ γινώσκουσι, καὶ ἡ θήρα ἣν ἔκρυψαν συλλαβέτω αὐτοὺς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ.

9. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

10. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

11. Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἐπηρώτων με.

12. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

13. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

14. Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον οὕτως εὐηρέστουν, ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην.

15. Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων· διεσχίσθησαν, καὶ οὐ κατενύγησαν.

16. Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμὸν, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

17. Κύριε, πότε ἐπόψῃ, ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.

18. Ἐξομολογήσομαί σοι καὶ ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

19. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως (οἱ μισοῦντές με δωρεὰν,) καὶ διανεύοντες ὀφθαλμοῖς.

20. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ δόλους διελογίζοντο.

21. Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν· Εὖγε, εὖγε, εἴδον οἱ ὀφθαλμοὶ ἡμῶν.

22. Mors peccatorum pessima, et qui oderunt justum delinquent.

23. Redimet Dominus animas servorum suorum, et non delinquent omnes qui sperant in eum.

XXXIV.

Ipsi David.

1. Judica, Domine, nocentes me, impugna impugnantes me.

2. Apprehende arma et scutum, et exsurge in adjutorium mihi.

3. Effunde frameam, et conclude adversus eos qui persequuntur me : dic animæ meæ : Salus tua ego sum.

4. Confundantur et revereantur quærentes animam meam, avertantur retrorsum et confundantur cogitantes mihi mala.

5. Fiant tamquam pulvis ante faciem venti, et angelus Domini tribulans eos.

6. Fiat via eorum tenebræ et lubricum, et angelus Domini persequens eos.

7. Quoniam gratis absconderunt mihi interitum laquei sui, supervacue exprobraverunt animam meam.

8. Veniat illis laqueus quem ignorant, et captio quam occultaverunt comprehendat illos, et in laqueum cadant in ipsum.

9. Anima autem mea exsultabit in Domino, delectabitur super salutare ejus.

10. Omnia ossa mea dicent : Domine, quis similis tibi? Eripiens inopem de manu fortiorum ejus, et egenum et pauperem a diripientibus eum.

11. Insurgentes testes iniqui, quæ ignorabam interrogabant me.

12. Retribuebant mihi mala pro bonis, et sterilitatem animæ meæ.

13. Ego autem cum mihi molesti essent induebar cilicio, et humiliabam in jejunio animam meam, et oratio mea in sinum meum convertetur.

14. Quasi proximum, quasi fratrem nostrum ita complacebam, quasi lugens et contristatus sic humiliabar.

15. Et adversus me lætati sunt et convenerunt, congregata sunt super me flagella et ignoravi : dissipati sunt, nec compuncti.

16. Tentaverunt me, subsannaverunt me subsannatione, frenduerunt super me dentibus suis.

17. Domine, quando respicies, restitue animam meam a malignitate eorum, a leonibus unicam meam.

18. Confitebor tibi et in ecclesia magna, in populo gravi laudabo te.

19. Non supergaudeant mihi qui adversantur mihi vane, qui oderunt me gratis, et annuunt oculis.

20. Quoniam mihi quidem pacifice loquebantur, et in iracundia dolos cogitabant.

21. Et dilataverunt super me os suum dixerunt : Euge, euge, viderunt oculi nostri.

22. Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς· Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
23. Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου.
24. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.
25. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· Εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν, μηδὲ εἴποιεν· Κατεπίομεν αὐτόν.
26. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ.
27. Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου· καὶ εἰπάτωσαν διαπαντός· Μεγαλυνθείη ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.
28. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

22. Vidisti, Domine, ne sileas : Domine, ne discedas a me.
23. Exsurge, Domine, et intende judicio meo, Deus meus et Dominus meus in causam meam.
24. Judica me, Domine, secundum justitiam tuam, Domine Deus meus, et non supergaudeant mihi.
25. Non dicant in cordibus suis : Euge, euge animæ nostræ, nec dicant : Devoravimus eum.
26. Erubescant et revereantur simul qui gratulantur malis meis : induantur confusione et verecundia qui magna loquuntur super me.
27. Exsultent et lætentur qui volunt justitiam meam : et dicant semper : Magnificetur Dominus, qui volunt pacem servi ejus.
28. Et lingua mea meditabitur justitiam tuam, tota die laudem tuam.

ΛΕ'.

1. Εἰς τὸ τέλος, τῷ δούλῳ Κυρίου τῷ Δαυίδ.

2. Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.
3. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.
4. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.
5. Ἀνομίαν ἐλογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, τῇ δὲ κακίᾳ οὐ προσώχθισε.
6. Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.
7. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ, τὰ κρίματά σου ὡσεὶ ἄβυσσος πολλή. Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε,
8. ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός· οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.
9. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.
10. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
11. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.
12. Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με.
13. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι.

XXXV.

1. In finem, servo Domini David.

2. Dixit injustus ut delinquat in semetipso, non est timor Dei ante oculos ejus.
3. Quoniam dolose egit in conspectu ejus, ut inveniret iniquitatem suam et odisset.
4. Verba oris ejus iniquitas et dolus, noluit intelligere ut bene ageret.
5. Iniquitatem meditatus est in cubili suo, astitit omni viæ non bonæ, malitiam autem non odivit.
6. Domine, in cœlo misericordia tua, et veritas tua usque ad nubes.
7. Justitia tua sicut montes Dei, judicia tua sicut abyssus multa. Homines et jumenta salvabis, Domine,
8. quemadmodum multiplicasti misericordiam tuam, Deus : filii autem hominum in tegmine alarum tuarum sperabunt.
9. Inebriabuntur ab ubertate domus tuæ, et torrentem voluptatis tuæ potabis eos.
10. Quoniam apud te est fons vitæ, in lumine tuo videbimus lumen.
11. Prætende misericordiam tuam scientibus te, et justitiam tuam iis qui recto sunt corde.
12. Non veniat mihi pes superbiæ, et manus peccatorum non moveat me.
13. Ibi ceciderunt omnes qui operantur iniquitatem, expulsi sunt et non potuerunt stare.

Λϛ'.

Τῷ Δαυίδ.

1. Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.
2. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.
3. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα· καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.
4. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.

XXXVI.

Ipsi David.

1. Noli æmulari in malignantibus, neque zelaveris facientes iniquitatem.
2. Quoniam tamquam fœnum velociter arescent, et quemadmodum olera herbarum cito decident.
3. Spera in Domino, et fac bonitatem : et inhabita terram, et pasceris in divitiis ejus.
4. Delectare in Domino, et dabit tibi petitiones cordis tui.

5. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτὸν, καὶ αὐτὸς ποιήσει.

6. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.

7. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.

8. Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμὸν, μὴ παραζήλου ὥςτε πονηρεύεσθαι.

9. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

10. Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός· καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

11. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

12. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

13. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτὸν, ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.

14. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.

15. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη.

16. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

17. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος.

18. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται.

19. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.

20. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡςεὶ καπνὸς ἐξέλιπον.

21. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ.

22. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.

23. Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει.

24. Ὅταν πέσῃ οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.

25. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα· καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

26. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

27. Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.

28. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται· ἄμωμοι ἐκδικηθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.

29. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.

30. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

31. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

5. Revela ad Dominum viam tuam, et spera in eo, et ipse faciet.

6. Et educet quasi lumen justitiam tuam, et judicium tuum tamquam meridiem.

7. Subditus esto Domino, et ora eum. Noli æmulari in eo qui prosperatur in via sua, in homine faciente injustitias.

8. Desine ab ira et derelinque furorem, noli æmulari ut maligneris.

9. Quoniam qui malignantur exterminabuntur, sustinentes autem Dominum ipsi hæreditabunt terram.

10. Et adhuc pusillum et non erit peccator : et quæres locum ejus, et non invenies.

11. Mansueti autem hæreditabunt terram, et delectabuntur in multitudine pacis.

12. Observabit peccator justum, et stridebit super eum dentibus suis.

13. Dominus autem irridebit eum, quoniam prospicit quod veniet dies ejus.

14. Gladium evaginaverunt peccatores, intenderunt arcum suum ut dejiciant inopem et pauperem, ut trucident rectos corde.

15. Gladius eorum intret in cor eorum, et arcus eorum confringatur.

16. Melius est modicum justi super divitias peccatorum multas.

17. Quoniam brachia peccatorum conterentur, confirmat autem justos Dominus.

18. Novit Dominus vias immaculatorum, et hæreditas eorum in æternum erit.

19. Non confundetur in tempore morbi, et in diebus famis saturabuntur.

20. Quia peccatores peribunt, inimici vero Domini, statim ut honorificati fuerint et exaltati, deficientes quemadmodum fumus defecerunt.

21. Mutuatur peccator, et non solvet : justus autem miseretur et commodat.

22. Quia benedicentes eum hæreditabunt terram, maledicentes autem eum disperibunt.

23. A Domino gressus hominis diriguntur, et viam ejus volet.

24. Cum ceciderit non collidetur, quia Dominus confirmat manum ejus.

25. Junior fui, etenim senui : et non vidi justum derelictum, nec semen ejus quærens panes.

26. Tota die miseretur et commodat, et semen illius in benedictione erit.

27. Declina a malo et fac bonum, et inhabita in sæculum sæculi.

28. Quia Dominus amat judicium, et non derelinquet sanctos suos, in æternum conservabuntur : immaculati vindicabuntur, et semen impiorum peribit.

29. Justi autem hæreditabunt terram, et inhabitabunt in sæculum sæculi super eam.

30. Os justi meditabitur sapientiam, et lingua ejus loquetur judicium.

31. Lex Dei ejus in corde ipsius, et non supplantabuntur gressus ejus.

32. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.
33. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπη αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδὲ μὴ καταδικάσαι αὐτὸν, ὅταν κρίνηται αὐτῷ.
34. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν· ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς, ὄψει.
35. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·
36. καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.
37. Φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.
38. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπιτοαυτὸ, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.
39. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.
40. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

32. Considerat peccator justum, et quærit mortificare eum.
33. Dominus autem non derelinquet eum in manibus ejus, nec damnabit eum, cum judicabitur illi.
34. Exspecta Dominum, et custodi viam ejus, et exaltabit te ut hæreditate capias terram: cum pereunt peccatores, videbis.
35. Vidi impium superexaltatum, et elevatum sicut cedros Libani:
36. et transivi, et ecce non erat: et quæsivi eum, et non est inventus locus ejus.
37. Custodi innocentiam et vide æquitatem, quoniam sunt reliquiæ homini pacifico.
38. Injusti autem disperibunt in idipsum, reliquiæ impiorum interibunt.
39. Salus autem justorum a Domino, et protector eorum est in tempore tribulationis.
40. Et adjuvabit eos Dominus, et liberabit eos, et eruet eos a peccatoribus, et salvabit eos, quia speraverunt in eum.

ΛΖ'.

1. Ψαλμὸς τῷ Δαυὶδ, εἰς ἀνάμνησιν περὶ σαββάτου.

2. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
4. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
5. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.
6. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
7. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
8. Ὅτι ἡ ψυχή μου ἐπλήσθη ἐμπαιγμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
9. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
10. Καὶ ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου οὐκ ἀπεκρύβη ἀπὸ σοῦ.
11. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου οὐκ ἔστι μετ' ἐμοῦ.
12. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου μακρόθεν ἔστησαν,
13. καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
14. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
15. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
16. Ὅτι ἐπὶ σοὶ, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

XXXVII.

1. Psalmus ipsi David, in rememorationem pro sabbato.

2. Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me.
3. Quoniam sagittæ tuæ infixæ sunt mihi, et confirmasti super me manum tuam.
4. Non est sanitas in carne mea a facie iræ tuæ, non est pax ossibus meis a facie peccatorum meorum.
5. Quoniam iniquitates meæ supergressæ sunt caput meum, sicut onus grave gravatæ sunt super me.
6. Putruerunt et corruptæ sunt cicatrices meæ, a facie insipientiæ meæ.
7. Miser factus sum et curvatus sum usque in finem, tota die contristatus ingrediebar.
8. Quoniam anima mea impleta est illusionibus, et non est sanitas in carne mea.
9. Afflictus sum et humiliatus sum usque nimis, rugiebam a gemitu cordis mei.
10. Et ante te omne desiderium meum, et gemitus meus a te non est absconditus.
11. Cor meum conturbatum est, dereliquit me virtus mea, et lumen oculorum meorum non est mecum.
12. Amici mei et proximi mei adversum me appropinquaverunt et steterunt, et qui juxta me erant de longe steterunt,
13. et vim faciebant qui quærebant animam meam: et qui inquirebant mala mihi locuti sunt vanitates, et dolos tota die meditabantur.
14. Ego autem tamquam surdus non audiebam, et sicut mutus non aperiens os suum.
15. Et factus sum sicut homo non audiens, et non habens in ore suo redargutiones.
16. Quoniam in te, Domine, speravi, tu exaudies, Domine Deus meus.

17. Ὅτι εἶπα· Μή ποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν.

18. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διαπαντός.

19. Ὅτι τὴν ἀνομίαν μου ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

20. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

21. Οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην.

22. Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

23. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

17. Quia dixi : Ne quando supergaudeant mihi inimici mei, et dum commoventur pedes mei, in me magna locuti sunt.

18. Quoniam ego in flagella paratus sum, et dolor meus in conspectu meo semper.

19. Quoniam iniquitatem meam annuntiabo, et curam geram pro peccato meo.

20. Inimici autem mei vivunt, et confirmati sunt super me, et multiplicati sunt qui oderunt me inique.

21. Qui retribuunt mala pro bonis detrahebant mihi, quoniam persecutus sum justitiam.

22. Ne derelinquas me, Domine Deus meus, ne discesseris a me.

23. Intende in adjutorium meum, Domine salutis meæ.

ΛΗ'.

1. Εἰς τὸ τέλος, τῷ Ἰδιθοὺν ᾠδὴ τῷ Δαυίδ.

2. Εἶπα· Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

3. Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

4. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.

5. Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

6. Ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. Διάψαλμα.

7. Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

8. Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ Κύριος, καὶ ἡ ὑπόστασίς μου παρὰ σοί ἐστιν; Διάψαλμα.

9. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.

10. Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με.

11. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.

12. Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον· καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος. Διάψαλμα.

13. Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου, ἐνώτισαι τῶν δακρύων μου. Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

14. Ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι μὴ ὑπάρξω.

XXXVIII.

1. In finem, ipsi Idithum canticum ipsi David.

2. Dixi : Custodiam vias meas, ut non delinquam in lingua mea. Posui ori meo custodiam, cum consisteret peccator adversum me.

3. Obmutui et humiliatus sum et silui a bonis, et dolor meus renovatus est.

4. Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis.

5. Locutus sum in lingua mea : Notum fac mihi, Domine, finem meum, et numerum dierum meorum qui est, ut sciam quid desit mihi.

6. Ecce veteres posuisti dies meos, et substantia mea tamquam nihil ante te : verumtamen universa vanitas, omnis homo vivens. *Diapsalma.*

7. Verumtamen in imagine pertransit homo, sed frustra conturbatur. Thesaurizat, et ignorat cui congregabit ea.

8. Et nunc quæ est exspectatio mea? nonne Dominus, et substantia mea apud te est? *Diapsalma.*

9. Ab omnibus iniquitatibus meis erue me, opprobrium insipienti dedisti me.

10. Obmutui et non aperui os meum, quoniam tu es qui fecisti me.

11. Amove a me plagas tuas : a fortitudine manus tuæ ego defeci.

12. In increpationibus propter iniquitatem corripuisti hominem : et tabescere fecisti sicut araneam animam ejus, verumtamen vane conturbatur omnis homo. *Diapsalma.*

13. Exaudi orationem meam, Domine, et deprecationem meam, auribus percipe lacrymas meas. Ne sileas, quoniam advena ego sum in terrá et peregrinus, sicut omnes patres mei.

14. Remitte mihi ut refrigerer priusquam abeam, et amplius non ero.

ΛΘ'.

1. Εἰς τὸ τέλος, τῷ Δαυίδ, ψαλμός.

2. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχέ μοι.

3. Καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με

XXXIX.

1. In finem, ipsi David, psalmus.

2. Exspectans exspectavi Dominum, et attendit mihi.

3. Et exaudivit deprecationem meam, et eduxit me de

ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

4. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.

5. Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.

6. Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι. Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

7. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας.

8. Τότε εἶπον· Ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ,

9. τοῦ ποιῆσαι τὸ θέλημά σου· ὁ Θεός μου, ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς καρδίας μου.

10. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω. Κύριε, σὺ ἔγνως

11. τὴν δικαιοσύνην μου, οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου τὴν ἀλήθειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα. Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

12. Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντελάβοντό μου.

13. Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμὸς, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνάσθην τοῦ βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.

14. Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με· Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

15. Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά.

16. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

17. Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε, καὶ εἰπάτωσαν διὰ παντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

18. Ἐγὼ δὲ πτωχὸς καὶ πένης εἰμὶ, Κύριος φροντιεῖ μου. Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ ὁ Θεός μου, μὴ χρονίσῃς.

Μ'.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

2. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

3. Κύριος φυλάξαι αὐτὸν καὶ ζήσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ.

4. Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.

5. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

lacu miseriæ et de luto fecis. Et statuit super petram pedes meos, et direxit gressus meos.

4. Et immisit in os meum canticum novum, carmen Deo nostro. Videbunt multi et timebunt, et sperabunt in Domino.

5. Beatus vir cujus est nomen Domini spes ejus, et non respexit in vanitates et insanias falsas.

6. Multa fecisti tu, Domine Deus meus, mirabilia tua, et cogitationibus tuis non est qui similis sit tibi. Annuntiavi et locutus sum, multiplicati sunt super numerum.

7. Sacrificium et oblationem noluisti, corpus autem perfecisti mihi : holocaustum et pro peccato non postulasti.

8. Tunc dixi : Ecce venio. In capite libri scriptum est de me,

9. ut facerem voluntatem tuam : Deus meus, volui, et legem tuam in medio cordis mei.

10. Bene nuntiavi justitiam in ecclesia magna, ecce labia mea non prohibebo. Domine, tu cognovisti

11. justitiam meam, non abscondi in corde meo veritatem tuam, et salutare tuum dixi. Non abscondi misericordiam tuam et veritatem tuam a congregatione multa.

12. Tu autem, Domine, ne longe facias miserationes tuas a me : misericordia tua et veritas tua semper susceperunt me.

13. Quoniam circumdederunt me mala quorum non est numerus, comprehenderunt me iniquitates meæ, et non potui ut viderem. Multiplicatæ sunt super capillos capitis mei, et cor meum dereliquit me.

14. Complaceat tibi, Domine, ut eruas me : Domine, ad adjuvandum me respice.

15. Confundantur et revereantur simul qui quærunt animam meam, ut auferant eam. Convertantur retrorsum, et revereantur qui volunt mihi mala.

16. Ferant confestim confusionem suam qui dicunt mihi : Euge, euge.

17. Exsultent et lætentur super te omnes quærentes te, Domine, et dicant semper : Magnificetur Dominus, qui diligunt salutare tuum.

18. Ego autem mendicus sum et pauper, Dominus curam habebit mei. Adjutor meus et protector meus es tu, Deus meus, ne tardaveris.

XL.

1. In finem, psalmus ipsi David.

2. Beatus qui intelligit super egenum et pauperem, in die mala liberabit eum Dominus.

3. Dominus conservet eum et vivificet eum, et beatum faciat eum in terra, et non tradat eum in manus inimici ejus.

4. Dominus opem ferat illi super lectum doloris ejus, universum stratum ejus versasti in infirmitate ejus.

5. Ego dixi : Domine, miserere mei, sana animam meam, quia peccavi tibi.

6. Οἱ ἐχθροί μου εἶπαν κακά μοι· Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
7. Καὶ εἰ εἰςεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει
8. ἐπὶ τὸ αὐτό. Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.
9. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· μὴ ὁ κοιμώμενος οὐχὶ προςθήσει τοῦ ἀναστῆναι;
10. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα· ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
11. Σὺ δὲ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.
12. Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.
13. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
14. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.

6. Inimici mei dixerunt mala mihi : Quando morietur et peribit nomen ejus?
7. Et si ingrediebatur ut videret, vana loquebatur cor ejus, congregavit iniquitatem sibi, egrediebatur foras, et loquebatur
8. in idipsum. Adversus me susurrabant omnes inimici mei, adversum me cogitabant mala mihi.
9. Verbum iniquum constituerunt adversum me : numquid qui dormit non adjiciet ut resurgat?
10. Etenim homo pacis meæ in quo speravi : qui edebat panes meos, magnificavit super me supplantationem.
11. Tu autem, Domine, miserere mei, et resuscita me, et retribuam illis.
12. In hoc cognovi quoniam voluisti me, quoniam non gaudebit inimicus meus super me.
13. Me autem propter innocentiam suscepisti, et confirmasti me in conspectu tuo in æternum.
14. Benedictus Dominus Deus Israel a sæculo et in sæculum. Fiat, fiat.

ΜΑ'.

1. Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.

2. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.
3. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;
4. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;
5. Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἤχου ἑορταζόντων.
6. Ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου,
7. ὁ Θεός μου. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.
8. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.
9. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς δηλώσει. Παρ' ἐμοὶ προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου,
10. ἐρῶ τῷ Θεῷ· Ἀντιλήπτωρ μου εἶ, διατί μου ἐπελάθου; Ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου,
11. Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου; Ὠνείδισάν με οἱ θλίβοντές με, ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;
12. Ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ· ἡ σωτηρία τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

XLI.

1. In finem, in intellectum filiis Core.

2. Quemadmodum desiderat cervus ad fontes aquarum, ita desiderat anima mea ad te, Deus.
3. Sitivit anima mea ad Deum vivum : quando veniam et apparebo ante faciem Dei?
4. Fuerunt mihi lacrymæ meæ panis die ac nocte, dum dicitur mihi per singulos dies : Ubi est Deus tuus?
5. Hæc recordatus sum, et effudi super me animam meam, quoniam transibo in locum tabernaculi admirabilis usque ad domum Dei : in voce exsultationis et confessionis, soni festum celebrantium.
6. Quare tristis es, anima mea, et quare conturbas me? Spera in Deo, quoniam confitebor illi : salutare vultus mei,
7. Deus meus. Ad me ipsum anima mea turbata est, propterea memor ero tui de terra Jordanis, et Hermoniim a monte parvo.
8. Abyssus abyssum invocat in voce cataractarum tuarum. Omnes suspensiones tuæ et fluctus tui super me transierunt.
9. In die mandabit Dominus misericordiam suam, et nocte declarabit. Apud me oratio Deo vitæ meæ,
10. dicam Deo: Susceptor meus es, quare oblitus es mei? Quare contristatus incedo dum affligit inimicus meus,
11. dum confringit ossa mea? Exprobraverunt mihi qui tribulant me, dum dicunt mihi per singulos dies : Ubi est Deus tuus?
12. Quare tristis es, anima mea, et quare conturbas me? Spera in Deo, quoniam confitebor illi : salus vultus mei et Deus meus.

ΜΒ'.

Ψαλμὸς τῷ Δαυίδ.

1. Κρῖνόν με, ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου ἐξ

XLII.

Psalmus ipsi David.

1. Judica me Deus, et discerne causam meam de gen-

ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.

2. Ὅτι σὺ εἶ, ὁ Θεὸς, κραταίωμά μου· ἱνατί ἀπώσω με, καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;

3. Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.

4. Καὶ εἰςελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου. Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς, ὁ Θεός μου·

5. ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου, ὁ Θεός μου.

ΜΓ΄.

1. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν ψαλμός.

2. Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

3. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.

4. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς· ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.

5. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώϐ.

6. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.

7. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με.

8. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

9. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Διάψαλμα.

10. Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν.

11. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

12. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

13. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν αὐτῶν.

14. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν.

15. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

16. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστὶ, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

17. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ παραλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.

18. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου.

19. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.

te non sancta, ab homine iniquo et doloso erue me.

2. Quia tu es, Deus, fortitudo mea: quare me repulisti, et quare tristis incedo dum affligit inimicus meus?

3. Emitte lucem tuam et veritatem tuam: ipsa me deduxerunt et adduxerunt in montem sanctum tuum et in tabernacula tua.

4. Et introibo ad altare Dei, ad Deum qui lætificat juventutem meam. Confitebor tibi in cithara, Deus, Deus meus:

5. quare tristis es, anima mea, et quare conturbas me? Spera in Deo, quoniam confitebor illi: salutare vultus mei, Deus meus.

XLIII.

1. In finem, filiis Core ad intellectum psalmus.

2. Deus, in auribus nostris audivimus, patres nostri annuntiaverunt nobis opus quod operatus es in diebus eorum, in diebus antiquis.

3. Manus tua gentes disperdidit, et plantasti eos: afflixisti populos et expulisti eos.

4. Non enim in gladio suo possederunt terram, et brachium eorum non salvavit eos: sed dextera tua et brachium tuum, et illuminatio vultus tui, quoniam complacuisti in eis.

5. Tu es ipse rex meus et Deus meus, qui mandas salutes Jacob.

6. In te inimicos nostros ventilabimus cornu, et in nomine tuo spernemus insurgentes in nos.

7. Non enim in arcu meo sperabo, et gladius meus non salvabit me.

8. Salvasti enim nos de affligentibus nos, et eos qui oderunt nos confudisti.

9. In Deo laudabimur tota die, et in nomine tuo confitebimur in sæculum. *Diapsalma.*

10. Nunc autem repulisti et confudisti nos, et non egredieris in virtutibus nostris.

11. Avertisti nos retrorsum præ inimicis nostris, et qui oderunt nos diripiebant sibi.

12. Dedisti nos tamquam oves escarum, et in gentibus dispersisti nos.

13. Vendidisti populum tuum sine pretio, et non fuit multitudo in jubilationibus eorum.

14. Posuisti nos opprobrium vicinis nostris, subsannationem et derisum his qui sunt in circuitu nostro.

15. Posuisti nos in similitudinem gentibus, commotionem capitis in populis.

16. Tota die verecundia mea contra me est, et confusio faciei meæ operuit me.

17. A voce exprobrantis et obloquentis, a facie inimici et persequentis.

18. Hæc omnia venerunt super nos, nec obliti sumus te, et inique non egimus in testamento tuo.

19. Et non recessit retro cor nostrum, et declinasti semitas nostras a via tua.

20. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

21. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον,

22. οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

23. Ἐξεγέρθητι, ἱνατί ὑπνοῖς, Κύριε; Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.

24. Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις; Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;

25. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

26. Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

20. Quoniam humiliasti nos in loco afflictionis, et cooperuit nos umbra mortis.

21. Si obliti sumus nomen Dei nostri, et si expandimus manus nostras ad deum alienum,

22. nonne Deus requiret ista? ipse enim novit occulta cordis. Quoniam propter te mortificamur tota die, æstimati sumus sicut oves occisionis.

23. Exsurge, quare obdormis, Domine? Exsurge, et ne repellas in finem.

24. Quare faciem tuam avertis? Oblivisceris inopiæ nostræ et tribulationis nostræ?

25. Quoniam humiliata est in pulvere anima nostra, conglutinatus est in terra venter noster.

26. Exsurge, Domine, adjuva nos, et redime nos propter nomen tuum.

ΜΔ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

2. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

3. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

4. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατὲ,

5. τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινον, καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

6. Τὰ βέλη σου ἠκονημένα, δυνατὲ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

7. Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς αἰῶνα αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

8. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

9. Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε

10. θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

11. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.

12. Ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν ὁ Κύριός σου.

13. Καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς.

14. Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως Ἐσεβὼν, ἐν κροσσωτοῖς χρυσοῖς

15. περιβεβλημένη, πεποικιλμένη. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

16. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.

XLIV.

1. In finem, pro iis qui commutabuntur, filiis Core ad intellectum, canticum pro dilecto.

2. Eructavit cor meum verbum bonum, dico ego opera mea regi. Lingua mea calamus scribæ velociter scribentis.

3. Speciosus forma præ filiis hominum, diffusa est gratia in labiis tuis : propterea benedixit te Deus in æternum.

4. Accingere gladio tuo super femur tuum, potentissime,

5. specie tua et pulchritudine tua, et intende, et prospere procede et regna, propter veritatem et mansuetudinem et justitiam, et deducet te mirabiliter dextera tua.

6 Sagittæ tuæ acutæ, potentissime, populi sub te cadent in corde inimicorum regis.

7. Sedes tua, Deus, in sæculum sæculi, virga directionis virga regni tui.

8. Dilexisti justitiam et odisti iniquitatem : propterea unxit te Deus, Deus tuus, oleo exsultationis præ participibus tuis.

9. Myrrha et gutta et casia a vestimentis tuis, a domibus eburneis, ex quibus delectaverunt te

10. filiæ regum in honore tuo. Astitit regina a dextris tuis, in vestitu deaurato circumamicta, variegata.

11. Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris tui.

12. Quoniam concupivit rex decorem tuum, quia ipse est dominus tuus.

13. Et adorabunt eum filiæ Tyri in muneribus, vultum tuum deprecabuntur divites plebis terræ.

14. Omnis gloria ejus filiæ regis Esebon, in fimbriis aureis

15. circumamicta, variegata. Afferentur regi virgines post eam, proximæ ejus afferentur tibi.

16. Afferentur in lætitia et exsultatione, adducentur in templum regis.

17. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

18. Μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

17. Pro patribus tuis nati sunt tibi filii, constitues eos principes super omnem terram.

18. Memores erunt nominis tui in omni generatione et generatione : propterea populi confitebuntur tibi in æternum, et in sæculum sæculi.

ΜΕ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορὲ, ὑπὲρ τῶν κρυφίων ψαλμός.

2. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

3. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

4. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Διάψαλμα.

5. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

6. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ προςώπῳ.

7. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.

8. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Διάψαλμα.

9. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς,

10. ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς, τόξον συντρίψει καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

11. Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

12. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

XLV.

1. In finem, pro filiis Core, pro arcanis psalmus.

2. Deus noster refugium et virtus, adjutor in tribulationibus quæ invenerunt nos nimis.

3. Propterea non timebimus dum turbatur terra, et transferuntur montes in corda marium.

4. Sonuerunt et turbatæ sunt aquæ eorum, conturbati sunt montes in fortitudine ejus. *Diapsalma.*

5. Fluminis impetus lætificant civitatem Dei, sanctificavit tabernaculum suum Altissimus.

6. Deus in medio ejus, non commovebitur : adjuvabit eam Deus vultu.

7. Conturbatæ sunt gentes, inclinata sunt regna, dedit vocem suam, mota est terra.

8. Dominus virtutum nobiscum, susceptor noster Deus Jacob. *Diapsalma.*

9. Venite et videte opera Domini, quæ posuit prodigia super terram,

10. auferens bella usque ad fines terræ, arcum conteret et confringet arma, et scuta comburet in igne.

11. Vacate, et videte quoniam ego sum Deus : exaltabor in gentibus, exaltabor in terra.

12. Dominus virtutum nobiscum, susceptor noster Deus Jacob.

ΜϚ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός.

2. Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

3. Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

4. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

5. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. Διάψαλμα.

6. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

7. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.

8. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς.

9. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

10. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραὰμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

XLVI.

1. In finem, pro filiis Core psalmus.

2. Omnes gentes, plaudite manibus, jubilate Deo in voce exsultationis.

3. Quoniam Dominus excelsus, terribilis, rex magnus super omnem terram.

4. Subjecit populos nobis, et gentes sub pedibus nostris.

5. Elegit nobis hæreditatem suam, speciem Jacob, quam dilexit. *Diapsalma.*

6. Ascendit Deus in jubilo, Dominus in voce tubæ.

7. Psallite Deo nostro, psallite : psallite regi nostro, psallite.

8. Quoniam rex omnis terræ Deus, psallite intelligenter.

9. Regnavit Deus super gentes, Deus sedet super sedem sanctam suam.

10. Principes populorum congregati sunt cum Deo Abraham, quoniam Dei fortes terræ valde elevati sunt.

ΜΖ'.

1. Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ σαββάτου.

2. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.

XLVII.

1. Psalmus cantici filiis Core secunda sabbati.

2. Magnus Dominus et laudabilis nimis in civitate Dei nostri, in monte sancto ejus.

3. Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς ὄρη Σιὼν, τὰ πλευρὰ τοῦ βοῤῥᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.
4. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.
5. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό.
6. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν,
7. τρόμος ἐπελάβετο αὐτῶν· ἐκεῖ ὠδῖνες ὡς τικτούσης.
8. Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσίς.
9. Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν· ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Διάψαλμα.
10. Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.
11. Κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου.
12. Εὐφρανθήτω τὸ ὄρος Σιὼν, ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκα τῶν κριμάτων σου, Κύριε.
13. Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.
14. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.
15. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

3. Bene radicans exsultatione universæ terræ montes Sion, latera aquilonis, civitas regis magni.
4. Deus in domibus ejus cognoscitur, cum suscipiet eam.
5. Quoniam ecce reges terræ congregati sunt, venerunt in unum.
6. Ipsi videntes sic admirati sunt, conturbati sunt, commoti sunt.
7. Tremor apprehendit eos: ibi dolores ut parturientis.
8. In spiritu vehementi conteres naves Tharsis.
9. Sicut audivimus, ita et vidimus in civitate Domini virtutum, in civitate Dei nostri: Deus fundavit eam in æternum. *Diapsalma.*
10. Suscepimus, Deus, misericordiam tuam in medio populi tui.
11. Secundum nomen tuum, Deus, sic et laus tua in fines terræ: justitia plena est dextera tua.
12. Lætetur mons Sion, exsultent filiæ Judææ propter judicia tua, Domine.
13. Circumdate Sion, et complectimini eam, narrate in turribus ejus.
14. Ponite corda vestra in virtute ejus, et distribuite domus ejus, ut enarretis in progenie altera.
15. Quoniam hic est Deus noster in æternum et in sæculum sæculi, ipse reget nos in sæcula.

ΜΗʹ.

1. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός.
2. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,
3. οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπιτοαυτὸ πλούσιος καὶ πένης.
4. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
5. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.
6. Ἱνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.
7. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.
8. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ,
9. καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα,
10. καὶ ζήσεται εἰς τέλος·
11. ὅτι οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας, ἐπιτοαυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν,
12. καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεὰν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.
13. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

XLVIII.

1. In finem, filiis Core psalmus.
2. Audite hæc, omnes gentes, auribus percipite, omnes qui habitatis orbem,
3. quique terrigenæ et filii hominum, in unum dives et pauper.
4. Os meum loquetur sapientiam, et meditatio cordis mei intelligentiam.
5. Inclinabo in parabolam aurem meam, aperiam in psalterio propositionem meam.
6. Cur timebo in die mala? Iniquitas calcanei mei circumdabit me.
7. Qui confidunt in virtute sua, et in multitudine divitiarum suarum gloriantur.
8. Frater non redimit, redimet homo? Non dabit Deo propitiationem suam,
9. et pretium redemptionis animæ suæ. Et laboravit in æternum,
10. et vivet in finem:
11. quoniam non videbit interitum, cum viderit sapientes morientes, simul insipiens et stultus peribunt. Et relinquent alienis divitias suas,
12. et sepulcra eorum domus eorum in æternum, tabernacula eorum in progeniem et progeniem, invocaverunt nomina sua in terris suis.
13. Et homo cum in honore esset non intellexit: comparatus est jumentis insipientibus, et similis factus est illis.

14. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐλογήσουσιν. Διάψαλμα.

15. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τοπρωῒ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν.

16. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. Διάψαλμα.

17. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

18. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

19. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.

20. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

21. Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

ΜΘ'.

Ψαλμὸς τῷ Ἀσάφ.

1. Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν,

2. ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

3. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

4. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ.

5. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.

6. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι Θεὸς κριτής ἐστιν. Διάψαλμα.

7. Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ.

8. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

9. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

10. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες.

11. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.

12. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.

13. Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;

14. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.

15. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Διάψαλμα.

16. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἱνατί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

17. Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

18. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις.

14. Hæc via illorum scandalum ipsis, et postea in ore suo benedicent. *Diapsalma.*

15. Sicut oves in inferno positi sunt, mors pascet eos. Et dominabuntur eis recti mane, et auxilium eorum veterascet in inferno a gloria eorum.

16. Verumtamen Deus redimet animam meam de manu inferni, cum acceperit me. *Diapsalma.*

17. Ne timueris cum dives factus fuerit homo, et cum multiplicata fuerit gloria domus ejus.

18. Quoniam non cum morietur sumet omnia, neque descendet cum eo gloria ejus.

19. Quoniam anima ejus in vita ipsius benedicetur, confitebitur tibi cum benefeceris ei.

20. Introibit usque in progenies patrum suorum, usque in æternum non videbit lumen.

21. Homo cum in honore esset non intellexit, comparatus est jumentis insipientibus, et similis factus est illis.

XLIX.

Psalmus ipsi Asaph.

1. Deus deorum Dominus locutus est, et vocavit terram a solis ortu usque ad occasum,

2. ex Sion species decoris ejus.

3. Deus manifeste veniet, Deus noster, et non silebit : ignis in conspectu ejus ardebit, et in circuitu ejus tempestas valida.

4. Advocabit cœlum sursum et terram discernere populum suum.

5. Congregate illi sanctos ejus, qui disponunt testamentum ejus super sacrificia.

6. Et annuntiabunt cœli justitiam ejus, quoniam Deus judex est. *Diapsalma.*

7. Audi, populus meus, et loquar tibi, Israel, et testificabor tibi : Deus Deus tuus ego sum.

8. Non in sacrificiis tuis arguam te, holocausta autem tua in conspectu meo sunt semper.

9. Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos.

10. Quoniam meæ sunt omnes bestiæ sylvæ, pecora in montibus, et boves.

11. Cognovi omnia volatilia cœli, et species agri mecum est.

12. Si esuriero, non dicam tibi : meus est enim orbis terræ et plenitudo ejus.

13. Numquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo?

14. Immola Deo sacrificium laudis, et redde Altissimo vota tua.

15. Et invoca me in die tribulationis, et eruam te, et honorificabis me. *Diapsalma.*

16. Peccatori autem dixit Deus : Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum?

17. Tu vero odisti disciplinam, et projecisti sermones meos retrorsum.

18. Si videbas furem, currebas cum eo, et cum adulteris portionem tuam ponebas.

19. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα.
20. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.
21. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου.
22. Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ· μήποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος.
23. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριον Θεοῦ.

19. Os tuum abundavit malitia, et lingua tua concinnabat dolositatem.
20. Sedens adversus fratrem tuum loquebaris, et adversus filium matris tuæ ponebas scandalum.
21. Hæc fecisti, et tacui: suspicatus es iniquitatem, quod ero tibi similis. Arguam te, et statuam contra faciem tuam.
22. Intelligite utique hæc, qui obliviscimini Deum: ne quando rapiat, et non sit qui eripiat.
23. Sacrificium laudis honorificabit me, et illic iter quo ostendam illi salutare Dei.

Ν'.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ, 2. ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.

3. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
4. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
5. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.
6. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
7. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
8. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
9. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
10. Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
11. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
12. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
13. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
14. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
15. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
16. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
17. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
18. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
19. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
20. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
21. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

L.

1. In finem, psalmus ipsi David, 2. cum venit ad eum Nathan, quando intravit ad Bersabee.

3. Miserere mei, Deus, secundum magnam misericordiam tuam, et secundum multitudinem miserationum tuarum dele iniquitatem meam.
4. Amplius lava me ab iniquitate mea, et a peccato meo munda me.
5. Quoniam iniquitatem meam ego cognosco, et peccatum meum coram me est semper.
6. Tibi soli peccavi, et malum coram te feci: ut justificeris in sermonibus tuis, et vincas cum judicaris.
7. Ecce enim in iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea.
8. Ecce enim veritatem dilexisti, incerta et occulta sapientiæ tuæ manifestasti mihi.
9. Asperges me, Domine, hyssopo, et mundabor: lavabis me et super nivem dealbabor.
10. Audire me facies exsultationem et lætitiam, exsultabunt ossa humiliata.
11. Averte faciem tuam a peccatis meis, et omnes iniquitates meas dele.
12. Cor mundum crea in me, Deus, et spiritum rectum innova in visceribus meis.
13. Ne projicias me a facie tua, et spiritum sanctum tuum ne auferas à me.
14. Redde mihi exsultationem salutaris tui, et spiritu principali confirma me.
15. Docebo iniquos vias tuas, et impii ad te convertentur.
16. Libera me de sanguinibus, Deus, Deus salutis meæ: exsultabit lingua mea justitiam tuam.
17. Domine, labia mea aperies, et os meum annuntiabit laudem tuam.
18. Quoniam, si voluisses sacrificium, dedissem utique: holocaustis non delectaberis.
19. Sacrificium Deo spiritus contribulatus, cor contritum et humiliatum Deus non despiciet.
20. Benigne fac, Domine, in bona voluntate tua Sion, ut ædificentur muri Jerusalem.
21. Tunc acceptabis sacrificium justitiæ, oblationem et holocausta: tunc imponent super altare tuum vitulos.

NA'.

1 Εἰς τὸ τέλος συνέσεως τῷ Δαυὶδ, 2. ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

3. Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατὸς ἀνομίαν;
4. Ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡςεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.
5. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Διάψαλμα.
6. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.
7. Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Διάψαλμα.
8. Καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν·
9. Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
10. Ἐγὼ δὲ ὡςεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
11. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

LI.

1. In finem intellectus ipsi David, 2. cum venit Doec Idumæus, et annuntiavit Sauli, et dixit ei : Venit David in domum Abimelech.

3. Quid gloriaris in malitia, potens iniquitate?
4. Tota die injustitiam cogitavit lingua tua : sicut novacula acuta fecisti dolum.
5. Dilexisti malitiam super benignitatem, iniquitatem magis quam loqui æquitatem. *Diapsalma.*
6. Dilexisti omnia verba præcipitationis, linguam dolosam.
7. Propterea Deus destruat te in finem, evellat te et emigret te de tabernaculo, et radicem tuam de terra viventium. *Diapsalma.*
8. Et videbunt justi et timebunt, et super eum ridebunt et dicent :
9. Ecce homo qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum, et prævaluit in vanitate sua.
10. Ego autem sicut oliva fructifera in domo Dei, speravi in misericordia Dei in æternum et in sæculum sæculi.
11. Confitebor tibi in sæculum quia fecisti, et expectabo nomen tuum, quoniam bonum est in conspectu sanctorum tuorum.

NB'.

Εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ συνέσεως τῷ Δαυίδ.

1. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.
2. Διέφθειραν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν.
3. Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.
4. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.
5. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου;
6. Τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐφοβήθησαν φόβον οὗ οὐκ ἦν φόβος· ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.
7. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Ἐν τῷ ἀποστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

LII.

In finem pro Maeleth intellectus ipsi David.

1. Dixit insipiens in corde suo : Non est Deus.
2. Corruperunt, et abominabiles facti sunt in iniquitatibus, non est qui faciat bonum.
3. Deus de cœlo prospexit super filios hominum, ut videat si est intelligens, aut requirens Deum.
4. Omnes declinaverunt, simul inutiles facti sunt : non est qui faciat bonum, non est usque ad unum.
5. Nonne scient omnes qui operantur iniquitatem, qui devorant plebem meam cibo panis?
6. Deum non invocaverunt; ibi timuerunt timore ubi non erat timor : quoniam Deus dissipavit ossa eorum qui hominibus placent : confusi sunt, quoniam Deus sprevit eos.
7. Quis dabit ex Sion salutare Israel? In avertendo Dominus captivitatem populi sui, exsultabit Jacob et lætabitur Israel.

NΓ'.

1. Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ, 2. ἐν τῷ ἐλθεῖν τοὺς Ζειφαίους, καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;

3. Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.
4. Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
5. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Διάψαλμα.

LIII.

1. In finem, in hymnis intellectus David, 2. cum venissent Ziphæi, et dixissent ad Saul : Nonne ecce David absconditus est apud nos?

3. Deus, in nomine tuo salvum me fac, et in virtute tua judica me.
4. Deus, exaudi orationem meam, auribus percipe verba oris mei.
5. Quoniam alieni insurrexerunt adversum me, et fortes quæsiverunt animam meam, non proposuerunt Deum in conspectu suo. *Diapsalma.*

6. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

7. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

8. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.

9. Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΝΔ'.

1. Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ.

2. Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου·

3. πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην

4. ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

5. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

6. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος.

7. Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; καὶ πετασθήσομαι καὶ καταπαύσω.

8. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Διάψαλμα.

9. Προσεδεχόμην τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος.

10. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

11. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς,

12. καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

13. Ὅτι, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.

14. Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου,

15. ὃς ἐπιτοαυτὸ ἐγλύκανας ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

16. Ἐλθέτω θάνατος ἐπ' αὐτοὺς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.

17. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

18. Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.

19. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

20. Εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει αὐτοὺς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Διάψαλμα. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν.

21. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ,

22. διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ. Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

6. Ecce enim Deus adjuvat me, et Dominus susceptor est animæ meæ.

7. Avertet mala inimicis meis, in veritate tua disperde illos.

8. Voluntarie sacrificabo tibi, confitebor nomini tuo, Domine, quoniam bonum est.

9. Quoniam ex omni tribulatione eripuisti me, et super inimicos meos despexit oculus meus.

LIV.

1. In finem, in hymnis intellectus ipsi David.

2. Exaudi, Deus, orationem meam, et ne despexeris deprecationem meam :

3. intende mihi, et exaudi me. Contristatus sum in exercitatione mea, et conturbatus sum

4. a voce inimici, et a tribulatione peccatoris : quoniam declinaverunt in me iniquitatem, et in ira molesti erant mihi.

5. Cor meum conturbatum est in me, et formido mortis cecidit super me.

6. Timor et tremor venerunt super me, et contexerunt me tenebræ.

7. Et dixi : Quis dabit mihi pennas sicut columbæ? et volabo et requiescam.

8. Ecce elongavi fugiens, et mansi in solitudine. *Diapsalma.*

9. Exspectabam eum qui me salvum faceret a pusillanimitate et tempestate.

10. Præcipita, Domine, et divide linguas eorum, quoniam vidi iniquitatem et contradictionem in civitate.

11. Die ac nocte circumdabit eam super muros ejus, iniquitas et labor in medio ejus,

12. et injustitia, et non defecit de plateis ejus usura et dolus.

13. Quoniam, si inimicus exprobrasset mihi, sustinuissem utique : et si is qui oderat super me magna locutus fuisset, abscondissem me utique ab eo.

14. Tu vero, homo unanimis, dux meus et notus meus,

15. qui simul dulces capiebas cibos, in domo Dei ambulavimus cum consensu.

16. Veniat mors super illos, et descendant in infernum viventes : quoniam nequitia in hospitiis eorum, in medio eorum.

17. Ego ad Deum clamavi, et Dominus exaudivit me.

18. Vespere et mane et meridie narrabo et annuntiabo, et exaudivit vocem meam.

19. Redimet in pace animam meam ab his qui appropinquant mihi, quoniam in multis erant mecum.

20. Exaudiet Deus et humiliabit illos, qui est ante sæcula. *Diapsalma.* Non enim est illis commutatio, et non timuerunt Deum.

21. Extendit manum suam in retribuendo. Contaminaverunt testamentum ejus,

22. divisi sunt ab ira vultus ejus, et appropinquavit cor illius. Molliti sunt sermones ejus super oleum, et ipsi sunt jacula.

23. Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

24. Σὺ δὲ, ὁ Θεὸς, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σὲ, Κύριε.

ΝΕ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ Ἀλλόφυλοι ἐν Γέθ.

2. Ἐλέησόν με, ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.
3. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν ἀπὸ ὕψους ἡμέρας, ὅτι πολλοὶ οἱ πολεμοῦντές με
4. φοβηθήσονται· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σοί.
5. Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ὅλην τὴν ἡμέραν ἐν τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.
6. Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
7. Παροικήσουσι καὶ κατακρύψουσιν αὐτοὶ, τὴν πτέρναν μου φυλάξουσι, καθάπερ ὑπέμεινα τῇ ψυχῇ μου.
8. Ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατάξεις, ὁ Θεός.
9. Τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.
10. Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ.
11. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.
12. Ἐν ἐμοὶ, ὁ Θεὸς, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σου.
13. Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου, καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος, τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ Θεοῦ ἐν φωτὶ ζώντων.

ΝϚ'.

1. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

2. Ἐλέησόν με, ὁ Θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου· καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
3. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Διάψαλμα.
4. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ,
5. καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων, ἐκοιμήθην τεταραγμένος. Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.
6. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

---

23. Jacta super Dominum curam tuam, et ipse enutriet te : non dabit in æternum fluctuationem justo.

24. Tu vero, Deus, deduces eos in puteum interitus : viri sanguinum et dolositatis non dimidiabunt dies suos, ego autem sperabo in te, Domine.

LV.

1. In finem, pro populo qui a sanctis longe factus est, ipsi David in tituli inscriptionem, cum tenuerunt eum Allophyli in Geth.

2. Miserere mei, Deus, quoniam conculcavit me homo, tota die pugnans tribulavit me.
3. Conculcaverunt me inimici mei tota die ab altitudine diei, quoniam multi qui debellant me
4. timebunt : ego vero in te sperabo.
5. In Deo laudabo sermones meos, tota die in Deo speravi, non timebo quid faciat mihi caro.
6. Tota die verba mea aspernabantur, adversum me omnes cogitationes eorum in malum.
7. Incolent et abscondent ipsi, calcaneum meum observabunt, sicut sustinui anima mea.
8. Pro nihilo salvos facies illos, in ira populos deduces, Deus.
9. Vitam meam annuntiavi tibi, posuisti lacrymas meas in conspectu tuo, sicut et in promissione tua.
10. Convertentur inimici mei retrorsum, in quacumque die invocavero te : ecce cognovi quoniam Deus meus es tu.
11. In Deo laudabo verbum, in Domino laudabo sermonem : in Deo speravi, non timebo quid faciat homo.
12. In me sunt, Deus, vota quæ reddam laudationis tibi.
13. Quoniam eripuisti animam meam de morte, et pedes meos de lapsu, ut placeam coram Deo in lumine viventium.

LVI.

1. In finem, ne disperdas, ipsi David in tituli inscriptionem, cum fugeret a facie Saul in speluncam.

2. Miserere mei, Deus, miserere mei, quoniam in te confidit anima mea : et in umbra alarum tuarum sperabo, donec transeat iniquitas.
3. Clamabo ad Deum altissimum, Deum qui benefecit mihi. *Diapsalma.*
4. Misit de cœlo et salvum fecit me, dedit in opprobrium conculcantes me. Misit Deus misericordiam suam et veritatem suam,
5. et eripuit animam meam de medio catulorum leonum, dormivi conturbatus. Filii hominum, dentes eorum arma et sagittæ, et lingua eorum gladius acutus.
6. Exaltare super cœlos, Deus, et super omnem terram gloria tua.

7. Παγίδας ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου· ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσαν εἰς αὐτόν. Διάψαλμα.
8. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ.
9. Ἐξεγέρθητι, ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου.
10. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.
11. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
12. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

ΝΖʹ.

1. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.

2. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθεῖα κρίνετε, οἱ υἱοὶ τῶν ἀνθρώπων.
3. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.
4. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ.
5. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς,
6. ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων, φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.
7. Ὁ Θεὸς συνέτριψε τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.
8. Ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον, ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν.
9. Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται, ἔπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον.
10. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς.
11. Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.
12. Καὶ ἐρεῖ ἄνθρωπος· Εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

ΝΗʹ.

1. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.

2. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεὸς, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.
3. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.
4. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί·
5. οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε· ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα.
6. Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε, καὶ σὺ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραὴλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Διάψαλμα.

---

7. Laqueos paraverunt pedibus meis, et incurvaverunt animam meam : foderunt ante faciem meam foveam, et inciderunt in eam. *Diapsalma.*
8. Paratum cor meum, Deus, paratum cor meum : cantabo et psalmum dicam.
9. Exsurge, gloria mea, exsurge, psalterium et cithara : exsurgam diluculo.
10. Confitebor tibi in populis, Domine, psalmum dicam tibi in gentibus.
11. Quoniam magnificata est usque ad cœlos misericordia tua, et usque ad nubes veritas tua.
12. Exaltare super cœlos, Deus, et super omnem terram gloria tua.

LVII

1. In finem, ne disperdas, ipsi David in tituli inscriptionem.

2. Si vere utique justitiam loquimini, recta judicate, filii hominum.
3. Etenim in corde iniquitates operamini in terra, injustitiam manus vestræ concinnant.
4. Alienati sunt peccatores a vulva, erraverunt ab utero, locuti sunt falsa.
5. Furor illis secundum similitudinem serpentis, sicut aspidis surdæ, et obturantis aures suas,
6. quæ non exaudiet vocem incantantium, et medicamenti medicati a sapiente.
7. Deus contrivit dentes eorum in ore ipsorum, molas leonum confregit Dominus.
8. Ad nihilum devenient velut aqua decurrens, intendit arcum suum donec infirmentur.
9. Sicut cera liquefacta auferentur, cecidit ignis, et non viderunt solem.
10. Priusquam intelligant spinæ vestræ rhamnum, sicut viventes, sicut in ira absorbebit vos.
11. Lætabitur justus cum viderit vindictam impiorum, manus suas lavabit in sanguine peccatoris.
12. Et dicet homo : Si utique est fructus justo, utique est Deus judicans eos in terra.

LVIII.

1. In finem, ne disperdas, ipsi David in tituli inscriptionem, quando misit Saul, et custodivit domum ejus ut interficeret eum.

2. Eripe me de inimicis meis, Deus, et ab insurgentibus in me libera me.
3. Eripe me de operantibus iniquitatem, et de viris sanguinum salva me.
4. Quia ecce venati sunt animam meam, irruerunt in me fortes :
5. neque iniquitas mea, neque peccatum meum, Domine : sine iniquitate cucurri et direxi.
6. Exsurge in occursum meum, et vide, et tu, Domine Deus virtutum, Deus Israel, intende ad visitandas omnes gentes, ne miserearis omnibus qui operantur iniquitatem. *Diapsalma.*

7. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

8. Ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσε;

9. Καὶ σὺ, Κύριε, ἐκγελάσῃ αὐτοὺς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.

10. Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ.

11. Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με,

12. ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. Μὴ ἀποκτείνῃς αὐτοὺς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτοὺς, ὁ ὑπερασπιστής μου, Κύριε.

13. Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν· καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν, καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται

14. συντέλειαι, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξουσι· καὶ γνώσονται ὅτι ὁ Θεὸς τοῦ Ἰακὼβ δεσπόζει τῶν περάτων τῆς γῆς. Διάψαλμα.

15. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

16. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν.

17. Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τοπρωῒ τὸ ἔλεός σου· ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου.

18. Βοηθός μου, σοὶ ψαλῶ, ὁ Θεός μου· ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου.

ΝΘ΄.

1. Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυὶδ εἰς διδαχὴν, 2. ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβὰλ, καὶ ἐπέστρεψεν Ἰωὰβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας.

3. Ὁ Θεὸς, ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.

4. Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

5. Ἔδειξας τῷ λαῷ σου σκληρὰ, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

6. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Διάψαλμα. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου,

7. σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

8. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

9. Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆ, καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου,

10. Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

11. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

12. Οὐχὶ σὺ, ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεὸς, ἐν ταῖς δυνάμεσιν ἡμῶν·

13. δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

7. Convertentur ad vesperam, et famem patientur ut canis, et circuibunt civitatem.

8. Ecce loquentur in ore suo, et gladius in labiis eorum, quoniam quis audivit?

9. Et tu, Domine, deridebis eos, pro nihilo habebis omnes gentes.

10. Fortitudinem meam ad te custodiam, quia tu Deus susceptor meus es.

11. Deus meus, misericordia ejus præveniet me,

12. Deus meus ostendet mihi in inimicis meis. Ne occidas eos, ne quando obliviscantur legis tuæ. Disperge illos in virtute tua, et depone eos, protector meus, Domine.

13. Delictum oris eorum, sermonem labiorum ipsorum: et comprehendantur in superbia sua, et de exsecratione et mendacio annuntiabuntur

14. consummationes, in ira consummationis, et non erunt: et scient quia Deus Jacob dominatur finium terræ. *Diapsalma.*

15. Convertentur ad vesperam, et famem patientur ut canis, et circuibunt civitatem.

16. Ipsi dispergentur ad manducandum, si vero non fuerint saturati, et murmurabunt.

17. Ego autem cantabo virtuti tuæ, et exsultabo mane misericordiam tuam: quia factus es susceptor meus et refugium meum in die tribulationis meæ.

18. Adjutor meus, tibi psallam, Deus meus: susceptor meus es, Deus meus misericordia mea.

LIX.

1. In finem, iis qui immutabuntur adhuc, in tituli inscriptionem ipsi David in doctrinam, 2. cum succendit Mesopotamiam Syriæ, et Syriam Sobal, et convertit Joab, et percussit vallem Salinarum, duodecim millia.

3. Deus, repulisti nos, et destruxisti nos, iratus es et misertus es nobis.

4. Commovisti terram et conturbasti eam: sana contritiones ejus, quia commota est.

5 Ostendisti populo tuo dura, potasti nos vino compunctionis,

6. Dedisti metuentibus te significationem, ut fugiant a facie arcus. *Diapsalma.* Ut liberentur dilecti tui,

7. salvum fac dextera tua et exaudi me.

8. Deus locutus est in sancto suo: exsultabo et partibor Sicimam, et convallem tabernaculorum dimetiar.

9. Meus est Galaad, et meus est Manasse, et Ephraim fortitudo capitis mei. Judas rex meus,

10. Moab olla spei meæ. In Idumæam extendam calceamentum meum, mihi alienigenæ subditi sunt.

11. Quis deducet me in civitatem circumstantiæ? quis deducet me usque in Idumæam?

12. Nonne tu, Deus, qui repulisti nos, et non egredieris, Deus, in virtutibus nostris:

13. Da nobis auxilium de tribulatione, et vana salus hominis.

14. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

14. In deo faciemus virtutem, et ipse ad nihilum deducet tribulantes nos.

Ξ'.

1. Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαυίδ.

2. Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

3. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. Ὡδήγησάς με,

4. ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

5. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου. Διάψαλμα.

6. Ὅτι σὺ, ὁ Θεὸς, εἰσήκουσας τῶν προσευχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

7. Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

8. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ, ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν;

9. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

LX.

1. In finem, in hymnis ipsi David.

2. Exaudi, Deus, deprecationem meam, intende orationi meæ.

3. A finibus terræ ad te clamavi, dum anxiaretur cor meum, in petra exaltasti me. Deduxisti me,

4. quia factus es spes mea, turris fortitudinis a facie inimici.

5. Inhabitabo in tabernaculo tuo in sæcula, protegar in velamine alarum tuarum. *Diapsalma.*

6. Quoniam tu, Deus, exaudisti orationes meas, dedisti hæreditatem timentibus nomen tuum.

7. Dies super dies regis adjicies, annos ejus usque in diem generationis et generationis.

8. Permanebit in æternum in conspectu Dei, misericordiam et veritatem ejus quis requiret?

9. Sic psallam nomini tuo in sæculum sæculi, ut reddam vota mea de die in diem.

ΞΑ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺν ψαλμὸς τῷ Δαυίδ.

2. Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου.

3. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

4. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; Φονεύετε πάντες ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ;

5. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψει. Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Διάψαλμα.

6. Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου, ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.

7. Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.

8. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου· ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.

9. Ἐλπίσατε ἐπ' αὐτὸν, πᾶσα συναγωγὴ λαοῦ· ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν. Διάψαλμα.

10. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων· ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπιτοαυτό.

11. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἁρπάγματα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

12. Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ,

13. καὶ σοῦ, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

LXI.

1. In finem, pro Idithum psalmus ipsi David.

2. Nonne Deo subjecta erit anima mea? ab ipso enim salutare meum.

3. Nam et ipse Deus meus et salvator meus, susceptor meus, non movebor amplius.

4. Quousque apponitis super hominem? Interficitis universi tamquam parieti inclinato et maceriæ impulsæ?

5. Verumtamen honorem meum cogitaverunt repellere, cucurri in siti. Ore suo benedicebant, et corde suo maledicebant. *Diapsalma.*

6. Verumtamen Deo subjecta esto, anima mea, quoniam ab ipso patientia mea.

7. Quia ipse Deus meus et salvator meus, susceptor meus, non emigrabo.

8. In Deo salutare meum et gloria mea : deus auxilii mei, et spes mea in Deo est.

9. Sperate in eo, omnis congregatio populi : effundite coram illo corda vestra, quia Deus adjutor noster. *Diapsalma.*

10. Verumtamen vani filii hominum : mendaces filii hominum, in stateris ut decipiant, ipsi de vanitate in idipsum.

11. Nolite sperare super iniquitatem, et super rapinas nolite concupiscere : divitiæ si affluant, nolite cor apponere.

12. Semel locutus est Deus, duo hæc audivi, quia potestas Dei est,

13. et tua, Domine, misericordia : quia tu reddes unicuique secundum opera sua.

ΞΒʹ.

1. Ψαλμὸς τῷ Δαυὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.

2. Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου·

3. ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

4. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς, τὰ χείλη μου ἐπαινέσουσί σε.

5. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

6. Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ὄνομά σου.

7. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

8. Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

9. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.

10. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς,

11. παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

12. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

LXII

1. Psalmus ipsi David, cum esset in deserto Idumææ

2. Deus, Deus meus, ad te de luce vigilo. Sitivit tibi anima mea, quam multipliciter tibi caro mea :

3. in terra deserta et invia et inaquosa, sic in sancto apparui tibi, ut viderem virtutem tuam et gloriam tuam.

4. Quoniam melior est misericordia tua super vitas, labia mea laudabunt te.

5. Sic benedicam te in vita mea, in nomine tuo levabo manus meas.

6. Sicut adipe et pinguedine repleatur anima mea, et labia exsultationis laudabunt nomen tuum.

7. Si memoratus sum tui super stratum meum, in matutinis meditabar in te.

8. Quia fuisti adjutor meus, et in velamento alarum tuarum exsultabo.

9. Adhæsit anima mea post te, me suscepit dextera tua.

10. Ipsi vero in vanum quæsierunt animam meam, introibunt in inferiora terræ,

11. tradentur in manus gladii, partes vulpium erunt.

12. Rex vero lætabitur in Deo, laudabitur omnis qui jurat in eo, quia obstructum est os loquentium iniqua.

ΞΓʹ.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

2. Εἰσάκουσον, ὁ Θεὸς, τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

3. Ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.

4. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον πρᾶγμα πικρὸν,

5. τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον·

6. ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρὸν, διηγήσαντο τοῦ κρύψαι παγίδας. Εἶπαν· Τίς ὄψεται αὐτούς;

7. Ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει· προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα,

8. καὶ ὑψωθήσεται ὁ Θεός. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν,

9. καὶ ἐξουθένησαν αὐτὸν αἱ γλῶσσαι αὐτῶν· ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτοὺς,

10. καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

11. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτὸν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ

LXIII.

1. In finem, psalmus ipsi David.

2. Exaudi, Deus, orationem meam cum deprecor ad te : a timore inimici eripe animam meam.

3. Protexisti me a conventu malignantium, a multitudine operantium iniquitatem.

4. Qui exacuerunt ut gladium linguas suas, intenderunt arcum rem amaram,

5. ut sagittent in occultis immaculatum :

6. subito sagittabunt eum, et non timebunt. Firmaverunt sibi sermonem malignum, narraverunt ut absconderent laqueos. Dixerunt : Quis videbit eos?

7. Perscrutati sunt iniquitatem, defecerunt scrutantes scrutinio : accedet homo, et cor altum,

8. et exaltabitur Deus. Sagittæ infantium factæ sunt plagæ eorum,

9. et pro nihilo habuerunt eum linguæ eorum : conturbati sunt omnes qui videbant eos,

10. et timuit omnis homo. Et annuntiaverunt opera Dei, et facta ejus intellexerunt.

11. Lætabitur justus in Domino, et sperabit in eo, et laudabuntur omnes recti corde.

ΞΔʹ.

1. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυὶδ, ᾠδή.

2. Σοὶ πρέπει ὕμνος, ὁ Θεὸς, ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχή.

LXIV.

1. In finem, psalmus ipsi David, canticum.

2. Te decet hymnus, Deus, in Sion, et tibi reddetur votum.

3. Εἰςάκουσον προςευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.
4. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ.
5. Μακάριος ὃν ἐξελέξω καὶ προςελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ ναός σου,
6. θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.
7. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ σου, περιεζωσμένος ἐν δυναστείᾳ.
8. Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς. Ταραχθήσονται τὰ ἔθνη
9. καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.
10. Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.
11. Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.
12. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.
13. Πιανθήσεται τὰ ὄρη τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.
14. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον, κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

3. Exaudi orationem meam, ad te omnis caro veniet.
4. Verba impiorum prævaluerunt super nos, et impietates nostras tu propitiabis.
5. Beatus quem elegisti et assumpsisti, inhabitabit in atriis tuis. Replebimur in bonis domus tuæ, sanctum est templum tuum,
6. mirabile in justitia. Exaudi nos, Deus salvator noster, spes omnium finium terræ, et in mari longe.
7. Præparans montes in fortitudine tua, circumcinctus in potentatu.
8. Qui conturbas fundum maris, sonos fluctuum ejus. Turbabuntur gentes
9. et timebunt qui inhabitant fines a signis tuis. Exitus matutini et vesperæ delectabis.
10. Visitasti terram et inebriasti eam, multiplicasti locupletare eam. Flumen Dei repletum est aquis. Parasti cibum illorum, quoniam ita est præparatio.
11. Rivos ejus inebria, multiplica genimina ejus, in stillicidiis ejus lætabitur germinans.
12. Benedices coronam anni benignitatis tuæ, et campi tui replebuntur ubertate.
13. Pinguescent montes deserti, et exaltatione colles accingentur.
14. Induti sunt arietes ovium, et valles abundabunt frumento, clamabunt, etenim hymnum dicent.

ΞΕ'.

Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστάσεως.

1. Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ,
2. ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ. Δότε δόξαν αἰνέσει αὐτοῦ,
3. εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
4. Πᾶσα ἡ γῆ προςκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου. Διάψαλμα.
5. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ· φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
6. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ,
7. τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Διάψαλμα.
8. Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.
9. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
10. Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.
11. Εἰςήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν·
12. ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

LXV.

In finem, canticum psalmi resurrectionis.

1. Jubilate Deo, omnis terra,
2. psalmum dicite nomini ejus. Date gloriam laudi ejus,
3. dicite Deo: Quam terribilia sunt opera tua, Domine! In multitudine virtutis tuæ mentientur tibi inimici tui.
4. Omnis terra adoret te, et psallat tibi, psalmum dicat nomini tuo. *Diapsalma.*
5. Venite et videte opera Domini: terribilis in consiliis super filios hominum.
6. Qui convertit mare in aridam, in flumine pertransibunt pede. Ibi lætabimur in ipso,
7. qui dominatur in virtute sua sæculo. Oculi ejus super gentes respiciunt, qui exasperant non exaltentur in semet ipsis. *Diapsalma.*
8. Benedicite, gentes, Deum nostrum, et auditam facite vocem laudis ejus.
9. Qui posuit animam meam ad vitam, et non dedit in commotionem pedes meos.
10. Quoniam probasti nos, Deus, ignisti nos sicut ignitur argentum.
11. Induxisti nos in laqueum, posuisti tribulationes in dorso nostro:
12. imposuisti homines super capita nostra, transivimus per ignem et aquam, et eduxisti nos in refrigerium.

13. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου,
14. ἃς διέστειλε τὰ χείλη μου· καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.
15. Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ποιήσω σοι βόας μετὰ χιμάρων. Διάψαλμα.
16. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.
17. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.
18. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω Κύριος.
19. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεὸς, προσέσχε τῇ φωνῇ τῆς προσευχῆς μου.
20. Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΞϚʹ.

1. Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Δαυίδ.

2. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς. Διάψαλμα.
3. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.
4. Ἐξομολογησάσθωσάν σοι λαοὶ, ὁ Θεός· ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
5. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Διάψαλμα.
6. Ἐξομολογησάσθωσάν σοι λαοὶ, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
7. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν,
8. εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

ΞΖʹ.

1. Εἰς τὸ τέλος, τῷ Δαυὶδ ψαλμὸς ᾠδῆς.

2. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ.
3. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.
4. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.
5. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ,
6. τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν, ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
7. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ· ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.
8. Ὁ Θεὸς, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε τὴν ἔρημον. Διάψαλμα.

13. Introibo in domum tuam in holocaustis, reddam tibi vota mea,
14. quæ distinxerunt labia mea : et locutum est os meum in tribulatione mea.
15. Holocausta medullata offeram tibi cum incenso et arietibus, faciam tibi boves cum hircis. *Diapsalma.*
16. Venite, audite, et narrabo, omnes qui timetis Deum, quanta fecit animæ meæ.
17. Ad ipsum ore meo clamavi, et exaltavi sub lingua mea.
18. Iniquitatem si aspexi in corde meo, non exaudiat Dominus.
19. Propterea exaudivit me Deus, attendit voci orationis meæ.
20. Benedictus Deus, qui non amovit orationem meam, et misericordiam suam a me.

LXVI.

1. In finem, in hymnis psalmus ipsi David.

2. Deus misereatur nostri et benedicat nos : illuminet vultum suum super nos. *Diapsalma.*
3. Ad cognoscendum in terra viam tuam, in omnibus gentibus salutare tuum.
4. Confiteantur tibi populi, Deus : confiteantur tibi populi omnes.
5. Lætentur et exsultent gentes, quoniam judicabis populos in æquitate, et gentes in terra diriges. *Diapsalma.*
6. Confiteantur tibi populi, Deus, confiteantur tibi populi omnes.
7. Terra dedit fructum suum. Benedicat nos Deus, Deus noster,
8. benedicat nos Deus, et metuant eum omnes fines terræ.

LXVII.

1. In finem, ipsi David psalmus cantici.

2. Exsurgat Deus et dissipentur inimici ejus, et fugiant qui oderunt eum a facie ejus.
3. Sicut deficit fumus deficiant : sicut liquefit cera a facie ignis, sic pereant peccatores a facie Dei.
4. Et justi lætentur, exsultent in conspectu Dei, delectentur in lætitia.
5. Cantate Deo, psallite nomini ejus, iter facite ei qui ascendit super occasum, Dominus nomen illi, et exsultate in conspectu ejus. Turbabuntur a facie ejus,
6. patris orphanorum et judicis viduarum, Deus in loco sancto suo.
7. Deus inhabitare facit unius moris in domo, qui educit vinctos in fortitudine : similiter eos qui exasperant, qui habitant in sepulcris.
8. Deus, cum egredereris in conspectu populi tui, cum pertransires desertum. *Diapsalma.*

9. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινὰ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

10. Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

11. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.

12. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

13. Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

14. Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

15. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών.

16. Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον· ὄρος τετυρωμένον, ὄρος πῖον.

17. Ἱνατί ὑπολαμβάνετε ὄρη τετυρωμένα· τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

18. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· Κύριος ἐν αὐτοῖς ἐν Σινὰ ἐν τῷ ἁγίῳ.

19. Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν· ἔλαβες δόματα ἐν ἀνθρώπῳ, καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι.

20. Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· καὶ κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. Διάψαλμα.

21. Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, καὶ τοῦ Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

22. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν θριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

23. Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης·

24. ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

25. Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεὸς, αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

26. Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

27. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, τὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ.

28. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλί.

29. Ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου· δυνάμωσον, ὁ Θεὸς, τοῦτο ὃ κατηρτίσω ἐν ἡμῖν.

30. Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ σοὶ οἴσουσι βασιλεῖς δῶρα.

31. Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

32. Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

33. Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ. Διάψαλμα. Ψάλατε τῷ Θεῷ

9. Terra mota est, etenim cœli distillaverunt a facie Dei Sinai, a facie Dei Israel.

10. Pluviam voluntariam segregabis, Deus, hæreditati tuæ, et infirmata est, tu vero perfecisti eam.

11. Animalia tua inhabitabunt in ea, parasti in dulcedine tua pauperi, Deus.

12. Dominus dabit verbum evangelizantibus virtute multa.

13. Rex virtutum dilecti, dilecti, et speciei domus dividere spolia.

14. Si dormiatis inter medios cleros, pennæ columbæ deargentatæ, et posteriora dorsi ejus in viriditate auri.

15 Dum discernit cœlestis reges super eam, nive dealbabuntur in Selmon.

16. Mons Dei, mons pinguis : mons coagulatus, mons pinguis.

17. Ut quid suspicamini montes coagulatos? mons in quo beneplacitum est Deo habitare in eo : etenim Dominus inhabitabit in finem.

18. Currus Dei decem millibus multiplex, millia lætantium : Dominus in eis in Sina in sancto.

19. Ascendens in altum captivasti captivitatem : accepisti dona in homine, etenim non credentes inhabitare.

20. Dominus Deus benedictus, benedictus Dominus de die in diem : et prosperum iter faciet nobis Deus salutarium nostrorum. *Diapsalma.*

21. Deus noster, Deus salvos faciendi, et Domini exitus mortis.

22. Verumtamen Deus confringet capita inimicorum suorum, verticem capilli perambulantium in delictis suis.

23. Dixit Dominus : Ex Basan convertam, convertam in profundis maris :

24. ut intingatur pes tuus in sanguine, lingua canum tuorum ex inimicis ab ipso.

25. Visi sunt ingressus tui, Deus, ingressus Dei mei, regis qui est in sancto.

26. Prævenerunt principes conjuncti psallentibus, in medio juvencularum tympanistriarum.

27. In ecclesiis benedicite Deum, Dominum de fontibus Israel.

28. Ibi Benjamin adolescentior in exstasi, principes Juda duces eorum, principes Zabulon, principes Nephthali.

29. Manda, Deus, virtuti tuæ : confirma hoc, Deus, quod perfecisti in nobis.

30. A templo tuo in Jerusalem tibi offerent reges munera.

31. Increpa feras calami : congregatio taurorum in vaccis populorum, non excludantur ii qui probati sunt argento. Dissipa gentes quæ bella volunt.

32. Venient legati ex Ægypto, Æthiopia præveniet manum suam Deo.

33. Regna terræ, cantate Deo, psallite Domino. *Diapsalma.* Psallite Deo

34. τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

35. Δότε δόξαν τῷ Θεῷ, ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

36. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· εὐλογητὸς ὁ Θεός.

ΞΗ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τῷ Δαυίδ.

2. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

3. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

4. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου· ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

5. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπασα, τότε ἀπετίννυον.

6. Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.

7. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε τῶν δυνάμεων· μὴ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.

8. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

9. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

10. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

11. Καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

12. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

13. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.

14. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε, καιρὸς εὐδοκίας, ὁ Θεός· ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

15. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων.

16. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

17. Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

18. Καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου· ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

19. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με·

20. σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου·

34. qui ascendit super cœlum cœli ad orientem, ecce dabit in voce sua vocem virtutis.

35. Date gloriam Deo, super Israel magnificentia ejus, et virtus ejus in nubibus.

36. Mirabilis Deus in sanctis suis, Deus Israel ipse dabit virtutem et fortitudinem plebi suæ : benedictus Deus.

LXVIII.

1. In finem, pro his qui commutabuntur, ipsi David.

2. Salvum me fac, Deus, quoniam intraverunt aquæ usque ad animam meam.

3. Infixus sum in limo profundi, et non est substantia : veni in altitudinem maris, et tempestas demersit me.

4. Laboravi clamans, raucæ factæ sunt fauces meæ: defecerunt oculi mei a sperando me in Deum meum.

5. Multiplicati sunt super capillos capitis mei qui oderunt me gratis. Confortati sunt inimici mei, qui persequuntur me injuste : quæ non rapui, tunc exsolvebam.

6. Deus, tu scis insipientiam meam, et delicta mea a te non sunt abscondita.

7. Non erubescant in me qui exspectant te, Domine virtutum : non confundantur super me qui quærunt te, Deus Israel.

8. Quoniam propter te sustinui exprobrationem, operuit confusio faciem meam.

9. Alienatus factus sum fratribus meis, et hospes filiis matris meæ.

10. Quoniam zelus domus tuæ comedit me, et opprobria exprobrantium tibi ceciderunt super me.

11. Et incurvavi in jejunio animam meam, et factum est mihi in opprobrium.

12. Et posui vestimentum meum saccum, et factus sum illis in parabolam.

13. Adversus me loquebantur qui sedebant in porta, et in me psallebant qui bibebant vinum.

14. Ego vero oratione mea ad te, Domine, tempus beneplaciti, Deus : in multitudine misericordiæ tuæ exaudi me, in veritate salutis tuæ.

15. Salvum me fac de luto, ut non infigar : eruar ex iis qui oderunt me, et de profundo aquarum.

16. Non me demergat tempestas aquæ, neque absorbeat me profundum, neque coarctet super me puteus os suum.

17. Exaudi me, Domine, quoniam suavis est misericordia tua : secundum multitudinem miserationum tuarum respice in me.

18. Et ne avertas faciem tuam a puero tuo : quoniam tribulor, velociter exaudi me.

19. Intende animæ meæ, et redime eam, propter inimicos meos eripe me :

20. tu enim agnoscis opprobrium meum, et confusionem meam, et verecundiam meam :

21. ἐναντίον σου πάντες οἱ θλίβοντές με. Ὀνειδισμὸν προςεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον.

22. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

23. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

24. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

25. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

26. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

27. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προςέθηκαν.

28. Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰςελθέτωσαν ἐν δικαιοσύνῃ σου.

29. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

30. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγὼ, καὶ ἡ σωτηρία τοῦ προςώπου σου ἀντελάβετό μου.

31. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει·

32. καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.

33. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεσθε.

34. Ὅτι εἰςήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

35. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.

36. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας, καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν.

37. Καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτὴν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

21. in conspectu tuo sunt omnes qui tribulant me. Opprobrium exspectavit anima mea et miseriam : et sustinui qui simul contristaretur, et non fuit, et qui consolaretur, et non inveni.

22. Et dederunt in escam meam fel, et in siti mea potaverunt me aceto.

23. Fiat mensa eorum coram ipsis in laqueum, et in retributionem et in scandalum.

24. Obscurentur oculi eorum ne videant, et dorsum eorum semper incurva.

25. Effunde super eos iram tuam, et furor iræ tuæ comprehendat eos.

26. Fiat habitatio eorum deserta, et in tabernaculis eorum non sit qui inhabitet.

27. Quoniam quem tu percussisti, ipsi persecuti sunt, et super dolorem vulnerum meorum addiderunt.

28. Appone iniquitatem super iniquitatem ipsorum, et non intrent in tua justitia.

29. Deleantur de libro viventium, et cum justis non scribantur.

30. Pauper et dolens ego sum, et salus vultus tui suscepit me.

31. Laudabo nomen Dei mei cum cantico, magnificabo eum in laude :

32. et placebit Deo super vitulum novellum cornua producentem et ungulas.

33. Videant pauperes et lætentur : quærite Deum, et vivetis.

34. Quoniam exaudivit pauperes Dominus, et compeditos suos non sprevit.

35. Laudent illum cœli et terra, mare et omnia repentia in eis.

36. Quoniam Deus salvam faciet Sion, et ædificabuntur civitates Judææ, et inhabitabunt ibi, et hæreditate acquirent eam.

37. Et semen servorum ejus obtinebunt eam, et qui diligunt nomen ejus inhabitabunt in ea.

ΞΘ.

1. Εἰς τὸ τέλος, τῷ Δαυὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον.

2. Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

3. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

4. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά· ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

5. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Θεὸς, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

6. Ἐγὼ δὲ πτωχὸς καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς.

LXIX.

1. In finem, ipsi David in rememorationem, eo quod salvum me fecit Dominus.

2. Deus, in adjutorium meum intende : Domine, ad adjuvandum me festina.

3. Confundantur et revereantur qui quærunt animam meam.

4. Avertantur retrorsum et erubescant qui volunt mihi mala : avertantur statim erubescentes qui dicunt mihi : Euge, euge.

5. Exsultent et lætentur in te omnes qui quærunt te, et dicant semper : Magnificetur Dominus, qui diligunt salutare tuum.

6. Ego vero egenus et pauper sum : Deus, adjuva me. Adjutor meus et liberator meus es tu : Domine, ne tardaveris.

Ο'.

Τῷ Δαυὶδ υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων.

1. Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

LXX.

Ipsi David filiorum Jonadab, et eorum qui primi captivi ducti sunt.

1. In te, Domine, speravi, non confundar in æternum.

2. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.

3. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν, τοῦ σῶσαί με, ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.

4. Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

5. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε· Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου.

6. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής· ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.

7. Ὡςεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς κραταιός.

8. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

9. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρους· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

10. Ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπιτοαυτὸ,

11. λέγοντες· Ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

12. Ὁ Θεὸς, μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.

13. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.

14. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ, καὶ προςθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.

15. Τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου· ὅτι οὐκ ἔγνων πραγματείας.

16. Εἰςελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

17. Ἐδίδαξάς με, ὁ Θεὸς, ἐκ νεότητός μου, καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου,

18. καὶ ἕως γήρους καὶ πρεσβείου. Ὁ Θεὸς, μὴ ἐγκαταλίπῃς με ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ· τὴν δυναστείαν σου

19. καὶ τὴν δικαιοσύνην σου, ὁ Θεὸς, ἕως ὑψίστων, ἃ ἐποίησας μεγαλεῖα. Ὁ Θεὸς, τίς ὅμοιός σοι;

20. Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

21. Ἐπλεόνασας τὴν δικαιοσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

22. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός· ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.

23. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.

24. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

ΟΑ'.

1. Εἰς Σαλωμών.

2. Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δι-

2. In justitia tua erue me et exime me, inclina ad me aurem tuam et salva me.

3. Esto mihi in Deum protectorem et in locum munitum, ut salvum me facias, quoniam firmamentum meum et refugium meum es tu.

4. Deus meus, erue me de manu peccatoris, de manu contra legem agentis et iniqui.

5. Quoniam tu es patientia mea, Domine: Domine, spes mea a juventute mea.

6. In te confirmatus sum ex utero, de ventre matris meæ tu es protector meus : in te cantatio mea semper.

7. Tamquam prodigium factus sum multis, et tu adjutor fortis.

8. Repleatur os meum laude, ut cantem gloriam tuam, tota die magnificentiam tuam.

9. Ne projicias me tempore senectutis: cum deficiet virtus mea ne derelinquas me.

10. Quia dixerunt inimici mei mihi, et qui custodiebant animam meam consilium fecerunt in unum,

11. dicentes: Deus dereliquit eum, persequimini et comprehendite eum, quia non est qui eripiat.

12. Deus, ne elongeris a me: Deus meus, in auxilium meum respice.

13. Confundantur et deficiant detrahentes animæ meæ, induantur confusione et verecundia qui quærunt mala mihi.

14. Ego autem semper sperabo, et adjiciam super omnem laudem tuam.

15. Os meum annuntiabit justitiam tuam, tota die salutem tuam : quoniam non cognovi negotiationes.

16. Introibo in potentia Domini : Domine, memorabor justitiæ tuæ solius.

17. Docuisti me, Deus, ex juventute mea, et usque nunc annuntiabo mirabilia tua,

18. et usque in senectam et senium. Deus, ne derelinquas me donec annuntiem brachium tuum omni generationi quæ ventura est : potentiam tuam

19. et justitiam tuam, Deus, usque in altissima, quæ fecisti magnalia. Deus, quis similis tibi?

20. Quantas ostendisti mihi tribulationes multas et malas, et conversus vivificasti me, et de abyssis terræ iterum reduxisti me.

21. Multiplicasti justitiam tuam, et conversus consolatus es me, et de abyssis terræ iterum reduxisti me.

22. Nam et ego confitebor tibi in vase psalmi veritatem tuam, Deus : psallam tibi in cithara, sanctus Israel.

23. Exsultabunt labia mea cum psallam tibi, et anima mea quam redemisti.

24. Adhuc autem et lingua mea tota die meditabitur justitiam tuam, cum confusi fuerint et erubuerint qui quærunt mala mihi.

LXXI.

1. In Salomonem.

2. Deus, judicium tuum regi da, et justitiam tuam filio

καιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως· κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.
3. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου, καὶ οἱ βουνοί.
4. Ἐν δικαιοσύνῃ κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων· καὶ ταπεινώσει συκοφάντην,
5. καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.
6. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.
7. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.
8. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.
9. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.
10. Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι.
11. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
12. Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.
13. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.
14. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.
15. Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός· ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
16. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
17. Ἔστω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ· καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
18. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος,
19. καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς αἰῶνα τοῦ αἰῶνος, καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο.

Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί.

ΟΒ'.

Ψαλμὸς τῷ Ἀσάφ.

1. Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι καρδίᾳ.
2. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.
3. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.
4. Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.
5. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
6. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν.
7. Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν· διῆλθον εἰς διάθεσιν καρδίας.

regis : judicare populum tuum in justitia, et pauperes tuos in judicio.
3. Suscipiant montes pacem populo tuo, et colles.
4. In justitia judicabit pauperes populi, et salvos faciet filios pauperum : et humiliabit calumniatorem,
5. et permanebit cum sole, et ante lunam generationes generationum.
6. Descendet sicut pluvia in vellus, et sicut stillicidia stillantia super terram.
7. Orietur in diebus ejus justitia et abundantia pacis, donec auferatur luna.
8. Et dominabitur a mari usque ad mare, et a flumine usque ad terminos orbis terrarum.
9. Coram illo procident Æthiopes, et inimici ejus terram lingent.
10. Reges Tharsis et insulæ munera offerent, reges Arabum et Saba dona adducent.
11. Et adorabunt eum omnes reges, omnes gentes servient ei.
12. Quia liberavit egenum a potente, et pauperem cui non erat adjutor.
13. Parcet inopi et pauperi, et animas pauperum salvas faciet.
14. Ex usura et iniquitate redimet animas eorum, et honorabile nomen eorum coram illo.
15. Et vivet et dabitur ei de auro Arabiæ, et orabunt de ipso semper : tota die benedicent ei.
16. Erit firmamentum in terra in summis montium : superextolletur super Libanum fructus ejus, et florebunt de civitate sicut fœnum terræ.
17. Sit nomen ejus benedictum in sæcula, ante solem permanebit nomen ejus; et benedicentur in ipso omnes tribus terræ, omnes gentes magnificabunt eum.
18. Benedictus Dominus Deus Israel, qui facit mirabilia solus,
19. Et benedictum nomen gloriæ ejus in æternum et in sæculum sæculi, et replebitur gloria ejus omnis terra : fiat, fiat.

Defecerunt hymni David filii Jessæ.

LXXII.

Psalmus ipsi Asaph.

1. Quam bonus Deus Israel, rectis corde!
2. Mei autem pene commoti sunt pedes, paulo minus effusi sunt gressus mei.
3. Quia zelavi super iniquos, pacem peccatorum intuens.
4. Quia non est declinatio in morte eorum, et firmamentum in flagello eorum.
5. In laboribus hominum non sunt, et cum hominibus non flagellabuntur.
6. Ideo obtinuit eos superbia, circumamicti sunt iniquitate et impietate sua.
7. Prodibit quasi ex adipe iniquitas eorum : transierunt in dispositionem cordis.

8. Διενοήθησαν, καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.
9. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
10. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.
11. Καὶ εἶπαν· Πῶς ἔγνω ὁ Θεὸς, καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;
12. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλούτου.
13. Καὶ εἶπα· Ἆρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου.
14. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.
15. Εἰ ἔλεγον· Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.
16. Καὶ ὑπέλαβον τοῦ γνῶναι, τοῦτο κόπος ἐστὶν ἐναντίον μου,
17. ἕως εἰςέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, συνῶ εἰς τὰ ἔσχατα.
18. Πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
19. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; Ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
20. Ὡςεὶ ἐνύπνιον ἐξεγειρομένου· Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
21. Ὅτι ηὐφράνθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.
22. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων,
23. κτηνώδης ἐγενόμην παρὰ σοὶ, κἀγὼ διαπαντὸς μετὰ σοῦ.
24. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προςελάβου με.
25. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
26. Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.
27. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται· ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
28. Ἐμοὶ δὲ τὸ προςκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου· τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

8. Cogitaverunt, et locuti sunt in malignitate, iniquitatem in altum locuti sunt.
9. Posuerunt in cœlum os suum, et lingua eorum transivit super terram.
10. Ideo revertetur populus meus huc, et dies pleni invenientur in eis.
11. Et dixerunt : Quomodo scivit Deus, et si est scientia in Altissimo?
12. Ecce ipsi peccatores et abundantes in sæculo, obtinuerunt divitias.
13. Et dixi : Ergo sine causa justificavi cor meum, et lavi inter innocentes manus meas.
14. Et fui flagellatus tota die, et castigatio mea in matutinis.
15. Si dicebam : Narrabo sic, ecce generationem filiorum tuorum reprobavi.
16. Et suscepi cognoscere, hoc labor est ante me,
17. donec intrem in sanctuarium Dei, intelligam in novissima.
18. Verumtamen propter dolositates posuisti eis, dejecisti eos dum extollerentur.
19. Quomodo facti sunt in desolationem? Subito defecerunt, perierunt propter iniquitatem suam.
20. Velut somnium exsurgentis : Domine, in civitate tua imaginem ipsorum ad nihilum rediges.
21. Quia delectatum est cor meum, et renes mei mutati sunt.
22. Et ego ad nihilum redactus sum, et non cognovi,
23. ut jumentum factus sum apud te, et ego semper tecum.
24. Tenuisti manum dexteram meam, in consilio tuo deduxisti me, et cum gloria assumpsisti me.
25. Quid enim mihi est in cœlo, et a te quid volui super terram?
26. Defecit cor meum et caro mea, Deus cordis mei, et pars mea Deus in æternum.
27. Quia ecce qui elongant se a te peribunt : perdidisti omnem qui fornicatur abs te.
28. Mihi autem adhærere Deo bonum est, ponere in Domino spem meam : ut annuntiem omnes laudes tuas in portis filiæ Sion.

ΟΓ'.

Συνέσεως τῷ Ἀσάφ.

1. Ἱνατί ἀπώσω, ὁ Θεὸς, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;
2. Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.
3. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου,
4. καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα,
5. καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν εἴςοδον ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις

LXXIII.

Intellectus ipsi Asaph

1. Ut quid repulisti, Deus, in finem? iratus est furor tuus super oves pascuæ tuæ?
2. Memento congregationis tuæ quam possedisti ab initio : redemisti virgam hæreditatis tuæ, montem Sion hunc in quo habitasti in eo.
3. Leva manus tuas in superbias eorum in finem : quanta maligne operatus est inimicus in sanctis tuis,
4. et gloriati sunt qui oderunt te in medio solemnitatis tuæ. Posuerunt signa sua signa,
5. et non cognoverunt, sicut in ingressu desuper. Quasi in sylva lignorum securibus

6. ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπιτοαυτὸ, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέῤῥαξαν αὐτήν.

7. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

8. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν, ἡ συγγένεια αὐτῶν ἐπιτοαυτό· Δεῦτε, καταπαύσωμεν τὰς ἑορτὰς Κυρίου ἀπὸ τῆς γῆς.

9. Τὰ σημεῖα ἡμῶν οὐχ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

10. Ἕως πότε, ὁ Θεὸς, ὀνειδιεῖ ὁ ἐχθρὸς, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

11. Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

12. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

13. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

14. Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

15. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

16. Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νὺξ, σὺ κατηρτίσω ἥλιον καὶ σελήνην.

17. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, θέρος καὶ ἔαρ σὺ ἐποίησας.

18. Μνήσθητι ταύτης τῆς κτίσεώς σου· ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

19. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

20. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτωμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

21. Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος, πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

22. Ἀνάστα, ὁ Θεὸς, δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

23. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀναβαίη διαπαντὸς πρὸς σέ.

6. exciderunt januas ejus in idipsum, in securi et ascia dejecerunt eam.

7. Incenderunt in igne sanctuarium tuum in terra, polluerunt tabernaculum nominis tui.

8. Dixerunt in corde suo, cognatio eorum simul : Heus, quiescere faciamus solemnitates Domini a terra.

9. Signa nostra non vidimus, jam non est amplius propheta, et nos non cognoscet amplius.

10. Usquequo, Deus, improperabit inimicus, irritabit adversarius nomen tuum in finem?

11. Ut quid avertis manum tuam, et dexteram tuam de medio sinu tuo in finem?

12. Deus autem rex noster ante sæculum, operatus est salutem in medio terræ.

13. Tu confirmasti in virtute tua mare, tu contrivisti capita draconum in aqua.

14. Tu contrivisti capita draconis, dedisti eum escam populis Æthiopibus.

15. Tu dirupisti fontes et torrentes, tu siccasti fluvios Etham.

16. Tuus est dies et tua est nox, tu perfecisti solem et lunam.

17. Tu fecisti omnes terminos terræ, æstatem et ver tu fecisti.

18. Memor esto hujus creaturæ tuæ : inimicus improperavit Domino, et populus imprudens exacerbavit nomen tuum.

19. Ne tradideris bestiis animam confitentem tibi, animas pauperum tuorum ne obliviscaris in finem.

20. Respice in testamentum tuum, quoniam repleti sunt qui obscurati sunt terræ domibus iniquitatum.

21. Ne avertatur humilis factus et confusus, egenus et pauper laudabunt nomen tuum.

22. Exsurge, Deus, judica causam tuam : memento opprobriorum tuorum eorum quæ ab imprudente sunt tota die.

23. Ne obliviscaris vocem deprecantium te, superbia eorum qui te oderunt ascendat semper ad te.

ΟΔ'.

1. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ.

2. Ἐξομολογησόμεθά σοι, ὁ Θεὸς, ἐξομολογησόμεθα, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

3. Ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ.

4. Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες αὐτήν· ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. Διάψαλμα.

5. Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας.

6. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

7. Ὅτι οὔτε ἀπὸ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων,

8. ὅτι ὁ Θεὸς κριτής ἐστι· τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ.

LXXIV.

1. In finem, ne corrumpas, psalmus cantici ipsi Asaph.

2. Confitebimur tibi, Deus, confitebimur, et invocabimus nomen tuum. Enarrabo omnia mirabilia tua.

3. Cum accepero tempus, ego justitias judicabo.

4. Liquefacta est terra, et omnes inhabitantes in ea : ego confirmavi columnas ejus. *Diapsalma.*

5. Dixi iniquis : Nolite inique agere, et delinquentibus : Nolite exaltare cornu.

6. Nolite extollere in altum cornu vestrum, nolite loqui adversus Deum iniquitatem.

7. Quoniam neque ab oriente, neque ab occidente, neque a desertis montium,

8. quoniam Deus judex est : hunc humiliat, et hunc exaltat.

9. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

10. Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.

11. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

9. Quia calix in manu Domini, vini meri plenus misto. Et inclinavit ex hoc in hoc, verumtamen fex ejus non est exinanita : bibent omnes peccatores terræ.

10. Ego autem in sæculum gaudebo, psallam Deo Jacob.

11. Et omnia cornua peccatorum confringam, et exaltabuntur cornua justi.

ΟΕ'.

1. Εἰς τὸ τέλος ἐν ὕμνοις, ψαλμὸς τῷ Ἀσάφ· ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

2. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

3. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

4. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. Διάψαλμα.

5. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων,

6. ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.

7. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους.

8. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου;

9. Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν,

10. ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῇ καρδίᾳ. Διάψαλμα.

11. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

12. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ,

13. καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

LXXV.

1. In finem in hymnis, psalmus ipsi Asaph : canticum ad Assyrium.

2. Notus in Judæa Deus, in Israel magnum nomen ejus.

3. Et factus est in pace locus ejus, et habitatio ejus in Sion.

4. Ibi confregit potentias arcuum, scutum et gladium et bellum. *Diapsalma.*

5. Illuminas tu mirabiliter a montibus æternis,

6. turbati sunt omnes insipientes corde. Dormierunt somnum suum, et nihil invenerunt omnes viri divitiarum manibus suis.

7. Ab increpatione tua, Deus Jacob, dormitaverunt qui ascenderunt equos.

8. Tu terribilis es, et quis resistet tibi ab ira tua?

9. De cœlo auditum fecisti judicium, terra timuit et quievit,

10. cum exsurgeret in judicium Deus, ut salvos faceret omnes mites corde. *Diapsalma.*

11. Quoniam cogitatio hominis confitebitur tibi, et reliquiæ cogitationis diem festum agent tibi.

12. Vovete et reddite Domino Deo nostro : omnes qui in circuitu ejus afferent munera terribili,

13. et ei qui aufert spiritus principum, terribili apud reges terræ.

Οϛ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺν ψαλμὸς τῷ Ἀσάφ.

2. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἡ φωνή μου πρὸς τὸν Θεὸν, καὶ προσέσχε μοι.

3. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου,

4. ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην, ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Διάψαλμα.

5. Προκατελάβοντο φυλακὰς πάντες οἱ ἐχθροί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.

6. Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην,

7. καὶ ἐμελέτησα· νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλον τὸ πνεῦμά μου.

8. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;

9. Ἢ εἰς τέλος ἀποκόψει τὸ ἔλεος ἀπὸ γενεᾶς καὶ γενεᾶς;

10. Ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεὸς, ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; Διάψαλμα.

LXXVI.

1. In finem, super Idithum psalmus ipsi Asaph.

2. Voce mea ad Dominum clamavi, et vox mea ad Deum, et attendit mihi.

3. In die tribulationis meæ Deum exquisivi, manibus meis nocte coram eo, et non sum deceptus. Renuit consolari anima mea,

4. memor fui Dei, et delectatus sum, garrivi et defecit spiritus meus. *Diapsalma.*

5. Anticipaverunt vigilias omnes inimici mei, turbatus sum et non sum locutus.

6. Cogitavi dies antiquos, et annorum æternorum memor fui,

7. et meditatus sum : nocte cum corde meo garriebam, et sarriebam spiritum meum.

8. Numquid in sæcula projiciet Dominus, et non apponet ut beneplaceat ei adhuc?

9. Aut in finem abscidet misericordiam a generatione et generatione?

10. Aut obliviscetur misereri Deus, aut continebit in ira miserationes suas? *Diapsalma.*

11. Καὶ εἶπα· νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

12. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

13. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.

14. Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

15. Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·

16. ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. Διάψαλμα.

17. Εἴδοσάν σε ὕδατα, ὁ Θεὸς, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, καὶ ἐταράχθησαν ἄβυσσοι.

18. Πλῆθος ἤχους ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται

19. φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

10. Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

11. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

11. Et dixi : Nunc cœpi, hæc immutatio dexteræ Excelsi.

12. Memor fui operum Domini, quia memor ero ab initio mirabilium tuorum.

13. Et meditabor in omnibus operibus tuis, et in adinventionibus tuis garriam.

14. Deus, in sancto via tua : quis Deus magnus sicut Deus noster?

15. Tu es Deus, qui facis mirabilia, notam fecisti in populis virtutem tuam :

16. redemisti in brachio tuo populum tuum, filios Jacob et Joseph. *Diapsalma.*

17. Viderunt te aquæ, Deus, viderunt te aquæ et timuerunt, et turbatæ sunt abyssi.

18. Multitudo sonitus aquarum, vocem dederunt nubes, etenim sagittæ tuæ transeunt :

19. vox tonitrui tui in rota, apparuerunt fulgura tua orbi terrarum, commota est et contremebunda facta est terra.

20. In mari via tua, et semitæ tuæ in aquis multis, et vestigia tua non cognoscentur.

21. Deduxisti sicut oves populum tuum in manu Moysi et Aaron.

ΟΖ'.

Συνέσεως τῷ Ἀσάφ.

1. Προσέχετε, λαός μου, τὸν νόμον μου· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.

2. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.

3. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

4. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε.

5. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ· ὃν ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν,

6. ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι· καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

7. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.

8. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· γενεὰ ἥτις οὐ κατεύθυνε ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

9. Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξον ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.

10. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι.

11. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς.

12. Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.

13. Διέῤῥηξε θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν.

LXXVII.

Intellectus ipsi Asaph.

1. Attendite, populus meus, legem meam : inclinate aurem vestram in verba oris mei.

2. Aperiam in parabolis os meum, loquar propositiones ab initio.

3. Quanta audivimus et cognovimus ea, et patres nostri narraverunt nobis.

4. Non sunt occultata a filiis eorum in generationem alteram, annuntiantes laudes Domini et potentias ejus, et mirabilia ejus quæ fecit.

5. Et suscitavit testimonium in Jacob, et legem posuit in Israel : quam mandavit patribus nostris, ut notam facerent eam filiis suis,

6. ut cognoscat generatio altera, filii qui nascentur : et exsurgent et annuntiabunt ea filiis suis.

7. Ut ponant in Deo spem suam, et non obliviscantur operum Dei, et mandata ejus exquirant.

8. Ne fiant sicut patres eorum, generatio prava et exasperans : generatio quæ non direxit in corde suo, et non est creditus cum Deo spiritus ejus.

9. Filii Ephraim intendentes et mittentes arcum conversi sunt in die belli.

10. Non custodierunt testamentum Dei, et in lege ejus noluerunt ambulare.

11. Et obliti sunt beneficiorum ejus et mirabilium ejus quæ ostendit eis.

12. Coram patribus eorum quæ fecit mirabilia, in terra Ægypti, in campo Taneos.

13. Dirupit mare, et perduxit eos, statuit aquas quasi utrem.

14. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.
15. Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.
16. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.
17. Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ· παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.
18. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.
19. Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπαν· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;
20. Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δυνήσεται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;
21. Διὰ τοῦτο ἤκουσε Κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.
22. Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.
23. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε.
24. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.
25. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
26. Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα.
27. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.
28. Καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.
29. Καὶ ἔφαγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς·
30. οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν,
31. καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτοὺς, καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.
32. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ.
33. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
34. Ὅταν ἀπέκτεινεν αὐτοὺς, ἐζήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν.
35. Καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.
36. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.
37. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.
38. Αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ. Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.
39. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
40. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;
41. Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεόν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.

14. Et deduxit eos in nube die, et tota nocte in illuminatione ignis.
15. Dirupit petram in eremo, et potavit eos velut in abysso multa.
16. Et eduxit aquam de petra, et deduxit tamquam flumina aquas.
17. Et apposuerunt adhuc peccare ei : exacerbaverunt Altissimum in inaquoso.
18. Et tentaverunt Deum in cordibus suis, ut peterent escas animabus suis.
19. Et detraxerunt de Deo, et dixerunt : Numquid poterit Deus parare mensam in deserto?
20. Quoniam percussit petram, et fluxerunt aquæ, et torrentes inundaverunt. Numquid et panem poterit dare, aut parare mensam populo suo?
21. Propter hoc audivit Dominus et distulit, et ignis accensus est in Jacob, et ira ascendit in Israel.
22. Quia non crediderunt in Deo, nec speraverunt in salutare ejus.
23. Et mandavit nubibus desuper, et januas cœli aperuit.
24. Et pluit illis manna ad manducandum, et panem cœli dedit eis.
25. Panem angelorum manducavit homo, cibaria misit eis in abundantia.
26. Transtulit austrum de cœlo, et induxit in virtute sua africum.
27. Et pluit super eos sicut pulverem carnes, et sicut arenam marium volatilia pennata.
28. Et ceciderunt in medio castrorum eorum, circa tabernacula eorum.
29. Et manducaverunt et saturati sunt nimis, et desiderium eorum attulit eis :
30. non sunt privati a desiderio suo. Adhuc esca eorum erat in ore ipsorum,
31. et ira Dei ascendit super eos, et occidit in pinguibus eorum, et electos Israel compedivit.
32. In omnibus his peccaverunt adhuc, et non crediderunt mirabilibus ejus.
33. Et defecerunt in vanitate dies eorum, et anni eorum cum festinatione.
34. Cum occideret eos, quærebant eum, et revertebantur et diluculo veniebant ad Deum.
35. Et rememorati sunt quoniam Deus adjutor est eorum, et Deus excelsus redemptor eorum est.
36. Et dilexerunt eum in ore suo, et lingua sua mentiti sunt ei.
37. Cor autem ipsorum non erat rectum cum eo, nec fideles habiti sunt in testamento ejus.
38. Ipse autem est misericors et propitius fiet peccatis eorum, et non disperdet. Et multiplicabit ad avertendam iram suam, et non accendet omnem iram suam.
39. Et recordatus est quia caro sunt, spiritus vadens et non rediens.
40. Quoties exacerbaverunt eum in deserto, in iram concitaverunt eum in terra sine aqua!
41. Et conversi sunt et tentaverunt Deum, et sanctum Israel exacerbaverunt.

42. Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.

43. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.

44. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.

45. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.

46. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.

47. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.

48. Καὶ παρέδωκεν ἐν χαλάζῃ τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.

49. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.

50. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.

51. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.

52. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, ἤγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

53. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

54. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας,

55. καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.

56. Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

57. Καὶ ἀπέστρεψαν, καὶ ἠσυνθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν.

58. Καὶ παρώργισαν αὐτὸν ἐπὶ τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

59. Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.

60. Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλὼμ, σκήνωμα αὐτοῦ οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.

61. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρα ἐχθροῦ.

62. Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

63. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήσαν.

64. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.

65. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου.

66. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

67. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν φυλὴν Ἐφραῒμ οὐκ ἐξελέξατο.

68. Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε.

69. Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

42. Non sunt recordati manus ejus diei, qua redemit eos de manu tribulantis.

43. Sicut posuit in Ægypto signa sua, et prodigia sua in campo Taneos.

44. Et convertit in sanguinem flumina eorum et imbres eorum, ne biberent.

45. Misit in eos cynomyam, et comedit eos, et ranam, et disperdidit eos.

46. Et dedit ærugini fructum eorum, et labores eorum locustæ.

47. Occidit in grandine vineam eorum, et moros eorum in pruina.

48. Et tradidit in grandine jumenta eorum, et substantiam eorum igni.

49. Misit in eos iram indignationis suæ, indignationem et iram et tribulationem, immissionem per angelos malos.

50. Viam fecit semitæ iræ suæ, non pepercit a morte animabus eorum, et jumenta eorum in morte conclusit.

51. Et percussit omne primogenitum in terra Ægypti, primitias laborum eorum in tabernaculis Cham.

52. Et abstulit sicut oves populum suum, perduxit eos tamquam gregem in deserto.

53. Et deduxit eos in spe, et non timuerunt, et inimicos eorum operuit mare.

54. Et induxit eos in montem sanctificationis suæ, montem hunc quem acquisivit dextera ejus. Et ejecit a facie eorum gentes, et sorte divisit eis terram in funiculo distributionis,

55. Et habitare fecit in tabernaculis eorum tribus Israel.

56. Et tentaverunt et exacerbaverunt Deum excelsum, et testimonia ejus non custodierunt.

57. Et averterunt se, et non servaverunt pactum quemadmodum et patres eorum, conversi sunt in arcum pravum.

58. Et in iram concitaverunt eum in collibus suis, et in sculptilibus suis ad æmulationem eum provocaverunt.

59. Audivit Deus et sprevit, et ad nihilum redegit valde Israel.

60. Et repulit tabernaculum Selom, tabernaculum suum ubi habitavit in hominibus.

61. Et tradidit in captivitatem virtutem eorum, et pulchritudinem eorum in manum inimici.

62. Et conclusit in gladio populum suum, et hæreditatem suam sprevit.

63. Juvenes eorum comedit ignis, et virgines eorum non sunt lamentatæ.

64. Sacerdotes eorum in gladio ceciderunt, et viduæ eorum non plorabuntur.

65. Et excitatus est tamquam dormiens Dominus, tamquam potens crapulatus a vino.

66. Et percussit inimicos suos in posteriora, opprobrium sempiternum dedit illis.

67. Et repulit tabernaculum Joseph, et tribum Ephraim non elegit.

68. Et elegit tribum Juda, montem Sion quem dilexit.

69. Et ædificavit sicut unicornium sanctificationem suam, in terra fundavit eam in æternum.

70. Καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων· ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν,

71. ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.

72. Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

70. Et elegit David servum suum, et assumpsit eum de gregibus ovium : de post fœtantes accepit eum,

71. pascere Jacob servum suum, et Israel hæreditatem suam.

72. Et pavit eos in innocentia cordis sui, et in intellectu manuum suarum deduxit eos.

ΟΗ'.

Ψαλμὸς τῷ Ἀσάφ.

1. Ὁ Θεὸς, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. Ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον.

2. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

3. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ, κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.

4. Ἐγενήθημεν εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

5. Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;

6. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ ἐπεγνωκότα σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

7. Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

8. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

9. Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν· ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου.

10. Μή ποτε εἴπωσιν ἐν τοῖς ἔθνεσι· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.

11. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων, κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

12. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε, Κύριε.

13. Ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

LXXVIII.

Psalmus ipsi Asaph.

1. Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum sanctum tuum. Posuerunt Jerusalem in pomorum custodiam.

2. Posuerunt morticina servorum tuorum escas volatilibus cœli, carnes sanctorum tuorum bestiis terræ.

3. Effuderunt sanguinem eorum sicut aquam, in circuitu Jerusalem, et non erat qui sepeliret.

4. Facti sumus in opprobrium vicinis nostris, subsannatio et irrisio iis qui in circuitu nostro sunt.

5. Usquequo, Domine, irasceris in finem, exardescet velut ignis zelus tuus?

6. Effunde iram tuam in gentes quæ te non noverunt, et in regna quæ nomen tuum non invocaverunt.

7. Quia comederunt Jacob, et locum ejus desolaverunt.

8. Ne memineris iniquitatum nostrarum antiquarum, cito anticipent nos misericordiæ tuæ, quia pauperes facti sumus nimis.

9. Adjuva nos, Deus salutaris noster : propter gloriam nominis tui, Domine, libera nos, et propitius esto peccatis nostris propter nomen tuum.

10. Ne quando dicant in gentibus : Ubi est Deus eorum? Et innotescat in nationibus coram oculis nostris ultio sanguinis servorum tuorum qui effusus est.

11. Intret in conspectum tuum gemitus compeditorum, secundum magnitudinem brachii tui posside filios mortificatorum.

12. Redde vicinis nostris septuplum in sinum eorum, opprobrium ipsorum quod exprobraverunt tibi, Domine.

13. Nos autem populus tuus et oves pascuæ tuæ, confitebimur tibi in sæculum, in generationem et generationem annuntiabimus laudem tuam.

ΟΘ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.

2. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι,

3. ἐναντίον Ἐφραῒμ καὶ Βενιαμὶν καὶ Μανασσῆ, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

4. Ὁ Θεὸς, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

LXXIX.

1. In finem, pro iis qui immutabuntur, testimonium ipsi Asaph, psalmus pro Assyrio.

2. Qui pascis Israel, intende, qui deducis velut oves Joseph. Qui sedes super Cherubim, appare,

3. coram Ephraim et Benjamin et Manasse, excita potentiam tuam et veni ut salvos facias nos.

4. Deus, converte nos, et ostende faciem tuam, et salvi erimus.

5. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου;

6. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;

7. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.

8. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Διάψαλμα.

9. Ἄμπελον ἐξ Αἰγύπτου μετῇρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.

10. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ.

11. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.

12. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς.

13. Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;

14. Ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.

15. Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δὴ, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.

16. Καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.

17. Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

18. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.

19. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

20. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Π'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν ψαλμὸς, τῷ Ἀσάφ.

2. Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.

3. Λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

4. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.

5. Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι, καὶ κρίμα τῷ Θεῷ Ἰακώβ.

6. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου. Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.

7. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ· αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

8. Ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐῤῥυσάμην σε. Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. Διάψαλμα.

9. Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι. Ἐὰν ἀκούσῃς μου,

10. οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ.

11. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου· πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό.

5. Domine Deus virtutum, quousque irasceris super orationem servi tui?

6. Cibabis nos pane lacrymarum, et potabis nos in lacrymis in mensura?

7. Posuisti nos in contradictionem vicinis nostris, et inimici nostri subsannaverunt nos.

8. Domine Deus virtutum, converte nos, et ostende faciem tuam, et salvi erimus. *Diapsalma.*

9. Vineam de Ægypto transtulisti, ejecisti gentes et plantasti eam.

10. Viam fecisti in conspectu ejus, et plantasti radices ejus, et repleta est terra.

11. Operuit montes umbra ejus, et arbusta ejus cedros Dei.

12. Extendit palmites ejus usque ad mare, et usque ad flumen propagines ejus.

13. Ut quid destruxisti maceriam ejus, et vindemiant eam omnes qui prætergrediuntur viam?

14. Devastavit eam aper de sylva, et singularis ferus depastus est eam.

15. Deus virtutum, convertere vero, respice de cœlo et vide, et visita vineam istam.

16. Et perfice eam, quam plantavit dextera tua, et super filium hominis quem confirmasti tibi.

17. Incensa igni et effossa, ab increpatione vultus tui peribunt.

18. Fiat manus tua super virum dexteræ tuæ, et super filium hominis quem confirmasti tibi.

19. Et non discedemus a te, vivificabis nos, et nomen tuum invocabimus.

20. Domine Deus virtutum, converte nos, et ostende faciem tuam, et salvi erimus.

LXXX.

1. In finem, pro torcularibus, psalmus ipsi Asaph.

2. Exsultate Deo adjutori nostro, jubilate Deo Jacob.

3. Sumite psalmum et date tympanum, psalterium jucundum cum cithara.

4. Buccinate in neomenia tuba, in insigni die solemnitatis vestræ.

5. Quia præceptum ipsi Israel est, et judicium Deo Jacob.

6. Testimonium in Joseph posuit ipsum, cum exiret de terra Ægypti. Linguam quam non noverat audivit.

7. Avertit ab oneribus dorsum ejus : manus ejus in cophino servierunt.

8. In tribulatione invocasti me et liberavi te. Exaudivi te in abscondito tempestatis, probavi te super aquam contradictionis. *Diapsalma.*

9. Audi, populus meus, et loquar tibi, Israel, et testificabor tibi. Si audieris me,

10. non erit in te Deus recens, neque adorabis Deum alienum.

11. Ego enim sum dominus deus tuus, qui eduxi te de terra Ægypti : dilata os tuum et adimplebo illud.

12. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ
Ἰσραὴλ οὐ προςέσχε μοι.
13. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα
τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμα-
σιν αὐτῶν.
14. Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς
μου εἰ ἐπορεύθη,
15. ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνω-
σα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν
χεῖρά μου.
16. Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ
καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.
17. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ
πέτρας μέλι ἐχόρτασεν αὐτούς.

ΠΑ'.

Ψαλμὸς τῷ Ἀσάφ.

1. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεὸς
διακρινεῖ.
2. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρ-
τωλῶν λαμβάνετε; Διάψαλμα.
3. Κρίνατε ὀρφανὸν καὶ πτωχὸν, ταπεινὸν καὶ πέ-
νητα δικαιώσατε.
4. Ἐξέλεσθε πένητα, καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτω-
λοῦ ῥύσασθε.
5. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύον-
ται· σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.
6. Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.
7. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς
τῶν ἀρχόντων πίπτετε.
8. Ἀνάστα, ὁ Θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατα-
κληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

ΠΒ'.

1. ᾨδὴ ψαλμοῦ τῷ Ἀσάφ.

2. Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι; Μὴ σιγήσῃς,
μηδὲ καταπραΰνῃς, ὁ Θεός.
3. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές
σε ἦραν κεφαλήν.
4. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην,
καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.
5. Εἶπαν· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθ-
νους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.
6. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπιτοαυτὸ, κατὰ
σοῦ διαθήκην διέθεντο.
7. Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖ-
ται, Μωὰβ καὶ οἱ Ἀγαρηνοὶ,
8. Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ, καὶ ἀλλόφυλοι
μετὰ τῶν κατοικούντων Τύρον.
9. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν,
ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. Διάψαλμα.
10. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σεισάρᾳ,
ὡς τῷ Ἰαβεὶν ἐν τῷ χειμάῤῥῳ Κεισῶν.
11. Ἐξωλοθρεύθησαν ἐν Ἀενδὼρ, ἐγενήθεσαν ὡςεὶ
κόπρος τῇ γῇ.
12. Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ
καὶ Ζεβεὲ καὶ Σαλμανὰ, πάντας τοὺς ἄρχοντας αὐ-
τῶν.

12. Et non audivit populus meus vocem meam, et Israel
non attendit mihi.
13. Et dimisi eos secundum affectiones cordium eorum,
ibunt in affectionibus suis.
14. Si populus meus audisset me, Israel si in viis meis
ambulasset,
15. in nihilo utique inimicos eorum humiliassem, et su-
per tribulantes eos misissem manum meam.
16. Inimici Domini mentiti sunt ei, et erit tempus eorum
in æternum.
17. Et cibavit eos ex adipe frumenti, et de petra melle
saturavit eos.

LXXXI.

Psalmus ipsi Asaph.

1. Deus stetit in synagoga deorum, in medio autem Deus
discernet.
2. Usquequo judicatis iniquitatem, et facies peccatorum
sumitis? *Diapsalma.*
3. Judicate pupillum et egenum, humilem et pauperem
justificate.
4. Eripite pauperem, et egenum de manu peccatoris libe-
rate.
5. Nescierunt neque intellexerunt, in tenebris ambulant:
movebuntur omnia fundamenta terræ.
6. Ego dixi: Dii estis, et filii Excelsi omnes.
7. Vos autem sicut homines morimini, et sicut unus de
principibus caditis.
8. Surge, Deus, judica terram, quoniam tu hæreditabis
in omnibus gentibus.

LXXXII.

1. Canticum psalmi ipsi Asaph.

2. Deus, quis similis erit tibi? Ne taceas, neque compe-
scaris, Deus.
3. Quoniam ecce inimici tui sonuerunt, et qui oderunt
te extulerunt caput.
4. Super populum tuum astute cogitaverunt consilium,
et cogitaverunt adversus sanctos tuos.
5. Dixerunt: Venite et disperdamus eos de gente, et non
memoretur nomen Israel ultra.
6. Quoniam cogitaverunt unanimiter simul, adversus te
testamentum disposuerunt.
7. Tabernacula Idumæorum et Ismaelitæ, Moab et Aga-
reni,
8. Gebal et Ammon et Amalec, et alienigenæ cum habi-
tantibus Tyrum.
9. Etenim et Assur simul venit cum illis, facti sunt in
susceptionem filiis Lot. *Diapsalma.*
10. Fac illis sicut Madiam et Sisaræ, sicut Jabin in tor-
rente Cison.
11. Disperierunt in Aendor, facti sunt ut stercus terræ.
12. Pone principes eorum sicut Oreb et Zeb et Zebee et
Salmana, omnes principes eorum.

13. Οἵτινες εἶπαν· Κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ Θεοῦ.
14. Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου,
15. ὡςεὶ πῦρ ὃ διαφλέξει δρυμὸν, ὡςεὶ φλὸξ κατακαύσαι ὄρη.
16. Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς.
17. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε.
18. Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν.
19. Καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

13. Qui dixerunt : Hæreditate possideamus nobis altare Dei.
14. Deus meus, pone illos ut rotam, sicut stipulam ante faciem venti,
15. sicut ignis qui comburet sylvam, velut si flamma incendat montes.
16. Ita persequeris illos in tempestate tua, et in ira tua turbabis eos.
17. Imple facies eorum ignominia, et quærent nomen tuum, Domine.
18. Erubescant et conturbentur in sæculum sæculi, et confundantur et pereant.
19. Et cognoscant quia nomen tibi Dominus, tu solus altissimus super omnem terram.

ΠΓ'.

1. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός.

2. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.
3. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.
4. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς· τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.
5. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Διάψαλμα.
6. Μακάριος ἀνὴρ οὗ ἐστιν ἡ ἀντίληψις αὐτοῦ παρὰ σοῦ, Κύριε· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.
7. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.
8. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν, πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.
9. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰςάκουσον τῆς προςευχῆς μου· ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ. Διάψαλμα.
10. Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου.
11. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου, ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μᾶλλον ἢ οἰκεῖν με ἐπὶ σκηνώμασιν ἁμαρτωλῶν.
12. Ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει.
13. Κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ· Κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

LXXXIII.

1. In finem, pro torcularibus filiis Core psalmus.

2. Quam amabilia sunt tabernacula tua, Domine virtutum.
3. Concupiscit et deficit anima mea in atria Domini : cor meum et caro mea exsultaverunt in Deum vivum.
4. Nam et passer invenit sibi domum, et turtur nidum sibi, ubi ponet pullos suos : altaria tua, Domine virtutum, rex meus et Deus meus.
5. Beati qui habitant in domo tua, in sæcula sæculorum laudabunt te. *Diapsalma*.
6. Beatus vir cujus est susceptio ejus abs te, Domine : ascensiones in corde suo disposuit.
7. In convalle plorationis, in loco quem posuit.
8. Etenim benedictiones dabit legislator, ibunt de virtute in virtutem, videbitur Deus deorum in Sion.
9. Domine Deus virtutum, exaudi orationem meam : auribus percipe, Deus Jacob. *Diapsalma*.
10. Protector noster, aspice, Deus, et respice in faciem Christi tui.
11. Quia melior est dies una in atriis tuis, super millia. Elegi abjici in domo Dei magis quam habitare in tabernaculis peccatorum.
12. Quia misericordiam et veritatem diligit Dominus, Deus gratiam et gloriam dabit.
13. Dominus non prohibebit bona ambulantibus in innocentia : Domine virtutum beatus homo qui sperat in te.

ΠΔ'.

1. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός.

2. Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.
3. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Διάψαλμα.
4. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

LXXXIV.

1. In finem, filiis Core psalmus.

2. Benedixisti, Domine, terram tuam, avertisti captivitatem Jacob.
3 Remisisti iniquitates plebi tuæ, operuisti omnia peccata eorum. *Diapsalma*.
4. Sedasti omnem iram tuam, avertisti ab ira indignationis tuæ.

5. Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.

6. Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν, ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

7. Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

8. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

9. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν.

10. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

11. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

12. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

13. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

14. Δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

5. Converte nos, Deus sanitatum nostrarum : et averte iracundiam tuam a nobis.

6. Numquid in æternum irasceris nobis, aut intendes iram tuam a generatione in generationem?

7. Deus, tu convertens vivificabis nos, et plebs tua lætabitur in te.

8. Ostende nobis, Domine, misericordiam tuam, et salutare tuum da nobis.

9. Audiam quid loquetur in me Dominus Deus, quoniam loquetur pacem in plebem suam, et super sanctos suos, et in eos qui convertunt cor ad ipsum.

10. Verumtamen prope timentes eum salutare ipsius, ut inhabitet gloria in terra nostra.

11. Misericordia et veritas occurrerunt, justitia et pax osculatæ sunt.

12. Veritas de terra orta est, et justitia de cœlo prospexit.

13. Etenim Dominus dabit benignitatem, et terra nostra dabit fructum suum.

14. Justitia ante eum præibit, et ponet in via gressus ejus.

ΠΕ'

Προσευχὴ τῷ Δαυίδ.

1. Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ εἰσάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

2. Φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεὸς, τὸν ἐλπίζοντα ἐπὶ σέ.

3. Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.

4. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου.

5. Ὅτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

6. Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

7. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι εἰσήκουσάς μου.

8. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

9. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε· καὶ δοξάσουσι τὸ ὄνομά σου,

10. ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ ὁ Θεὸς μόνος ὁ μέγας.

11. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

12. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

13. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

14. Ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

15. Καὶ σὺ, Κύριε ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

LXXXV.

Oratio ipsi David.

1. Inclina, Domine, aurem tuam et exaudi me, quoniam egenus et pauper sum ego.

2. Custodi animam meam quoniam sanctus sum : salvum fac servum tuum, Deus, sperantem in te.

3. Miserere mei, Domine, quoniam ad te clamabo tota die.

4. Lætifica animam servi tui, quoniam ad te, Domine, levavi animam meam.

5. Quoniam tu, Domine, suavis ac mitis, et multæ misericordiæ omnibus invocantibus te.

6. Auribus percipe, Domine, orationem meam, et intende voci deprecationis meæ.

7. In die tribulationis meæ clamavi ad te, quoniam exaudisti me.

8. Non est similis tui in diis, Domine, et non est secundum opera tua.

9. Omnes gentes quascumque fecisti venient, et adorabunt coram te, Domine : et glorificabunt nomen tuum,

10. quoniam magnus es tu, et faciens mirabilia : tu es Deus solus magnus.

11. Deduc me, Domine, in via tua, et ambulabo in veritate tua : lætetur cor meum, ut timeat nomen tuum.

12. Confitebor tibi, Domine Deus meus, in toto corde meo, et glorificabo nomen tuum in æternum.

13. Quoniam misericordia tua magna est super me, et eruisti animam meam ex inferno inferiore.

14. Deus, iniqui insurrexerunt super me, et synagoga potentium quæsierunt animam meam, et non proposuerunt te in conspectu suo.

15. Et tu, Domine Deus miserator et misericors, longanimis et multæ misericordiæ et verax.

16. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

17. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

16. Respice in me et miserere mei, da potestatem tuam puero tuo, et salvum fac filium ancillæ tuæ.

17. Fac mecum signum in bono, et videant qui oderunt me, et confundantur : quoniam tu, Domine, adjuvisti me, et consolatus es me.

ΠϚ΄.

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς.

1. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.
2. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
3. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. Διάψαλμα.
4. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.
5. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.
6. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. Διάψαλμα.
7. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

LXXXVI.

Filiis Core psalmus cantici.

1. Fundamenta ejus in montibus sanctis.
2. Diligit Dominus portas Sion super omnia tabernacula Jacob.
3. Gloriosa dicta sunt de te, civitas Dei. *Diapsalma.*
4. Memor ero Raab et Babylonis scientibus me. Et ecce alienigenæ et Tyrus et populus Æthiopum, hi fuerunt illic.
5. Mater Sion dicet homo, et homo factus est in ea, et ipse fundavit eam Altissimus.
6. Dominus narrabit in scriptura populorum et principum horum qui fuerunt in ea. *Diapsalma.*
7. Sicut lætantium omnium habitatio in te.

ΠΖ΄.

1. Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος, ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἰμὰν τῷ Ἰσραηλίτῃ.

2. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
3. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου, Κύριε,
4. ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.
5. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡς ἄνθρωπος ἀβοήθητος,
6. ἐν νεκροῖς ἐλεύθερος· ὡσεὶ τραυματίαι ἐῤῥιμμένοι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι· καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
7. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
8. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Διάψαλμα.
9. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην.
10. Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Καὶ ἐκέκραξα πρὸς σὲ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
11. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;
12. Μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
13. Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
14. Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ τοπρωῒ ἡ προσευχή μου προφθάσει σε.
15. Ἱνατί, Κύριε, ἀπωθεῖς τὴν προσευχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

LXXXVII.

1. Canticum psalmi filiis Core, in finem, pro Maeleth ad respondendum, intellectus Æman Israelitæ.

2. Domine Deus salutis meæ, in die clamavi et in nocte coram te.
3. Intret in conspectu tuo oratio mea, inclina aurem tuam ad precem meam, Domine,
4. quia repleta est malis anima mea, et vita mea inferno appropinquavit.
5. Æstimatus sum cum descendentibus in lacum, factus sum sicut homo sine adjutorio,
6. inter mortuos liber : sicut vulnerati projecti dormientes in sepulcro, quorum non meministi amplius : et ipsi de manu tua expulsi sunt.
7. Posuerunt me in lacu infimo, in tenebrosis et in umbra mortis.
8. Super me confirmatus est furor tuus, et omnes elationes tuas induxisti super me. *Diapsalma.*
9. Longe fecisti notos meos a me, posuerunt me abominationem sibi. Traditus sum, et non egrediebar.
10. Oculi mei infirmati sunt præ inopia. Et clamavi ad te, Domine, tota die, expandi ad te manus meas.
11. Numquid mortuis facies mirabilia, aut medici suscitabunt et confitebuntur tibi?
12. Numquid narrabit aliquis in sepulcro misericordiam tuam, et veritatem tuam in perditione?
13. Numquid cognoscentur in tenebris mirabilia tua, et justitia tua in terra oblita?
14. Et ego ad te, Domine, clamavi, et mane oratio mea præveniet te.
15. Ut quid, Domine, repellis orationem meam, avertis faciem tuam a me?

16. Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
17. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, καὶ οἱ φοβερισμοί σου ἐξετάραξάν με.
18. Ἐκύκλωσάν με ὡς ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
19. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

16. Inops sum ego, et in laboribus a juventute mea, tatus autem humiliatus sum et confusus.
17. In me transierunt iræ tuæ, et terrores tui conturbaverunt me.
18. Circumdederunt me sicut aqua, tota die circumdederunt me simul.
19. Elongasti a me amicum, et notos meos a miseria.

ΠΗ'.

1. Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

2. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι· εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.
3. Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.
4. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαυὶδ τῷ δούλῳ μου.
5. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Διάψαλμα.
6. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.
7. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;
8. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.
9. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.
10. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.
11. Σὺ ἐταπείνωσας, ὡς τραυματίαν, ὑπερήφανον· καὶ ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.
12. Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
13. Τὸν βοῤῥᾶν καὶ θάλασσαν σὺ ἔκτισας, Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.
14. Σὸς ὁ βραχίων μετὰ δυναστείας. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.
15. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.
16. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται,
17. καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.
18. Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.
19. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.
20. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας· Ἐθέμην βοήθειαν ἐπὶ δυνατὸν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.
21. Εὗρον Δαυὶδ τὸν δοῦλόν μου, ἐν ἐλέει ἁγίῳ ἔχρισα αὐτόν.
22. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.
23. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.

LXXXVIII.

1. Intellectus Æthan Israelitæ.

2. Misericordias tuas, Domine, in æternum cantabo: in generationem et generationem annuntiabo veritatem tuam in ore meo.
3. Quoniam dixisti: In æternum misericordia ædificabitur, in cœlis præparabitur veritas tua.
4. Disposui testamentum electis meis, juravi David servo meo.
5. Usque in æternum præparabo semen tuum, et ædificabo in generationem et generationem sedem tuam. *Diapsalma.*
6. Confitebuntur cœli mirabilia tua, Domine, et veritatem tuam in ecclesia sanctorum.
7. Quoniam quis in nubibus æquabitur Domino, et quis similis erit Domino inter filios Dei?
8. Deus qui glorificatur in consilio sanctorum, magnus et terribilis super omnes qui in circuitu ejus sunt.
9. Domine Deus virtutum, quis similis tibi? Potens es, Domine, et veritas tua in circuitu tuo.
10. Tu dominaris potestati maris, motum autem fluctuum ejus tu mitigas.
11. Tu humiliasti, sicut vulneratum, superbum: et in brachio virtutis tuæ dispersisti inimicos tuos.
12. Tui sunt cœli, et tua est terra: orbem terrarum et plenitudinem ejus tu fundasti.
13. Aquilonem et mare tu creasti, Thabor et Hermon in nomine tuo exsultabunt.
14. Tuum brachium cum potentia. Firmetur manus tua, exaltetur dextera tua.
15. Justitia et judicium præparatio sedis tuæ: misericordia et veritas præibunt ante faciem tuam.
16. Beatus populus qui scit jubilationem. Domine, in lumine vultus tui ambulabunt,
17. et in nomine tuo exsultabunt tota die, et in tua justitia exaltabuntur.
18. Quoniam gloria virtutis eorum tu es, et in beneplacito tuo exaltabitur cornu nostrum.
19. Quoniam Domini est susceptio, et sancti Israel regis nostri.
20. Tunc locutus es in visione filiis tuis, et dixisti: Posui adjutorium super potentem, exaltavi electum de populo meo.
21. Inveni David servum meum, in misericordia sancta unxi eum.
22. Manus enim mea auxiliabitur ei, et brachium meum confortabit eum.
23. Non proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei.

24. Καὶ συγκόψω ἀπὸ προςώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.
25. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.
26. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.
27. Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σὺ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.
28. Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
29. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.
30. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.
31. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν,
32. ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν.
33. ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἁμαρτίας αὐτῶν.
34. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου·
35. οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.
36. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι·
37. τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ,
38. καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Διάψαλμα.
39. Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου.
40. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ
41. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.
42. Διήρπασαν αὐτὸν πάντες οἱ διοδεύοντες ὁδὸν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.
43. Ὕψωσας τὴν δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.
44. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.
45. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτὸν, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας.
46. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ θρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην. Διάψαλμα.
47. Ἕως πότε, Κύριε, ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;
48. Μνήσθητι τίς ἡ ὑπόστασίς μου· μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;
49. Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; Διάψαλμα.
50. Ποῦ ἐστιν τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀληθείᾳ σου;
51. Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.
52. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.

24. Et concidam a facie ipsius inimicos ejus, et odientes eum in fugam convertam.
25. Et veritas mea et misericordia mea cum ipso, et in nomine meo exaltabitur cornu ejus.
26. Et ponam in mari manum ejus, et in fluminibus dexteram ejus.
27. Ipse invocabit me : Pater meus es tu, Deus meus et susceptor salutis meæ.
28. Et ego primogenitum ponam illum, excelsum apud reges terræ.
29. In æternum servabo illi misericordiam meam, et testamentum meum fidele ipsi.
30. Et ponam in sæculum sæculi semen ejus, et thronum ejus sicut dies cœli.
31. Si dereliquerint filii ejus legem meam, et in judiciis meis non ambulaverint,
32. si justificationes meas profanaverint, et mandata mea non custodierint,
33. visitabo in virga iniquitates eorum, et in flagellis peccata eorum.
34. Misericordiam vero meam non dispergam ab eo, non nocebo in veritate mea :
35. neque profanabo testamentum meum, et quæ procedunt de labiis meis non faciam irrita.
36. Semel juravi in sancto meo, si David mentiar,
37. semen ejus in æternum manebit,
38. et sedes ejus sicut sol in conspectu meo, et sicut luna perfecta in æternum, et testis in cœlo fidelis. *Diapsalma.*
39. Tu vero repulisti et sprevisti, distulisti Christum tuum.
40. Evertisti testamentum servi tui, profanasti in terra sanctitatem ejus.
41. Destruxisti omnes macerias ejus, posuisti munitiones ejus formidinem.
42. Diripuerunt eum omnes transeuntes viam, factus est opprobrium vicinis suis.
43. Exaltasti dexteram inimicorum ejus, lætificasti omnes inimicos ejus.
44. Avertisti adjutorium gladii ejus, et non es auxiliatus ei in bello.
45. Dissolvisti eum ab emundatione, sedem ejus in terram collisisti.
46. Minuisti dies sedis ejus, perfudisti eum confusione. *Diapsalma.*
47. Quousque, Domine, averteris in finem, exardescet sicut ignis ira tua?
48. Memento quæ est substantia mea : numquid enim vane constituisti omnes filios hominum?
49. Quis est homo qui vivet et non videbit mortem, eruet animam suam de manu inferi? *Diapsalma.*
50. Ubi sunt misericordiæ tuæ antiquæ, Domine, quas jurasti David in veritate tua?
51. Memento, Domine, opprobrii servorum tuorum, quod continui in sinu meo multarum gentium.
52. Quod exprobraverunt inimici tui, Domine, quod exprobraverunt commutationem Christi tui.

53. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

53. Benedictus Dominus in æternum : fiat, fiat.

ΠΘ'.

Προσευχὴ τοῦ Μωϋσῆ, ἀνθρώπου τοῦ Θεοῦ.

1. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
2. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ.
3. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας· Ἐπιστρέψατε, υἱοὶ ἀνθρώπων.
4. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.
5. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται.
6. Τοπρωῒ ὡσεὶ χλόη παρέλθοι· τοπρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.
7. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.
8. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.
9. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων,
10. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Ὅτι ἐπῆλθε πραΰτης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.
11. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου,
12. ἐξαριθμήσασθαι; Τὴν δεξιάν σου οὕτω γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.
13. Ἐπίστρεψον, Κύριε· ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.
14. Ἐνεπλήσθημεν τοπρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.
15. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.
16. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.
17. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς.

LXXXIX.

Oratio Moysi, hominis Dei.

1. Domine, refugium factus es nobis in generatione et generatione.
2. Priusquam montes fierent, et formaretur terra et orbis terræ, et a sæculo usque in sæculum tu es.
3. Ne avertas hominem in humilitatem, et dixisti : Convertimini, filii hominum.
4. Quoniam mille anni in oculis tuis, tamquam dies hesterna quæ præteriit, et custodia in nocte.
5. Quæ pro nihilo habentur eorum anni erunt.
6. Mane sicut herba transeat : mane floreat et transeat : vespere decidat, induresscat et arescat.
7. Quia defecimus in ira tua, et in furore tuo turbati sumus.
8. Posuisti iniquitates nostras in conspectu tuo, sæculum nostrum in illuminatione vultus tui.
9. Quoniam omnes dies nostri defecerunt, et in ira tua defecimus. Anni nostri sicut aranea meditati sunt,
10. dies annorum nostrorum in ipsis septuaginta anni : si autem in potentatibus, octoginta anni, et amplius eorum labor et dolor. Quoniam supervenit mansuetudo super nos, et corripiemur.
11. Quis noscit potestatem iræ tuæ, et præ timore iræ tuæ,
12. dinumerare? Dexteram tuam sic notam fac, et eruditos corde in sapientia.
13. Convertere, Domine : usquequo? et deprecabilis esto super servos tuos.
14. Repleti sumus mane misericordia tua, et exsultavimus et delectati sumus in omnibus diebus nostris.
15. Lætati sumus pro diebus quibus nos humiliasti, annis quibus vidimus mala.
16. Et respice in servos tuos et in opera tua, et dirige filios eorum.
17. Et sit splendor Domini Dei nostri super nos, et opera manuum nostrarum dirige super nos.

Ϟ'.

Αἶνος ᾠδῆς τῷ Δαυΐδ.

1. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.
2. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, ἐλπιῶ ἐπ' αὐτόν.
3. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.
4. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.
5. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ·

XC.

Laus cantici ipsi David.

1. Qui habitat in adjutorio Altissimi, in protectione Dei cœli commorabitur.
2. Dicet Domino : Susceptor meus es et refugium meum, Deus meus, sperabo in eum.
3. Quoniam ipse liberabit te de laqueo venantium, et a verbo aspero.
4. Inter scapulas suas obumbrabit tibi, et sub alis ejus sperabis.
5. Scuto circumdabit te veritas ejus, non timebis a timore nocturno :

6. ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

7. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου· πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

8. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

9. Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

10. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.

11. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

12. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

13. Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

14. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.

15. Ἐπικαλέσεται πρὸς με, καὶ εἰσακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει· καὶ ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν.

16. Μακρότητι ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

ϟΑ'.

1. Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου.

2. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

3. Τοῦ ἀναγγέλλειν τοπρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα,

4. ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.

5. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

6. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

7. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

8. Ἐν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·

9. σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε.

10. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

11. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου· καὶ τὸ γῆράς μου ἐν ἐλέῳ πίονι.

12. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

13. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

14. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

15. Τότε πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται,

16. τοῦ ἀναγγεῖλαι· ὅτι εὐθὴς Κύριος ὁ Θεός μου, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

6. a sagitta volante per diem, a negotio perambulante in tenebris, a ruina et dæmonio meridiano.

7. Cadent a latere tuo mille, et decem millia a dextris tuis : ad te autem non appropinquabunt.

8. Verumtamen oculis tuis considerabis, et retributionem peccatorum videbis.

9. Quoniam tu, Domine, spes mea, Altissimum posuisti refugium tuum.

10. Non accedent ad te mala, et flagellum non appropinquabit tabernaculo tuo.

11. Quoniam angelis suis mandabit de te, ut custodiant te in omnibus viis tuis.

12. In manibus tollent te, ne quando offendas ad lapidem pedem tuum.

13. Super aspidem et basiliscum ambulabis, et conculcabis leonem et draconem.

14. Quoniam in me speravit, et eruam eum : protegam eum, quoniam cognovit nomen meum.

15. Invocabit me, et ego exaudiam eum, cum ipso sum in tribulatione : et eximam eum, et glorificabo eum.

16. Longitudine dierum replebo eum, et ostendam illi salutare meum.

XCI.

1. Psalmus cantici in die sabbati.

2. Bonum est confiteri Domino, et psallere nomini tuo, Altissime.

3. Ad annuntiandum mane misericordiam tuam, et veritatem tuam per noctem,

4. in decachordo psalterio cum cantico in cithara.

5. Quia delectasti me, Domine, in factura tua, et in operibus manuum tuarum exsultabo.

6. Quam magnificata sunt opera tua, Domine : nimis profundæ factæ sunt cogitationes tuæ.

7. Vir imprudens non cognoscet, et stultus non intelliget hæc.

8. Cum exorti fuerint peccatores sicut fœnum, et apparuerint omnes qui operantur iniquitatem. Ut intereant in sæculum sæculi :

9. tu autem altissimus in æternum, Domine.

10. Quoniam ecce inimici tui peribunt, et dispergentur omnes qui operantur iniquitatem.

11. Et exaltabitur sicut unicornis cornu meum, et senectus mea in misericordia uberii.

12. Et respexit oculus meus in inimicis meis, et in eis qui insurgunt in me malignantibus audiet auris mea.

13. Justus sicut palma florebit, velut cedrus quæ in Libano est multiplicabitur.

14. Plantati in domo Domini, in atriis Dei nostri florebunt.

15. Tunc multiplicabuntur in senecta uberi, et tranquilli erunt,

16. ut annuntient : quoniam rectus Dominus Deus meus, et non est iniquitas in eo.

ϞΒʹ.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαυίδ.

1. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

2. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

3. Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν,

4. ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

5. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

ϞΓʹ.

Ψαλμὸς τῷ Δαυὶδ τετράδι σαββάτου.

1. Θεὸς ἐκδικήσεων Κύριος, ὁ Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο.

2. Ὑψώθητι, ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

3. Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

4. Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

5. Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

6. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν.

7. Καὶ εἶπαν· Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.

8. Σύνετε δὴ, ἄφρονες ἐν τῷ λαῷ καὶ μωροὶ, ποτὲ φρονήσατε.

9. Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει, ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ;

10. Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν;

11. Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.

12. Μακάριος ὁ ἄνθρωπος ὃν ἂν σὺ παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

13. Τοῦ πραΰναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

14. Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

15. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Διάψαλμα.

16. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν;

17. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.

18. Εἰ ἔλεγον· Σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι.

XCII.

In die ante sabbatum, quando fundata est terra, laus cantici ipsi David.

1. Dominus regnavit, decorem induit : induit Dominus fortitudinem et præcinxit se. Etenim firmavit orbem terræ, qui non commovebitur.

2. Parata sedes tua ex tunc, a sæculo tu es.

3. Elevaverunt flumina, Domine, elevaverunt flumina voces suas,

4. a vocibus aquarum multarum. Mirabiles elationes maris : mirabilis in excelsis Dominus.

5. Testimonia tua credita facta sunt nimis : domum tuam decet sanctificatio, Domine, in longitudinem dierum.

XCIII.

Psalmus ipsi David quarta sabbati.

1. Deus ultionum Dominus, Deus ultionum fidenter egit.

2. Exaltare, qui judicas terram, redde retributionem superbis.

3. Usquequo peccatores, Domine, usquequo peccatores gloriabuntur?

4. Effabuntur et loquentur iniquitatem, loquentur omnes qui operantur injustitiam.

5. Populum tuum, Domine, humiliaverunt, et hæreditatem tuam vexaverunt.

6. Viduam et pupillum interfecerunt, et proselytum occiderunt.

7. Et dixerunt : Non videbit Dominus, neque intelliget Deus Jacob.

8. Intelligite nunc, insipientes in populo et stulti, aliquando sapite.

9. Qui plantavit aurem non audit, aut qui finxit oculum non considerat?

10. Qui erudit gentes non arguet, qui docet hominem scientiam?

11. Dominus scit cogitationes hominum, quoniam vanæ sunt.

12. Beatus homo quem tu erudieris, Domine, et ex lege tua docueris eum.

13. Ut mitiges eum a diebus malis, donec fodiatur peccatori fovea.

14. Quia non repellet Dominus plebem suam, et hæreditatem suam non derelinquet.

15. Quoadusque justitia convertatur in judicium, et juxta illam omnes qui recto sunt corde. *Diapsalma.*

16. Quis exsurget mihi adversus malignantes, aut quis stabit mecum adversus operantes iniquitatem?

17. Nisi quia Dominus adjuvit me, paulo minus habitasset in inferno anima mea.

18. Si dicebam : Motus est pes meus, misericordia tua, Domine adjuvabat me.

19. Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου ἠγάπησαν τὴν ψυχήν μου.

20. Μὴ συμπροςέσται σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ πρεσστάγματι.

21. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσονται.

22. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγὴν, καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.

23. Καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν· ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν.

19. Domine, secundum multitudinem dolorum meorum in corde meo, consolationes tuæ dilexerunt animam meam.

20. Numquid adhærebit tibi sedes iniquitatis, formans laborem in præcepto?

21. Captabunt in animam justi, et sanguinem innocentem condemnabunt.

22. Et factus est mihi Dominus in refugium, et Deus meus in adjutorium spei meæ.

23. Et reddet illis iniquitatem ipsorum, et malitiam eorum: disperdet illos Dominus Deus noster.

ϞΔ'.

Αἶνος ᾠδῆς τῷ Δαυίδ.

1. Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

2. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

3. Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς.

4. Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν.

5. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

6. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ· καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

7. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

8. Σήμερον ἐὰν τὴν φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ,

9. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. Ἐδοκίμασαν καὶ εἶδον τὰ ἔργα μου.

10. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ,

11. καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰςελεύσονται εἰς τὴν κατάπαυσίν μου.

XCIV.

Laus cantici ipsi David.

1. Venite, exsultemus Domino, jubilemus Deo salutari nostro.

2. Præveniamus faciem ejus in confessione, et in psalmis jubilemus ei.

3. Quoniam Deus magnus Dominus, et rex magnus super omnes deos.

4. Quoniam non repellet Dominus plebem suam, quoniam in manu ejus fines terræ, et altitudines montium ipsius sunt.

5. Quoniam ipsius est mare et ipse fecit illud, et aridam manus ejus formaverunt.

6. Venite, adoremus et procidamus ei: et ploremus ante Dominum qui fecit nos.

7. Quoniam ipse est Deus noster, nos autem populus pascuæ ejus, et oves manus ejus.

8. Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione secundum diem tentationis in deserto,

9. ubi tentaverunt me patres vestri. Probaverunt et viderunt opera mea.

10. Quadraginta annis offensus fui generationi illi, et dixi: Semper errant corde,

11. et ipsi non cognoverunt vias meas. Sicut juravi in ira mea, si introibunt in requiem meam.

ϞΕ'.

Ὅτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν, ᾠδὴ τῷ Δαυίδ.

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ,

2. ᾄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

3. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

4. Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς.

5. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.

6. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

7. Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν·

XCV.

Quando domus ædificabatur post captivitatem, canticum ipsi David.

1. Cantate Domino canticum novum, cantate Domino, omnis terra,

2. cantate Domino, benedicite nomen ejus, bene nuntiate de die in diem salutare ejus.

3. Annuntiate in gentibus gloriam ejus, in omnibus populis mirabilia ejus.

4. Quoniam magnus Dominus et laudabilis nimis, terribilis est super omnes deos.

5. Quoniam omnes dii gentium dæmonia, Dominus autem cœlos fecit.

6. Confessio et pulchritudo in conspectu ejus, sanctitas et magnificentia in sanctificatione ejus.

7. Afferte Domino, patriæ gentium, afferte Domino gloriam et honorem:

8. ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, ἄρατε θυσίας καὶ εἰςπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.

9. Προςκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, σαλευθήτω ἀπὸ προςώπου αὐτοῦ πᾶσα ἡ γῆ.

10. Εἴπατε ἐν τοῖς ἔθνεσιν· Ὁ Κύριος ἐβασίλευσε, καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται· κρινεῖ λαοὺς ἐν εὐθύτητι.

11. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.

12. Χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς· τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ

13. πρὸ προςώπου τοῦ Κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Ϟϛʹ.

Τῷ Δαυὶδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται.

1. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.

2. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

3. Πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

4. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

5. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προςώπου Κυρίου, ἀπὸ προςώπου Κυρίου πάσης τῆς γῆς.

6. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

7. Αἰσχυνθήτωσαν πάντες οἱ προςκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προςκυνήσατε αὐτῷ, πάντες ἄγγελοι αὐτοῦ.

8. Ἤκουσε καὶ εὐφράνθη Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου, Κύριε.

9. Ὅτι σὺ εἶ Κύριος ὁ ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.

10. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρόν. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς.

11. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

12. Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ· καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Ϟζʹ.

Ψαλμὸς τῷ Δαυίδ.

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος· ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

2. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

3 Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

4. Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.

8. afferte Domino gloriam nomini ejus, tollite hostias et introite in atria ejus.

9. Adorate Dominum in atrio sancto ejus, commoveatur a facie ejus universa terra.

10. Dicite in gentibus : Dominus regnavit, etenim correxit orbem terræ, qui non commovebitur : judicabit populos in æquitate.

11. Lætentur cœli et exsultet terra, commoveatur mare et plenitudo ejus.

12. Gaudebunt campi et omnia quæ in eis sunt · tunc exsultabunt omnia ligna sylvæ

13. ante faciem Domini, quoniam venit, quoniam venit judicare terram. Judicabit orbem terræ in æquitate, et populos in veritate sua.

XCVI.

Ipsi David, cum terra ejus constituta est.

1. Dominus regnavit, exsultet terra, lætentur insulæ multæ.

2. Nubes et caligo in circuitu ejus, justitia et judicium directio sedis ejus.

3. Ignis ante ipsum præibit, et inflammabit in circuitu inimicos ejus.

4. Illuxerunt fulgura ejus orbi terræ, vidit et commota est terra.

5. Montes sicut cera fluxerunt a facie Domini, a facie Domini omnis terræ.

6. Annuntiaverunt cœli justitiam ejus, et viderunt omnes populi gloriam ejus.

7. Confundantur omnes qui adorant sculptilia, qui gloriantur in simulacris suis. Adorate eum, omnes angeli ejus.

8. Audivit et lætata est Sion, et exsultaverunt filiæ Judææ, propter judicia tua, Domine.

9. Quoniam tu es Dominus altissimus super omnem terram, nimis exaltatus es super omnes deos.

10. Qui diligitis Dominum, odite malignum. Custodit Dominus animas sanctorum suorum, de manu peccatorum liberabit eos.

11. Lux orta est justo, et rectis corde lætitia.

12. Lætamini, justi, in Domino : et confitemini memoriæ sanctitatis ejus.

XCVII.

Psalmus ipsi David.

1. Cantate Domino canticum novum, quia mirabilia fecit Dominus : salvavit sibi dextera ejus, et brachium sanctum ejus.

2. Notum fecit Dominus salutare suum, ante conspectum gentium revelavit justitiam suam.

3. Memor fuit misericordiæ suæ Jacob, et veritatis suæ domui Israel. Viderunt omnes fines terræ salutare Dei nostri.

4. Jubilate Deo, omnis terra, cantate et exsultate et psallite.

5. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ,
6. ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίῳ,
7. σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ οἱ κατοικοῦντες αὐτήν.
8. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπιτοαυτὸ, τὰ ὄρη ἀγαλλιάσονται,
9. ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

5. Psallite Domino in cithara, in cithara et voce psalmi,
6. in tubis ductilibus et voce tubæ corneæ. Jubilate in conspectu regis Domino,
7. commoveatur mare et plenitudo ejus, orbis terrarum et qui habitant in eo.
8. Flumina plaudent manu in idipsum, montes exsultabunt,
9. quoniam venit judicare terram. Judicabit orbem terrarum in justitia, et populos in æquitate.

ϞΗʹ.

Ψαλμὸς τῷ Δαυίδ.

1. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ.
2. Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.
3. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστιν,
4. καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.
5. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.
6. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν·
7. ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα ἃ ἔδωκεν αὐτοῖς.
8. Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν. Ὁ Θεὸς, εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.
9. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

XCVIII.

Psalmus ipsi David.

1. Dominus regnavit, irascantur populi : qui sedet super Cherubim, commoveatur terra.
2. Dominus in Sion magnus, et excelsus est super omnes populos.
3. Confiteantur nomini tuo magno, quoniam terribile et sanctum est,
4. et honor regis judicium diligit. Tu parasti directiones, judicium et justitiam in Jacob tu fecisti.
5. Exaltate Dominum Deum nostrum, et adorate scabellum pedum ejus, quoniam sanctus est.
6. Moyses et Aaron in sacerdotibus ejus, et Samuel inter eos qui invocant nomen ejus. Invocabant Dominum, et ipse exaudiebat :
7. in columna nubis loquebatur ad eos. Custodiebant testimonia ejus, et præcepta quæ dedit illis.
8. Domine Deus noster, tu exaudiebas eos. Deus, tu propitius fuisti eis, et ulciscens in omnes adinventiones eorum.
9. Exaltate Dominum Deum nostrum, et adorate in monte sancto ejus, quoniam sanctus Dominus Deus noster.

ϞΘʹ.

1. Ψαλμὸς εἰς ἐξομολόγησιν.

2. Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ· δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. Εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.
3. Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός· αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς αὐτοῦ.
4. Εἰσέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.
5. Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

XCIX.

1. Psalmus in confessionem.

2. Jubilate Domino, omnis terra : servite Domino in lætitia. Introite in conspectu ejus in exultatione.
3. Scitote quod Dominus ipse est Deus : ipse fecit nos, et non nos, populus ejus et oves pascuæ ejus.
4. Introite portas ejus in confessione, atria ejus in hymnis. Confitemini illi, laudate nomen ejus.
5. Quoniam suavis est Dominus, in æternum misericordia ejus, et usque in generationem et generationem veritas ejus.

Ρʹ.

Ψαλμὸς τῷ Δαυίδ.

1. Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ
2. καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. Πότε ἥξεις πρός μέ; Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου.

C.

Psalmus ipsi David.

1. Misericordiam et judicium cantabo tibi, Domine : psallam
2. et intelligam in via immaculata. Quando venies ad me? Deambulabam in innocentia cordis mei, in medio domus meæ.

3. Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι
4. καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον.
5. Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.
6. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.
7. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου.
8. Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀδικίαν.

3. Non proponebam ante oculos meos rem injustam, facientes prævaricationes odivi. Non adhæsit mihi
4. cor pravum : cum declinaret a me malignus, non cognoscebam.
5. Detrahentem occulte proximo suo, hunc persequebar : superbo oculo et insatiabili corde, huic non convescebar.
6. Oculi mei ad fideles terræ, ut sedeant mecum : ambulans in via immaculata, hic mihi ministrabat.
7. Non habitavit in medio domus meæ faciens superbiam : loquens iniqua non direxit in conspectu oculorum meorum.
8. In matutinis interficiebam omnes peccatores terræ, ut disperderem de civitate Domini omnes operantes iniquitatem.

ΡΑ'.

1. Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

2. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.
3. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ εἰσάκουσόν μου.
4. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.
5. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.
6. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.
7. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
8. Ἠγρύπνησα, καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματι.
9. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.
10. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων,
11. ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με.
12. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
13. Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.
15. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.
16. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου.
17. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
18. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.
19. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

CI.

1. Oratio pauperi, cum anxius fuerit, et coram Domino effuderit precem suam.

2. Domine, exaudi orationem meam, et clamor meus ad te veniat.
3. Ne avertas faciem tuam a me : in quacumque die tribulor, inclina ad me aurem tuam : in quacumque die invocavero te, velociter exaudi me.
4. Quia defecerunt sicut fumus dies mei, et ossa mea sic ut cremium confrixa sunt.
5. Percussus sum sicut fœnum, et aruit cor meum, quia oblitus sum comedere panem meum.
6. A voce gemitus mei adhæsit os meum carni meæ.
7. Similis factus sum pelicano qui habitat in solitudine, factus sum sicut nycticorax in parietinis.
8. Vigilavi, et factus sum sicut passer solitarius in tecto.
9. Tota die exprobrabant me inimici mei, et qui laudabant me adversus me jurabant.
10. Quia cinerem tamquam panem manducabam, et potum meum cum fletu miscebam,
11. a facie iræ tuæ et indignationis tuæ, quia elevans allisisti me.
12. Dies mei sicut umbra declinaverunt, et ego sicut fœnum arui.
13. Tu autem, Domine, in æternum permanes, et memoriale tuum in generationem et generationem.
14. Tu exsurgens misereberis Sion, quia tempus miserendi ejus, quia venit tempus.
15. Quoniam beneplacitum habuerunt servi tui in lapides ejus, et pulveris ejus miserebuntur.
16. Et timebunt gentes nomen tuum, Domine, et omnes reges gloriam tuam.
17. Quoniam ædificabit Dominus Sion, et videbitur in gloria sua.
18. Respexit in orationem humilium, et non sprevit preces eorum.
19. Scribantur hæc in generationem alteram, et populus qui creatur laudabit Dominum.

20. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,

21. τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,

22. τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ.

23. Ἐν τῷ συναχθῆναι λαοὺς ἐπιτοαυτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

24. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

25. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

26. Κατ' ἀρχὰς τὴν γῆν σὺ, Κύριε, ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

27. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται.

28. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

29. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

ΡΒ΄.

Τῷ Δαυΐδ.

1. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

2. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς αἰνέσεις αὐτοῦ.

3. Τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου,

4. τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς,

5. τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

6. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

7. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

8. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

10. Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

11. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

12. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

13. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

14. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· μνήσθητι ὅτι χοῦς ἐσμέν.

15. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

16. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

17. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν· καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν,

20. Quoniam prospexit de excelso sancto suo, Dominus de cœlo in terram aspexit,

21. ut audiret gemitum compeditorum, ut solvat filios mortificatorum,

22. ut annuntient in Sion nomen Domini, et laudem ejus in Jerusalem.

33. In conveniendo populos in unum, et reges ut serviant Domino.

24. Respondit ei in via fortitudinis suæ : Exiguitatem dierum meorum annuntia mihi.

25. Ne revoces me in dimidio dierum meorum, in generatione generationum anni tui.

26. In principio terram tu, Domine, fundasti : et opera manuum tuarum sunt cœli.

27. Ipsi peribunt, tu autem permanes : et omnes sicut vestimentum veterascent, et sicut opertorium volves eos et mutabuntur.

28. Tu autem idem ipse es, et anni tui non deficient.

29. Filii servorum tuorum habitabunt, et semen eorum in sæculum dirigetur.

CII.

Ipsi David.

1. Benedic, anima mea, Dominum, et omnia interiora mea nomen sanctum ejus.

2. Benedic, anima mea, Dominum, et noli oblivisci omnes laudationes ejus.

3. Qui propitius fit omnibus iniquitatibus tuis, qui sanat omnes infirmitates tuas,

4. qui redimit de corruptione vitam tuam, qui coronat te in misericordia et miserationibus,

5. qui satiat in bonis desiderium tuum. Renovabitur sicut aquilæ juventus tua.

6. Faciens misericordias Dominus, et judicium omnibus injuriam patientibus.

7. Notas fecit vias suas Moysi, filiis Israel voluntates suas.

8. Miserator et misericors Dominus, longanimis et multæ misericordiæ.

9. Non in finem irascetur, neque in æternum indignabitur.

10. Non secundum peccata nostra fecit nobis, neque secundum iniquitates nostras retribuit nobis.

11. Quoniam secundum altitudinem cœli a terra corroboravit Dominus misericordiam suam super timentes eum.

12. Quantum distat ortus ab occidente, longe fecit a nobis iniquitates nostras.

13. Quomodo miseretur pater filiorum, misertus est Dominus timentibus eum.

14 Quoniam ipse cognovit figmentum nostrum : memento quod pulvis sumus.

15. Homo, sicut fœnum dies ejus, sicut flos agri ita efflorebit.

16. Quoniam spiritus pertransibit in eo, et non subsistet, et non cognoscet amplius locum suum.

17. Misericordia autem Domini a sæculo et in sæculum super timentes eum : et justitia ejus super filios filiorum,

18. τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

19. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

20. Εὐλογεῖτε τὸν Κύριον, πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

21. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὰ θελήματα αὐτοῦ.

22. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ· ἐν παντὶ τόπῳ τῆς δυναστείας αὐτοῦ, εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

18. custodientibus testamentum ejus, et memoria retinentibus mandata ejus ut faciant ea.

19. Dominus in cœlo paravit sedem suam, et regnum ejus omnium dominatur.

20. Benedicite Dominum, omnes angeli ejus, potentes fortitudine, facientes verbum ejus, ad audiendam vocem sermonum ejus.

21. Benedicite Dominum, omnes virtutes ejus, ministri ejus qui facitis voluntates ejus.

22. Benedicite Dominum, omnia opera ejus : in omni loco dominationis ejus, benedic, anima mea, Dominum.

ΡΓ'.

Τῷ Δαυίδ.

1. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω,

2. ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν.

3. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων,

4. ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.

5. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

6. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

7. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

8. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς.

9. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

10. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

11. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

12. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

13. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

14. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς,

15. καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου· τοῦ ἱλαρύναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

16. Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν.

17. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.

18. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις.

19. Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

20. Ἔθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

CIII.

Ipsi David.

1. Benedic, anima mea, Dominum : Domine Deus meus, magnificatus es vehementer. Confessionem et decorem induisti,

2. amictus lumine sicut vestimento, extendens cœlum sicut pellem.

3. Qui tegit in aquis superiora ejus, qui ponit nubes ascensum suum : qui ambulat super pennas ventorum,

4. qui facit angelos suos spiritus, et ministros suos ignem flagrantem.

5. Qui fundat terram super stabilitatem ejus, non inclinabitur in sæculum sæculi.

6. Abyssus sicut vestimentum amictus ejus, super montes stabunt aquæ.

7. Ab increpatione tua fugient, a voce tonitrui tui formidabunt.

8. Ascendunt montes, et descendunt campi in locum quem fundasti eis.

9. Terminum posuisti quem non transgredientur, neque revertentur operire terram.

10. Qui emittis fontes in convallibus, inter medium montium pertransibunt aquæ.

11. Potabunt omnes bestiæ agri, suscipient onagri in sitim suam.

12. Super ea volucres cœli habitabunt, de medio petrarum dabunt vocem.

13. Rigans montes de superioribus suis, de fructu operum tuorum satiabitur terra.

14. Producens fœnum jumentis, et herbam servituti hominum. Ut educat panem de terra,

15. et vinum lætificat cor hominis : ut exhilaret faciem in oleo, et panis cor hominis confirmat.

16. Saturabuntur ligna campi, cedri Libani quas plantavit.

17. Illic passeres nidificabunt, erodii domus dux est eorum.

18. Montes excelsi cervis, petra refugium herinaciis.

19. Fecit lunam in tempora, sol cognovit occasum suum.

20. Posuisti tenebras et facta est nox, in ipsa pertransibunt omnes bestiæ sylvæ.

21. Σκύμνοι ὠρυόμενοι ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

22. Ἀνέτειλεν ὁ ἥλιος καὶ συναχθήσονται, καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται.

23. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

24. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

25. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων.

26. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

27. Πάντα πρὸς σὲ προςδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.

28. Δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος.

29. Ἀποστρέψαντος δέ σου τὸ πρόςωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

30. Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόςωπον τῆς γῆς.

31. Ἤτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

32. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

33. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

34. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

35. Ἐκλείποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥςτε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

ΡΔ'.

Ἀλληλούϊα.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ,

2. ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

3. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ· Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.

4. Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε· ζητήσατε τὸ πρόςωπον αὐτοῦ διαπαντός.

5. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

6. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

7. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

8. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεὰς,

9. ὃν διέθετο τῷ Ἀβραὰμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

10. Καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ εἰς πρόςταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον,

11. λέγων· Σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν.

21. Catuli leonum rugientes ut rapiant, et quærant a Deo escam sibi.

22. Ortus est sol et congregabuntur, et in cubilibus suis cubabunt.

23. Exibit homo ad opus suum et ad operationem suam usque ad vesperam.

24. Quam magnificata sunt opera tua, Domine : omnia in sapientia fecisti : repleta est terra creatura tua.

25. Hoc mare magnum et spatiosum : illic reptilia quorum non est numerus, animalia pusilla cum magnis.

26. Illic naves pertranseunt, draco hic quem finxisti ad illudendum ei.

27. Omnia ad te exspectant, ut des illis escam in tempore.

28. Dante te illis, colligent : aperiente autem te manum, universa implebuntur bonitate.

29. Avertente autem te faciem, turbabuntur : auferes spiritum eorum, et deficient, et in pulverem suum revertentur.

30. Emittes spiritum tuum et creabuntur, et renovabis faciem terræ.

31. Sit gloria Domini in sæculum, lætabitur Dominus in operibus suis.

32. Qui respicit super terram et facit eam tremere, qui tangit montes et fumigant.

33. Cantabo Domino in vita mea, psallam Deo meo quamdiu sum.

34. Jucundum sit ei eloquium meum, ego vero lætabor in Domino.

35. Deficient peccatores a terra, et iniqui, ita ut non sint. Benedic, anima mea, Dominum.

CIV.

Alleluia.

1. Confitemini Domino, et invocate nomen ejus. Annuntiate inter gentes opera ejus,

2. cantate ei et psallite ei : narrate omnia mirabilia ejus.

3. Laudamini in nomine sancto ejus : lætetur cor quærentium Dominum.

4. Quærite Dominum et confortamini : quærite faciem ejus semper.

5. Memento mirabilium ejus quæ fecit : prodigia ejus et judicia oris ejus.

6. Semen Abraham servi ejus, filii Jacob electi ejus.

7. Ipse Dominus Deus noster, in omni terra judicia ejus.

8. Memor fuit in sæculum testamenti sui, verbi quod mandavit in mille generationes,

9. quod disposuit ad Abraham, et juramenti sui ad Isaac.

10. Et statuit illud Jacob in præceptum, et Israel in testamentum æternum,

11. dicens : Tibi dabo terram Chanaan, funiculum hæreditatis vestræ.

12. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.

13. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.

14. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.

15. Μὴ ἅψησθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

16. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.

17. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

18. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.

19. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον τοῦ Κυρίου ἐπύρωσεν αὐτόν.

20. Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαῶν, καὶ ἀφῆκεν αὐτόν.

21. Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.

22. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

23. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

24. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

25. Καὶ μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

26. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο αὐτόν.

27. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων ἐν γῇ Χάμ.

28. Ἐξαπέστειλε σκότος καὶ ἐσκότασεν, καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

29. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

30. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν.

31. Εἶπε καὶ ἦλθε κυνόμυια, καὶ σκνίπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

32. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

33. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

34. Εἶπε καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός.

35. Καὶ κατέφαγε πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε τὸν καρπὸν τῆς γῆς αὐτῶν.

36. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐκ τῆς γῆς αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

37. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

38. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ᾽ αὐτούς.

39. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

40. Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

41. Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα· ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

12. Cum essent numero breves, paucissimi et incolæ in ea.

13. Et transierunt de gente in gentem, et de regno ad populum alterum.

14. Non permisit hominem nocere eis, et corripuit pro eis reges.

15. Nolite tangere christos meos, et in prophetis meis nolite malignari.

16. Et vocavit famem super terram, omne firmamentum panis contrivit.

17. Misit ante eos hominem, in servum venundatus est Joseph.

18. Humiliaverunt in compedibus pedes ejus, ferrum pertransivit anima ejus.

19. Donec veniret verbum ejus, eloquium Domini inflammavit eum.

20. Misit rex et solvit eum, princeps populorum, et dimisit eum.

21. Constituit eum dominum domus suæ, et principem omnis possessionis suæ.

22. Ut erudiret principes ejus sicut semet ipsum, et seniores ejus sapientiam doceret.

23. Et intravit Israel in Ægyptum, et Jacob accola fuit in terra Cham.

24. Et auxit populum suum vehementer, et firmavit eum super inimicos ejus.

25. Et convertit cor eorum ut odirent populum ejus, et dolum facerent in servis ejus.

26. Misit Moysen servum suum, Aaron quem elegit ipsum.

27. Posuit in eis verba signorum suorum, et prodigiorum in terra Cham.

28. Misit tenebras et obscuravit, et exacerbaverunt sermones ejus.

29. Convertit aquas eorum in sanguinem, et occidit pisces eorum.

30. Edidit terra eorum ranas, in penetralibus regum ipsorum.

31. Dixit et venit cynomya, et cyniphes in omnibus finibus eorum.

32. Posuit pluvias eorum grandinem, ignem comburentem in terra ipsorum.

33. Et percussit vites eorum et ficus eorum, et contrivit omne lignum finis eorum.

34. Dixit et venit locusta, et bruchus cujus non erat numerus.

35. Et comedit omne fœnum in terra eorum, et comedit fructum terræ eorum.

36. Et percussit omne primogenitum de terra eorum, primitias omnis laboris eorum.

37. Et eduxit eos in argento et auro, et non erat in tribubus eorum infirmus.

38. Lætata est Ægyptus in profectione eorum, quia incubuit timor eorum super eos.

39. Expandit nubem in protectionem eorum, et ignem ut luceret eis per noctem.

40. Petierunt et venit coturnix, et pane cœli saturavit eos.

41. Dirupit petram, et fluxerunt aquæ iverunt: in siccis flumina.

42. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

43. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

44. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν ἐκληρονόμησαν.

45. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

42. Quoniam memor fuit verbi sancti sui, quod habuit ad Abraham servum suum.

43. Et eduxit populum suum in exsultatione, et electos suos in lætitia.

44. Et dedit eis regiones gentium, et labores populorum possederunt.

45. Ut custodiant justificationes ejus, et legem ejus exquirant.

ΡΕ'.

Ἀλληλούϊα.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

3. Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

4. Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου·

5. τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

6. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.

7. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

8. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.

9. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ,

10. καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ.

11. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτοὺς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

12. Καὶ ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ᾔνεσαν τὴν αἴνεσιν αὐτοῦ.

13. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

14. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

15. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, καὶ ἐξαπέστειλε πλησμονὴν εἰς τὴν ψυχὴν αὐτῶν.

16. Καὶ παρώργισαν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, καὶ Ἀαρὼν τὸν ἅγιον Κυρίου.

17. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

18. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, καὶ φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

19. Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ.

20. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν, ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρτον.

21. Ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,

22. θαυμαστὰ ἐν γῇ Χὰμ, καὶ φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

23. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰ μὴ Μωϋ-

CV.

Alleluia.

1. Confitemini Domino quoniam bonus, quoniam in sæculum misericordia ejus.

2. Quis loquetur potentias Domini, auditas faciet omnes laudes ejus?

3. Beati qui custodiunt judicium, et faciunt justitiam in omni tempore.

4. Memento nostri, Domine, in beneplacito populi tui, visita nos in salutari tuo:

5. ad videndum in bonitate electorum tuorum, ad lætandum in lætitia gentis tuæ, ad laudandum cum hæreditate tua.

6. Peccavimus cum patribus nostris, injuste egimus iniquitatem fecimus.

7. Patres nostri in Ægypto non intellexerunt mirabilia, tua, et non fuerunt memores multitudinis misericordiæ tuæ. Et irritaverunt ascendentes in rubrum mare.

8. Et salvavit eos propter nomen suum, ut notam faceret potentiam suam.

9. Et increpavit mare rubrum, et exsiccatum est: et deduxit eos in abysso sicut in deserto,

10. et salvavit eos de manu odientium, et redemit eos de manu inimici.

11. Operuit aqua tribulantes eos, unus ex eis non remansit.

12. Et crediderunt verbis ejus, et laudaverunt laudem ejus.

13. Festinaverunt, obliti sunt operum ejus, non sustinuerunt consilium ejus.

14. Et concupierunt concupiscentiam in deserto, et tentaverunt Deum in inaquoso.

15. Et dedit eis petitionem ipsorum, et misit saturitatem in animam eorum.

16. Et irritaverunt Moysen in castris, et Aaron sanctum Domini.

17. Aperta est terra et deglutivit Dathan, et operuit super synagogam Abiron.

18. Et exarsit ignis in synagoga eorum, et flamma combussit peccatores.

19. Et fecerunt vitulum in Choreb, et adoraverunt sculptile.

20. Et mutaverunt gloriam suam, in similitudine vituli comedentis fœnum.

21. Obliti sunt Deum qui salvavit eos, qui fecit magna in Ægypto,

22. mirabilia in terra Cham, et terribilia super mare rubrum.

23. Et dixit ut disperderet eos, si non Moyses electus ejus

σῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι.

24. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητὴν, καὶ οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

25. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

26. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ,

27. καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

28. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, καὶ ἔφαγον θυσίας νεκρῶν.

29. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

30. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις.

31. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

32. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς.

33. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.

34. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε Κύριος αὐτοῖς,

35. καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν.

36. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.

37. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις,

38. καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι,

39. καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν· καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

40. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.

41. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.

42. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.

43. Πλεονάκις ἐῤῥύσατο αὐτούς· αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

44. Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτοὺς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν.

45. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

46. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.

47. Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν· τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

48. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.

stetisset in confractione in conspectu ejus, ut averteret ab indignatione iræ ejus, ne disperderet.

24. Et pro nihilo habuerunt terram desiderabilem, et non crediderunt verbo ejus.

25. Et murmuraverunt in tabernaculis suis, non exaudierunt vocem Domini.

26. Et elevavit manum suam super eos, ut prosterneret eos in deserto,

27. et ut dejiceret semen eorum in gentibus, et dispergeret eos in regionibus.

28. Et initiati sunt Beelphegor, et comederunt sacrificia mortuorum.

29. Et irritaverunt eum in adinventionibus suis, et multiplicata est in eis ruina.

30. Et stetit Phinees et placavit, et cessavit quassatio.

31. Et reputatum est ei in justitiam, in generationem et generationem usque in sæculum.

32. Et irritaverunt eum super aquam contradictionis, et vexatus est Moyses propter eos.

33. Quia exacerbaverunt spiritum ejus, et distinxit in labiis suis.

34. Non disperdiderunt gentes quas dixit Dominus illis,

35. et commisti sunt in gentibus et didicerunt opera eorum.

36. Et servierunt sculptilibus eorum, et factum est illis in scandalum.

37. Et immolaverunt filios suos et filias suas dæmoniis,

38. et effuderunt sanguinem innocentem, sanguinem filiorum suorum et filiarum, quos sacrificaverunt sculptilibus Chanaan. Et interfecta est terra in sanguinibus,

39. et contaminata est in operibus eorum: et fornicati sunt in adinventionibus suis.

40. Et iratus est furore Dominus in populum suum, et abominatus est hæreditatem suam.

41. Et tradidit eos in manus inimicorum, et dominati sunt eorum qui oderunt eos.

42. Et tribulaverunt eos inimici eorum, et humiliati sunt sub manibus eorum.

43. Sæpe liberavit eos: ipsi autem exacerbaverunt eum in consilio suo, et humiliati sunt in iniquitatibus suis.

44. Et vidit Dominus cum tribularentur, cum exaudiret orationem eorum.

45. Et memor fuit testamenti sui, et pœnituit eum secundum multitudinem misericordiæ suæ.

46. Et dedit eos in misericordias in conspectu omnium qui ceperant eos.

47. Salvos nos fac, Domine Deus noster, et congrega nos de gentibus: ut confiteamur nomini sancto tuo, ut gloriemur in laude tua.

48. Benedictus Dominus Deus Israel, a sæculo et usque in sæculum, et dicet omnis populus: Fiat, fiat.

Ρς'.

Ἀλληλούϊα.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς,

3. ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βοῤῥᾶ καὶ θαλάσσης.

4. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ· ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον

5. πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

6. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς.

7. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

8. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

9. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

10. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

11. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.

12. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.

13. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

14. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν.

15. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

16. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.

17. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

18. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

19. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

20. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

21. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

22. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

23. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

24. Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

25. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

26. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων· ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.

27. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

CVI.

Alleluia.

1. Confitemini Domino quoniam bonus, quoniam in sæculum misericordia ejus.

2. Dicant qui redempti sunt a Domino, quos redemit de manu inimici, et de regionibus congregavit eos,

3. ab oriente et occasu, et aquilone et mari.

4. Erraverunt in solitudine in inaquoso : viam civitatis habitaculi non invenerunt

5. esurientes et sitientes, anima eorum in ipsis defecit

6. Et clamaverunt ad Dominum cum tribularentur, et de necessitatibus eorum eripuit eos.

7. Et deduxit eos in viam rectam, ut irent in civitatem habitationis.

8. Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum.

9. Quoniam satiavit animam inanem, et esurientem implevit bonis.

10. Sedentes in tenebris et umbra mortis, compeditos in mendicitate et ferro.

11. Quia exacerbaverunt eloquia Dei, et consilium Altissimi irritaverunt.

12. Et humiliatum est in laboribus cor eorum, infirmati sunt nec fuit qui adjuvaret.

13. Et clamaverunt ad Dominum cum tribularentur, et de necessitatibus eorum salvos fecit eos.

14. Et eduxit eos de tenebris et umbra mortis, et vincula eorum dirupit.

15. Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum.

16. Quia contrivit portas æreas, et vectes ferreos confregit.

17. Suscepit eos de via iniquitatis eorum, propter injustitias enim suas humiliati sunt.

18. Omnem escam abominata est anima eorum, et appropinquaverunt usque ad portas mortis.

19. Et clamaverunt ad Dominum cum tribularentur, et de necessitatibus eorum salvos fecit eos.

20. Misit verbum suum, et sanavit eos, et eripuit eos de corruptelis eorum.

21. Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum.

22. Et sacrificent ei sacrificium laudis, et annuntient opera ejus in exsultatione.

23. Qui descendunt in mare in navibus, facientes operationem in aquis multis.

24. Ipsi viderunt opera Domini, et mirabilia ejus in profundo.

25. Dixit, et stetit spiritus procellæ, et exaltati sunt fluctus ejus.

26. Ascendunt usque ad cœlos, et descendunt usque ad abyssos : anima eorum in malis tabescebat.

27. Turbati sunt, moti sunt sicut ebrius, et omnis sapientia eorum absorpta est.

28. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.
29. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.
30. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν.
31. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
32. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
33. Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν.
34. Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.
35. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.
36. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας.
37. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος.
38. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.
39. Καὶ ὠλιγώθησαν, καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.
40. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.
41. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς.
42. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.
43. Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ Κυρίου;

28. Et clamaverunt ad Dominum cum tribularentur, et de necessitatibus eorum eduxit eos.
29. Et imperavit procellæ, et stetit in auram, et siluerunt fluctus ejus.
30. Et lætati sunt, quia siluerunt, et deduxit eos in portum voluntatis eorum.
31. Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum.
32. Et exaltent eum in ecclesia populi, et in cathedra seniorum laudent eum.
33. Posuit flumina in desertum, et exitus aquarum in sitim.
34. Terram fructiferam in salsuginem, a malitia inhabitantium in ea.
35. Posuit desertum in stagna aquarum, et terram sine aqua in exitus aquarum.
36. Et collocavit illic esurientes, et constituerunt civitates habitationis.
37. Et seminaverunt agros, et plantaverunt vineas, et fecerunt fructum geniminis.
38. Et benedixit eos, et multiplicati sunt nimis, et jumenta eorum non minoravit.
39. Et pauci facti sunt, et vexati sunt a tribulatione malorum et dolore.
40. Effusus est contemptus super principes eorum, et errare fecit eos in invio et non in via.
41. Et adjuvit pauperem a mendicitate, et posuit sicut oves familias.
42. Videbunt recti et lætabuntur, et omnis iniquitas oppilabit os suum.
43. Quis sapiens et custodiet hæc, et intelliget misericordias Domini?

ΡΖ'.

1. Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ.

2. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
3. Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου.
4. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε· ψαλῶ σοι ἐν ἔθνεσιν.
5. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
6. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
8. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
9. Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου,
10. Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

CVII.

1. Canticum psalmi ipsi David.

2. Paratum cor meum, Deus, paratum cor meum: cantabo et psallam in gloria mea.
3. Exsurge, psalterium et cithara: exsurgam diluculo
4. Confitebor tibi in populis, Domine: psallam tibi in gentibus.
5. Quia magna est super cœlos misericordia tua, et usque ad nubes veritas tua.
6. Exaltare super cœlos, Deus, et super omnem terram gloria tua.
7. Ut liberentur dilecti tui, salvum fac dextera et exaudi me.
8. Deus locutus est in sancto suo: exaltabor et dividam Sicima, et vallem tabernaculorum dimetiar.
9. Meus est Galaad, et meus est Manasses, et Ephraim susceptio capitis mei. Judas rex meus,
10. Moab lebes spei meæ. Super Idumæam projiciam calceamentum meum, mihi alienigenæ subditi sunt.
11. Quis adducet me in civitatem circumstantiæ? aut quis deducet me usque in Idumæam?

12. Οὐχὶ σὺ, ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεὸς, ἐν ταῖς δυνάμεσιν ἡμῶν;

13. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

14. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

12. Nonne tu, Deus qui repulisti nos, et non exibis, Deus, in virtutibus nostris?

13. Da nobis auxilium de tribulatione, et vana salus hominis.

14. In Deo faciemus virtutem, et ipse ad nihilum deducet inimicos nostros.

ΡΗ'.

1. Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

2. Ὁ Θεὸς, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

3. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.

4. Ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην.

5. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

6. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

7. Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

8. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

9. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

10. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

11. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

12. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

13. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

14. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

15. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

16. Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος,

17. καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

18. Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

19. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται.

20. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

21. Καὶ σὺ, Κύριε, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με,

22. ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

23. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

CVIII.

1. In finem psalmus ipsi David.

2. Deus, laudem meam ne tacueris, quia os peccatoris et os dolosi super me apertum est.

3. Locuti sunt adversum me lingua dolosa, et sermonibus odii circumdederunt me, et expugnaverunt me gratis.

4. Pro eo ut diligerent me, detrahebant mihi : ego autem orabam.

5. Et posuerunt adversum me mala pro bonis, et odium pro dilectione mea.

6. Constitue super eum peccatorem, et diabolus stet a dextris ejus.

7. Cum judicatur exeat condemnatus, et oratio ejus fiat in peccatum.

8. Fiant dies ejus pauci, et episcopatum ejus accipiat alter.

9. Fiant filii ejus orphani, et uxor ejus vidua.

10. Nutantes transferantur filii ejus, et mendicent, ejiciantur de parietinis suis.

11. Scrutetur fœnerator omnem substantiam ejus, et diripiant alieni labores ejus.

12. Non sit illi adjutor, nec sit qui misereatur pupillis ejus.

13. Fiant nati ejus in interitum, in generatione una deleatur nomen ejus.

14. In memoriam redeat iniquitas patrum ejus in conspectu Domini, et peccatum matris ejus non deleatur.

15. Fiant contra Dominum semper, et dispereat de terra memoriale eorum.

16. Pro eo quod non est recordatus facere misericordiam,

17. et persecutus est hominem inopem et mendicum, et compunctum corde mortificare.

18. Et dilexit maledictionem et veniet ei, et noluit benedictionem, et elongabitur ab eo. Et induit maledictionem sicut vestimentum, et intravit sicut aqua in interiora ejus, et sicut oleum in ossibus ejus.

19. Fiat ei sicut vestimentum quo operitur, et sicut zona qua semper præcingitur.

20. Hoc opus eorum qui detrahunt mihi apud Dominum, et qui loquuntur mala adversus animam meam.

21. Et tu, Domine, Domine, fac mecum propter nomen tuum, quia suavis est misericordia tua. Libera me,

22. quia egenus et pauper sum ego, et cor meum conturbatum est intra me.

23. Sicut umbra cum declinat ablatus sum, excussus sum sicut locustæ.

24. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

25. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς, εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

26. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

27. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ, Κύριε, ἐποίησας αὐτήν.

28. Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

29. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

30. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

31. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

24. Genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum.

25. Et ego factus sum opprobrium illis, viderunt me, moverunt capita sua.

26. Adjuva me, Domine Deus meus, et salvum me fac secundum misericordiam tuam.

27. Et sciant quia manus tua hæc, et tu, Domine, fecisti eam.

28. Maledicent illi, et tu benedices. Qui insurgunt adversus me confundantur, servus autem tuus lætabitur.

29. Induantur qui detrahunt mihi pudore, et operiantur sicut diploide confusione sua.

30. Confitebor Domino nimis in ore meo, et in medio multorum laudabo eum.

31. Quia adstitit a dextris pauperis, ut salvam faceret a persequentibus animam meam.

ΡΘ'.

Ψαλμὸς τῷ Δαυίδ.

1. Εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

2. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

3. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

4. Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

5. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.

6. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

7. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

CIX.

Psalmus ipsi David.

1. Dixit Dominus domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.

2. Virgam virtutis tuæ emittet tibi Dominus ex Sion, dominare in medio inimicorum tuorum.

3. Tecum principium in die virtutis tuæ, in splendoribus sanctorum tuorum: ex utero ante luciferum genui te.

4. Juravit Dominus et non pœnitebit eum: Tu es sacerdos in æternum, secundum ordinem Melchisedech.

5. Dominus a dextris tuis confregit in die iræ suæ reges.

6. Judicabit in gentibus, implebit ruinas, conquassabit capita super terram multorum.

7. De torrente in via bibet, propterea exaltabit caput.

ΡΙ'.

Ἀλληλούϊα.

1. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

2. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

3. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

4. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος·

5. τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

6. Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ,

7. τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν· ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις.

8. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.

9. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ· ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ, ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

CX.

Alleluia.

1. Confitebor tibi, Domine, in toto corde meo, in consilio justorum et congregatione.

2. Magna opera Domini, exquisita in omnes voluntates ejus.

3. Confessio et magnificentia opus ejus, et justitia ejus manet in sæculum sæculi.

4. Memoriam fecit mirabilium suorum, misericors et miserator Dominus:

5. escam dedit timentibus se. Memor erit in sæculum testamenti sui.

6. Fortitudinem operum suorum annuntiavit populo suo,

7. ut det illis hæreditatem gentium: opera manuum ejus veritas et judicium.

8. Fidelia omnia mandata ejus, confirmata in sæculum sæculi, facta in veritate et æquitate.

9. Redemptionem misit populo suo: mandavit in æternum testamentum suum, sanctum et terribile nomen ejus.

10. Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

10. Initium sapientiæ timor Domini, intellectus autem bonus omnibus facientibus eum : laudatio ejus manet in sæculum sæculi.

ΡΙΑ'.

Ἀλληλούϊα.

1. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
2. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται.
3. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
4. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν· ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
5. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει,
6. ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.
7. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον,
8. ἐστήρικται ἡ καρδία αὐτοῦ· οὐ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.
9. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
10. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

CXI.

Alleluia.

1. Beatus vir qui timet Dominum, in mandatis ejus volet nimis.
2. Potens in terra erit semen ejus, generatio rectorum benedicetur.
3. Gloria et divitiæ in domo ejus, et justitia ejus manet in sæculum sæculi.
4. Exortum est in tenebris lumen rectis : misericors et miserator et justus.
5. Suavis vir qui miseretur et commodat, disponet sermones suos in judicio,
6. quoniam in æternum non commovebitur.
7. In memoria æterna erit justus, ab auditione mala non timebit. Paratum cor ejus sperare in Domino,
8. confirmatum est cor ejus : non timebit, donec videat super inimicos suos.
9. Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi : cornu ejus exaltabitur in gloria.
10. Peccator videbit et irascetur, dentibus suis fremet et tabescet : desiderium peccatoris peribit.

ΡΙΒ'.

Ἀλληλούϊα.

1. Αἰνεῖτε, παῖδες, Κύριον· αἰνεῖτε τὸ ὄνομα Κυρίου.
2. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
3. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.
4. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
5. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν,
6. καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ;
7. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα,
8. τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.
9. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

CXII.

Alleluia.

1. Laudate, pueri, Dominum : laudate nomen Domini.
2. Sit nomen Domini benedictum ex hoc nunc et usque in sæculum.
3. A solis ortu usque ad occasum laudabile nomen Domini.
4. Excelsus super omnes gentes Dominus, et super cœlos gloria ejus.
5. Quis sicut Dominus Deus noster, qui in altis habitat,
6. et humilia respicit in cœlo et in terra?
7. Qui suscitat a terra inopem, et de stercore erigit pauperem,
8. ut collocet eum cum principibus, cum principibus populi sui.
9. Qui habitare facit sterilem in domo, matrem super filiis lætantem.

ΡΙΓ'.

Ἀλληλούϊα.

1. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου,
2. ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

CXIII.

Alleluia.

1. In exitu Israel de Ægypto, domus Jacob de populo barbaro,
2. facta est Judæa sanctificatio ejus, Israel potestas ejus.

3. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

4. Τὰ ὄρη ἐσκίρτησαν ὡςεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

5. Τί σοι ἐστὶ, θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

6. Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡςεὶ κριοὶ, καὶ οἱ βουνοὶ, ὡς ἀρνία προβάτων;

7. Ἀπὸ προςώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προςώπου τοῦ Θεοῦ Ἰακὼβ,

8. τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

1. Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν,

2. ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου· μή ποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

3. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε.

4. Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

5. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐχ ὄψονται.

6. Ὦτα ἔχουσι καὶ οὐχ ἀκούσονται, ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται.

7. Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.

8. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

9. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

10. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

11. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

12. Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.

13. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

14. Προςθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.

15. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

16. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

17. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.

18. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΡΙΔ'.

Ἀλληλούϊα.

1. Ἠγάπησα, ὅτι εἰςακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

2. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

3. Mare vidit et fugit, Jordanis conversus est retrorsum.

4. Montes gestierunt velut arietes, et colles velut agni ovium.

5. Quid est tibi, mare, quod fugisti, et tu, Jordanis, quia conversus es retrorsum?

6. montes, quia gestiistis, velut arietes, et colles, velut agni ovium?

7. A facie Domini commota est terra, a facie Dei Jacob,

8. qui convertit petram in stagna aquarum, et rupem in fontes aquarum.

1. Non nobis, Domine, non nobis, sed nomini tuo da gloriam,

2. super misericordia tua et veritate tua : ne quando dicant gentes : Ubi est Deus eorum?

3. Deus autem noster in cœlo et in terra, omnia quæ voluit fecit.

4. Simulacra gentium, argentum et aurum, opera manuum hominum.

5. Os habent et non loquentur, oculos habent et non videbunt.

6. Aures habent et non audient, nares habent et non odorabunt.

7. Manus habent et non contrectabunt, pedes habent et non ambulabunt, non clamabunt in gutture suo.

8. Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis.

9. Domus Israel speravit in Domino, adjutor et protector eorum est.

10. Domus Aaron speravit in Domino, adjutor et protector eorum est.

11. Qui timent Dominum speraverunt in Domino, adjutor et protector eorum est.

12. Dominus recordatus nostri benedixit nos, benedixit domum Israel, benedixit domum Aaron.

13. Benedixit eos qui timent Dominum, pusillos cum magnis.

14. Adjiciat Dominus super vos, super vos et super filios vestros.

15. Benedicti vos Domino, qui fecit cœlum et terram.

16. Cœlum cœli Domino, terram autem dedit filiis hominum.

17. Non mortui laudabunt te, Domine, neque omnes qui descendunt in infernum.

18. Sed nos qui vivimus benedicemus Dominum ex hoc nunc et usque in sæculum.

CXIV.

Alleluia.

1. Dilexi, quoniam exaudiet Dominus vocem deprecationis meæ.

2. Quia inclinavit aurem suam mihi, et in diebus meis invocabo.

3. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με. Θλίψιν καὶ ὀδύνην εὗρον,
4. καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην. Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.
5. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.
6. Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με.
7. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.
8. Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
9. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

ΡΙΕ'.

Ἀλληλούϊα.

10. Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.
11. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.
12. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;
13. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.
14. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.
15. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
16. Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. Διέῤῥηξας τοὺς δεσμούς μου,
17. σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.
18. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ,
19. ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.

ΡΙϚ'.

Ἀλληλούϊα.

1. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη· ἐπαινέσατε αὐτὸν, πάντες οἱ λαοί.
2. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

ΡΙΖ'.

Ἀλληλούϊα.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
4. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
5. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

3. Circumdederunt me dolores mortis, pericula inferni invenerunt me. Tribulationem et dolorem inveni,
4. et nomen Domini invocavi. O Domine, erue animam meam.
5. Misericors Dominus et justus, et Deus noster miseretur.
6. Custodiens parvulos Dominus, humiliatus sum et salvum me fecit.
7. Convertere, anima mea, in requiem tuam, quia Dominus benefecit tibi.
8. Quoniam exemit animam meam de morte, oculos meos a lacrymis, et pedes meos a lapsu.
9. Placebo in conspectu Domini in regione vivorum

CXV.

Alleluia.

10. Credidi, propter quod locutus sum, ego autem humiliatus sum nimis.
11. Ego autem dixi in exstasi mea : Omnis homo mendax.
12. Quid retribuam Domino pro omnibus quæ retribuit mihi?
13. Calicem salutaris accipiam, et nomen Domini invocabo.
14. Vota mea Domino reddam coram omni populo ejus.
15. Pretiosa in conspectu Domini mors sanctorum ejus.
16. O Domine, ego servus tuus, ego servus tuus, et filius ancillæ tuæ. Dirupisti vincula mea,
17. tibi sacrificabo sacrificium laudis, et in nomine Domini invocabo.
18. Vota mea Domino reddam in conspectu omnis populi ejus,
19. in atriis domus Domini, in medio tui, Jerusalem.

CXVI.

Alleluia.

1. Laudate Dominum, omnes gentes : laudate eum, omnes populi.
2. Quoniam confirmata est super nos misericordia ejus, et veritas Domini manet in æternum.

CXVII.

Alleluia.

1. Confitemini Domino, quoniam bonus, quoniam in sæculum misericordia ejus.
2. Dicat nunc domus Israel, quoniam bonus, quoniam in sæculum misericordia ejus.
3. Dicat nunc domus Aaron, quoniam bonus, quoniam in sæculum misericordia ejus.
4. Dicant nunc omnes qui timent Dominum, quoniam bonus, quoniam in sæculum misericordia ejus.
5. De tribulatione invocavi Dominum, et exaudivit me in latitudinem.

6. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.
7. Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.
8. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.
9. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.
10. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
11. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
12. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
13. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.
14. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.
15. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν,
16. δεξιὰ Κυρίου ὕψωσέ με· δεξιὰ Κυρίου ἐποίησε δύναμιν.
17. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.
18. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.
19. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.
20. Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.
21. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.
22. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.
23. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
24. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
25. Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή.
26. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.
27. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.
28. Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.
29. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

6. Dominus mihi adjutor, et non timebo quid faciet mihi homo.
7. Dominus mihi adjutor, et ego despiciam inimicos meos.
8. Bonum est confidere in Domino quam confidere in homine.
9. Bonum est sperare in Domino quam sperare in principibus.
10. Omnes gentes circumdederunt me, et nomine Domini ultus sum eos.
11. Circumdantes circumdederunt me, et nomine Domini ultus sum eos.
12. Circumdederunt me sicut apes favum, et exarserunt sicut ignis in spinis, et nomine Domini ultus sum eos.
13. Impulsus eversus sum ut caderem, et Dominus suscepit me.
14. Fortitudo mea et laudatio mea Dominus, et factus est mihi in salutem.
15. Vox exsultationis et salutis in tabernaculis justorum. Dextera Domini fecit virtutem,
16. dextera Domini exaltavit me : dextera Domini fecit virtutem.
17. Non moriar, sed vivam, et enarrabo opera Domini.
18. Castigans castigavit me Dominus, et morti non tradidit me.
19. Aperite mihi portas justitiæ, ingressus in eas confitebor Domino.
20. Hæc porta Domini, justi intrabunt in eam.
21. Confitebor tibi, quoniam exaudisti me et factus es mihi in salutem.
22. Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli.
23. A Domino facta est hæc, et est mirabilis in oculis nostris.
24. Hæc est dies quam fecit Dominus, exsultemus et lætemur in ea.
25. O Domine, salva nunc, o Domine, bene prosperare nunc.
26. Benedictus qui venit in nomine Domini. Benediximus vos de domo Domini.
27. Deus Dominus, et illuxit nobis. Constituite diem solemnem in condensis, usque ad cornua altaris.
28. Deus meus es tu, et confitebor tibi : Deus meus es tu, et exaltabo te. Confitebor tibi, quoniam exaudisti me, et factus es mihi in salutem.
29. Confitemini Domino, quoniam bonus, quoniam in sæculum misericordia ejus.

ΡΙΗ'.

Ἀλληλούϊα.

1. Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.
2. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

CXVIII.

Alleluia.

1. Beati immaculati in via, qui ambulant in lege Domini.
2. Beati qui scrutantur testimonia ejus, in toto corde exquirunt eum.

3. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

4. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

5. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

6. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

7. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

8. Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

9. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

10. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

11. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

12. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

13. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

14. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

15. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

16. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

17. Ἀνταπόδος τῷ δούλῳ σου, ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.

18. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

19. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

20. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

21. Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

22. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

23. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

24. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

25. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

26. Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου, δίδαξόν με τὰ δικαιώματά σου.

27. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

28. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

29. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

30. Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

31. Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς.

3. Non enim qui operantur iniquitatem in viis ejus ambulaverunt.

4. Tu mandasti mandata tua, custodiri nimis.

5. Utinam dirigantur viæ meæ ad custodiendas justificationes tuas!

6. Tunc non confundar, dum inspicio in omnia mandata tua.

7. Confitebor tibi in directione cordis, in eo quod didici judicia justitiæ tuæ :

8. Justificationes tuas custodiam : ne derelinquas me usque valde.

9. In quo corriget adolescentior vias suas? In custodiendo sermones tuos.

10. In toto corde meo exquisivi te, ne me repellas a mandatis tuis.

11. In corde meo abscondi eloquia tua, ut non peccem tibi.

12. Benedictus es, Domine, doce me justificationes tuas.

13. In labiis meis pronuntiavi omnia judicia oris tui.

14. In via testimoniorum tuorum delectatus sum, sicut in omnibus divitiis.

15. In mandatis tuis exercebor, et considerabo vias tuas.

16. In justificationibus tuis meditabor, non obliviscar sermones tuos.

17. Retribue servo tuo, vivam et custodiam sermones tuos.

18. Revela oculos meos, et considerabo mirabilia de lege tua.

19. Incola ego sum in terra, ne abscondas a me mandata tua.

20. Concupivit anima mea desiderare judicia tua in omni tempore.

21. Increpasti superbos, maledicti qui declinant a mandatis tuis.

22. Aufer a me opprobrium et contemptum, quia testimonia tua exquisivi.

23. Etenim sederunt principes, et adversus me obloquebantur : servus autem tuus exercebatur in justificationibus tuis.

24. Nam et testimonia tua meditatio mea est, et consilia mea justificationes tuæ.

25. Adhæsit pavimento anima mea, vivifica me secundum verbum tuum.

26. Vias meas enuntiavi et exaudisti me, doce me justificationes tuas.

27. Viam justificationum tuarum fac me intelligere, et exercebor in mirabilibus tuis.

28. Dormitavit anima mea præ tædio, confirma me in verbis tuis.

29. Viam iniquitatis amove a me, et lege tua miserere mei.

30. Viam veritatis elegi, et judicia tua non sum oblitus.

31. Adhæsi testimoniis tuis, Domine : noli me confundere.

32. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

33. Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

34. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

35. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

36. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

37. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

38. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

39. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

40. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

41. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε· τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

42. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

43. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

44. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

45. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

46. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

47. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα.

48. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

49. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

50. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

51. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

52. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

53. Ἀθυμία κατέσχε με, ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

54. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

55. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε· καὶ ἐφύλαξα τὸν νόμον σου.

56. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

57. Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

58. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

59. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

60. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

32. Viam mandatorum tuorum cucurri, cum dilatasti cor meum.

33. Legem pone mihi, Domine, viam justificationum tuarum, et exquiram eam semper.

34. Da mihi intellectum, et scrutabor legem tuam, et custodiam illam in toto corde meo.

35. Deduc me in semita mandatorum tuorum, quia ipsam volui.

36. Inclina cor meum in testimonia tua, et non in avaritiam.

37. Averte oculos meos ne videant vanitatem, in via tua vivifica me.

38. Statue servo tuo eloquium tuum in timorem tuum.

39. Amputa opprobrium meum quod suspicatus sum, quia judicia tua jucunda.

40. Ecce concupivi mandata tua, in tua justitia vivifica me.

41. Et veniat super me misericordia tua, Domine: salutare tuum secundum verbum tuum.

42. Et respondebo exprobrantibus mihi verbum, quia speravi in sermonibus tuis.

43. Et ne auferas de ore meo verbum veritatis usque valde, quia in judiciis tuis supersperavi.

44. Et custodiam legem tuam semper, in sæculum et in sæculum sæculi.

45. Et ambulabam in latitudine, quia mandata tua exquisivi.

46. Et loquebar in testimoniis tuis in conspectu regum, et non confundebar.

47. Et meditabar in mandatis tuis, quæ dilexi nimis.

48. Et levavi manus meas ad mandata tua quæ dilexi, et exercebar in justificationibus tuis.

49. Memento verborum tuorum servo tuo, in quibus mihi spem dedisti.

50. Hæc me consolata est in humilitate mea, quia eloquium tuum vivificavit me.

51. Superbi inique agebant usque valde: a lege autem tua non declinavi.

52. Memor fui judiciorum tuorum a sæculo, Domine, et consolatus sum.

53. Tædium tenuit me, a peccatoribus derelinquentibus legem tuam.

54. Cantabiles mihi erant justificationes tuæ in loco incolatus mei.

55. Memor fui in nocte nominis tui, Domine: et custodivi legem tuam.

56. Hæc facta est mihi, quia justificationes tuas exquisivi.

57. Portio mea es, Domine: dixi custodire legem tuam.

58. Deprecatus sum faciem tuam in toto corde meo, miserere mei secundum eloquium tuum.

59. Cogitavi vias tuas, et converti pedes meos in testimonia tua.

60. Paratus sum et non sum turbatus, ad custodiendum mandata tua.

61. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

62. Μεσονύκτιον ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

63. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

64. Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

65. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

66. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

67. Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

68. Χρηστὸς εἶ σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

69. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

70. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

71. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

72. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

73. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

74. Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

75. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

76. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

77. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

78. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

79. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

80. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

81. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

82. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· Πότε παρακαλέσεις με;

83. Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

84. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

85. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

86. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

87. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

88. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

89. Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ,

90. εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

61. Funes peccatorum circumplexi sunt me, et legem tuam non sum oblitus.

62. Media nocte surgebam, ad confitendum tibi super judicia justitiæ tuæ.

63. Particeps ego sum omnium timentium te, et custodientium mandata tua.

64. Misericordia tua, Domine, plena est terra, justificationes tuas doce me.

65. Bonitatem fecisti cum servo tuo, Domine, secundum verbum tuum.

66. Bonitatem et disciplinam et scientiam doce me, quia mandatis tuis credidi.

67. Priusquam humiliarer ego deliqui, propterea eloquium tuum custodivi.

68. Bonus es tu, Domine, et in bonitate tua doce me justificationes tuas.

69. Multiplicata est super me iniquitas superborum, ego autem in toto corde meo scrutabor mandata tua.

70. Coagulatum est sicut lac cor eorum, ego vero legem tuam meditatus sum.

71. Bonum mihi quia humiliasti me, ut discam justificationes tuas.

72. Bona mihi lex oris tui, super millia auri et argenti.

73. Manus tuæ fecerunt me et plasmaverunt me, da mihi intellectum et discam mandata tua.

74. Qui timent te videbunt me et lætabuntur, quia in verba tua supersperavi.

75. Cognovi, Domine, quia justitia judicia tua, et veritate humiliasti me.

76. Fiat nunc misericordia tua ut consoletur me secundum eloquium tuum servo tuo.

77. Veniant mihi miserationes tuæ, et vivam, quia lex tua meditatio mea est.

78. Confundantur superbi, quoniam injuste iniquitatem fecerunt in me : ego autem exercebor in mandatis tuis.

79. Convertantur ad me qui timent te, et qui cognoscunt testimonia tua.

80. Fiat cor meum immaculatum in justificationibus tuis, ut non confundar.

81. Defecit in salutare tuum anima mea, in verba tua supersperavi.

82. Defecerunt oculi mei in eloquium tuum, dicentes : Quando consolaberis me?

83. Quia factus sum sicut uter in pruina, justificationes tuas non sum oblitus.

84. Quot sunt dies servi tui, quando facies mihi de persequentibus me judicium?

85. Narraverunt mihi iniqui fabulationes, sed non ut lex tua, Domine.

86. Omnia mandata tua veritas : injuste persecuti sunt me, adjuva me.

87. Paulo minus consummaverunt me in terra, ego autem non dereliqui mandata tua.

88. Secundum misericordiam tuam vivifica me, et custodiam testimonia oris tui.

89. In æternum, Domine, verbum tuum permanet in cœlo,

90. in generationem et generationem veritas tua : fundasti terram et permanet.

91. Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.
92. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.
93. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.
94. Σός εἰμι ἐγὼ, σῶσόν με· ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.
95. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα.
96. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.
97. Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί.
98. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.
99. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.
100. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.
101. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.
102. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.
103. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.
104. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.
105. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.
106. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.
107. Ἐταπεινώθην ἕως σφόδρα, Κύριε· ζῆσόν με κατὰ τὸν λόγον σου.
108. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.
109. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
110. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.
111. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.
112. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα, δι' ἀντάμειψιν.
113. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.
114. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σὺ, εἰς τοὺς λόγους σου ἐπήλπισα.
115. Ἐκκλίνατε ἀπ' ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.
116. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προςδοκίας μου.
117. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.
118. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.
119. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.
120. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

91. Ordinatione tua perseverat dies, quoniam omnia serviunt tibi.
92. Nisi quod lex tua meditatio mea est, tunc utique periissem in humilitate mea.
93. In æternum non obliviscar justificationes tuas, quia in ipsis vivificasti me.
94. Tuus sum ego, salvum me fac : quoniam justificationes tuas exquisivi.
95. Me sustinuerunt peccatores ut perderent me, testimonia tua intellexi.
96. Omnis consummationis vidi finem, latum mandatum tuum valde.
97. Quomodo dilexi legem tuam, Domine : tota die meditatio mea est.
98. Super inimicos meos sapere me fecisti mandatum tuum, quoniam in æternum meum est.
99. Super omnes docentes me intellexi, quia testimonia tua meditatio mea est.
100. Super seniores intellexi, quia mandata tua exquisivi.
101. Ab omni via mala prohibui pedes meos, ut custodiam verba tua.
102. A judiciis tuis non declinavi, quia tu legem posuisti mihi.
103. Quam dulcia faucibus meis eloquia tua! super mel ori meo.
104. A mandatis tuis intellexi, propterea odio habui omnem viam iniquitatis.
105. Lucerna pedibus meis lex tua, et lumen semitis meis.
106. Juravi et statui custodire judicia justitiæ tuæ.
107. Humiliatus sum usque valde, Domine : vivifica me secundum verbum tuum.
108. Voluntaria oris mei beneplacita fac, Domine, et judicia tua doce me.
109. Anima mea in manibus tuis semper, et legis tuæ non sum oblitus.
110. Posuerunt peccatores laqueum mihi, et a mandatis tuis non erravi.
111. Hæreditate acquisivi testimonia tua in æternum, quia exsultatio cordis mei sunt.
112. Inclinavi cor meum ad faciendas justificationes tuas in æternum, propter retributionem.
113. Iniquos odio habui, et legem tuam dilexi.
114. Adjutor meus et susceptor meus es tu, in verba tua supersperavi.
115. Declinate a me, maligni, et scrutabor mandata Dei mei.
116. Suscipe me secundum eloquium tuum et vivifica me, et ne confundas me ab exspectatione mea.
117. Adjuva me, et salvus ero, et meditabor in justificationibus tuis semper.
118. Ad nihilum deduxisti omnes discedentes a justificationibus tuis, quia injusta cogitatio eorum.
119. Prævaricantes reputavi omnes peccatores terræ, ideo dilexi testimonia tua.
120. Confige clavis a timore tuo carnes meas, a judiciis enim tuis timui.

121. Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.
122. Ἔνδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.
123. Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.
124. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.
125. Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου.
126. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.
127. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.
128. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.
129. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή μου.
130. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.
131. Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.
132. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.
133. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.
134. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.
135. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.
136. Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.
137. Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.
138. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.
139. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.
140. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.
141. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.
142. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.
143. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, ἐντολαί σου μελέτη μου.
144. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι.
145. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε· τὰ δικαιώματά σου ἐκζητήσω.
146. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.
147. Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.
148. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου.
149. Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με.
150. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

121. Feci judicium et justitiam, ne tradas me iis qui mihi injuriam faciunt.
122. Excipe servum tuum in bonum, non calumnientur me superbi.
123. Oculi mei defecerunt in salutare tuum, et in eloquium justitiæ tuæ.
124. Fac cum servo tuo secundum misericordiam tuam, et justificationes tuas doce me.
125. Servus tuus sum ego, da mihi intellectum et sciam testimonia tua.
126. Tempus faciendi Domino, dissipaverunt legem tuam.
127. Ideo dilexi mandata tua super aurum et topazion.
128. Propterea ad omnia mandata tua dirigebar, omnem viam iniquam odio habui.
129. Mirabilia testimonia tua, ideo scrutata est ea anima mea.
130. Manifestatio sermonum tuorum illuminabit et intelligere faciet parvulos.
131. Os meum aperui, et attraxi spiritum, quia mandata tua desiderabam.
132. Respice in me et miserere mei, secundum judicium diligentium nomen tuum.
133. Gressus meos dirige secundum eloquium tuum, et non dominetur mei omnis iniquitas.
134. Redime me a calumnia hominum, et custodiam mandata tua.
135. Faciem tuam illumina super servum tuum, et doce me justificationes tuas.
136. Exitus aquarum descenderunt (*descendere fecerunt*) oculi mei, quia non custodivi legem tuam.
137. Justus es, Domine, et recta judicia tua.
138. Mandasti justitiam testimonia tua, et veritatem valde.
139. Tabefecit me zelus tuus, quia obliti sunt verba tua inimici mei.
140. Ignitum eloquium tuum valde, et servus tuus dilexit illud.
141. Junior ego sum et contemptus, justificationes tuas non sum oblitus.
142. Justitia tua justitia in æternum, et lex tua veritas.
143. Tribulatio et necessitates invenerunt me, mandata tua meditatio mea est.
144. Justitia testimonia tua in æternum, intellectum da mihi, et vivam.
145. Clamavi in toto corde meo, exaudi me, Domine : justificationes tuas exquiram.
146. Clamavi tibi, salvum me fac, et custodiam testimonia tua.
147. Præveni in immaturitate et clamavi, in verba tua supersperavi.
148. Prævenerunt oculi mei ad matutinum, ut meditarer eloquia tua.
149. Vocem meam audi, Domine, secundum misericordiam tuam, secundum judicium tuum vivifica me.
150. Appropinquaverunt persequentes me iniquitate, a lege autem tua longe facti sunt.

151. Ἐγγὺς εἶ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.
152. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.
153. Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
154. Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.
155. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.
156. Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε· κατὰ τὸ κρῖμά σου ζῆσόν με.
157. Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.
158. Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.
159. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε· ἐν τῷ ἐλέει σου ζῆσόν με.
160. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.
161. Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.
162. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.
163. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.
164. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
165. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.
166. Προςεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.
167. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.
168. Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.
169. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.
170. Εἰςέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.
171. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.
172. Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.
173. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.
174. Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.
175. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.
176. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

151. Prope es, Domine, et omnes viæ tuæ veritas
152. Initio cognovi de testimoniis tuis, quia in æternum fundasti ea.
153. Vide humilitatem meam et eripe me, quia legem tuam non sum oblitus.
154. Judica judicium meum et redime me, propter verbum tuum vivifica me.
155. Longe a peccatoribus salus, quia justificationes tuas non exquisierunt.
156. Miserationes tuæ multæ, Domine: secundum judicium tuum vivifica me.
157. Multi qui persequuntur me et tribulant me, a testimoniis tuis non declinavi.
158. Vidi insensatos et tabescebam, quia eloquia tua non custodierunt.
159. Vide quoniam mandata tua dilexi, Domine: in misericordia tua vivifica me.
160. Principium verborum tuorum veritas, et in æternum omnia judicia justitiæ tuæ.
161. Principes persecuti sunt me gratis, et a verbis tuis formidavit cor meum.
162. Exsultabo ego super eloquia tua, sicut qui invenit spolia multa.
163. Injustitiam odio habui et abominatus sum, legem autem tuam dilexi.
164. Septies in die laudavi te super judicia justitiæ tuæ.
165. Pax multa diligentibus legem tuam, et non est eis scandalum.
166. Exspectabam salutare tuum, Domine, et mandata tua dilexi.
167. Custodivit anima mea testimonia tua, et dilexit ea valde.
168. Custodivi mandata tua et testimonia tua, quia omnes viæ meæ in conspectu tuo, Domine.
169. Appropinquet oratio mea in conspectu tuo, Domine, secundum eloquium tuum da mihi intellectum.
170. Intret postulatio mea in conspectu tuo, Domine, secundum eloquium tuum eripe me.
171. Eructent labia mea hymnum, cum docueris me justificationes tuas.
172. Pronuntiet lingua mea eloquia tua, quia omnia mandata tua justitia.
173. Fiat manus tua ut salvet me, quia mandata tua elegi.
174. Concupivi salutare tuum, Domine, et lex tua meditatio mea est.
175. Vivet anima mea et laudabit te, et judicia tua adjuvabunt me.
176. Erravi sicut ovis perdita, quære servum tuum, quia mandata tua non sum oblitus.

ΡΙΘ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Πρὸς Κύριον, ἐν τῷ θλίβεσθαί με, ἐκέκραξα· καὶ εἰςήκουσέ μου.
2. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

CXIX.

Canticum graduum.

1. Ad Dominum, cum tribularer, clamavi: et exaudivit me.
2. Domine, erue animam meam a labiis injustis et a lingua dolosa.

3. Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;
4. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.
5. Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.
6. Πολλὰ παρῴκησεν ἡ ψυχή μου.
7. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

3. Quid detur tibi et quid apponatur tibi ad linguam dolosam?
4. Sagittæ potentis acutæ cum carbonibus desolatoriis.
5. Heu me quia incolatus meus prolongatus est, inhabitavi cum tabernaculis Cedar.
6. Multum incola fuit anima mea.
7. Cum his qui oderunt pacem eram pacificus : cum loquebar illis, impugnabant me gratis.

ΡΚ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.
2. Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
3. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.
4. Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.
5. Κύριος φυλάξει σε, Κύριος σκέπη σου, ἐπὶ χεῖρα δεξιάν σου.
6. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.
7. Κύριος φυλάξαι σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.
8. Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

CXX.

Canticum graduum.

1. Levavi oculos meos ad montes, unde veniet auxilium meum.
2. Auxilium meum a Domino qui fecit cœlum et terram.
3. Non des in commotionem pedem tuum, neque dormiet qui custodit te.
4. Ecce non dormitabit neque obdormiet qui custodit Israel.
5. Dominus custodiet te, Dominus protectio tua, super manum dexteram tuam.
6. Per diem sol non uret te, neque luna per noctem.
7. Dominus custodiat te ab omni malo, custodiet animam tuam Dominus.
8. Dominus custodiet introitum tuum et exitum tuum, ex hoc nunc et usque in sæculum.

ΡΚΑ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα.
2. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.
3. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπιτοαυτό.
4. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.
5. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυίδ.
6. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.
7. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.
8. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.
9. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐζήτησα ἀγαθά σοι.

CXXI.

Canticum graduum.

1. Lætatus sum in iis qui dixerunt mihi, in domum Domini ibimus.
2. Stantes erant pedes nostri in atriis tuis, Jerusalem.
3. Jerusalem quæ ædificatur ut civitas, cujus participatio ejus in idipsum.
4. Illuc enim ascenderunt tribus, tribus Domini, testimonium Israel, ad confitendum nomini Domini.
5. Quoniam ibi sederunt sedes in judicium, sedes super domum David.
6. Interrogate quæ ad pacem sunt Jerusalem, et abundantia diligentibus te.
7. Fiat pax in virtute tua, et abundantia in turribus tuis.
8. Propter fratres meos et proximos meos loquebar pacem de te.
9. Propter domum Domini Dei nostri, quæsivi bona tibi.

ΡΚΒ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

CXXII.

Canticum graduum.

1. Ad te levavi oculos meos qui habitas in cœlo.

2. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

3. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

4. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

2. Ecce sicut oculi servorum ad manus dominorum suorum, sicut oculi ancillæ ad manus dominæ suæ : ita oculi nostri ad Dominum Deum nostrum, donec misereatur nostri.

3. Miserere nostri, Domine, miserere nostri : quoniam multum repleti sumus despectione.

4. In plurimum repleta est anima nostra, opprobrium abundantibus et despectio superbis.

ΡΚΓ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ·

2. εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς,

3. ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς,

4. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.

5. Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

6. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

7. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.

8. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

CXXIII.

Canticum graduum.

1. Nisi quia Dominus erat in nobis, dicat nunc Israel :

2. nisi quia Dominus erat in nobis, cum insurgerent homines super nos,

3. forsitan vivos deglutissent nos. Cum irasceretur furor eorum super nos,

4. forsitan aqua absorbuisset nos.

5. Torrentem pertransivit anima nostra : fortasse pertransivit anima nostra aquam intolerabilem.

6. Benedictus Dominus, qui non dedit nos in venationem dentibus eorum.

7. Anima nostra sicut passer erepta est de laqueo venantium : laqueus contritus est, et nos eruti sumus.

8. Auxilium nostrum in nomine Domini, qui fecit cœlum et terram.

ΡΚΔ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν

2. Ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

3. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων· ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

4. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

5. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

CXXIV.

Canticum graduum.

1. Qui confidunt in Domino sicut mons Sion : non commovebitur in æternum qui habitat

2. in Jerusalem. Montes in circuitu ejus, et Dominus in circuitu populi sui, ex hoc nunc et usque in sæculum.

3. Quia non relinquet Dominus virgam peccatorum super sortem justorum : ut non extendant justi ad iniquitates manus suas.

4. Benefac, Domine, bonis et rectis corde.

5. Declinantes autem in strangulationes abducet Dominus cum operantibus iniquitatem : pax super Israel.

ΡΚΕ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

2. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν.

3. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

4. Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

5. Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι.

CXXV.

Canticum graduum.

1. Cum converteret Dominus captivitatem Sion facti sumus sicut consolati.

2. Tunc repletum est gaudio os nostrum, et lingua nostra exsultatione. Tunc dicent inter gentes : Magnificavit Dominus facere cum eis.

3. Magnificavit Dominus facere nobiscum, facti sumus lætantes.

4. Converte, Domine, captivitatem nostram sicut torrentes in austro.

5. Qui seminant in lacrymis in exsultatione metent.

6. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

6. Euntes ibant et flebant, mittentes semina sua · venientes autem venient in exsultatione, portantes manipulos suos.

ΡΚϚ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.
2. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.
3. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.
4. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
5. Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

CXXVI.

Canticum graduum.

1. Nisi Dominus ædificaverit domum, in vanum laboraverunt ædificantes. Nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit.
2. In vanum est vobis ante lucem surgere : surgite postquam sederitis, qui manducatis panem doloris, cum dederit dilectis suis somnum.
3. Ecce hæreditas Domini filii, merces fructus ventris.
4. Sicut sagittæ in manu potentis, ita filii excussorum.
5. Beatus qui implebit desiderium suum ex eis : non confundentur, cum loquentur inimicis suis in porta.

ΡΚΖ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.
2. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ καὶ καλῶς σοι ἔσται.
3. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.
4. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.
5. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.
6. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

CXXVII.

Canticum graduum.

1. Beati omnes qui timent Dominum, qui ambulant in viis ejus.
2. Labores palmarum tuarum manducabis, beatus es et bene tibi erit.
3. Uxor tua sicut vitis abundans in lateribus domus tuæ : filii tui sicut novellæ olivarum in circuitu mensæ tuæ.
4. Ecce sic benedicetur homo qui timet Dominum.
5. Benedicat te Dominus ex Sion, et videas bona Jerusalem omnibus diebus vitæ tuæ.
6. Et videas filios filiorum tuorum : pax super Israel.

ΡΚΗ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ.
2. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.
3. Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοὶ, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.
4. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.
5. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.
6. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·
7. οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.
8. Καὶ οὐκ εἶπαν οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

CXXVIII.

Canticum graduum.

1. Sæpe impugnaverunt me a juventute mea, dicat nunc Israel.
2. Sæpe impugnaverunt me a juventute mea, etenim non potuerunt mihi.
3. Supra dorsum meum fabricaverunt peccatores, prolongaverunt iniquitatem suam.
4. Dominus justus concidit cervices peccatorum.
5. Confundantur et avertantur retrorsum omnes qui oderunt Sion.
6. Fiant sicut fœnum tectorum, quod priusquam evellatur exaruit :
7. de quo non implevit manum suam qui metit, et sinum suum qui manipulos colligit.
8. Et non dixerunt qui præteribant : Benedictio Domini super vos, benediximus vos in nomine Domini.

ΡΚΘ'.

Ὠδὴ τῶν ἀναβαθμῶν

1. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε,

CXXIX.

Canticum graduum.

1. De profundis clamavi tibi, Domine,

2. Κύριε, εἰςάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προςέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
3. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;
4. Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν· ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου,
5. ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
6. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
7. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις.
8. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

2. Domine, exaudi vocem meam. Fiant aures tuæ intendentes in vocem deprecationis meæ.
3. Si iniquitates observaveris, Domine, Domine, quis sustinebit?
4. Quoniam apud te propitiatio est: propter nomen tuum sustinui te, Domine. Sustinuit anima mea in verbum tuum,
5. speravit anima mea in Dominum.
6. A custodia matutina usque ad noctem, speret Israel in Dominum.
7. Quoniam apud Dominum misericordia, et multa apud illum redemptio.
8. Et ipse redimet Israel ex omnibus iniquitatibus ejus.

ΡΛ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.
2. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου· ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.
3. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

CXXX.

Canticum graduum.

1. Domine, non est exaltatum cor meum, neque in altum elati sunt oculi mei. Neque ambulavi in magnis, neque in mirabilibus super me.
2. Si non humiliter sentiebam, sed exaltavi animam meam: sicut ablactatus super matrem suam, sic retribues in animam meam.
3. Speret Israel in Domino, ex hoc nunc et usque in sæculum.

ΡΛΑ'.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.
2. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.
3. Εἰ εἰςελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου·
4. εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν,
5. καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.
6. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.
7. Εἰςελευσώμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προςκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.
8. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.
9. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.
10. Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόςωπον τοῦ Χριστοῦ σου.
11. Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
12. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς· καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.
13. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
14. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω ὅτι ᾑρετισάμην αὐτήν.

CXXXI.

Canticum graduum.

1. Memento, Domine, David, et omnis mansuetudinis ejus.
2. Sicut juravit Domino, votum vovit Deo Jacob.
3. Si introiero in tabernaculum domus meæ, si ascendero super lectum strati mei:
4. si dedero somnum oculis meis, et palpebris meis dormitationem,
5. et requiem temporibus meis, donec inveniam locum Domino, tabernaculum Deo Jacob.
6. Ecce audivimus eam in Ephrata, invenimus eam in campis sylvæ.
7. Intremus in tabernacula ejus, adoremus in loco ubi steterunt pedes ejus.
8. Surge, Domine, in requiem tuam, tu et arca sanctificationis tuæ.
9. Sacerdotes tui induentur justitiam, et sancti tui exsultabunt.
10. Propter David servum tuum, non avertas faciem Christi sui.
11. Juravit Dominus David veritatem, et non frustrabitur eam: De fructu ventris tui ponam super sedem tuam.
12. Si custodierint filii tui testamentum meum, et testimonia mea hæc quæ docebo eos: et filii eorum usque in sæculum sedebunt super sedem tuam.
13. Quoniam elegit Dominus Sion, prælegit eam in habitationem sibi.
14. Hæc requies mea in sæculum sæculi, hic habitabo quoniam prælegi eam

15. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.
16. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.
17. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.
18. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

15. Venationem ejus benedicens benedicam, pauperes ejus saturabo panibus.
16. Sacerdotes ejus induam salute, et sancti ejus exsultatione exsultabunt.
17. Ibi suscitabo cornu David, paravi lucernam Christo meo.
18. Inimicos ejus induam confusione, super ipsum autem efflorebit sanctificatio mea.

ΡΛΒʹ.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό;
2. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.
3. Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

CXXXII.

Canticum graduum.

1. Ecce nunc quid bonum, vel quid jucundum, nisi habitare fratres in unum?
2. Sicut unguentum in capite quod descendit in barbam, barbam Aaron, quod descendit in oram vestimenti ejus.
3. Sicut ros Aermon qui descendit super montes Sion. Quoniam ibi mandavit Dominus benedictionem, vitam usque in sæculum.

ΡΛΓʹ.

Ὠδὴ τῶν ἀναβαθμῶν.

1. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
2. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.
3. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

CXXXIII.

Canticum graduum

1. Ecce nunc benedicite Dominum, omnes servi Domini, qui statis in domo Domini, in atriis domus Dei nostri.
2. In noctibus extollite manus vestras in sancta, et benedicite Dominum.
3. Benedicat te Dominus ex Sion, qui fecit cœlum et terram.

ΡΛΔʹ.

Ἀλληλούϊα.

1. Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον.
2. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
3. Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθὸς Κύριος, ψάλατε τῷ ὀνόματι αὐτοῦ ὅτι καλόν.
4. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.
5. Ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.
6. Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.
7. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.
8. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.
9. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.
10. Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς·
11. τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ πάσας τὰς βασιλείας Χαναάν.
12. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.

CXXXIV.

Alleluia.

1. Laudate nomen Domini, laudate, servi, Dominum.
2. Qui statis in domo Domini, in atriis domus Dei nostri.
3. Laudate Dominum quia bonus Dominus, psallite nomini ejus quoniam decens.
4. Quoniam Jacob elegit sibi Dominus, Israel in possessionem sibi.
5. Quoniam ego cognovi quod magnus est Dominus, et Deus noster super omnes deos.
6. Omnia quæcumque voluit Dominus fecit in cœlo et in terra, in maribus et in omnibus abyssis.
7. Educens nubes ab extremo terræ, fulgura in pluviam fecit. Qui educit ventos de thesauris suis.
8. Qui percussit primogenita Ægypti ab homine usque ad pecus.
9. Emisit signa et prodigia sua in medio tui, Ægypte, in Pharaonem et in omnes servos ejus.
10. Qui percussit gentes multas, et occidit reges fortes:
11. Seon regem Amorrhæorum, et Og regem Basan, et omnia regna Chanaan.
12. Et dedit terram eorum hæreditatem, hæreditatem Israel populo suo.

13. Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
15. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.
16. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐχ ὄψονται.
17. Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
18. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
19. Οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρὼν, εὐλογήσατε τὸν Κύριον.
20. Οἶκος Λευὶ, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.
21. Εὐλογητὸς Κύριος ἐν Σιὼν, ὁ κατοικῶν Ἱερουσαλήμ.

13. Domine, nomen tuum in sæculum, et memoriale tuum in generationem et generationem.
14. Quoniam judicabit Dominus populum suum, et in servis suis deprecabitur.
15. Idola gentium argentum et aurum, opera manuum hominum.
16. Os habent et non loquentur, oculos habent et non videbunt.
17. Aures habent et non audient, neque enim est spiritus in ore ipsorum.
18. Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis.
19. Domus Israel, benedicite Dominum : domus Aaron, benedicite Dominum.
20. Domus Levi, benedicite Dominum : qui timetis Dominum, benedicite Dominum.
21. Benedictus Dominus in Sion, qui habitat in Jerusalem.

ΡΛΕ'.

Ἀλληλούϊα.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
4. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
5. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
6. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
7. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
8. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
9. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
10. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
11. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
12. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
13. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
14. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
15. Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
16. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
17. Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
18. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιοὺς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

CXXXV.

Alleluia.

1. Confitemini Domino quoniam bonus, quoniam in sæculum misericordia ejus.
2. Confitemini Deo deorum, quoniam in sæculum misericordia ejus.
3. Confitemini Domino dominorum, quoniam in sæculum misericordia ejus.
4. Qui facit mirabilia magna solus, quoniam in sæculum misericordia ejus.
5. Qui fecit cœlos in intellectu, quoniam in sæculum misericordia ejus.
6. Qui firmavit terram super aquas, quoniam in sæculum misericordia ejus.
7. Qui fecit luminaria magna solus, quoniam in sæculum misericordia ejus.
8. Solem in potestatem diei, quoniam in sæculum misericordia ejus.
9. Lunam et stellas in potestatem noctis, quoniam in sæculum misericordia ejus.
10. Qui percussit Ægyptum cum primogenitis eorum, quoniam in sæculum misericordia ejus.
11. Et qui eduxit Israel de medio eorum, quoniam in sæculum misericordia ejus.
12. In manu potenti et brachio excelso, quoniam in sæculum misericordia ejus.
13. Qui divisit mare rubrum in divisiones, quoniam in sæculum misericordia ejus.
14. Et traduxit Israel per medium ejus, quoniam in sæculum misericordia ejus.
15. Et excussit Pharaonem et virtutem ejus in mare rubrum, quoniam in sæculum misericordia ejus.
16. Qui traduxit populum suum in deserto, quoniam in sæculum misericordia ejus.
17. Qui percussit reges magnos, quoniam in sæculum misericordia ejus.
18. Et occidit reges fortes, quoniam in sæculum misericordia ejus.

19. Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

20. Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

21. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

22. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

23. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

24. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

25. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

26. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

19. Seon regem Amorrhæorum, quoniam in sæculum misericordia ejus.

20. Et Og regem Basan, quoniam in sæculum misericordia ejus.

21. Et dedit terram eorum hæreditatem, quoniam in sæculum misericordia ejus.

22. Hæreditatem Israel servo suo, quoniam in sæculum misericordia ejus.

23. Quia in humilitate nostra memor fuit nostri Dominus, quoniam in sæculum misericordia ejus.

24. Et redemit nos ab inimicis nostris, quoniam in sæculum misericordia ejus.

25. Qui dat escam omni carni, quoniam in sæculum misericordia ejus.

26. Confitemini Deo cœli, quoniam in sæculum misericordia ejus.

ΡΛϚ'

Τῷ Δαυὶδ, Ἱερεμίου.

1. Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

2. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

3. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον· Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

4. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

5. Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου.

6. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

7. Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλήμ· τῶν λεγόντων· Ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.

8. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος· μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

9. Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

CXXXVI.

Ipsi David, Jeremiæ.

1. Super flumina Babylonis illic sedimus, et flevimus dum recordaremur Sion.

2. In salicibus in medio ejus suspendimus organa nostra.

3. Quoniam illic interrogaverunt nos qui captivos duxerunt nos verba canticorum, et qui abduxerunt nos, hymnum: Cantate nobis de canticis Sion.

4. Quomodo cantabimus canticum Domini in terra aliena?

5. Si oblitus fuero tui, Jerusalem, obliviscatur dextra mea.

6. Adhæreat lingua mea faucibus meis, si non meminero tui, si non præposuero Jerusalem sicut in principio lætitiæ meæ.

7. Memento, Domine, filiorum Edom in die Jerusalem: qui dicunt: Exinanite, exinanite usque ad fundamenta ejus.

8. Filia Babylonis misera: beatus qui retribuet tibi retributionem tuam, quam retribuisti nobis.

9. Beatus qui tenebit et allidet parvulos tuos ad petram.

ΡΛΖ'.

Ψαλμὸς τῷ Δαυὶδ, Ἀγγαίου καὶ Ζαχαρίου.

1. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

2. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου· ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

3. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου· πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου

4. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.

CXXXVII.

Psalmus ipsi David, Aggæi et Zachariæ.

1. Confitebor tibi, Domine, in toto corde meo, et coram angelis psallam tibi, quoniam audisti omnia verba oris mei.

2. Adorabo ad templum sanctum tuum, et confitebor nomini tuo, super misericordia tua et veritate tua: quoniam magnificasti super omne nomen sanctum tuum.

3. In quacumque die invocavero te, cito exaudi me: multiplicabis me in anima mea virtute tua.

4. Confiteantur tibi, Domine, omnes reges terræ, quoniam audierunt omnia verba oris tui.

5. Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου.

6. Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

7. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με· ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

8. Κύριε, ἀνταποδώσεις ὑπὲρ ἐμοῦ· Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

5. Et cantent in viis Domini, quoniam magna est gloria Domini.

6. Quoniam excelsus Dominus, et humilia respicit, et excelsa a longe cognoscit.

7. Si ambulavero in medio tribulationis, vivificabis me : super iram inimicorum meorum extendisti manus tuas, et salvum me fecit dextera tua.

8. Domine, retribues pro me : Domine, misericordia tua in sæculum : opera manuum tuarum ne despicias.

ΡΛΗ'.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.

1. Κύριε, ἐδοκίμασάς με, καὶ ἔγνως με·

2. σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου·

3. σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας,

4. καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ ἔστι λόγος ἄδικος ἐν γλώσσῃ μου.

5. Ἰδοὺ, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα· σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

6. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

7. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

8. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

9. Ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,

10. καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

11. Καὶ εἶπα· Ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

12. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς.

13. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε· ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

14. Ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

15. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτω τῆς γῆς.

16. Ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. Ἡμέρας πλασθήσονται καὶ οὐθεὶς ἐν αὐτοῖς.

17. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός· λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

18. Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.

19. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς, ὁ Θεός· ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ.

20. Ὅτι ἐρεῖς εἰς διαλογισμόν· Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.

21. Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην;

22. Τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι.

CXXXVIII.

In finem, psalmus ipsi David.

1. Domine, probasti me, et cognovisti me :

2. tu cognovisti sessionem meam, et resurrectionem meam :

3. tu intellexisti cogitationes meas de longe, semitam meam et funiculum meum investigasti,

4. et omnes vias meas prævidisti, quia non est sermo injustus in lingua mea.

5. Ecce, Domine, tu cognovisti omnia novissima et antiqua : tu formasti me et posuisti super me manum tuam.

6. Mirificata est scientia tua ex me, invaluit, non potero ad illam.

7. Quo ibo a spiritu tuo, et quo a facie tua fugiam?

8. Si ascendero in cœlum, tu illic es : si descendero in infernum, ades.

9. Si recipiam pennas meas diluculo, et habitavero in extremis maris,

10. nam et ibi manus tua deducet me, et tenebit me dextera tua.

11. Et dixi : Forsitan tenebræ conculcabunt me, et nox illuminatio in deliciis meis.

12. Quoniam tenebræ non obtenebrabuntur a te, et nox sicut dies illuminabitur : sicut tenebræ ejus, ita et lumen ejus.

13. Quoniam tu possedisti renes meos, Domine : suscepisti me de utero matris meæ.

14. Confitebor tibi quoniam terribiliter mirificatus es : mirabilia opera tua, et anima mea cognoscit valde.

15. Non est absconditum os meum a te quod fecisti in abscondito, et substantia mea in infimis terræ.

16. Inoperatum meum viderunt oculi tui, et in libro tuo omnes scribentur. Dies formabuntur et nemo in eis.

17. Mihi autem valde honorificati sunt amici tui, Deus : valde confortati sunt principatus eorum.

18. Dinumerabo eos et super arenam multiplicabuntur : exsurrexi, et adhuc sum tecum.

19. Si occideris, Deus, peccatores : viri sanguinum, declinate a me.

20. Quoniam dices in cogitatione : Accipient in vanitate civitates suas.

21. Nonne eos qui oderant te, Domine, odio habui, et super inimicos tuos tabescebam?

22. Perfecto odio oderam illos, inimici facti sunt mihi.

23. Δοκίμασόν με, ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου.

24. Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

23. Proba me, Deus, et cognosce cor meum: scrutare me, et cognosce semitas meas.

24. Et vide si via iniquitatis in me est, et deduc me in via æterna.

ΡΛΘʹ.

1. Εἰς τὸ τέλος, τῷ Δαυὶδ ψαλμός.

2. Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

3. Οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

4. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Διάψαλμα.

5. Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες ἐλογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου·

6. ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινία διέτειναν παγίδας τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι. Διάψαλμα.

7. Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.

8. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.

9. Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. Διάψαλμα.

10. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

11. (*) Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς, καὶ καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, οὐ μὴ ὑποστῶσιν.

12. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς· ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς καταφθοράν.

13. Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ, καὶ τὴν δίκην τῶν πενήτων.

14. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

CXXXIX.

1. In finem, ipsi David psalmus.

2. Exime me, Domine, ab homine maligno, a viro injusto erue me.

3. Qui cogitaverunt injustitias in corde, tota die constituebant prælia.

4. Acuerunt linguam suam sicut serpentis, venenum aspidum sub labiis eorum. *Diapsalma.*

5. Custodi me, Domine, de manu peccatoris, ab hominibus injustis erue me. Qui cogitaverunt supplantare gressus meos:

6. absconderunt superbi laqueum mihi, et funes extenderunt laqueos pedibus meis, juxta semitam scandalum posuerunt mihi. *Diapsalma.*

7. Dixi Domino: Deus meus es tu: auribus percipe, Domine, vocem deprecationis meæ.

8. Domine, Domine, virtus salutis meæ, obumbrasti super caput meum in die belli.

9. Ne tradas me, Domine, a desiderio meo peccatori: cogitaverunt adversus me, ne derelinquas me, nequando exaltentur. *Diapsalma.*

10. Caput circuitus eorum, labor labiorum ipsorum operiet eos.

11. Cadent super eos carbones ignis in terra, et dejicies eos in miseriis, non subsistent.

12. Vir linguosus non dirigetur super terram: virum injustum mala venabuntur in interitum.

13. Cognovi quia faciet Dominus judicium inopis, et causam pauperum.

14. Verumtamen justi confitebuntur nomini tuo, inhabitabunt recti cum vultu tuo.

ΡΜʹ.

Ψαλμὸς τῷ Δαυίδ.

1. Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

2. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

3. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

4. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδοιάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

5. Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.

6. Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κραταιοὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν.

CXL.

Psalmus David.

1. Domine, clamavi ad te, exaudi me: intende voci deprecationis meæ, cum clamavero ad te.

2. Dirigatur oratio mea sicut incensum in conspectu tuo: elevatio manuum mearum sacrificium vespertinum.

3. Pone, Domine, custodiam ori meo, et ostium circumstantiæ circa labia mea.

4. Ne declines cor meum in verba malitiæ, ad excusandas excusationes in peccatis, cum hominibus operantibus iniquitatem, et non communicabo cum electis eorum.

5. Corripiet me justus in misericordia et arguet me, oleum autem peccatoris non impinguet caput meum. Quoniam adhuc et oratio mea in beneplacitis eorum.

6. Absorpti sunt juxta petram potentes eorum. Audient verba mea quoniam dulcuerunt.

(*) 11. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες· ἐν πυρὶ καταβαλεῖς αὐτούς· ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν. (*Alex.*)

11. Cadent super eos carbones: in ignem dejicies eos: in miseriis non subsistent.

7. Ὡςεὶ πάχος γῆς διεῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην.

8. Ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

9. Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

10. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοὶ, καταμόνας εἰμὶ ἐγὼ ἕως οὗ ἂν παρέλθω.

7. Sicut crassitudo terræ dirupta est super terram, dissipata sunt ossa nostra secus infernum.

8. Quoniam ad te, Domine, Domine, oculi mei : in te speravi, ne auferas animam meam.

9. Custodi me a laqueo quem statuerunt mihi, et a scandalis operantium iniquitatem.

10. Cadent in retiaculo ejus peccatores, singulariter sum ego donec transeam.

ΡΜΑ'.

1. Συνέσεως τῷ Δαυὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προςευχή.

2. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

3. Ἐκχεῶ ἐναντίον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

4. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

5. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, ὅτι οὐκ ἦν ὁ ἐπιγινώσκων με. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

6. Πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων.

7. Πρόςχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα· ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

8. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, Κύριε· ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.

CXLI.

1. Intellectus ipsi David, cum esset in spelunca, oratio.

2. Voce mea ad Dominum clamavi, voce mea ad Dominum deprecatus sum.

3. Effundam ante eum precem meam, tribulationem meam in conspectu ejus annuntiabo.

4. In deficiendo ex me spiritum meum, et tu cognovisti semitas meas. In via hac qua ambulabam, absconderunt laqueum mihi.

5. Considerabam ad dexteram et videbam, quia non erat qui cognosceret me. Periit fuga a me, et non est qui requirat animam meam.

6. Ad te, Domine, clamavi, et dixi : Tu es spes mea, portio mea in terra viventium.

7. Intende ad deprecationem meam, quia humiliatus sum nimis : erue me a persequentibus me, quoniam corroborati sunt super me.

8. Educ de custodia animam meam, ut confiteatur nomini tuo, Domine : me substinebunt justi quoadusque retribuas mihi.

ΡΜΒ'.

Ψαλμὸς τῷ Δαυὶδ, ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκε.

1. Κύριε, εἰςάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·

2. καὶ μὴ εἰςέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

3. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωήν μου· ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος,

4. καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

5. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, καὶ ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

6. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Διάψαλμα.

7. Ταχὺ εἰςάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόςωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

8. Ἀκουστὸν ποίησόν μοι τοπρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

9. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον.

CXLII.

Psalmus ipsi David, quando eum filius persequebatur.

1. Domine, exaudi orationem meam, auribus percipe precem meam in veritate tua, exaudi me in tua justitia:

2. et non intres in judicium cum servo tuo, quia non justificabitur in conspectu tuo omnis vivens.

3. Quoniam persecutus est inimicus animam meam, humiliavit in terram vitam meam : collocavit me in tenebrosis sicut mortuos sæculi,

4. et anxiatus est super me spiritus meus, in me turbatum est cor meum.

5. Memoratus sum dierum antiquorum, et meditatus sum in omnibus operibus tuis, in facturis manuum tuarum meditabar.

6. Expandi manus meas ad te, anima mea sicut terra sine aqua tibi. *Diapsalma.*

7. Cito exaudi me, Domine, defecit spiritus meus : ne avertas faciem tuam a me, et similis ero descendentibus in lacum.

8. Auditam fac mihi mane misericordiam tuam, quia in te speravi : notam fac mihi, Domine, viam in qua ambulem, quoniam ad te levavi animam meam.

9. Exime me de inimicis meis, Domine, quia ad te confugi.

10. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι Θεός μου εἶ σύ· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν τῇ εὐθείᾳ.

11. Ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

12. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι δοῦλός σου εἰμὶ ἐγώ.

10. Doce me ut faciam voluntatem tuam, quia Deus meus es tu : spiritus tuus bonus deducet me in rectam.

11. Propter nomen tuum, Domine, vivificabis me, in tua justitia educes de tribulatione animam meam.

12. Et in tua misericordia disperdes inimicos meos, et perdes omnes qui tribulant animam meam, quoniam servus tuus sum ego.

ΡΜΓ'.

Τῷ Δαυὶδ πρὸς τὸν Γολιάδ.

1. Εὐλογητὸς Κύριος ὁ Θεός μου ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

2. Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου καὶ ἐπ' αὐτῷ ἤλπισα, ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.

3. Κύριε, τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτόν;

4. Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.

5. Κύριε, κλῖνον οὐρανούς σου καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.

6. Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.

7. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

8. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

9. Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

10. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.

11. Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

12. Ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

13. Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν·

14. οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν.

15. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

CXLIII.

Ipsi David ad Goliad.

1. Benedictus Dominus Deus meus qui docet manus meas ad prælium, digitos meos ad bellum.

2. Misericordia mea et refugium meum, susceptor meus et liberator meus, protector meus et in ipso speravi, subjiciens populum meum sub me.

3. Domine, quid est homo quia innotuisti ei, aut filius hominis quia reputas eum?

4. Homo vanitati similis factus est, dies ejus sicut umbra prætereunt.

5. Domine, inclina cœlos tuos et descende, tange montes et fumigabunt.

6. Corusca coruscationem et dissipabis eos, emitte sagittas tuas et conturbabis eos.

7. Emitte manum tuam ex alto, exime me et erue me de aquis multis, de manu filiorum alienorum.

8. Quorum os locutum est vanitatem, et dextera eorum dextera iniquitatis.

9. Deus, canticum novum cantabo tibi, in psalterio decachordo psallam tibi.

10. Qui dat salutem regibus, qui redimit David servum suum de gladio maligno.

11. Erue me et exime me de manu filiorum alienorum, quorum os locutum est vanitatem, et dextera eorum dextera iniquitatis.

12. Quorum filii sicut novellæ plantationes constabilitæ in juventute sua : filiæ eorum compositæ, circumornatæ ut similitudo templi.

13. Promptuaria eorum plena, eructantia ex hoc in hoc. Oves eorum fœtosæ, multiplicantes in egressibus suis :

14. boves eorum crassæ. Non est ruina sepis, neque transitus, neque clamor in villis eorum.

15. Beatum dixerunt populum cui hæc sunt, beatus populus cujus Dominus Deus ejus.

ΡΜΔ'.

Αἴνεσις τοῦ Δαυίδ.

1. Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

2. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

CXLIV.

Laudatio ipsi David.

1. Exaltabo te, Deus meus, rex meus, et benedicam nomen tuum in sæculum et in sæculum sæculi.

2. Per singulos dies benedicam te, et laudabo nomen tuum in sæculum et in sæculum sæculi.

3. Μέγας ὁ Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

4. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

5. Καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

6. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

7. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

8. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9. Χρηστὸς Κύριος τοῖς ὑπομένουσι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

10. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

11. Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.

12. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου

13. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

14. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους.

15. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

16. Ἀνοίγεις σὺ τὰς χεῖράς σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

17. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

18. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

19. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται, καὶ σώσει αὐτούς.

20. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

21. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΡΜΕ'.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

2. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ' ἄρχοντας,

3. καὶ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

4. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.

5. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ,

6. τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

7. τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους,

3. Magnus Dominus et laudabilis valde, et magnitudinis ejus non est finis.

4. Generatio et generatio laudabit opera tua, et virtutem tuam annuntiabunt.

5. Et magnificentiam gloriæ sanctitatis tuæ loquentur, et mirabilia tua narrabunt.

6. Et virtutem terribilium tuorum dicent, et magnitudinem tuam narrabunt.

7. Memoriam abundantiæ suavitatis tuæ eructabunt, et justitia tua exsultabunt.

8. Miserator et misericors Dominus, longanimis et multum misericors.

9. Suavis est Dominus sustinentibus, et miserationes ejus super omnia opera ejus.

10. Confiteantur tibi, Domine, omnia opera tua, et sancti tui benedicant te.

11. Gloriam regni tui dicent, et potentiam tuam loquentur.

12. Ut notam faciant filiis hominum potentiam tuam, et gloriam magnificentiæ regni tui.

13. Regnum tuum regnum omnium sæculorum, et dominatio tua in omni generatione et generatione. Fidelis Dominus in verbis suis, et sanctus in omnibus operibus suis.

14. Suffulcit Dominus omnes qui ruunt, et erigit omnes elisos.

15. Oculi omnium in te sperant, et tu das escam illorum in tempore opportuno.

16. Aperis tu manus tuas, et imples omne animal benedictione.

17. Justus Dominus in omnibus viis suis, et sanctus in omnibus operibus suis.

18. Prope est Dominus invocantibus eum, omnibus invocantibus eum in veritate.

19. Voluntatem timentium se faciet, et deprecationem eorum exaudiet, et salvos faciet eos.

20. Custodit Dominus omnes diligentes ipsum, et omnes peccatores disperdet.

21. Laudationem Domini loquetur os meum, et benedicat omnis caro nomen sanctum ejus in sæculum et in sæculum sæculi.

CXLV.

Alleluia. Aggæi et Zachariæ.

2. Lauda, anima mea, Dominum : laudabo Dominum in vita mea, psallam Deo meo quamdiu sum. Nolite confidere in principibus,

3. et in filiis hominum, quibus non est salus.

4. Exibit spiritus ejus, et revertetur in terram suam : in illa die peribunt omnes cogitationes eorum.

5. Beatus cujus Deus Jacob adjutor ejus, spes ejus in Domino Deo ipsius,

6. qui fecit cœlum et terram, mare et omnia quæ in eis sunt :

7. qui custodit veritatem in sæculum, facit judicium injuriam patientibus, dat escam esurientibus. Dominus solvit compeditos,

8. Κύριος σοφοῖ τυφλοὺς, Κύριος ἀνορθοῖ κατεῤῥαγμένους, Κύριος ἀγαπᾷ δικαίους,

9. Κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

10. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν.

8. Dominus sapientes facit cæcos, Dominus erigit elisos, Dominus diligit justos.

9. Dominus custodit proselytos. Pupillum et viduam suscipiet, et viam peccatorum exterminabit.

10. Regnabit Dominus in sæculum, Deus tuus, Sion, in generationem et generationem.

ΡΜϚ'.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

1. Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθὸν ψαλμὸς, τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.

2. Οἰκοδομῶν Ἱερουσαλὴν ὁ Κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.

3. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.

4. Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

5. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.

6. Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.

7. Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ·

8. τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετὸν, τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,

9. καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

10. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.

11. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν πᾶσι τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

CXLVI.

Alleluia. Aggæi et Zachariæ.

1. Laudate Dominum quoniam bonum est psalmus, Deo nostro jucunda sit laudatio.

2. Ædificans Jerusalem Dominus, et dispersiones Israelis congregabit.

3. Qui sanat contritos corde, et alligat contritiones eorum.

4. Qui numerat multitudines stellarum, et omnibus eis nomina vocat.

5. Magnus Dominus noster, et magna virtus ejus, et intelligentiæ ejus non est numerus.

6. Suscipiens mansuetos Dominus, humilians autem peccatores usque ad terram.

7. Incipite Domino in confessione, psallite Deo nostro in cithara :

8. qui cooperit cœlum in nubibus, qui parat terræ pluviam, qui exoriri facit in montibus fœnum, et herbam servituti hominum,

9. et dat pecoribus escam ipsorum, et pullis corvorum invocantibus eum.

10. Non in potentatu equi voluntatem habebit, neque in tibiis viri bene sentit.

11. Bene sentit Dominus in timentibus eum, et in omnibus qui sperant super misericordia ejus.

ΡΜΖ'.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

12. Ἐπαίνει, Ἱερουσαλὴμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών·

13. ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.

14. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.

15. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

16. Τοῦ διδόντος χιόνα ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.

17. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμοὺς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;

18. Ἀποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.

19. Ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.

20. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

CXLVII.

Alleluia. Aggæi et Zachariæ.

12. Collauda, Jerusalem, Dominum, lauda Deum tuum, Sion :

13. quoniam confirmavit vectes portarum tuarum, benedixit filios tuos in te.

14. Qui ponit fines tuos pacem, et adipe frumenti satiat te.

15. Qui emittit eloquium suum terræ, usque in velocitatem currit verbum ejus.

16. Qui dat nivem sicut lanam, nebulam sicut cinerem spargit.

17. Qui mittit crystallum suam sicut buccellas, ante faciem frigoris ejus quis subsistet ?

18. Emittet verbum suum, et liquefaciet ea : spirabit spiritus ejus, et fluent aquæ.

19. Qui annuntiat verbum suum Jacob, justificationes et judicia sua Israel.

20. Non fecit sic omni nationi, et judicia sua non manifestavit eis.

ΡΜΗ'.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

1. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

CXLVIII.

Alleluia. Aggæi et Zachariæ.

1. Laudate Dominum de cœlis, laudate eum in excelsis.

2. Αἰνεῖτε αὐτὸν, πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.
3. Αἰνεῖτε αὐτὸν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
4. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν
5. αἰνεσάτωσαν τὸν ὄνομα Κυρίου· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
6. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
7. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
8. Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
9. Τὰ ὄρη καὶ πάντες βουνοὶ, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.
10. Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
11. Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοὶ, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.
12. Νεανίσκοι καὶ παρθένοι, πρεσβύται μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου,
13. ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
14. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

2. Laudate eum, omnes angeli ejus, laudate eum, omnes virtutes ejus.
3. Laudate eum, sol et luna, laudate eum, omnes stellæ et lumen.
4. Laudate eum, cœli cœlorum, et aqua quæ super cœlos
5. laudent nomen Domini : quoniam ipse dixit et facta sunt, ipse mandavit et creata sunt.
6. Statuit ea in sæculum et in sæculum sæculi : præceptum posuit, et non præteribit.
7. Laudate Dominum de terra, dracones et omnes abyssi.
8. Ignis, grando, nix, glacies, spiritus tempestatis, facientia verbum ejus.
9. Montes et omnes colles, ligna fructifera et omnes cedri.
10. Bestiæ et omnia pecora, reptilia et volatilia pennata.
11. Reges terræ et omnes populi, principes et omnes judices terræ.
12. Juvenes et virgines, senes cum junioribus laudent nomen Domini,
13. quia exaltatum est nomen ejus solius.
14. Confessio ejus super cœlum et terram, et exaltabit cornu populi sui. Hymnus omnibus sanctis ejus, filiis Israel, populo appropinquanti sibi.

ΡΜΘʹ.

Ἀλληλούϊα.

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
2. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
3. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
4. Ὅτι εὐδοκεῖ Κύριος ἐν λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
5. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
6. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν·
7. τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς·
8. τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς·
9. τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

CXLIX.

Alleluia.

1. Cantate Domino canticum novum : laus ejus in ecclesia sanctorum.
2. Lætetur Israel in eo qui fecit eum, et filii Sion exsultent in rege suo.
3. Laudent nomen ejus in choro, in tympano et psalterio psallant ei.
4. Quia beneplacitum est Domino in populo suo, et exaltabit mansuetos in salute.
5. Exsultabunt sancti in gloria, et lætabuntur in cubilibus suis.
6. Exaltationes Dei in gutture eorum, et gladii ancipites in manibus eorum :
7. ad faciendam vindictam in nationibus, increpationes in populis :
8. ad alligandos reges eorum in compedibus, et nobiles eorum in manicis ferreis :
9. ad faciendum in eis judicium conscriptum : gloria hæc est omnibus sanctis ejus.

ΡΝʹ.

Ἀλληλούϊα.

1. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.
2. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
3. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

CL.

Alleluia.

1. Laudate Deum in sanctis ejus, laudate eum in firmamento virtutis ejus.
2. Laudate eum in potentatibus ejus, laudate eum secundum multitudinem magnitudinis ejus.
3. Laudate eum in sono tubæ, laudate eum in psalterio et cithara.

4. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
5. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
6. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

4. Laudate eum in tympano et choro, laudate eum in chordis et organo.
5. Laudate eum in cymbalis bene sonantibus, laudate eum in cymbalis jubilationis.
6. Omnis spiritus laudet Dominum.

ΠΑΡΟΙΜΙΑΙ

ΣΑΛΩΜΩΝΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Παροιμίαι Σαλωμῶντος υἱοῦ Δαυὶδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραὴλ,
2. γνῶναι σοφίαν καὶ παιδείαν,
3. νοῆσαί τε λόγους φρονήσεως, δέξασθαί τε στροφὰς λόγων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρῖμα κατευθύνειν·
4. ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν.
5. Τῶν δὲ γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται.
6. Νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.
7. Ἀρχὴ σοφίας φόβος Κυρίου· σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· εὐσέβεια δὲ εἰς Θεὸν ἀρχὴ αἰσθήσεως· σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.
8. Ἄκουε, υἱὲ, παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου.
9. Στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.
10. Υἱὲ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς.
11. Ἐὰν παρακαλέσωσί σε, λέγοντες· Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως,
12. καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς,
13. τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων·
14. τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν·
15. μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν. (*)
17. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς.
18. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά· ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή.

(*) 16. Οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν, καὶ ταχινοὶ τοῦ ἐκχέαι αἷμα. (*Alex.*)

PROVERBIA

SALOMONIS.

CAPUT I.

1. Proverbia Salomonis filii David, qui regnavit in Israel,
2. ad sciendam sapientiam et disciplinam,
3. et intelligendum verba prudentiæ, et suscipiendum versutias sermonum, et intelligendam justitiam veram, et judicium dirigendum :
4. ut det simplicibus astutiam, et puero novo et sensum et cogitationem.
5. Hæc enim audiens sapiens sapientior erit, intelligens autem rationem gubernandi possidebit.
6. Animadvertetque parabolam et tenebrosum sermonem, dictaque sapientum et ænigmata.
7. Principium sapientiæ timor Domini : intellectus autem bonus omnibus facientibus eum : pietas autem in Deum principium sensus : sapientiam autem et disciplinam impii despicient.
8. Audi, fili, disciplinam patris tui, et ne abjicias leges matris tuæ.
9. Coronam enim gratiarum recipies vertici tuo, et torquem aureum circa tuum collum.
10. Fili, ne te seducant viri impii, neque velis.
11. Si advocaverint te, dicentes : Veni nobiscum, particeps esto sanguinis, abscondamus autem in terram virum justum injuste,
12. deglutiamus autem eum sicut infernus viventem, et tollamus ejus memoriam de terra,
13. possessionem ejus pretiosam occupemus, impleamus autem domos nostras spoliis :
14. tuam autem sortem mitte in nobis, communem autem crumenam possideamus omnes et marsupium unum sit nobis :
15. ne ambules in via cum eis, declina autem pedem tuum a semitis eorum.
17. Non enim inique tenduntur retia avibus.
18. Ipsi enim qui homicidii participes sunt thesaurizant sibi ipsis mala : eversio autem virorum iniquorum mala.

16. Pedes enim illorum ad malum currunt, et veloces *sunt* ad effundendum sanguinem.

19. Αὗται αἱ ὁδοί εἰσι πάντων τῶν συντελούντων τὰ ἄνομα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.

20. Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει.

21. Ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται, ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει, ἐπὶ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει·

22. Ὅσον ἂν χρόνον ἄκακοι ἔχονται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται· οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ, ἀσεβεῖς γενόμενοι ἐμίσησαν αἴσθησιν,

23. καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. Ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον.

24. Ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπηκούσατε· καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε.

25. Ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε.

26. Τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, καταχαροῦμαι δὲ ἡνίκα ἔρχηται ὑμῖν ὄλεθρος,

27. καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι παρῇ, καὶ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία, ἢ ὅταν ἔρχηται ὑμῖν ὄλεθρος.

28. Ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν· ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν.

29. Ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ λόγον τοῦ Κυρίου οὐ προείλαντο,

30. οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους.

31. Τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται.

32. Ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ.

33. Ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

19. Hæ viæ sunt omnium consummantium iniqua : impietate enim suam ipsorum animam auferunt.

20. Sapientia in exitibus canitur, in plateis autem cum libertate agit.

21. Et super summos muros clamitat, et in portis dynastarum assidet, et in portis civitatis confidenter ait :

22. Quanto tempore simplices inhærent justitiæ, non erubescent : insipientes autem dum contumeliæ cupidi sunt, impii facti oderunt sensum,

23. et subjecti facti sunt opprobriis. Ecce proferam vobis mei spiritus dictionem, docebo autem vos meum sermonem.

24. Quoniam vocabam, et non obedistis : et extendebam verba, et non attendistis.

25. Sed irrita faciebatis mea consilia, et meis increpationibus rebelles fuistis.

26. Itaque et ego vestra perditione ridebo, gaudebo autem cum venerit vobis interitus,

27. et cum advenerit vobis subito tumultus, eversio autem similis procellæ affuerit, et cum venerit vobis tribulatio et oppressio, vel cum venerit vobis interitus.

28. Erit enim cum invocabitis me, ego autem non exaudiam vos : quærent me mali, et non invenient.

29. Oderunt enim sapientiam, verbum autem Domini non assumpserunt,

30. neque volebant meis attendere consiliis, subsannabant autem meas redargutiones.

31. Ergo comedent viæ suæ fructus, et sua ipsorum impietate saturabuntur.

32. Pro eo enim quod injuriam inferebant parvulis, occidentur, et examinatio impios perdet.

33. Qui autem me audit habitabit in spe, et quiescet sine timore ab omni malo.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ,

2. ὑπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν, παραβαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου.

3. Ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ, καὶ τῇ συνέσει δῷς φωνήν σου (τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ φωνῇ·)

4. καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον, καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτὴν,

5. τότε συνήσεις φόβον Κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις.

6. Ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις.

7. Καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν,

8. τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων, καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει.

9. Τότε συνήσεις δικαιοσύνην καὶ κρῖμα, καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς.

CAPUT II.

1. Fili, si suscipiens eloquium mei mandati absconderis penes te,

2. obediet sapientiæ auris tua, et abjicies cor tuum ad intellectum, adjicies autem ipsum ad monitionem filio tuo.

3. Si enim sapientiam invoces, et intellectui des vocem tuam : (sensum autem quæsieris magna voce :)

4. et si exquiras eam tamquam argentum, et tamquam thesauros investiges eam,

5. tunc intelliges timorem Domini, et scientiam Dei reperies.

6. Quia Dominus dat sapientiam, et a facie ejus cognitio et intellectus.

7. Et thesaurizat recte agentibus salutem, proteget egressum eorum,

8. ad custodiendas vias justificationum, et viam reverentium se custodiet.

9. Tunc intelliges justitiam et judicium, et diriges omnes semitas bonas.

10. Ἐὰν γὰρ ἔλθη ἡ σοφία εἰς τὴν διάνοιαν, ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ,

11. βουλὴ καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρήσει σε·

12. ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.

13. Ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους,

14. οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ·

15. ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν,

16. τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας γνώμης. Υἱὲ, μή σε καταλάβῃ κακὴ βουλή.

17. Ἡ ἀπολιποῦσα διδασκαλίαν νεότητος,

18. καὶ διαθήκην θείαν ἐπιλελησμένη· ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς, καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς.

19. Πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν, οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας· οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς.

20. Εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθὰς, εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας.

21. Ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ.

22. Ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ παράνομοι ἐξωσθήσονται ἀπ' αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Υἱὲ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία.

2. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσί σοι.

(*) 3. Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν.

4. Καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων.

5. Ἴσθι πεποιθὼς ἐν ὅλῃ τῇ καρδίᾳ ἐπὶ Θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου.

6. Πάσαις ὁδοῖς σου γνώριζε αὐτὴν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου.

7. Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν Θεὸν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ.

8. Τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου.

9. Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης·

10. ἵνα πίμπληται τὰ ταμιεῖά σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν.

11. Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος.

12. Ὃν γὰρ ἀγαπᾷ Κύριος ἐλέγχει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

(*) 3. Ἐλεημοσύναι καὶ πίστις μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν· γράψον δὲ αὐτὰς ἐπὶ τὸ πλατὸς τῆς καρδίας σου. (*Alex.*)

10. Si enim venerit sapientia in tuam mentem, et sensus esse animæ tuæ pulcher videbitur,

11. consilium bonum custodiet te, et cogitatio sancta servabit te :

12. ut eruat te a via mala et a viro loquente nihil fidele.

13. O qui dereliquistis vias rectas abeundo in vias tenebrarum,

14. qui lætamini in malis et gaudetis in eversione mala :

15. quorum semitæ pravæ, et flexuosi cursus eorum,

16. ad longe te faciendum a via recta, et alienum a justa sententia. Fili, ne te comprehendat malum consilium.

17. Quæ dereliquit doctrinam juventutis,

18. et testamenti divini oblita est : posuit enim juxta mortem domum suam, et penes infernum cum terrigenis orbitas suas.

19. Omnes euntes in ea non revertent, neque apprehendet semitas rectas : non enim apprehenduntur ab annis vitæ.

20. Nam si ambularent semitas bonas, invenissent utique semitas justitiæ læves.

21. Quoniam recti inhabitabunt terram, et sancti remanebunt in ea.

22. Viæ impiorum e terra perdentur, et iniqui expellentur ab ea.

CAPUT III.

1. Fili, mearum legum ne obliviscaris, verba autem mea servet tuum cor.

2. Longitudinem enim ætatis et annos vitæ et pacem apponent tibi.

3. Eleemosynæ et fides ne deserant te : alliga autem eas super collum tuum, et invenies gratiam.

4. Et provide bona coram Domino et hominibus.

5. Esto fidens in toto corde super Deum, in tua autem sapientia ne exalteris.

6. Omnibus viis tuis cognosce illam, ut rectas faciat vias tuas.

7. Ne sis prudens apud temetipsum, time autem Deum, et declina ab omni malo.

8. Tunc sanitas erit corpori tuo, et curatio ossibus tuis.

9. Honora Dominum de justis tuis laboribus, et primitias da ei de tuis fructibus justitiæ :

10. ut impleantur cellaria tua saturitate frumenti, et vino torcularia tua redundent.

11. Fili, noli negligere disciplinam Domini, neque fatigeris dum ab eo argueris.

12. Quem enim diligit Dominus arguit, flagellat autem omnem filium quem suscipit.

3. Eleemosynæ et fides non deserant te : alliga autem eas super collum tuum, et invenies gratiam : scribe eas super latitudinem cordis tui.

13. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν.

14. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς.

15. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι.

16. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ.

17. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ.

18. Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτήν, ὡς ἐπὶ Κύριον, ἀσφαλής.

19. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς φρονήσει.

20. Ἐν αἰσθήσει ἄβυσσοι ἐῤῥάγησαν, νέφη δὲ ἐῤῥύησαν δρόσους.

21. Υἱέ, μὴ παραῤῥυῇς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν·

22. ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ. Ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς σοῖς ὀστέοις·

23. ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ.

24. Ἐὰν γὰρ κάθῃ ἄφοβος ἔσῃ, ἐὰν δὲ καθεύδῃς ἡδέως ὑπνώσεις.

25. Καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας.

26. Ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα ἵνα μὴ σαλευθῇς.

27. Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν.

28. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.

29. Μὴ τεκτήνῃ ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.

30. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, μήτι σε ἐργάσηται κακόν.

31. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν.

32. Ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδριάζει.

33. Κατάρα Θεοῦ ἐν οἴκοις ἀσεβῶν, ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται.

34. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

35. Δόξαν σοφοὶ κληρονομήσουσιν, οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

13. Beatus homo qui invenit sapientiam, et mortalis qui vidit prudentiam.

14. Melius est enim illam mercari, quam auri et argenti thesauros.

15. Pretiosior est enim lapidibus, non resistet illi ullum malum : bene nota est omnibus appropinquantibus ei, omne autem pretiosum non est illa dignum.

16. Longitudo enim ætatis et anni vitæ in dextera ejus, in sinistra autem ejus divitiæ et gloria. Ex ore ejus procedit justitia, legem autem et misericordiam in lingua portat.

17. Viæ ejus viæ pulchre, et omnes semitæ ejus in pace.

18. Lignum vitæ est omnibus qui complectuntur eam, et qui incumbunt in eam, sicut in Domino, secura.

19. Deus sapientia fundavit terram, paravit autem cœlos prudentia.

20. In sensu abyssi eruperunt, nubes autem manaverunt rores.

21. Fili, ne diffluas, serva autem meum consilium et sententiam :

22. ut vivat anima tua, et gratia sit circa collum tuum. Erit autem sanitas carnibus tuis, et curatio tuis ossibus :

23. ut ambules fidens in pace omnes vias tuas, et pes tuus non impingat.

24. Si enim sederis sine timore eris, si vero dormieris suaviter dormies.

25. Et non timebis pavorem supervenientem, neque impetus impiorum ingruentes.

26. Dominus enim erit super omnes vias tuas, et firmabit tuum pedem ut non commovearis.

27. Ne abstineas benefacere egeno quandocumque habuerit manus tua auxiliari.

28. Ne dixeris : Revertens redi, cras dabo, cum potens tu sis benefacere : non enim scis quid pariat sequens dies.

29. Ne fabriceris in tuum amicum mala, incolam et fidentem super te.

30. Noli inimicitias exercere adversus hominem sine causa, ne quod tibi operetur malum.

31. Ne acquiras malorum virorum opprobria, neque zelaveris vias eorum.

32. Immundus enim coram Domino omnis iniquus, in justis autem non facit concilium.

33. Maledictio Dei in domibus impiorum, tuguria autem justorum benedicuntur.

34. Dominus superbis resistit, humilibus autem dat gratiam.

35. Gloriam sapientes hæreditabunt, impii autem exaltabunt ignominiam.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἀκούσατε, παῖδες, παιδείαν πατρός, καὶ προσέχετε γνῶναι ἔννοιαν.

2. Δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε.

3. Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός.

CAPUT IV.

1. Audite, pueri, disciplinam patris, et attendite ut sciatis cogitationem.

2. Donum enim bonum donabo vobis, meam legem ne derelinquatis.

3. Filius enim fui et ego patri obediens, et dilectus in facie matris.

4. Οἳ ἔλεγον καὶ ἐδίδασκόν με· Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς τὴν καρδίαν· φύλασσε ἐντολάς, μὴ ἐπιλάθῃ.

(*) 5. Μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος,

6. μηδὲ ἐγκαταλίπῃς αὐτήν, καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς καὶ τηρήσει σε. (**)

8. Περιχαράκωσον αὐτήν, καὶ ὑψώσει σε. Τίμησον αὐτήν, ἵνα σε περιλάβῃ·

9. ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου.

10. Ἄκουε, υἱὲ, καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου.

11. Ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.

12. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα· ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις.

13. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς· ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου.

14. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων.

15. Ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ· ἔκκλινον δὲ ἀπ᾽ αὐτῶν καὶ παράλλαξον.

16. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσι· ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται.

17. Οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται·

18. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι· προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα.

19. Αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναὶ, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

20. Υἱὲ, ἐμῇ ῥήσει πρόσεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς.

21. Ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν καρδίᾳ.

22. Ζωὴ γάρ ἐστι τοῖς εὑρίσκουσιν αὐτὰς, καὶ πάσῃ σαρκὶ ἴασις.

23. Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς.

24. Περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι.

25. Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.

26. Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ, καὶ τὰς ὁδούς σου κατεύθυνε.

27. Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀριστερὰ, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς· ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεὸς, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν. Αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

1. Υἱὲ, ἐμῇ σοφίᾳ πρόσεχε, ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς,

4. Qui dicebant et docebant me : Firmetur noster sermo in tuo corde : custodi præcepta, non obliviscaris.

5. Neque despexeris eloquium oris mei,

6. ne dereliqueris eam, et adhærebit tibi : ama illam, et servabit te.

8. Circumda illam, et exaltabit te. Honora eam, ut te amplexetur :

9. ut det tuo capiti coronam gratiarum, corona autem deliciarum protegat te.

10. Audi, fili, et suscipe mea verba, et multiplicabuntur anni vitæ tuæ, ut tibi sint multæ viæ vitæ.

11. Vias enim sapientiæ docebo te, et ingredi te facio orbitis rectis.

12. Si enim ambulaveris, non concludentur tui gressus : si autem cucurreris, non laborabis.

13. Tene meam disciplinam, ne dimittas : sed custodi eam tibi ad vitam tuam.

14. Vias impiorum ne intres, neque zelaveris vias iniquorum.

15. In quocumque loco castrametati fuerint, ne supervenias illuc : declina autem ab eis et abscede.

16. Non enim somnum capient, nisi malefecerint : ablatus est somnus eorum, et non dormiunt.

17. Hi enim edunt escas impietatis, vino autem iniquo inebriantur.

18. Viæ autem justorum similiter ut lux fulgent : procedunt et illuminant, donec dirigat se dies.

19. Viæ autem impiorum tenebrosæ, non norunt quomodo offendunt.

20. Fili, meo eloquio attende, et meis verbis appone aurem tuam.

21. Ut non derelinquant te fontes tui, custodi eos in corde.

22. Vita enim est invenientibus eos, et omni carni sanitas.

23. Omni custodia serva cor tuum, ex his enim exitus vitæ.

24. Aufer a te pravum os, et injusta labia longe a te propelle.

25. Oculi tui recta videant, palpebræ tuæ annuant justa.

26. Rectas orbitas fac tuis pedibus, et vias tuas dirige.

27. Ne declines in dextera, neque in sinistra, et averte pedem tuum a via mala : vias enim quæ a dextris novit Deus, perversæ autem sunt quæ a sinistris. Ipse autem rectas faciet orbitas tuas, et gressus tuos in pace promovebit.

CAPUT V.

1. Fili, meæ sapientiæ attende, et meis sermonibus appone aurem tuam,

---

(*) 5. Κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν· μὴ ἐπιλάθῃ, μηδὲ ἐκκλίνῃς ἀπὸ ῥημάτων στόματός μου. (*Alex.*)

(**) 7. Ἀρχὴ σοφίας, κτῆσαι σοφίαν, καὶ ἐν πάσῃ κτήσει σου κτῆσαι σύνεσιν. (*Ald. et Compl.*)

5. Posside sapientiam, posside intelligentiam: ne obliviscaris, neque declines a verbis oris mei.

7. Principium sapientiæ, posside sapientiam, et in omni possessione tua acquire intelligentiam.

2. ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν. Αἴσθησις δὲ ἐμῶν χειλέων ἐντέλλεταί σοι· Μὴ πρόσεχε φαύλῃ γυναικί·

3. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα·

4. ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου.

5. Τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται.

6. Ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι.

7. Νῦν οὖν, υἱὲ, ἄκουέ μου, καὶ μὴ ἀκύρους ποιήσεις ἐμοὺς λόγους.

8. Μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν· μὴ ἐγγίσῃς πρὸς θύραις οἴκων αὐτῆς,

9. ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν.

10. Ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίων ἔλθωσι.

11. Καὶ μεταμεληθήσῃ ἐπ' ἐσχάτων, ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου, καὶ ἐρεῖς·

12. Πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου;

13. Οὐκ ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός με, οὐδὲ παρέβαλλον τὸ οὖς μου.

14. Παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς.

15. Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς.

16. Μὴ ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς, εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα.

17. Ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι.

18. Ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου.

19. Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου καὶ συνέστω σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος πολλοστὸς ἔσῃ.

20. Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις τῆς μὴ ἰδίας.

21. Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει.

22. Παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται.

23. Οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξεῤῥίφη, καὶ ἀπώλετο δι' ἀφροσύνην.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Υἱὲ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ.

2. Παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος.

3. Ποίει, υἱὲ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου· ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον, ἴσθι μὴ ἐκλυόμενος, παρόξυνε δὲ καὶ τὸν φίλον σου ὃν ἐνεγγυήσω.

4. Μὴ δῷς ὕπνον σοῖς ὄμμασι, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις·

2. ut custodias cogitationem bonam. Sensus autem meorum labiorum mandat tibi : Noli intendere fallaci mulieri :

3. mel enim destillat a labiis mulieris fornicariæ, quæ ad tempus impinguat fauces tuas :

4. postea vero amariorem felle invenies, et acutam magis gladio bicipiti.

5. Imprudentiæ enim pedes deducunt utentes ea cum morte ad infernum, et vestigia ejus non firmantur.

6. Vias enim vitæ non ingreditur, lubricæ autem orbitæ ejus, et non bene vestigabiles.

7. Nunc igitur, fili, audi me, et ne irritos facias sermones meos.

8. Longe fac ab ea viam tuam : ne appropinques ad januas domorum ejus,

9. ut non prodat aliis vitam tuam, et ætatem tuam immitibus.

10. Ut non impleantur alieni fortitudine tua, et labores tui in domos alienorum veniant.

11. Et pœnitebit te in novissimis, quando contritæ fuerint carnes corporis tui, et dices :

12. Quomodo odio habui disciplinam, et increpationes devitavit cor meum?

13. Non audiebam vocem corripientis me et docentis me, neque adhibebam aurem meam.

14. Pene fui in omni malo, in medio ecclesiæ et synagogæ.

15. Bibe aquas de tuis vasis, et de puteorum tuorum fonte.

16. Non supereffundantur tibi aquæ extra tuum fontem, et in tuas plateas pertranseant aquæ tuæ.

17. Sint tibi soli possessæ, et nemo alienus particeps sit tibi.

18. Fons aquæ tuæ sit tibi proprius, et jucundare cum uxore quæ a juventute tua.

19. Cervus amicitiæ et pullus gratiarum confabuletur tecum, et propria ducat te et adsit tibi in omni tempore : in hujus enim amicitia conversatus diuturnus eris.

20. Ne multus sis ad alienam, neque continearis ulnis non propriæ.

21. Sunt enim coram Dei oculis viæ viri, et in omnes orbitas ejus speculatur.

22. Iniquitates virum capiunt, et catenis suorum peccatorum unusquisque constringitur.

23. Hic moritur cum iis qui non habent disciplinam, et ex multitudine vitæ suæ dejectus est, et periit propter imprudentiam.

CAPUT VI.

1. Fili, si spoponderis amicum tuum, trades manum tuam inimico.

2. Laqueus enim fortis viro propria labia, et capitur labiis proprii oris.

3. Fac, fili, quæ ego tibi mando, et salvare : venisti in manus malorum propter tuum amicum, esto non remissus, stimula autem et amicum tuum quem spopondisti.

4. Ne dederis somnum oculis, neque indormites palpebris tuis :

5. ἵνα σώζῃ ὥςπερ δορκὰς ἐκ βρόχων, καὶ ὥςπερ ὄρνεον ἐκ παγίδος.

6. Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος.

7. Ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν,

8. ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. « Ἢ πορεύθητι πρὸς « τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστὶ, τήν τε ἐρ- « γασίαν ὡς σεμνὴν ποιεῖται· ἧς τοὺς πόνους βασιλεῖς « καὶ ἰδιῶται πρὸς ὑγίειαν προςφέρονται. Ποθεινὴ δέ « ἐστι πᾶσι καὶ ἐπίδοξος, καί περ οὖσα τῇ ῥώμῃ ἀσθε- « νὴς, τὴν σοφίαν τιμήσασα προήχθη. »

9. Ἕως τίνος, ὀκνηρὲ, κατάκεισαι; Πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ;

10. Ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη·

11. εἶτ' ἐμπαραγίνεταί σοι ὥςπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ ἔνδεια ὥςπερ ἀγαθὸς δρομεύς· ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥςπερ πηγὴ ὁ ἀμητός σου, ἡ δὲ ἔνδεια ὥςπερ κακὸς δρομεὺς ἀπαυτομολήσει.

12. Ἀνὴρ ἄφρων καὶ παράνομος πορεύεται ὁδοὺς οὐκ ἀγαθάς.

13. Ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ· σημαίνει δὲ ποδὶ, διδάσκει δὲ ἐννεύμασι δακτύλων.

14. Διεστραμμένη καρδία τεκταίνεται κακὰ, ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει.

15. Διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ συντριβὴ ἀνίατος.

16. Ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ Θεὸς, συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς.

17. Ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος, χεῖρες ἐκχέουσαι αἷμα δικαίου,

18. καὶ καρδία τεκταινομένη λογισμοὺς κακοὺς, καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν.

19. Ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ἐπιπέμπει κρίσεις ἀναμέσον ἀδελφῶν.

20. Υἱὲ, φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου.

21. Ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διαπαντὸς, καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ.

22. Ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω· ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι.

23. Ὅτι λύχνος ἐντολὴ νόμου καὶ φῶς, ὁδὸς ζωῆς, καὶ ἔλεγχος καὶ παιδεία,

24. τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας.

25. Μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων.

26. Τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου, γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει.

27. Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει;

28. Ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει;

29. Οὕτως ὁ εἰςελθὼν πρὸς γυναῖκα ὕπανδρον, οὐκ ἀθῳωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.

5. ut salveris tamquam damula e laqueis, et tamquam avis e reti.

6. Vade ad formicam, o piger, et æmulare videns vias ejus, et esto illa sapientior.

7. Nam cum ei non sit agellus, neque habeat qui cogat, neque sub domino sit,

8. parat æstate alimentum, et multam in messe facit acervationem. « Aut vade ad apem, et disce quomodo operaria « est, operationem quoque quam venerabilem facit : cujus « labores reges et idiotæ ad sanitatem afferunt. Appetibilis « autem est omnibus et clara etiam, cum sit robore infirma, « sapientiam honorans evecta est. »

9. Usquequo, piger, jaces? Quando autem e somno excitaberis?

10. Paulum quidem dormis, paulum autem sedes, parum autem dormitas, paulum autem amplecteris manibus pectora :

11. deinde supervenit tibi tamquam malus viator paupertas, et egestas tamquam bonus cursor : si autem impiger fueris, veniet tamquam fons messis tua, egestas autem tamquam malus cursor aufugiet.

12. Vir insipiens et iniquus ambulat vias non bonas.

13. Ipse autem innuit oculo : significat autem pede, docet autem nutibus digitorum.

14. Perversum cor fabricatur mala, in omni tempore qui talis est turbationes affert civitati.

15. Propter hoc extemplo venit perditio ipsius, intercisio et contritio insanabilis.

16. Quoniam gaudet omnibus quæ odit Deus, conteritur autem propter immunditiam animæ.

17. Oculus contumeliosi, lingua injusta, manus effundentes sanguinem justi,

18. et cor fabricans cogitationes malas, et pedes festinantes ad malefaciendum.

19. Accendit falsa testis injustus, et immittit judicia inter fratres.

20. Fili, custodi leges patris tui, et ne expellas jura matris tuæ.

21. Liga autem ea super animam tuam semper, et quasi torquem circumda circa tuum collum.

22. Quandocumque ambulaveris, adducito eam et tecum sit : et quandocumque dormieris, custodiat te, ut expergefacto colloquatur tibi.

23. Quoniam lucerna mandatum legis et lumen, via vitæ, et correptio et disciplina,

24. ad conservandum te a muliere nupta et a calumnia linguæ alienæ.

25. Non te vincat formæ concupiscentia, neque capiaris tuis oculis, neque abripiaris ab ejus palpebris.

26. Pretium enim meretricis quantum et unius panis, mulier autem virorum pretiosas animas capit.

27. Alligabit quis ignem in sinu, vestes autem non comburet?

28. aut ambulabit quis super prunas ignis, et pedes non comburet?

29. Sic qui intrat ad mulierem nuptam, non erit innoxius, neque omnis tangens eam.

30. Οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων· κλέπτει γὰρ ἵνα ἐμπλήσῃ τὴν ψυχὴν πεινῶν·

31. ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν.

32. Ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται,

33. ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει, τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα.

34. Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως.

35. Οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

30. Non mirum si deprehendatur furans : furatur enim ut impleat animam esuriens :

31. si autem deprehensus fuerit, reddet septupla, et omnem substantiam suam dans liberabit seipsum.

32. Adulterans autem propter inopiam cordis perditionem animæ suæ acquirit,

33. ac dolores et ignominias sustinet, et opprobrium ejus non delebitur in sæculum.

34. Plenus enim zeli furor viri ejus, non parcet in die judicii.

35. Non commutabit ulla redemptione inimicitiam, neque dissolvetur multis donis.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Υἱὲ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. Υἱὲ, τίμα τὸν Κύριον καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον.

2. Φύλαξον ἐμὰς ἐντολὰς καὶ βιώσεις, τοὺς δὲ ἐμοὺς λόγους ὥςπερ κόρας ὀμμάτων.

3. Περίθου δὲ αὐτοὺς σοῖς δακτύλοις, ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.

4. Εἶπον τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ·

5. ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάλληται.

6. Ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα,

7. ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ φρενῶν,

8. παραπορευόμενον παρὰ γωνίαν ἐν διόδοις οἴκων αὐτῆς, καὶ λαλοῦντα

9. ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν ἡσυχία νυκτερινὴ καὶ γνοφώδης·

10. ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ, εἶδος ἔχουσα πορνικὸν, ἣ ποιεῖ νέων ἐξίπτασθαι καρδίας.

11. Ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς.

12. Χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει.

13. Εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτὸν, ἀναιδεῖ δὲ προςώπῳ προςεῖπεν αὐτῷ·

14. Θυσία εἰρηνική μοι ἐστὶ, σήμερον ἀποδίδωμι τὰς εὐχάς μου·

15. ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σοι, ποθοῦσα τὸ σὸν πρόςωπον εὕρηκά σε.

16. Κειρίαις τέταχα τὴν κλίνην μου, ἀμφιτάποις δὲ ἔστρωκα τοῖς ἀπ' Αἰγύπτου·

17. διέῤῥαγκα τὴν κοίτην μου κροκίνῳ, τὸν δὲ οἶκον μου κινναμώμῳ·

18. ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι·

19. οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ, πεπόρευται δὲ ὁδὸν μακρὰν,

20. ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χειρὶ αὐτοῦ, δι' ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ.

21. Ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν.

22. Ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθεὶς, ὥςπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται, καὶ ὥςπερ κύων ἐπὶ δεσμοὺς,

CAPUT VII.

1. Fili, custodi meos sermones, et mea mandata reconde apud teipsum. Fili, honora Dominum et valebis, præter eum autem ne timeas alterum.

2. Custodi mea mandata et vives, et meos sermones tamquam pupillas oculorum.

3. Circumpone autem illos tuis digitis, inscribe autem super latitudinem cordis tui.

4. Dic sapientiam tuam sororem esse, et prudentiam notam redde tibi :

5. ut te servet a muliere aliena et mala, si te sermonibus qui ad gratiam adorta fuerit.

6. De fenestra enim e domo sua in plateas prospiciens,

7. quemcumque viderit insipientum filiorum adolescentem inopem cordis,

8. prætereuntem juxta angulum in transitibus domorum suarum, et loquentem

9. in tenebris vespertinis, simul ac quies nocturna et caliginosa :

10. et vero mulier occurrit ei, speciem habens meretriciam, quæ facit juvenum volare corda.

11. Vaga autem est et luxuriosa, et in domo non quiescunt pedes ejus.

12. Interdum enim foras circumvertitur, interdum vero in plateis apud omnem angulum insidiatur.

13. Deinde apprehendens osculata est eum, et impudenti facie alloquitur eum :

14. Sacrificium pacificum mihi est, hodie reddo vota mea :

15. hac ex causa progressa sum obviam tibi, desiderans tuam faciem inveni te.

16. Institis texui lectum meum, et tapetibus ab Ægypto stravi :

17. aspersi cubile meum croco, et domum meam cinnamomo :

18. veni et fruamur amicitia usque in diluculum, veni et colluctemur cupidine :

19. non enim adest vir meus in domo, abiit autem viam longam,

20. involucro pecuniæ accepto in manu sua, per dies multos redibit in domum suam.

21. Seduxit autem eum multa collocutione, et laqueis qui ex labiis attraxit eum.

22. Ipse autem obsecutus est ei infatuatus, tamquam bos ad mactationem agitur, et tamquam canis ad vincula,

23. ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ· σπεύδει δὲ ὥσπερ ὄρνεον εἰς παγίδα, οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει.

24. Νῦν οὖν, υἱὲ, ἄκουέ μου, καὶ πρόσεχε ῥήμασι στόματός μου.

(*) 25. Μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου,

26. Πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν.

27. Ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς τὰ ταμιεῖα τοῦ θανάτου.

23. aut tamquam cervus sagitta vulneratus in jecore: festinat autem tamquam avis in laqueum, nesciens quia pro anima currit.

24. Nunc igitur, fili, audi me, et intende verbis oris mei.

25. Non declinet in vias ejus cor tuum,

26. Multos enim vulnerando dejecit, et innumerabiles sunt quos trucidavit.

27. Viæ inferorum domus ejus, deducentes in secessus mortis.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ.

2. Ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστὶν, ἀναμέσον δὲ τῶν τρίβων ἕστηκε.

3. Παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται.

4. Ὑμᾶς, ὦ ἄνθρωποι, παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων.

5. Νοήσατε, ἄκακοι, πανουργίαν· οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν.

6. Εἰσακούσατέ μου· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά.

7. Ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ.

8. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες.

9. Πάντα ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

10. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον.

11. Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.

12. Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην.

13. Φόβος Κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν· μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν.

14. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς.

15. Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην.

16. Δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς.

17. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι.

18. Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη.

19. Βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, τὰ δὲ ἐμὰ γεννήματα κρείσσω ἀργυρίου ἐκλεκτοῦ.

20. Ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀναμέσον τρίβων δικαιώματος ἀναστρέφομαι.

CAPUT VIII.

1. Tu sapientiam prædicabis, ut prudentia tibi obediat.

2. Nam super excelsas summitates est, et inter medium semitarum stetit.

3. Apud portas enim potentum assidet, et in introitibus canitur.

4. Vos, o homines, advoco, et profero meam vocem filiis hominum.

5. Intelligite, simplices, astutiam: et qui non habetis disciplinam, apponite cor.

6. Exaudite me: præclara enim dicam, et proferam e labiis recta.

7. Quoniam veritatem meditabitur guttur meum, abominata autem coram me labia mendacia.

8. Cum justitia omnia verba oris mei, nihil ipsis pravum neque tortuosum.

9. Omnia præsentia intelligentibus, et recta invenientibus scientiam.

10. Accipite disciplinam et non argentum, et scientiam super aurum probatum.

11. Melior enim sapientia lapidibus pretiosis, omne autem pretiosum non est illa dignum.

12. Ego sapientia inhabitavi consilium, et scientiam et cogitationem ego invocavi.

13. Timor Domini odit injustitiam, et contumeliam et superbiam et vias malorum: odi autem ego perversas vias malorum.

14. Meum est consilium et securitas, mea prudentia et mea fortitudo.

15. Per me reges regnant, et dynastæ scribunt justitiam.

16. Per me magnates magnificantur, et tyranni per me tenent terram.

17. Ego me amantes diligo, et quærentes me invenient.

18. Divitiæ et gloria mihi est, et possessio multorum et justitia.

19. Melius me pro fructu percipere super aurum et lapidem pretiosum, et mea genimina meliora argento electo.

20. In viis justitiæ ambulo, et inter semitas justificationis versor.

---

25. Μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου· καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς αὐτῆς. (*Alex.*)

25. Non declinet in vias illius cor tuum: neque decipiaris in semitis ejus.

21. Ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι.

22. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ·

23. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι,

24. καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων.

25. Πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν, γεννᾷ με.

26. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανῶν.

27. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων.

28. Καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανὸν,

(*) 29. καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς,

30. ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ ἤμην, ᾗ προσέχαιρεν. Καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ·

31. ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων.

32. Νῦν οὖν, υἱὲ, ἄκουέ μου, (**)

34. μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν, τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων.

35. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου·

36. οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχὰς, καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον.

21. Ut distribuam amantibus me substantiam, et thesauros eorum impleam bonis. Si annuntiavero vobis quæ in diem fiunt, memor ero quæ a sæculo numerare.

22. Dominus condidit me initium viarum suarum in opera sua :

23. ante sæculum fundavit me : in principio antequam terram faceret,

24. et antequam abyssos constitueret, priusquam procederent fontes aquarum.

25. Antequam montes collocarentur, et ante omnes colles, generat me.

26. Dominus fecit regiones et inhabitabiles, et summitates habitatas ejus quæ sub cœlo.

27. Cum pararet cœlum, aderam illi, et cum secerneret suam sedem super ventos.

28. Et cum validas faceret desuper nubes, et cum confirmatos ponebat fontes ejus quæ sub cœlo,

29. et quando fortia faciebat fundamenta terræ,

30. eram penes illum disponens : ego eram, cui adgaudebat. Quotidie autem jucundabar in facie ejus in omni tempore :

31. cum lætaretur orbe perfecto, et lætaretur in filiis hominum.

32. Nunc igitur, fili, audi me,

34. beatus vir qui exaudiet me, et homo qui meas vias custodiet : vigilans ad meas fores quotidie, servans limina meorum introituum.

35. Egressiones enim meæ egressiones vitæ, et paratur voluntas a Domino :

36. qui autem peccant in me impie agunt in suas ipsorum animas, et qui oderunt me diligunt mortem.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά.

2. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν.

3. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα·

4. Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός μέ. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν·

5. Ἔλθατε, φάγετε τῶν ἐμῶν ἄρτων, καὶ πίετε οἶνον ὃν ἐκέρασα ὑμῖν.

6. Ἀπολείπετε ἀφροσύνην, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε· καὶ ζητήσατε φρόνησιν, καὶ κατορθώσατε ἐν γνώσει σύνεσιν.

7. Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν.

8. Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε.

9. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι.

CAPUT IX.

1. Sapientia ædificavit sibi domum, et subdidit columnas septem.

2. Mactavit hostias suas, miscuit in cratere vinum suum, et paravit suam mensam.

3. Misit servos suos, convocans cum excelsa prædicatione ad craterem, dicens :

4. Qui est insipiens, declinet ad me. Et egentibus sensu dixit :

5. Venite, edite de meis panibus, et bibite vinum quod miscui vobis.

6. Derelinquite stultitiam, ut in sæculum regnetis : et quærite prudentiam, et corrigite in scientia intelligentiam.

7. Qui erudit malos accipiet sibi ignominiam : et arguens impium maculabit seipsum.

8. Non arguas malos, ne odio habeant te : corripe sapientem, et diliget te.

9. Da sapienti occasionem, et sapientior erit : notifica justo, et addet ad recipiendum.

(*) 29. Ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσονται στόματος αὐτοῦ, καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς. (*Alex.*)

(**) 33. Καὶ μακάριοι οἱ ὁδούς μου φυλάσσοντες. Ἀκούσατε σοφίαν καὶ σοφίσθητε, καὶ μὴ ἀποφραγῆτε.

29. Quando ponebat mari terminum suum, et aquæ non præteribunt os ejus, et quando fortia faciebat fundamenta terræ.

33. Et beati vias meas custodientes. Audite sapientiam, et estote sapientes et nolite separari ab ea.

10. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις· τὸ γὰρ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς.

11. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σου.

12. Υἱὲ, ἐὰν σοφὸς γένῃ, σεαυτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις κακά. « Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέ« μους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα. Ἀπέλιπε « γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ « ἰδίου γεωργίου πεπλάνηται. Διαπορεύεται δὲ δι' ἀνύ« δρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, « συνάγει δὲ χερσὶν ἀκαρπίαν. »

13. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην.

14. Ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις,

15. προσκαλουμένη τοὺς παριόντας καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν.

16. Ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρὸς μὲ, καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι λέγουσα·

17. Ἄρτων κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ.

18. Ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ· « ἀλλὰ ἀποπήδησον, « μὴ χρονίσῃς ἐν τῷ τόπῳ, μηδὲ ἐπιστήσῃς τὸ σὸν « ὄμμα πρὸς αὐτὴν, οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλό« τριον· ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ « πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, « προστεθῇ δέ σοι ἔτη ζωῆς. »

10. Initium sapientiæ timor Domini, et consilium sanctorum intelligentia : cognoscere enim legem, mentis est bonæ.

11. Hoc enim modo multum vives tempus, et adjicientur tibi anni vitæ tuæ.

12. Fili, si sapiens fueris, tibi eris et proximis : si autem malus evaseris, solus utique hauries mala. « Qui fidens « est in falsis, hic pascit ventos, idem autem ipse sequetur « aves volantes. Deseruit enim vias vineæ suæ, semitis vero « agelli sui erravit. Ingreditur autem per avia loca atque « arida, et terram destinatam in sitim, contrahit autem « manibus infructuosa. »

13. Mulier insipiens et audax indiga bucellæ fit, quæ non novit pudorem.

14. Sedet in foribus suæ domus, super sellam palam in plateis,

15. advocans prætereuntes et eos qui recta pergunt in viis suis.

16. Qui est vestrum insipientissimus, divertat ad me, et indigentibus sapientia præcipio dicens :

17. Panes occultos libenter attingite, et aquam furti dulcem.

18. Ipse autem non novit quia terrigenæ apud eam pereunt, et in profundum inferni occurrit : « sed resili, « ne moreris in loco, neque injicias oculum tuum ad eam, « ita enim transibis aquam alienam : ab aqua autem aliena « abstine te, et de fonte alieno ne bibetis, ut longum vi« vas tempus, adjiciantur etiam tibi anni vitæ. »

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

1. Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί.

2. Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου.

3. Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει.

4. Πενία ἄνδρα ταπεινοῖ, χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν. Υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται.

5. Διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων, ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παράνομος.

6. Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου, στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον.

7. Μνήμη δικαίων μετ' ἐγκωμίων, ὄνομα δὲ ἀσεβοῦς σβέννυται.

8. Σοφὸς καρδίᾳ δέξεται ἐντολὰς, ὁ δὲ ἄστεγος χείλεσι σκολιάζων ὑποσκελισθήσεται.

9. Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς· ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ, γνωσθήσεται.

10. Ὁ ἐννεύων ὀφθαλμοῖς μετὰ δόλου, συνάγει ἀνδράσι λύπας· ὁ δὲ ἐλέγχων μετὰ παῤῥησίας, εἰρηνοποιεῖ.

11. Πηγὴ ζωῆς ἐν χειρὶ δικαίου, στόμα δὲ ἀσεβοῦς καλύψει ἀπώλεια.

12. Μῖσος ἐγείρει νεῖκος, πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία.

13. Ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον.

CAPUT X.

1. Filius sapiens lætificat patrem, filius vero stultus mœstitia matri.

2. Non proderunt thesauri iniquis, justitia autem liberabit a morte.

3. Non occidet Dominus fame animam justam, viam autem impiorum evertet.

4. Paupertas virum humiliat, manus autem fortium ditant. Filius eruditus sapiens erit, imprudente autem ministro utetur.

5. Incolumis evasit ab æstu filius intelligens, corruptus autem a vento fit in messe filius iniquus.

6. Benedictio Domini super caput justi, os autem impiorum operiet luctum intempestivum.

7. Memoria justorum cum encomiis, nomen autem impii exstinguitur.

8. Sapiens corde suscipiet mandata, qui autem non est tectus labiis perverse agens supplantabitur.

9. Qui ambulat simpliciter, ambulat fidens : qui autem distorquet vias suas, cognoscetur.

10. Qui innuit oculis cum dolo, congregat viris mœrores : qui autem arguit cum libertate, pacificat.

11. Fons vitæ in manu justi, os autem impii operiet perditio.

12. Odium suscitat contentionem, omnes autem non contentiosos operit amicitia.

13. Qui e labiis profert sapientiam, virga percutit virum excordem.

14. Σοφοὶ κρύψουσιν αἴσθησιν, στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ.

15. Κτῆσις πλουσίων πόλις ὀχυρὰ, συντριβὴ δὲ ἀσεβῶν πενία.

16. Ἔργα δικαίων ζωὴν ποιεῖ, καρποὶ δὲ ἀσεβῶν ἁμαρτίας.

17. Ὁδοὺς δικαίας ζωῆς φυλάσσει παιδεία, παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται.

18. Καλύπτουσιν ἔχθραν χείλη δίκαια, οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν.

19. Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ χειλέων νοήμων ἔσῃ.

20. Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου, καρδία δὲ ἀσεβοῦς ἐκλείψει.

21. Χείλη δικαίων ἐπίσταται ὑψηλὰ, οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν.

22. Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου, αὕτη πλουτίζει, καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ.

23. Ἐν γέλωτι ἄφρων πράσσει κακὰ, ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν.

24. Ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται, ἐπιθυμία δὲ δικαίου δεκτή.

25. Παραπορευομένης καταιγίδος ἀφανίζεται ἀσεβὴς, δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα.

26. Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν καὶ καπνὸς ὄμμασιν, οὕτως παρανομία τοῖς χρωμένοις αὐτῇ.

27. Φόβος Κυρίου προστίθησιν ἡμέρας, ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσεται.

28. Ἐγχρονίζει δικαίοις εὐφροσύνη, ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.

29. Ὀχύρωμα ὁσίου φόβος Κυρίου, συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά.

30. Δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει, ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν.

31 Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται.

32. Χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας, στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

14. Sapientes occultabunt sensum, os autem temerarii appropinquat contritioni.

15. Possessio divitum civitas munita, contritio autem impiorum paupertas.

16. Opera justorum vitam faciunt, fructus autem impiorum peccata.

17. Vias justas vitæ custodit disciplina, disciplina autem carens increpatione errat.

18. Operiunt inimicitiam labia justa, qui autem proferunt contumelias insipientissimi sunt.

19. Ex multiloquentia non effugies peccatum, parcens autem labiis sensatus eris.

20. Argentum igne examinatum lingua justi, cor autem impii deficiet.

21. Labia justorum sciunt excelsa, insipientes autem in egestate moriuntur.

22. Benedictio Domini super caput justi, hæc ditat, et non adjicietur ei tristitia in corde.

23. In risu insipiens agit mala, sapientia autem viro parit prudentiam.

24. In perditione impius circumfertur, desiderium autem justi acceptabile.

25. Prætereunte procella deletur impius, justus autem declinans salvatur in sæculum.

26. Sicut uva acerba dentibus noxia et fumus oculis, sic iniquitas eis qui utuntur ea.

27. Timor Domini addit dies, anni autem impiorum minuentur.

28. Immoratur justis lætitia, spes autem impiorum perit.

29. Munitio sancti timor Domini, contritio autem operantibus mala.

30. Justus in sæculum non nutabit, impii autem non habitabunt terram.

31. Os justi destillat sapientiam, lingua autem injusti peribit.

32. Labia virorum justorum destillant gratias, os autem impiorum pervertit.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.

2. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν.

(*) 3. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια.

5. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδοὺς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ.

6. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτοὺς, τῇ δὲ ἀπωλείᾳ αὐτῶν ἁλίσκονται παράνομοι.

7. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπὶς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.

CAPUT XI.

1. Stateræ dolosæ abominatio coram Domino, pondus autem justum acceptum ei.

2. Quocumque intraverit contumelia, illuc et ignominia: os autem humilium meditatur sapientiam.

3. Moriens justus reliquit pœnitentiam, facilis autem fit et jucundus impiorum interitus.

5. Justitia immaculata dirigit vias, impietas autem incidit in injustitiam.

6. Justitia virorum rectorum liberat eos, sua autem perditione capiuntur iniqui.

7. Mortuo viro justo non perit spes, gloriatio autem impiorum perit.

(*) 3. Τελειότης εὐθείων ὁδηγήσει αὐτοὺς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς.

4. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, καὶ δικαιοσύνη ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλειπεν μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. (*Alex.*)

3. Perfectio rectorum diriget eos, et supplantatio prævaricantium pervastabit illos.

4. Non proderunt substantiæ in die furoris, et justitia liberabit a morte. Moriens justus reliquit pœnitentiam · facilis autem fit et jucundus impiorum interitus

8. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής.

9. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος.

(*) 10. Ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις, στόμασι δὲ ἀσεβῶν κατεσκάφη.

12. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

13. Ἀνὴρ δίγλωσσος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ, πιστὸς δὲ πνοῇ κρύπτει πράγματα.

14. Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥςπερ φύλλα· σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ.

15. Πονηρὸς κακοποιεῖ ὅταν συμμίξῃ δικαίῳ, μισεῖ δὲ ἦχον ἀσφαλείας.

16. Γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ δόξαν, θρόνος δὲ ἀτιμίας γυνὴ μισοῦσα δίκαια. Πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται, οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλούτῳ.

17. Τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων, ἐξολλύει δὲ αὐτοῦ σῶμα ὁ ἀνελεήμων.

18. Ἀσεβὴς ποιεῖ ἔργα ἄδικα, σπέρμα δὲ δικαίων μισθὸς ἀληθείας.

19. Υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν, διωγμὸς δὲ ἀσεβοῦς εἰς θάνατον.

20. Βδέλυγμα Κυρίῳ διεστραμμέναι ὁδοί, προςδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν.

21. Χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀτιμώρητος ἔσται, ὁ δὲ σπείρων δικαιοσύνην λήψεται μισθὸν πιστόν.

22. Ὥςπερ ἐνώτιον ἐν ῥινὶ ὑὸς, οὕτως γυναικὶ κακόφρονι κάλλος.

23. Ἐπιθυμία δικαίων πᾶσα ἀγαθή, ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.

24. Εἰσὶν οἳ τὰ ἴδια σπείροντες πλείονα ποιοῦσιν, εἰσὶ δὲ καὶ οἳ συνάγοντες ἐλαττονοῦνται.

25. Ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ, ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων.

26. Ὁ συνέχων σῖτον ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν· εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος.

27. Τεκταινόμενος ἀγαθὰ ζητεῖ χάριν ἀγαθήν, ἐκζητοῦντα δὲ κακὰ καταλήψεται αὐτόν.

28. Ὁ πεποιθὼς ἐπὶ πλούτῳ οὗτος πεσεῖται, ὁ δὲ ἀντιλαμβανόμενος δικαίων οὗτος ἀνατελεῖ.

29. Ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ κληρονομήσει ἄνεμον, δουλεύσει δὲ ἄφρων φρονίμῳ.

30. Ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς· ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων.

31. Εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Ὁ ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν· ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων.

2. Κρείσσων ὁ εὑρὼν χάριν παρὰ Κυρίῳ, ἀνὴρ δὲ παράνομος παρασιωπηθήσεται.

3. Οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου, αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται.

(*) 10. Ἐν ἀγαθοῖς δικαίων κατώρθωσεν πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα.

11. Ἐν εὐλογίᾳ εὐθείων ὑψωθήσεται πόλις· στόμασιν δὲ ἀσεβῶν κατεσκάφη. (*Alex.*)

8. Justus e captura exit, pro eo autem traditur impius.

9. In ore impiorum laqueus civibus, sensus autem justorum prospere procedens.

10. In bonis justorum bene se gessit civitas, ore autem impiorum diruta est.

12. Subsannat cives indigens corde, vir autem prudens silentium ducit.

13. Vir bilinguis revelat consilia in consessu, fidelis autem spiritu abscondit res.

14. Quibus non est gubernatio, cadunt tamquam folia : salus autem est in multo consilio.

15. Malus malefacit cum commistus fuerit justo, odit autem sonum securitatis.

16. Mulier gratiosa suscitat viro gloriam, thronus autem ignominiæ mulier odio habens justa. Divitiarum pigri fiunt indigi, fortes autem nituntur divitiis.

17. Animæ suæ bonum facit vir misericors, perdit autem suum ipsius corpus immisericors.

18. Impius facit opera injusta, semen autem justorum merces veritatis.

19. Filius justus gignitur ad vitam, persecutio autem impii ad mortem.

20. Abominatio Domino perversæ viæ, accepti autem ei omnes immaculati in viis suis.

21. Manu manus injiciens injuste non impunitus erit, qui autem seminat justitiam accipiet mercedem fidelem.

22. Sicut inauris in naribus porcæ, sic mulieri male prudenti pulchritudo.

23. Desiderium justorum omne bonum, spes autem impiorum peribit.

24. Sunt qui propria seminantes plura faciunt, sunt autem et qui congregantes minuuntur.

25. Anima benedicta omnis simplex, vir autem animosus inhonestus est.

26. Qui continet frumentum relinquat illud nationibus : benedictio autem in ejus capite qui communicat.

27. Fabricans bona quærit gratiam bonam, exquirentem autem mala comprehendent eum.

28. Fidens in divitiis hic cadet, qui autem inhæret justis germinabit.

29. Qui non conversatur domi suæ hæreditabit ventum, serviet autem imprudens prudenti.

30. De fructu justitiæ nascitur arbor vitæ : auferuntur autem intempestivæ animæ iniquorum.

31. Si justus quidem vix salvatur, impius et peccator ubi parebunt?

CAPUT XII.

1. Qui diligit disciplinam diligit sensum : qui autem odit increpationes, insipiens.

2. Melior qui invenit gratiam a Domino, vir autem iniquus tacebitur.

3. Non prosperabitur homo ex iniquo, radices autem justorum non auferentur.

---

10. In bonis justorum bene se gessit civitas, et in perditione impiorum exsultatio.

11. In benedictione rectorum exaltabitur civitas : ore autem impiorum diruta est.

4. Γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς· ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός.

5. Λογισμοὶ δικαίων κρίματα, κυβερνῶσι δὲ ἀσεβεῖς δόλους.

6. Λόγοι ἀσεβῶν δόλιοι, στόμα δὲ ὀρθῶν ῥύσεται αὐτούς.

7. Οὗ ἐὰν στραφῇ ὁ ἀσεβὴς ἀφανίζεται, οἶκοι δὲ δικαίων παραμένουσι.

8. Στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς, νωθροκάρδιος δὲ μυκτηρίζεται.

9. Κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς καὶ προςδεόμενος ἄρτου.

10. Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ, τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.

11. Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν ἐμπλησθήσεται ἄρτων, οἱ δὲ διώκοντες μάταια ἐνδεεῖς φρενῶν. Ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

12. Ἐπιθυμίαι ἀσεβῶν κακαὶ, αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν ἐν ὀχυρώμασι.

13. Δι' ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλὸς, ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος. Ὁ βλέπων λεῖα ἐλεηθήσεται, ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς.

14. Ἀπὸ καρπῶν στόματος ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ·

15. Ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, εἰςακούει δὲ συμβουλίας σοφός.

16. Ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος.

17. Ἐπιδεικνυμένην πίστιν ἀπαγγέλλει δίκαιος, ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος.

18. Εἰσὶν οἱ λέγοντες τιτρώσκουσι, μάχαιραι· γλῶσσαι δὲ σοφῶν ἰῶνται.

19. Χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν, μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον.

20. Δόλος ἐν καρδίᾳ τεκταινομένου κακὰ, οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται.

21. Οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον, οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν.

22. Βδέλυγμα Κυρίῳ χείλη ψευδῆ, ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ' αὐτῷ.

23. Ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως, καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς.

24. Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, δόλιοι δὲ ἔσονται ἐν προνομῇ.

25. Φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου, ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν.

26. Ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, ἁμαρτάνοντας δὲ καταδιώξεται κακὰ, ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς.

27. Οὐκ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός.

28. Ἐν ὁδοῖς δικαιοσύνης ζωὴ, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Υἱὸς πανοῦργος ὑπήκοος πατρὶ, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ.

4. Mulier fortis, corona viro suo : sicut autem in ligno vermis, sic virum disperdit mulier malefica.

5. Cogitationes justorum judicia, gubernant autem impii dolos.

6. Verba impiorum dolosa, os autem rectorum liberabit eos.

7. Quocumque se verterit impius deletur, domus autem justorum permanent.

8. Os intelligentis laudatur a viro, socors autem subsannatur.

9. Melior vir in vilitate serviens sibi, quam honorem sibi circumponens et egens pane.

10. Justus miseratur animas jumentorum suorum, viscera autem impiorum immisericordia.

11. Qui operatur suam terram replebitur panibus, qui autem sequuntur varia indigentes corde. Qui est jucundus in vinorum conversationibus, in suis munitionibus relinquet ignominiam.

12. Cupiditates impiorum malæ, radices autem piorum in munitionibus.

13. Propter peccatum labiorum incidit in laqueos peccator, effugit autem ex eis justus. Qui videt lævia misericordia dignus habebitur, qui autem occurrit in portis vexabit animas.

14. De fructibus oris anima viri implebitur bonis, et retributio labiorum ejus dabitur ei.

15. Viæ insipientum rectæ coram ipsis, exaudit autem consilia sapiens.

16. Imprudens eadem die enuntiat iram suam, abscondit autem inhonorationem vir astutus.

17. Planam fidem annuntiat justus, testis autem injustorum dolosus.

18. Sunt qui dicentes vulnerant, enses : linguæ autem sapientum sanant.

19. Labia veracia dirigunt testimonium, testis autem citus linguam habet injustam.

20. Dolus in corde fabricantis mala, qui autem volunt pacem lætabuntur.

21. Non placebit justo quicquam injustum, impii autem implebuntur malis.

22. Abominatio Domino labia mendacia, qui autem facit fides acceptus apud eum.

23. Vir intelligens thronus sensus, cor autem insipientum occurret exsecrationibus.

24. Manus electorum dominabitur facile, dolosi autem erunt in direptionem.

25. Terribilis sermo cor turbat viri justi, nuntiatio autem bona lætificat eum.

26. Cognitor justus sui ipsius amicus erit, eos autem qui peccant persequentur mala, et via impiorum seducet eos.

27. Non consequetur dolosus venationes, possessio autem pretiosa vir mundus.

28. In viis justitiæ vita, viæ autem eorum qui memores sunt injuriarum in mortem.

CAPUT XIII.

1. Filius astutus obediens patri, filius autem inobediens in perditione.

2. Ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθὸς, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι.
3. Ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα τηρεῖ τὴν ἑαυτοῦ ψυχὴν, ὁ δὲ προπετὴς χείλεσιν πτοήσει ἑαυτόν.
4. Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργὸς, χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ.
5. Λόγον ἄδικον μισεῖ δίκαιος, ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐχ ἕξει παῤῥησίαν. (*)
7. Εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ.
8. Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν.
9. Φῶς δικαίοις διαπαντὸς, φῶς δὲ ἀσεβῶν σβέννυται. Ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις, δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι.
10. Κακὸς μεθ' ὕβρεως πράσσει κακὰ, οἱ δὲ ἑαυτῶν ἐπιγνώμονες σοφοί.
11. Ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται, ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πληθυνθήσεται. Δίκαιος οἰκτείρει καὶ κιχρᾷ.
12. Κρείσσων ἐναρχόμενος βοηθῶν καρδίᾳ τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος· δένδρον γὰρ ζωῆς ἐπιθυμία ἀγαθή.
13. Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ· ὁ δὲ φοβούμενος ἐντολὴν, οὗτος ὑγιαίνει. Υἱῷ δολίῳ οὐδὲν ἔσται ἀγαθὸν, οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις, καὶ κατευθυνθήσεται ἡ ὁδὸς αὐτοῦ.
14. Νόμος σοφοῦ πηγὴ ζωῆς, ὁ δὲ ἄνους ὑπὸ παγίδος θανεῖται.
15. Σύνεσις ἀγαθὴ δίδωσι χάριν, τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς, ὁδοὶ δὲ καταφρονούντων ἐν ἀπωλείᾳ.
16. Πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως, ὁ δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν.
17. Βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακὰ, ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν.
18. Πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία, ὁ δὲ φυλάσσων ἐλέγχους δοξασθήσεται.
19. Ἐπιθυμίαι εὐσεβῶν ἡδύνουσι ψυχὴν, ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως.
20. Συμπορευόμενος σοφοῖς σοφὸς ἔσῃ, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται.
21. Ἁμαρτάνοντας καταδιώξεται κακὰ, τοὺς δὲ δικαίους καταλήψεται ἀγαθά.
22. Ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν, θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν.
23. Δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλὰ, ἄδικοι δὲ ἀπολοῦνται συντόμως.
24. Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ· ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει.
25. Δίκαιος ἔσθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ, ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς.

(*) 6. Δικαιοσύνη φυλάσσει ἀκάκους ὁδῷ· τοὺς δὲ ἀσεβεῖς φαύλους ποιεῖ ἁμαρτία. (*Alex.*)

2. De fructibus justitiæ comedet bonus, animæ autem iniquorum peribunt immaturæ.
3. Qui custodit suum os servat suam animam, et qui temerarius est labiis terrebit seipsum.
4. In desideriis est omnis otiosus, manus autem fortium in sedulitate.
5. Verbum injustum odit justus, impius autem confunditur, et non habebit libertatem loquendi.
7. Sunt qui ditant se nihil habentes, et sunt qui humiliant se in multis divitiis.
8. Redemptio viri propriæ divitiæ, inops autem non sustinet comminationem.
9. Lux justis perpetuo, lux autem impiorum exstinguitur. Animæ dolosæ errant in peccatis, justi autem miserantur et miserentur.
10. Malus cum contumelia agit mala, qui autem suiipsorum cognitores sapientes.
11. Substantia festinata cum iniquitate minor fit, congregans autem sibi cum pietate multiplicabitur. Justus miseretur et commodat.
12. Melior qui incipit auxiliari corde eo qui promittit et in spem adducit : arbor enim vitæ desiderium bonum.
13. Contemnens rem, contemnetur ex ea : timens autem mandatum, hic sanus est. Filio doloso nullum erit bonum, famulo autem sapienti prospere procedent actiones, et dirigetur via ejus.
14. Lex sapientis fons vitæ, demens autem sub laqueo morietur.
15. Intellectus bonus dat gratiam, noscere autem legem mentis est bonæ, viæ autem contemnentium in perditione.
16. Omnis astutus agit cum scientia, insipiens autem expandit suam nequitiam.
17. Rex audax incidit in mala, nuntius autem sapiens liberabit eum.
18. Paupertatem et ignominiam aufert disciplina, qui autem custodit increpationes glorificabitur.
19. Desideria piorum delectant animam, opera autem impiorum longe a scientia.
20. Ambulans cum sapientibus sapiens eris, et qui ambulat cum insipientibus agnoscetur.
21. Eos qui peccant persequentur mala, justos autem comprehendent bona.
22. Bonus vir hæreditare faciet filios filiorum, thesaurizantur autem justis divitiæ impiorum.
23. Justi facient in divitiis annos multos, injusti autem peribunt brevi.
24. Qui parcit baculo, odit filium suum : qui autem diligit, diligenter erudit.
25. Justus comedens implet animam suam, animæ autem impiorum egenæ.

CAPUT XIV.

1. Sapientes mulieres ædificarunt domos, imprudens autem demolita est suis manibus.

6. Justitia custodit innocentes *in* via : impios autem viles facit peccatum.

2. Ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον, ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται.
3. Ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη δὲ σοφῶν φυλάσσει αὐτούς.
4. Οὗ μή εἰσι βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς.
5. Μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος.
6. Ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, αἴσθησις δὲ παρὰ φρονίμοις εὐχερής.
7. Πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθήσεως χείλη σοφά.
8. Σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ.
9. Οἰκίαι παρανόμων ὀφειλήσουσι καθαρισμὸν, οἰκίαι δὲ δικαίων δεκταί.
10. Καρδία ἀνδρὸς αἰσθητικὴ, λυπηρὰ ψυχὴ αὐτοῦ, ὅταν δὲ εὐφραίνηται οὐκ ἐπιμίγνυται ὕβρει.
11. Οἰκίαι ἀσεβῶν ἀφανισθήσονται, σκηναὶ δὲ κατορθούντων στήσονται.
12. Ἔστιν ὁδὸς ἣ δοκεῖ παρὰ ἀνθρώποις ὀρθὴ εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.
13. Ἐν εὐφροσύναις οὐ προσμίγνυται λύπη, τελευταῖα δὲ χαρὰ εἰς πένθος ἔρχεται.
14. Τῶν ἑαυτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος, ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ ἀνὴρ ἀγαθός.
15. Ἄκακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν.
16. Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ.
17. Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας, ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει.
18. Μεριοῦνται ἄφρονες κακίαν, οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως.
19. Ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν, καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων.
20. Φίλοι μισήσουσι φίλους πτωχοὺς, φίλοι δὲ πλουσίων πολλοί.
21. Ὁ ἀτιμάζων πένητας ἁμαρτάνει, ἐλεῶν δὲ πτωχοὺς μακαριστός.
22. Πλανώμενοι τεκταίνουσι κακὰ, ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί. Οὐκ ἐπίστανται ἔλεον καὶ πίστιν τέκτονες κακῶν, ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς.
23. Ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσὸν, ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται.
24. Στέφανος σοφῶν πανοῦργος, ἡ δὲ διατριβὴ ἀφρόνων κακή.
25. Ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστὸς, ἐκκαίει δὲ ψευδῆ δόλιος.
26. Ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα.
27. Πρόσταγμα Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.
28. Ἐν πολλῷ ἔθνει δόξα βασιλέως, ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου.
29. Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων.
30. Πραΰθυμος ἀνὴρ καρδίας ἰατρὸς, σὴς δὲ ὀστέων καρδία αἰσθητική.

2. Qui ambulat recte timet Dominum, qui autem tortuose incedit viis suis afficietur ignominia.
3. Ex ore imprudentum baculi contumeliæ, labia autem sapientum custodiunt ipsos.
4. Ubi non sunt boves, præsepia munda : ubi autem multa genimina, manifesta bovis virtus.
5. Testis fidelis non mentitur, accendit autem falsa testis injustus.
6. Quæres sapientiam apud malos et non invenies, sensus autem apud prudentes facilis.
7. Omnia contraria viro imprudenti, arma autem sensus labia sapientia.
8. Sapientia astutorum cognoscet vias ipsorum, dementia autem imprudentum in errore.
9. Domus iniquorum debebunt mundationem, domus autem justorum acceptabiles.
10. Cor viri sensitivum, tristis anima ejus, quando autem lætabitur non miscetur contumeliæ.
11. Domus impiorum delebuntur, tabernacula autem recte agentium stabunt.
12. Est via quæ videtur apud homines recta esse, novissima autem ejus vadunt in fundum inferni.
13. In lætitiis non admiscetur tristitia, novissime autem gaudium in luctum vadit.
14. Suis itineribus saturabitur temerarius, et de cogitationibus suis vir bonus.
15. Simplex credit omni verbo, astutus autem vadit in pœnitentiam.
16. Sapiens timens declinavit a malo, imprudens autem sibi fidens miscetur iniquo.
17. Impatiens agit cum temeritate, vir autem prudens multa suffert.
18. Divident imprudentes malum, astuti autem tenebunt sensum.
19. Labentur mali coram bonis, et impii colent portas justorum.
20. Amici odio habebunt amicos mendicos, amici autem divitum multi.
21. Qui inhonorat pauperes peccat, qui autem miseretur mendicorum beatissimus.
22. Errantes fabricantur mala, misericordiam autem et veritatem fabricantur boni. Non sciunt misericordiam et fidem fabricatores malorum, eleemosynæ autem et fides apud fabricatores bonos.
23. In omni sollicito inest abundantia, dulcis autem et carens dolore in egestate erit.
24. Corona sapientum astutus, conversatio autem imprudentum mala.
25. Liberabit de malis animam testis fidelis, accendit autem falsa dolosus.
26. In timore Domini spes fortitudinis, filiis autem suis relinquet firmamentum.
27. Præceptum Domini fons vitæ, facit autem declinare de laqueo mortis.
28. In multa gente gloria regis, in defectu autem populi contritio principis.
29. Longanimis vir multus in prudentia, pusillanimis autem valde imprudens.
30. Mansuetus vir cordis medicus, tinea autem ossium cor sensitivum.

31. Ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτὸν, ὁ δὲ τιμῶν αὐτὸν ἐλεεῖ πτωχόν.

32. Ἐν κακίᾳ αὐτοῦ ἀπωσθήσεται ἀσεβὴς, ὁ δὲ πεποιθὼς τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος.

33. Ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.

34. Δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι.

35. Δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους· ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει θυμόν· λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς.

2. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, στόμα δὲ ἀφρόνων ἀναγγέλλει κακά.

3. Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς.

4. Ἴασις γλώσσης δένδρον ζωῆς, ὁ δὲ συντηρῶν αὐτὴν πλησθήσεται πνεύματος.

5. Ἄφρων μυκτηρίζει παιδείαν πατρὸς, ὁ δὲ φυλάσσων ἐντολὰς πανουργότερος. Ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς πολλὴ, οἱ δὲ ἀσεβεῖς ὁλόῤῥιζοι ἐκ γῆς ἀπολοῦνται.

6. Οἴκοις δικαίων ἰσχὺς πολλὴ, καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται.

7. Χείλη σοφῶν δέδεται αἰσθήσει, καρδίαι δὲ ἀφρόνων οὐκ ἀσφαλεῖς.

8. Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ.

9. Βδέλυγμα Κυρίῳ ὁδοὶ ἀσεβοῦς, διώκοντας δὲ δικαιοσύνην ἀγαπᾷ.

10. Παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων, οἱ δὲ μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς.

11. Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ Κυρίῳ, πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων;

12. Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτὸν, μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει.

13. Καρδίας εὐφραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει.

14. Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν, στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά.

15. Πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακὰ, οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διαπαντός.

16. Κρεῖσσον μικρὰ μερὶς μετὰ φόβου Κυρίου, ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας.

17. Κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ παράθεσις μόσχων μετὰ ἔχθρας.

18. Ἀνὴρ θυμώδης παρασκευάζει μάχας· μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει. Μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις, ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον.

19. Ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις, αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι.

20. Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ.

21. Ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται.

22. Ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια, ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή.

31. Qui calumniatur pauperem irritat eum qui fecit illum, qui autem honorat illum miseretur inopis.

32. In malitia sua repelletur impius, qui autem fidit suæ sanctitati justus.

33. In corde bono viri sapientia, in corde autem imprudentum non dignoscitur.

34. Justitia exaltat gentem, minuunt autem tribus peccata.

35. Acceptus regi minister intelligens, sua autem agilitate aufert ignominiam.

CAPUT XV.

1. Ira perdit et prudentes : responsio autem submissa avertit furorem : sermo autem tristis suscitat iras.

2. Lingua sapientum bona novit, et os stultorum pronuntiat mala.

3. In omni loco oculi Domini speculantur et bonos et malos.

4. Sanitas linguæ arbor vitæ, qui autem conservat eam implebitur spiritu.

5. Imprudens subsannat disciplinam patris, qui autem custodit mandata astutior. In abundanti justitia fortitudo multa, impii autem radicitus de terra peribunt.

6. Domibus justorum fortitudo multa, fructus autem impiorum peribunt.

7. Labia sapientum alligata sunt sensu, corda autem imprudentum non secura.

8. Sacrificia impiorum abominatio Domino, vota autem recte ambulantium accepta apud eum.

9. Abominatio Domino viæ impii, sequentes autem justitiam diligit.

10. Disciplina innocentis cognoscitur a prætereuntibus, qui autem oderunt correptiones moriuntur turpiter.

11. Infernus et perditio manifesta apud Dominum, quomodo non et corda hominum?

12. Non diliget indisciplinatus castigantem se, cum sapientibus autem non conversabitur.

13. Cordis læti facies floret, in tristitiis autem positi mœsta est.

14. Cor rectum quærit sensum, os autem indisciplinatorum cognoscet mala.

15. Omni tempore oculi malorum suscipiunt mala, boni autem quiescunt semper.

16. Melius parva pars cum timore Domini, quam thesauri magni sine timore.

17. Melior hospitalitas cum oleribus ad amicitiam et gratiam, quam appositio vitulorum cum inimicitia.

18. Vir animosus parat rixas : longanimis autem et eam quæ futura erat mitigat. Longanimis vir exstinguet judicia, impius autem suscitat magis.

19. Viæ otiosorum stratæ spinis, fortium vero tritæ.

20. Filius sapiens lætificat patrem, filius autem imprudens subsannat matrem suam.

21. Dementis semitæ indigentes corde, vir autem prudens recta tendens vadit.

22. Differunt cogitationes qui non honorant consessus, in cordibus autem consultantium manet consilium.

23. Οὐ μὴ ὑπακούσει ὁ κακὸς αὐτῇ, οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ.

24. Ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ.

25. Οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, ἐστήρισε δὲ ὅριον χήρας.

26. Βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος, ἁγνῶν δὲ ῥήσεις σεμναί.

27. Ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης, ὁ δὲ μισῶν δώρων λήψεις σώζεται. Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

28. Καρδίαι δικαίων μελετῶσι πίστεις, στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά. Δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων, διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται.

29. Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν, εὐχαῖς δὲ δικαίων ἐπακούει. Κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. (a)

23. Non obediet malus illi, neque dicet opportunum quid et bonum communi.

24. Viæ vitæ excogitationes intelligentis, ut declinans ex inferno salvetur.

25. Domos contumeliosorum diruit Dominus, firmavit autem terminum viduæ.

26. Abominatio Domino cogitatio injusta, purorum autem eloquia honesta.

27. Disperdit seipsum acceptor munerum, qui autem odit munerum acceptiones salvatur. Eleemosynis et fide purgantur peccata, timore autem Domini declinat omnis a malo.

28. Corda justorum meditantur fides, os autem impiorum respondet mala. Acceptæ apud Dominum viæ hominum justorum, per ipsos autem et inimici fiunt amici.

29. Longe abest Deus ab impiis, preces autem justorum exaudiet. Melior parva acceptio cum justitia, quam multa genimina cum injustitia.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

(b) 9. Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ.

(a) 30. Θεωρῶν ὀφθαλμὸς καλὰ εὐφραίνει καρδίαν, φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ. (*)

32. Ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτὸν, ὁ δὲ τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν αὐτοῦ.

33. Φόβος Κυρίου παιδεία καὶ σοφία, καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ. Πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ Θεῷ, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται.

(**) 5. Ἀκάθαρτος παρὰ Θεῷ πᾶς ὑψηλοκάρδιος, χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθῳωθήσεται. Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίας. Ὁ ζητῶν τὸν Κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρήσουσιν εἰρήνην. Πάντα τὰ ἔργα τοῦ Κυρίου μετὰ δικαιοσύνης, φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.

10. Μαντεῖον ἐπὶ χείλεσι βασιλέως, ἐν δὲ κρίσει οὐ μὴ πλανηθῇ τὸ στόμα αὐτοῦ.

11. Ῥοπὴ ζυγοῦ δικαιοσύνη παρὰ Κυρίῳ, τὰ δὲ ἔργα αὐτοῦ στάθμια δίκαια.

CAPUT XVI.

9. Cor viri cogitet justa, ut a Deo dirigantur gressus ejus.

30. Spectans oculus pulchra lætificat cor, fama autem bona impinguat ossa.

32. Qui expellit disciplinam odit seipsum, qui autem servat correptiones diligit animam suam.

33. Timor Domini disciplina et sapientia, et principium gloriæ respondebit ei. Omnia opera humilis manifesta apud Deum, impii autem in die mala peribunt.

5. Immundus apud Deum omnis sublimis corde, manu autem manus inferens injuste non erit innocens. Initium viæ bonæ facere justa, accepta autem sunt apud Deum magis quam immolare hostias. Qui quærit Dominum inveniet scientiam cum justitia: et qui recte quærunt eum, invenient pacem. Omnia opera Domini cum justitia, servatur autem impius in diem malam.

10. Divinatio in labiis regis, in judicio autem non errabit os ejus.

11. Momentum stateræ justitia apud Dominum, opera autem ejus pondera justa.

(*) 31. Ὁ εἰσακούων ἐλέγχους ζωῆς, ἐν μέσῳ σοφῶν αὐλισθήσεται. (*Ald.*)

(**) 1. Τῷ ἀνθρώπῳ προθέσεις καρδίας· καὶ παρὰ Κυρίου ἀπόκρισις γλώσσης.

2. Πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ Θεῷ· καὶ ἑδράζων πνεύματα Κύριος.

3. Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σου, καὶ ἑδρασθήσονται οἱ λογισμοί σου.

4. Πάντα εἰργάσατο Κύριος δι' ἑαυτόν· οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. (*Schol. Rom.*)

6. Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

7. Δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων· διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται.

8. Κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. (*Alex.*) (b)

31. Qui audit increpationes vitæ, in medio sapientium commorabitur.

1. Homini proposita cordis: et a Domino responsio linguæ.

2. Omnia opera humilis manifesta apud Deum: et firmans ipse spiritus Dominus.

3. Devolve super Dominum opera tua, et firmabuntur cogitationes tuæ.

4. Omnia operatus est Dominus propter seipsum: impii autem in die mala peribunt.

6. Eleemosynis et fide absterguntur peccata: timore autem Domini declinat unusquisque a malo.

7. Gratæ sunt apud Deum viæ hominum justorum: per eas etiam inimici amici fiunt.

8. Melior est parva acceptio cum justitia, quam multa genimina cum iniquitate.

12. Βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακὰ, μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.

13. Δεκτὰ βασιλεῖ χείλη δίκαια, λόγους δὲ ὀρθοὺς ἀγαπᾷ.

14. Θυμὸς βασιλέως ἄγγελος θανάτου, ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν.

15. Ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως, οἱ δὲ προςδεκτοὶ αὐτῷ ὥςπερ νέφος ὄψιμον.

16. Νοσσιαὶ σοφίας αἱρετώτεραι χρυσίου, νοσσιαὶ δὲ φρονήσεως αἱρετώτεραι ὑπὲρ ἀργύριον.

17. Τρίβοι ζωῆς ἐκκλίνουσιν ἀπὸ κακῶν, μῆκος δὲ βίου ὁδοὶ δικαιοσύνης. « Ὁ δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσται, ὁ δὲ φυλάσσων ἐλέγχους σοφισθήσεται. Ὃς « φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς τηρεῖ τὴν ἑαυτοῦ ψυχὴν, « ἀγαπῶν δὲ ζωὴν αὐτοῦ φείσεται στόματος αὐτοῦ. »

18. Πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος κακοφροσύνη.

19. Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν.

20. Συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ Θεῷ μακαριστός.

21. Τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα ἀκούσονται.

22. Πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, παιδεία δὲ ἀφρόνων κακή.

23. Καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην.

24. Κηρία μέλιτος λόγοι καλοὶ, γλύκασμα δὲ αὐτοῦ ἴασις ψυχῆς.

25. Εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρὶ, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.

26. Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ καὶ ἐκβιάζεται τὴν ἀπώλειαν ἑαυτοῦ. Ὁ μέν τοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν.

27. Ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακὰ, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.

28. Ἀνὴρ σκολιὸς διαπέμπεται κακὰ, καὶ λαμπτῆρα δόλου πυρσεύσει κακοῖς, καὶ διαχωρίζει φίλους.

29. Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς.

30. Στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ διαλογίσεται διεστραμμένα, ὁρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά· οὗτος κάμινός ἐστι κακίας.

31. Στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται.

32. Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, ὁ δὲ κρατῶν ὀργῆς κρείσσων καταλαμβανομένου πόλιν.

33. Εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια.

12. Abominatio regi is qui facit mala, nam cum justitia paratur solium principatus.

13. Accepta regi labia justa, sermones autem rectos diligit.

14. Furor regis nuntius mortis, vir autem sapiens placabit eum.

15. In lumine vitæ filius regis, qui autem valde accepti sunt ei tanquam nubilum serotinum.

16. Nidi sapientiæ magis eligendi auro, et nidi prudentiæ sunt magis eligendi super argentum.

17. Semitæ vitæ declinant a malis, longitudo autem vitæ viæ justitiæ. « Qui suscipit disciplinam in bonis erit, qui « autem custodit correptiones sapiens fiet. Qui custodit « vias suas servat suam animam, et qui diligit vitam suam « parcet ori suo. »

18. Ante contritionem præcedit contumelia, et ante ruinam mala cogitatio.

19. Melior mansuetus cum humiliatione, quam qui dividit spolia cum contumeliosis.

20. Intelligens in negotiis inventor bonorum, et qui fidit in Deo beatissimus.

21. Sapientes et intelligentes vocant malos, dulces autem in sermone plura audient.

22. Fons vitæ cogitatio possidentibus, disciplina autem imprudentum mala.

23. Cor sapientis cogitabit quæ ab ore proprio, et in labiis portabit doctrinam.

24. Favi mellis sermones boni, dulcedo autem ejus sanitas animæ.

25. Sunt viæ quæ videntur esse rectæ homini, attamen novissima eorum spectant in fundum inferni.

26. Vir in laboribus laborat sibi et vim facit in interitum suum. Perversus in ore suo portat perditionem.

27. Vir imprudens fodit sibi mala, et in labiis suis ignem condit.

28. Vir perversus transmittit mala, et facem doli accendet malis, et disjungit amicos.

29. Vir iniquus palpat amicos, et abducit eos per vias non bonas.

30. Qui autem obfirmat oculos suos cogitat perversa, et statuit labiis suis omnia mala : hic fornax est mali.

31. Corona gloriationis senectus, et in viis justitiæ invenitur.

32. Melior vir longanimis forti, et qui continet iracundiam melior est quam qui urbem capit.

33. In sinus veniunt omnia injustis, a Domino autem omnia justa.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

1. Κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης.

2. Οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη.

3. Ὥςπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ.

4. Κακὸς ὑπακούει γλώσσης παρανόμων, δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν.

CAPUT XVII.

1. Melior buccella cum voluptate in pace, quam domus multorum bonorum et injustarum victimarum cum jurgio.

2. Servus intelligens reget dominos stultos, in fratribus autem dividet partes.

3. Sicut probatur in camino argentum et aurum, ita electa corda apud Dominum.

4. Malus obedit linguæ iniquorum, justus autem non intendit labiis mendacibus.

5. Ὁ καταγελῶν πτωχοῦ παροξύνει τὸν ποιήσαντα αὐτὸν, ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσεται, ὁ δὲ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται.

6. Στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν. « Τοῦ πιστοῦ ὅλος ὁ κόσμος « τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός. »

7. Οὐχ ἁρμόσει ἄφρονι χείλη πιστὰ, οὐδὲ δικαίῳ χείλη ψευδῆ.

8. Μισθὸς χαρίτων παιδεία τοῖς χρωμένοις, οὗ δ' ἂν ἐπιστρέψῃ εὐοδωθήσεται.

9. Ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν· ὃς δὲ μισεῖ κρύπτειν, διΐστησι φίλους καὶ οἰκείους.

10. Συντρίβει ἀπειλὴ καρδίαν φρονίμου, ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται.

11. Ἀντιλογίας ἐγείρει πᾶς κακὸς, ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ.

12. Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι, οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά.

13. Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

14. Ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης, προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη.

15. Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ.

16. Ἱνατί ὑπῆρξε χρήματα ἄφρονι; κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται. Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβὴν, ὁ δὲ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται εἰς κακά.

17. Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, τούτου γὰρ χάριν γεννῶνται.

18. Ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ· ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τῶν ἑαυτοῦ φίλων.

19. Φιλαμαρτήμων χαίρει μάχαις, (*)

20. Ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς. Ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακὰ,

21. καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν. Οὐκ εὐφραίνεται πατὴρ ἐφ' υἱῷ ἀπαιδεύτῳ, υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ.

22. Καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ, ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ.

23. Λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλποις οὐ κατευοδοῦνται ὁδοὶ, ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης.

24. Πρόσωπον συνετὸν ἀνδρὸς σοφοῦ, οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ' ἄκρα γῆς.

25. Ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν.

26. Ζημιοῦν ἄνδρα δίκαιον οὐ καλὸν, οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις.

27. Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπιγνώμων· μακρόθυμος δὲ ἀνὴρ φρόνιμος.

28. Ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν σοφία λογισθήσεται, ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας δόξει φρόνιμος εἶναι.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται.

(*) 19.... Ὑψῶν θύραν αὐτοῦ, ζητεῖ συντριβήν. (*Sym. et Theo.*)

5. Qui irridet inopem irritat eum qui fecit illum, qui autem lætatur pereunte non erit innocens, ille autem cujus viscera commoventur misericordiam consequetur.

6. Corona senum filii filiorum, gloriatio autem filiorum patres eorum. « Ejus qui fidelis est totus mundus divitia« rum, illius autem qui infidelis est neque obolus. »

7. Non congruent imprudenti labia fidelia, neque justo labia mendacia.

8. Merces gratiarum disciplina iis qui utuntur, quocumque se verterit prosperabitur.

9. Qui celat injuste facta, quærit amicitiam : qui autem odit celare, dividit amicos et domesticos.

10. Conterunt minæ cor prudentis, imprudens autem flagellatus non sentit.

11. Contradictiones suscitat omnis malus, Dominus autem angelum immisericordem emittet ei.

12. Incidet sollicitudo viro intelligenti, imprudentes autem excogitabunt mala.

13. Qui reddit mala pro bonis, non movebuntur mala e domo ejus.

14. Potestatem dat sermonibus principium justitiæ, præcedit autem egestatem contentio et jurgium.

15. Qui justum judicat eum qui injustus, injustum autem eum qui justus, immundus et abominabilis apud Deum.

16. Ut quid sunt divitiæ imprudenti? acquirere enim sapientiam excors non poterit. Qui excelsam facit suam domum, quærit contritionem, qui autem tortuose accedit ad discendum incidet in mala.

17. In omne tempus amicus sit tibi, fratres autem in necessitatibus utiles sint, hujus enim rei gratia nascuntur.

18. Vir imprudens plaudit et congaudet sibi : cum etiam spondens spoponderit suos ipsius amicos.

19. Amans peccata gaudet rixis,

20. Et durus corde non occurrit bonis. Vir facile mutabilis lingua incidet in mala,

21. cor autem imprudentis dolor possidenti illud. Non lætatur pater super filio indisciplinato, filius autem prudens lætificat matrem suam.

22. Cor lætum facit bene habere, viri autem tristis siccantur ossa.

23. Accipientis munera injuste in sinibus non prosperantur viæ, impius autem declinat vias justitiæ.

24. Vultus intelligens viri sapientis, oculi autem imprudentis ad extrema terræ.

25. Ira patri filius imprudens, et dolor ei quæ peperit ipsum.

26. Damnum inferre viro justo non bonum, neque fas insidiari principibus justis.

27. Qui parcit verbum promere durum, bene sentiens : longanimis autem vir prudens.

28. Dementi interroganti sapientiam sapientia reputabitur, mutum autem quis se faciens videbitur prudens esse.

CAPUT XVIII.

1. Occasiones quærit vir qui vult recedere ab amicis, in omni autem tempore erit exprobrabilis.

19. ... Exaltans ostium suum, quærit ruinam.

2. Οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ.

3. Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος.

4. Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρὸς, ποταμὸς δὲ ἀναπηδύει καὶ πηγὴ ζωῆς.

5. Θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλὸν, οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

6. Χείλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακὰ, τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.

7. Στόμα ἄφρονος συντριβὴ αὐτῷ, τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ.

8. Ὀκνηροὺς καταβάλλει φόβος, ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν.

9. Ὁ μὴ ἰώμενος αὐτὸν ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.

10. Ἐκ μεγαλωσύνης ἰσχύος ὄνομα Κυρίου, αὐτῷ δὲ προςδραμόντες δίκαιοι ὑψοῦνται.

11. Ὕπαρξις πλουσίου ἀνδρὸς πόλις ὀχυρὰ, ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει.

12. Πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρὸς, καὶ πρὸ δόξης ταπεινοῦται.

13. Ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος.

14. Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος, ὀλιγόψυχον δὲ ἄνδρα τίς ὑποίσει;

15. Καρδία φρονίμου κτᾶται αἴσθησιν, ὦτα δὲ σοφῶν ζητεῖ ἔννοιαν.

16. Δόμα ἀνθρώπου ἐμπλατύνει αὐτὸν, καὶ παρὰ δυνάσταις καθιζάνει αὐτόν.

17. Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, ὡς δ' ἂν ἐπιβάλῃ ὁ ἀντίδικος ἐλέγχεται.

18. Ἀντιλογίας παύει σιγηρὸς, ἐν δὲ δυναστείαις ὁρίζει.

19. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλὴ, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.

20. Ἀπὸ καρπῶν στόματος ἀνὴρ πίμπλησι κοιλίαν αὐτοῦ, ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται.

21. Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς.

22. Ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας· ἔλαβεν δὲ παρὰ Θεοῦ ἱλαρότητα. Ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν, ἐκβάλλει τὰ ἀγαθά· ὁ δὲ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. (*)

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

3. (**) Ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ, τὸν δὲ Θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

4. Πλοῦτος προστίθησι φίλους πολλοὺς, ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου λείπεται.

2. Non opus habet sapientia is qui indiget corde, magis enim ducitur insipientia.

3. Cum venerit impius in profundum malorum, contemnit : supervenit autem ei inhonoratio et opprobrium.

4. Aqua profunda sermo in corde viri, flumen autem scaturit et fons vitæ.

5. Mirari personam impii non bonum, neque sanctum declinare justum in judicio.

6. Labia stulti ducunt eum in mala, et os ejus audax mortem invocat.

7. Os imprudentis contritio ei, labia autem ejus laqueus animæ ejus.

8. Pigros dejicit timor, animæ autem effœminatorum esurient.

9. Qui non medetur sibi in operibus suis, frater est perdentis seipsum.

10. Ex magnificentia fortitudinis nomen Domini, ei autem accurrentes justi exaltantur.

11. Substantia divitis viri urbs muntia, gloria autem ejus magnopere obumbrat.

12. Ante contritionem exaltatur cor viri, et ante gloriam humiliatur.

13. Qui respondet verbum priusquam audiat, imprudentia ei est et opprobrium.

14. Furorem viri mitigat servus prudens, pusillanimem autem virum quis sustinebit ?

15. Cor prudentis possidet sensum, aures autem sapientum quærunt cogitationem.

16. Donum hominis dilatat eum, et apud principes sedere facit eum.

17. Justus sui est accusator in principio sermonis, cum vero adjecerit adversarius arguitur.

18. Contradictiones sedat taciturnus, et in potentatibus definit.

19. Frater a fratre adjutus, tamquam urbs munita et excelsa, invalescit autem tamquam fundatum regnum.

20. De fructibus oris vir implet ventrem suum, et de fructibus labiorum suorum implebitur.

21. Mors et vita in manu linguæ, qui autem continent eam comedent fructus ejus.

22. Qui invenit mulierem bonam, invenit gratias : et accepit a Deo hilaritatem. Qui ejicit mulierem bonam, ejicit bona : qui autem tenet adulteram, stultus et impius.

CAPUT XIX.

3. Imprudentia viri vastat vias ejus, Deum autem accusat corde suo.

4. Divitiæ addunt amicos multos, inops autem et ab amico qui erat deseritur.

(*) 23. Δεήσεις φθέγγεται πένης· ὁ δὲ πλούσιος ἀποκρίνεται σκληρά.

24. Ἀνὴρ ἑταίρων πρὸς ἑταιρίαν, καὶ ἔστι φίλος, προςκολληθεὶς ὑπὲρ ἀδελφόν. (*Compl.*)

(**) 1. Κρείσσων ἐστὶ πτωχὸς πορευόμενος ἐν ἁπλότητι αὐτοῦ, ἢ στρεβλὸς τοῖς χείλεσιν αὐτοῦ, καὶ αὐτὸς ἀνόητος.

2. Καίγε χωρὶς ἐπιστήμης, ψυχὴ οὐκ ἀγαθή· καὶ ὁ σπεύδων τοῖς ποσὶν, ἁμαρτάνει. (*Compl.*)

23. Obsecrationes loquetur pauper : dives autem effabitur rigide.

24. Vir amabilis adsocietatem, estque amicus, agglutinatus super fratrem.

1. Melior est pauper gradiens in simplicitate sua, quam tortuosus labiis suis, et ipse insipiens.

2. Et sine scientia, anima non est bona : et festinans pedibus, offendit.

5. Μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὁ δὲ ἐγκαλῶν ἀδίκως οὐ διαφεύξεται.

6. Πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέων, πᾶς δὲ ὁ κακὸς γίνεται ὄνειδος ἀνδρί.

7. Πᾶς ὃς ἀδελφὸν πτωχὸν μισεῖ, καὶ φιλίας μακρὰν ἔσται. Ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ, ἀνὴρ δὲ φρόνιμος εὑρήσει αὐτήν. Ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ κακίαν, ὃς δὲ ἐρεθίζει λόγους οὐ σωθήσεται.

8. Ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτὸν, ὃς δὲ φυλάσσει φρόνησιν εὑρήσει ἀγαθά.

9. Μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὃς δ' ἂν ἐκκαύσῃ κακίαν ἀπολεῖται ὑπ' αὐτῆς.

10. Οὐ συμφέρει ἄφρονι τρυφὴ, καὶ ἐὰν οἰκέτης ἄρξηται μεθ' ὕβρεως δυναστεύειν.

11. Ἐλεήμων ἀνὴρ μακροθυμεῖ, τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις.

12. Βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος· ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ.

13. Αἰσχύνη πατρὶ υἱὸς ἄφρων, οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας.

14. Οἶκον καὶ ὕπαρξιν μερίζουσι πατέρες παισὶ, παρὰ δὲ Κυρίου ἁρμόζεται γυνὴ ἀνδρί.

15. Δειλία κατέχει ἀνδρόγυνον, ψυχὴ δὲ ἀεργοῦ πεινάσει.

16. Ὃς φυλάσσει ἐντολὴν τηρεῖ τὴν ἑαυτοῦ ψυχὴν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται.

17. Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχὸν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ.

18. Παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις· εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου.

19. Κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται· ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει.

20. Ἄκουε, υἱὲ, παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ' ἐσχάτων σου.

21. Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρὸς, ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει.

22. Καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψευδής.

23. Φόβος Κυρίου εἰς ζωὴν ἀνδρὶ, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις οὗ οὐκ ἐπισκοπεῖται γνῶσις.

24. Ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσενείκῃ αὐτάς.

25. Λοιμοῦ μαστιγουμένου ἄφρων πανουργότερος γίνεται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν.

26. Ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ καταισχυνθήσεται καὶ ἐπονείδιστος ἔσται.

27. Υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρὸς, μελετήσει ῥήσεις κακάς.

28. Ὁ ἐγγυώμενος παῖδα ἄφρονα καθυβρίσει δικαίωμα, στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις.

29. Ἑτοιμάζονται ἀκολάστοις μάστιγες, καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

1. Ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη, πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

2. Οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμοῦ λέοντος, ὁ δὲ παροξύνων αὐτὸν ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν.

5. Testis falsus non impunitus erit, et qui accusat inique non effugiet.

6. Multi colunt facies regum, omnis autem malus fit opprobrium viro.

7. Omnis qui fratrem inopem odit, etiam ab amicitia longe erit. Cogitatio bona scientibus eam appropinquabit, et vir prudens inveniet eam. Multa malefaciens perficit malitiam, qui autem contendit verbis non salvabitur.

8. Qui possidet prudentiam diligit seipsum, qui autem custodit prudentiam inveniet bona.

9. Testis falsus non impunitus erit, qui autem accenderit malum peribit ab eo.

10. Non conferunt imprudenti deliciæ, et si famulus incipiat cum contumelia dominari.

11. Misericors vir longanimis est, gloriatio autem ejus supervenit iniquis.

12. Regis comminatio similis fremitui leonis : tamquam autem ros super herbam, sic hilaritas ejus.

13. Confusio patri filius imprudens, non pura vota de mercede meretricis.

14. Domum et substantiam dividunt patres pueris, a Domino autem aptatur mulier viro.

15. Pavor detinet effœminatum, anima autem otiosi esuriet.

16. Qui custodit mandatum servat suam animam, qui autem negligit suas vias peribit.

17. Fœnerat Deo qui miseretur pauperis, secundum datum autem ejus retribuet ei.

18. Erudi filium tuum, sic enim erit bonæ spei : ad contumeliam autem ne eleveris animo tuo.

19. Male cogitans vir multa damna patietur : si autem corruperit, et animam suam addet.

20. Audi, fili, disciplinam patris tui, ut sapiens sis in novissimis tuis.

21. Multæ cogitationes in corde viri, consilium autem Domini in sæculum manet.

22. Fructus viro misericordia, melior autem pauper justus quam mendax dives.

23. Timor Domini ad vitam viro, carens autem timore morabitur in locis ubi non consideratur scientia.

24. Qui abscondit in sinum suum manus injuste, neque ori quidem admovebit eas.

25. Pestilente flagellato stultus astutior fit : si autem corripueris virum prudentem, cogitabit sensum.

26. Qui inhonorat patrem et expellit matrem suam confundetur et exprobrabilis erit.

27. Filius omittens custodire disciplinam patris, meditabitur eloquia mala.

28. Qui spondet puerum imprudentem contumelia afficiet justificationem, os autem impiorum devorabit judicia.

29. Parantur intemperantibus flagella, et supplicia similiter imprudentibus.

CAPUT XX.

1. Prodigum est vinum et contumeliosa ebrietas, omnis autem imprudens talibus complicatur.

2. Non differt comminatio regis a furore leonis, qui autem irritat eum peccat in suam ipsius animam..

3. Δόξα ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας, πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

4. Ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχύνεται, ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμητῷ.

5. Ὕδωρ βαθὺ, βουλὴ ἐν καρδίᾳ ἀνδρός· ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν.

6. Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων, ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν.

7. Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖδας αὐτοῦ καταλείψει.

8. Ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ θρόνου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν.

9. Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; (a)

(b) 20. Κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπτὴρ, αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος.

21. Μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις, ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται.

22. Μὴ εἴπῃς· Τίσομαι τὸν ἐχθρὸν, ἀλλ' ὑπόμεινον τὸν Κύριον ἵνα σοι βοηθήσῃ.

(a) 10. Στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα δισσὰ, ἀκάθαρτα ἐνώπιον Κυρίου καὶ ἀμφότερα, καὶ ὁ ποιῶν αὐτά.

11. Ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ συμποδισθήσεται νεανίσκος μετὰ ὁσίου, καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ.

12. Οὖς ἀκούει καὶ ὀφθαλμὸς ὁρᾷ, Κυρίου ἔργα καὶ ἀμφότερα.

13. Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς. Διάνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἐμπλήσθητι ἄρτων. (*)

23. Βδέλυγμα Κυρίῳ δισσὸν στάθμιον, καὶ ζυγὸς δόλιος οὐ καλὸν ἐνώπιον αὐτοῦ.

24. Παρὰ Κυρίου εὐθύνεται τὰ διαβήματα ἀνδρὶ, θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδοὺς αὐτοῦ;

25. Παγὶς ἀνδρὶ ταχύ τι τῶν ἰδίων ἁγιάσαι, μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται.

26. Λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφὸς, καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν.

27. Φῶς Κυρίου πνοὴ ἀνθρώπων, ὃς ἐρευνᾷ ταμιεῖα κοιλίας.

28. Ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βασιλεῖ, καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ.

29. Κόσμος νεανίαις σοφία, δόξα δὲ πρεσβυτέρων πολιαί.

30. Ὑπώπια καὶ συντρίμματα συναντᾷ κακοῖς, πληγαὶ δὲ εἰς ταμιεῖα κοιλίας.

3. Gloria viro aversari contumeliam, omnis autem imprudens talibus complicatur.

4. Exprobratus piger non confunditur, similiter et qui fœnore accipit frumentum in messe.

5. Aqua profunda, consilium in corde viri : vir autem prudens exhauriet illud.

6. Magnum homo et pretiosum vir misericors, hominem autem fidelem opus est invenire.

7. Qui conversatur sine vituperatione in justitia, beatos filios suos relinquet.

8. Cum rex justus sederit super thronum, non adversatur in oculis ejus omne malum.

9. Quis gloriatur castum se habere cor? aut quis gloriabitur mundum se esse a peccatis?

20. Maledicentis patrem aut matrem exstinguetur fax, pupillæ autem oculorum ejus videbunt tenebras.

21. Pars festinata in primis, in novissimis non benedicetur.

22. Ne dixeris : Ulciscar inimicum, sed sustine Dominum ut tibi auxilio sit.

10. Pondus magnum et pusillum et mensuræ duplices, immunda sunt apud Dominum et utraque, et qui facit ea.

11. In adinventionibus suis compedietur adolescens cum sancto, et recta via ejus.

12. Auris audit et oculus videt, Domini opera et utraque.

13. Noli diligere detrahere, ne extollaris. Aperi oculos tuos et implere panibus.

23. Abominatio Domino duplex pondus, et statera dolosa non bonum coram eo.

24. A Domino diriguntur gressus viro, mortalis autem quomodo cogitaverit vias suas?

25. Laqueus viro cito quid ex propriis sanctificare, postea enim quam voverit evenit pœnitere.

26. Ventilator impiorum rex sapiens, et immittet illis rotam.

27. Lux Domini spiraculum hominum, qui scrutatur secreta ventris.

28. Misericordia et veritas tutela regi, et circuibunt in justitia sedem ejus.

29. Ornatus adolescentibus sapientia, gloria autem seniorum canities.

30. Livores et contritiones occurrunt malis, plagæ autem in secreta ventris.

(*) 14. Πονηρὸν, πονηρὸν, ἐρεῖ ὁ κτώμενος· καὶ πορευθεὶς, τότε καυχήσεται.

15. Ἔστι χρυσίον καὶ πλῆθος ἐσωτάτων, καὶ σκεῦος τίμιον χείλη γνώσεως.

16. Λάβε τὸ ἱμάτιον αὐτοῦ, ὅτι ἐνεγγυήσατο ἀλλότριον, καὶ περὶ ξένης ἐνεχύρασεν αὐτόν.

17. Ἡδύνθη ἀνθρώπῳ ἄρτος ψεύδους· καὶ μετὰ τοῦτο πληρωθήσεται τὸ στόμα αὐτοῦ ψηφίδος.

18. Λογισμὸς ἐν βουλῇ ἑτοιμασθήσεται, καὶ ἐν κυβερνήσεσιν ποίει πόλεμον.

19. Ἀποκαλύπτων μυστήριον πορεύεται δόλῳ· καὶ ἀπατῶντι χείλη αὐτοῦ μὴ συναναμίσγου. (*Schol. Rom.*) (b)

14. Malum, malum, dicet qui acquirit : et cum recesserit, tunc gloriabitur.

15. Est aurum et multitudo penitissimorum, et vas pretiosum labia scientiæ.

16. Tolle vestimentum ejus, quia fidejussor exstitit, et pro extranea oppigneravit se.

17. Suavis est homini panis mendax : et postea implebitur os ejus calculo.

18. Cogitatio in consilio præparabitur, et in rationibus gubernandi fac bellum.

19. Revelans mysterium ambulat fraudulenter : et seducenti labiis suis ne commiscearis.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

1. Ὥςπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χειρὶ Θεοῦ· οὗ ἐὰν θέλων νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν.

2. Πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος, κατευθύνει δὲ καρδίας Κύριος.

3. Ποιεῖν δίκαια καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.

4. Μεγαλόφρων ἐν ὕβρει θρασυκάρδιος, λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρτία. (*)

6. Ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει ἐπὶ παγίδας θανάτου.

7. Ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται, οὐ γὰρ βούλονται πράσσειν τὰ δίκαια.

8. Πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ Θεὸς, ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ.

9. Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ.

10. Ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ' οὐδενὸς τῶν ἀνθρώπων.

11. Ζημιουμένου ἀκολάστου πανουργότερος γίνεται ὁ ἄκακος, συνιὼν δὲ σοφὸς δέξεται γνῶσιν.

12. Συνιεῖ δίκαιος καρδίας ἀσεβῶν, καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς.

13. Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἐπακοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰςακούων.

14. Δόσις λάθριος ἀνατρέπει ὀργὰς, δώρων δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν.

15. Εὐφροσύνη δικαίων ποιεῖν κρῖμα, ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις.

16. Ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται.

17. Ἀνὴρ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην, φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον,

18. περικάθαρμα δὲ δικαίου ἄνομος, (**)

19. Κρεῖσσον οἰκεῖν ἐν τῇ ἐρήμῳ ἢ μετὰ γυναικὸς μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου.

20. Θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ, ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν.

21. Ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν.

22. Πόλεις ὀχυρὰς ἐπέβη σοφὸς, καὶ καθεῖλε τὸ ὀχύρωμα ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς.

23. Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

24. Θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται· ὃς δὲ μνησικακεῖ, παράνομος.

25. Ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν, οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι.

26. Ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακὰς, ὁ δὲ δίκαιος ἐλεᾷ καὶ οἰκτείρει ἀφειδῶς.

27. Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς.

28. Μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει.

(*) 5. Λογισμοὶ συντέμνοντος πλὴν εἰς περισσείαν, καὶ πᾶς ἐπισπουδάζων πλὴν εἰς ὑστέρημα. (*Schol. Rom.*)

(**) 18. ... καὶ ἀντὶ εὐθειῶν ἀσύνετος. (*Compl.*)

CAPUT XXI.

1. Sicut impetus aquæ, ita cor regis in manu Dei : quocumque voluerit innuere, illuc inclinavit illud.

2. Omnis vir videtur sibi justus, dirigit autem corda Dominus.

3. Facere justa et veracem esse, placita apud Deum magis quam hostiarum sanguis.

4. Magna sapiens in contumelia audax corde, fax autem impiorum peccatum.

6. Qui operatur thesauros lingua mendaci, vana sectatur in laqueos mortis.

7. Perditio impiis hospitio suscipietur, non enim volunt agere justa.

8. Ad perversos perversas vias mittit Deus, munda enim et recta opera ejus.

9. Melius habitare super angulum sub dio, quam in calce litis cum iniquitate et in domo communi.

10. Anima impii non consequetur misericordiam ab ullo hominum.

11. Mulctato intemperante astutior fit simplex, intelligens autem sapiens suscipiet scientiam.

12. Intelligit justus corda impiorum, et vilipendit impios in malis.

13. Qui obturat aures suas ne audiat imbecillum, et ipse invocabit et non erit qui exaudiat.

14. Munus occultum avertit iras, muneribus autem qui parcit furorem suscitat fortem.

15. Lætitia justorum facere judicium, sanctus autem immundus est apud malos.

16. Vir errans a via justitiæ in synagoga gigantum requiescet.

17. Vir egenus amat lætitiam, diligens vinum et oleum ad divitias,

18. circumpurgatio autem justi iniquus.

19. Melius habitare in deserto quam cum muliere rixosa et linguosa et iracunda.

20. Thesaurus desiderabilis requiescet super os sapientis, imprudentes autem viri devorabunt illum.

21. Via justitiæ et misericordiæ inveniet vitam et gloriam.

22. Civitates munitas ingressus est sapiens, et diruit munitionem in qua confidebant impii.

23. Qui custodit os suum et linguam, conservat de tribulatione animam suam.

24. Audax et arrogans et ostentator pestilens vocatur : qui autem injuriarum memor est, iniquus.

25. Desideria pigrum interficiunt, non enim eligunt manus ejus facere quicquam.

26. Impius concupiscit tota die concupiscentias malas, justus autem miseretur et miseratur non parce.

27. Hostiæ impiorum abominatio Domino, etenim inique offerunt eas.

28. Testis falsus peribit, vir autem obediens custoditus loquetur.

5. Cogitationes collecti (*solliciti hominis*) tantum ad abundantiam, et omnis festinans tantum ad inopiam.

18. ... et pro rectis iniquus.

29. Ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προςώπῳ, ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ.

30. Οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία, οὐκ ἔστι βουλὴ πρὸς τὸν ἀσεβῆ.

31. Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου, παρὰ δὲ Κυρίου ἡ βοήθεια.

29. Impius vir imprudenter subsistit facie, rectus autem ipse intelliget vias suas.

30. Non est sapientia, non est fortitudo, non est consilium apud impium.

31. Equus paratur ad diem belli, a Domino autem auxilium.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

1. Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολὺς, ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.

2. Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησε.

3. Πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς, αὐτὸς παιδεύεται· οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν.

4. Γενεὰ σοφίας φόβος Κυρίου, καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.

5. Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς, ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν ἀφέξεται αὐτῶν. (*)

7. Πλούσιοι πτωχῶν ἄρξουσι, καὶ οἰκέται ἰδίοις δεσπόταις δανειοῦσιν.

8. Ὁ σπείρων φαῦλα θερίσει κακὰ, πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει. Ἄνδρα ἱλαρὸν καὶ δότην εὐλογεῖ ὁ Θεὸς, ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει.

9. Ὁ ἐλεῶν πτωχὸν αὐτὸς διατραφήσεται, τῶν γὰρ ἑαυτοῦ ἄρτων ἔδωκε τῷ πτωχῷ. Νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δοὺς, τὴν μέντοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων.

10. Ἔκβαλε ἐκ συνεδρίου λοιμὸν, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος· ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει.

11. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι· χείλεσι ποιμαίνει βασιλεύς.

12. Οἱ δὲ ὀφθαλμοὶ Κυρίου διατηροῦσιν αἴσθησιν, φαυλίζει δὲ λόγους παράνομος.

13. Προφασίζεται καὶ λέγει ὀκνηρός· Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.

14. Βόθρος βαθὺς στόμα παρανόμου, ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίου ἐμπεσεῖται εἰς αὐτόν. Εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρὸς, καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέψαι ἀπ' αὐτῶν, ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς.

15. Ἄνοια ἐξῆπται καρδίας νέου, ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτοῦ.

16. Ὁ συκοφαντῶν πένητα πολλὰ ποιεῖ τὰ ἑαυτοῦ, δίδωσι δὲ πλουσίῳ ἐπ' ἐλάσσονι.

17. Λόγοις σοφῶν παράβαλλε σὸν οὖς καὶ ἄκουε ἐμὸν λόγον· τὴν δὲ σὴν καρδίαν ἐπίστησον, ἵνα γνῷς ὅτι καλοί εἰσιν.

18. Καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου, εὐφρανοῦσί σε ἅμα ἐπὶ σοῖς χείλεσι·

19. ἵνα σου γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς, καὶ γνωρίσῃ σοι τὴν ὁδόν σου.

20. Καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ τρισσῶς, εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.

CAPUT XXII.

1. Eligibilius nomen bonum quam divitiæ multæ, super argentum vero et aurum gratia bona.

2. Dives et pauper obviaverunt sibi, utrosque autem Dominus fecit.

3. Callidus videns malignum punitum valde, ipse eruditur: imprudentes autem prætereuntes damno affecti sunt.

4. Progenies sapientiæ timor Domini, et divitiæ et gloria et vita.

5. Tribuli et laquei in viis perversis, qui autem custodit animam suam abstinebit ab eis.

7. Divites pauperibus imperabunt, et famuli propriis dominis fœnerabunt.

8. Qui seminat mala metet mala, plagam autem operum suorum consummabit. Virum hilarem et datorem benedicit Deus, vanitatem vero operum ejus consummabit.

9. Qui miseretur pauperis ipse enutrietur, de suis enim panibus dedit pauperi. Victoriam et honorem acquirit qui dat munera, et animam quidem aufert possidentium.

10. Ejice e consessu pestilentem, et exibit simul cum eo jurgium: nam cum sederit in consessu, omnes inhonorat.

11. Diligit Dominus sancta corda, accepti autem sunt ei omnes immaculati: labiis pascit rex.

12. Oculi autem Domini conservant sensum, vilipendit autem verba iniquus.

13. Excusationem affert et dicit piger: Leo in viis, et in plateis sicarii.

14. Fovea profunda os iniqui, qui autem odio habetur a Deo incidet in illam. Sunt viæ malæ coram viro, et non diligit reverti ab eis, avertere autem se oportet a via perversa et mala.

15. Dementia pendet e corde juvenis, virga autem et disciplina longe ab eo.

16. Qui calumniatur pauperem multa facit sua, dat autem diviti ad minus.

17. Sermonibus sapientum admove aurem tuam et audi meum sermonem: et cor tuum firma, ut cognoscas quia boni sunt.

18. Et si immiseris eos in cor tuum, ædificabunt te simul in tuis labiis:

19. ut tua fiat super Dominum spes, et notam tibi faciat viam tuam.

20. Et tu vero describe ea tibi tripliciter, in consilio et scientia super latitudinem cordis tui.

(*) 6. Ἐγκαινισμὸς νέου κατὰ τὴν ὁδὸν αὐτοῦ· καίγε ὅταν γηράσῃ, οὐκ ἀποστήσεται ἀπ' αὐτοῦ. (*Schol. Rom.*)

6. Dedicatio juvenis secundum viam ejus: etiam cum senuerit, non recedet ab ea.

21. Διδάσκω οὖν σε ἀληθῆ λόγον, καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν, τοῦ ἀποκρίνεσθαί σε λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι.
22. Μὴ ἀποβιάζου πένητα, πτωχὸς γάρ ἐστι· καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις·
23. Ὁ γὰρ Κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν, καὶ ῥύσῃ σὴν ἄσυλον ψυχήν.
24. Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου·
25. μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ.
26. Μὴ δίδου σεαυτὸν εἰς ἐγγύην αἰσχυνόμενος πρόσωπον·
27. ἐὰν γὰρ μὴ ἔχῃς πόθεν ἀποτίσῃς, λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου.
28. Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.
29. Ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνδράσι νωθροῖς.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

1. Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυνάστου, νοητῶς νόει τὰ παρατιθέμενά σοι.
2. Καὶ ἐπίβαλλε τὴν χεῖρά σου, εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρασκευάσαι. Εἰ δὲ ἀπληστότερος εἶ,
3. μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ· ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς.
4. Μὴ παρεκτείνου πένης ὢν πλουσίῳ, τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου.
5. Ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὸν, οὐδαμοῦ φανεῖται· κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ, καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ.
6. Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ, μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ·
7. ὃν τρόπον γὰρ εἴ τις καταπίοι τρίχα, οὕτως ἐσθίει καὶ πίνει. Μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν, καὶ φάγῃς τὸν ψωμόν σου μετ' αὐτοῦ·
8. ἐξεμέσει γὰρ αὐτὸν καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς καλούς.
9. Εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μήποτε μυκτηρίσῃ τοὺς συνετοὺς λόγους σου.
10. Μὴ μεταθῇς ὅρια αἰώνια, εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς.
11. Ὁ γὰρ λυτρούμενος αὐτοὺς Κύριος, κραταιός ἐστι, καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ.
12. Δὸς εἰς παιδείαν τὴν καρδίαν σου, τὰ δὲ ὦτα σου ἑτοίμασον λόγοις αἰσθήσεως.
13. Μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ.
14. Σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ.
15. Υἱὲ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν·
16. καὶ ἐνδιατρίψει λόγοις τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χείλη, ἐὰν ὀρθὰ ὦσι.
17. Μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλοὺς, ἀλλὰ ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν.

21. Doceo igitur te verum sermonem, et scientiam bonam obaudire, ut respondeas sermones veritatis his qui proponunt tibi.
22. Non facias violentiam pauperi, inops enim est: neque inhonores imbecillum in portis.
23. Dominus enim judicabit ejus judicium, et erues tuam animam tutam.
24. Noli esse sodalis viro furioso, neque cum amico iracundo cohabites:
25. ne forte discas vias ejus, et accipias laqueos animæ tuæ.
26. Ne dederis te in fidejussionem reveritus faciem:
27. si enim non habueris unde solvas, tollent stratum quod sub costis tuis.
28. Noli transferre terminos æternos, quos posuerunt patres tui.
29. Pervidentem virum et acutum in operibus suis oportet regibus assistere, et non assistere viris socordibus.

CAPUT XXIII

1. Si sederis cœnare ad mensam potentis, sapienter intellige quæ apponuntur tibi.
2. Et mitte manum tuam, sciens quod oportet te talia præparare. Si autem insatiabilis es,
3. noli concupiscere escas ejus: hæc enim obtinent vitam falsam.
4. Ne extendas te cum sis pauper ad divitem, tua autem consideratione abstine.
5. Si intenderis oculum tuum erga eum, nusquam apparebit: paratæ enim sunt ei alæ tamquam aquilæ, et revertit in domum præsidis sui.
6. Ne cœnes una cum viro invido, neque concupiscas escas ejus:
7. quemadmodum enim si quis deglutiat pilum, sic comedit et bibit. Neque ad te introducas eum, et comedas buccellam tuam cum eo:
8. evomet enim illam et contaminabit sermones tuos bonos.
9. In aures imprudentis noli quicquam dicere, ne forte irrideat sapientes sermones tuos.
10. Ne transponas terminos æternos, et in possessionem orphanorum ne ingrediaris.
11. Qui enim redimit eos Dominus, validus est, et judicabit judicium eorum tecum.
12. Da in disciplinam cor tuum, aures autem tuas adhibe sermonibus sensus.
13. Ne destiteris parvulum emendare, quoniam si percusseris eum virga, non morietur.
14. Nam tu quidem percutis eum virga, animam autem ejus e morte erues.
15. Fili, si sapiens fuerit tuum cor, lætificabis et meum cor:
16. et immorabuntur sermonibus tua labia ad mea labia, si recta fuerint.
17. Non æmuletur cor tuum peccatores, sed in timore Domini esto tota die.

18. Ἐὰν γὰρ τηρήσῃς αὐτὰ, ἔσται σοι ἔκγονα, ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται.

19. Ἄκουε, υἱὲ, καὶ σοφὸς γίνου, καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας.

20. Μὴ ἴσθι οἰνοπότης, μηδὲ ἐκτείνου συμβολαῖς, κρεῶν τε ἀγορασμοῖς.

21. Πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.

22. Ἄκουε, υἱὲ, πατρὸς τοῦ γεννήσαντός σε· καὶ μὴ καταφρόνει ὅτι γεγήρακέ σου ἡ μήτηρ. (*)

24. Καλῶς ἐκτρέφει πατὴρ δίκαιος, ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ.

25. Εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοὶ, καὶ χαιρέτω ἡ τεκοῦσά σε.

26. Δός μοι, υἱὲ, σὴν καρδίαν· οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν.

27. Πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος, καὶ φρέαρ στενὸν, ἀλλότριον.

28. Οὗτος γὰρ συντόμως ἀπολεῖται, καὶ πᾶς παράνομος ἀναλωθήσεται.

29. Τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι δὲ ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί;

30. Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; Μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις, καὶ ὁμιλεῖτε ἐν περιπάτοις.

31. Ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου.

32. Τὸ δὲ ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται, καὶ ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτῷ ὁ ἰός.

33. Οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιὰ,

34. καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι.

35. Ἐρεῖς δέ· Τύπτουσί με καὶ οὐκ ἐπόνεσα, καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν· πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι;

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

1. Υἱὲ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν.

2. Ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.

3. Μετὰ σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται.

4. Μετὰ αἰσθήσεως ἐμπίμπλανται ταμιεῖα, ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ.

5. Κρείσσων σοφὸς ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου.

6. Μετὰ κυβερνήσεως γίνεται πόλεμος, βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς.

7. Σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν· σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος Κυρίου,

---

(*) 23. Ἀλήθειαν κτῆσαι, καὶ μὴ ἀπώσῃ σοφίαν καὶ παιδείαν καὶ σύνεσιν. (*Ald. et Compl.*)

18. Nam si servaveris ea, erunt tibi nepotes, spes autem tua non recedet.

19. Audi, fili, et sapiens esto, et dirige cogitationes cordis tui.

20. Ne fueris bibax vini, neque extendas te ad symbolas, et carnium emptiones.

21. Omnis enim ebrius et scortator mendicabit, et induetur disruptis et laceris omnis somnolentus.

22. Audi, fili, patrem qui genuit te : et non contemnas quoniam senuit mater tua.

24. Bene educat pater justus, et in filio sapiente lætatur anima ejus.

25. Lætetur pater et mater super te, et gaudeat quæ peperit te.

26. Da mihi, fili, cor tuum : et oculi tui meas vias servent.

27. Dolium enim perforatum est aliena domus, et puteus angustus, alienus.

28. Hic enim brevi peribit, et omnis iniquus absumetur.

29. Cui væ? cui tumultus? cui judicia? cui autem molestiæ et tricæ? cui contritiones supervacuæ? cui lividi oculi?

30. Nonne immorantium in vinis? nonne vestigantium ubi compotationes fiant? Nolite inebriari in vinis, sed conversamini cum hominibus justis, et conversamini in locis deambulationis.

31. Nam si in phialas et pocula dederis oculos tuos, postea ambulabis nudior pistillo.

32. Novissime autem tamquam a serpente percussus extenditur, et tamquam a ceraste diffunditur ei venenum.

33. Oculi tui cum viderint alienam, os tuum tunc loquetur perversa,

34. et jacebis tamquam in corde maris, et tamquam gubernator in multa tempestate.

35. Dices autem : Feriunt me et non dolui, et illuserunt mihi, ego autem non sensi : quando erit diluculum, ut vadens quæram quibuscum conveniam?

CAPUT XXIV.

1. Fili, ne æmuleris malos viros, nec desideres esse cum eis.

2. Falsa enim meditatur cor eorum, et labores labia eorum loquuntur.

3. Cum sapientia ædificatur domus, et cum intellectu dirigitur.

4. Cum sensu implentur cellaria, ex omnibus divitiis pretiosis et bonis.

5. Melior sapiens forti, et vir prudentiam habens agro magno.

6. Cum ratione gubernandi fit bellum, auxilium autem cum corde consilium habente.

7. Sapientia et cogitatio bona in portis sapientum : sapientes non declinant ab ore Domini,

---

33. Veritatem acquire, et ne repellas sapientiam et disciplinam et intellectum.

8. ἀλλὰ λογίζονται ἐν συνεδρίοις. Ἀπαιδεύτοις συναντᾷ θάνατος,
9. ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις. Ἀκαθαρσία δὲ ἀνδρὶ λοιμῷ,
10. ἐμμολυνθήσεται ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως ἕως ἂν ἐκλίπῃ.
11. Ῥῦσαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ.
12. Ἐὰν δὲ εἴπῃς· Οὐκ οἶδα τοῦτον, γίνωσκε ὅτι Κύριος καρδίας πάντων γινώσκει, καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε πάντα, ὃς ἀποδίδωσι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.
13. Φάγε μέλι, υἱὲ, ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ.
14. Οὕτως αἰσθήσῃ σοφίαν τῇ σῇ ψυχῇ, ἐὰν γὰρ εὕρῃς, ἔσται καλὴ ἡ τελευτή σου, καὶ ἐλπίς σε οὐκ ἐγκαταλείψει.
15. Μὴ προσαγάγῃς ἀσεβῆ νομῇ δικαίων, μηδὲ ἀπατηθῇς χορτασίᾳ κοιλίας.
16. Ἑπτάκις γὰρ πεσεῖται δίκαιος καὶ ἀναστήσεται, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς.
17. Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου.
18. Ὅτι ὄψεται Κύριος καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.
19. Μὴ χαῖρε ἐπὶ κακοποιοῖς, μηδὲ ζήλου ἁμαρτωλούς.
20. Οὐ γὰρ μὴ γένηται ἔκγονα πονηρῷ, λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται.
21. Φοβοῦ τὸν Θεὸν, υἱὲ, καὶ βασιλέα, καὶ μηθ' ἑτέρῳ αὐτῶν ἀπειθήσῃς·
22. ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς, τὰς δὲ τιμωρίας ἀμφοτέρων τίς γνώσεται;
(*Vulg.*, XXIX, 27.) Λόγον φυλασσόμενος υἱὸς ἀπωλείας ἐκτὸς ἔσται, δεχόμενος δὲ ἐδέξατο αὐτόν. Μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ ἐξέλθῃ. Μάχαιρα γλῶσσα βασιλέως καὶ οὐ σαρκίνη, ὃς δ' ἂν παραδοθῇ, συντριβήσεται. Ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ, σὺν νεύροις ἀνθρώπους ἀναλίσκει, καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει, καὶ συγκαίει ὥσπερ φλὸξ, ὥστε ἄβρωτα εἶναι νεοσσοῖς ἀετῶν.
(XXX, 1.) Τοὺς ἐμοὺς λόγους, υἱὲ, φοβήθητι, καὶ δεξάμενος αὐτοὺς μετανόει. Τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι Θεῷ, καὶ παύομαι.
2. Ἀφρονέστατος γάρ εἰμι ἁπάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί.
3. Θεὸς δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα.
4. Τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς; τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ;
5. Πάντες γὰρ λόγοι Θεοῦ πεπυρωμένοι, ὑπερασπίζει δὲ αὐτὸς τῶν εὐλαβουμένων αὐτόν.
6. Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ.
7. Δύο αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με.
8. Μάταιον λόγον καὶ ψευδῆ μακράν μου ποίησον,

8. sed cogitant in consessibus. Indisciplinatis occurrit mors,
9. moritur autem imprudens in peccatis. Immunditia autem viro pestilenti,
10. inquinabitur in die mala et in die tribulationis quoadusque deficiat.
11. Libera eos qui ducuntur ad mortem, et redime eos qui interficiuntur, ne parcas.
12. Si autem dixeris : Nescio hunc, scito quoniam Dominus corda omnium noscit, et qui figuravit spiritum omnibus, ipse novit omnia, qui reddit unicuique secundum opera ejus.
13. Comede mel, fili, bonus enim est favus, ut dulcescat guttur tuum.
14. Sic senties sapientiam animo tuo, si enim inveneris, erit bonus obitus tuus, et spes te non deseret.
15. Noli applicare impium ad pascua justorum, neque se ducaris saturitate ventris.
16. Septies enim cadet justus et resurget, impii autem infirmabuntur in malis.
17. Si ceciderit inimicus tuus, ne gaudeas super eum, et in supplantatione ejus ne extollaris.
18. Quoniam videbit Dominus et non placebit ei, et avertet indignationem suam ab eo.
19. Ne gaudeas in malefactoribus, neque æmuleris peccatores.
20. Non enim fient posteri maligno, fax autem impiorum exstinguetur.
21. Time Deum, fili, et regem, et neutri eorum sis inobediens :
22. subito enim ulciscentur impios, supplicia autem utrorumque quis cognoscet?
(*Vulg.*, XXIX, 27.) Verbum custodiens filius extra perditionem erit, excipiens autem excepit illud. Nihil falsi de ore regi dicatur, et nihil falsi ex lingua ipsius exeat. Gladius lingua regis et non carnea, quicumque autem traditus fuerit, conteretur. Si enim irritatus fuerit furor ejus, cum nervis homines absumit, et ossa hominum devorat, et comburit tamquam flamma, ita ut sint inepta esui pullis aquilarum.
(XXX, 1.) Mea verba, fili, timeto, et suscipiens ea pœnitentiam age. Hæc dicit vir credentibus Deo, et quiesco.
2. Insipientissimus enim sum omnium hominum, et prudentia hominum non est in me.
3. Deus docuit me sapientiam, et scientiam sanctorum cognovi.
4. Quis ascendit in cœlum et descendit? quis congregavit ventos in sinu? quis convertit aquam in vestimento? quis tenuit omnia extrema terræ? quod nomen ei? aut quod nomen filiis ejus?
5. Omnia enim verba Dei ignita, protegit autem ipse eos qui reverentur ipsum.
6. Ne addas verbis ejus, ut non arguat te et fias mendax.
7. Duo peto a te, ne auferas a me gratiam antequam ego moriar.
8. Vanum verbum et mendax longe fac a me, divitias

πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς, σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη·

9. ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω· Τίς με ὁρᾷ; ἢ πενηθεὶς κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ Θεοῦ.

10. Μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου, μήποτε καταράσηταί σε καὶ ἀφανισθῇς.

11. Ἔκγονον κακὸν πατέρα καταρᾶται, τὴν δὲ μητέρα οὐκ εὐλογεῖ.

12. Ἔκγονον κακὸν δίκαιον ἑαυτὸν κρίνει, τὴν δ' ἔξοδον αὐτοῦ οὐκ ἀπένιψεν.

13. Ἔκγονον κακὸν ὑψηλοὺς ὀφθαλμοὺς ἔχει, τοῖς δὲ βλεφάροις αὐτοῦ ἐπαίρεται.

14. Ἔκγονον κακὸν μαχαίρας τοὺς ὀδόντας ἔχει, καὶ τὰς μύλας τομίδας, ὥστε ἀναλίσκειν καὶ κατεσθίειν τοὺς ταπεινοὺς ἀπὸ τῆς γῆς, καὶ τοὺς πένητας αὐτῶν ἐξ ἀνθρώπων.

(XXIV, 23.) Ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν, αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν.

24. Ὁ εἰπὼν τὸν ἀσεβῆ, δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς ἔσται καὶ μισητὸς εἰς ἔθνη·

25. οἱ δὲ ἐλέγχοντες βελτίους φανοῦνται, ἐπ' αὐτοὺς δὲ ἥξει εὐλογία.

26. Χείλη δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀγαθούς.

27. Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρὸν, καὶ πορεύου κατόπισθέν μου καὶ ἀνοικοδομήσεις τὸν οἶκόν σου.

28. Μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην, μηδὲ πλατύνου σοῖς χείλεσι.

29. Μὴ εἴπῃς· Ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ· τίσομαι δὲ αὐτὸν ἅ με ἠδίκησεν.

30. Ὥσπερ γεώργιον ἀνὴρ ἄφρων, καὶ ὥσπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν.

31. Ἐὰν ἀφῇς αὐτὸν, χερσωθήσεται καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος· οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται.

32. Ὕστερον ἐγὼ μετενόησα, ἐπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν.

33. Ὀλίγον νυστάζω, ὀλίγον δὲ καθυπνῶ, ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶ στήθη.

34. Ἐὰν δὲ τοῦτο ποιῇς, ἥξει προπορευομένη ἡ πενία σου, καὶ ἡ ἔνδειά σου ὥσπερ ἀγαθὸς δρομεύς.

(XXX, 15.) Τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀγαπώμεναι, καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλασαν αὐτὴν, καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν· Ἱκανόν.

16. Ἅδης, καὶ ἔρως γυναικὸς, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν· Ἀρκεῖ.

17. Ὀφθαλμὸν καταγελῶντα πατρὸς, καὶ ἀτιμάζοντα γῆρας μητρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.

18. Τρία δέ ἐστιν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω·

19. ἴχνη ἀετοῦ πετομένου, καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς ποντοπορούσης, καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι.

20. Τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος, ἣ ὅτε ἂν πράξῃ, ἀπονιψαμένη οὐδέν φησι πεπραχέναι ἄτοπον.

21. Διὰ τριῶν σείεται ἡ γῆ, τὸ δὲ τέταρτον οὐ δύναται φέρειν·

autem et paupertatem ne dederis mihi, constitue autem mihi quæ sunt necessaria et sufficientia :

9. ne saturatus mendax fiam, et dicam : Quis me videt? aut egens furer, et perjurem nomen Dei.

10. Ne tradas famulum in manus Domini, ne quando maledicat te et delearis.

11. Filius malus patrem maledicit, et matrem non benedicit.

12. Filius malus justum se judicat, exitum vero suum non lavit.

13. Filius malus sublimes oculos habet, palpebris autem suis extollitur.

14. Filius malus gladios dentes habet, et cultros molas, ut consumat et comedat humiles de terra, et pauperes eorum ex hominibus.

(XXIV, 23.) Hæc autem dico vobis sapientibus cognoscere, erubescere personam in judicio non est bonum.

24. Qui dicit impium, justus est, maledictus populis erit et odibilis in gentibus :

25. qui autem arguunt meliores parebunt, in ipsos autem veniet benedictio.

26. Labia autem deosculabuntur quæ respondent verba bona.

27. Præpara in egressu opera tua, et præparare in agro, et vade post me et ædificabis domum tuam.

28. Non sis falsus testis in tuum civem, neque dilateris tuis labiis.

29. Ne dixeris : Quemadmodum usus est me, utar eo : ulciscar autem eum de injuriis quibus me affecit.

30. Tamquam ager vir imprudens, et tamquam vinea homo egens sensu.

31. Si dimiseris eum, desertus fiet et sylvescet totus, et fit derelictus : sepes autem lapidum ejus defodientur.

32. Novissime ego egi pœnitentiam, respexi ut eligerem disciplinam.

33. Paululum dormito, paululum autem somnum capio, paululum vero amplexor manibus pectora.

34. Si autem hoc feceris, veniet procedens paupertas tua, et egestas tua tamquam bonus cursor.

(XXX, 15.) Sanguisugæ tres filiæ erant dilectione dilectæ, et tres ipsæ non saturaverunt eam, et quartæ non suffecit dicere : Satis est.

16. Infernus, et amor mulieris, et terra quæ non satiatur aqua, et aqua et ignis non dicent : Satis est.

17. Oculum qui irridet patrem, et qui despicit senectutem matris, effodiant eum corvi de convallibus, et comedant eum pulli aquilarum.

18. Tria sunt impossibilia mihi intelligere, et quartum non agnosco :

19. vestigia aquilæ volantis, et vias serpentis in petra, et semitas navis navigantis, et vias viri in juventute.

20. Talis est via mulieris adulteræ, quæ quandocumque egerit, lota nihil inquit fecisse absurdum.

21. Per tria concutitur terra, quartum autem ferre non potest :

22. ἐὰν οἰκέτης βασιλεύσῃ, καὶ ἄφρων πλησθῇ σιτίων·

23. καὶ οἰκέτις ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, καὶ μισητὴ γυνὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ.

24. Τέσσαρα δὲ ἐλάχιστα ἐπὶ τῆς γῆς, ταῦτα δέ ἐστι σοφώτερα τῶν σοφῶν·

25. οἱ μύρμηκες οἷς μή ἐστιν ἰσχὺς, καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν·

26. καὶ οἱ χοιρογρύλλιοι ἔθνος οὐκ ἰσχυρὸν, οἳ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους·

27. ἀβασίλευτόν ἐστιν ἡ ἀκρὶς, καὶ στρατεύει ἀφ' ἑνὸς κελεύσματος εὐτάκτως·

28. καὶ καλαβώτης χερσὶν ἐρειδόμενος, καὶ εὐάλωτος ὢν, κατοικεῖ ἐν ὀχυρώμασι βασιλέων.

29. Τρία δέ ἐστιν ἃ εὐόδως πορεύεται, καὶ τέταρτον ὃ καλῶς διαβαίνει·

30. σκύμνος λέοντος ἰσχυρότερος κτηνῶν, ὃς οὐκ ἀποστρέφεται, οὐδὲ καταπτήσσει κτῆνος·

31. καὶ ἀλέκτωρ ἐμπεριπατῶν θηλείαις εὔψυχος, καὶ τράγος ἡγούμενος αἰπολίου, καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει.

32. Ἐὰν πρόῃ σεαυτὸν ἐν εὐφροσύνῃ, καὶ ἐκτείνῃς τὴν χεῖρά σου μετὰ μάχης, ἀτιμασθήσῃ.

33. Ἄμελγε γάλα, καὶ ἔσται βούτυρον· ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας ἐξελεύσεται αἷμα· ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρίσεις καὶ μάχαι.

(XXXI, 1.) Οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ Θεοῦ, βασιλέως χρηματισμὸς, ὃν ἐπαίδευσεν ἡ μήτηρ αὐτοῦ.

2. Τί, τέκνον, τηρήσεις; Τί; Ῥήσεις Θεοῦ. Πρωτογενὲς, σοὶ λέγω, υἱέ· τί, τέκνον ἐμῆς κοιλίας; τί, τέκνον ἐμῶν εὐχῶν;

3. Μὴ δῷς γυναιξὶ σὸν πλοῦτον, καὶ τὸν σὸν νοῦν καὶ βίον εἰς ὑστεροβουλίαν. Μετὰ βουλῆς πάντα ποίει, μετὰ βουλῆς οἰνοπότει.

4. Οἱ δυνάσται θυμώδεις εἰσὶν, οἶνον δὲ μὴ πινέτωσαν,

5. ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρῖναι οὐ μὴ δύνωνται τοὺς ἀσθενεῖς.

6. Δίδοτε μέθην τοῖς ἐν λύπαις, καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις,

7. ἵνα ἐπιλάθωνται τῆς πενίας, καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι.

8. Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντας ὑγιῶς.

9. Ἄνοιγε σὸν στόμα καὶ κρῖνε δικαίως, διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.

22. si famulus regnet, et imprudens saturatus fuerit cibis :

23. et famula si ejecerit suam ipsius dominam, et odibilis mulier si sortita fuerit virum bonum.

24. Quatuor autem minima super terram, hæc autem sunt sapientiora sapientibus :

25. formicæ quibus non est fortitudo, et parant æstate cibum :

26. et chœrogrylli gens non fortis, qui fecerunt in petris domos suas :

27. sine rege est locusta, et pergit in acie ab una jussione ordinate :

28. et calabotes manibus innitens, et captu facilis, habitat in munitionibus regum.

29. Tria autem sunt quæ prospere vadunt, et quartum quod bene incedit :

30. catulus leonis fortior bestiis, qui non avertitur, neque horret bestiam :

31. et gallus conscendens fœminas alacer, et hircus ducens gregem, et rex qui concionatur in gente.

32. Si profuderis te in lætitia, et extenderis manum tuam cum rixa, inhonoraberis.

33. Mulge lac, et erit butyrum : si autem expresseris nares exibit sanguis : si autem extraxeris sermones, exibunt lites et rixæ.

(XXXI, 1.) Verba mea dicta sunt a Deo, regis admonitio, quem erudivit mater sua.

2. Quid, fili, servabis? Quid? Dictiones Dei. Primogenite, tibi dico, fili : quid, fili mei ventris? quid, fili mearum orationum?

3. Ne dederis mulieribus tuas divitias, et mentem tuam et vitam in seram consilii mutationem. Cum consilio omnia fac, cum consilio vinum pota.

4. Potentes iracundi sunt, vinum autem non bibant,

5. ne bibentes obliviscantur sapientiæ, et recta judicare non possint imbecillos.

6. Date inebriamentum iis qui in mœroribus, et vinum bibere iis qui in doloribus,

7. ut obliviscantur paupertatis, et laborum non recordentur ultra.

8. Aperi os tuum verbo Dei, et judica omnes integre.

9. Aperi os tuum et judica juste, dijudica autem pauperem et imbecillum.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

1. Αὗται αἱ παιδεῖαι Σαλωμῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας.

2. Δόξα Θεοῦ κρύπτει λόγον, δόξα δὲ βασιλέως τιμᾷ πράγματα.

3. Οὐρανὸς ὑψηλὸς, γῆ δὲ βαθεῖα· καρδία δὲ βασιλέως ἀνεξέλεγκτος.

4. Τύπτε ἀδόκιμον ἀργύριον, καὶ καθαρισθήσεται καθαρὸν ἅπαν.

5. Κτεῖνε ἀσεβεῖς ἐκ προσώπου βασιλέως, καὶ κατορθώσει ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ.

CAPUT XX

1. Hæ sunt disciplinæ Salomonis indistinctæ, quas descripserunt amici Ezeciæ regis Judææ.

2. Gloria Dei celat verbum, gloria autem regis honorat res.

3. Cœlum excelsum, terra autem profunda : cor autem regis quod redargui non potest.

4. Percute argentum improbatum, et mundabitur mundum totum.

5. Interfice impios a facie regis, et recta procedet in justitia thronus ejus.

6. Μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως, μηδὲ ἐν τόποις δυναστῶν ὑφίστασο.

7. Κρεῖσσον γάρ σοι τὸ ῥηθῆναι· Ἀνάβαινε πρὸς μὲ, ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου. Ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε.

8. Μὴ πρόςπιπτε εἰς μάχην ταχέως, ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων. Ἡνίκα ἄν σε ὀνειδίσῃ ὁ σὸς φίλος,

9. Ἀναχώρει εἰς τὰ ὀπίσω· μὴ καταφρόνει,

10. μή σε ὀνειδίσῃ μὲν ὁ φίλος· ἡ δὲ μάχη σου καὶ ἡ ἔχθρα οὐκ ἀπέσται, ἀλλὰ ἔσται σοι ἴση θανάτῳ. Χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονείδιστος γένῃ, ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως.

11. Μῆλον χρυσοῦν ἐν ὁρμίσκῳ σαρδίου, οὕτως εἰπεῖν λόγον.

12. Εἰς ἐνώτιον χρυσοῦν καὶ σάρδιον πολυτελὲς δέδεται, λόγος σοφὸς εἰς εὐήκοον οὖς.

13. Ὥςπερ ἔξοδος χιόνος ἐν ἀμητῷ κατὰ καῦμα ὠφελεῖ, οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν· ψυχὰς γὰρ τῶν αὐτῷ χρωμένων ὠφελεῖ.

14. Ὥςπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ, ἐπιφανέστατα, οὕτως ὁ καυχώμενος ἐπὶ δόσει ψευδεῖ.

15. Ἐν μακροθυμίᾳ εὐοδία βασιλεῦσι, γλῶσσα δὲ μαλακὴ συντρίβει ὀστᾶ.

16. Μέλι εὑρὼν φάγε τὸ ἱκανὸν, μήποτε πλησθεὶς ἐξεμέσῃς.

17. Σπάνιον εἴςαγε σὸν πόδα πρὸς σεαυτοῦ φίλον· μήποτε πλησθείς σου, μισήσῃ σε.

18. Ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτὸν, οὕτως καὶ ἀνὴρ ὁ καταμαρτυρῶν κατὰ τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ.

19. Ὀδοὺς κακοῦ καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ.

20. Ὥςπερ ὄξος ἕλκει ἀσύμφορον, οὕτως προςπεσὸν πάθος ἐν σώματι καρδίαν λυπεῖ. Ὥςπερ σὴς ἐν ἱματίῳ καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν.

21. Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν.

22. Τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὁ δὲ Κύριος ἀνταποδώσει σοι ἀγαθά.

23. Ἄνεμος βορέας ἐξεγείρει νέφη, πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει.

24. Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας δώματος, ἢ μετὰ γυναικὸς λοιδόρου ἐν οἰκίᾳ κοινῇ.

25. Ὥςπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προςηνὲς, οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν.

26. Ὥςπερ εἴ τις πηγὴν φράσσοι καὶ ὕδατος ἔξοδον λυμαίνοιτο, οὕτως ἄκοσμον δίκαιον πεπτωκέναι ἐνώπιον ἀσεβοῦς.

27. Ἐσθίειν μέλι πολὺ οὐ καλὸν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους.

28. Ὥςπερ πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιστος, οὕτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.

ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

1. Ὥςπερ δρόσος ἐν ἀμητῷ, καὶ ὥςπερ ὑετὸς ἐν θέρει, οὕτως οὐκ ἔστιν ἄφρονι τιμή.

6. Ne gloriose te ostentes coram rege, neque in locis principum steteris.

7. Melius enim tibi dici : Ascende ad me, quam humiliare te in facie potentis. Quæ viderunt oculi tui dic.

8. Ne procurras ad jurgium cito, ut non te pœniteat in novissimis. Cum te exprobraverit amicus tuus,

9. recede in posteriora : ne contemnas,

10. ne te quidem exprobret amicus : rixa autem tua et inimicitia tua non aberit, sed erit tibi æqualis morti. Gratia et amicitia liberat, quas serva tibi, ne exprobrabilis fias, sed custodi vias tuas composite.

11. Malum aureum in monili sardii, sic dicere verbum.

12. In auream inaurem etiam sardium pretiosum ligatum est, sermo sapiens in aurem obedientem.

13. Sicut exitus nivis in messe per æstum prodest, sic nuntius fidelis iis qui miserunt eum : animas enim eorum qui ipso utuntur juvat.

14. Sicut venti et nubes et pluviæ, clarissima, sic qui gloriatur super dono falso.

15. In longanimitate prosperitas regibus, lingua autem mollis conterit ossa.

16. Mel inveniens comede quod sufficit, ne forte repletus evomas.

17. Rarum introduc pedem tuum ad tuum amicum : ne forte satiatus te, oderit te.

18. Clava et gladius et sagitta acuta, sic et vir qui contra amicum suum dicit falsum testimonium.

19. Dens mali et pes iniqui peribit in die mala.

20. Sicut acetum trahit inutile, sic accidens passio in corpore cor contristat. Sicut tinea vestimento et vermis ligno, ita tristitia viri lædit cor.

21. Si esurierit inimicus tuus, ciba illum : si sitit, potum da illi.

22. Hoc enim faciens carbones ignis congeres super caput ejus, Dominus autem retribuet tibi bona.

23. Ventus aquilo suscitat nubes, facies autem imprudens linguam irritat.

24. Melius habitare super angulum domatis, quam cum muliere contumeliosa in domo communi.

25. Sicut aqua frigida animæ sitienti blanda, sic nuntius bonus de terra longinqua.

26. Sicut si quis fontem obstruat et aquæ exitum disperdat, sic indecens est justum cecidisse coram impio.

27. Comedere mel multum non bonum, honorare autem oportet sermones gloriosos.

28. Sicut urbs muros dejectos habens et non murata, sic vir qui non cum consilio quid agit.

CAPUT XXVI.

1. Quomodo ros in messe, et quomodo pluvia in æstate, sic non est insipienti honor.

2. Ὥσπερ ὄρνεα πέταται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί.

3. Ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ, οὕτως ῥάβδος ἔθνει παρανόμῳ.

4. Μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ·

5. ἀλλὰ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ.

6. Ἐκ τῶν ὁδῶν ἑαυτοῦ ὄνειδος ποιεῖται ὁ ἀποστείλας δι' ἀγγέλου ἄφρονος λόγον.

7. Ἀφελοῦ πορείαν σκελῶν, καὶ παρανομίαν ἐκ στόματος ἀφρόνων.

8. Ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, ὅμοιός ἐστι τῷ διδόντι ἄφρονι δόξαν.

9. Ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου, δουλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων.

10. Πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων, συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν.

11. Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν. Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καί ἐστιν αἰσχύνη δόξα καὶ χάρις.

12. Εἶδον ἄνδρα δόξαντα παρ' αὐτῷ σοφὸν εἶναι, ἐλπίδα μέντοι ἔσχε μᾶλλον ἄφρων αὐτοῦ.

13. Λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδόν· Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.

14. Ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ.

15. Κρύψας ὀκνηρὸς τὴν χεῖρα ἐν τῷ κόλπῳ αὐτοῦ, οὐ δυνήσεται ἐπενεγκεῖν ἐπὶ στόμα.

16. Σοφώτερος ἑαυτῷ ὀκνηρὸς φαίνεται τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν.

17. Ὥσπερ ὁ κρατῶν κέρκου κυνὸς, οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως.

18. Ὥσπερ οἱ ἰώμενοι προβάλλουσι λόγους εἰς ἀνθρώπους, ὁ δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος ὑποσκελισθήσεται,

19. οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους· ὅταν δὲ ὁραθῶσι, λέγουσιν ὅτι παίζων ἔπραξα.

20. Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ οὐκ ἔστι δίθυμος ἡσυχάζει μάχη.

21. Ἐσχάρα ἄνθραξι καὶ ξύλα πυρὶ, ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν μάχης.

22. Λόγοι κερκώπων μαλακοὶ, οὗτοι δὲ τύπτουσιν εἰς ταμιεῖα σπλάγχνων.

23. Ἀργύριον διδόμενον μετὰ δόλου, ὥσπερ ὄστρακον ἡγητέον. Χείλη λεῖα καρδίαν καλύπτει λυπηράν.

24. Χείλεσι πάντα ἐπινεύει ἀποκλαιόμενος ἐχθρὸς, ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δόλους.

25. Ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ.

26. Ὁ κρύπτων ἔχθραν συνίστησι δόλον, ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας εὔγνωστος ἐν συνεδρίοις.

27. Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν· ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει.

28. Γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν, στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας.

2. Sicut aves avolant et passeres, sic maledictum vanum non superveniet ulli.

3. Sicut flagellum equo et stimulus asino, sic virga genti iniquæ.

4. Noli respondere imprudenti ad imprudentiam ejus, ne similis ei fias :

5. sed responde stulto ad stultitiam ejus, ut non videatur sapiens apud se.

6. Ex viis suis opprobrium facit qui misit verbum per nuntium imprudentem.

7. Aufer gressum crurum, et iniquitatem ex ore imprudentum.

8. Qui alligat lapidem in funda, similis est ei qui dat imprudenti gloriam.

9. Spinæ nascuntur in manu temulenti, servitus autem in manu imprudentum.

10. Multis procellis jactatur omnis caro imprudentum, conteritur enim exstasis eorum.

11. Sicut canis cum redierit ad suum vomitum et odibilis efficitur, sic imprudens sua malitia revertens ad peccatum suum. Est confusio adducens peccatum, et est confusio gloria et gratia.

12. Vidi virum qui videtur apud se sapiens esse, spem quidem habet magis insipiens eo.

13. Dicit piger missus ad viam : Leo in viis, et in plateis sicarii.

14. Sicut janua vertitur super cardinem, ita piger super lectum suum.

15. Abscondens piger manum in sinu suo, non poterit mittere ad os.

16. Sapientior sibi piger videtur eo qui in saturitate refert nuntium.

17. Sicut qui tenet caudam canis, sic qui præsidet alieno judicio.

18. Sicut qui curantur projiciunt verba in homines, qui autem occurrit verbo primus supplantabitur,

19. sic omnes qui insidiantur suis amicis : cum autem visi fuerint, dicunt quia ludens feci.

20. In multis lignis germinat ignis, ubi autem non est dissentiens quiescit rixa.

21. Craticula carbonibus et ligna igni, vir autem maledicus ad tumultum rixæ.

22. Sermones assentatorum molles, hi vero percutiunt in penetralia viscerum.

23. Argentum datum cum dolo, tamquam testa reputandum. Labia lævigata cor occultant triste.

24. Labiis omnia annuit deplorans inimicus, in corde autem fabricatur dolos.

25. Si te rogaverit inimicus magna voce, ne credideris : septem enim sunt nequitiæ in anima ejus.

26. Qui occultat inimicitiam componit dolum, revelat autem sua peccata bene notus in consessibus.

27. Qui fodit foveam proximo, incidet in eam : qui autem volvit lapidem, super seipsum volvit.

28. Lingua mendax odit veritatem, os autem non tectum facit ruinas.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

1. Μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα.

2. Ἐγκωμιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη.

3. Βαρὺ λίθος καὶ δυςβάστακτον ἄμμος, ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

4. Ἀνελεήμων θυμὸς καὶ ὀξεῖα ὀργὴ, ἀλλ' οὐδὲν ὑφίσταται ζῆλος.

5. Κρείσσους ἔλεγχοι ἀποκεκαλυμμένοι κρυπτομένης φιλίας.

6. Ἀξιοπιστότερά ἐστι τραύματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ.

7. Ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει, ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται.

8. Ὥςπερ ὅταν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς, οὕτως ἄνθρωπος δουλοῦται ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων.

9. Μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία, καταῤῥήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή.

10. Φίλον σὸν ἢ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς, εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰςέλθῃς ἀτυχῶν. Κρείσσων φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

11. Σοφὸς γίνου, υἱὲ, ἵνα σου εὐφραίνηται ἡ καρδία, καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.

12. Πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη, ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν.

13. Ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γὰρ ὑβριστὴς, ὅςτις τὰ ἀλλότρια λυμαίνεται.

14. Ὃς ἂν εὐλογῇ φίλον τοπρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρειν δόξει.

15. Σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτοῦ, ὡςαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου.

16. Βορέας σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται.

17. Σίδηρος σίδηρον ὀξύνει, ἀνὴρ δὲ παροξύνει πρόςωπον ἑταίρου.

18. Ὃς φυτεύει συκῆν φάγεται τοὺς καρποὺς αὐτῆς, ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον τιμηθήσεται.

19. Ὥςπερ οὐχ ὅμοια πρόσωπα προςώποις, οὕτως οὐδὲ αἱ διάνοιαι τῶν ἀνθρώπων.

20. Ἅδης καὶ ἀπώλεια οὐκ ἐμπίμπλανται, ὡςαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι. Βδέλυγμα Κυρίῳ στηρίζων ὀφθαλμὸν, καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ.

21. Δοκίμιον ἀργυρίῳ καὶ χρυσῷ πύρωσις, ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν. Καρδία ἀνόμου ἐκζητεῖ κακὰ, καρδία δὲ εὐθὺς ζητεῖ γνῶσιν.

22. Ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων, οὐ μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ.

23. Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου, καὶ ἐπιστήσεις καρδίαν σου σαῖς ἀγέλαις.

24. Ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχὺς, οὐδὲ παραδίδωσιν ἐκ γενεᾶς εἰς γενεάν.

25. Ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν, καὶ σύναγε χόρτον ὀρεινὸν,

26. ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν. Τίμα πεδίον, ἵνα ὦσί σοι ἄρνες.

CAPUT XXVII.

1. Ne glorieris in iis quæ in crastinum, non enim cognoscis quid pariet superveniens.

2. Laudet te vicinus et non os tuum, alienus et non tua labia.

3. Gravis est lapis et vix portabilis arena, sed ira stulti gravior utroque.

4. Crudelis est indignatio et acuta ira, sed nihil sustinet zelus.

5. Meliores correptiones manifestæ abscondita amicitia.

6. Fideliora sunt vulnera amici quam spontanea oscula inimici.

7. Anima quæ in saturitate est favis illudit, animæ autem egenti etiam amara dulcia videntur.

8. Sicut cum avis devolaverit e proprio nido, sic homo servus fit cum peregrinatus fuerit e propriis locis.

9. Unguentis et vinis et odoramentis delectatur cor, disrumpitur autem a calamitatibus anima.

10. Amicum tuum vel amicum paternum ne dereliqueris, in domum autem fratris tui ne ingrediaris improspere agens. Melior amicus qui prope quam frater procul habitans.

11. Sapiens esto, fili, ut lætetur cor tuum, et averte a te exprobrabiles sermones.

12. Astutus malis supervenientibus abscondit se, imprudentes autem supervenientes damnum patientur.

13. Aufer vestimentum ejus, præteriit enim injuriosus, qui quidem aliena vastat.

14. Qui benedixerit amicum mane grandi voce, a maledicente nihil differe videbitur.

15. Stillicidia ejiciunt hominem in die hiemali de domo sua, similiter et mulier maledica de propria domo.

16. Aquilo durus ventus, nomine autem dexter vocatur.

17. Ferrum acuit ferrum, vir autem exacuit faciem amici.

18. Qui plantat ficum comedet fructus ejus, qui autem custodit suum dominum honorificabitur.

19. Sicut non similes facies faciebus, ita neque cogitationes hominum.

20. Infernus et perditio non implentur, similiter et oculi hominum insatiabiles. Abominatio Domino obfirmans oculum, et indisciplinati incontinentes lingua.

21. Probatio argento et auro ignitio, vir autem probatur per os laudantium eum. Cor iniqui exquirit mala, cor autem rectum quærit scientiam.

22. Si flagellaveris imprudentem in medio consessus inhonorans, non auferes imprudentiam ejus.

23. Evidenter cognosces animas gregis tui, et applicabis cor tuum tuis armentis.

24. Quoniam non in sæculum viro robur et fortitudo, neque tradit ex generatione in generationem.

25. Adhibe curam his quæ in campo sunt viridibus, et attondebis herbam, et congrega fœnum æstivum,

26. ut habeas oves in vestimentum. Cole campum, ut sint tibi agni.

27. Υἱὲ, παρ' ἐμοῦ ἔχεις ῥήσεις ἰσχυρὰς εἰς τὴν ζωήν σου, καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

1. Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος, δίκαιος δὲ ὥςπερ λέων πέποιθε.

2. Δι' ἁμαρτίας ἀσεβῶν κρίσεις ἐγείρονται, ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς.

3. Ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχούς· ὥςπερ ὑετὸς λάβρος καὶ ἀνωφελής·

4. οὕτως οἱ ἐγκαταλείποντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν, οἱ δὲ ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος.

5. Ἄνδρες κακοὶ οὐ συνήσουσιν κρῖμα, οἱ δὲ ζητοῦντες τὸν Κύριον συνήσουσιν ἐν παντί.

6. Κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου ψευδοῦς.

7. Φυλάσσει νόμον υἱὸς συνετός· ὃς δὲ ποιμαίνει ἀσωτίαν, ἀτιμάζει πατέρα.

8. Ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεῶντι πτωχοὺς συνάγει αὐτόν.

9. Ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ μὴ εἰςακοῦσαι νόμου, καὶ αὐτὸς τὴν προςευχὴν αὐτοῦ ἐβδέλυκται.

10. Ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ, εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται· οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθὰ, καὶ οὐκ εἰςελεύσονται εἰς αὐτά.

11. Σοφὸς παρ' ἑαυτῷ ἀνὴρ πλούσιος, πένης δὲ νοήμων καταγνώσεται αὐτοῦ.

12. Διὰ βοήθειαν δικαίων πολλὴ γίνεται δόξα, ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄνθρωποι.

13. Ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ, οὐκ εὐοδωθήσεται· ὁ δὲ ἐξηγούμενος ἐλέγχους, ἀγαπηθήσεται.

14. Μακάριος ἀνὴρ ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν, ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται κακοῖς.

15. Λέων πεινῶν καὶ λύκος διψῶν ὃς τυραννεῖ πτωχὸς ὢν ἔθνους πενιχροῦ.

16. Βασιλεὺς ἐνδεὴς προςόδων μέγας συκοφάντης, ὁ δὲ μισῶν ἀδικίαν μακρὸν χρόνον ζήσεται.

17. Ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος, φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφαλείᾳ. Παίδευε υἱὸν καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ, οὐ μὴ ὑπακούσει ἔθνει παρανόμῳ.

18. Ὁ πορευόμενος δικαίως βεβοήθηται, ὁ δὲ σκολιαῖς ὁδοῖς πορευόμενος ἐμπλακήσεται.

19. Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν πλησθήσεται ἄρτων, ὁ δὲ διώκων σχολὴν πλησθήσεται πενίας.

20. Ἀνὴρ ἀξιόπιστος πολλὰ εὐλογηθήσεται, ὁ δὲ κακὸς οὐκ ἀτιμώρητος ἔσται.

21. Ὃς οὐκ αἰσχύνεται πρόςωπα δικαίων, οὐκ ἀγαθόν· ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα.

22. Σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν ὅτι ἐλεήμων κρατήσει αὐτοῦ.

23. Ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς, χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος.

24. Ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς.

25. Ἄπιστος ἀνὴρ κρίνει εἰκῇ, ὃς δὲ πέποιθεν ἐπὶ Κύριον ἐν ἐπιμελείᾳ ἔσται.

26. Ὃς πέποιθε θρασείᾳ καρδίᾳ ὁ τοιοῦτος ἄφρων, ὃς δὲ πορεύεται σοφίᾳ σωθήσεται.

27. Fili, a me habes verba fortia ad vitam tuam, et ad vitam ministrorum tuorum.

CAPUT XXVIII.

1. Fugit impius nemine persequente, justus autem tamquam leo confidit.

2. Propter peccata impiorum judicia suscitantur, vir autem astutus exstinguet ea.

3. Fortis in impietatibus calumniatur pauperes: tamquam pluvia vehemens et inutilis:

4. sic qui derelinquentes legem laudant impietatem, qui autem diligunt legem circumdant sibi murum.

5. Viri mali non intelligent judicium, quærentes autem Dominum intelligent in omni.

6. Melior est pauper vadens in veritate divite mendaci.

7. Custodit legem filius intelligens: qui autem pascit luxuriam, inhonorat patrem.

8. Qui multiplicat divitias suas cum usuris et excrescentiis, ei qui miseretur inopum congregat eas.

9. Qui declinat aurem suam ne exaudiat legem, et ipse orationem suam abominabilem fecit.

10. Qui seducit rectos in viam malam, in corruptionem ipse incidet: iniqui autem transibunt bona, et non ingredientur in ea.

11. Sapiens apud se vir dives, pauper autem intelligens condemnabit eum.

12. Per auxilium justorum multa fit gloria, in locis autem impiorum capiuntur homines.

13. Qui cooperit impietatem suam, non prosperabitur: qui autem narrat redargutiones, diligetur.

14. Beatus vir qui veretur omnia per metum, durus autem corde incidet malis.

15. Leo esuriens et lupus sitiens qui cum inops sit tyrannide dominatur genti pauperi.

16. Rex egens proventuum magnus sycophanta, qui autem odit injustitiam longum tempus vivet.

17. Virum qui in causa mortis spondens, profugus erit et non in securitate. Erudi filium et diliget te, et dabit ornatum animæ tuæ, non obediet genti iniquæ.

18. Qui ambulat juste adjutus est, qui autem perversis viis vadit implicabitur.

19. Qui operatur suam terram implebitur panibus, qui autem sectatur otium implebitur paupertate.

20. Vir fidelis multa benedicetur, malus autem non impunitus erit.

21. Qui non reveretur facies justorum, non bonus: qui talis est buccella panis vendet virum.

22. Festinat ditescere vir invidus, et non novit quia misericors obtinebit eum.

23. Qui corripit hominis vias, gratias reportabit magis eo qui lingua gratificatur.

24. Qui abjicit patrem vel matrem et videtur non peccare, hic consors est viri impii.

25. Infidelis vir judicat temere, qui autem confidit super Dominum in cura diligenti erit.

26. Qui confidit audacia cordis talis est imprudens, qui autem ambulat sapientia salvabitur.

27. Ὃς δίδωσι πτωχοῖς, οὐκ ἐνδεηθήσεται· ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν αὐτοῦ, ἐν πολλῇ ἀπορίᾳ ἔσται.

28. Ἐν τόποις ἀσεβῶν στένουσι δίκαιοι, ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

27. Qui dat pauperibus, non egebit: qui autem averti. oculum suum in multa penuria erit.

28. In locis impiorum gemunt justi, in illorum autem perditione abundabunt justi.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

1. Κρείσσων ἀνὴρ ἐλέγχων ἀνδρὸς σκληροτραχήλου, ἐξαπίνης γὰρ φλεγομένου αὐτοῦ οὐκ ἔστιν ἴασις.
2. Ἐγκωμιαζομένων δικαίων εὐφρανθήσονται λαοὶ, ἀρχόντων δὲ ἀσεβῶν στένουσιν ἄνδρες.
3. Ἀνδρὸς φιλοῦντος σοφίαν εὐφραίνεται πατὴρ αὐτοῦ, ὃς δὲ ποιμαίνει πόρνας ἀπολεῖ πλοῦτον.
4. Βασιλεὺς δίκαιος ἀνίστησι χώραν, ἀνὴρ δὲ παράνομος κατασκάπτει.
5. Ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν.
6. Ἁμαρτάνοντι ἀνδρὶ μεγάλη παγὶς, δίκαιος δὲ ἐν χαρᾷ καὶ ἐν εὐφροσύνῃ ἔσται.
7. Ἐπίσταται δίκαιος κρίνειν πενιχροῖς, ὁ δὲ ἀσεβὴς οὐ νοεῖ γνῶσιν, καὶ πτωχῷ οὐχ ὑπάρχει νοῦς ἐπιγνώμων.
8. Ἄνδρες ἄνομοι ἐξέκαυσαν πόλιν, σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν.
9. Ἀνὴρ σοφὸς κρινεῖ ἔθνη, ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος καταγελᾶται καὶ οὐ καταπτήσσει.
10. Ἄνδρες αἱμάτων μέτοχοι μισοῦσιν ὅσιον, οἱ δὲ εὐθεῖς ἐκζητήσουσι ψυχὴν αὐτοῦ.
11. Ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων, σοφὸς δὲ ταμιεύεται κατὰ μέρος.
12. Βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν παράνομοι.
13. Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ἀμφοτέρων ποιεῖται ὁ Κύριος.
14. Βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πτωχοὺς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται.
15. Πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν, παῖς δὲ πλανώμενος αἰσχύνει γονεῖς αὐτοῦ.
16. Πολλῶν ὄντων ἀσεβῶν πολλαὶ γίνονται ἁμαρτίαι, οἱ δὲ δίκαιοι ἐκείνων πιπτόντων κατάφοβοι γίνονται.
17. Παίδευε υἱόν σου καὶ ἀναπαύσει σε, καὶ δώσει κόσμον τῇ ψυχῇ σου.
18. Οὐ μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ, ὁ δὲ φυλάσσων τὸν νόμον μακαριστός.
19. Λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός· ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ' οὐχ ὑπακούσεται.
20. Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ.
21. Ὃς κατασπαταλᾷ ἐκ παιδὸς οἰκέτης ἔσται, ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ.
22. Ἀνὴρ θυμώδης ἐγείρει νεῖκος, ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίαν.
23. Ὕβρις ἄνδρα ταπεινοῖ, τοὺς δὲ ταπεινόφρονας ἐρείδει δόξῃ Κύριος.
24. Ὃς μερίζεται κλέπτῃ μισεῖ τὴν ἑαυτοῦ ψυχήν· ἐὰν δὲ ὅρκου προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσι,
25. φοβηθέντες καὶ αἰσχυνθέντες ἀνθρώπους ὑπεσκελίσθησαν, ὁ δὲ πεποιθὼς ἐπὶ Κυρίῳ εὐφρανθήσεται.

CAPUT XXIX.

1. Melior vir correptionum viro duræ cervicis, repente enim ardente eo non est medela.
2. Dum laudantur justi lætabuntur populi, imperantibus autem impiis gemunt viri.
3. Viri amantis sapientiam lætatur pater ejus, qui autem pascit meretrices disperdet divitias.
4. Rex justus erigit regionem, vir autem iniquus destruit.
5. Qui præparat ad faciem sui amici rete, illud circumdat suis pedibus.
6. Peccanti viro magnus laqueus, justus autem in gaudio et in lætitia erit.
7. Novit justus judicare pauperibus, impius autem non cogitat scientiam, et inopi non inest mens cognoscens.
8. Viri iniqui exusserunt civitatem, sapientes autem averterunt iram.
9. Vir sapiens judicabit gentes, vir autem nequam succensens deridetur et non terret.
10. Viri sanguinum participes odio habent sanctum, recti autem exquirent animam ejus.
11. Totam iram suam profert insipiens, sapiens autem dispensat per partem.
12. Rege exaudiente verbum injustum, omnes qui sub eo iniqui.
13. Fœneratore et debitore invicem concurrentibus, visitationem utriusque facit Dominus.
14. Regis in veritate judicantis pauperes, sedes ejus in testimonium constituetur.
15. Plagæ et correptiones dant sapientiam, puer autem errans confundit parentes suos.
16. Cum multi sunt impii multa fiunt peccata, justi autem illis cadentibus timidi fiunt.
17. Erudi filium tuum et requiem dabit tibi, et dabit ornatum animæ tuæ.
18. Non erit enarrator genti iniquæ, custodiens autem legem beatissimus.
19. Verbis non erudietur famulus durus: nam etsi intellexerit, sed non obediet.
20. Si videas virum velocem in verbis, cognosce quia spem habet magis insipiens eo.
21. Qui deliciatur a puero famulus erit, novissime autem dolebit super se.
22. Vir indignabundus suscitat contentionem, et vir iracundus effodit peccatum.
23. Contumelia virum humiliat, humiliter autem sentientes firmat gloria Dominus.
24. Qui participat furi odit suam animam: si autem juramentum propositum audientes non annuntiaverint,
25. timentes et reveriti homines supplantati sunt: qui

Ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα, ὃς δὲ πέποιθεν ἐπὶ τῷ Δεσπότῃ σωθήσεται.

26. Πολλοὶ θεραπεύουσι πρόσωπα ἡγουμένων, παρὰ δὲ Κυρίου γίνεται τὸ δίκαιον ἀνδρί.

27. Βδέλυγμα δίκαιος ἀνὴρ ἀνδρὶ ἀδίκῳ, βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

(*Vulg.* XXXI, 10.) Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη.

11. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς· ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει.

(*) 12. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα τὸν βίον,

13. μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς.

14. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτὴ τὸν βίον.

15. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις.

16. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα.

17. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον.

18. Καὶ ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.

19. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον.

20. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ.

21. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν που χρονίζῃ, πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί.

22. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα.

23. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς.

24. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο περιζώματα τοῖς Χαναναίοις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς.

25. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. (**)

(a) 27. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε.

(b) 26. Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως,

28. ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ἤνεσεν αὐτήν.

29. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι, ὑπερῆρας πάσας.

30. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω.

31. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

(*) 12. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὸν, καὶ οὐ κακὸν πάντα τὸν βίον. (*Alex.*)

(**) 26. Στόμα αὐτῆς διήνοιξεν προσηκόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. (*Alex.*)

autem confidit in Domino lætabitur. Impietas viro dat prolapsionem, qui autem confidit in Domino salvabitur.

26. Multi colunt facies ducum, a Domino autem fit justum viro.

27. Abominatio justus vir viro injusto, abominatio autem iniquo recte pergens via.

(*Vulg.* XXXI, 10.) Mulierem fortem quis inveniet? Pretiosior autem est lapidibus pretiosis quæ talis est.

11. Confidit super eam cor viri ejus : quæ talis est pulchris spoliis non egebit.

12. Operatur enim viro ad bona omni vita,

13. filans lanas et linum fecit quod utile est manibus suis.

14. Facta est tamquam navis mercaturam exercens de longe, congregat autem hæc vitam.

15. Et surrexit de noctibus, et dedit escas domui, et opera ancillis.

16. Considerans agrum emit, et de fructibus manuum suarum plantavit possessionem.

17. Præcincta fortiter lumbum suum firmavit brachia sua ad opus.

18. Et gustavit quia bonum est operari, et non exstinguitur lucerna ejus totam noctem.

19. Cubitos suos extendit ad utilia, et manus suas firmat ad fusum.

20. Manus autem suas aperuit pauperi, et palmam extendit inopi.

21. Non est sollicitus de iis quæ in domo vir ejus sicubi moratus fuerit, omnes enim qui ab ea induti sunt.

22. Duplices vestes fecit viro suo, de bysso autem et purpura sibi indumenta.

23. Conspicuus autem fit vir ejus in portis, quandocumque sederit in consessu cum senibus habitatoribus terræ.

24. Sindonas fecit et vendidit cingula Chananæis. Os suum aperuit attente et legitime, et ordinem posuit linguæ suæ.

25. Fortitudinem et decorem induit, et lætata est in diebus novissimis.

27. Constrictæ mansiones domorum ejus, cibos autem pigros non manducavit.

26. Os autem aperit sapienter et congruenter legibus,

28. eleemosyna autem ejus suscitavit filios ejus et ditati sunt, et vir ejus laudavit eam.

29. Multæ filiæ acquisierunt divitias, multæ fecerunt virtutem : tu autem emines, supergressa es universas.

30. Fallaces gratiæ, et vana pulchritudo mulieris : mulier enim intelligens benedicetur, timorem autem Domini ista laudet.

31. Date ei de fructibus labiorum ejus, et laudetur in portis vir ejus.

---

12. Operatur enim vero bonum, et non malum omni vita.

26. Os suum aperuit decenter et legitime, et ordinem constituit linguæ suæ.

ΕΚΚΛΗΣΙΑΣΤΗΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ῥήματα Ἐκκλησιαστοῦ υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ ἐν Ἱερουσαλήμ.

2. Ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστής, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.

3. Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;

4. Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε.

5. Καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει· αὐτὸς ἀνατέλλων ἐκεῖ

6. πορεύεται πρὸς νότον καὶ κυκλοῖ πρὸς βοῤῥᾶν· κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.

7. Πάντες οἱ χείμαῤῥοι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη· εἰς τὸν τόπον οὗ οἱ χείμαῤῥοι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι.

8. Πάντες οἱ λόγοι ἔγκοποι, οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν, καὶ οὐ πλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾷν, καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως.

9. Τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον. Καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον.

10. Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον. Ὃς λαλήσει καὶ ἐρεῖ· Ἴδε, τοῦτο καινόν ἐστιν, ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν.

11. Οὐκ ἔστι μνήμη τοῖς πρώτοις, καί γε τοῖς ἐσχάτοις γενομένοις οὐκ ἔσται αὐτῶν μνήμη μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην.

12. Ἐγὼ Ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ,

13. καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γινομένων ὑπὸ τὸν οὐρανὸν, ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ.

14. Εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

15. Διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι.

16. Ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου, τῷ λέγειν· Ἰδοὺ ἐγὼ ἐμεγαλύνθην καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ. Καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν.

17. Καὶ καρδία μου εἶδε πολλὰ, σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην· ἔγνων ἐγὼ ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος.

18. Ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν προσθήσει ἄλγημα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Εἶπον ἐγὼ ἐν καρδίᾳ μου· Δεῦρο δὴ, πειράσω σε ἐν εὐφροσύνῃ, καὶ ἴδε ἐν ἀγαθῷ· καὶ ἰδοὺ καί γε τοῦτο ματαιότης.

ECCLESIASTES.

CAPUT I.

1. Verba Ecclesiastæ filii David regis Israel in Jerusalem.

2. Vanitas vanitatum, dixit Ecclesiastes, vanitas vanitatum, omnia vanitas.

3. Quid superest homini in omni labore suo quo laborat sub sole?

4. Generatio vadit et generatio venit, et terra in sæculum stat.

5. Et oritur sol et occidit sol, et ad locum suum ducit : oriens ipse ibi

6. vadit ad austrum et gyrat ad aquilonem : gyrat gyrans, vadit spiritus, et in circulos suos revertitur spiritus.

7. Omnes torrentes vadunt in mare, et mare non est impletum : ad locum quo torrentes erunt, illuc ipsi revertuntur ad eundum.

8. Omnes sermones graves, non poterit vir loqui, et non satiabitur oculus videndo, et non implebitur auris ex auditu.

9. Quid est quod fuit? ipsum quod futurum est. Et quid est quod factum est? ipsum quod faciendum est.

10. Et non est omne recens sub sole. Qui loquetur ac dicet : Vide, hoc novum est, jam fuit in sæculis quæ fuerunt ante nos.

11. Non est memoria primis, et quidem novissimis cum facta fuerint non erit eorum memoria cum eis qui futuri sunt in novissimo.

12. Ego Ecclesiastes fui rex super Israel in Jerusalem,

13. et dedi cor meum ad inquirendum et considerandum in sapientia de omnibus quæ fiunt sub cœlo, quoniam distentionem malam dedit Deus filiis hominum ut distendantur in ea.

14. Vidi universa opera quæ facta sunt sub sole, et ecce omnia vanitas et præsumptio spiritus.

15. Perversum non poterit adornari, et imminutio non poterit numerari.

16. Locutus sum ego in corde meo, dicens : Ecce ego magnificatus sum et adjeci sapientiam super omnes qui fuerunt ante me in Jerusalem. Et dedi cor meum, ut noscerem sapientiam et scientiam.

17. Et cor meum vidit multa, sapientiam et scientiam, parabolas et scientiam : cognovi ego quia et hoc est præsumptio spiritus.

18. Quia in multitudine sapientiæ multitudo cognitionis, et qui apponit scientiam apponit dolorem.

CAPUT II.

1. Dixi ego in corde meo : Veni nunc, tentabo te in lætitia, et vide in bono : et ecce etiam hoc vanitas.

2. Τῷ γέλωτι εἶπα περιφοράν, καὶ τῇ εὐφροσύνῃ· Τί τοῦτο ποιεῖς;

3. Καὶ κατεσκεψάμην εἰ ἡ καρδία μου ἑλκύσει ὡς οἶνον τὴν σάρκα μου, καὶ καρδία μου ὡδήγησε ἐν σοφίᾳ καὶ τοῦ κρατῆσαι ἐπ' εὐφροσύνην, ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὃ ποιήσουσιν ὑπὸ τὴν ἥλιον, ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν.

4. Ἐμεγάλυνα ποίημά μου, ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας,

5. ἐποίησά μοι κήπους καὶ παραδείσους, καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρποῦ.

6. Ἐποίησά μοι κολυμβήθρας ὑδάτων τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶντα ξύλα.

7. Ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι, καί γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ.

8. Συνήγαγόν μοι καί γε ἀργύριον, καί γε χρυσίον, καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν. Ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, καὶ ἐντρυφήματα υἱῶν ἀνθρώπων, οἰνοχόον καὶ οἰνοχόας.

9. Καὶ ἐμεγαλύνθην καὶ προσέθηκα παρὰ πάντας τοὺς γενομένους ἀπὸ ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ, καί γε σοφία μου ἐστάθη μοι.

10. Καὶ πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν. Οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης μου, ὅτι καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου, καὶ τοῦτο ἐγένετο μερίς μου ἀπὸ παντὸς μόχθου μου.

11. Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ ᾧ ἐμόχθησα τοῦ ποιεῖν, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος, καὶ οὐκ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον.

12. Καὶ ἐπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν καὶ παραφορὰν καὶ ἀφροσύνην, ὅτι τίς ἄνθρωπος ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς; τὰ ὅσα ἐποίησεν αὐτήν.

13. Καὶ εἶδον ἐγὼ ὅτι ἐστὶ περίσσεια τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην, ὡς περίσσεια τοῦ φωτὸς ὑπὲρ τὸ σκότος.

14. Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ, καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται· καὶ ἔγνων καί γε ἐγὼ ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.

15. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου· Ὡς συνάντημα τοῦ ἄφρονος, καί γε ἐμοὶ συναντήσεταί μοι, καὶ ἱνατί ἐσοφισάμην ἐγώ; Περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου, ὅτι καί γε τοῦτο ματαιότης, διότι ὁ ἄφρων ἐκ περισσεύματος λαλεῖ.

16. Ὅτι οὐκ ἔστι ἡ μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα, καθότι ἤδη αἱ ἡμέραι ἐρχόμεναι τὰ πάντα ἐπελήσθη. Καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος;

17. Καὶ ἐμίσησα σὺν τὴν ζωήν· ὅτι πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅτι πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

18. Καὶ ἐμίσησα ἐγὼ σύμπαντα μόχθον μου ὃν ἐγὼ κοπιῶ ὑπὸ τὸν ἥλιον, ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γινομένῳ μετ' ἐμέ.

19. Καὶ τίς εἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων, καὶ εἰ ἐξουσιάζεται ἐν παντὶ μόχθῳ μου, ᾧ ἐμόχθησα καὶ ᾧ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον; Καί γε τοῦτο ματαιότης.

2. Risui dixi circumlationem, et jucunditati : Quid hoc facis?

3. Et consideravi si cor meum trahet tamquam vinum carnem meam, et cor meum deduxit in sapientia et ut obtinerem lætitiam, donec viderem quid sit bonum filiis hominum, quod facient sub sole, numero dierum vitæ suæ.

4. Magnificavi opus meum, ædificavi mihi domos, plantavi mihi vineas,

5. feci mihi hortos et pomaria, et plantavi in illis lignum omne fructus.

6. Feci mihi piscinas aquarum ad irrigandum ex eis saltum germinantem ligna.

7. Mercatus sum mihi servos et ancillas, et vernaculi fuerunt mihi, et quidem possessio armenti et ovium multa fuit mihi super omnes qui fuerunt ante me in Jerusalem.

8. Congregavi mihi etiam argentum, etiam aurum, et opes regum et provinciarum. Feci mihi cantores et cantatrices, et delicias filiorum hominum, ministrum vini et ministras.

9. Et magnificatus sum et adjeci super omnes qui fuerunt ab ante me in Jerusalem, et quidem sapientia mea adstitit mihi.

10. Et omne quod postulaverunt oculi mei, non abstuli ab eis. Non prohibui cor meum ab omni lætitia mea, quia cor meum lætatum est in omni labore meo, et hoc fuit portio mea ex omni labore meo.

11. Et respexi ego ad omnia opera mea quæ fecerunt manus meæ, et in laborem quo laboraveram faciendo, et ecce omnia vanitas et voluntas spiritus, et non est abundantia sub sole.

12. Et respexi ego ut viderem sapientiam et errorem et stultitiam, quia quis est homo qui ingredietur post consilium? ea quæ fecerunt ipsum.

13. Et vidi ego quia abundantia est sapientiæ super stultitiam, sicut abundantia lucis super tenebras.

14. Sapientis oculi ejus in capite ejus, et stultus in tenebris ambulat: et cognovi etiam ego quia eventus unus eveniet omnibus eis.

15. Et dixi ego in corde meo : Sicut eventus stulti, ita et mihi eveniet, et ut quid sapiens factus sum ego? Abundanter locutus sum in corde meo, quoniam hoc quoque vanitas, quoniam insipiens ex abundantia loquitur.

16. Quia non est memoria sapientis cum stulto in æternum, eo quod jam dies supervenientes universa oblivio operuit. Et quomodo morietur sapiens cum stulto?

17. Et odivi quidem vitam : quia malum super me opus quod factum est sub sole, quia omnia vanitas et præsumptio spiritus.

18. Et odivi ego omnem laborem meum quem ego laboro sub sole, quia dimitto illum homini qui fit post me.

19. Et quis novit utrum sapiens sit vel stultus, et an potestatem habeat in omni labore meo, quo laboravi et quo sapiens factus sum sub sole? Etiam hoc vanitas.

20. Καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τὴν καρδίαν μου ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον.

21. Ὅτι ἐστὶν ἄνθρωπος, ὅτι μόχθος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρίᾳ· καί ἄνθρωπος ᾧ οὐκ ἐμόχθησεν ἐν αὐτῷ δώσει αὐτῷ μερίδα αὐτοῦ· καί γε τοῦτο ματαιότης καὶ πονηρία μεγάλη·

22. ὅτι γίνεται ἐν τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ ᾧ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον.

23. Ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ, καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ· καί γε τοῦτο ματαιότης ἐστίν.

24. Οὐκ ἔστιν ἀγαθὸν ἀνθρώπῳ, ὃ φάγεται καὶ ὃ πίεται καὶ ὃ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ. Καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ Θεοῦ ἐστιν.

25. Ὅτι τίς φάγεται καὶ τίς πίεται παρὲξ αὐτοῦ;

26. Ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ πρὸ προσώπου αὐτοῦ ἔδωκε σοφίαν καὶ γνῶσιν καὶ εὐφροσύνην, καὶ τῷ ἁμαρτάνοντι ἔδωκε περισπασμὸν τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν, τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ Θεοῦ· ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

20. Et conversus sum ego ut renuntiarem cordi meo in omni labore meo quo laboravi sub sole.

21. Quia est homo, quia labor ejus est in sapientia et in scientia et in virtute : et homo cui non laboravit in eo dabit illi partem suam : et quidem hoc vanitas et nequitia magna :

22. quoniam fit in homine in omni labore suo et in voluntate cordis sui quo ipse laborat sub sole.

23. Quia omnes dies ejus dolorum et iracundiæ distentio ejus, et quidem in nocte non dormit cor ejus : sed et hoc vanitas est.

24. Non est bonum homini, *nisi* quod comedit et quod bibit et quod ostendet animæ suæ bonum in labore suo. Et quidem hoc vidi ego quia de manu Dei est.

25. Quis enim comedet et quis bibet sine illo?

26. quoniam homini bono coram se dedit sapientiam et scientiam et lætitiam, et peccanti dedit sollicitudinem ut augeat et congreget, ad dandum bono ante faciem Dei : quoniam et hoc vanitas et præsumptio spiritus.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν.

2. Καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν· καιρὸς τοῦ φυτεῦσαι καὶ καιρὸς τοῦ ἐκτίλαι τὸ πεφυτευμένον.

3. Καιρὸς τοῦ ἀποκτεῖναι καὶ καιρὸς τοῦ ἰάσασθαι· καιρὸς τοῦ καθελεῖν καὶ καιρὸς τοῦ οἰκοδομεῖν.

4. Καιρὸς τοῦ κλαῦσαι καὶ καιρὸς τοῦ γελάσαι· καιρὸς τοῦ κόψασθαι καὶ καιρὸς τοῦ ὀρχήσασθαι.

5. Καιρὸς τοῦ βαλεῖν λίθους καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους· καιρὸς τοῦ περιλαβεῖν καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήψεως.

6. Καιρὸς τοῦ ζητῆσαι καὶ καιρὸς τοῦ ἀπολέσαι· καιρὸς τοῦ φυλάξαι καὶ καιρὸς τοῦ ἐκβαλεῖν.

7. Καιρὸς τοῦ ῥῆξαι καὶ καιρὸς τοῦ ῥάψαι· καιρὸς τοῦ σιγᾷν καὶ καιρὸς τοῦ λαλεῖν.

8. Καιρὸς τοῦ φιλῆσαι καὶ καιρὸς τοῦ μισῆσαι· καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης.

9. Τίς περίσσεια τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ;

10. Εἶδον σὺν πάντα τὸν περισπασμὸν ὃν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ.

11. Τὰ σύμπαντα ἃ ἐποίησε καλὰ ἐν καιρῷ αὐτοῦ. Καί γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν, ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος τὸ ποίημα ὃ ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς καὶ μέχρι τέλους.

12. Ἔγνων ὅτι οὐκ ἔστιν ἀγαθὸν ἐν αὐτοῖς, εἰ μὴ τοῦ εὐφρανθῆναι καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ.

13. Καί γε πᾶς ὁ ἄνθρωπος ὃς φάγεται καὶ πίεται καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ, δόμα Θεοῦ ἐστιν.

14. Ἔγνων ὅτι πάντα ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ

CAPUT III.

1. Omnibus tempus est, et tempus omni rei sub cœlo.

2. Tempus pariendi et tempus moriendi : tempus plantandi et tempus evellendi quod plantatum est.

3. Tempus occidendi et tempus sanandi : tempus destruendi et tempus ædificandi.

4. Tempus flendi et tempus ridendi : tempus plangendi et tempus saltandi.

5. Tempus mittendi lapides et tempus colligendi lapides : tempus amplexandi et tempus longe fieri ab amplexu.

6. Tempus acquirendi et tempus perdendi : tempus custodiendi et tempus projiciendi.

7. Tempus scindendi et tempus consuendi : tempus tacendi et tempus loquendi.

8. Tempus amandi et tempus odiendi : tempus belli et tempus pacis.

9. Quæ abundantia est facientis in quibus ipse laborat?

10. Vidi omnem distentionem quam dedit Deus filiis hominum ut distendantur in ea.

11. Universa quæ fecit bona in tempore suo. Et quidem omne sæculum dedit in corde eorum, ut non inveniat homo opus quod fecit Deus ab initio et usque in finem.

12. Cognovi quia non est bonum in eis, nisi lætari et facere bonum in vita sua.

13. Et quidem omnis homo qui comedet et bibet et viderit bonum in omni labore suo, donum Dei est.

14. Cognovi quia omnia quæ fecit Deus, ipsa erunt in æter

ἔσται εἰς τὸν αἰῶνα· ἐπ' αὐτῷ οὐκ ἔστι προςθεῖναι, καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν. Καὶ ὁ Θεὸς ἐποίησεν, ἵνα φοβηθῶσιν ἀπὸ προςώπου αὐτοῦ.

15. Τὸ γενόμενον ἤδη, ἐστί· καὶ ὅσα τοῦ γίνεσθαι, ἤδη γέγονε, καὶ ὁ Θεὸς ζητήσει τὸν διωκόμενον.

16. Καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον τόπον τῆς κρίσεως, ἐκεῖ ὁ ἀσεβής· καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ εὐσεβής.

17. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου· Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ Θεὸς, ὅτι καιρὸς τῷ παντὶ πράγματι καὶ ἐπὶ παντὶ τῷ ποιήματι ἐκεῖ.

18. Εἶπα ἐγὼ ἐν καρδίᾳ μου, περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεὸς, καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσί.

19. Καί γε αὐτοῖς συνάντημα υἱῶν τοῦ ἀνθρώπου, καὶ συνάντημα τοῦ κτήνους, συνάντημα ἓν αὐτοῖς. Ὡς ὁ θάνατος τούτου, οὕτως ὁ θάνατος τούτου· καὶ πνεῦμα ἓν τοῖς πᾶσιν, καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος; Οὐδέν· ὅτι πάντα ματαιότης.

20. Τὰ πάντα εἰς τόπον ἕνα, τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοὸς, καὶ τὰ πάντα ἐπιστρέψει εἰς τὸν χοῦν.

21. Καὶ τίς εἶδε πνεῦμα υἱῶν τοῦ ἀνθρώπου, εἰ ἀναβαίνει αὐτὸ ἄνω, καὶ τὸ πνεῦμα τοῦ κτήνους, εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν;

22. Καὶ εἶδον ὅτι οὐκ ἔστι ἀγαθὸν εἰ μὴ ὁ εὐφρανθήσεται ὁ ἄνθρωπος ἐν ποιήμασιν αὐτοῦ, ὅτι αὐτὸ μερὶς αὐτοῦ. Ὅτι τίς ἄξει αὐτὸν τοῦ ἰδεῖν ἐν ᾧ ἐὰν γένηται μετ' αὐτόν;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἐπέστρεψα ἐγὼ, καὶ εἶδον συμπάσας τὰς συκοφαντίας τὰς γενομένας ὑπὸ τὸν ἥλιον. Καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν, καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοῖς ἰσχὺς, καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν.

2. Καὶ ἐπῄνεσα ἐγὼ σύμπαντας τοὺς τεθνηκότας τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας, ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν.

3. Καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους ὅςτις οὔπω ἐγένετο, ὃς οὐκ εἶδε σὺν πᾶν τὸ ποίημα τὸ πονηρὸν τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον.

4. Καὶ εἶδον ἐγὼ σύμπαντα τὸν μόχθον, καὶ σύμπασαν ἀνδρίαν τοῦ ποιήματος, ὅτι αὐτὸ ζῆλος ἀνδρὸς ἀπὸ τοῦ ἑταίρου αὐτοῦ· καίγε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

5. Ὁ ἄφρων περιέβαλε τὰς χεῖρας αὐτοῦ, καὶ ἔφαγε τὰς σάρκας αὐτοῦ.

6. Ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως ὑπὲρ πληρώματα δύο δρακῶν μόχθου καὶ προαιρέσεως πνεύματος.

7. Καὶ ἐπέστρεψα ἐγὼ, καὶ εἶδον ματαιότητα ὑπὸ τὸν ἥλιον.

8. Ἔστιν εἷς, καὶ οὐκ ἔστι δεύτερος· καί γε υἱὸς καί γε ἀδελφὸς οὐκ ἔστιν αὐτῷ, καὶ οὐκ ἔστι περασμὸς τῷ παντὶ μόχθῳ αὐτοῦ. Καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπίμπλαται πλούτου. Καὶ τίνι ἐγὼ μοχθῶ, καὶ στερίσκω τὴν ψυχήν μου ἀπὸ ἀγαθωσύνης; Καί γε τοῦτο ματαιότης καὶ περισπασμὸς πονηρός ἐστι.

9. Ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα, οἷς ἐστὶν αὐτοῖς μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν.

num: super illud non potest adjici, et ab illo non potest auferri. Et Deus fecit, ut timeant a facie ejus.

15. Quod fuit, jam est: et quæ futura sunt, jam fuerunt, et Deus quæret eum qui persecutionem patitur.

16. Et adhuc vidi sub sole locum judicii, illic impius: et locum justi, illic pius.

17. Et dixi ego in corde meo: Justum et impium judicabit Deus, quia tempus est omni rei et super omne factum ibi.

18. Dixi ego in corde meo, de loquela filiorum hominis, quia separabit illos Deus, et ut ostendat quia ipsi jumenta sunt.

19. Et quidem eis eventus filiorum hominis, et eventus pecoris, eventus unus eis. Sicut mors hujus, ita et mors illius: et spiritus unus omnibus, et quid abundavit homo a pecore? Nihil: quia omnia vanitas.

20. Omnia ad locum unum, omnia facta sunt de pulvere, et omnia revertentur in pulverem.

21. Et quis novit spiritum filiorum hominis, si ascendat ipse sursum, et spiritus pecoris, si descendat ipse deorsum in terram?

22. Et vidi quia non est bonum nisi quod lætetur homo in operibus suis, quia hæc est pars ejus. Quis enim adducet eum ut videat in illud quod futurum est post ipsum?

CAPUT IV.

1. Et converti me ego, et vidi universas calumnias quæ factæ sunt sub sole. Et ecce lacryma eorum qui calumnias sustinent, et non est qui consoletur eos, et de manu calumniantium eos fortitudo, et non est eis consolator.

2. Et laudavi ego omnes mortuos qui jam mortui sunt super viventes, quicumque ipsi vivunt usque nunc.

3. Et bonus super hos duos qui nondum factus est, qui non vidit omne opus malum quod factum est sub sole.

4. Et vidi ego universum laborem, et simul omnem virtutem operis, quia ipsum æmulatio viri a sodali ejus: et quidem hoc vanitas et præsumptio spiritus.

5. Stultus complexus est manus suas, et comedit carnes suas.

6. Bona plenitudo pugilli requietis super plenitudines duorum pugillorum laboris et præsumptionis spiritus.

7. Et conversus sum ego, et vidi vanitatem sub sole.

8. Est unus, et non est secundus: et quidem filius et frater non est ei, nec est finis omni labori ejus. Et quidem oculus ejus non satiatur divitiis. Et cui ego laboro, et fraudo animam meam bonitate? Sed et hoc vanitas et distentio pessima est.

9. Boni duo super unum, quibus est eis merces bona in labore suo.

10. Ὅτι ἐὰν πέσωσιν, ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ. Καὶ οὐαὶ αὐτῷ τῷ ἑνὶ, ὅταν πέσῃ καὶ μὴ ᾖ δεύτερος ἐγεῖραι αὐτόν.

11. Καί γε ἐὰν κοιμηθῶσιν δύο καὶ θέρμη αὐτοῖς, καὶ ὁ εἷς πῶς θερμανθῇ;

12. Καὶ ἐὰν ἐπικραταιωθῇ ὁ εἷς, οἱ δύο στήσονται κατέναντι αὐτοῦ, καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχέως ἀποῤῥαγήσεται.

13. Ἀγαθὸς παῖς πένης καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα, ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι.

14. Ὅτι ἐξ οἴκου τῶν δεσμίων ἐξελεύσεται τοῦ βασιλεῦσαι· ὅτι καί γε ἐν βασιλείᾳ αὐτοῦ ἐγενήθη πένης.

15. Εἶδον σύμπαντας τοὺς ζῶντας τοὺς περιπατοῦντας ὑπὸ τὸν ἥλιον μετὰ τοῦ νεανίσκου τοῦ δευτέρου, ὃς στήσεται ἀντ' αὐτοῦ.

16. Οὐκ ἔστι περασμὸς τῷ παντὶ λαῷ, τοῖς πᾶσιν οἳ ἐγένοντο ἔμπροσθεν αὐτῶν. Καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐπ' αὐτῷ· ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

17. Φύλαξον τὸν πόδα σου ἐν ᾧ ἐὰν πορεύῃ εἰς οἶκον τοῦ Θεοῦ, καὶ ἐγγὺς τοῦ ἀκούειν. Ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία σου, ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν.

10. Quia si ceciderint, unus eriget participem suum Et væ ipsi uni, cum ceciderit et non fuerit secundus qui erigat eum.

11. Et quidem si dormient duo etiam calor erit illis, et unus quomodo calefiet?

12. Et si invaluerit unus, duo stabunt adversus eum, et funiculus triplex non cito rumpetur.

13. Bonus est puer pauper et sapiens super regem seniorem et stultum, qui nescit providere in posterum.

14. Quoniam de domo vinctorum egredietur ut regnet: quia etiam in regno suo factus est pauper.

15. Vidi universos viventes qui ambulant sub sole cum adolescente secundo, qui stabit pro illo.

16. Non est finis omni populo, universis qui fuerunt ante illos. Et quidem novissimi non lætabuntur in eo: sed et hoc vanitas et præsumptio spiritus.

17. Custodi pedem tuum cum vadis in domum Dei, et propinquus ad audiendum. Super donum insipientium sacrificium tuum, quia nesciunt quod faciunt malum.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ Θεοῦ· ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς· διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι.

2. Ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων.

3. Καθὼς εὔξῃ εὐχὴν τῷ Θεῷ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν· ὅτι οὐκ ἔστι θέλημα ἐν ἄφροσι. Σὺ οὖν ὅσα ἐὰν εὔξῃ ἀπόδος.

4. Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.

5. Μὴ δῷς τὸ στόμα σου τοῦ ἐξαμαρτῆσαι τὴν σάρκα σου, καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ Θεοῦ, ὅτι ἄγνοιά ἐστιν, ἵνα μὴ ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ σου, καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν σου.

6. Ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν, ὅτι σὺ τὸν Θεὸν φοβοῦ.

7. Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης ἴδῃς ἐν χώρᾳ, μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι· ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάξαι, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς.

8. Καὶ περίσσεια γῆς ἐπὶ παντί ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου.

9. Ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται ἀργυρίου· καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτῶν γέννημα; Καί γε τοῦτο ματαιότης.

10. Ἐν πλήθει ἀγαθωσύνης ἐπληθύνθησαν ἔσθοντες αὐτήν. Καὶ τί ἀνδρεία τῷ παρ' αὐτῆς; Ὅτι ἀρχὴ τοῦ ὁρᾷν ὀφθαλμοῖς αὐτοῦ.

11. Γλυκὺς ὕπνος τοῦ δούλου εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται, καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι, οὐκ ἔστι ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι.

12. Ἔστιν ἀῤῥωστία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ,

CAPUT V.

1. Noli festinare in ore tuo, et cor tuum non festinet ad proferendum verbum in conspectu Dei: quia Deus in cœlo sursum, et tu super terram: propter hoc sint verba tua pauca.

2. Quia advenit somnium in multitudine sollicitudinis, et vox stulti in multiplicatione sermonum.

3. Prout voveris votum Deo, ne moreris reddere illud: quia non est voluntas in insipientibus. Tu igitur quæcumque voveris redde.

4. Bonum est non vovere te quam vovere te et non reddere.

5. Non des os tuum ut peccare facias carnem tuam, et ne dixeris in conspectu Dei, quia ignorantia est, ne irascatur Deus super vocem tuam, et disperdat opera manuum tuarum.

6. Quia in multitudine somniorum et vanitatum et verborum plurimorum, quare tu Deum time.

7. Si calumniam pauperis et direptionem judicii et justitiæ videris in regione, ne mireris super negotio: quia excelsus super excelsum ad custodiendum, et excelsi super eos.

8. Et præstantia terræ in omni est rex agri culti.

9. Qui diligit argentum non implebitur argento: et quis dilexit in multitudine eorum fructum? Sed et hoc vanitas.

10. In multitudine bonitatis multiplicati sunt qui comedunt eam. Et quid fortitudo ei qui ab ea? Quia principium videre oculis suis.

11. Dulcis somnus servi sive paululum et sive multum comederit, et ei qui saturatus est ditescendo, non est dimittens eum dormire.

12. Est languor quem vidi sub sole, divitias custoditas ei qui ab eis in malum ei,

13. καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ· καὶ ἐγέννησεν υἱὸν, καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν.

14. Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνὸς, ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει, καὶ οὐδὲν οὐ λήψεται ἐν μόχθῳ αὐτοῦ, ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ.

15. Καί γε τοῦτο πονηρὰ ἀῤῥωστία. Ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται. Καὶ τίς ἡ περίσσεια αὐτοῦ ᾗ μοχθεῖ εἰς ἄνεμον;

16. Καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει, καὶ ἐν πένθει, καὶ θυμῷ πολλῷ, καὶ ἀῤῥωστίᾳ, καὶ χόλῳ.

17. Ἰδοὺ εἶδον ἐγὼ ἀγαθὸν, ὅ ἐστι καλὸν τοῦ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ ἐὰν μοχθῇ ὑπὸ τὸν ἥλιον, ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ ὧν ἔδωκεν αὐτῷ ὁ Θεὸς, ὅτι αὐτὸ μερὶς αὐτοῦ.

18. Καί γε πᾶς ἄνθρωπος ᾧ ἔδωκεν αὐτῷ ὁ Θεὸς πλοῦτον καὶ ὑπάρχοντα, καὶ ἐξουσίασεν αὐτῷ φαγεῖν ἀπ' αὐτοῦ, καὶ λαβεῖν τὸ μέρος αὐτοῦ, καὶ τοῦ εὐφρανθῆναι ἐν μόχθῳ αὐτοῦ, τοῦτο δόμα Θεοῦ ἐστιν.

19. Ὅτι οὐ πολλὰ μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ὅτι ὁ Θεὸς περισπᾷ αὐτὸν ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, καὶ πολλή ἐστι ὑπὸ τὸν ἄνθρωπον·

2. ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ Θεὸς πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν, καὶ οὐκ ἔστι ὑστερῶν τῇ ψυχῇ αὐτοῦ ἀπὸ πάντων ὧν ἐπιθυμήσει, καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ Θεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ, ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν· τοῦτο ματαιότης καὶ ἀῤῥωστία πονηρά ἐστι.

3. Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅ,τι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ, καὶ ψυχὴ αὐτοῦ οὐ πλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης, καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα· Ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα.

4. Ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει πορεύεται, καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται.

5. Καί γε ἥλιον οὐκ εἶδεν, καὶ οὐκ ἔγνω ἀναπαύσεις, τούτῳ ὑπὲρ τοῦτον,

6. καὶ ἔζησε χιλίων ἐτῶν καθόδους καὶ ἀγαθωσύνην οὐκ εἶδε· μὴ οὐκ εἰς τόπον ἕνα πορεύεται τὰ πάντα;

7. Πᾶς μόχθος ἀνθρώπου εἰς στόμα αὐτοῦ, καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται.

8. Ὅτι περίσσεια τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα, διότι ὁ πένης οἶδε πορευθῆναι κατέναντι τῆς ζωῆς.

9. Ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπερπορευόμενον ψυχῇ· καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

10. Εἴ τι ἐγένετο, ἤδη κέκληται ὄνομα αὐτοῦ, καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος, καὶ οὐ δυνήσεται κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν.

11. Ὅτι εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Τί περισσὸν τῷ ἀνθρώπῳ; Ὅτι τίς οἶδεν ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ, ἀριθμὸν ζωῆς ἡμερῶν ματαιότητος αὐτοῦ, καὶ ἐποίησεν αὐτὰ ἐν σκιᾷ; Ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον;

13. et peribunt divitiæ illæ in distentione pessima : et genuit filium, et non est in manu ejus quicquam.

14. Sicut exivit de utero matris suæ nudus, revertetur ut eat sicut venit, et nihil accipiet in labore suo, ut eat in manu sua.

15. Sed et hoc languor pessimus. Sicut enim advenit, ita et abibit. Et quæ abundantia ejus qua laborat in ventum?

16. Et quidem omnes dies ejus in tenebris, et in luctu, et iracundia multa, et languore, et insania.

17. Ecce ego vidi bonum, quod est pulchrum comedere et bibere et cernere bonitatem in omni labore suo quocumque laboraverit sub sole, numero dierum vitæ suæ quos dedit ei Deus, hoc quippe est pars ejus.

18. Et quidem omnis homo cui dedit ei Deus divitias et substantiam, concessitque ei ut vesceretur ex eis, et tolleret partem suam, et lætaretur in labore suo, hoc Dei donum est.

19. Non enim multum recordabitur dierum vitæ suæ, quia Deus occupat eum in lætitia cordis ejus.

CAPUT VI.

1. Est malum quod vidi sub sole, et multum est sub homine :

2. vir cui dabit ei Deus divitias et substantiam et gloriam, et non est deficiens anima sua ex omnibus quæ desiderabit, et non dabit ei Deus potestatem ut manducaret ex eo, quia vir alienus comedet illud : hoc vanitas est et languor pessimus.

3. Si genuerit vir centum, et annis multis vixerit, et multitudo quæcumque fuerint dies annorum ejus, et anima ejus non repleatur ex bonitate, nec sepulcrum fuerit illi, dixi · Bonum super eum abortivum.

4. In vanitate quippe venit, et in tenebris vadit, et in tenebris nomen ejus abscondetur.

5. Et quidem solem non vidit, nec cognovit requietes, huic super hunc,

6. et vixit mille annorum reditus et bonitatem non vidit : nonne ad locum unum vadunt omnia?

7. Omnis labor hominis in ore ipsius, et quidem anima non implebitur.

8. Quoniam abundantia sapienti super insipientem, eo quod pauper novit ire ad faciem vitæ.

9. Bonum est aspectus oculorum super ambulantem anima : hoc etiam vanitas et præsumptio spiritus.

10. Si quid fuit, jam vocatum est nomen ejus, et cognitum quod est homo, et non poterit judicari cum fortiore super se.

11. Quia sunt verba multa multiplicantia vanitatem.

CAPUT VII.

1. Quid plus homini? Quis enim cognovit bonum homini in vita, numerum dierum vanitatis ejus, et fecit ea in umbra? Quia quis annuntiabit homini quid erit post eum sub sole?

2. Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθὸν, καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γεννήσεως.

3. Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους ἢ ὅτι πορευθῆναι εἰς οἶκον πότου, καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου, καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ.

4. Ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα, ὅτι ἐν κακίᾳ προςώπου ἀγαθυνθήσεται καρδία.

5. Καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.

6. Ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων.

7. Ὡς φωνὴ ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως γέλως τῶν ἀφρόνων· καί γε τοῦτο ματαιότης.

8. Ὅτι ἡ συκοφαντία περιφέρει σοφὸν, καὶ ἀπόλλυσι τὴν καρδίαν εὐγενείας αὐτοῦ.

9. Ἀγαθὴ ἐσχάτη λόγων ὑπὲρ ἀρχὴν αὐτοῦ, ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι.

10. Μὴ σπεύσῃς ἐν πνεύματί σου τοῦ θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται.

11. Μὴ εἴπῃς· Τί ἐγένετο, ὅτι αἱ ἡμέραι αἱ πρότεραι ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας, ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου.

12. Ἀγαθὴ σοφία μετὰ κληρονομίας, καὶ περίσσεια τοῖς θεωροῦσι τὸν ἥλιον.

13. Ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιὰ ἀργυρίου, καὶ περίσσεια γνώσεως τῆς σοφίας ζωοποιήσει τὸν παρ' αὐτῆς.

14. Ἴδε τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι τίς δυνήσεται κοσμῆσαι ὃν ἂν ὁ Θεὸς διαστρέψῃ αὐτόν;

15. Ἐν ἡμέρᾳ ἀγαθωσύνης ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας, ἴδε. Καί γε σὺν τούτῳ συμφώνως τοῦτο ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ οὐδέν.

16. Σύμπαντα εἶδον ἐν ἡμέραις ματαιότητός μου. Ἐστὶ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἐστὶν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.

17. Μὴ γίνου δίκαιος πολὺ, μηδὲ σοφίζου περισσὰ, μήποτε ἐκπλαγῇς.

18. Μὴ ἀσεβήσῃς πολὺ, καὶ μὴ γίνου σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.

19. Ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ, καί γε ἀπὸ τούτου μὴ μιάνῃς τὴν χεῖρά σου, ὅτι φοβουμένοις τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα.

20. Ἡ σοφία βοηθήσει τῷ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄντας ἐν τῇ πόλει·

21. ὅτι ἄνθρωπος οὐκ ἔστι δίκαιος ἐν τῇ γῇ, ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται.

22. Καί γε εἰς πάντας λόγους οὓς λαλήσουσιν ἀσεβεῖς, μὴ θῇς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε.

23. Ὅτι πλειστάκις πονηρεύσεταί σε, καὶ καθόδους πολλὰς κακώσει καρδίαν σου, ὅτι ὡς καί γε σὺ κατηράσω ἑτέρους.

24. Πάντα ταῦτα ἐπείρασα ἐν σοφίᾳ. Εἶπα· Σοφισθήσομαι. Καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ.

25. Μακρὰν ὑπὲρ ὃ ἦν, καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό;

26. Ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου τοῦ γνῶναι καὶ τοῦ κατασκέψασθαι καὶ τοῦ ζητῆσαι σοφίαν καὶ

2. Bonum est nomen super oleum bonum, et dies mortis super diem nativitatis.

3. Bonum ire ad domum luctus quam ire ad domum convivii, eo quod hic est finis omnis hominis, et qui vivit dabit bonum ad cor suum.

4. Bonum est ira super risum, quia in malo vultus fiet bonum cor.

5. Cor sapientum in domo luctus, et cor insipientum in domo lætitiæ.

6. Bonum est audire increpationem sapientis super virum audientem carmen stultorum.

7. Sicut vox spinarum sub olla, ita risus stultorum : etiam hoc vanitas.

8. Quoniam calumnia circumfert sapientem, et perdit cor vigoris ejus.

9. Bonum est novissimum sermonum super principium, bonum est longanimis super excelsum spiritu.

10. Ne festines in spiritu tuo irasci, quia furor in sinu stultorum requiescet.

11. Ne dixeris : Quid factum est, quia dies priores erant boni super hos, quia non in sapientia interrogasti de hoc.

12. Bona est sapientia cum hæreditate, et amplius videntibus solem.

13. Quia in umbra ejus sapientia sicut umbra argenti, et abundantia scientiæ sapientiæ vivificabit eum qui ab ea.

14. Vide opera Dei, quoniam quis poterit adornare quem Deus perverterit eum?

15. In die bonitatis vive in bono, et vide in die mali, vide. Et quidem huic congruenter istud fecit Deus de loquela, ut non inveniat homo post eum quicquam.

16. Omnia vidi in diebus vanitatis meæ. Est justus periens in justo suo, et est impius manens in malitia sua.

17. Noli esse justus multum, et noli argumentari plusquam oportet, nequando obstupescas.

18. Ne impie agas multum, et noli esse durus, ne moriaris in tempore non tuo.

19. Bonum est inhærere te in hoc, et quidem ab hoc ne contamines manum tuam, quoniam timentibus Deum egredientur omnia.

20. Sapientia adjuvabit sapientem super decem potestatem habentes qui sunt in civitate :

21. quia homo non est justus in terra, qui faciet bonum et non peccabit.

22. Et quidem in omnes sermones quos loquentur impii, ne posueris cor tuum, ut non audias servum tuum maledicentem tibi.

23. Etenim frequenter malignabitur in te, et multis modis male afficiet cor tuum, nempe quia etiam tu maledixisti aliis.

24. Omnia hæc tentavi in sapientia. Dixi : Sapiens efficiar. Et ipsa elongata est a me.

25. Longe super id quod eram, et alta profunditas, quis inveniet eam?

26. Circuivi ego et cor meum ut cognoscerem et considerarem et quærerem sapientiam et numerum, et ut cogno-

ψῆφον, καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην καὶ ὀχληρίαν καὶ περιφοράν.

27. Καὶ εὑρίσκω ἐγὼ αὐτὴν καὶ ἐρῶ πικρότερον ὑπὲρ θάνατον σὺν τὴν γυναῖκα ἥτις ἐστὶ θήρευμα, καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. Ἀγαθὸς πρὸ προςώπου τοῦ Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς, καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ.

28. Ἴδε τοῦτο εὗρον, εἶπεν ὁ Ἐκκλησιαστής· μία τῇ μιᾷ, τοῦ εὑρεῖν λογισμὸν,

29. ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον, καὶ ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον, καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον.

30. Πλὴν ἴδε τοῦτο εὗρον, ὃ ἐποίησεν ὁ Θεὸς σὺν τὸν ἄνθρωπον εὐθῆ· καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς. Τίς οἶδε σοφοὺς, καὶ τίς οἶδε λύσιν ῥήματος;

scerem impii stultitiam et turbulentiam et circumlationem.

27. Et invenio ego eam et dicam amariorem super mortem mulierem quæ laqueus venatorum est, et sagenæ cor ejus, vinculum in manibus ejus. Bonus coram Deo eruetur ab ea, et qui peccat capietur in illa.

28. Ecce hoc inveni, dixit Ecclesiastes : una ad unam, ut invenirem rationem,

29. quam quæsivit anima mea, et non inveni, et hominem unum de mille inveni, et mulierem in omnibus his non inveni.

30. Solummodo ecce hoc inveni, quod fecit Deus hominem rectum : et ipsi quæsierunt cogitationes multas. Quis novit sapientes, et quis novit solutionem verbi?

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Σοφία ἀνθρώπου φωτιεῖ πρόςωπον αὐτοῦ, καὶ ἀναιδὴς προςώπῳ αὐτοῦ μισηθήσεται.

2. Στόμα βασιλέως φύλαξον, καὶ περὶ λόγου ὅρκου Θεοῦ

3. μὴ σπουδάσῃς, ἀπὸ προςώπου αὐτοῦ πορεύσῃ, μὴ στῇς ἐν λόγῳ πονηρῷ, ὅτι πᾶν ὃ ἐὰν θελήσῃ ποιήσει,

4. καθὼς βασιλεὺς ἐξουσιάζων, καὶ τίς ἐρεῖ αὐτῷ· Τί ποιεῖς;

5. Ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρὸν, καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ.

6. Ὅτι παντὶ πράγματι ἐστὶ καιρὸς καὶ κρίσις, ὅτι γνῶσις τοῦ ἀνθρώπου πολλὴ ἐπ' αὐτόν.

7. Ὅτι οὐκ ἔστι γινώσκων τί τὸ ἐσόμενον, ὅτι καθὼς ἔσται, τίς ἀναγγελεῖ αὐτῷ;

8. Οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι, τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα· καὶ οὐκ ἔστιν ἐξουσία ἐν ἡμέρᾳ θανάτου, καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου, καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς.

9. Καὶ σύμπαν τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν τὸ ποίημα ὃ πεποίηται ὑπὸ τὸν ἥλιον, τὰ ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν.

10. Καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους εἰςαχθέντας, καὶ ἐκ τοῦ ἁγίου· καὶ ἐπορεύθησαν καὶ ἐπηνέθησαν ἐν τῇ πόλει, ὅτι οὕτως ἐποίησαν· καί γε τοῦτο ματαιότης.

11. Ὅτι οὐκ ἔστι γινομένη ἀντίῤῥησις ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχὺ, διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρόν.

12. Ὃς ἥμαρτεν ἐποίησε τὸ πονηρὸν ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν. Ὅτι καὶ γινώσκω ἐγὼ ὅτι ἐστὶν ἀγαθὸν τοῖς φοβουμένοις τὸν Θεὸν ὅπως φοβῶνται ἀπὸ προςώπου αὐτοῦ.

13. Καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ, καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ, ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προςώπου τοῦ Θεοῦ.

14. Ἔστι ματαιότης ἣ πεποίηται ἐπὶ τῆς γῆς, ὅτι εἰσὶ δίκαιοι, ὅτι φθάνει ἐπ' αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν, καὶ εἰσὶν ἀσεβεῖς ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων. Εἶπα, ὅτι καί γε τοῦτο ματαιότης·

CAPUT VIII.

1. Sapientia hominis illuminabit vultum ejus, et imprudens vultu suo odietur.

2. Os regis custodi, et de verbo juramenti Dei

3. ne festines, a facie ejus ambulabis, ne stes in verbo malo, quoniam omne quod voluerit faciet,

4. sicut rex potestatem habens, et quis dicet ei : Quid facis?

5. Qui custodit mandatum non cognoscet verbum malum, et tempus judicii cognoscit cor sapientis.

6. Quia omni negotio est tempus et judicium, quia scientia hominis multa super eum.

7. Quia non est qui cognoscat quid futurum sit, sicut enim erit, quis annuntiabit ei?

8. Non est homo potestatem habens in spiritum, ut prohibeat spiritum : et non est potestas in die mortis, et non est emissio in die belli, et non salvabit impietas eum qui ab ea

9. Et omne hoc vidi, et dedi cor meum in omne opus quod factum est sub sole, quæ pro potestate fecit homo in hominem ut affligeret eum.

10. Et tunc vidi impios in sepulcra introductos, et de sancto : et iverunt et laudati sunt in civitate, quia sic fecerant : Etiam hoc vanitas.

11. Quia non est facta contradictio a facientibus malum cito, ideo repletum est cor filiorum hominis in eis ut faciant malum.

12. Qui peccavit fecit malum ex tunc et ex longitudine eorum. Quare et cognosco ego quia est bonum timentibus Deum ut timeant a facie ejus.

13. Et bonum non erit impio et non prolongabit dies in umbra, qui non est timens a facie Dei.

14. Est vanitas quæ facta est super terram, quia sunt justi, quia venit super eos quasi factum impiorum, et sunt impii quia venit ad eos quasi factum justorum. Dixi, quia hoc etiam vanitas est.

15. Καὶ ἐπήνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην, ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον, ὅτι εἰ μὴ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ εὐφρανθῆναι. Καὶ αὐτὸ συμπροςέσται αὐτῷ ἐν μόχθῳ αὐτοῦ ἡμέρας ζωῆς αὐτοῦ, ὅσας ἔδωκεν αὐτῷ ὁ Θεὸς ὑπὸ τὸν ἥλιον.

16. Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν, καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν τὸν πεποιημένον ἐπὶ τῆς γῆς, ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστι βλέπων.

17. Καὶ εἶδον σύμπαντα τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι καὶ οὐχ εὑρήσει. Καί γε ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶναι οὐ δυνήσεται τοῦ εὑρεῖν.

15. Et laudavi ego lætitiam, quia non est bonum homini sub sole, nisi comedere et bibere et lætari. Et ipsum simul aderit ei in labore ejus diebus vitæ ejus, quos dedit ei Deus sub sole.

16. In quibus dedi cor meum ut cognoscerem sapientiam, et viderem distentionem quæ facta est super terram, quia et in die et in nocte somnum oculis suis non est videns.

17. Et vidi omnia opera Dei, quia non poterit homo invenire opus quod factum est sub sole: quæcumque laborabit homo quærere et non inveniet. Etiam quæcumque dixerit sapiens cognoscere non poterit invenire.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ט

1. Ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, καὶ καρδία μου σύμπαν εἶδε τοῦτο. Ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ Θεοῦ, καί γε ἀγάπην καί γε μῖσος οὐκ ἔστιν εἰδὼς ὁ ἄνθρωπος· τὰ πάντα πρὸ προσώπου αὐτῶν,

2. ματαιότης ἐν τοῖς πᾶσιν. Συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ κακῷ, καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ, καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι. Ὡς ὁ ἀγαθὸς ὡς ὁ ἁμαρτάνων, ὡς ὁ ὀμνύων καθὼς ὁ τὸν ὅρκον φοβούμενος.

3. Τοῦτο πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον, ὅτι συνάντημα ἓν τοῖς πᾶσιν. Καί γε καρδία υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ· καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ αὐτῶν καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς.

4. Ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας; Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.

5. Ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται, καὶ οἱ νεκροὶ οὐκ εἰσὶ γινώσκοντες οὐδέν· καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθὸς, ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν.

6. Καί γε ἀγάπη αὐτῶν, καί γε μῖσος αὐτῶν, καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο· καί γε μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι εἰς τὸν αἰῶνα ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.

7. Δεῦρο, φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου, καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου, ὅτι ἤδη εὐδόκησεν ὁ Θεὸς τὰ ποιήματά σου.

8. Ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκὰ, καὶ ἔλαιον ἐπὶ κεφαλῆς σου μὴ ὑστερησάτω.

9. Καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγάπησας πάσας τὰς ἡμέρας ζωῆς ματαιότητός σου, τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον, ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ σου, καὶ ἐν τῷ μόχθῳ σου ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.

10. Πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου ποίησον, ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ.

11. Ἐπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος, καί γε οὐ τῷ σοφῷ ἄρτος, καί γε οὐ τοῖς συνετοῖς πλοῦτος, καί γε οὐ τοῖς γινώσκουσι χάρις, ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται σύμπασιν αὐτοῖς.

CAPUT IX.

1. Quare omne hoc dedi in corde meo, et cor meum omne vidit hoc. Quomodo justi et sapientes et operationes eorum in manu Dei, et quidem charitatem et quidem odium non est cognoscens homo: omnia ante faciem eorum,

2. vanitas in omnibus. Eventus unus justo et impio, bono et malo, et mundo et immundo, et sacrificanti et non sacrificanti. Sic bonus ut peccator, sic jurans sicut juramentum timens.

3. Hoc est pessimum in omni quod factum est sub sole, quia eventus unus omnibus. Et quidem cor filiorum hominis repletum est malo: et circumlatio in corde eorum in vita eorum et post hæc ad mortuos.

4. Quia quis est qui communicet in omnes viventes? Est spes quoniam canis vivens ipse bonus super leonem mortuum.

5. Quia viventes scient quod morientur, et mortui non sunt cognoscentes quicquam: et non est eis amplius merces, in oblivionem enim venit memoria eorum.

6. Etiam dilectio eorum, etiam odium eorum, etiam zelus eorum jam periit: etiam pars non est eis ultra in sæculum in omni quod factum est sub sole.

7. Veni, comede in lætitia panem tuum, et bibe in corde bono vinum tuum, quoniam jam complacuerunt Deo opera tua.

8. In omni tempore sint vestimenta tua candida, et oleum super caput tuum non desit.

9. Et vide vitam cum muliere quam dilexisti omnibus diebus vitæ vanitatis tuæ, qui dati sunt tibi sub sole, quia hoc est pars tua in vita tua, et in labore tuo quo tu laboras sub sole.

10. Omnia quæ invenerit manus tua facere, prout virtus tua fac, quia non est opus et cogitatio et scientia et sapientia in inferno, quo tu vadis illuc.

11. Converti me et vidi sub sole, quoniam non est velocibus cursus, nec potentibus prælium, nec quidem sapienti panis, nec quidem intelligentibus divitiæ, nec quidem scientibus gratia, quoniam tempus et eventus occurret omnibus illis.

12. Ὅτι καί γε καὶ οὐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι. Ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου εἰς καιρὸν πονηρὸν, ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω.

13. Καί γε τοῦτο εἶδον, σοφίαν ὑπὸ τὸν ἥλιον, καὶ μεγάλη ἐστὶ πρὸς μέ.

14. Πόλις μικρὰ καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι, καὶ ἔλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας καὶ κυκλώσῃ αὐτὴν, καὶ οἰκοδομήσῃ ἐπ' αὐτὴν χάρακας μεγάλους.

15. Καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφὸν, καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου.

16. Καὶ εἶπα ἐγώ· Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν· καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι.

17. Λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύναις.

18. Ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου, καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Μυῖαι θανατοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος. Τίμιον ὀλίγον σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλην.

2. Καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ, καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ.

3. Καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται, καρδία αὐτοῦ ὑστερήσει, καὶ ἃ λογιεῖται πάντα ἀφροσύνη ἐστίν.

4. Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀνάβῃ ἐπὶ σὲ, τόπον σοῦ μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας.

5. Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀκούσιον ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος.

6. Ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις, καὶ πλούσιοι ἐν ταπεινῷ καθήσονται.

7. Εἶδον δούλους ἐφ' ἵππους, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς.

8. Ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται, καὶ καθαιροῦντα φραγμὸν δήξεται αὐτὸν ὄφις.

9. Ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς· σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς·

10. ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξε. Καὶ δυνάμεις δυναμώσει, καὶ περίσσεια τῷ ἀνδρὶ οὐ σοφία.

11. Ἐὰν δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι περίσσεια τῷ ἐπᾴδοντι.

12. Λόγοι στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν.

13. Ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, καὶ ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά,

14. καὶ ὁ ἄφρων πληθύνει λόγους. Οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον, καὶ τί τὸ ἐσόμενον, ὅτι ὀπίσω αὐτοῦ τίς ἀναγγελεῖ αὐτῷ;

15. Μόχθος τῶν ἀφρόνων κακώσει αὐτοὺς, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν.

16. Οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου πρωῒ ἐσθίουσιν.

12. Quia etiam nescit homo tempus suum, quasi pisces qui tenentur in retiaculo malo, et sicut volucres quæ capiuntur in laqueo. Sicut ea illaqueantur filii hominis in tempore malo, cum ceciderit super ipsos subito.

13. Etiam hoc vidi, sapientiam sub sole, et magna est ad me.

14. Civitas parva et viri pauci in ea, et venit super eam rex magnus et circumdedit eam, et ædificavit adversus eam aggeres magnos.

15. Et invenit in ea virum pauperem sapientem, et salvavit hic civitatem in sapientia sua, et homo non recordatus est viri pauperis illius.

16. Et dixi ego : Bona sapientia super potentiam : et sapientia pauperis pro nihilo habita, et verba ejus non exaudita.

17. Verba sapientum in quiete audiuntur super clamorem eorum qui potestatem habent in stultitiis.

18. Bona sapientia super vasa belli, et peccans unus perdet bonitatem multam.

CAPUT X.

1. Muscæ morientes putrefaciunt compositionem olei suavitatis. Pretiosum paululum sapientiæ super gloriam insipientiæ magnam.

2. Cor sapientis in dextro ejus, et cor stulti in sinistro ejus.

3. Etiam in via cum stultus ambulat, cor ejus deficiet, et quæ cogitabit omnia stultitia sunt.

4. Si spiritus potestatem habentis ascenderit super te, locum tuum ne dimiseris, quia sanitas requiescere faciet peccata magna.

5. Est malum quod vidi sub sole, quasi non spontaneum exivit a facie potestatem habentis.

6. Datus est stultus in sublimitatibus magnis, et divites in humili sedebunt.

7. Vidi servos in equis, et principes ambulantes quasi servos super terram.

8. Qui fodit foveam, in ipsam incidet, et qui dissipat sepem mordebit eum serpens.

9. Qui subtrahit lapides dolebit in eis : scindens ligna periclitabitur in eis :

10. si exciderit ferrum, et ipse faciem turbavit. Et fortitudines confortabit, et abundantia viro non sapientia.

11. Si momorderit serpens in non susurro, et non est amplius incantanti.

12. Verba oris sapientis gratia, et labia insipientis deglutient eum.

13. Initium verborum ejus insipientia, et novissimum oris ejus circumlatio pessima,

14. et stultus multiplicat verba. Ignorat homo quid sit quod factum est, et quid quod futurum est, quod post eum quis annuntiabit ei?

15. Labor stultorum affliget eos, qui nescit ire in civitatem.

16. Væ tibi, civitas, cujus rex tuus junior, et principes tui mane comedunt.

17. Μακαρία σὺ, γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει, καὶ οὐκ αἰσχυνθήσονται.

18. Ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία.

19. Εἰς γέλωτα ποιοῦσιν ἄρτον καὶ οἶνον καὶ ἔλαιον τοῦ εὐφρανθῆναι ζῶντας, καὶ τοῦ ἀργυρίου ταπεινώσει ἐπακούσεται τὰ πάντα.

20. Καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, καὶ ἐν ταμιείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον· ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

17. Beata tu, terra, cujus rex tuus filius ingenuorum, et principes tui ad tempus comedent in fortitudine, et non confundentur.

18. In pigritiis humiliabitur contignatio, et in segnitie manuum stillabit domus.

19. In risu faciunt panem et vinum et oleum ad lætificandum viventes, et argento humiliatione obedient omnia.

20. Etiam in conscientia tua regi ne maledixeris, et in penetralibus cubilium tuorum ne maledixeris diviti : quia volucris cœli auferet vocem tuam, et habens pennas annuntiabit verbum tuum.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει ἡμερῶν εὑρήσεις αὐτόν.

2. Δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτὼ, ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν.

3. Ἐὰν πλησθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ τὴν γῆν ἐκχέουσιν. Καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ, καὶ ἐὰν ἐν τῷ βοῤῥᾷ, τόπῳ οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται.

4. Τηρῶν ἄνεμον οὐ σπείρει, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει.

5. Ἐν οἷς οὐκ ἔστι γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος, ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ Θεοῦ, ὅσα ποιήσει τὰ σύμπαντα.

6. Ἐν τῷ πρωῒ σπεῖρον τὸ σπέρμα σου, καὶ ἐν ἑσπέρᾳ μὴ ἀφέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει ἢ τοῦτο ἢ τοῦτο, καὶ ἐὰν τὰ δύο ἐπιτοαυτὸ, ἀγαθά.

7. Καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τοῦ βλέπειν σὺν τὸν ἥλιον.

8. Ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται, καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται. Πᾶν τὸ ἐρχόμενον ματαιότης.

9. Εὐφραίνου, νεανίσκε, ἐν νεότητί σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου, καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ μὴ ἐν ὁράσει ὀφθαλμῶν σου. Καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς ἐν κρίσει.

10. Καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ πάραγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

CAPUT XI.

1. Mitte panem tuum super faciem aquæ, quia in multitudine dierum invenies illum.

2. Da partem ipsis septem, et quidem ipsis octo, quia non scis quid futurum malum sit super terram.

3. Si repletæ fuerint nubes pluvia, super terram effundunt. Et si ceciderit lignum ad austrum, et si ad aquilonem, loco ubi ceciderit lignum, ibi erit.

4. Qui observat ventum non seminat, et qui aspicit nubes non metet.

5. In quibus non est cognoscens quæ sit via spiritus, sicut ossa in utero prægnantis, sic non cognosces opera Dei, quæ faciet omnia.

6. In matutino semina semen tuum, et ad vesperum ne remittat manus tua, quoniam nescis quid recte procedet aut hoc an illud, et si duo in idipsum, bona.

7. Et dulce lumen, et bonum oculis videre solem.

8. Quia etsi annis multis vixerit homo, in omnibus his lætabitur, et recordabitur dierum tenebrarum, quia multi erunt. Omne veniens est vanitas.

9. Lætare, adolescens, in juventute tua, et bonum faciat te cor tuum in diebus adolescentiæ tuæ, et ambula in viis cordis tui immaculatus, et non in intuitu oculorum tuorum. Et scito quia super omnibus his adducet te Deus in judicium.

10. Et repelle iram a corde tuo, et aufer malitiam a carne tua, quia adolescentia et stultitia vanitas est.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας, καὶ φθάσουσιν ἔτη ἐν οἷς ἐρεῖς· Οὐκ ἔστι μοι ἐν αὐτοῖς θέλημα.

2. Ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς, καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψουσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ.

3. Ἐν ἡμέρᾳ ᾗ ἐὰν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς.

4. Καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ, ἐν ἀσθενείᾳ

CAPUT XII.

1. Et memento creatoris tui in diebus juventutis tuæ, usquequo non veniant dies malitiæ, et appropinquent anni in quibus dices : Non est mihi in illis voluntas.

2. Usquequo non obtenebrescat sol et lumen, et luna et stellæ, et revertentur nubes post pluviam.

3. In die quo commoti fuerint custodes domus, et perversi fuerint viri fortitudinis, et cessaverunt molentes quoniam imminutæ sunt, et contenebrescent quæ vident in foraminibus.

4. Et claudent ostia in platea, in infirmitate vocis moleu-

φωνῆς τῆς ἀληθούσης. Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος.

5. Καὶ εἰς τὸ ὕψος ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁδῷ, καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς, καὶ διασκεδασθῇ ἡ κάππαρις, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ, καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι.

6. Ἕως ὅτου μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου, καὶ συντριβῇ ὑδρία ἐπὶ τῇ πηγῇ, καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον,

7. καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν Θεὸν ὃς ἔδωκεν αὐτό;

8. Ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστής, τὰ πάντα ματαιότης.

9. Καὶ περισσὸν, ὅτι ἐγένετο Ἐκκλησιαστὴς σοφὸς, ὅτι ἐδίδαξε γνῶσιν σὺν τὸν ἄνθρωπον, καὶ οὖς ἐξιχνιάσεται κόσμιον παραβολῶν.

10. Πολλὰ ἐζήτησεν Ἐκκλησιαστὴς, τοῦ εὑρεῖν λόγους θελήματος, καὶ γεγραμμένον εὐθύτητος, λόγους ἀληθείας.

11. Λόγοι σοφῶν ὡς τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεφυτευμένοι· οἳ παρὰ τῶν συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός.

12. Καὶ περισσὸν ἐξ αὐτῶν, υἱέ μου, φύλαξαι· τοῦ ποιῆσαι βιβλία πολλὰ, οὐκ ἔστι περασμὸς, καὶ μελέτη πολλὴ κόπωσις σαρκός.

13. Τέλος λόγου, τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε· ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος.

14. Ὅτι σύμπαν τὸ ποίημα ὁ Θεὸς ἄξει ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.

tis. Et consurget ad vocem passeris, et humiliabuntur omnes filiæ carminis.

5. Et in sublime aspicient, et terrores in via, et florebit amygdalum, et impinguabitur locusta, et dissipabitur capparis, quoniam ivit homo in domum æternitatis suæ, et circumierunt in platea plangentes.

6. Usquequo non evertatur funiculus argenti et conteratur vitta auri, et conteratur hydria super fontem, et convolvatur rota ad cisternam,

7. et revertatur pulvis in terram sicut erat, et spiritus redeat ad Deum qui dedit illum?

8. Vanitas vanitatum, dixit Ecclesiastes, omnia vanitas.

9. Et amplius, quia factus est Ecclesiastes sapiens, quia docuit scientiam hominem, et auris scrutabitur ornatum parabolarum.

10. Multum quæsivit Ecclesiastes, ut inveniret verba voluntatis, et scriptum rectitudinis, verba veritatis.

11. Sermones sapientum tamquam stimuli, et quasi clavi plantati : qui a conciliis dati sunt a pastore uno.

12. Et amplius ab ipsis, fili mi, cave : faciendi libros multos non est finis, et meditatio plurima labor est carnis.

13. Finis verbi, omne audi : Deum time, et mandata ejus custodi : hoc est enim omnis homo.

14. Quia omne factum Deus adducet in judicium, in omni contempto, sive bonum et sive malum.

ᾼΣΜΑ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἆσμα ᾀσμάτων, ὅ ἐστι Σαλωμών. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ· ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον,

2. καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα· μύρον ἐκκενωθὲν ὄνομά σου. Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε,

3. εἵλκυσάν σε· ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν. Εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί. Ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον· εὐθύτης ἠγάπησέ σε.

4. Μέλαινά εἰμι ἐγὼ καὶ καλὴ, θυγατέρες Ἱερουσαλὴμ, ὡς σκηνώματα Κηδὰρ, ὡς δέῤῥεις Σαλωμών.

5. Μὴ βλέψητέ με ὅτι ἐγὼ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ ἥλιος. Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί· ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν, ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.

6. Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου, ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ, μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.

CANTICUM.

CAPUT. I.

1. Canticum canticorum, quod est Salomon. Osculetur me ab osculis oris sui : quoniam bona ubera tua super vinum,

2. et odor unguentorum tuorum super omnia aromata : oleum effusum est nomen tuum. Propterea adolescentulæ dilexerunt te,

3. traxerunt te : post te in odorem unguentorum tuorum curremus. Introduxit me rex in cubiculum suum : exsultemus et lætemur in te. Diligemus ubera tua super vinum : rectitudo dilexit te.

4. Nigra sum ego et formosa, filiæ Jerusalem, ut tabernacula Cedar, ut pelles Salomonis.

5. Nolite aspicere me quia ego denigrata sum, quia despexit me sol. Filii matris meæ pugnaverunt in me : posuerunt me custodem in vineis, vineam meam non custodivi.

6. Annuntia mihi, quem dilexit anima mea, ubi pascis, ubi cubas in meridie, ne forte efficiar sicut adoperta super greges sodalium tuorum.

7. Ἐὰν μὴ γνῷς σεαυτὴν, ἡ καλὴ ἐν γυναιξὶν, ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους σου ἐπὶ σκηνώμασι τῶν ποιμένων.

8. Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε, ἡ πλησίον μου.

9. Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλός σου ὡς ὁρμίσκοι.

10. Ὁμοιώματα χρυσίου ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου.

11. Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ, νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ.

12. Ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοὶ, ἀναμέσον τῶν μαστῶν μου αὐλισθήσεται.

13. Βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοὶ, ἐν ἀμπελῶσιν Ἐγγαδδί.

14. Ἰδοὺ εἶ καλὴ, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· ὀφθαλμοί σου περιστεραί.

15. Ἰδοὺ εἶ καλὸς ἀδελφιδός μου, καί γε ὡραῖος πρὸς κλίνῃ ἡμῶν σύσκιος,

16. δοκοὶ οἴκων ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων.

2. Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀναμέσον τῶν θυγατέρων.

3. Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν. Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου.

4. Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην.

5. Στηρίσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.

6. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.

7. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ.

8. Φωνὴ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς.

9. Ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ. Ἰδοὺ οὗτος ὀπίσω τοῦ τοίχου ἡμῶν, παρακύπτων διὰ τῶν θυρίδων, ἐκκύπτων διὰ τῶν δικτύων.

10. Ἀποκρίνεται ἀδελφιδός μου, καὶ λέγει μοι· Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου, καλή μου, περιστερά μου.

11. Ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ.

12. Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθακεν, φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν.

13. Ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν. Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου, καλή μου, περιστερά μου. Καὶ ἐλθὲ,

14. σὺ περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος. Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.

15. Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας, καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσαι.

7. Nisi cognoveris te, o pulchra inter mulieres, egredere tu in vestigiis gregum, et pasce hœdos tuos in tabernaculis pastorum.

8. Equæ meæ in curribus Pharaonis assimilavi te, proxima mea.

9. Quam speciosæ factæ sunt genæ tuæ tamquam turturis, cervix tua sicut redimicula!

10. Similitudines auri faciemus tibi cum distinctionibus argenti.

11. Quoadusque rex sit in recubitu suo, nardus mea dedit odorem suum.

12. Alligamentum guttæ fratruelis meus mihi, in medio uberum meorum demorabitur.

13. Botrus cyperi fratruelis meus mihi, in vineis Engaddi.

14. Ecce es speciosa, proxima mea, ecce es speciosa : oculi tui columbæ.

15. Ecce es bonus fraternus meus, et quidem es speciosus ad cubile nostrum umbrosus,

16. trabes domorum nostrarum cedri, lacunaria nostra cypressi.

CAPUT II.

1. Ego flos campi, lilium convallium.

2. Sicut lilium in medio spinarum, ita proxima mea in medio filiarum.

3. Tamquam malum in lignis sylvæ, ita fraternus meus inter medium filiorum. In umbra ejus concupivi, et sedi, et fructus ejus dulcis in faucibus meis.

4. Introducite me in domum vini, ordinate in me charitatem.

5. Confirmate me in unguentis, stipate me in malis, quia vulnerata charitatis ego sum.

6. Læva ejus sub capite meo, et dextera ejus amplectetur me.

7. Adjuravi vos, filiæ Jerusalem, in virtutibus et in viribus agri : si suscitaveritis et resuscitaveritis charitatem quoadusque velit.

8. Vox fraterni mei, ecce hic venit saliens super montes, transiliens super colles.

9. Similis est fraternus meus capreæ vel hinnulo cervorum in montibus Bæthel. Ecce hic post parietem nostrum, incumbens per fenestras, prospiciens per retia.

10. Respondet fraternus meus, et dicit mihi : Surge, veni, proxima mea, formosa mea, columba mea.

11. Quoniam ecce hiems transiit, pluvia abiit, recessit sibi.

12. Flores visi sunt in terra, tempus sectionis advenit, vox turturis audita est in terra nostra.

13. Arbor fici produxit germina sua, vites florent, dederunt odorem. Surge, veni, proxima mea, formosa mea, columba mea. Et veni,

14. tu columba mea, in tegimento petræ, juxta promurale. Ostende mihi faciem tuam, et auditam fac mihi vocem tuam, quia vox tua suavis, et facies tua speciosa.

15. Capite nobis vulpes pusillas exterminantes vineas, et vineæ nostræ florentes.

16. Ἀδελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ· ὁ ποιμαίνων ἐν τοῖς κρίνοις,

17. ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί. Ἀπόστρεψον, ὁμοιώθητι σὺ, ἀδελφιδέ μου, τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων ἐπὶ ὄρη κοιλωμάτων.

16. Fraternus meus mihi, et ego ei : qui pascit in liliis,

17. donec respiret dies, et amoveantur umbræ. Revertere, similis efficere, fraterne mi, capræ vel hinnulo cervorum super montes cavitatum.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν· ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου.

2. Ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις, καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν.

3. Εὕροσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει· Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε;

4. Ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου. Ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτὸν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου, καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με.

5. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ.

6. Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου, ὡς στελέχη καπνοῦ, τεθυμιαμένη σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;

7. Ἰδοὺ ἡ κλίνη τοῦ Σαλωμὼν, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραὴλ,

8. πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον· ἀνὴρ, ῥομφαία αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξί.

9. Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν ἀπὸ ξύλων τοῦ Λιβάνου.

10. Στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον· ἐπίβασις αὐτοῦ πορφυρᾶ, ἐντὸς αὐτοῦ λιθόστρωτον, ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ.

11. Θυγατέρες Σιὼν, ἐξέλθατε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σαλωμὼν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

CAPUT III.

1. In cubili meo in noctibus quæsivi quem dilexit anima mea : quæsivi eum, et non inveni eum : vocavi eum, et non obaudivit me.

2. Exsurgam nunc et circuibo in civitate, in foris et in plateis, et quæram quem dilexit anima mea. Quæsivi eum, et non inveni eum.

3. Invenerunt me custodes, qui circumeunt in civitate : Numquid quem dilexit anima mea vidistis?

4. Quam modicum fuit cum transivi ab ipsis, quoadusque inveni quem dilexit anima mea. Tenui eum et non dimisi eum, donec introduxi eum in domum matris meæ, et in cubiculum ejus quæ concepit me.

5. Adjuravi vos, filiæ Jerusalem, in virtutibus et in viribus agri : si suscitaveritis et exsuscitaveritis charitatem quoadusque velit.

6. Quæ est ista quæ ascendit e deserto, tamquam truncus fumi, incensus myrrham et thus ex omnibus pulveribus unguentarii?

7. Ecce lectus Solomonis, sexaginta potentes in circuitu ejus ex potentibus Israel,

8. omnes tenentes gladium, docti bellum : vir, gladius ejus super femur ejus a pavore in noctibus.

9. Lectum fecit sibi rex Salomon ex lignis Libani.

10. Columnas ejus fecit argentum, et acclinatorium ejus aureum : ascensus ejus purpura, intimum ejus lapidibus constratum, charitatem a filiabus Jerusalem.

11. Filiæ Sion, egredimini et intuemini in regem Salomon, in corona qua coronavit eum mater ejus, in die sponsalium ejus, et in die jucunditatis cordis ejus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἰδοὺ εἶ καλὴ, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή. Ὀφθαλμοί σου περιστεραὶ, ἐκτὸς τῆς σιωπήσεώς σου. Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ.

2. Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.

3. Ὡς σπαρτίον τὸ κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία· ὡς λέπυρον ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου.

4. Ὡς πύργος Δαυὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος εἰς Θαλπιώθ. Χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτὸν, πᾶσαι βολίδες τῶν δυνατῶν.

5. Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν κρίνοις,

6. ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου.

CAPUT IV.

1. Ecce es pulchra, proxima mea, ecce es pulchra. Oculi tui columbæ, extra taciturnitatem tuam. Capillamentum tuum sicut greges caprarum, quæ revelatæ sunt de Galaad.

2. Dentes tui sicut greges tonsarum, quæ ascenderunt de lavacro, quæ omnes geminantes, et infœcunda non est in eis.

3. Sicut funiculus coccineus labia tua, et eloquium tuum decorum: sicut cortex mali punici gena tua extra taciturnitatem tuam.

4. Sicut turris David collum tuum, quæ ædificata est in Thalpioth. Mille clypei pendent super eam, omnia jacula potentium.

5. Duo ubera tua sicut duo hinnuli gemelli capreæ qui pascuntur in liliis,

6. donec aspiret dies et amoveantur umbræ. Ibo mihi ad montem myrrhæ et ad collem thuris.

7. Ὅλη καλὴ εἶ, πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.
8. Δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου· ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανὶρ καὶ Ἑρμὼν, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.
9. Ἐκαρδίωσας ἡμᾶς, ἀδελφή μου νύμφη, ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλων σου.
10. Τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου, νύμφη, τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα.
11. Κηρίον ἀποστάζουσι χείλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.
12. Κῆπος κεκλεισμένος ἀδελφή μου, νύμφη· κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.
13. Ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων, κύπροι μετὰ νάρδων,
14. νάρδος καὶ κρόκος, κάλαμος καὶ κιννάμωμον μετὰ πάντων ξύλων τοῦ Λιβάνου· σμύρνα ἀλὼθ, μετὰ πάντων πρώτων μύρων,
15. πηγὴ κήπου καὶ φρέαρ ὕδατος ζῶντος, καὶ ῥοιζοῦντος ἀπὸ τοῦ Λιβάνου.
16. Ἐξεγέρθητι, βοῤῥᾶ, καὶ ἔρχου, νότε, καὶ διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. Εἰσῆλθον εἰς κῆπόν μου, ἀδελφή μου, νύμφη· ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου, ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου· ἔπιον οἶνόν μου μετὰ γάλακτός μου. Φάγετε, πλήσιοι, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί.
2. Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. Φωνὴ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν· ἄνοιξόν μοι, ἡ πλησίον μου, ἀδελφή μου, περιστερά μου, τελεία μου· ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.
3. Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; Ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;
4. Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.
5. Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, χεῖρές μου ἔσταξαν σμύρναν, δάκτυλοί μου σμύρναν πλήρη ἐπὶ χεῖρας τοῦ κλείθρου.
6. Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου· ἀδελφιδός μου παρῆλθε· ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτὸν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.
7. Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει· ἐπάταξάν με, ἐτραυμάτισάν με· ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.
8. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγείλητε αὐτῷ; Ὅτι τετρωμένη ἀγάπης ἐγώ εἰμι.
9. Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί; τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς;

7. Tota pulchra es, proxima mea, et macula non est in te.
8. Veni a Libano, sponsa, veni a Libano : venies et transibis a principio fidei, a capite Sanir et Ermon, a latibulis leonum, a montibus pardorum.
9. Cor abstulisti nobis, soror mea sponsa, cor abstulisti nobis uno ex oculis tuis, in uno ornamento cervicum tuarum.
10. Quam pulchra facta sunt ubera tua, soror mea, sponsa, quam pulchra facta sunt ubera tua a vino, et odor vestimentorum tuorum super omnia aromata.
11. Favum destillant labia tua, sponsa : mel et lac sub lingua tua, et odor vestimentorum tuorum sicut odor thuris.
12. Hortus conclusus soror mea, sponsa : hortus conclusus, fons signatus.
13. Emissiones tuæ paradisus malorum punicorum cum fructu nucum, cyperi cum nardis,
14. nardus et crocus, calamus et cinnamomum cum omnibus lignis Libani : myrra aloth, cum omnibus primis unguentis,
15. fons horti et puteus aquæ viventis, et cum strepitu fluentis e Libano.
16. Exsurge, aquilo, et veni, auster, et aspira hortum meum, et fluant aromata mea.

CAPUT V.

1. Descendat fraternus meus in hortum suum, et comedat fructum nucum ejus. Introivi in hortum meum, soror mea, sponsa : vindemiavi myrrham meam cum aromatibus meis, manducavi panem meum cum melle meo : bibi vinum meum cum lacte meo. Comedite, proximi, et bibite et inebriamini, fratres.
2. Ego dormio, et cor meum vigilat. Vox fraterni mei pulsat ad ostium : aperi mihi, proxima mea, soror mea, columba mea, perfecta mea : quia caput meum impletum est rore, et cincinni mei guttis noctis.
3. Exui tunicam meam, quomodo induam illam? Lavi pedes meos, quomodo inquinabo illos?
4. Fraternus meus emisit manum suam de prospectu, et venter meus conturbatus est super ipsum.
5. Exsurrexi ego aperire fraterno meo, manus meæ stillaverunt myrrham, digiti mei myrrham plenam super manus pessuli.
6. Aperui ego fraterno meo : fraternus meus transiit : anima mea egressa est in sermone ejus. Quæsivi eum et non inveni eum, vocavi eum et non obaudivit me.
7. Invenerunt me custodes qui circumeunt in civitate : percusserunt me, vulneraverunt me : tulerunt theristrum meum a me custodes murorum.
8. Adjuravi vos, filiæ Jerusalem, in virtutibus et viribus agri : si inveneritis fraternum meum, quid annuntiabitis ei? Quoniam vulnerata charitatis ego sum.
9. Quid fraternus tuus a fraterno, pulchra in mulieribus? quid fraternus tuus a fraterno, quia sic adjurasti nos?

10. Ἀδελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκλελοχισμένος ἀπὸ μυριάδων.

11. Κεφαλὴ αὐτοῦ χρυσίον Κεφὰζ, βόστρυχοι αὐτοῦ ἐλαταὶ, μέλανες ὡς κόραξ.

12. Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, λελουσμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα.

13. Σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικὰ, χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη.

14. Χεῖρες αὐτοῦ τορευταὶ, χρυσαῖ, πεπληρωμέναι Θαρσίς· κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου.

15. Κνῆμαι αὐτοῦ στύλοι μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς· εἶδος αὐτοῦ ὡς Λίβανος, ἐκλεκτὸς ὡς κέδροι.

16. Φάρυγξ αὐτοῦ γλυκασμοὶ καὶ ὅλος ἐπιθυμία. Οὗτος ἀδελφιδός μου καὶ οὗτος πλησίον μου, θυγατέρες Ἱερουσαλήμ.

17. Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου; καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.

10. Fraternus meus candidus et rubicundus, electus e decem millibus.

11. Caput ejus aurum Cephaz, cincinni ejus elatæ, nigri tamquam corvus.

12. Oculi ejus sicut columbæ super plenitudines aquarum, lotæ in lacte, sedentes super plenitudines.

13. Maxillæ ejus sicut phialæ aromatis germinantes unguentaria, labia ejus lilia stillantia myrrham plenam.

14. Manus ejus tornatæ, aureæ, impletæ Tharsis : venter ejus pixis eburnea super lapidem saphirum.

15. Crura ejus columnæ marmoreæ, fundatæ super bases aureas : species ejus ut Libanus, electus sicut cedri.

16. Guttur ejus dulcedines et totus desiderium. Hic fraternus meus et hic proximus meus, filiæ Jerusalem.

17. Quo abiit fraternus tuus, pulchra in mulieribus? quo respexit fraternus tuus? et quæremus eum tecum.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ εἰς φιάλας τοῦ ἀρώματος, ποιμαίνειν ἐν κήποις, καὶ συλλέγειν κρίνα.

2. Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἀδελφιδός μου ἐμοὶ, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.

3. Καλὴ εἶ, ἡ πλησίον μου, ὡς εὐδοκία, ὡραία ὡς Ἱερουσαλὴμ, θάμβος ὡς τεταγμέναι.

4. Ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον μου, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με. Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ.

5. Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. Ὡς σπαρτίον τὸ κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία.

6. Ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου.

7. Ἑξήκοντα εἰσὶ βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.

8. Μία ἐστὶ περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. Εἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτὴν, βασίλισσαι καί γε παλλακαὶ καὶ αἰνέσουσιν αὐτήν.

9. Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμβος ὡς τεταγμέναι;

10. Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάῤῥου, ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, ἐξήνθησαν αἱ ῥοαί.

11. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. Οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμιναδάβ.

12. Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουναμῖτις· ἐπίστρεφε, ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.

CAPUT VI.

1. Fraternus meus descendit in hortum suum ad phialas aromatis, pascere in hortis, et colligere lilia.

2. Ego fraterno meo, et fraternus meus mihi, qui pascit in liliis.

3. Pulchra es, proxima mea, sicut beneplacitum, decora sicut Jerusalem, pavor ut ordinatæ.

4. Averte oculos tuos e regione mei, quia ipsi avolare fecerunt me. Capillamentum tuum sicut greges caprarum, quæ apparuerunt e Galaad.

5. Dentes tui sicut greges tonsarum, quæ ascenderunt de lavacro, omnes geminantes, et infecunda non est in eis. Sicut funiculus coccineus labia tua, et eloquium tuum decorum.

6. Sicut cortex mali punici gena tua extra taciturnitatem tuam.

7. Sexaginta sunt reginæ et octuaginta concubinæ, et adolescentulæ quarum non est numerus.

8. Una est columba mea, perfecta mea : una est matri suæ, electa est ei quæ peperit ipsam. Viderunt eam filiæ et beatificabunt eam, reginæ et concubinæ et laudabunt eam.

9. Quæ est ista quæ progreditur sicut aurora, pulchra ut luna, electa ut sol, pavor ut ordinatæ?

10. In hortum nucis descendi videre in genimina torrentis, videre si floruit vitis, effloruerunt mala punica.

11. Ibi dabo ubera mea tibi. Non novit anima mea : posuit me currus Aminadab.

12. Convertere, convertere, Sunamitis : convertere, convertere, et videbimus in te.

ΚΕΦΑΛΑΙΟΝ Ζ'

1 Τί ὄψεσθε ἐν τῇ Σουναμίτιδι, ἡ ἐρχομένη ὡς

CAPUT VII.

1. Quid videbitis in Sunamitide, quæ venit sicut chori

χοροὶ τῶν παρεμβολῶν; Ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασί σου, θύγατερ Ναδάβ· ῥυθμοὶ μηρῶν ὅμοιοι ὁρμίσκοις, ἔργον τεχνίτου.

2. Ὀμφαλός σου κρατὴρ τορευτὸς, μὴ ὑστερούμενος κράματος· κοιλία σου θημωνία σίτου πεφραγμένη ἐν κρίνοις.

3. Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος.

4. Ὁ τράχηλός σου ὡς πύργος ἐλεφάντινος· οἱ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβὼν, ἐν πύλαις θυγατρὸς πολλῶν. Μυκτήρ σου ὡς πύργος τοῦ Λιβάνου σκοπεύων πρόςωπον Δαμασκοῦ.

5. Κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος, καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα, βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.

6. Τί ὡραιώθης, καὶ τί ἡδύνθης, ἀγάπη, ἐν τρυφαῖς σου;

7. Τοῦτο μέγεθός σου· ὡμοιώθης τῷ φοίνικι, καὶ οἱ μαστοί σου τοῖς βότρυσιν.

8. Εἶπα· Ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ, καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου, καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα.

9. Καὶ ὁ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθός. Πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα, ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν.

10. Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.

11. Ἐλθὲ, ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρὸν, αὐλισθῶμεν ἐν κώμαις,

12. ὀρθρίσωμεν εἰς ἀμπελῶνας· ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος, ἤνθησεν ὁ κυπρισμὸς, ἤνθησαν αἱ ῥοαί. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.

13. Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν. Καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα νέα πρὸς παλαιὰ, ἀδελφιδέ μου, ἐτήρησά σοι.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Τίς δῴη σε, ἀδελφιδέ μου, θηλάζοντα μαστοὺς μητρός μου; Εὑροῦσά σε ἔξω φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί μοι.

2. Παραλήψομαί σε, εἰςάξω σε εἰς οἶκον μητρός μου καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. Ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ νάματος ῥοῶν μου.

3. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.

4. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐὰν ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.

5. Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς; Ὑπὸ μῆλον ἐξήγειρά σε· ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε.

6. Θές με ὡς σφραγίδα ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγίδα ἐπὶ τὸν βραχίονά σου. Ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη, σκληρὸς ὡς ᾅδης ζῆλος· περίπτερα αὐτῆς περίπτερα πυρὸς, φλόγες αὐτῆς.

7. Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν. Ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.

castrorum? Speciosi facti sunt gressus tui in calceamentis tuis, filia Nadab: moduli femorum similes torquibus, opus artificis.

2. Umbilicus tuus crater tornatilis, non deficiens misto: venter tuus acervus frumenti vallatus in liliis.

3. Duo ubera tua sicut duo hinnuli gemelli capreæ.

4. Collum tuum sicut turris eburnea: oculi tui tamquam stagna in Esebon, in portis filiæ multorum. Naris tua sicut turris Libani prospiciens faciem Damasci.

5. Caput tuum super te sicut Carmelus, et plexus capitis tui sicut purpura, rex ligatus in transcursibus.

6. Quam pulchra, et quam suavis facta es, charitas, in deliciis tuis?

7. Hæc magnitudo tua: similis facta es palmæ, et ubera tua botris.

8. Dixi: Ascendam in palmam, tenebo cacumina ejus, et erunt nunc ubera tua sicut botri vitis, et odor nasi tui sicut poma.

9. Et guttur tuum sicut vinum bonum. Vadens fraterno meo in rectitudinem, sufficiens labiis meis et dentibus.

10. Ego fraterno meo, et super me conversio ejus.

11. Veni, fraterne mi, exeamus in agrum, requiescamus in castellis,

12. diluculo surgamus in vineas: videamus si floruit vitis, floruit propago, floruerunt mala punica. Ibi dabo ubera mea tibi.

13. Mandragoræ dederunt odorem. Et in ostiis nostris omnes nuces novas ad veteres, fraterne mi, servavi tibi.

CAPUT VIII.

1. Quis det te, fraterne mi, lactentem ubera matris meæ? Inveniens te foris osculabor te, et quidem non spernent me.

2. Assumam te, introducam te in domum matris meæ et in cubiculum ejus quæ concepit me. Potabo te de vino unguentato, de latice malorum punicorum meorum.

3. Læva ejus sub capite meo, et dextera illius amplexabitur me.

4. Adjuravi vos, filiæ Jerusalem, in viribus agri, si suscitaveritis et si exsuscitaveritis charitatem, quoadusque voluerit.

5. Quæ est ista quæ ascendit dealbata, innitens super fraternum? Sub malo exsuscitavi te: ibi peperit te mater tua, ibi peperit te quæ genuit te.

6. Pone me ut signaculum super cor tuum, ut signaculum super brachium tuum. Quia valida ut mors charitas, durus sicut infernus zelus: alæ ejus alæ ignis, flammæ ejus.

7. Aqua multa non poterit exstinguere charitatem, et flumina non undabunt eam. Si dederit vir omnem vitam suam in charitate, contemptu contemnent eum.

8. Ἀδελφὴ ἡμῶν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει. Τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ;

9. Εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς· καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην.

10. Ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς πύργοι. Ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτῶν ὡς εὑρίσκουσα εἰρήνην.

11. Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμὼν ἐν Βεελαμών· ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν· ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου.

12. Ἀμπελών μου ἐμὸς ἐνώπιόν μου, οἱ χίλιοι Σαλωμὼν καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

13. Ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκούτισόν με.

14. Φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη τῶν ἀρωμάτων.

8. Soror nostra parva et ubera non habet. Quid faciemus sorori nostræ in die qua loquetur in ea?

9. Si murus est, ædificemus super eam propugnacula argentea : et si janua est, sculpamus super eam tabulam cedrinam.

10. Ego murus, et ubera mea sicut turres. Ego eram in oculis eorum tamquam inveniens pacem.

11. Vinea facta est Salomoni in Beelamon : dedit vineam suam iis qui servant : vir feret in fructus ejus mille argenti.

12. Vinea mihi mea in conspectu meo, mille Salomoni et ducenti servantibus fructum ejus.

13. Qui sedes in hortis, amici sunt attendentes voci tuæ vocem tuam insinua mihi.

14. Fuge, fraterne mi, et similis esto capreolæ aut hinnulo cervorum super montes aromatum.

ΣΟΦΙΑ

ΣΑΛΩΜΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν. Φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν·

2. ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτὸν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

3. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.

4. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεω ἁμαρτίας.

5. Ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.

6. Φιλάνθρωπον γὰρ πνεῦμα σοφία, καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς, καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς, καὶ τῆς γλώσσης ἀκουστής.

7. Ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.

8. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴν παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.

9. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει, εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ.

10. Ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

11. Φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ, καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης· ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύσεται, στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.

12. Μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἔργοις χειρῶν ὑμῶν.

SAPIENTIA

SALOMONIS.

CAPUT I.

1. Diligite justitiam, qui judicatis terram. Sentite de Domino in bonitate, et in simplicitate cordis quærite illum :

2. quoniam invenitur ab his qui non tentant illum, apparet autem eis qui fidem habent in illum.

3. Perversæ enim cogitationes separant a Deo, probata autem virtus corripit insipientes.

4. Quoniam in malevolam animam non introibit sapientia, neque habitabit in corpore subdito peccatis.

5. Spiritus enim sanctus disciplinæ effugiet dolum, et auferet se a cogitationibus quæ sunt sine intellectu, et corripietur superveniente iniquitate.

6. Benignus est enim spiritus sapientia, et non liberabit maledicum a labiis suis : quoniam renum illius testis est Deus, et cordis illius scrutator est verus, et linguæ auditor.

7. Quoniam spiritus Domini replevit orbem terrarum, et hoc quod continet omnia scientiam habet vocis.

8. Propter hoc qui loquitur iniqua nemo latebit, nec præteriet illum corripiens judicium.

9. In cogitationibus enim impii interrogatio erit, sermonum autem illius auditio ad Dominum veniet, ad correptionem iniquitatum illius.

10. Quoniam auris zeli audit omnia, et tumultus murmurationum non abscondetur.

11. Custodite ergo vos a murmuratione quæ nihil prodest, et a detractione parcite linguæ : quoniam sermo obscurus in vacuum non ibit, os autem quod mentitur occidit animam.

12. Nolite zelare mortem in errore vitæ vestræ, neque acquiratis perditionem operibus manuum vestrarum.

13. Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.

14. Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου, οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς.

15. Δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν.

16. Ἀσεβεῖς δὲ ταῖς χερσὶν καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτὸν, φίλον ἡγησάμενοι αὐτὸν ἐτάκησαν, καὶ συνθήκην ἔθεντο πρὸς αὐτὸν, ὅτι ἄξιοί εἰσι τῆς ἐκείνου μερίδος εἶναι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Εἶπον γὰρ ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς· Ὀλίγος ἐστὶ καὶ λυπηρὸς ὁ βίος ἡμῶν καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου, καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου.

2. Ὅτι αὐτοσχεδίως ἐγενήθημεν, καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐχ ὑπάρξαντες, ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν, καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν,

3. οὗ σβεσθέντος, τέφρα ἀποβήσεται τὸ σῶμα, καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ.

4. Καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται ἐν χρόνῳ, καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν, καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης, καὶ ὡς ὁμίχλη διασκεδασθήσεται διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.

5. Σκιᾶς γὰρ πάροδος ὁ βίος ἡμῶν, καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν, ὅτι κατεσφραγίσθη, καὶ οὐδεὶς ἀναστρέφει.

6. Δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν, καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι σπουδαίως.

7. Οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν, καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἀέρος.

8. Στεψώμεθα ῥόδων κάλυξιν πρινὴ μαρανθῆναι.

9. Μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας, πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης, ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος.

10. Καταδυναστεύσωμεν πένητα δίκαιον, μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους.

11. Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.

12. Ἐνεδρεύσωμεν δὲ τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν.

13. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει.

14. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν.

15. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ.

16. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν· μακαρίζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πατέρα Θεόν.

17. Ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ.

18. Εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς Θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.

13. Quoniam Deus mortem non fecit, nec lætatur in perditione vivorum.

14. Creavit enim ut essent omnia, et salutares generationes mundi, et non est in illis medicamentum exterminii, nec inferorum regnum in terra.

15. Justitia enim immortalis est.

16. Impii autem manibus et verbis accersierunt illam, æstimantes illam amicam defluxerunt, et sponsionem posuerunt ad illam, quoniam digni sunt qui sint ex parte illius.

CAPUT II.

1. Dixerunt enim cogitantes apud se non recte : Exigua est et cum tædio vita nostra et non est remedium in fine hominis, et non est agnitus qui sit reversus ab inferis.

2. Quia ex nihilo nati sumus, et post hæc erimus tamquam non fuerimus, quoniam fumus est afflatus in naribus nostris, et sermo scintilla ad commovendum cor nostrum,

3. qua exstincta, cinis evadet corpus, et spiritus diffundetur tamquam mollis aer.

4. Et nomen nostrum oblivionem accipiet in tempore, et nemo memoriam habebit operum nostrorum, et transibit vita nostra tamquam vestigium nubis, et sicut nebula dissolvetur quæ fugata est a radiis solis et a calore illius aggravata.

5. Umbræ enim transitus est vita nostra, et non est reversio finis nostri, quoniam consignata est, et nemo revertitur.

6. Venite ergo et fruamur bonis quæ sunt, et utamur creatura tamquam juventute celeriter.

7. Vino pretioso et unguentis nos impleamus, et non prætereat nos flos temporis.

8. Coronemus nos rosis antequam marcescant.

9. Nemo nostrum exsors sit luxuriæ nostræ, ubique relinquamus signa lætitiæ, quoniam hæc est pars nostra et hæc sors.

10. Opprimamus pauperem justum, non parcamus viduæ, nec veterani revereamur canos multi temporis.

11. Sit autem fortitudo nostra lex justitiæ, quod enim infirmum est inutile invenitur.

12. Circumveniamus ergo justum, quoniam insuavis est nobis, et contrarius est operibus nostris, et exprobrat nobis peccata legis, et diffamat in nos peccata disciplinæ nostræ.

13. Promittit se scientiam Dei habere, et filium Dei se nominat.

14. Factus est nobis in traductionem cogitationum nostrarum.

15. Gravis est nobis etiam ad videndum, quoniam dissimilis est aliis vita illius, et immutatæ sunt viæ ejus.

16. Tamquam nugaces æstimati sumus ab illo, et abstinet se a viis nostris tamquam ab immunditiis : præfert novissima justorum, et gloriatur patrem Deum.

17. Videamus si sermones illius veri sunt, et tentemus quæ ventura sunt illi.

18. Si enim justus est filius Dei, suscipiet illum, et liberabit illum de manibus contrariorum.

19. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ.
20. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτὸν, ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.
21. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,
22. καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος, οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων.
23. Ὅτι ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν.
24. Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον,
25. πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.
2. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,
3. καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ.
4. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης,
5. καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ.
6. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
7. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται.
8. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
9. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς αὐτοῦ.
10. Οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο ἕξουσιν ἐπιτιμίαν, οἱ ἀμελήσαντες τοῦ δικαίου καὶ τοῦ Κυρίου ἀποστάντες.
11. Σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος, καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κόποι ἀνόνητοι καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν.
12. Αἱ γυναῖκες αὐτῶν ἄφρονες, καὶ πονηρὰ τὰ τέκνα αὐτῶν.
13. Ἐπικατάρατος ἡ γένεσις αὐτῶν, ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι· ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν.
14. Καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρὰ, δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ, καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηρέστερος.
15. Ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεὴς, καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως.
16. Τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται, καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται.
17. Ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐθὲν λογισθήσονται, καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας αὐτῶν.
18. Ἐάν τε ὀξέως τελευτήσωσιν, οὐχ ἕξουσιν ἐλπίδα, οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον.

19. Contumelia et tormento interrogemus eum, ut sciamus reverentiam illius, et probemus patientiam illius.
20. Morte turpissima condemnemus eum, erit enim ei respectus ex sermonibus illius.
21. Hæc cogitaverunt, et erraverunt : excæcavit enim illos malitia eorum,
22. et nescierunt sacramenta Dei, neque mercedem speraverunt justitiæ, nec judicaverunt honorem animarum sanctarum.
23. Quoniam Deus creavit hominem inexterminabilem, et ad imaginem suæ similitudinis fecit illum.
24. Invidia autem diaboli mors introivit in orbem terrarum,
25. imitantur autem illum qui sunt ex parte illius.

CAPUT III.

1. Justorum autem animæ in manu Dei sunt, et non tanget illos tormentum.
2. Visi sunt oculis insipientium mori, et æstimata est afflictio exitus illorum,
3. et quod a nobis est iter exterminium : illi autem sunt in pace.
4. Etenim si coram hominibus tormenta passi sunt, spes eorum immortalitate plena est,
5. et in paucis vexati in multis bene disponentur, quoniam Deus tentavit eos, et invenit eos dignos se.
6. Tamquam aurum in fornace probavit illos, et quasi holocausti hostiam accepit illos.
7. Et in tempore respectus ipsorum fulgebunt, et tamquam scintillæ in arundineto discurrent.
8. Judicabunt nationes et dominabuntur populis, et regnabit Dominus eorum in perpetuum.
9. Qui confidunt in illo intelligent veritatem, et fideles in dilectione acquiescent illi, quoniam donum et pax est electis ejus.
10. Impii autem secundum quæ cogitaverunt correptionem habebunt, qui neglexerunt justum et a Domino recesserunt.
11. Sapientiam enim et disciplinam qui abjicit infelix est, et vacua est spes illorum, et labores sine fructu et inutilia opera eorum.
12. Mulieres eorum insensatæ sunt, et nequissimi filii eorum.
13. Maledicta creatura eorum, quoniam felix est sterilis incoinquinata, quæ nescivit thorum in delicto : habebit fructum in respectione animarum.
14. Et spado qui non operatus est in manu iniquitatem, nec cogitavit adversus Deum nequissima, dabitur enim illi fidei donum electum, et sors in templo Domini acceptissima.
15. Bonorum enim laborum gloriosus est fructus, et quæ non concidit radix sapientiæ.
16. Filii autem adulterorum inconsummati erunt, et ab iniquo thoro semen exterminabitur.
17. Et si quidem longæ vitæ erunt, in nihilum computabuntur, et sine honore erit novissima senectus illorum.
18. Et si celerius defuncti fuerint, non habebunt spem, nec in die agnitionis allocutionem.

19. Γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.

19. Nationis enim iniquæ diræ sunt consummationes.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς, ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις·

2. παροῦσάν τε μιμοῦνται αὐτὴν, καὶ ποθοῦσιν ἀπελθοῦσαν· καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.

3. Πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος, οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει.

4. Κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ, ἐπισφαλῶς βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται, καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται.

5. Περικλασθήσονται κλῶνες ἀτέλεστοι, καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν καὶ εἰς οὐθὲν ἐπιτήδειος.

6. Ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γενώμενα μάρτυρές εἰσιν πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν·

7. δίκαιος δὲ, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.

8. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται.

9. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

10. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη.

11. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.

12. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

13. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς.

14. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο,

15. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

16. Κατακρινεῖ δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς, καὶ νεότης τελεσθεῖσα ταχέως πολυετὲς γῆρας ἀδίκου.

17. Ὄψονται γὰρ τελευτὴν σοφοῦ, καὶ οὐ νοήσουσι τί ἐβουλεύσατο περὶ αὐτοῦ, καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ Κύριος.

18. Ὄψονται καὶ ἐξουθενήσουσιν, αὐτοὺς δὲ ὁ Κύριος ἐκγελάσεται.

19. Καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον, καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος· ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς, καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων, καὶ ἕως ἐσχάτου χερσωθήσονται, καὶ ἔσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται.

20. Ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοὶ, καὶ ἐλέγξει αὐτοὺς ἐξεναντίας τὰ ἀνομήματα αὐτῶν.

CAPUT IV.

1. Melius est esse sine filiis cum virtute, immortalis est enim memoria illius, quoniam et apud Deum nota est et apud homines :

2. cum præsens est imitantur illam, et desiderant eam cum se abduxerit : et in perpetuum coronata triumphat, incoinquinatorum certaminum prælium vincens.

3. Multigena autem impiorum multitudo non erit utilis, et adulterinæ plantationes non dabunt radices altas, nec stabile firmamentum collocabunt.

4. Nam etsi in ramis ad tempus germinaverint, infirmiter posita a vento commovebuntur, et a violentia ventorum eradicabuntur.

5. Confringentur rami inconsummati, et fructus illorum inutilis, acerbus ad manducandum et ad nihilum aptus.

6. Ex iniquis enim somnis filii qui nascuntur testes sunt nequitiæ parentum in interrogatione sua :

7. justus autem, si morte præoccupatus fuerit, in refrigerio erit.

8. Senectus enim venerabilis est non diuturna, nec quæ annorum numero computata.

9. Canities autem est prudentia hominibus, et ætas senectutis vita immaculata.

10. Placens Deo factus dilectus est, et vivens inter peccatores translatus est.

11. Raptus est ne malitia mutaret intellectum illius, aut fictio deciperet animam illius.

12. Fascinatio enim nugacitatis obscurat bona, et inconstantia concupiscentiæ transvertit sensum sine malitia.

13. Consummatus in brevi explevit tempora multa.

14. Placita enim erat Domino anima illius, propter hoc properavit de medio iniquitatis. Populi autem videntes et non intelligentes, nec ponentes in præcordiis talia,

15. quoniam gratia et misericordia in electos ejus, et respectus in sanctos illius.

16. Condemnat autem justus mortuus vivos impios, et juventus celerius consummata longævam senectutem injusti.

17. Videbunt enim finem sapientis, et non intelligent quid cogitaverit de illo, et quare munierit illum Dominus.

18. Videbunt et contemnent, illos autem Dominus irridebit.

19. Et erunt post hæc decidentes sine honore, et in contumelia inter mortuos in perpetuum : quoniam disrumpet illos sine voce inflatos, et commovebit illos a fundamentis, et usque ad supremum desolabuntur, et erunt in dolore, et memoria illorum periet.

20. Venient in cogitationem peccatorum suorum timidi, et traducent illos ex adverso iniquitates ipsorum.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ.

CAPUT V.

1. Tunc stabunt justi in magna constantia adversus eos qui se angustiaverunt, et qui abstulerunt labores eorum.

2. Ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας.

3. Ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενάζοντες· Οὗτος ἦν ὃν ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ.

4. Οἱ ἄφρονες τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον.

5. Πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν;

6. Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν.

7. Ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας, καὶ διωδεύσαμεν ἐρήμους ἀβάτους, τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.

8. Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία, καὶ τί πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;

9. Παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ καὶ ὡς ἀγγελία παρατρέχουσα·

10. ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδὲ ἀτραπὸν τρόπιος αὐτῆς ἐν κύμασιν·

11. ἢ ὡς ὀρνέου διιπτάντος ἀέρα οὐθὲν εὑρίσκεται τεκμήριον πορείας, πληγῇ δὲ ταρσῶν μαστιζόμενον πνεῦμα κοῦφον καὶ σχιζόμενον βίᾳ ῥοίζου, κινουμένων πτερύγων διωδεύθη, καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ·

12. ἢ ὡς βέλους βληθέντος ἐπὶ σκοπὸν, τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν ἀνελύθη, ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ.

13. Οὕτως καὶ ἡμεῖς γεννηθέντες ἐξελίπομεν, καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι, ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.

14, 15. Ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χοῦς ὑπὸ ἀνέμου, καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτὴ, καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη, καὶ ὡς μνεία καταλύτου μονοημέρου παρώδευσε.

16. Δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.

17. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

18. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.

19. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον.

20. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα,

21. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.

22. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται.

23. Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως.

24. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

2. Videntes turbabuntur timore horribili, et mirabuntur in subitatione insperatæ salutis.

3. Dicent intra se pœnitentiam agentes, et præ angustia spiritus gementes : Hi sunt quos habuimus aliquando in risum et in similitudinem improperii.

4. Nos insensati vitam illorum æstimabamus insaniam, et finem illorum sine honore.

5. Quomodo computati sunt inter filios Dei, et inter sanctos sors illorum est?

6. Ergo erravimus a via veritatis, et justitiæ lumen non luxit nobis, et sol non est ortus nobis.

7. Lassati sumus in viis iniquitatis et perditionis, et ambulavimus solitudines difficiles, viam autem Domini ignoravimus.

8. Quid nobis profuit superbia, et quid divitiarum jactatio contulit nobis?

9. Transierunt omnia illa tamquam umbra et tamquam nuntius præcurrens :

10. tamquam navis quæ pertransit fluctuantem aquam, cujus cum præterierit non est vestigium invenire, neque semitam carinæ illius in fluctibus :

11. aut tamquam avis quæ transvolat in aere nullum invenitur argumentum itineris, sed percussione alarum verberans levem ventum et scindens per vim stridoris, commotis alis transvolavit, et post hoc nullum signum invenitur itineris in eo :

12. aut tamquam sagitta emissa in locum destinatum, divisus aer continuo in se reclusus est, ut ignoretur transitus illius.

13. Sic et nos nati desivimus esse, et virtutis quidem nullum signum valuimus ostendere, in malignitate autem nostra consumpti sumus.

14, 15. Quoniam spes impii tamquam pulvis est quæ a vento tolletur, et tamquam spuma gracilis quæ a procella dispergitur, et tamquam fumus a vento diffusus est, et tamquam memoria hospitis unius diei prætereiit.

16. Justi autem in perpetuum vivunt, et apud Dominum est merces illorum, et cogitatio eorum apud Altissimum.

17. Ideo accipient regnum decoris et diadema speciei de manu Domini, quoniam dextera teget eos, et brachio defendet illos.

18. Accipiet armaturam zelum suum, et armabit creaturam ad ultionem inimicorum.

19. Induet pro thorace justitiam, et accipiet pro galea judicium certum.

20. Sumet scutum inexpugnabile æquitatem,

21. acuet autem diram iram in lanceam, et pugnabit simul cum illo orbis terrarum contra insensatos.

22. Ibunt directæ emissiones fulgurum, et tamquam a bene curvato arcu nubium ad certum locum insilient.

23. Et a petrosa ira plenæ mittentur grandines. Excandescet in illos aqua maris, et flumina concurrent duriter.

24. Contra illos stabit spiritus virtutis, et tamquam turbo venti dividet eos, et ad eremum perducet omnem terram iniquitas, et malignitas evertet sedes potentium.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1, 2. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς.

3. Ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν.

4. Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα, καὶ τὰς βουλὰς διερευνήσει.

5. Ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν βουλὴν τοῦ Θεοῦ ἐπορεύθητε.

6. Φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.

7. Ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.

8. Οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων Δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος· ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν, ὁμοίως τε προνοεῖ περὶ πάντων.

9. Τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα.

10. Πρὸς ὑμᾶς οὖν, ὦ τύραννοι, οἱ λόγοι μου, ἵνα μάθητε σοφίαν καὶ μὴ παραπέσητε.

11. Οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.

12. Ἐπιθυμήσατε οὖν τῶν λόγων μου, ποθήσατε καὶ παιδευθήσεσθε.

13. Λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν, καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν.

14. Φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι.

15. Ὁ ὀρθρίσας ἐπ' αὐτὴν οὐ κοπιάσει, πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ.

16. Τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται.

17. Ὅτι τοὺς ἀξίους αὐτῆς αὕτη περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς, καὶ ἐν πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς.

18. Ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία, φροντὶς δὲ παιδείας ἀγάπη,

19. ἀγάπη δὲ τήρησις νόμων αὐτῆς, προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας,

20. ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ Θεοῦ.

21. Ἐπιθυμία ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν.

22, 23. Εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις, τύραννοι λαῶν, τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.

24. Τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο, ἀπαγγελῶ καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω, καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν.

25. Οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ.

26. Πλῆθος δὲ σοφῶν σωτηρία κόσμου, καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου.

27. Ὥστε παιδεύεσθε τοῖς ῥήμασίν μου, καὶ ὠφεληθήσεσθε.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος, ἴσος ἅπασιν, καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου· καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ,

CAPUT VI.

1, 2. Audite ergo, reges, et intelligite : discite, judices finium terræ.

3. Præbete aures, vos qui continetis multitudinem et placetis vobis in turbis nationum.

4. Quoniam data est a Domino potestas vobis, et virtus ab Altissimo, qui interrogabit opera vestra, et cogitationes scrutabitur.

5. Quoniam cum essetis ministri regni illius, non recte judicastis, neque custodistis legem, neque secundum voluntatem Dei ambulastis.

6. Horrende et cito apparebit vobis, quoniam judicium durissimum in his qui præsunt fit.

7. Exiguo enim conceditur misericordia, potentes autem potenter tormenta patientur.

8. Non enim subtrahet personam cujusque Dominus, nec reverebitur magnitudinem : quoniam pusillum et magnum ipse fecit, et æqualiter cura est illi de omnibus.

9. Fortioribus autem fortior instat cruciatio.

10. Ad vos ergo, o tyranni, sunt sermones mei, ut discatis sapientiam et non excidatis.

11. Qui enim custodierint juste justa justificabuntur, et qui didicerint ista invenient quid respondeant.

12. Concupiscite ergo sermones meos, diligite et habebitis disciplinam.

13. Clara est et quæ numquam marcescat sapientia, et facile videtur ab his qui diligunt eam, et invenitur ab his qui quærunt illam.

14. Præoccupat qui se concupiscunt ut illis se prior ostendat.

15. Qui de luce vigilaverit ad illam non laborabit, assidentem enim illam inveniet foribus suis.

16. Cogitare enim de illa sensus est consummatus, et qui vigilaverit propter illam cito erit securus.

17. Quoniam dignos se ipsa circumit quærens, et in viis ostendit se illis hilariter, et in omni providentia occurrit illis.

18. Initium enim illius verissima est disciplinæ concupiscentia, cura autem disciplinæ dilectio,

19. et dilectio custoditio legum illius est, custoditio autem legum confirmatio incorruptionis est,

20. incorruptio autem facit esse proximum Deo.

21. Concupiscentia itaque sapientiæ deducit ad regnum.

22, 23. Si ergo delectamini sedibus et sceptris, tyranni populorum, diligite sapientiam, ut in perpetuum regnetis.

24. Quid est autem sapientia et quemadmodum facta sit, referam et non abscondam vobis sacramenta, sed ab initio nativitatis investigabo, et ponam in lucem scientiam illius, et non præteribo veritatem.

25. Neque cum invidia tabescente iter habebo, quoniam talis homo non erit particeps sapientiæ.

26. Multitudo autem sapientum sanitas est orbis terrarum, et rex sapiens populi stabilimentum est.

27. Ergo accipite disciplinam per sermones meos, et proderit vobis.

CAPUT VII.

1. Sum quidem et ego mortalis homo, similis omnibus, et ex genere terreni illius qui prior factus est : et in ventre matris figuratus sum,

2. δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι, ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνῳ συνελθούσης.

3. Καὶ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν ἀέρα, καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν, πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων·

4. ἐν σπαργάνοις ἀνετράφην καὶ ἐν φροντίσιν.

5. Οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχεν γενέσεως ἀρχήν.

6. Μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον, ἔξοδός τε ἴση.

7. Διὰ τοῦτο ηὐξάμην, καὶ φρόνησις ἐδόθη μοι· ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα σοφίας.

8. Προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων, καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς.

9. Οὐδὲ ὡμοίωσα αὐτῇ λίθον ἀτίμητον, ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη, καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς.

10. Ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτήν, καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν, ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος.

11. Ἦλθε δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς, καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς.

12. Εὐφράνθην δὲ ἐπὶ πάντων, ὅτι αὐτῶν ἡγεῖται σοφία, ἠγνόουν δὲ αὐτὴν γενέτιν εἶναι τούτων.

13. Ἀδόλως τε ἔμαθον, ἀφθόνως τε μεταδίδωμι, τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι.

14. Ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις, ὃν οἱ χρησάμενοι πρὸς Θεὸν ἐστείλαντο φιλίαν διὰ τὰς ἐκ παιδείας δωρεὰς συσταθέντες.

15. Ἐμοὶ δὲ δῴη ὁ Θεὸς εἰπεῖν κατὰ γνώμην, καὶ ἐνθυμηθῆναι ἀξίως τῶν δεδομένων, ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής.

16. Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη.

17. Αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων,

18. ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν,

19. ἐνιαυτῶν κύκλους καὶ ἀστέρων θέσεις,

20. φύσεις ζώων καὶ θυμοὺς θηρίων, πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν.

21. Ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ ἔγνων· ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία.

22. Ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς, λεπτὸν, εὐκίνητον, τρανὸν, ἀμόλυντον, σαφὲς, ἀπήμαντον, φιλάγαθον, ὀξὺ, ἀκώλυτον, εὐεργετικὸν,

23. φιλάνθρωπον, βέβαιον, ἀσφαλὲς, ἀμέριμνον, παντοδύναμον, πανεπίσκοπον, καὶ διὰ πάντων χωροῦν πνευμάτων νοερῶν, καθαρῶν, λεπτοτάτων.

24. Πάσης γὰρ κινήσεως κινητικώτερον σοφία, διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα.

25. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ἀπόῤῥοια τῆς τοῦ Παντοκράτορος δόξης εἰλικρινής· διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.

26. Ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.

27. Μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν

2. caro decem mensium tempore coagulatus in sanguine, ex semine hominis et delectamento somno conveniente.

3. Et ego natus hausi communem aerem, et in similiter factam decidi terram, primam vocem similem omnibus æque plorans :

4. in involumentis nutritus sum et in curis.

5. Nemo enim ex regibus habuit aliud nativitatis initium.

6. Unus ergo est omnibus introitus ad vitam, et similis exitus.

7. Propter hoc optavi, et datus est mihi sensus : invocavi, et venit in me spiritus sapientiæ.

8. Præposui illam regnis et sedibus, et divitias nihil esse duxi in comparatione illius.

9. Nec comparavi illi lapidem pretiosum, quoniam omne aurum in comparatione illius arena est exigua, et tamquam lutum æstimabitur argentum in conspectu illius.

10. Super salutem et speciem dilexi eam, et proposui pro luce habere illam, quoniam inexstinguibile est lumen illius.

11. Venerunt autem mihi omnia bona pariter cum illa, et innumerabilis honestas per manus illius.

12. Et lætatus sum in omnibus, quoniam antecedebat ista sapientia, et ignorabam quoniam horum ipsa mater est.

13. Et sine fictione didici, et sine invidia communico, honestatem illius non abscondo.

14. Infinitus enim thesaurus est hominibus, quo qui usi sunt participes facti sunt amicitiæ Dei propter disciplinæ dona commendati.

15. Mihi autem Deus det dicere ex sententia, et præsumere digna horum quæ mihi sunt data, quoniam ipse et sapientiæ dux est, et sapientum emendator.

16. In manu enim illius et nos et sermones nostri, et omnis sapientia et operum scientia.

17. Ipse enim dedit mihi horum quæ sunt scientiam veram, ut sciam dispositionem orbis terrarum et virtutem elementorum,

18. initium et consummationem et medietatem temporum, vicissitudinum permutationes et mutationes temporum,

19. annorum cursus et stellarum dispositiones,

20. naturas animalium et iras bestiarum, vim ventorum et cogitationes hominum, differentias plantarum et virtutes radicum.

21. Quæcumque sunt absconsa et evidentia didici : omnium enim artifex docuit me sapientia.

22. Est enim in illa spiritus intelligens, sanctus, unicus, multiplex, subtilis, bene mobilis, disertus, immaculatus, manifestus, inviolabilis, bonum amans, acutus, quem nihil vetat, munificus,

23. benignus, stabilis, securus, sine sollicitudine, omnipotens, omnia spectans, et per omnes penetrans spiritus intelligibiles, mundos, subtilissimos.

24. Omnibus enim motibus mobilior est sapientia, attingit autem et penetrat per omnia propter munditiam.

25. Vapor est enim virtutis Dei, et emanatio Omnipotentis gloriæ sincera: ideo nihil inquinatum in illam incurrit.

26. Splendor est enim lucis æternæ et speculum sine macula operationis Dei, et imago bonitatis illius.

27. Et cum sit una omnia potest, et in se permanens

αὐτῇ τὰ πάντα καινίζει, καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει.

28. Οὐδένα γὰρ ἀγαπᾷ ὁ Θεὸς, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.

29. Ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν, φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα.

30. Τοῦτο μὲν γὰρ διαδέχεται νὺξ, σοφίας δὲ οὐκ ἀντισχύει κακία.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

2. Ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.

3. Εὐγένειαν δοξάζει, συμβίωσιν Θεοῦ ἔχουσα, καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν.

4. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ.

5. Εἰ δὲ πλοῦτός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί σοφίας πλουσιώτερον τῆς τὰ πάντα ἐργαζομένης;

6. Εἰ δὲ φρόνησις ἐργάζεται, τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐστι τεχνίτης;

7. Καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί. Σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει, δικαιοσύνην καὶ ἀνδρίαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις.

8. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζει, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.

9. Ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν, εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν, καὶ παραίνεσις φροντίδων καὶ λύπης.

10. Ἕξω δι' αὐτὴν, δόξαν ἐν ὄχλοις, καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος.

11. Ὀξὺς εὑρεθήσομαι ἐν κρίσει, καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι.

12. Σιγῶντά με περιμενοῦσιν, καὶ φθεγγομένῳ προσέξουσι, καὶ λαλοῦντος ἐπιπλεῖον, χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν.

13. Ἕξω δι' αὐτὴν, ἀθανασίαν, καὶ μνήμην αἰώνιον τοῖς μετ' ἐμὲ ἀπολείψω.

14. Διοικήσω λαοὺς, καὶ ἔθνη ὑποταγήσεταί μοι.

15. Φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί, ἐν πλήθει φανοῦμαι ἀγαθὸς, καὶ ἐν πολέμῳ ἀνδρεῖος.

16. Εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ· οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς, οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς, ἀλλὰ εὐφροσύνην καὶ χαράν.

17. Ταῦτα λογισάμενος ἐν ἐμαυτῷ, καὶ φροντίσας ἐν καρδίᾳ μου, ὅτι ἐστὶ ἀθανασία ἐν συγγενείᾳ σοφίας,

18. καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθὴ, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπὴς, καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς, περιήειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν.

19. Παῖς δὲ ἤμην εὐφυὴς, ψυχῆς τε ἔλαχον ἀγαθῆς·

omnia innovat, et per nationes in animas sanctas se transferens amicos Dei et prophetas constituit.

28. Neminem enim diligit Deus, nisi eum qui cum sapientia inhabitat.

29. Est enim hæc speciosior sole et super omnem dispositionem stellarum, luci comparata prior invenitur.

30. Illi enim succedit nox, sapientiam autem non vincit malitia.

CAPUT VIII.

1. Attingit ergo a fine ad finem fortiter, et disponit omnia suaviter.

2. Hanc amavi et exquisivi a juventute mea, et quæsivi sponsam mihi assumere, et amator factus sum formæ illius.

3. Generositatem glorificat, contubernium habens Dei, et omnium dominus dilexit illam.

4. Doctrix enim est disciplinæ Dei, et electrix operum illius.

5. Et si divitiæ sunt desiderabilis possessio in vita, quid sapientia locupletius quæ operatur omnia?

6. Si autem sensus operatur, quis horum quæ sunt magis quam illa est artifex?

7. Et si justitiam quis diligit, labores hujus sunt virtutes. Sobrietatem enim et prudentiam docet, justitiam et virtutem, quibus utilius nihil in vita hominibus.

8. Et si multitudinem scientiæ desiderat quis, scit præterita et de futuris æstimat, scit versutias sermonum et dissolutiones argumentorum : signa et monstra scit antequam fiant, et eventus temporum et sæculorum.

9. Proposui ergo hanc adducere mihi ad convivendum, sciens quoniam erit mihi consultrix bonorum, et erit allocutio curarum et tædii.

10. Habebo propter hanc, claritatem ad turbas, et honorem apud seniores juvenis.

11. Acutus inveniar in judicio, et in conspectu potentium admirabilis ero.

12. Tacentem me sustinebunt, et loquentem me respicient, et sermocinante me plura, manum ori suo imponent.

13. Habebo per hanc, immortalitatem, et memoriam æternam his qui post me futuri sunt relinquam.

14. Disponam populos, et nationes erunt mihi subditæ.

15. Timebunt me audientes reges horrendi, in multitudine bonus videbor, et in bello fortis.

16. Intrans in domum meam conquiescam cum illa : non enim habet amaritudinem conversatio illius, nec tædium convictus illius, sed lætitiam et gaudium.

17. Hæc cogitans apud me, et commemorans in corde meo, quoniam immortalitas est in cognatione sapientiæ,

18. et in amicitia illius delectatio bona, et in laboribus manuum ejus honestas sine defectione, et in coexercitatione conversationis illius prudentia, et præclaritas in communicatione sermonum ipsius, circumibam quærens ut mihi illam assumerem.

19. Puer autem eram ingeniosus, et sortitus sum animam bonam :

20. μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον.

21. Γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ Θεὸς δῷ, καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις, ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου·

20. magis autem cum essem bonus veni ad corpus incoinquinatum.

21. Et ut scivi quoniam aliter non possem esse continens, nisi Deus det, et hoc ipsum erat sapientiæ scire cujus esset hoc donum, adii Dominum, et deprecatus sum illum, et dixi ex totis præcordiis meis :

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου,

2. καὶ τῇ σοφίᾳ σου κατεσκεύασας ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων,

3. καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ·

4. δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου·

5. ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου, ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος, καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων.

6. Κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται.

7. Σύ με προείλω βασιλέα λαοῦ σου, καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων.

8. Εἶπας, οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον, μίμημα σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς.

9. Καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου, καὶ παροῦσα ὅτε ἐποίεις τὸν κόσμον, καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου.

10. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτὴν, ἵνα συμπαροῦσά μοι κοπιάσῃ, καὶ γνῶ τί εὐάρεστόν ἐστι παρὰ σοί.

11. Οἶδε γὰρ ἐκείνη πάντα καὶ συνιεῖ, καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς.

12. Καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου, καὶ διακρινῶ τὸν λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου.

13. Τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν Θεοῦ, ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος;

14. Λογισμοὶ γὰρ θνητῶν δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν.

15. Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφροντίδα.

16. Καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου· τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασεν;

17. Βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν, καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων;

18. Καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι,

19. καὶ τῇ σοφίᾳ ἐσώθησαν.

CAPUT IX.

1. Deus patrum et Domine misericordiæ tuæ, qui fecisti omnia in verbo tuo,

2. et sapientia tua constituisti hominem, ut dominetur creaturis quæ a te factæ sunt,

3. et disponat orbem terrarum in æquitate et justitia, et in directione cordis judicium judicet :

4. da mihi sedium tuarum assistricem sapientiam, et noli me reprobare a pueris tuis :

5. quoniam servus tuus sum ego et filius ancillæ tuæ, homo infirmus et exigui temporis, et minor ad intellectum judicii et legum.

6. Nam etsi quis erit consummatus inter filios hominum, si ab illo fugerit sapientia tua, in nihilum computabitur.

7. Tu elegisti me regem populi tui, et judicem filiorum tuorum et filiarum.

8. Dixisti, ædificare templum in monte sancto tuo, et in civitate habitationis tuæ altare, similitudinem tabernaculi sancti quod præparasti ab initio.

9. Et tecum sapientia quæ novit opera tua, quæ et adfuit tunc cum orbem terrarum faceres, et scit quid placitum sit in oculis tuis, et quid directum in præceptis tuis :

10. Emitte illam de cœlis sanctis, et a sede majestatis tuæ mitte illam, ut mecum sit et mecum laboret, et sciam quid acceptum sit apud te.

11. Scit enim illa omnia et intelligit, et deducet me in operibus meis sobrie, et custodiet me in sua potentia.

12. Et erunt accepta opera mea, et disponam populum tuum juste, et ero dignus sedium patris mei.

13. Quis enim hominum poterit scire consilium Dei, aut quis poterit cogitare quid velit Dominus?

14. Cogitationes enim mortalium timidæ, et incertæ providentiæ nostræ.

15. Corruptibile enim corpus aggravat animam, et terrena inhabitatio deprimit sensum multa curantem.

16. Et difficile æstimamus quæ in terra sunt, et quæ in prospectu sunt invenimus cum labore : quæ autem in cœlis sunt quis investigavit?

17. Sensum autem tuum quis scivit, nisi tu dederis sapientiam, et miseris spiritum sanctum tuum de altissimis?

18. Et sic correctæ sunt semitæ eorum qui in terris sunt, et quæ tibi placent didicerunt homines,

19. et per sapientiam sanati sunt.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Αὕτη πρωτόπλαστον πατέρα κόσμου μόνον κτισθέντα διεφύλαξεν, καὶ ἐξείλατο αὐτὸν ἐκ παραπτώματος ἰδίου,

CAPUT X.

1. Hæc illum qui primus formatus est patrem orbis terrarum cum solus esset creatus custodivit, et eduxit illum a delicto suo,

2. ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων.
3. Ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς.
4. Δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσωσε σοφία, δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα.
5. Αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον Θεῷ, καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν.
6. Αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐῤῥύσατο φυγόντα πῦρ καταβάσιον Πενταπόλεως·
7. οἷς ἐπὶ μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτὰ, ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός.
8. Σοφίαν γὰρ παροδεύσαντες οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι τὰ καλὰ, ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον, ἵνα ἐν οἷς ἐσφάλησαν μηδὲ λαθεῖν δυνηθῶσι.
9. Σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο.
10. Αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον ὡδήγησεν ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ βασιλείαν Θεοῦ, καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων· εὐπόρησεν αὐτὸν ἐν μόχθοις, καὶ ἐπλήθυνε τοὺς πόνους αὐτοῦ.
11. Ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη, καὶ ἐπλούτισεν αὐτόν.
12. Διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν, καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ, ἵνα γνῷ ὅτι παντὸς δυνατωτέρα ἐστὶν εὐσέβεια.
13. Αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἐξ ἁμαρτίας ἐῤῥύσατο αὐτόν. Συγκατέβη αὐτῷ εἰς λάκκον,
14. καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ. Ψευδεῖς τε ἔδειξε τοὺς μωμησαμένους αὐτὸν, καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
15. Αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ ἔθνους θλιβόντων.
16. Εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις
17. Ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας, καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα.
18. Διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυθρὰν, καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ·
19. τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσε, καὶ ἐκ βάθους ἀβύσσου ἀνέβρασεν αὐτούς.
20. Διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν, Κύριε, τὸ ὄνομα τὸ ἅγιόν σου, τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν.
21. Ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν, καὶ γλώσσας νηπίων ἔθηκε τρανάς.

2. et dedit ei virtutem continendi omnia.
3. Ab hac autem ut recessit injustus in ira sua, fratricidis furoribus simul periit.
4. Propter quem inundatam terram rursus salvavit sapientia, per contemptibile lignum justum gubernans.
5. Hæc et in consensu superbiæ nationibus confusis invenit justum, et conservavit eum sine querela Deo, et super filii viscera fortem custodivit.
6. Hæc justum pereuntibus impiis liberavit fugientem a descendente igne in Pentapolim :
7. quibus in testimonium nequitiæ fumigabunda constat deserta terra, et imperfectis germinibus fructificantes arbores, incredulæ animæ memoria stans figmentum salis.
8. Sapientiam enim prætereuntes non tantum in hoc læsi sunt ut ignorarent bona, sed et insipientiæ suæ reliquerunt hominibus memoriam, ut in his quæ peccaverunt nec latere potuissent.
9. Sapientia autem hos qui se observarunt a laboribus liberavit.
10. Hæc profugum iræ fratris justum deduxit per vias rectas, ostendit illi regnum Dei, et dedit illi scientiam sanctorum : honestavit illum in laboribus, et complevit labores illius.
11. In fraude circumvenientium illum affuit, et honestum fecit illum.
12. Custodivit illum ab inimicis, et a seductoribus tutavit, et certamen forte dedit illi ut vinceret, ut sciret quoniam omnium potentior est pietas.
13. Hæc venditum justum non dereliquit, sed a peccato liberavit eum. Descendit cum illo in foveam,
14. et in vinculis non dereliquit illum, donec afferret illi sceptrum regni et potentiam adversus eos qui eum deprimebant. Et mendaces ostendit qui maculaverant illum, et dedit illi claritatem æternam.
15. Hæc populum justum et semen sine querela liberavit a natione eorum qui illum opprimebant.
16. Intravit in animam servi Domini, et stetit contra reges horrendos in portentis et signis.
17. Reddidit justis mercedem laborum suorum, deduxit eos in via mirabili, et fuit illis in velamentum die, et in lucem stellarum per noctem.
18. Transtulit illos per mare rubrum, et transvexit illos per aquam nimiam :
19. inimicos autem illorum demersit, et de profundo abyssi ejecit eos.
20. Ideo justi tulerunt spolia impiorum, et decantaverunt, Domine, nomen sanctum tuum, et victricem manum tuam laudaverunt pariter.
21. Quoniam sapientia aperuit os mutorum, et linguas infantium fecit disertas.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Εὐώδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου.
2. Διώδευσαν ἔρημον ἀοίκητον, καὶ ἐν ἀβάτοις ἔπηξαν σκηνάς.

CAPUT XI.

1. Direxit opera eorum in manu prophetæ sancti.
2. Iter fecerunt per desertum quod non habitabatur, et in inviis fixerunt casas.

3. Ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς.

4. Ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ.

5. Δι' ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν,

6. διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετήθησαν.

7. Ἀντὶ μὲν πηγῆς ἀεννάου ποταμοῦ αἵματι λυθρώδει ταραχθέντες

8. εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος, ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως·

9. δείξας διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλασας.

10. Ὅτε γὰρ ἐπειράσθησαν, καί περ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο.

11. Τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους δὲ ὡς ἀπότομος βασιλεύς, καταδικάζων ἐξήτασας.

12. Καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο.

13. Διπλῆ γὰρ αὐτοὺς ἔλαβε λύπη, καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν.

14. Ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων εὐεργετουμένους αὐτούς, ᾔσθοντο τοῦ Κυρίου.

15. Τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον χλευάζοντες, ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια δικαίοις διψήσαντες.

16. Ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ, ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν,

17. ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται.

18. Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης, ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκτων, ἢ θρασεῖς λέοντας,

19. ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους, ἤτοι πυρπνόον φυσῶντας ἆσθμα, ἢ βρόμους λικμωμένους καπνοῦ, ἢ δεινοὺς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας.

20. Ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρίψαι αὐτούς, ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι.

21. Καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο, ὑπὸ τῆς δίκης διωχθέντες, καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου· ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας.

22. Τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται;

23. Ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.

24. Ἐλεεῖς δὲ πάντας ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

25. Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας, οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας.

26. Πῶς δὲ ἔμεινεν ἄν τι εἰ μὴ σὺ ἠθέλησας, ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη;

27. Φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, Δέσποτα φιλόψυχε.

3. Steterunt contra hostes, et de inimicis se vindicaverunt.

4. Sitierunt et invocaverunt te, et data est illis aqua de petra durissima, et requies sitis de lapide duro.

5. Per quæ enim pœnas passi sunt inimici illorum,

6. per hæc cum iis quibus deerat bene actum est.

7. Nam pro fonte sempiterni fluminis sanguine immundo turbati

8. in redargutionem præcepti de occidendis parvulis, dedisti ipsis abundantem aquam insperate :

9. ostendens per sitim quæ tunc fuit quomodo adversarios punivisses.

10. Cum enim tentati sunt, et quidem cum misericordia disciplinam accipientes, scierunt quemadmodum cum ira judicati impii tormenta passi sint.

11. Hos siquidem tamquam pater monens probasti, illos autem tamquam rex durus condemnans interrogasti.

12. Et absentes autem et præsentes similiter torquebantur.

13. Duplex enim tædium accepit illos, et gemitus cum memoria præteritorum.

14. Cum enim audirent per sua tormenta bene cum illis agi, senserunt Dominum.

15. Quem enim in expositione olim projectum repudiaverunt deridentes, in fine eventuum mirati sunt, non similiter justis sitientes.

16. Pro cogitationibus autem insensatis iniquitatis illorum, quia quidem errantes colebant mutos serpentes et bestias supervacuas, immisisti illis multitudinem mutorum animalium in vindictam,

17. ut scirent quia per quæ peccat quis, per hæc torquetur.

18. Non enim impotens erat omnipotens manus tua et quæ creavit orbem terrarum ex informi materia, immittere illis multitudinem ursorum, aut audaces leones,

19. aut novi generis ira plenas ignotas bestias, aut vaporem igneum spirantes, aut proferentes odores fumi, aut horrendas ab oculis scintillas emittentes.

20. Quarum non solum læsura poterat illos exterminare, sed et aspectus per timorem occidere.

21. Sed et sine his uno spiritu poterant occidi, persecutionem passi ab ipso judicio, et dispersi per spiritum virtutis tuæ : sed omnia mensura et numero et pondere disposuisti.

22. Multum enim valere tibi superest semper, et virtuti brachii tui quis resistet?

23. Quoniam tamquam momentum stateræ sic est totus orbis terrarum ante te, et tamquam gutta roris antelucana quæ descendit in terram.

24. Sed misereris omnium quoniam omnia potes, et dissimulas peccata hominum propter pœnitentiam.

25. Diligis enim omnia quæ sunt, et nihil odisti eorum quæ fecisti, neque enim odio habens aliquid constituisses.

26. Quomodo autem posset aliquid permanere nisi tu voluisses, aut quod a te vocatum non esset conservaretur?

27. Parcis autem omnibus, quoniam tua sunt, Domine qui amas animas.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι.

2. Διὸ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σὲ, Κύριε.

3. Καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας,

4. ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα φαρμακειῶν, καὶ τελετὰς ἀνοσίους,

5. τέκνων τε φονέας ἀνελεήμονας, καὶ σπλαγχνοφάγων ἀνθρωπίνων σαρκῶν, θοίναν καὶ αἵματος ἐκ μέσου μυσταθείας σου,

6. καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων, ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν.

7. Ἵνα ἀξίαν ἀποικίαν δέξηται Θεοῦ παίδων ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ.

8. Ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω, ἀπέστειλάς τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας, ἵνα αὐτοὺς καταβραχὺ ἐξολοθρεύσωσιν.

9. Οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ' ἓν ἐκτρίψαι·

10. κρίνων δὲ καταβραχὺ ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν καὶ ἔμφυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα.

11. Σπέρμα γὰρ ἦν κατηραμένον ἀπ' ἀρχῆς· οὐδὲ εὐλαβούμενός τινα, ἐφ' οἷς ἡμάρτανον ἄδειαν ἐδίδους.

12. Τίς γὰρ ἐρεῖ· Τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου; Τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων ἃ σὺ ἐποίησας; Ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;

13. Οὔτε γὰρ Θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας.

14. Οὔτε βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν ἀπώλεσας.

15. Δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις, αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως.

16. Ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχὴ, καὶ τὸ πάντων σε δεσπόζειν, πάντων φείδεσθαι ποιεῖ.

17. Ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις.

18. Σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις, καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς. Πάρεστι γάρ σοι, ὅταν θέλῃς, τὸ δύνασθαι.

19. Ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων, ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον· καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου, ὅτι δίδως ἐπὶ ἁμαρτήμασι μετάνοιαν.

20. Εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ μετὰ τοσαύτης ἐτιμώρησας προσοχῆς καὶ δεήσεως, δοὺς χρόνους καὶ τόπον δι' ὧν ἀπαλλαγῶσι τῆς κακίας,

21. μετὰ πόσης ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑποσχέσεων;

22. Ἡμᾶς οὖν παιδεύων τοὺς ἐχθροὺς ἡμῶν ἐν μυ-

CAPUT XII.

1. Incorruptus enim spiritus tuus est in omnibus.

2. Ideo hos qui exerrant partibus corripis, et de quibus peccant admonens alloqueris, ut relicta malitia credant in te, Domine.

3. Et illos enim antiquos inhabitatores sanctæ terræ tuæ odiens,

4. quoniam odibilia opera faciebant per medicamina, et sacrificia injusta,

5. et filiorum suorum necatores sine misericordia, et comestorum viscerum humanarum carnium, convivium et sanguinis a medio sacramento suo,

6. et auctores cædis parentes animarum inauxiliatarum, voluisti perdere per manus parentum nostrorum.

7. Ut dignam peregrinationem perciperet puerorum Dei quæ tibi omnium carior est terra.

8. Sed et his tamquam hominibus pepercisti, et misisti antecessores exercitus tui vespas, ut illos paulatim exterminarent.

9. Non quia impotens eras in bello subjicere impios justis, aut bestiis sævis, aut verbo duro simul exterminare :

10. sed partibus judicans dabas locum pœnitentiæ, non ignorans quoniam iniqua est natio eorum et naturalis malitia ipsorum, et quoniam non mutabitur cogitatio illorum in perpetuum.

11. Semen enim erat maledictum ab initio : nec timens aliquem, veniam dabas peccatis illorum.

12. Quis enim dicet : Quid fecisti? aut quis stabit contra judicium tuum? Quis autem imputabit tibi si perierint nationes quas tu fecisti? Aut quis ad standum contra te veniet vindex pro iniquis hominibus?

13. Nec enim est alius Deus quam tu, cui cura est de omnibus, ut ostendas quoniam non injuste judicasti.

14. Neque rex neque tyrannus in conspectu tuo poterit inquirere de his quos perdidisti.

15. Cum autem sis justus juste omnia disponis, ipsum qui non debet puniri condemnare exterum existimans a tua virtute.

16. Virtus enim tua justitiæ initium est, et hoc ipsum quod omnium dominus es, omnibus te parcere facit.

17. Virtutem enim ostendis tu cum non crederis in virtute esse consummatus, et in his qui sciunt audaciam traducis.

18. Tu autem dominator virtutis cum tranquillitate judicas, et cum magna reverentia disponis nos. Subest enim tibi, cum volueris, posse.

19. Docuisti autem populum tuum per talia opera, quoniam oportet justum esse humanum : et bonæ spei fecisti filios tuos, quoniam das in peccatis pœnitentiam.

20. Si enim inimicos servorum tuorum et debitos morti cum tanta cruciasti attentione et parcimonia, dans tempora et locum per quæ possent mutari a malitia,

21. cum quanta diligentia judicasti filios tuos, quorum parentibus juramenta et conventiones dedisti bonarum promissionum?

22. Cum ergo nobis des disciplinam inimicos nostros

ειότητι μαστιγοῖς, ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες, κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.

23. Ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκους, διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων.

24. Καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν, θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα, νηπίων δίκην ἀφρόνων ψευσθέντες.

25. Διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας.

26. Οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες ἀξίαν Θεοῦ κρίσιν πειράσουσιν.

27. Ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν, ἐπὶ τούτοις οὓς ἐδόκουν θεοὺς, ἐν αὐτοῖς κολαζόμενοι ἰδόντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι, Θεὸν ἐπέγνωσαν ἀληθῆ· διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ' αὐτοὺς ἐπῆλθεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν Θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα, οὔτε τοῖς ἔργοις προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην·

2. ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν.

3. Ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, θεοὺς ὑπελάμβανον, γνώτωσαν πόσῳ τούτων ὁ Δεσπότης ἐστὶ βελτίων· ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά.

4. Εἰ δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες, νοησάτωσαν ἀπ' αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστι·

5. ἐκ γὰρ μεγέθους καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.

6. Ἀλλ' ὅμως ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη, καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται Θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν.

7. Ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσιν, καὶ πείθονται τῇ ὄψει, ὅτι καλὰ τὰ βλεπόμενα.

8. Πάλιν δὲ οὐδ' αὐτοὶ συγγνωστοί.

9. Εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι, ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον;

10. Ταλαίπωροι δὲ καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων, χρυσὸν καὶ ἄργυρον, τέχνης ἐμμελέτημα, καὶ ἀπεικάσματα ζώων, ἢ λίθον ἄχρηστον, χειρὸς ἔργον ἀρχαίας.

11. Εἰ δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας, περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ, καὶ τεχνησάμενος εὐπρεπῶς κατεσκεύασεν χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς,

12. τὰ δὲ ἀποβλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη,

13. τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐδὲν εὔχρηστον, ξύλον σκολιὸν καὶ ὄζοις συμπεφυκὸς, λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ, καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτὸ, ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου,

14. ἢ ζώῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ, καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ, καὶ πᾶσαν κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας,

15. καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα, ἐν τοίχῳ ἔθηκεν αὐτὸ, ἀσφαλισάμενος σιδήρῳ·

multipliciter flagellas, ut bonitatem tuam cogitemus judicantes, et cum de nobis judicatur speremus misericordiam.

23. Unde et illis qui in vita insensate et injuste vixerunt, per proprias abominationes dedisti tormenta.

24. Etenim ab ipsis erroris viis longius erraverunt, deos existimantes hæc quæ etiam in animalibus inimicorum sunt supervacua, infantium insensatorum more decepti.

25. Propter hoc tamquam pueris insensatis judicium in derisum dedisti.

26. Qui autem ludibriis increpationis non sunt correcti dignum Dei judicium experturi sunt.

27. In his enim in quibus patientes indignabantur, in his quos putabant deos, in ipsis cum exterminarentur videntes illum quem olim negabant se nosse, verum Deum agnoverunt : propter quod et finis condemnationis venit super illos.

CAPUT XIII.

1. Vani enim omnes homines natura, quibus aderat Dei ignoratio, et ex his quæ videntur bonis non potuerunt intelligere eum qui est, neque operibus attendentes agnoverunt quis esset artifex :

2. sed aut ignem, aut spiritum, aut citatum aerem, aut gyrum stellarum, aut nimiam aquam, aut luminaria cœli, rectores orbis terrarum deos putaverunt.

3. Quorum si specie delectati, deos putaverunt, sciant quanto his Dominus sit speciosior : speciei enim primus generator ea constituit.

4. Aut si virtutem et operationem mirati sunt, intelligant ab ipsis quanto qui hæc constituit fortior est illis :

5. magnitudine enim speciei creaturarum per proportionem potest horum creator videri.

6. Sed tamen in his minor est querela, et hi enim fortasse errant Deum quærentes et volentes invenire.

7. Etenim cum in operibus illius conversentur inquirunt, et persuadentur aspectu, quoniam bona sunt quæ videntur.

8. Iterum autem nec his debet ignosci.

9. Si enim tantum potuerunt scire, ut possent æstimare sæculum, quomodo horum dominum non facilius invenerunt?

10. Infelices autem sunt et inter mortuos spes illorum, qui appellaverunt deos opera manuum hominum, aurum et argentum, artis inventionem, et similitudines animalium, aut lapidem inutilem, opus manus antiquæ.

11. Aut si quis lignarius faber lignum bene mobile secuerit, et hujus docte eradat corticem omnem, et arte usus decore fabricet vas utile ad ministerium vitæ,

12. reliquias autem operis ad præparationem escæ insumens satiatus sit,

13. reliquum autem horum quod ad nullum facit usum, lignum curvum et verticibus plenum, sumens sculpat diligenter per otium suum, et per scientiam artis figuret illud, assimilet illud imagini hominis,

14. aut alicui vili animali illud comparet, perliniens rubrica et rubicundum faciens fuco colorem illius, et omnem maculam quæ in illo est perliniens,

15. et faciens ei dignam habitationem, in pariete ponat illud, confirmans ferro :

16. ἵνα μὲν οὖν μὴ καταπέσῃ προενόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι, καὶ γάρ ἐστι εἰκὼν καὶ χρείαν ἔχει βοηθείας.

17. Περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσευχόμενος, οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν.

18. Καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖται, περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ, περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει·

19. περὶ δὲ ὁδοιπορίας, τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον, περὶ δὲ πορισμοῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας τὸ ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

16. ne forte cadat prospexit illi, sciens quoniam non potest adjuvare se, imago enim est et opus est illi adjutorium.

17. Et de substantia et de nuptiis suis et filiis votum faciens, non erubescit loqui cum illo qui sine anima est.

18. Et pro sanitate quidem infirmum deprecatur, et pro vita mortuum rogat, et in adjutorium inutilem invocat :

19. et pro itinere, eum qui ambulare non potest, et de acquirendo et de operando et manuum successu petit ab eo qui est impotentissimus manibus potentiam.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Πλοῦν τις πάλιν στελλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα, τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται.

2. Ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε, τεχνίτης δὲ σοφίᾳ κατεσκεύασεν.

3. Ἡ δὲ σὴ, πάτερ, διακυβερνᾷ πρόνοια, ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ,

4. δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν, ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.

5. Θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα· διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχὰς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν.

6. Καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων, ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως τῇ σῇ κυβερνηθεῖσα χειρί.

7. Εὐλόγηται γὰρ ξύλον δι' οὗ γίνεται δικαιοσύνη.

8. Τὸ χειροποίητον δὲ ἐπικατάρατον αὐτὸ καὶ ὁ ποιήσας αὐτὸ, ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη.

9. Ἐν ἴσῳ γὰρ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ.

10. Καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται.

11. Διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται, ὅτι ἐν κτίσματι Θεοῦ εἰς βδέλυγμα ἐγενήθησαν καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων καὶ εἰς παγίδα ποσὶν ἀφρόνων.

12. Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς.

13. Οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται.

14. Κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον, καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέλος ἐπενοήθη.

15. Ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ τοῦ ταχέως ἀφαιρεθέντος τέκνου εἰκόνα ποιήσας, τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησε, καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετάς.

16. Εἶτα ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη, καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά.

17. Οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾷν ἄνθρωποι, διὰ τὸ μακρὰν οἰκεῖν, τὴν πόῤῥωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου βασιλέως ἐποίησαν, ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύωσιν διὰ τῆς σπουδῆς.

CAPUT XIV.

1. Iterum alius navigare cogitans, et per feros fluctus iter facere incipiens, navigio portante se fragilius lignum invocat.

2. Illud enim cupiditas acquirendi excogitavit, et artifex sapientia fabricavit.

3. Tua autem, pater, gubernat providentia, quoniam dedisti et in mari viam et inter fluctus semitam firmissimam,

4. ostendens quoniam potens es ex omnibus sanare, etiamsi sine arte aliquis adeat mare.

5. Vis autem non esse otiosa sapientiæ tuæ opera : propter hoc etiam exiguo ligno credunt homines animas, et transeuntes mare per ratem liberati sunt.

6. Nam et ab initio cum perirent superbi gigantes, spes orbis terrarum ad ratem confugiens remisit sæculo semen nativitatis manu tua gubernata.

7. Benedictum est enim lignum per quod fit justitia.

8. Per manus autem quod fit maledictum est ipsum et qui fecit illud, quoniam ille quidem operatus est, illud autem cum esset fragile deus cognominatum est.

9. Similiter enim odio sunt Deo et impius et impietas ejus.

10. Etenim quod factum est cum illo qui fecit tormenta patietur.

11. Propter hoc et in idolis nationum erit respectus, quoniam in creatura Dei in abominationem facta sunt et in scandala animabus hominum et in muscipulam pedibus insipientum.

12. Initium enim fornicationis est exquisitio idolorum, et adinventio illorum corruptio vitæ est.

13. Non enim erant ab initio, neque erunt in perpetuum.

14. Supervacua enim ambitione hominum intraverunt in orbem terrarum, et ideo brevis illorum finis est deliberatus.

15. Acerbo enim luctu dolens pater cito rapti filii fecit imaginem, et mortuum tunc hominem, nunc tamquam deum coluit, et constituit subditis sacra et sacrificia.

16. Deinde interveniente tempore invalescens impia consuetudo tamquam lex custodita est, et tyrannorum imperio colebantur figmenta.

17. Quos in palam cum homines honorare non possent, propter hoc quod longe habitarent, e longinquo faciem figurantes, evidentem imaginem regis quem honorare volebant fecerunt, ut illi qui aberat tamquam præsenti adularentur per hanc sollicitudinem.

18. Εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία.

19. Ὁ μὲν γὰρ τάχα τῷ κρατοῦντι βουλόμενος ἀρέσαι, ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον.

20. Τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας, τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον νῦν σέβασμα ἐλογίσαντο.

21. Καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν.

22. Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τὴν τοῦ Θεοῦ γνῶσιν, ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ, τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.

23. Ἢ γὰρ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια, ἢ ἐμμανεῖς ἐξ ἄλλων θεσμῶν κώμους ἄγοντες,

24. οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυνᾷ.

25. Πάντα δ' ἐπίμιξ ἔχει, αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος, φθορὰ, ἀπιστία, ταραχὴ, ἐπιορκία, θόρυβος ἀγαθῶν,

26. χάριτος ἀμνησία, ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγὴ, γάμων ἀταξία, μοιχεία καὶ ἀσέλγεια.

27. Ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία παντὸς ἀρχὴ κακοῦ καὶ αἰτία καὶ πέρας ἐστίν.

28. Ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, ἢ προφητεύουσι ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ ἐπιορκοῦσι ταχέως.

29. Ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κακῶς ὀμόσαντες, ἀδικηθῆναι οὐ προσδέχονται.

30. Ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, ὅτι κακῶς ἐφρόνησαν περὶ Θεοῦ προσχόντες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος.

31. Οὐ γὰρ ἡ τῶν ὀμνυομένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

18. Provexit autem ad culturam et hos qui ignorabant artificis eximia diligentia.

19. Ille enim volens nimirum dominanti placere, elaboravit arte ut similitudinem in melius revocaret.

20. Multitudo autem adducta per speciem operis, eum qui paulo ante honoratus erat homo nunc numen æstimaverunt.

21. Et hæc fuit vitæ humanæ deceptio, quoniam aut affectui aut tyrannidi deservientes homines incommunicabile nomen lapidibus et lignis imposuerunt.

22. Postea non suffecit errare circa Dei scientiam, sed et in magno viventes inscientiæ bello, tot et tanta mala pacem appellant.

23. Aut enim filios suos sacrificantes aut obscura sacrificia facientes, aut insaniæ plenas ex aliis ritibus comessationes agentes,

24. neque vitas atque nuptias mundas jam custodiunt, et alius alium aut per insidias occidit, aut adulterans contristat.

25. Et omnia commista sunt, sanguis et homicidium, furtum et dolus, corruptio, infidelitas, turbatio, perjurium, tumultus bonorum,

26. gratiæ immemoratio, animarum inquinatio, nativitatis immutatio, nuptiarum inordinatio, mœchia et impudicitia.

27. Infandorum enim cultura idolorum omnis mali initium est et causa et finis.

28. Aut enim dum lætantur insaniunt, aut vaticinantur falsa, aut vivunt injuste, aut perjurant cito.

29. Dum enim confidunt idolis quæ sine anima sunt, male jurantes, noceri se non sperant.

30. Utraque autem illos insequentur jura, quoniam male senserunt de Deo attendentes idolis, et injuste in dolo juraverunt contemnentes justitiam.

31. Non enim eorum per quos juratur virtus, sed peccantium judicium insurgit semper super injustorum prævaricationem.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Σὺ δὲ, ὁ Θεὸς ἡμῶν, χρηστὸς καὶ ἀληθὴς, μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα.

2. Καὶ γὰρ ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος. Οὐχ ἁμαρτησόμεθα δὲ, εἰδότες ὅτι σοὶ λελογίσμεθα.

3. Τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας.

4. Οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιαγράφων πόνος ἄκαρπος, εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις·

5. ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος ἔρχεται; ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν.

6. Κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων, καὶ οἱ δρῶντες καὶ οἱ ποθοῦντες καὶ οἱ σεβόμενοι.

7. Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἕκαστον, ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη, τά τε ἐναντία πάνθ' ὁμοίως· τούτων δὲ ἑκατέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις, κριτὴς ὁ πηλουργός.

8. Καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσ-

CAPUT XV.

1. Tu autem, Deus noster, suavis et verus es, et patiens et in misericordia disponens omnia.

2. Etenim si peccaverimus, tui sumus, scientes potentiam tuam. Non peccabimus autem, scientes quoniam tui sumus deputati.

3. Nosse enim te consummata justitia est, et scire virtutem tuam radix est immortalitatis.

4. Non enim in errorem induxit nos hominum malæ artis excogitatio, neque adumbrantium labor sine fructu, effigies sculpta per varios colores :

5. quorum aspectus insensatis in opprobrium venit, et diligit mortuæ imaginis effigiem sine anima.

6. Malorum amatores et digni qui spem habeant in talibus, et qui faciunt et qui diligunt et qui colunt.

7. Nam et figulus mollem terram premens laboriose fingit ad usum nostrum unumquodque vas, sed de eodem luto finxit et ea quæ mundis operibus serviunt vasa, et similiter omnia quæ his sunt contraria : horum autem utriusque quis cujusque sit usus, judex est figulus.

8. Et male laborans deum vanum fingit de eodem luto,

σει πηλοῦ, ὃς πρὸ μικροῦ ἐκ γῆς γεννηθεὶς μετʼ ὀλίγον πορεύεται ἐξ ἧς ἐλήφθη, τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.

9. Ἀλλʼ ἔστιν αὐτῷ φροντὶς, οὐχ ὅτι μέλλει κάμνειν, οὐδʼ ὅτι βραχυτελῆ βίον ἔχει, ἀλλʼ ἀντερείδεται μὲν χρυσουργοῖς καὶ ἀργυροχόοις, χαλκοπλάστας τε μιμεῖται, καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει.

10. Σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ·

11. ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτὸν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν.

12. Ἀλλʼ ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν, καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ. Δεῖν γὰρ φασὶν ὅθεν δὴ κἂν ἐκ κακοῦ πορίζειν.

13. Οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει, ὕλης γεώδους εὔθραυστα σκεύη καὶ γλυπτὰ δημιουργῶν.

14. Πάντες δʼ ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου, οἱ ἐχθροὶ τοῦ λαοῦ σου, καταδυναστεύσαντες αὐτόν.

15. Ὅτι καὶ πάντα εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεοὺς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος, οὔτε ὦτα ἀκούειν, οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.

16. Ἄνθρωπος γὰρ ἐποίησεν αὐτοὺς, καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτοὺς, οὐδεὶς γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν·

17. θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις· κρείττων γάρ ἐστι τῶν σεβασμάτων αὐτοῦ, ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε.

18. Καὶ τὰ ζῶα δὲ τὰ ἔχθιστα σέβονται, ἄνοια γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα.

19. Οὐδʼ ὅσον ἐπιποθῆσαι ὡς ἐν ζώων ὄψει καλὰ τυγχάνει, ἐκπέφευγε δὲ καὶ τὸν τοῦ Θεοῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

1. Διὰ τοῦτο διʼ ὁμοίων ἐκολάσθησαν ἀξίως, καὶ διὰ πλήθους κνωδάλων ἐβασανίσθησαν.

2. Ἀνθʼ ἧς κολάσεως εὐεργέτησας τὸν λαόν σου, εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν, τροφὴν ἡτοίμασας ὀρτυγομήτραν.

3. Ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφὴν, διὰ τὴν εἰδέχθειαν τῶν ἐπαπεσταλμένων καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται· αὐτοὶ δὲ ἐπʼ ὀλίγον ἐνδεεῖς γενόμενοι καὶ ξένης μετάσχωσι γεύσεως.

4. Ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννοῦσι, τούτοις δὲ μόνον δειχθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.

5. Καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων θυμὸς, δήγμασί τε σκολιῶν διεφθείροντο ὄφεων, οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου·

6. εἰς νουθεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν, σύμβουλον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν ἐντολῆς νόμου σου.

7. Ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσώζετο, ἀλλὰ διὰ σὲ τὸν πάντων σωτῆρα.

ille qui paulo ante de terra factus post pusillum abit in eam unde acceptus est, repetitus animæ debitum.

9. Sed cura est illi, non quia laboraturus est, nec quoniam brevis ipsi vita est, sed concertat aurificibus et argentariis, et ærarios imitatur, et gloriam putat quoniam res adulterinas fingit.

10. Cinis est cor ejus, et terra magis supervacua spes illius, et luto vilior vita illius:

11. quoniam ignoravit eum qui se finxit, et qui inspiravit sibi animam quæ operatur, et qui insufflavit spiritum vitalem.

12. Sed æstimaverunt lusum esse vitam nostram, et vitæ modum nundinas compositas ad lucrum. Oportere enim dicunt undecumque etiam ex malo acquirere.

13. Hic enim scit super omnes se delinquere, qui ex terræ materia fragilia vasa et sculptilia fingit.

14. Omnes autem insipientes et infelices super animam infantis, inimici populi tui, imperantes ei.

15. Quoniam et idola omnium nationum deos æstimaverunt, quibus neque oculorum usus est ad videndum, neque nares ad percipiendum spiritum, neque aures ad audiendum, neque digiti in manibus ad tractandum, sed et pedes eorum pigri ad ambulandum.

16. Homo enim fecit illos, et qui spiritum mutuatus est is finxit illos, nemo enim sibi similem homo potest deum fingere:

17. cum sit autem mortalis mortuum fingit manibus iniquis: melior est enim ipse iis quos colit, quoniam ipse quidem vixit, illi autem numquam.

18. Sed et animalia miserrima colunt, dementia enim comparata aliis sunt deteriora.

19. Neque quatenus desiderentur tamquam in animalium aspectu bona sunt, effugerunt autem et Dei laudem et benedictionem ejus.

CAPUT XVI.

1. Propter hoc per similia passi sunt digne tormenta, et per multitudinem bestiarum exterminati sunt.

2. Pro quibus tormentis bene disposuisti populum tuum, quibus in concupiscentia appetitus novum saporem, escam parasti ortygometram.

3. Ut illi quidem concupiscentes escam propter odiosam deformitatem eorum quæ immissa sunt, etiam a necessaria concupiscentia averterentur: hi autem in brevi inopes facti etiam novam gustarent escam.

4. Oportebat enim illis quidem inevitabilem supervenire inopiam exercentibus tyrannidem, his autem tantum ostendi quemadmodum inimici ipsorum exterminabantur.

5. Etenim cum his supervenit sæva bestiarum ira, et morsibus perversorum colubrorum exterminabantur, non usque in finem ira tua permansit:

6. sed ad correptionem in brevi turbati sunt, signum habentes salutis, ad commemorationem mandati legis tuæ.

7. Qui enim conversus est non per hoc quod videbat sanabatur, sed per te omnium salvatorem.

8. Καὶ ἐν τούτῳ δὲ ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν, ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ.

9. Οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν ἀπέκτεινε δήγματα, καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν, ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κολασθῆναι.

10. Τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες, τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθεν καὶ ἰάσατο αὐτούς.

11. Εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, καὶ ὀξέως διεσώζοντο, ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας.

12. Καὶ γὰρ οὔτε βοτάνη οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς· ἀλλὰ ὁ σὸς, Κύριε, λόγος ὁ πάντα ἰώμενος.

13. Σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις.

14. Ἄνθρωπος δὲ ἀποκτέννει μὲν τῇ κακίᾳ αὐτοῦ, ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει, οὐδὲ ἀναλύει ψυχὴν παραληφθεῖσαν.

15. Τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστι.

16. Ἀρνούμενοι γάρ σε εἰδέναι ἀσεβεῖς, ἐν ἰσχύϊ βραχίονός σου ἐμαστιγώθησαν, ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ ὄμβροις διωκόμενοι ἀπαραιτήτοις, καὶ πυρὶ καταναλισκόμενοι.

17. Τὸ γὰρ παραδοξότατον, ἐν τῷ πάντα σβεννύντι ὕδατι πλεῖον ἐνήργει τὸ πῦρ, ὑπέρμαχος γὰρ ὁ κόσμος ἐστὶ δικαίων.

18. Ποτὲ μὲν γὰρ ἡμεροῦτο φλὸξ, ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεσταλμένα ζῶα· ἀλλ' αὐτοὶ βλέποντες ἴδωσιν ὅτι Θεοῦ κρίσει ἐλαύνονται.

19. Ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει, ἵνα ἀδίκου γῆς γεννήματα διαφθείρῃ.

20. Ἀνθ' ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου, καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ' οὐρανοῦ ἔπεμψας ἀκοπιάστως, πᾶσαν ἡδονὴν ἰσχύοντα καὶ πρὸς πᾶσαν ἁρμόνιον γεῦσιν.

21. Ἡ μὲν γὰρ ὑπόστασίς σου τὴν σὴν γλυκύτητα πρὸς τέκνα ἐνεφάνισε, τῇ δὲ τοῦ προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν πρὸς ὅ τις ἐβούλετο μετεκιρνᾶτο.

22. Χιὼν δὲ καὶ κρύσταλλος ὑπέμεινε πῦρ καὶ οὐκ ἐτήκετο, ἵνα γνῶσιν ὅτι τοὺς τῶν ἐχθρῶν καρποὺς κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ, καὶ ἐν τοῖς ὑετοῖς διαστράπτον.

23. Τοῦτο πάλιν δ' ἵνα τραφῶσι δίκαιοι, καὶ τῆς ἰδίας ἐπιλελῆσθαι δυνάμεως.

24. Ἡ γὰρ κτίσις σοι τῷ ποιήσαντι ὑπηρετοῦσα ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων, καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς σὲ πεποιθότων.

25. Διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη τῇ παντοτρόφῳ σου δωρεᾷ ὑπηρετεῖ, πρὸς τὴν τῶν δεομένων θέλησιν.

26. Ἵνα μάθωσιν οἱ υἱοί σου οὓς ἠγάπησας, Κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ.

27. Τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτήκετο.

28. Ὅπως γνωστὸν ᾖ ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι.

8. Et in hoc autem ostendisti inimicis nostris, quia tu es qui liberas ab omni malo.

9. Illos enim locustarum et muscarum occiderunt morsus, et non est inventa sanitas animæ illorum, quia digni erant ab hujusmodi exterminari.

10. Filios autem tuos nec venenatorum draconum vicerunt dentes, misericordia enim tua ex adverso adveniens sanabat illos.

11. In memoriam enim sermonum tuorum examinabantur, et velociter salvabantur, ne in altam incidentes oblivionem non possent uti tuo adjutorio.

12. Etenim neque herba neque malagma sanavit eos : sed tuus, Domine, sermo qui sanat omnia.

13. Tu enim vitæ et mortis habes potestatem, et deducis ad portas inferni et reducis.

14. Homo autem occidit quidem per malitiam suam, egressum autem spiritum non facit reverti, nec revocat animam quæ recepta est.

15. Sed tuam manum effugere impossibile est.

16. Negantes enim nosse te impii, per fortitudinem brachii tui flagellati sunt, novis pluviis et grandinibus et imbribus persecutionem passi inevitabilibus, et per ignem consumpti.

17. Quod enim maxime mirabile erat, in aqua quæ omnia exstinguit plus ignis valebat, vindex enim est orbis justorum.

18. Quodam enim tempore mansuetabatur quidem ignis, ne combureret quæ ad impios missa erant animalia : sed ut ipsi videntes scirent quoniam Dei judicio patiuntur persecutionem.

19. Quodam autem tempore et in aqua supra virtutem ignis ardebat, ut iniquæ terræ germina exterminaret.

20. Pro quibus angelorum esca nutrivisti populum tuum, et paratum panem de cœlo præstitisti illis sine labore, omne delectamentum in se habentem et accommodatum ad omnem gustum.

21. Substantia enim tua dulcedinem tuam in filios ostendebat, et deserviens uniuscujusque voluntati ad quod quisque volebat convertebatur.

22. Nix autem et glacies sustinebant vim ignis et non tabescebant, ut scirent quoniam fructus inimicorum exterminabat ignis ardens in grandine, et in pluviis coruscans.

23. Hic autem iterum ut nutrirentur justi, etiam suæ virtutis oblitus est.

24. Creatura enim tibi factori deserviens excandescit in tormentum adversus injustos, et lenior fit ad benefaciendum pro his qui in te confidunt.

25. Propter hoc et tunc in omnia transfigurata omnium nutrici gratiæ tuæ deserviebat, ad voluntatem eorum qui desiderabant.

26. Ut scirent filii tui quos dilexisti, Domine, quoniam non nativitates fructuum pascunt hominem, sed sermo tuus hos qui in te crediderunt conservat.

27. Quod enim ab igne non poterat exterminari statim ab exiguo solis radio calefactum tabescebat.

28. Ut notum esset quoniam oportet prævenire solem ad benedictionem tuam, et ad ortum lucis te adorare.

29. Ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται, καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

1. Μεγάλαι γάρ σου αἱ κρίσεις καὶ δυσδιήγητοι· διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν.

2. Ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι, δέσμιοι σκότους καὶ μακρᾶς πεδῆται νυκτὸς, κατακλεισθέντες ὀρόφοις, φυγάδες τῆς αἰωνίου προνοίας ἔκειντο.

3. Λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρτήμασιν, ἀφεγγεῖ λήθης παρακαλύμματι ἐσκορπίσθησαν, θαμβούμενοι δεινῶς καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι.

4. Οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλασσεν, ἦχοι δὲ καταράσσοντες αὐτοὺς περιεκόμπουν, καὶ φάσματα ἀμειδήτοις κατηφῆ προσώποις ἐνεφανίζετο.

5. Καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυε φωτίζειν, οὔτε ἄστρων ἔκλαμπροι φλόγες καταυγάζειν ὑπέμενον τὴν στυγνὴν ἐκείνην νύκτα.

6. Διεφαίνετο δ' αὐτοῖς μόνον αὐτομάτη πυρὰ φόβου πλήρης, ἐκδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως ἡγοῦντο χείρω τὰ βλεπόμενα.

7. Μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης, καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας ἔλεγχος ἐφύβριστος.

8. Οἱ γὰρ ὑπισχνούμενοι δείματα καὶ ταραχὰς ἀπελαύνειν ψυχῆς νοσούσης, οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.

9. Καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβημένοι, διώλλυντο ἔντρομοι, καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι.

10. Δειλὸν γὰρ ἰδίως πονηρία μαρτυρεῖ καταδικαζομένη, ἀεὶ δὲ προσείληφε τὰ χαλεπὰ, συνεχομένη τῇ συνειδήσει.

11. Οὐδὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων.

12. Ἔνδοθεν δὲ οὖσα ἥττων ἡ προσδοκία, πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βάσανον αἰτίας.

13. Οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν, τὸν αὐτὸν ὕπνον κοιμώμενοι,

14. τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων, τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ· αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν.

15. Εἶθ' οὕτως, ὃς δήποτ' οὖν ἦν ἐκεῖ καταπίπτων, ἐφρουρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς.

16. Εἴ τε γὰρ γεωργὸς ἦν τις ἢ ποιμὴν, ἢ τῶν κατ' ἐρημίαν ἐργάτης μόχθων, προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην.

17. Μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν· εἴ τε πνεῦμα συρίζον, ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελὴς, ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ,

18. ἢ κτύπος ἀπηνὴς καταῤῥιπτομένων πετρῶν, ἢ σκιρτώντων ζώων δρόμος ἀθεώρητος, ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνὴ, ἢ ἀντανακλωμένη ἐκ κοιλοτάτων ὀρέων ἠχὼ, παρέλυσεν αὐτοὺς ἐκφοβοῦντα.

19. Ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτὶ, καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις·

29. Ingrati enim spes tamquam hybernalis glacies tabescet, et disperiet tamquam aqua supervacua.

CAPUT XVII.

1. Magna enim sunt judicia tua et inenarrabilia : propter hoc indisciplinatæ animæ erraverunt.

2. Dum enim persuasum habent iniqui dominari nationi sanctæ, vinculis tenebrarum et longæ noctis compediti, inclusi sub tectis, fugitivi perpetuæ providentiæ jacuerunt.

3. Dum enim putant se latere in obscuris peccatis, tenebroso oblivionis velamento dispersi sunt, paventes horrende et spectris conturbati.

4. Neque enim quæ continebat illos spelunca sine timore custodiebat, sed sonitus cum impetu descendentes ipsis obstrepebant, et visiones tristes mœstis vultibus apparebant.

5. Et ignis quidem nulla vis poterat lumen præbere, nec siderum limpidæ flammæ illuminare poterant illam noctem horrendam.

6. Apparebat autem illis tantum subitaneus ignis timore plenus, et timore percussi illius quæ non videbatur speciei æstimabant deteriora esse quæ videbantur.

7. Magicæ autem artis illusiones jacebant, et jactantiæ de sapientia erat correptio cum contumelia.

8. Illi enim qui promittebant timores et turbationes expellere ab anima languente, hi ridiculo timore languebant.

9. Nam etsi nihil illos turbulentum terrefaciebat, transitu animalium et serpentum sibilatione commoti, tremebundi peribant, etiam aerem quem nulla rationequis effugere posset negantes videre.

10. Cum sit enim proprie timida nequitia dat testimonium condemnata, semper autem præsumit sæva, perturbata per conscientiam.

11. Nihil enim est timor, nisi proditio auxiliorum quæ a cogitatione.

12. Et dum ab intra minor est exspectatio, majorem computat inscientiam præbentis tormentum causæ.

13. Illi autem qui impotentem vere noctem et ex impotentis inferni speluncis supervenientem, eumdem somnum dormiebant,

14. partim monstris phantasmatum exagitabantur, partim vero animæ deficiebant traditione : subitaneus enim illis et insperatus timor supervenerat.

15. Deinde sic, quicumque illic ceciderat, custodiebatur in carcerem sine ferro conclusus.

16. Sive enim rusticus quis erat aut pastor, vel operarius laborum qui in deserto, præoccupatus ineffugabilem sustinebat necessitatem.

17. Una enim catena tenebrarum omnes erant colligati : sive spiritus sibilans, aut inter spissos ramos avium sonus suavis, aut rythmus aquæ decurrentis vi,

18. aut sonus validus præcipitantium petrarum, aut ludentium animalium cursus invisibilis, aut mugientium sævarum bestiarum vox, aut repercussa ex cavis montibus echo, deficientes faciebant illos præ timore.

19. Omnis enim orbis terrarum limpido illuminabatur lumine, et non impeditis continebatur operibus :

20. μόνοις δὲ ἐκείνοις ἐπετέτατο βαρεῖα νὺξ, εἰκὼν τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους· ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς, ὧν φωνὴν μὲν ἀκούοντες, μορφὴν δὲ οὐχ ὁρῶντες, ὅτι μὲν οὖν κἀκεῖνοι ἐπεπόνθεισαν, ἐμακάριζον,

2. ὅτι δὲ οὐ βλάπτουσι προηδικημένοι, εὐχαριστοῦσιν, καὶ τοῦ διενεχθῆναι χάριν ἐδέοντο.

3. Ἀνθ' ὧν πυριφλεγῆ στύλον, ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας, ἥλιον δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες.

4. Ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς, καὶ φυλακισθῆναι ἐν σκότει, οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου, δι' ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι.

5. Βουλευσαμένους δ' αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια, καὶ ἑνὸς ἐκτεθέντος τέκνου, καὶ σωθέντος, εἰς ἔλεγχον τὸ αὐτῶν ἀφεῖλω πλῆθος τέκνων, καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ.

6. Ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν, ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις, ἐπευθυμήσωσι.

7. Προσεδέχθη δὲ ὑπὸ λαοῦ σου σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπώλεια.

8. Ὧ γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους, τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας.

9. Κρυφῇ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν, καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ διέθεντο, τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν καὶ κινδύνων μεταλήψεσθαι τοὺς ἁγίους, πατέρων ἤδη προαναμελπόντων αἴνους.

10. Ἀντήχει δ' ἀσύμφωνος ἐχθρῶν βοὴ, καὶ οἰκτρὰ διεφέρετο θρηνουμένων παίδων.

11. Ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κολασθεὶς, καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων.

12. Ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόματι θανάτου νεκροὺς εἶχον ἀναριθμήτους, οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοὶ, ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διεφθάρη.

13. Πάντα γὰρ ἀπιστοῦντες διὰ τὰς φαρμακίας, ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ, ὡμολόγησαν Θεοῦ υἱὸν λαὸν εἶναι.

14. Ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης,

15. ὁ παντοδύναμός σου λόγος ἀπ' οὐρανῶν ἐκ θρόνων βασιλειῶν ἀπότομος πολεμιστὴς εἰς μέσον τῆς ὀλεθρίας ἥλατο γῆς,

16. ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων, καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου· καὶ οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δ' ἐπὶ γῆς.

17. Τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξετάραξαν αὐτοὺς, φόβοι δὲ ἐπέστησαν ἀδόκητοι·

18. καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος, δι' ἣν ἔθνησκεν αἰτίαν ἐνεφάνιζεν.

19. Οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς τοῦτο προεμήνυσαν, ἵνα μὴ ἀγνοοῦντες δι' ὃ κακῶς πάσχουσιν ἀπόλωνται.

20. Ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθους· ἀλλ' οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή.

20. solis autem illis superposita erat gravis nox, imago tenebrarum quæ superventuræ illis erant : ipsi autem sibi erant graviores tenebris.

CAPUT XVIII.

1. Sanctis autem tuis maxima erat lux, quorum quidem vocem audientes, sed figuram non videntes, quoniam quidem et illi passi erant, magnificabant,

2. et quia ante læsi non nocent, gratias agebant, et ut esset differentia donum petebant.

3. Pro quibus ignis ardentem columnam, ducem quidem ignotæ viæ, solem autem sine læsura boni hospitii præstitisti.

4. Digni siquidem illi carere lumine, et pati carcerem tenebrarum, qui inclusos custodiebant filios tuos, per quos incipiebat incorruptum legis lumen sæculo dari.

5. Cum autem cogitassent justorum occidere infantes, et uno exposito filio, et liberato, in traductionem illorum multitudinem filiorum abstulisti, et pariter perdidisti in aqua valida.

6. Illa nox ante cognita est a patribus nostris, ut secure scientes quibus juramentis crediderunt, animæquiores essent.

7. Suscepta est autem a populo tuo sanitas quidem justorum, inimicorum autem exterminatio.

8. Quo enim læsisti adversarios, hoc nos provocans magnificasti.

9. Absconse enim sacrificabant justi pueri bonorum, et divinitatis legem in concordia disponebant, tandem similiter et bona et pericula recepturos justos, patrias jam decantantes laudes.

10. Resonabat autem inconveniens inimicorum vox, et flebilis audiebatur ploratorum puerorum.

11. Simili autem pœna servus cum domino afflictus est, et popularis homo regi similia passus.

12. Similiter ergo omnes uno nomine mortis mortuos habebant innumerabiles, nec enim ad sepeliendum vivi sufficiebant, quoniam uno momento quæ erat præclarior natio illorum exterminabatur.

13. De omnibus enim non credentes propter veneficia, tunc cum fuit exterminium primogenitorum, confessi sunt Dei filium populum esse.

14. Cum enim quietum silentium contineret omnia et nox in suo cursu medium iter haberet,

15. omnipotens sermo tuus de cœlo a regalibus sedibus durus bellator in mediam exterminii terram prosiliit,

16. gladius acutus insimulatum tuum imperium portans, et stans replevit omnia morte : et cœlum quidem tangebat, descenderat autem in terram.

17. Tunc continuo visus quidem somniorum graviter turbaverunt illos, et timores supervenerunt insperati :

18. et alius alibi projectus semivivus, propter quam causam moriebatur demonstrabat.

19. Visiones enim quæ illos turbaverunt hoc præmonebant, ne inscii quare mala patiebantur perirent.

20. Tetigit autem et justos tentatio mortis, et commotio in eremo facta est multitudinis : sed non diu permansit ira.

21. Σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησε, τὸ τῆς ἰδίας λειτουργίας ὅπλον, προςευχὴν καὶ θυμιάματος ἐξιλασμὸν κομίσας, ἀντέστη τῷ θυμῷ, καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ, δεικνὺς ὅτι σός ἐστι θεράπων.

22. Ἐνίκησε δὲ τὸν ὄχλον οὐκ ἰσχύϊ τοῦ σώματος, οὐχ ὅπλων ἐνεργείᾳ, ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν, ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας.

23. Σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν, μεταξὺ στὰς, ἀνέκοψε τὴν ὀργὴν, καὶ διέσχισε τὴν πρὸς τοὺς ζῶντας ὁδόν.

24. Ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κόσμος, καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθου γλυφῆς, καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς αὐτοῦ.

25. Τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθησαν· ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

1. Τοῖς δὲ ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη. Προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα,

2. ὅτι αὐτοὶ ἐπιστρέψαντες τοῦ ἀπεῖναι, καὶ μετὰ σπουδῆς προπέμψαντες αὐτοὺς, διώξουσι μεταμεληθέντες.

3. Ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη, καὶ προσοδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας, καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον.

4. Εἷλκε γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη, καὶ τῶν συμβεβηκότων ἀμνηστίαν ἐνέβαλεν, ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προαναπληρώσωσι κόλασιν,

5. καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν περάσῃ, ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον.

6. Ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διετυποῦτο, ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς, ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς.

7. Ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη, ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη, ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος, καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου,

8. δι' οὗ πανεθνὶ διῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ, θεωρήσαντες θαυμαστὰ τέρατα.

9. Ὡς γὰρ ἵπποι ἐνεμήθησαν, καὶ ὡς ἀμνοὶ διεσκίρτησαν αἰνοῦντές σε, Κύριε, τὸν ῥυόμενον αὐτούς.

10. Ἐμέμνηντο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, πῶς ἀντὶ μὲν γενέσεως ζώων ἐξήγαγεν ἡ γῆ σκνῖπα, ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.

11. Ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ νέαν γένεσιν ὀρνέων, ὅτι ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς.

12. Εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης ὀρτυγομήτρα, καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, οὐκ ἄνευ τῶν γεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν. Δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις.

13. Καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν. Οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας, οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.

14. Καὶ οὐ μόνον, ἀλλ' ἥ τις ἐπισκοπὴ ἔσται αὐτῶν, ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους·

21. Properans enim homo sine querela propugnavit, proferens servitutis suæ scutum, orationem et incensi propitiationem, restitit iræ, et finem imposuit necessitati, ostendens quoniam tuus est famulus.

22. Vicit autem turbam non virtute corporis, nec armatura potentiæ, sed verbo illum qui vexabat subjecit, juramenta parentum et testamentum commemorans.

23. Cum enim jam acervatim cecidissent super alterutrum mortui, interstitit, et amputavit impetum, et divisit illam quæ ad vivos ducebat viam.

24. In veste enim poderis totus erat orbis terrarum, et parentum magnalia in quatuor ordinibus lapidum sculpta erant, et magnificentia tua in diademate capitis illius.

25. His cessit qui exterminabat, et hæc extimuerunt: erat enim sola tentatio iræ sufficiens.

CAPUT XIX.

1. Impiis autem usque in novissimum sine misericordia ira supervenit. Præsciebat enim et futura illorum,

2. quoniam cum ipsi permisissent ut se educerent, et cum sollicitudine præmisissent illos, persequentur pœnitentia ducti.

3. Adhuc enim inter manus habentes luctum, et deplorantes ad monumenta mortuorum, aliam sibi assumpserunt cogitationem inscientiæ, et quos rogantes projecerant, hos tamquam fugitivos persequebantur.

4. Ducebat enim illos ad hunc finem digna necessitas, et eorum quæ acciderant commemorationem amittere faciebat, ut quæ deerant tormentis repleret punitio,

5. et populus quidem tuus mirabiliter transiret, illi autem novam mortem invenirent.

6. Omnis enim creatura in suo genere rursus desuper refigurabatur, deserviens tuis præceptis, ut pueri tui custodirentur illæsi.

7. Nubes castra obumbrabat, et ex aqua quæ ante erat terræ aridæ emersio apparuit, in mari rubro via sine impedimento, et campus germinans de profundo nimio,

8. per quem omnis natio transivit quæ tegebatur tua manu, videntes mirabilia monstra.

9. Tamquam enim equi depaverunt escam, et tamquam agni exsultaverunt magnificantes te, Domine, qui liberasti eos.

10. Memores enim adhuc erant illorum quæ in incolatu suo facta fuerant, quemadmodum pro natione quidem animalium produxit terra muscas, pro piscibus autem eructavit fluvius multitudinem ranarum.

11. Novissime autem viderunt et novam creaturam avium, cum adducti concupiscentia postulaverunt escas epulationis.

12. In allocutionem enim desiderii ascendit illis de mari ortygometra, et vexationes peccatoribus supervenerunt, non sine illis quæ facta erant argumentis per vim fulminum. Juste enim patiebantur secundum suas nequitias.

13. Etenim detestabiliorem inhospitalitatem instituerunt. Si quidem illi ignotos non recipiebant advenas, hi vero beneficos hospites in servitutem redigebant.

14. Et non solum hæc, sed et alius quidam erit respectus ipsorum, quoniam illi invite recipiebant extraneos:

15. οἱ δὲ μετὰ ἑορτασμάτων εἰςδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων, δεινοῖς ἐκάκωσαν πόνοις.

16. Ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, ὥςπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις, ὅτε ἀχανεῖ περιβληθέντες σκότει, ἕκαστος τῶν αὐτοῦ θυρῶν τὴν δίοδον ἐζήτει.

17. Δι' ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, ὥςπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ ὄνομα διαλλάσσουσι, πάντοτε μένοντα ἤχῳ· ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς.

18. Χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς.

19. Πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως, καὶ ὕδωρ τῆς σβεστικῆς δυνάμεως ἐπελανθάνετο.

20. Φλόγες ἀνάπαλιν εὐφθάρτων ζώων οὐκ ἐμάραναν σάρκας ἐμπεριπατούντων, οὐδὲ τηκτὸν εὔτηκτον κρυσταλλοειδὲς γένος ἀμβροσίας τροφῆς. Κατὰ πάντα γὰρ, Κύριε, ἐμεγάλυνας τὸν λαόν σου, καὶ ἐδόξασας, καὶ οὐχ ὑπερεῖδες, ἐν παντὶ καιρῷ καὶ τόπῳ παριστάμενος.

15. hi vero cum recepissent cum solenni lætitia eos qui jam earumdem legum facti erant participes, sævissimis afflixerunt doloribus.

16. Percussi sunt autem cæcitate, sicut illi in foribus justi, cum subitaneis cooperti tenebris, unusquisque transitum ostiorum suorum quærebat.

17. In se enim elementa convertebantur, sicut in psalterio soni modulationis nomen mutant, semper custodientia sonum : quod æstimari potest ex ipso rerum factarum visu certo.

18. Terrestria enim in aquatica convertebantur, et quæ erant natantia in terra transibant.

19. Ignis in aqua valebat supra suam virtutem, et aqua exstinguentis naturæ obliviscebatur.

20. Flammæ e contrario facile corruptibilium animalium non vexaverunt carnes coambulantium, nec dissolvebant illam quæ facile dissolvebatur sicut glaciem bonam escam. In omnibus enim magnificasti populum tuum, Domine, et honorasti, et non despexisti, in omni tempore et loco assistens.

ΠΡΟΛΟΓΟΣ.

Πολλῶν καὶ μεγάλων ἡμῖν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς ἠκολουθηκότων δεδομένων, ὑπὲρ ὧν δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰσραὴλ παιδείας καὶ σοφίας, καὶ ὡς οὐ μόνον αὐτοὺς τοὺς ἀναγινώσκοντας δέον ἐστὶν ἐπιστήμονας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι τοὺς φιλομαθοῦντας χρησίμους εἶναι καὶ λέγοντας καὶ γράφοντας· ὁ πάππος μου Ἰησοῦς, ἐπὶ πλεῖον ἑαυτὸν δοὺς εἴς τε τὴν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνάγνωσιν, καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προήχθη καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν καὶ σοφίαν ἀνηκόντων, ὅπως οἱ φιλομαθεῖς, καὶ τούτων ἔνοχοι γενόμενοι, πολλῷ μᾶλλον ἐπιπροσθῶσι διὰ τῆς ἐννόμου βιώσεως. Παρακέκλησθε οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν· οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος, καὶ αἱ προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. Ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως παραγενηθεὶς εἰς Αἴγυπτον, καὶ συγχρονίσας, εὗρον οὐ μικρᾶς παιδείας ἀφόμοιον. Ἀναγκαιότατον ἐθέμην αὐτὸς προςενέγκασθαί τινα σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βίβλον. Πολλὴν γὰρ ἀγρυπνίαν καὶ ἐπιστήμην προςενεγκάμενος ἐν τῷ διαστήματι τοῦ χρόνου πρὸς τὸ ἐπὶ πέρας ἄγοντα τὸ βιβλίον ἐκδόσθαι, καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένοις τὰ ἤθη ἐν νόμῳ βιοτεύειν.

PROLOGUS.

Cum multa nobis et magna per legem et prophetas et alios qui illos secuti sunt data sint, pro quibus oportet laudare Israel doctrinæ et sapientiæ causa, cumque eos qui legunt non solum ipsos oporteat fieri scientes, sed etiam extraneis studio disciplinæ ductos posse et dicendo et scribendo prodesse : avus meus Jesus, postquam amplius se dedit ad diligentiam lectionis legis et prophetarum et aliorum librorum qui nobis a parentibus nostris traditi sunt, atque in his eum qui satis esse posset habitum sibi comparasset, voluit et ipse scribere aliquid eorum quæ ad doctrinam et sapientiam pertinent, ut desiderantes discere, etiam horum participes facti, multo magis proficiant per vitam legitimam. Hortor itaque venire vos cum benevolentia et attentiori studio lectionem facere, et veniam habere in illis in quibus videbimur in nonnullis ad interpretandi rationem elaboratis dictionibus deficere : non enim eamdem vim habent hæc in seipsis hebraice dicta, atque ad alteram translata linguam. Non solum autem hæc, sed et ipsa lex, et prophetiæ, et cæteri libri non parvam habent differentiam quando inter se dicuntur. Nam in octavo et trigesimo anno temporibus Ptolemæi Evergetis regis postquam perveni in Ægyptum, et cum multum temporis ibi fuissem, inveni exemplar non parvæ doctrinæ. Maxime necessarium putavi ipse aliquam adhibere diligentiam et laborem interpretandi librum istum. Multam enim vigiliam et doctrinam attuli in spatio temporis ad hoc ut ad finem ducens istum librum ederem, etiam iis qui in parœcia volunt discere, præparati moribus ad vivendum in lege.

ΣΟΦΙΑ

. ΣΕΙΡΑΧ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Πᾶσα σοφία παρὰ Κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα.

2. Ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει; Ὕψος οὐρανοῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον

3. καὶ σοφίαν τίς ἐξιχνιάσει;

4. Προτέρα πάντων ἔκτισται σοφία, καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος. (*)

6. Ῥίζα σοφίας τίνι ἀπεκαλύφθη; καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω; (**)

8. Εἷς ἐστι σοφὸς φοβερὸς σφόδρα καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ.

9. Κύριος αὐτὸς ἔκτισεν αὐτὴν, καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτὴν,

10. καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐχορήγησεν αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν.

11. Φόβος Κυρίου δόξα καὶ καύχημα, καὶ εὐφροσύνη καὶ στέφανος ἀγαλλιάματος.

12. Φόβος Κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν.

13. Τῷ φοβουμένῳ τὸν Κύριον εὖ ἔσται ἐπ' ἐσχάτων, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν. (***)

16. Ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Θεὸν, καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς. Καὶ μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσε, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐμπιστευθήσεται.

20. Πλησμονὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς.

21. Πάντα τὸν οἶκον αὐτῆς ἐμπλήσει ἐπιθυμημάτων, καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γεννημάτων αὐτῆς.

22. Στέφανος σοφίας φόβος Κυρίου, ἀναθάλλων εἰρήνην καὶ ὑγίειαν ἰάσεως.

23. Καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτὴν, (****)

24. ἐπιστήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησε, καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσεν.

25. Ῥίζα σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ οἱ κλάδοι αὐτῆς μακροημέρευσις. (*****)

(*) 5. Πηγὴ σοφίας λόγος Θεοῦ ἐν ὑψίστοις, καὶ αἱ πορεῖαι αὐτῆς ἐντολαὶ αἰώνιοι. (*Compl.*)

(**) 7. Ἐπιστήμη σοφίας τίνι ἐφανερώθη; καὶ τὴν πολυπειρίαν αὐτῆς τίς συνῆκε; (*Compl.*)

(***) 14. Ἀγάπησις Κυρίου ἔνδοξος σοφία·

15. οἷς δ' ὀπτάνηται, μερίζει αὐτὴν εἰς ὅρασιν αὐτοῦ. (*Schol. Rom.*)

(****) 23. Ἀμφότερα δέ ἐστιν δῶρα Θεοῦ.

(*****) 27. Φόβος Κυρίου ἀπωθεῖται ἁμαρτήματα. Ἄφοβος δὲ οὐ δυνήσεται δικαιωθῆναι. (*Clem. Alex.*)

SAPIENTIA

SIRACH.

CAPUT I.

1. Omnis sapientia a Domino est, et cum illo est in ævum.

2. Arenam maris et pluviæ guttas et dies sæculi quis dinumerabit? Altitudinem cœli et latitudinem terræ et abyssum

3. et sapientiam quis investigabit?

4. Prior omnium creata est sapientia, et intellectus prudentiæ ab ævo.

6. Radix sapientiæ cui revelata est? et astutias illius quis agnovit?

8. Unus est sapiens metuendus nimis sedens super thronum suum.

9. Dominus ipse creavit eam, et vidit et dinumeravit eam,

10. et effudit illam super omnia opera sua. Cum omni carne secundum datum suum, et præbuit illam diligentibus se.

11. Timor Domini gloria et gloriatio, et lætitia et corona exsultationis.

12. Timor Domini delectabit cor, et dabit lætitiam et gaudium et longitudinem dierum.

13. Timenti Dominum bene erit in extremis, et in die defunctionis suæ inveniet gratiam.

16. Initium sapientiæ timere Deum, et cum fidelibus in vulva concreatum est eis. Et cum hominibus fundamentum sæculi nidificavit, et cum semine eorum concredetur.

20. Plenitudo sapientiæ timere Dominum, et inebriat eos de fructibus ejus.

21. Omnem domum illius implebit desideriis, et receptacula de generationibus ejus.

22. Corona sapientiæ timor Domini, germinans pacem et sanitatem incolumitatis.

23. Et vidit et dinumeravit eam,

24. scientiam et cognitionem intellectus effudit, et gloriam tenentium ipsam exaltavit.

25. Radix sapientiæ est timere Dominum, et rami ejus longævitas.

---

5. Fons sapientiæ verbum Dei in excelsis, et ingressus illius mandata æterna.

7. Disciplina sapientiæ cui manifestata est? et multiplicationem ingressus illius quis intellexit?

14. Dilectio Dei honorabilis sapientia:

15. quibus autem apparuerit, distribuit illam in visionem illius.

23. Utraque autem sunt dona Dei.

27. Timor Domini expellit peccata. Qui autem sine timore est, non poterit justificari.

28. Οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι, ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ.
29. Ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνη.
30. Ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ, καὶ χείλη πιστῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.
31. Ἐν θησαυροῖς σοφίας παραβολὴ ἐπιστήμης,
32. βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια.
33. Ἐπεθύμησας σοφίαν; Διατήρησον ἐντολάς, καὶ Κύριος χορηγήσει σοι αὐτήν.
34. Σοφία γὰρ καὶ παιδεία φόβος Κυρίου, καὶ ἡ εὐδοκία αὐτοῦ
35. πίστις καὶ πρᾳότης.
36. Μὴ ἀπειθήσῃς φόβῳ Κυρίου, καὶ μὴ προςέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ.
37. Μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων, καὶ ἐν τοῖς χείλεσί σου πρόςεχε.
38. Μὴ ἐξύψου σεαυτὸν, ἵνα μὴ πέσῃς καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν.
39. Καὶ ἀποκαλύψει Κύριος τὰ κρυπτά σου, καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε.
40. Ὅτι οὐ προςῆλθες φόβῳ Κυρίου, καὶ ἡ καρδία σου πλήρης δόλου.

ΚΕΦΑΛΑΙΟΝ Β′.

1. Τέκνον, εἰ προςέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν.
2. Εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς.
3. Κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου.
4. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον.
5. Ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.
6. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου, εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν.
7. Οἱ φοβούμενοι τὸν Κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτοῦ, καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε.
8. Οἱ φοβούμενοι Κύριον, πιστεύσατε αὐτῷ, καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν.
9. Οἱ φοβούμενοι Κύριον, ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους.
11. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε, τίς ἐνεπίστευσεν Κυρίῳ καὶ κατῃσχύνθη;
12. ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτόν;
13. Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, καὶ ἀφίησιν ἁμαρτίας καὶ σώζει ἐν καιρῷ θλίψεως.
14. Οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶν παρειμέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους.
15. Οὐαὶ καρδίᾳ παρειμένῃ, ὅτι οὐ πιστεύει, διὰ τοῦτο οὐ σκεπασθήσεται.
16. Οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν·
17. καὶ τί ποιήσετε ὅταν ἐπισκέπτηται ὁ Κύριος;
18. Οἱ φοβούμενοι Κύριον οὐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ.

28. Non poterit ira injusta justificari, impetus enim iræ ejus subversio est ejus.
29. Usque in tempus sustinebit patiens, et postea reddet ei jucunditas.
30. Usque in tempus abscondet verba sua, et labia fidelium enarrabunt sensum ejus.
31. In thesauris sapientiæ parabola scientiæ,
32. exsecratio autem peccatori cultura Dei.
33. Concupisti sapientiam? Serva mandata, et Dominus præbebit tibi eam.
34. Sapientia enim et disciplina timor Domini, et quod beneplacitum est illi
35. fides et mansuetudo.
36. Non sis incredibilis timori Domini, et ne accesseris ad eum duplici corde.
37. Ne fueris hypocrita in conspectu hominum, et in labia tua intende.
38. Non exaltes te ipsum, ne cadas et adducas animæ tuæ inhonorationem.
39. Et revelabit Dominus absconsa tua, et in medio synagogæ elidet te.
40. Quoniam non accessisti ad timorem Domini, et cor tuum plenum est dolo.

CAPUT. II.

1. Fili, accedens ad servitutem Domini Dei, præpara animam tuam ad tentationem.
2. Dirige cor tuum et sustine, et ne festines in tempore obductionis.
3. Conjungere ei et ne recedas, ut crescas in novissimis tuis.
4. Omne quod tibi applicitum fuerit accipe, et in humilitate tua patientiam habe.
5. Quoniam in igne probatur aurum, homines vero receptibiles in camino humiliationis.
6. Crede ei et recuperabit te, dirige vias tuas et spera in illum.
7. Metuentes Dominum, sustinete misericordiam ejus, et non deflectatis, ne cadatis.
8. Qui timetis Dominum, credite illi, et non cadet merces vestra.
9. Qui timetis Dominum, sperate in bona et in lætitiam sæculi et misericordiæ.
11. Respicite in antiquas nationes et videte, quis confidit in Domino et confusus est?
12. aut quis permansit in timore ejus et derelictus est? aut quis invocavit illum, et despexit eum?
13. Quoniam pius et misericors est Dominus, et remittit peccata et salvat in tempore tribulationis.
14. Væ cordibus timidis et manibus dissolutis, et peccatori ingredienti duabus viis!
15. Væ dissoluto cordi, quia non credit, ideo non protegetur.
16. Væ vobis qui perdidistis sustinentiam:
17. et quid facietis cum inspicere cœperit Dominus?
18. Qui timent Dominum non erunt incredibiles verbis illius, et qui diligunt illum conservabunt vias ejus.

19. Οἱ φοβούμενοι Κύριον ζητήσουσιν εὐδοκίαν αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου.
20. Οἱ φοβούμενοι Κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν, καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν.
22. Ἐμπεσούμεθα εἰς χεῖρας Κυρίου, καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων·
23. ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

2. Ἐμοῦ τοῦ πατρὸς ἀκούσατε, τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε.
3. Ὁ γὰρ Κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις, καὶ κρίσιν μητρὸς ἐστερέωσεν ἐφ' υἱοῖς.
4. Ὁ τιμῶν πατέρα ἐξιλάσεται ἁμαρτίας,
5. καὶ ὡς ὁ ἀποθησαυρίζων, ὁ δοξάζων μητέρα αὐτοῦ.
6. Ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται.
7. Ὁ δοξάζων πατέρα μακροημερεύσει,
(*) 8. καὶ ὁ εἰσακούων Κυρίου ἀναπαύσει μητέρα αὐτοῦ, καὶ ὡς δεσπόταις δουλεύσει ἐν τοῖς γεννήσασιν αὐτόν.
9. Ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου,
10. ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτοῦ.
11. Εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.
12. Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου, οὐ γάρ ἐστί σοι δόξα πατρὸς ἀτιμία.
13. Ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ, καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
14. Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ.
15. Κἂν ἀπολείπῃ σύνεσιν συγγνώμην ἔχε, καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου. Ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται,
16. καὶ ἀντὶ ἁμαρτιῶν
17. προσανοικοδομηθήσεταί σοι. Ἐν ἡμέρᾳ θλίψεώς σου ἀναμνησθήσεταί σου· ὡς εὐδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.
18. Ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα, καὶ κεκατηραμένος ὑπὸ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.
19. Τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε, καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ.
20. Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπεινοῦ σεαυτὸν, καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν.
21. Ὅτι μεγάλη ἡ δυναστεία τοῦ Κυρίου, καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.
22. Χαλεπώτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε.
23. Ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.
24. Ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου·
25. πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι.
26. Πολλοὺς γὰρ ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν, καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διανοίας αὐτῶν.

(*) 8. Ὁ φοβούμενος τὸν Κύριον τιμήσει πατέρα. (*Compl.*)

19. Qui timent Dominum inquirent quæ beneplacita sunt ei, et qui diligunt illum replebuntur lege.
20. Qui timent Dominum præparabunt corda sua, et in conspectu illius humiliabunt animas suas.
22. Incidamus in manus Domini, et non in manus hominum :
23. secundum enim magnitudinem ipsius, et sic misericordia illius.

CAPUT III.

2. Me patrem audite, filii, et sic facite, ut salvi sitis.
3. Dominus enim honoravit patrem in filiis, et judicium matris firmavit in filios.
4. Qui honorat patrem exorabit pro peccatis,
5. et sicut qui thesaurizat, ita qui honorificat matrem suam.
6. Qui honorat patrem jucundabitur a filiis, et in die orationis suæ exaudietur.
7. Qui honorificat patrem vita vivet longiore,
8. et qui obedit Domino refrigerabit matrem suam, et quasi dominis serviet his qui se genuerunt.
9. In opere et sermone honora patrem tuum,
10. ut superveniat tibi benedictio ab eo.
11. Benedictio enim patris firmat domos filiorum, maledictio autem matris eradicat fundamenta.
12. Ne glorieris in contumelia patris tui, non est enim tibi gloria patris confusio.
13. Gloria enim hominis ex honore patris sui, et dedecus filiis mater sine honore.
14. Fili, suscipe senectam patris tui, et non contristes eum in vita illius.
15. Et si defecerit sensu veniam da, et non spernas eum in qualibet virtute tua. Eleemosyna enim patris non erit in oblivione,
16. et pro peccatis
17. in justitia ædificabitur tibi. In die tribulationis tuæ commemorabitur tui : sicut in sereno glacies, sic solventur tua peccata.
18. Tamquam blasphemus est qui dereliquit patrem, et est maledictus a Domino qui exasperat matrem suam
19. Fili, in mansuetudine opera tua perfice, et ab homine acceptabili diligeris.
20. Quanto major es, tanto magis te humilia, et coram Deo invenies gratiam.
21. Quoniam magna est potentia Domini, et ab humilibus honorificatur.
22. Difficiliora te ne quæsieris, et fortiora te ne scrutatus fueris.
23. Quæ præcepta sunt tibi, hæc cogita : non est enim tibi opus absconditis.
24. In supervacuis operum tuorum ne fueris curiosus :
25. plurima enim super sensum hominis ostensa sunt tibi.
26. Multos enim implanavit suspicio ipsorum : et cogitatio mala labefecit sensus illorum.

---

8. Qui timet Dominum, honorabit patrem....

27. Καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἐμπεσεῖται. Καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτων.
29. Καρδία σκληρὰ βαρυνθήσεται πόνοις, καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις.
30. Ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις, φυτὸν γὰρ πονηρίας ἐῤῥίζωκεν ἐν αὐτῷ.
31. Καρδία συνετοῦ διανοηθήσεται παραβολὴν, καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ.
33. Πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας.
34. Ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως εὑρήσει στήριγμα.

27. Et qui amat periculum in illud incidet. Cor durum habebit male in novissimis.
29. Cor durum gravabitur laboribus, et peccator adjiciet peccatum super peccata.
30. Obductioni superbi non est sanatio, frutex enim peccati radicavit in illo.
31. Cor sapientis cogitabit parabolam, et auris auditoris desiderium sapientis.
33. Ignem ardentem exstinguet aqua, et eleemosyna expiabit peccata.
34. Qui reddit gratias commemoratur in posterum, et in tempore casus inveniet firmamentum.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς, καὶ μὴ παρελκύσῃς ὀφθαλμοὺς ἐπιδεεῖς.
2. Ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ.
3. Καρδίαν παρωργισμένην μὴ προσταράξῃς, καὶ μὴ παρελκύσῃς δόσιν προσδεομένου.
4. Ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ.
5. Ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμὸν, καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε·
6. καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως αὐτοῦ ἐπακούσεται ὁ ποιήσας αὐτόν.
7. Προσφιλῆ συναγωγῇ σεαυτὸν ποίει, καὶ μεγιστᾶνι ταπείνου τὴν κεφαλήν σου.
8. Κλῖνον πτωχῷ τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι.
9. Ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε.
10. Γίνου ὀρφανοῖς ὡς πατὴρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν·
11. καὶ ἔσῃ ὡς υἱὸς Ὑψίστου, καὶ ἀγαπήσει σε μᾶλλον ἢ μήτηρ σου.
12. Ἡ σοφία υἱοὺς ἑαυτῇ ἀνύψωσε, καὶ ἐπιλαμβάνεται τῶν ζητούντων αὐτήν.
13. Ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωὴν, καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης.
14. Ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν, καὶ οὗ εἰσπορεύεται, εὐλογήσει Κύριος.
15. Οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ, καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ Κύριος.
16. Ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη, καὶ ὁ προσελθὼν αὐτῇ κατασκηνώσει πεποιθώς.
17. Ἐὰν ἐμπιστεύσῃς κατακληρονομήσεις αὐτὴν, καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ,
18. ὅτι διεστραμμένως πορεύεται μετ' αὐτοῦ ἐν πρώτοις·
19. φόβον δὲ καὶ δειλίαν ἐπάξει ἐπ' αὐτὸν, καὶ βασανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς, ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ, καὶ πειράσῃ αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς.
20. Καὶ πάλιν ἐπανήξει κατ' εὐθεῖαν πρὸς αὐτὸν, καὶ εὐφρανεῖ αὐτὸν,
21. καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς.
22. Ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτὸν, καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ.

CAPUT IV.

1. Fili, vitam pauperis ne defraudes, et ne protrahas oculos egenos.
2. Animam esurientem ne contristes, et non exasperes virum in inopia sua.
3. Cor irritatum ne conturbes, et ne protrahas datum angustianti.
4. Rogationem tribulati ne abjicias, et ne avertas faciem tuam ab egeno.
5. Ab inope non avertas oculum, et ne relinquas locum homini ut maledicat te :
6. maledicentis enim tibi in amaritudine animæ suæ, deprecationem ejus exaudiet is qui fecit illum.
7. Congregationi amabilem te facito, et magnati humilia caput tuum.
8. Inclina pauperi aurem tuam, et responde illi pacifica in mansuetudine.
9. Libera eum qui injuriam patitur de manu injuriam inferentis, et non acedieris in judicando.
10. Esto pupillis ut pater, et pro viro matri illorum :
11. et eris velut filius Altissimi, et diliget te magis mater tua.
12. Sapientia filios sibi exaltavit, et suscipit inquirentes se.
13. Qui diligit illam diligit vitam, et qui mane vigilaverint ad illam implebuntur lætitia.
14. Qui tenuerit illam hæreditabit gloriam, et quocumque introit, benedicet Dominus.
15. Qui servient ei servient sancto, et eos qui diligunt eam diligit Dominus.
16. Qui audit illam judicabit gentes , et qui ad illam accesserit habitabit confidens.
17. Si credideris hæreditabis illam, et in possessione erunt creaturæ ipsius,
18. quoniam oblique ambulat cum eo in primis :
19. timorem autem et metum adducet super illum, et cruciabit illum in disciplina sua, donec credat animæ illius, et tentet eum in justificationibus suis.
20. Et rursus redibit recta ad illum, et lætificabit illum,
21. et denudabit absconsa sua.
22. Si autem aberraverit, derelinquet eum, et tradet eum in manus ruinæ suæ.

23. Συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ πονηροῦ,
24. καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς.
25. Ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.
26. Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου,
27. καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου.
28. Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας, (*)
29. ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία, καὶ παιδεία ἐν ῥήματι γλώσσης.
30. Μὴ ἀντίλεγε τῇ ἀληθείᾳ, καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐντράπηθι.
31, 32. Μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου, καὶ μὴ βιάζου ῥοῦν ποταμοῦ. Καὶ μὴ ὑποστρώσῃς σεαυτὸν ἀνθρώπῳ μωρῷ, καὶ μὴ λάβῃς πρόσωπον δυνάστου.
33. Ἕως τοῦ θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ.
34. Μὴ γίνου τραχὺς ἐν γλώσσῃ σου, καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου.
35. Μὴ ἴσθι ὡς λέων ἐν τῷ οἴκῳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου.
36. Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασί σου, καὶ μὴ εἴπῃς· Αὐτάρκη μοι ἔστι.
2. Μὴ ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ ἰσχύϊ σου, τοῦ πορεύεσθαι ἐν ἐπιθυμίαις καρδίας σου.
3. Καὶ μὴ εἴπῃς· Τίς με δυναστεύσει; Ὁ γὰρ Κύριος ἐκδικῶν ἐκδικήσει σε.
4. Μὴ εἴπῃς· Ἥμαρτον, καὶ τί μοι ἐγένετο; Ὁ γὰρ Κύριος ἐστὶ μακρόθυμος.
5. Περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου, προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις.
6. Καὶ μὴ εἴπῃς· Ὁ οἰκτιρμὸς αὐτοῦ πολὺς, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται·
7. ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ.
8. Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας·
9. ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ Κυρίου, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.
10. Μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις, οὐδὲν γὰρ ὠφελήσει σε ἐν ἡμέρᾳ ἐπαγωγῆς.
11. Μὴ λίκμα ἐν παντὶ ἀνέμῳ, καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ· οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
12. Ἴσθι ἐστηριγμένος ἐν συνέσει σου, καὶ εἷς ἔστω σου ὁ λόγος.
13. Γίνου ταχὺς ἐν ἀκροάσει σου, καὶ ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν.
14. Εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον· εἰ δὲ μὴ, ἡ χείρ σου ἔστω ἐπὶ στόματί σου.
15. Δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ.

(*) 28. ... καὶ μὴ κρύψῃς τὴν σοφίαν σου εἰς καλλονήν· (*Compl.*)

23. Conserva tempus et devita a malo,
24. et pro anima tua ne confundaris.
25. Est enim confusio adducens peccatum, et est confusio gloria et gratia.
26. Ne accipias faciem adversus animam tuam,
27. et ne reverearis in casum tuum.
28. Non retineas verbum in tempore salutis,
29. in sermone enim cognoscetur sapientia, et doctrina in verbo linguæ.
30. Non contradicas veritati, et de ineruditione tua confundere.
31, 32. Ne confundaris confiteri peccata tua, nec coneris contra fluxum fluminis. Et non subjicias te homini stulto, et ne accipias faciem potentis.
33. Usque ad mortem agonizare pro veritate, et Dominus Deus pugnabit pro te.
34. Noli asper esse in lingua tua, et inutilis et remissus in operibus tuis.
35. Noli esse sicut leo in domo tua, et arreptitius in domesticis tuis.
36. Non sit porrecta manus tua ad accipiendum, et ad dandum collecta.

CAPUT V.

1. Noli attendere ad divitias tuas, et ne dixeris : Sufficientes mihi sunt.
2. Ne sequaris animam tuam et fortitudinem tuam, ut ambules in concupiscentiis cordis tui.
3. Et ne dixeris : Quis me subjiciet? Dominus enim vindicans vindicabit te.
4. Ne dixeris : Peccavi, et quid mihi accidit? Dominus enim est patiens.
5. De propitiatu noli esse sine metu, ut adjicias peccatum super peccata.
6. Et ne dicas : Miseratio ejus magna est, multitudinis peccatorum meorum miserebitur :
7. misericordia enim et ira ab illo, et super peccatores requiescet ira illius.
8. Ne tardes converti ad Dominum, et ne differas de die in diem :
9. subito enim egredietur ira Domini, et in tempore vindictæ disperdet.
10. Noli attentus esse in divitiis injustis, nihil enim proderunt tibi in die obductionis.
11. Non ventiles in omni vento, et non eas in omni via : sic peccator duplex lingua.
12. Esto firmus in intellectu tuo, et unus sit sermo tuus.
13. Esto velox in auscultatione tua, et in longanimitate profer responsum.
14. Si est tibi intellectus, responde proximo : sin autem, sit manus tua super os tuum.
15. Gloria et inhonoratio in sermone, et lingua hominis subversio est illius.

---

28. ... et non abscondas sapientiam tuam in decore suo·

16. Μὴ κληθῇς ψίθυρος, καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε.

17. Ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη, καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου.

18. Ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει.

ΚΕΦΑΛΑΙΟΝ ς'.

1. Καὶ ἀντὶ φίλου μὴ γίνου ἐχθρός· ὄνομα γὰρ πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει, οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.

2. Μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου, ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σου.

3. Τὰ φύλλα σου καταφάγεσαι καὶ τοὺς καρπούς σου ἀπολέσεις, καὶ ἀφήσεις σεαυτὸν ὡς ξύλον ξηρόν.

4. Ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτὴν, καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν.

5. Λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ, καὶ γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα.

6. Οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοὶ, οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων.

7. Εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτὸν, καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ.

8. Ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου.

9. Καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν, καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει.

10. Καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου.

11. Καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σὺ, καὶ ἐπὶ τοὺς οἰκέτας σου παῤῥησιάσεται.

12. Ἐὰν ταπεινωθῇς ἔσται κατὰ σοῦ, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται.

13. Ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι, καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε.

14. Φίλος πιστὸς σκέπη κραταιὰ, ὁ δὲ εὑρὼν αὐτὸν εὗρε θησαυρόν.

15. Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ.

16. Φίλος πιστὸς φάρμακον ζωῆς, καὶ οἱ φοβούμενοι Κύριον εὑρήσουσιν αὐτόν.

17. Ὁ φοβούμενος Κύριον εὐθύνει φιλίαν αὐτοῦ, ὅτι κατ' αὐτὸν οὕτως καὶ ὁ πλησίον αὐτοῦ.

18. Τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, καὶ ἕως πολιῶν εὑρήσεις σοφίαν.

19. Ὡς ὁ ἀροτριῶν καὶ ὁ σπείρων πρόσελθε αὐτῇ, καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς·

20. ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις, καὶ ταχὺ φάγεσαι γεννημάτων αὐτῆς.

21. Ὡς τραχεῖα ἐστὶ σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος.

22. Ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσται ἐπ' αὐτῷ, καὶ οὐ χρονιεῖ ἀποῤῥίψαι αὐτήν.

23. Σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστι, καὶ οὐ πολλοῖς ἐστι φανερά.

24. Ἄκουσον, τέκνον, καὶ δέξαι γνώμην μου, καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου.

25. Καὶ εἰσένεγκον τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς, καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου.

26. Ὑπόθες τὸν ὦμόν σου, καὶ βάσταξον αὐτὴν, καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς.

16. Non appelleris susurro, et lingua tua ne insidieris.

17. Super furem enim est confusio, et denotatio pessima super bilinguem.

18. In magno et in parvo non ignores.

CAPUT VI.

1. Et noli fieri pro amico inimicus : nomen enim malum confusionem et improperium hæreditabit, sic peccator bilinguis.

2. Ne te extollas in cogitatione animæ tuæ, ne diripiatur velut taurus anima tua.

3. Folia tua comedes et fructus tuos perdes, et relinques te velut lignum aridum.

4. Anima nequam disperdet eum qui se habet, et gaudium inimicorum faciet eum.

5. Guttur dulce multiplicabit amicos suos, et lingua beneloquens multiplicabit bonas salutationes.

6. Multi pacifici sint tibi, consiliarii autem tui sint unus de mille.

7. Si possides amicum, in tentatione posside eum, et non facile credas ei.

8. Est enim amicus in tempore suo, et non permanebit in die tribulationis tuæ.

9. Et est amicus qui convertitur ad inimicitiam, et rixam opprobrii tui denudabit.

10. Et est amicus socius mensarum, et non permanebit in die necessitatis tuæ.

11. Et in bonis tuis erit tamquam tu, et in domesticis tuis fiducialiter aget.

12. Si humiliatus fueris erit contra te, et a facie tua abscondet se.

13. Ab inimicis tuis separa te, et ab amicis tuis attende.

14. Amicus fidelis protectio fortis, et qui invenit illum invenit thesaurum.

15. Amico fideli nulla est comparatio, et non est pondus bonitati ejus.

16. Amicus fidelis medicamentum vitæ, et qui metuunt Dominum invenient illum.

17. Qui timet Dominum bonam habet amicitiam suam, quoniam secundum ipsum sic et proximus ipsius.

18. Fili, a juventute tua excipe doctrinam, et usque ad canos invenies sapientiam.

19. Quasi is qui arat et qui seminat accede ad illam, et sustine bonos fructus illius :

20. in operatione enim illius paululum laborabis, et cito edes de generationibus illius.

21. Quam aspera est nimium indoctis, et non permanebit in illa excors.

22. Quasi lapis probationis fortis erit in illo, et non demorabitur projicere illam.

23. Sapientia enim secundum nomen suum est, et non est multis manifesta.

24. Audi, fili, et accipe sententiam meam, et ne abjicias consilium meum.

25. Et injice pedes tuos in compedes illius, et in torquem illius collum tuum.

26. Subjice humerum tuum, et porta illam, et ne acedieris vinculis illius.

27. Ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ, καὶ ἐν ὅλῃ δυνάμει σου συντήρησον τὰς ὁδοὺς αὐτῆς.

28. Ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, καὶ ἐγκρατὴς γενόμενος μὴ ἀφῇς αὐτήν.

29. Ἐπ' ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς, καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην.

30. Καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος, καὶ οἱ κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης.

31. Κόσμος γὰρ χρύσεός ἐστιν ἐπ' αὐτῆς, καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον.

32. Στολὴν δόξης ἐνδύσῃ αὐτὴν, καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ.

33. Ἐὰν θέλῃς, τέκνον, παιδευθήσῃ, καὶ ἐὰν δῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ.

34. Ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ, καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ.

25. Ἐν πλήθει πρεσβυτέρων στῆθι, καὶ τίς σοφὸς, αὐτῷ προσκολλήθητι.

35. Πᾶσαν διήγησιν θείαν θέλε ἀκούειν, καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε.

36. Ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ ποῦς σου.

37. Διανοοῦ ἐν τοῖς προστάγμασι Κυρίου, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διαπαντός. Αὐτὸς στηριεῖ τὴν καρδίαν σου, καὶ ἡ ἐπιθυμία τῆς σοφίας σου δοθήσεταί σοι.

27. In omni animo tuo accede ad illam, et in omni virtute tua conserva vias ejus.

28. Investiga et quære, et manifestabitur tibi, et continens factus ne derelinquas illam.

29. In novissimis enim invenies requiem ejus, et convertetur tibi in oblectationem.

30. Et erunt tibi compedes in protectionem fortitudinis, et torques illius in stolam gloriæ.

31. Decus enim aureum est in ea, et vincula illius fila hyacinthina.

32. Stolam gloriæ indues eam, et coronam gratulationis impones tibi.

33. Si volueris, fili, disces, et si accommodaveris animum tuum, callidus eris.

34. Si dilexeris audire, excipies, et si inclinaveris aurem tuam, sapiens eris.

25. In multitudine presbyterorum sta, et qui sapiens, ei conjungere.

35. Omnem narrationem divinam velis audire, et proverbia intellectus non effugiant te.

36. Si videris sensatum, evigila ad eum, et gradus ostiorum illius exterat pes tuus.

37. Cogitatum tuum habe in præceptis Domini, et in mandatis illius meditare semper. Ipse firmabit cor tuum, et concupiscentia sapientiæ tuæ dabitur tibi.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Μὴ ποίει κακὰ, καὶ οὐ μή σε καταλάβῃ κακόν.

2. Ἀπόστηθι ἀπὸ ἀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ.

3. Υἱὲ, μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας, καὶ οὐ μὴ θερίσῃς αὐτὰς ἑπταπλασίως.

4. Μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.

5. Μὴ δικαιοῦ ἔναντι Κυρίου, καὶ παρὰ βασιλεῖ μὴ σοφίζου.

6. Μὴ ζήτει γενέσθαι κριτὴς, μὴ οὐκ ἐξισχύσεις ἐξᾶραι ἀδικίας· μήποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου, καὶ θήσεις σκάνδαλον ἐν εὐθύτητί σου.

7. Μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως, καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.

8. Μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν, ἐν γὰρ τῇ μιᾷ οὐκ ἀθῷος ἔσῃ. (a)

11. Μὴ εἴπῃς· Τῷ πλήθει τῶν δώρων μου ἐπόψεται, καὶ ἐν τῷ προσενέγκαι με Θεῷ ὑψίστῳ, προσδέξεται.

(a) 9. Μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου,

10. καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς.

12. Μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν.

13. Μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου, μηδὲ φίλῳ τὸ ὅμοιον ποίει.

14. Μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος, ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν.

15. Μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων, καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου.

16. Μὴ μισήσῃς ἐπίπονον ἐργασίαν καὶ γεωργίαν ὑπὸ Ὑψίστου ἐκτισμένην.

17. Μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν. (b)

19. Ταπείνωσον σφόδρα τὴν ψυχήν σου. (c)

CAPUT VII.

1. Noli facere mala, et non te apprehendet malum.

2. Discede ab iniquo, et declinabit a te.

3. Fili, non semines in sulcis injustitiæ, et non metes eos in septuplum.

4. Noli quærere a Domino ducatum, neque a rege cathedram honoris.

5. Non te justifices ante Dominum, et penes regem noli velle videri sapiens.

6. Noli quærere fieri judex, ne forte non possis auferre iniquitates : ne forte extimescas faciem potentis, et ponas scandalum in rectitudine tua.

7. Non pecces in multitudinem civitatis, nec te demittas in turbam.

8. Non alliges bis peccatum, in uno enim non eris immunis.

11. Ne dicas : In multitudinem munerum meorum respiciet, et offerente me Deo altissimo, suscipiet.

9. Noli esse pusillanimis in oratione tua,

10. et eleemosynam facere ne despicias.

12. Ne irrideas hominem qui sit in amaritudine animæ suæ, est enim qui humiliat et qui exaltat.

13. Noli arare mendacium adversus fratrem tuum, neque in amicum similiter facias.

14. Noli velle mentiri omne mendacium, assiduitas enim illius non in bonum.

15. Noli verbosus esse in multitudine presbyterorum, et non iteres verbum in oratione tua.

16. Non oderis laboriosam operationem et rusticationem creatam ab Altissimo.

17. Non te computes in multitudine peccatorum.

19. Humilia valde spiritum tuum.

(b) 18. Μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ,
(c) 19. ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ.

20. Μὴ ἀλλάξῃς φίλον ἕνεκεν ἀδιαφόρου, μηδ' ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφείρ.

21. Μὴ ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς, καὶ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον.

22. Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ, μηδὲ μίσθιον διδόντα ψυχὴν αὐτοῦ.

23. Οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχὴ, μὴ στερήσῃς αὐτὸν ἐλευθερίας.

24. Κτήνη σοί ἐστιν; ἐπισκέπτου αὐτὰ, καὶ εἰ ἔστι σοι χρήσιμα, ἐμμενέτω σοι.

25. Τέκνα σοί ἐστι; παίδευσον αὐτὰ, καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν.

26. Θυγατέρες σοί εἰσι; πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου.

27. Ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα, καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν.

28. Γυνή σοι ἐστὶ κατὰ ψυχήν; μὴ ἐκβάλῃς αὐτήν. (*) Ἐν ὅλῃ καρδίᾳ

29. δόξασον τὸν πατέρα σου, καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθῃ.

30. Μνήσθητι ὅτι δι' αὐτῶν ἐγενήθης, καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοὶ σοί;

31. Ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν Κύριον, καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε.

32. Ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε, καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς.

33. Φοβοῦ τὸν Κύριον, καὶ δόξασον ἱερέα,

34. καὶ δὸς τὴν μερίδα αὐτῷ καθὼς ἐντέταλταί σοι, ἀπαρχὴν καὶ περὶ πλημμελείας,

35. καὶ δόσιν βραχιόνων, καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν ἁγίων.

36. Καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, ἵνα τελειωθῇ ἡ εὐλογία σου.

37. Χάρις δόματος ἔναντι παντὸς ζῶντος, καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν.

38. Μὴ ὑστέρει ἀπὸ κλαιόντων, καὶ μετὰ πενθούντων πένθησον.

39. Μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον, ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ.

40. Ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου, μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.

2. Μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου, μήποτε ἀντιστήσῃ σου τὴν ὁλκήν.

3. Πολλοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν.

4. Μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ, ξύλα.

5. Μὴ πρόσπαιζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σου.

6. Μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας, μνήσθητι ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις.

(*) 28.... μισουμένῃ δὲ μὴ ἐμπιστεύσῃς σεαυτόν.

18. Memento quoniam ira non tardabit,

19. quoniam vindicta impii, ignis et vermis.

20. Ne commutes amicum propter indifferens, neque fratrem germanum in auro Suphir.

21. Noli discedere a muliere sensata et bona, gratia enim ejus super aurum.

22. Non lædas servum in veritate operantem, neque mercenarium dantem animam suam.

23. Servum sensatum diligat anima tua, non defraudes illum libertate.

24. Pecora tibi sunt? attende illis, et si sunt tibi utilia, perseverent apud te.

25. Filii tibi sunt? erudi illos, et curva a pueritia collum eorum.

26. Filiæ tibi sunt? serva corpus earum, et ne ostendas hilarem faciem tuam ad illas.

27. Trade filiam, et grande opus feceris, et homini sensato da illam.

28. Mulier est tibi secundum animam? ne projicias eam. In toto corde

29. honora patrem tuum, et gemitus matris non obliviscaris.

30. Memento quia per eos natus es, et quid retribues illis quomodo illi tibi?

31. In tota anima tua time Dominum, et sacerdotes illius suspice.

32. In tota virtute dilige eum qui te fecit, et ministros ejus non derelinquas.

33. Time Dominum, et honorifica sacerdotem,

34. et da illi partem sicut mandatum est tibi, primitias et pro delicto,

35. et datum brachiorum, et sacrificium sanctificationis et primitias sanctorum.

36. Et pauperi porrige manum tuam, ut perficiatur benedictio tua.

37. Gratia dati in conspectu omnis viventis, et in mortuo ne prohibeas gratiam.

38. Non desis plorantibus, et cum lugentibus luge.

39. Ne pigriteris visitare ægrotum, ex his enim diligeris.

40. In omnibus verbis tuis memorare novissima tua, et in æternum non peccabis.

CAPUT VIII.

1. Non litiges cum homine potente, ne forte incidas in manus illius.

2. Non contendas cum viro locuplete, ne forte statuat contra te pondus.

3. Multos enim perdidit aurum, et corda regum fecit declinare.

4. Non litiges cum homine linguoso, et non struas super ignem illius, ligna.

5. Ne colludas cum indocto, ne inhonorentur majores tui.

6. Non improperes homini avertenti se a peccato, memento quoniam omnes in corruptionibus sumus.

28.... et odibili ne credas te.

7. Μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρει αὐτοῦ, καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν.

8. Μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ, μνήσθητι ὅτι πάντες τελευτῶμεν.

9. Μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου·

10. ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν, καὶ λειτουργῆσαι μεγιστᾶσιν.

11. Μὴ ἀστόχει διηγήματος γερόντων, καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν,

12. ὅτι παρ' αὐτῶν μαθήσῃ σύνεσιν, καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν.

13. Μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ, μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ.

14. Μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ, ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον τῷ στόματί σου.

15. Μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου· καὶ ἐὰν δανείσῃς, ὡς ἀπολωλεκὼς γίνου.

16. Μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου, καὶ ἐὰν ἐγγυήσῃ, ὡς ἀποτίσων φρόντιζε.

17. Μὴ δικάζου μετὰ κριτοῦ, κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ.

18. Μετὰ τολμηροῦ μὴ πορεύου ἐν ὁδῷ, ἵνα μὴ βαρύνηται κατὰ σοῦ, αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐτοῦ ποιήσει, καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.

19. Μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, καὶ μὴ διαπορεύου μετ' αὐτοῦ τὴν ἔρημον, ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα, καὶ ὅπου οὐκ ἔστι βοήθεια καταβαλεῖ σε.

20. Μετὰ μωροῦ μὴ συμβουλεύου, οὐ γὰρ δυνήσεται λόγον στέξαι.

21. Ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτὸν, οὐ γὰρ γινώσκεις τί τέξεται.

22. Παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε τὴν καρδίαν, καὶ μὴ ἀναφερέτω σοι χάριν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Μὴ ζήλου γυναῖκα τοῦ κόλπου σου, μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν πονηράν.

2. Μὴ δῷς γυναικὶ τὴν ψυχήν σου, ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν σου.

3. Μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ, μήποτε ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς.

4. Μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε, μήποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμασιν αὐτῆς.

5. Παρθένον μὴ καταμάνθανε, μήποτε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς.

6. Μὴ δῷς πόρναις τὴν ψυχήν σου, ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου.

7. Μὴ περιβλέπου ἐν ῥύμαις πόλεως, καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ.

8. Ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον.

9. Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν, καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται.

12. Μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον, (*)

(*) 12.... καὶ μὴ συμμετακλιθῇς ἐπ' ἀγκῶνα μετ' αὐτῆς. (*Clem. Alex.*)

7. Ne spernas hominem in sua senectute, etenim ex nobis senescunt.

8. Noli de mortuo gaudere, memento quoniam omnes morimur.

9. Ne despicias narrationem sapientum, et in proverbiis eorum conversare :

10. ab ipsis enim disces doctrinam, et servire magnatis.

11. Non te prætereat narratio seniorum, et ipsi enim didicerunt a patribus suis,

12. quoniam ab ipsis disces intellectum, et in tempore necessitatis dare responsum.

13. Non incendas carbones peccatoris, ne incendaris in igne flammæ illius.

14. Ne contra faciem stes contumeliosi, ne insideat quasi insidiator ori tuo.

15. Noli fœnerari homini fortiori te : quod si fœneraveris, quasi perditum habe.

16. Non spondeas super virtutem tuam, quod si spoponderis, quasi persoluturus, cogita.

17. Ne litiges cum judice, quoniam secundum existimationem ejus judicabunt ei.

18. Cum audace ne eas in via, ne gravetur contra te, ipse enim secundum voluntatem suam faciet, et simul cum stultitia illius peries.

19. Cum iracundo ne facias rixam, et cum illo ne eas per desertum, quoniam quasi nihil est ante illum sanguis, et ubi non est adjutorium elidet te.

20. Cum fatuo consilium non habeas, non enim poterit verbum celare.

21. Coram extraneo non facias occultum, nescis enim quid pariet.

22. Non omni homini cor tuum manifestes, et non referat tibi gratiam.

CAPUT IX.

1. Non zeles mulierem sinus tui, neque doceas super te doctrinam nequam.

2. Non des mulieri animam tuam, ut ascendat ipsa super virtutem tuam.

3. Ne respicias mulierem multivolam, ne forte incidas in laqueos illius.

4. Cum psaltrice ne assiduus sis, ne forte capiaris in tentationibus ejus.

5. Virginem ne aspicias, ne forte scandalizeris in decoribus ejus.

6. Ne des fornicariis animam tuam, ne perdas hæreditatem tuam.

7. Noli circumspicere in vicis civitatis, nec oberraveris in desertis illius.

8. Averte oculum a muliere formosa, et ne circumspicias speciem alienam.

9. Propter speciem mulieris multi aberraverunt, et ex hoc concupiscentia quasi ignis exardescit.

12. Cum aliena muliere non sedeas omnino,

12 ... nec accumbas cum ea super cubitum.

13. καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ, μήποτε ἐκκλίνῃ ἡ ψυχή σου ἐπ' αὐτὴν, καὶ τῷ πνεύματί σου ὀλισθήσῃς εἰς ἀπώλειαν.

14. Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ.

15. Οἶνος νέος, φίλος νέος· ἐὰν παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.

16. Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλοῦ, οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ.

17. Μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν, μνήσθητι ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσιν.

18. Μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου ὃς ἔχει ἐξουσίαν τοῦ φονεύειν, καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου·

19. κἂν προσέλθῃς, μὴ πλημμελήσῃς, ἵνα μὴ ἀφέληται τὴν ζωήν σου.

20. Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς.

21. Κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον, καὶ μετὰ σοφῶν συμβουλεύου, (a)

23. καὶ μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου, καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ Ὑψίστου.

(a) 22. Ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου, καὶ ἐν φόβῳ Κυρίου ἔστω τὸ καύχημά σου.

24. Ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεθήσεται, καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ.

25. Φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης, καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

13. neque agites convivia cum illa in vino, ne forte declinet cor tuum in illam, et spiritu tuo labaris in perditionem.

14. Ne derelinquas amicum antiquum, novus enim non est similis illi.

15. Vinum novum, amicus novus : si inveteraverit, cum suavitate bibes illud.

16. Non zeles gloriam peccatoris, non enim scis quæ sit illius subversio.

17. Non bene sentias de beneplacito impiorum, memento quoniam usque ad inferos non justificabuntur.

18. Longe abesto ab homine potestatem habente occidendi, et non suspicaberis timorem mortis :

19. et si accesseris, noli delinquere, ne auferat vitam tuam.

20. Scito quoniam in medio laqueorum ingrederis, et super pinnacula civitatum ambulas.

21. Secundum virtutem tuam conjecta de proximis, et cum sapientibus consulta,

23. et cum intelligentibus sit collocutio tua, et omnis enarratio tua in lege Altissimi.

22. Viri justi sint tibi convivæ, et in timore Domini sit gloriatio tua.

24. In manu artificum opus laudabitur, et princeps populi sapiens in sermone suo.

25. Terribilis in civitate sua homo linguosus, et temerarius in verbo suo odibilis erit.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ, καὶ ἡγεμονία συνετοῦ τεταγμένη ἔσται.

2. Κατὰ τὸν κριτὴν τοῦ λαοῦ αὐτοῦ, οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ, καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες αὐτήν.

3. Βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναστῶν.

4. Ἐν χειρὶ Κυρίου ἐξουσία τῆς γῆς, καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς.

5. Ἐν χειρὶ Κυρίου εὐοδία ἀνδρὸς, καὶ προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτοῦ.

6. Ἐπὶ παντὶ ἀδικήματι μὴ μηνιάσῃς τῷ πλησίον, καὶ μὴ πράσσε μηδὲν ἐν ἔργοις ὕβρεως.

7. Μισητὴ ἔναντι Κυρίου καὶ ἀνθρώπων ὑπερηφανία, καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἄδικα.

8. Βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται διὰ ἀδικίας καὶ ὕβρεις καὶ χρήματα.

9. Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;

(*) 10. ὅτι ἐν ζωῇ ἔῤῥιψα τὰ ἐνδόσθια αὐτοῦ.

11. Μακρὸν ἀῤῥώστημα σκώπτει ἰατρὸς,

12. καὶ βασιλεὺς σήμερον, καὶ αὔριον τελευτήσει.

13. Ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον, κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας.

14. Ἀρχὴ ὑπερηφανίας ἀνθρώπου ἀφισταμένου ἀπὸ Κυρίου,

15. καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία

CAPUT X.

1. Judex sapiens erudiet populum suum, et principatus sensati ordinatus erit.

2. Secundum judicem populi sui, sic et ministri ejus, et qualis rector est civitatis tales omnes inhabitantes in ea.

3. Rex insipiens perdet populum suum, et civitas habitabitur per sensum potentium.

4. In manu Domini potestas terræ, et utilem suscitabit in tempus super illam.

5. In manu Domini prosperitas hominis, et super personam scribæ imponet gloriam ipsius.

6. In omni injuria ne succenseas proximo, et nihil agas in operibus contumeliæ.

7. Odibilis coram Domino est et hominibus superbia, et ex utrisque delinquet injusta.

8. Regnum a gente in gentem transfertur propter injustitias et contumelias et pecunias.

9. Quid superbit terra et cinis?

10. quoniam in vita projeci intima ejus.

11. In prolixum languorem cavillatur medicus,

12. et rex hodie est, et cras morietur.

13. Cum enim morietur homo, hæreditabit serpentes et bestias et vermes.

14. Initium superbiæ hominis cum apostavit a Deo,

15. et ab eo qui fecit eum recessit cor ejus. Quoniam

(*) 10. Φιλαργύρου μὲν γὰρ οὐδὲν ἀνομώτερον· οὗτος γὰρ καὶ τὴν ἑαυτοῦ ψυχὴν ἔκπρακτον ποιεῖ.... (*Compl.*)

10. Nam nihil quidem iniquius est amante pecuniam : hic enim et animam suam venalem habet.

αὐτοῦ. Ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα.

16. Διὰ τοῦτο παρεδόξασε Κύριος τὰς ἐπαγωγάς, καὶ κατέστρεψεν εἰς τέλος αὐτούς.

17. Θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος, καὶ ἐκάθισε πραεῖς ἀντ' αὐτῶν.

18. Ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ Κύριος, καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν.

19. Χώρας ἐθνῶν κατέστρεψεν ὁ Κύριος, καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς.

20. Ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐτούς, καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν.

22. Οὐχ ἔκτισται ἀνθρώποις ὑπερηφανία, οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι γυναικῶν.

23. Σπέρμα ἔντιμον ποῖον; σπέρμα ἀνθρώπου. Σπέρμα ἔντιμον ποῖον; οἱ φοβούμενοι τὸν Κύριον. Σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου. Σπέρμα ἄτιμον ποῖον; οἱ παραβαίνοντες ἐντολάς.

24. Ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος, καὶ οἱ φοβούμενοι Κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ.

25. Πλούσιος καὶ ἔνδοξος καὶ πτωχός, τὸ καύχημα αὐτῶν φόβος Κυρίου.

26. Οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετόν, καὶ οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν.

27. Μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης δοξασθήσεται, καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν Κύριον.

28. Οἰκέτῃ σοφῷ ἐλεύθεροι λειτουργήσουσι, καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει.

29. Μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου, καὶ μὴ δοξάζου ἐν καιρῷ στενοχωρίας σου.

30. Κρείσσων ἐργαζόμενος ἐν πᾶσιν, ἢ περιπατῶν, ἢ δοξαζόμενος καὶ ἀπορῶν ἄρτων.

31. Τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς.

32. Τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει; Καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ;

33. Πτωχὸς δοξάζεται δι' ἐπιστήμην αὐτοῦ, καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.

34. Ὁ δὲ δοξαζόμενος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς; Καὶ ὁ ἄδοξος ἐν πλούτῳ, καὶ ἐν πτωχείᾳ ποσαχῶς;

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Σοφία ταπεινοῦ ἀνύψωσε κεφαλήν, καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν.

2. Μὴ αἰνέσεις ἄνδρα ἐν κάλλει αὐτοῦ, καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ.

3. Μικρὰ ἐν πετεινοῖς μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.

4. Ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ, καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου, ὅτι θαυμαστὰ τὰ ἔργα Κυρίου, καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἐν ἀνθρώποις.

5. Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα.

6. Πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα, καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

7. Πρὶν ἐξετάσῃς μὴ μέμψῃ, νόησον πρῶτον καὶ

principium superbiæ peccatum, et qui tenuerit eam profundet abominationem.

16. Propter hoc incredibiles fecit Dominus obductiones, et destruxit eos in finem.

17. Sedes ducum destruxit Dominus, et sedere fecit mites pro eis.

18. Radices gentium evulsit Dominus, et plantavit humiles pro eis.

19. Terras gentium evertit Dominus, et perdidit eas usque ad fundamenta terræ.

20. Arefecit ex ipsis et disperdidit eos, et cessare fecit memoriam eorum a terra.

22. Non est creata hominibus superbia, neque ira furoris generationibus mulierum.

23. Semen honoratum quale? semen hominis. Semen honoratum quale? ii qui timent Dominum. Semen inhonoratum quale? semen hominis. Semen inhonoratum quale? qui prætereunt mandata.

24. In medio fratrum rector illorum in honore, et qui timent Dominum in oculis illius.

25. Dives et honoratus et pauper, gloriatio eorum timor Domini.

26. Non justum est despicere pauperem sensatum, et non decet magnificare hominem peccatorem.

27. Magnus et judex et potens honorificabitur, et non est eorum aliquis major illo qui timet Dominum.

28. Servo sapienti liberi servient, et vir prudens non murmurabit.

29. Noli excusando cunctari in faciendo opere tuo, et noli te extollere in tempore angustiæ tuæ.

30. Melior est qui operatur in omnibus, quam qui ambulat, aut gloriatur et eget pane.

31. Fili, in mansuetudine glorifica animam tuam, et da illi honorem secundum meritum ejus.

32. Peccantem in animam suam quis justificabit? et quis honorabit exhonorantem vitam suam?

33. Pauper honorificatur per scientiam suam, et dives honorificatur propter substantiam suam.

34. Qui autem glorificatur in paupertate, quanto magis in substantia? Et qui est inglorius in substantia, quanto magis in paupertate?

CAPUT XI.

1. Sapientia humiliati exaltavit caput, et in medio magnatorum consedere illum faciet.

2. Non laudes virum in specie sua, neque spernas hominem in visu suo.

3. Brevis in volatilibus apis, et principium dulcorum fructus ejus.

4. In circumjectione vestimentorum ne glorieris, nec in die honoris extollaris, quoniam mirabilia opera Domini, et absconsa opera illius in hominibus.

5. Multi tyranni sederunt in solo, et insuspicabilis portavit diadema.

6. Multi potentes exhonorati sunt valde, et gloriosi traditi sunt in manus alterorum.

7. Priusquam interroges ne vituperes, intellige primum

τότε ἐπιτίμα. Πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου, καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου.

8. Περὶ πράγματος οὗ οὐκ ἔστι σοι χρεία μὴ ἔριζε, καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε.

9. Τέκνον, μὴ περὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου·

10. ἐὰν πληθυνῇς, οὐκ ἀθῳωθήσῃ. Καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς, καὶ οὐ μὴ ἐκφύγῃς διαδράς.

11. Ἔστι κοπιῶν καὶ πονῶν καὶ σπεύδων, καὶ τόσῳ μᾶλλον ὑστερεῖται.

12. Ἔστι νωθρὸς καὶ προςδεόμενος ἀντιλήψεως, ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ περισσεύει,

13. καὶ οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθὰ, καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ. Καὶ ἀνύψωσε κεφαλὴν αὐτοῦ, καὶ ἀπεθαύμασαν ἐπ' αὐτῷ πολλοί.

14. Ἀγαθὰ καὶ κακὰ, ζωὴ καὶ θάνατος, πτωχεία καὶ πλοῦτος παρὰ Κυρίου ἐστί. (*)

17. Δόσις Κυρίου παραμένει εὐσεβέσι, καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωθήσεται.

18. Ἔστι πλουτῶν ἀπὸ προςοχῆς καὶ σφιγγίας αὐτοῦ, καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ.

19. Ἐν τῷ εἰπεῖν αὐτόν· Εὗρον ἀνάπαυσιν, καὶ νῦν φάγωμαι ἐκ τῶν ἀγαθῶν μου,

20. καὶ οὐκ οἶδε τίς καιρὸς παρελεύσεται, καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ ἀποθανεῖται.

21. Στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ, καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι.

22. Μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ, πίστευε τῷ Κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου.

23. Ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου διὰ τάχους ἐξάπινα πλουτίσαι πένητα.

24. Εὐλογία Κυρίου ἐν μισθῷ εὐσεβοῦς, καὶ ἐν ὥρᾳ ταχινῇ ἀναθάλλει εὐλογίαν αὐτοῦ.

25. Μὴ εἴπῃς· Τίς ἐστί μου χρεία, καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μου τὰ ἀγαθά;

26. Μὴ εἴπῃς· Αὐτάρκη μοι ἐστὶ, καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσομαι;

27. Ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν, καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν.

28. Ὅτι κοῦφον ἔναντι Κυρίου ἐν ἡμέρᾳ τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ.

29. Κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ.

30. Πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, καὶ ἐν τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ.

31. Μὴ πάντα ἄνθρωπον εἴςαγε εἰς τὸν οἶκόν σου, πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου.

32. Πέρδιξ θηρευτὴς ἐν καρτάλλῳ, οὕτως καρδία ὑπερηφάνου, καὶ ὡς κατάσκοπος ἐπιβλέπει πτῶσιν.

33. Τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύει, καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶμον.

34. Ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακία, καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει.

35. Πρόςεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει, μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι.

(*) 15. Σοφία καὶ ἐπιστήμη καὶ γνῶσις νόμου παρὰ Κυρίου· ἀγάπησις καὶ ὁδοὶ καλῶν ἔργων παρ' αὐτοῦ εἰσιν.

16. Πλάνη καὶ σκότος ἁμαρτωλοῖς συνέκτισται· τοῖς δὲ γαυριῶσιν ἐπὶ κακίᾳ, συγγηρᾷ κακά. (*Compl.*)

et tunc corripe. Priusquam audias ne respondeas, et in medio sermonum ne interloquaris.

8. De re qua tibi opus non est ne certaveris, et in judicio peccantium ne consideas.

9. Fili, ne circa multa sint actus tui :

10. si enim multiplicaveris, non eris immunis a delicto. Et si secutus fueris, non apprehendes, et non effugies si præcucurreris.

11. Est laborans et dolens et festinans, et tanto magis ipsi deest.

12. Est marcidus et egens recuperatione, deficiens virtute et abundat paupertate,

13. et occuli Domini respexerunt illum in bona, et erexit eum ab humilitate ipsius. Et exaltavit caput ejus, et mirati sunt in illo multi.

14. Bona et mala, vita et mors, paupertas et honestas a Domino sunt.

17. Datio Domini permanet piis, et beneplacitum ejus bonos successus habebit in æternum.

18. Est qui locupletatur attente et parce agendo, et hæc est pars mercedis illius.

19. In eo quod dicit : Inveni requiem, et nunc manducabo de bonis meis,

20. et nescit quod tempus pertransiet, et relinquet ea aliis et morietur.

21. Sta in testamento tuo et in illo colloquere, et in opere tuo veterasce.

22. Ne mireris in operibus peccatoris, confide in Domino et mane in labore tuo.

23. Facile est enim in oculis Domini velociter subito honestare pauperem.

24. Benedictio Domini in mercede pii, et in hora veloci exoriri facit benedictionem suam.

25. Ne dicas : Quid est mihi opus, et quæ erunt mihi ex hoc nunc bona?

26. Ne dicas : Sufficientia mihi sunt, et quid ex hoc nunc pessimabor?

27. In die bonorum oblivio malorum, et in die malorum non erit memoria bonorum.

28. Quoniam facile est coram Domino in die obitus retribuere homini secundum vias ejus.

29. Malitia horæ oblivionem facit luxuriæ, et in fine hominis denudatio operum illius.

30. Ante mortem ne beatifices quemquam, et in filiis suis agnoscetur vir.

31. Non omnem hominem inducas in domum tuam, multæ enim sunt insidiæ dolosi.

32. Perdix venatrix in cavea, sic cor superbi, et tamquam speculator inspicit casum.

33. Bona enim in mala convertens insidiatur, et in electis imponet maculam.

34. A scintilla ignis augetur pruna, et homo peccator sanguini insidiatur.

35. Attende a malefico, fabricat enim mala, ne forte maculam det tibi in perpetuum.

15. Sapientia et disciplina et scientia legis apud Deum : dilectio et viæ bonorum operum apud ipsum sunt.

16. Error et tenebræ peccatoribus concreata sunt : qui autem exsultant in malis, consenescunt in malo.

36. Ἐνοίκισον ἀλλότριον καὶ διαστρέψει σε ἐν ταραχαῖς, καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σου.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς σου.
2. Εὐποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ Ὑψίστου.
3. Οὐκ ἔστιν ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακὰ, καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ.
4. Δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. (*)
6. Εὐποίησον τῷ ταπεινῷ, καὶ μὴ δῷς ἀσεβεῖ. Ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς αὐτῷ, ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ·
7. διπλάσια γὰρ κακὰ εὑρήσεις ἐν πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς αὐτῷ. Ὅτι καὶ ὁ Ὕψιστος ἐμίσησεν ἁμαρτωλοὺς, καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν. Δὸς τῷ ἀγαθῷ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ.
8. Οὐκ ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος, καὶ οὐ κρυβήσεται ἐν κακοῖς ὁ ἐχθρός.
9. Ἐν ἀγαθοῖς ἀνδρὸς, οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ, καὶ ἐν τοῖς κακοῖς αὐτοῦ καὶ ὁ φίλος διαχωρισθήσεται.
10. Μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα· ὡς γὰρ ὁ χαλκὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ.
11. Καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφὼς, ἐπίστησον τὴν ψυχήν σου καὶ φύλαξε ἀπ' αὐτοῦ, καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον, καὶ γνώσῃ ὅτι οὐκ εἰς τέλος κατίωσε.
12. Μὴ στήσῃς αὐτὸν παρὰ σεαυτὸν, μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σου. Μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου, μήποτε ζητήσῃ τὴν καθέδραν σου, καὶ ἐπ' ἐσχάτῳ ἐπιγνώσῃ τοὺς λόγους μου, καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ.
13. Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις; Οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ.
14. Ὥραν μετὰ σοῦ διαμενεῖ· καὶ ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ.
15. Καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ γλυκανεῖ ὁ ἐχθρὸς, καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε εἰς βόθρον.
16. Ἐν ὀφθαλμοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρὸς, καὶ ἐὰν εὕρῃ καιρὸν, οὐκ ἐμπλησθήσεται ἀφ' αἵματος.
17. Κακὰ ἂν ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σου,
18. καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου.
19. Κινήσει τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ, καὶ πολλὰ διαψιθυρίσει καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.

(*) 4. .... Φυλάσσει δὲ αὐτοὺς εἰς ἡμέραν ἐκδικήσεως αὐτῶν κραταιάν. (*Compl.*)

36. Admitte ad te alienigenam et subvertet te in turbationibus, et alienabit te a tuis propriis.

CAPUT XII.

1. Si benefacias, scito cui facias, et erit gratia bonis tuis.
2. Benefac pio, et invenies retributionem, et si non ab ipso, certe ab Altissimo.
3. Non est bene ei qui assiduus est in malis, et eleemosynam non danti.
3. Da pio, et ne suscipias peccatorem.
6. Benefac humili, et non dederis impio. Impedi panes illius et non dederis ei, ne in ipsis te opprimat:
7. nam duplicia mala invenies in omnibus bonis quæcumque feceris ei. Quoniam et Altissimus odio habet peccatores, et impiis reddet vindictam. Da bono, et ne suscipias peccatorem.
8. Non judicabitur in bonis amicus, et non abscondetur in malis inimicus.
9. In bonis viri, inimici illius in tristitia, et in malis illius etiam amicus disjungetur.
10. Non credas inimico tuo in æternum: sicut enim æramentum æruginat, sic nequitia illius.
11. Et si humiliatus vadat curvus, adjice animum tuum et custodi te ab illo, et eris ei tamquam qui absterseris speculum, et cognosces quod non in finem deposuit æruginem.
12. Non statuas illum penes te, ne te subverso stet in loco tuo. Non facias eum sedere ad dexteram tuam, ne forte inquirat cathedram tuam, et in novissimo cognoscas verba mea, et in sermonibus meis stimuleris.
13. Quis miserebitur incantatori a serpente percusso, et omnibus qui appropiant bestiis? Sic qui comitatur cum viro peccatore et convolvitur in peccatis illius.
14. Una hora permanebit tecum: si autem declinaveris, non supportabit.
15. Et in labiis suis indulcabit inimicus, et in corde suo deliberavit subvertere te in foveam.
16. In oculis suis lacrymabitur inimicus, et si invenerit tempus, non satiabitur sanguine.
17. Si incurrerint tibi mala, invenies eum illic priorem te,
18. et quasi adjuvans subsecabit plantas tuas.
19. Caput suum movebit et plaudet manibus suis, et multa susurrans commutabit vultum suum.

CAPUT XIII.

1. Qui tetigerit picem inquinabitur, et qui communicaverit superbo assimilabitur ei.

---

4. .... custodit enim eos in diem vindictæ eorum magnam.

2. Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει.

3. Τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη προςκρούσει, καὶ αὕτη συντριβήσεται.

4. Πλούσιος ἠδίκησε, καὶ αὐτὸς προςενεβριμήσατο· πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προςδεηθήσεται.

5. Ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί· καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε.

6. Ἐὰν ἔχῃς, συμβιώσεταί σοι, καὶ ἀποκενώσει σε, καὶ αὐτὸς οὐ πονέσει.

7. Χρείαν ἔσχηκέ σου, καὶ ἀποπλανήσει σε, καὶ προςγελάσεταί σοι καὶ δώσει σοι ἐλπίδα. Λαλήσει σοι καλὰ, καὶ ἐρεῖ· Τίς ἡ χρεία σου;

8. Καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ, ἕως οὗ ἀποκενώσῃ σε δὶς ἢ τρὶς, καὶ ἐπ' ἐσχάτῳ καταμωκήσεταί σου. Μετὰ ταῦτα ὄψεταί σε, καὶ καταλείψει σε, καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί.

10. Πρόςεχε μὴ ἀποπλανηθῇς, καὶ μὴ ταπεινωθῇς ἐν εὐφροσύνῃ σου. (*)

12. Προςκαλεσαμένου σε δυνάστου, ὑποχωρῶν γίνου, καὶ τόσῳ μᾶλλον προςκαλέσεταί σε.

13. Μὴ ἔμπιπτε ἵνα μὴ ἀπωσθῇς, καὶ μὴ μακρὰν ἀφιστῶ ἵνα μὴ ἐπιλησθῇς.

14. Μὴ ἔπεχε εἰςηγορεῖσθαι μετ' αὐτοῦ, καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτοῦ· ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε, καὶ ὡς προςγελῶν ἐξετάσει.

15. Ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους, καὶ οὐ μὴ φείσηται περὶ κακώσεως καὶ δεσμῶν.

16. Συντήρησον καὶ πρόςεχε σφοδρῶς, ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς. (**)

19. Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ.

20. Πᾶσα σὰρξ κατὰ γένος συνάγεται, καὶ τῷ ὁμοίῳ αὐτοῦ προςκολληθήσεται ἀνήρ.

21. Τί κοινωνήσει λύκος ἀμνῷ; Οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ.

22. Τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα, καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα;

23. Κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ, οὕτως νομαὶ πλουσίων πτωχοί.

24. Βδέλυγμα ὑπερηφάνῳ ταπεινότης, οὕτως βδέλυγμα πλουσίῳ πτωχός.

25. Πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων, ταπεινὸς δὲ πεσὼν προςαπωθεῖται ὑπὸ φίλων.

26. Πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες, ἐλάλησεν ἀπόῤῥητα καὶ ἐδικαίωσαν αὐτόν.

27. Ταπεινὸς ἔσφαλε, καὶ προςεπετίμησαν αὐτῷ· ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος.

28. Πλούσιος ἐλάλησε καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν·

29. πτωχὸς ἐλάλησε, καὶ εἶπαν· Τίς οὗτος; Κἂν προςκόψῃ, προςανατρέψουσιν αὐτόν.

30. Ἀγαθὸς ὁ πλοῦτος ᾧ μὴ ἔστιν ἁμαρτία, καὶ πονηρὰ ἡ πτωχεία ἐν στόμασιν ἀσεβοῦς.

(*) 11. Καὶ μὴ ταπεινωθῇς ἐν εὐφροσύνῃ καρδίας σου. (*Compl.*)

(**) 17. Ἀκούων ταῦτα ἐν ὕπνῳ σου, γρηγόρησον.

18. Πάσῃ ζωῇ ἀγάπα τὸν Κύριον, καὶ ἐπικαλοῦ αὐτὸν εἰς σωτηρίαν σου. (*Compl.*)

2. Pondus super te tollas, et fortiori te et ditiori ne socius fueris.

3. Quid communicabit olla ad lebetem? ipsa impinget, et ipsa conteretur.

4. Dives injuste egit, et ipse fremuit: pauper læsus est, et ipse orabit.

5. Si utilitatem apportes, operatur in te: et si tibi defuerit, derelinquet te.

6. Si habes, convivet tecum, et evacuabit te, et ipse non dolebit.

7. Si necessarius illi fueris supplantabit te, et subridens spem tibi dabit. Loquetur tibi bona, et dicet: Quid opus est tibi?

8. Et confundet te in cibis suis, donec exinaniat te bis et ter, et in novissimo deridebit te. Postea videbit te, et derelinquet te, et caput suum movebit super te.

10. Attende ne seducaris, et ne humilieris in lætitia tua.

12. Advocatus a potente, discede, et tanto magis te advocabit.

13. Non intrudas te ne expellaris, et ne longe distes ne eas in oblivionem.

14. Ne retineas colloqui cum illo, nec credas multis verbis illius: ex multa enim loquela tentabit te, et tamquam arridens interrogabit.

15. Immitis qui non conservat verba, et non parcet de malitia et de vinculis.

16. Cave tibi et attende diligenter, quoniam cum subversione tua ambulas.

19. Omne animal diligit simile sibi, et omnis homo proximum sibi.

20. Omnis caro secundum genus conjungitur, et homo simili sibi sociabitur.

21. Quid communicabit lupus agno? Sic peccator erga pium.

22. Quæ pax hyænæ ad canem, et quæ pax diviti ad pauperem?

23. Venatio leonum onagri in eremo, sic pascua divitum sunt pauperes.

24. Abominatio superbo humilitas, sic exsecratio diviti pauper.

25. Dives commotus confirmatur ab amicis, humilis autem cum ceciderit expellitur ab amicis.

26. Divite lapso multi recuperatores, locutus est non dicenda et justificaverunt illum.

27. Humilis lapsus est, et insuper arguitur: locutus est sensate, et non est datus ei locus.

28. Dives locutus est et omnes tacuerunt, et verbum ejus usque ad nubes exaltaverunt:

29. pauper locutus est, et dicunt: Quis est hic? Et si offenderit, subvertent illum.

30. Bona est substantia cui non est peccatum, et nequissima paupertas in ore impii.

---

11. Et ne humilieris in lætitia cordis tui.

17. Audiens illa in somno tuo, vigila.

18. Omni vita tua dilige Deum, et invoca illum in salute.

31. Καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, ἐάν εἰς ἀγαθὰ ἐάν τε εἰς κακά.

32. Ἴχνος καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρὸν, καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ′.

1. Μακάριος ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ, καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας.

2. Μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ, καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.

3. Ἀνδρὶ μικρολόγῳ οὐ καλὸς ὁ πλοῦτος, καὶ ἀνθρώπῳ βασκάνῳ ἱνατί χρήματα;

4. Ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις, καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι.

5. Ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς ἔσται; καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ.

6. Τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστι πονηρότερος, καὶ τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ.

7. Κἂν εὐποιῇ, ἐν λήθῃ ποιεῖ, καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν κακίαν αὐτοῦ.

8. Πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ, ἀποστρέφων πρόσωπον καὶ ὑπερορῶν ψυχάς.

9. Πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι, καὶ ἀδικία πονηρὰ ἀναξηραίνει ψυχήν.

10. Ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ' ἄρτῳ, καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ.

11. Τέκνον, καθὼς ἐὰν ἔχεις εὐποίει σεαυτὸν, καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε.

12. Μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ, καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι.

13. Πρίν σε τελευτῆσαι εὐποίει φίλῳ, καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ.

14. Μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας, καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μή σε παρελθάτω.

15. Οὐχὶ ἑτέρῳ καταλείψεις τοὺς πόνους σου, καὶ τοὺς κόπους σου εἰς διαίρεσιν κλήρου;

16. Δὸς καὶ λάβε, καὶ ἀπάτησον τὴν ψυχήν σου,

17. ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆσαι τρυφήν.

18. Πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται, ἡ γὰρ διαθήκη ἀπ' αἰῶνος· θανάτῳ ἀποθανῇ. Ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος,

19. τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει· οὕτως γενεὰ σαρκὸς καὶ αἵματος, ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται.

20. Πᾶν ἔργον σηπόμενον ἐκλείπει, καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ' αὐτοῦ ἀπελεύσεται.

22. Μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτήσει, καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθήσεται.

23. Ὁ διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτοῦ, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς νοηθήσεται. Ἔξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτὴς, καὶ ἐν ταῖς εἰσόδοις αὐτῆς ἐνέδρευε.

24. Ὁ παρακύπτων διὰ τῶν θυρίδων αὐτῆς, καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται.

25. Ὁ καταλύων σύνεγγυς τοῦ οἴκου αὐτῆς, καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς. Στήσει τὴν σκηνὴν αὐτοῦ κατὰ χεῖρας αὐτῆς, καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν.

26. Θήσει τὰ τέκνα αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς, καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς αὐλισθήσεται.

31. Cor hominis immutat faciem illius, sive in bona sive in mala.

32. Vestigium cordis in bonis facies hilaris, et inventio parabolarum cogitationes cum labore.

CAPUT XIV.

1. Beatus vir qui non est lapsus in ore suo, et non est stimulatus in tristitia delicti.

2. Beatus quem non condemnavit animus suus, et qui non excidit a spe sua.

3. Viro minute rationes subducenti non est pulchra substantia, et homini livido ad quid pecuniæ?

4. Qui acervat ex anima sua aliis congregat, et in bonis illius alii luxuriabuntur.

5. Qui sibi nequam est, cui bonus erit? et non jucundabitur in pecuniis suis.

6. Qui sibi invidet nihil est illo nequius, et hoc est redditio malitiæ illius.

7. Et si bene faciat, in oblivione facit, et in novissimis manifestat malitiam suam.

8. Nequam est invidens oculo, avertens faciem et despiciens animas.

9. Cupidi oculus non satiatur parte, et injustitia mala arefacit animam.

10. Oculus malus invidus in pane, et egenus super mensam suam.

11. Fili, sicut habes benefac tecum, et Domino dignas oblationes offer.

12. Memor esto quoniam mors non tardabit, et testamentum inferorum non est demonstratum tibi.

13. Ante mortem benefac amico, et secundum vires tuas porrigens da ei.

14. Non defraudes a die bono, et pars boni desiderii non te prætereat.

15. Nonne alii relinques dolores tuos, et labores tuos in divisionem sortis?

16. Da et accipe, et falle animam tuam,

17. quoniam non est apud inferos quærere delicias.

18. Omnis caro sicut vestis veterascit, testamentum enim a sæculo: morte morietur. Sicut folium germinans in arbore densa,

19. alia quidem dejicit, alia autem generat: sic generatio carnis et sanguinis, alia quidem finitur, alia vero nascitur.

20. Omne opus corruptibile deficit, et qui illud operatur abibit cum illo.

22. Beatus vir qui in sapientia morietur, et qui in sensu suo disseret.

23. Qui excogitat vias illius in corde suo, et in absconditis ejus intelliget. Vade post illam quasi investigator, et in in gressibus ejus insidiare.

24. Qui respicit per fenestras illius, et in janulis illius audiet.

25. Qui requiescit juxta domum illius, et in parietibus illius figet palum. Statuet casulam suam ad manus illius, et requiescet in casula bonorum.

26. Statuet filios suos sub tegmine illius, et sub ramis ejus morabitur.

27. Σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος, καὶ ἐν τῇ δόξῃ αὐτῆς καταλύσει.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Ὁ φοβούμενος Κύριον ποιήσει αὐτὸ, καὶ ὁ ἐγκρατὴς τοῦ νόμου καταλήψεται αὐτήν.
2 Καὶ ὑπαντήσεται αὐτῷ ὡς μήτηρ, καὶ ὡς γυνὴ παρθενίας προςδέξεται αὐτόν.
3. Ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως, καὶ ὕδωρ σοφίας ποτίσει αὐτόν. Στηριχθήσεται ἐπ' αὐτὴν καὶ οὐ μὴ κλιθῇ,
4. καὶ ἐπ' αὐτῆς ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ. Καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτοῦ,
5. καὶ ἐν μέσῳ ἐκκλησίας ἀνοίξει στόμα αὐτοῦ.
6. Εὐφροσύνην καὶ στέφανον ἀγαλλιάματος καὶ ὄνομα αἰώνιον κατακληρονομήσει.
7. Οὐ μὴ καταλήψονται αὐτὴν ἄνθρωποι ἀσύνετοι, καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτήν.
8. Μακράν ἐστιν ὑπερηφανίας, καὶ ἄνδρες ψεῦσται οὐ μὴ μνησθήσονται αὐτῆς.
9. Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ,
10. ὅτι οὐ παρὰ Κυρίου ἀπεστάλη. Ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος, καὶ ὁ Κύριος εὐοδώσει αὐτόν.
11. Μὴ εἴπῃς, ὅτι διὰ Κύριον ἀπέστην· ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσεις.
12. Μὴ εἴπῃς ὅτι αὐτός με ἐπλάνησεν, οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ.
13. Πᾶν βδέλυγμα ἐμίσησε Κύριος, καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν.
14. Αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ.
16. Ἐὰν θέλῃς, συντηρήσεις ἐντολὰς, καὶ πίστιν ποίησαι εὐδοκίας.
17. Παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου.
18. Ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος· καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ,
19. ὅτι πολλὴ σοφία τοῦ Κυρίου, ἰσχυρὸς ἐν δυναστείᾳ καὶ βλέπων τὰ πάντα.
20. Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτὸν, καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου.
21. Καὶ οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

1. Μὴ ἐπιθύμει τέκνων πλῆθος ἀχρήστων, μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν. Ἐὰν πληθύνωσιν μὴ εὐφραίνου ἐπ' αὐτοῖς, εἰ μή ἐστι φόβος Κυρίου μετ' αὐτῶν.
2. Μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν, καὶ μὴ ἔπεχε ἐπὶ τὸν τόπον αὐτῶν.
3. Κρείσσων γὰρ εἷς ἢ χίλιοι,
4. καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα ἀσεβῆ.
5. Ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται.
6. Πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀφθαλμοῖς μου, καὶ ἰσχυρότερα τούτων ἀκήκοε τὸ οὖς μου.
7. Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, καὶ ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή.

27. Protegetur sub ea a fervore, et in gloria ejus requiescet.

CAPUT XV.

1. Qui timet Dominum faciet illud, et qui continens est legis apprehendet eam.
2. Et obviabit illi quasi mater, et quasi mulier virginitatis suscipiet eum.
3. Cibabit illum pane intellectus, et aqua sapientiæ potabit illum. Firmabitur in illa et non flectetur,
4. et super eam innitetur et non confundetur. Et exaltabit illum apud proximos ejus,
5. et in medio ecclesiæ aperiet os ejus.
6. Jucunditatem et coronam exsultationis et nomen æternum hæreditabit.
7. Homines stulti non apprehendent eam, et viri peccatores non videbunt eam.
8. Longe abest a superbia, et viri mendaces non erunt illius memores.
9. Non est speciosa laus in ore peccatoris,
10. quoniam non est a Domino missus. In sapientia enim dicetur laus, et Dominus prosperabit illum.
11. Ne dixeris, quia propter Dominum recessi: quæ enim odit, ne facias.
12. Ne dixeris quia ipse me implanavit, non enim opus habet viro peccatore.
13. Omne exsecramentum odit Dominus, et non est amabile timentibus eum.
14. Ipse ab initio fecit hominem, et reliquit illum in manu consilii sui
16. Si volueris, conservabis mandata, et fidem facere beneplaciti.
17. Apposuit tibi ignem et aquam, ad quodcumque volueris extendes manum tuam.
18. In conspectu hominum vita et mors: et quodcumque placuerit dabitur ei,
19. quoniam multa sapientia Domini, fortis ipse in potentia et videns omnia.
20. Et oculi ejus ad timentes eum, et ipse agnoscet omnem operam hominis,
21. Et nemini mandavit impie agere, et nemini dedit licentiam peccandi.

CAPUT XVI.

1. Non concupiscas multitudinem filiorum inutilium, neque jucunderis in filiis impiis. Si multiplicentur ne oblecteris super ipsos, si non est timor Dei cum illis.
2. Non credas vitæ illorum, et ne respexeris in locum illorum.
3. Melior est enim unus quam mille,
4. et mori sine filiis quam habere filios impios.
5. Ab uno enim sensato cohabitabitur civitas, tribus autem impiorum desolabitur.
6. Multa talia vidi in oculis meis, et fortiora his audivit auris mea.
7. In synagoga peccantium exardebit ignis, et in gente incredibili exarsit ira.

8. Οὐχ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων, οἳ ἀπέστησαν τῇ ἰσχύϊ αὐτῶν.

9. Οὐχ ἐφείσατο περὶ τῆς παροικίας Λὼτ, οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν.

10. Οὐχ ἠλέησεν ἔθνος ἀπωλείας, τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν.

11. Καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν. Κἂν ᾖ εἷς σκληροτράχηλος, θαυμαστὸν τοῦτο εἰ ἀθωωθήσεται,

12. ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ· δυνάστης ἐξιλασμῶν καὶ ἐκχέων ὀργήν.

13. Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτως καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ· ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει.

14. Οὐκ ἐκφεύξεται ἐν ἁρπάγμασιν ἁμαρτωλὸς, καὶ οὐ μὴ καθυστερήσει ὑπομονὴν εὐσεβοῦς.

15. Πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον, ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει.

16. Μὴ εἴπῃς ὅτι ἀπὸ Κυρίου κρυβήσομαι· μὴ ἐξ ὕψους τίς μου μνησθήσεται;

17. Ἐν λαῷ πλείονι οὐ μὴ μνησθῶ, τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει;

18. Ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ Θεοῦ, ἄβυσσος καὶ γῆ σαλευθήσονται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ.

19. Ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συσσείονται,

20. καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται καρδία·

21. καὶ τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται; Καὶ καταιγὶς, ἣν οὐκ ὄψεται ἄνθρωπος,

22. τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. Ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη. (*)

23. Ἐλαττούμενος καρδίᾳ διανοεῖται ταῦτα, καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά.

24. Ἄκουσόν μου, τέκνον, καὶ μάθε ἐπιστήμην, καὶ ἐπὶ τῶν λόγων μου πρόσεχε τῇ καρδίᾳ σου.

25. Ἐκφαίνω ἐν σταθμῷ παιδείαν, καὶ ἐν ἀκριβείᾳ ἀπαγγέλλω ἐπιστήμην.

26. Ἐν κρίσει Κυρίου τὰ ἔργα αὐτοῦ ἀπ' ἀρχῆς, καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε μερίδας αὐτῶν.

27. Ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν. Οὔτε ἐπείνασαν, οὔτε ἐκοπίασαν, καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν.

28. Ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἔθλιψεν,

29. καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι τοῦ ῥήματος αὐτοῦ.

30. Καὶ μετὰ ταῦτα Κύριος εἰς τὴν γῆν ἐπέβλεψε, καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ.

31. Ψυχὴ παντὸς ζώου ἐκάλυψε τὸ πρόσωπον αὐτῆς, καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

1. Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον,

2. καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν.

3. Ἡμέρας ἀριθμοῦ καὶ καιρὸν ἔδωκεν αὐτοῖς, καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν τῶν ἐπ' αὐτῆς. Καθ' ἑαυτοὺς ἐνέ-

(*) 22. ... καὶ ἐξέτασις ἁπάντων ἐν τελευτῇ.

8. Non est propitiatus pro antiquis gigantibus, qui rebellaverunt fortitudine sua.

9. Non pepercit pro incolatu Lot, iis quos execratus est pro superbia illorum.

10. Non misertus est genti perditionis, iis qui se elevaverant in peccatis suis.

11. Et sic sexcentis millibus peditum qui congregati insurrexerunt in duritia cordis sui. Et si unus fuerit cervicosus, mirum hoc si erit immunis,

12. misericordia enim et ira ab illo : princeps propitiationum et effundens iram.

13. Secundum multam misericordiam ejus, sic et multa correptio ejus : hominem secundum opera ejus judicat.

14. Non effugiet in rapinis peccator, et non fraudabit sufferentiam pii.

15. Omni misericordiæ faciet locum, unusquisque secundum opera sua inveniet.

16. Ne dicas quoniam a Domino abscondar : numquid ex summo quis mei memorabitur?

17. In populo magno non ero in memoria, quæ est enim anima mea in immensa creatura?

18. Ecce cœlum et cœlum cœli Dei, abyssus et terra commovebuntur in visitatione ejus.

19. Montes simul et fundamenta terræ cum conspexerit illa tremore concutiuntur,

20. et super ipsis non cogitabit cor :

21. et vias ejus quis intelliget? Et procella, quam non videbit homo,

22. plurima autem operum ejus in absconsis. Opera justitiæ quis annuntiabit aut quis sustinebit? longe enim est testamentum.

23. Qui minoratur corde cogitat hæc, et vir imprudens et errans cogitat stulta.

24. Audi, fili mi, et disce scientiam, et in verbis meis attende corde tuo.

25. Ostendo in pondere disciplinam, et veritate annuntio scientiam.

26. In judicio Domini opera ejus ab initio, et ab affectione ipsorum distinxit partes eorum.

27. Ornavit in æternum opera sua, et principia eorum in generationes eorum. Nec esurierunt, nec laboraverunt, et non destiterunt ab operibus suis.

28. Unusquisque proximum suum non angustiavit,

29. et usque in æternum non repugnabunt verbo illius.

30. Et post hæc Dominus in terram respexit, et implevit eam bonis suis.

31. Anima omnis vitalis operuit faciem ejus, et in ipsam reversio illorum.

CAPUT XVII.

1. Dominus creavit de terra hominem,

2. et iterum convertit illum in ipsam.

3. Dies numeri et tempus dedit illis, et dedit illis potestatem eorum quæ sunt super eam. Secundum seipsos ve-

22. ... et interrogatio omnium in consummatione est.

δυσεν αὐτοὺς ἰσχὺν, καὶ κατ' εἰκόνα αὐτοῦ ἐποίησεν αὐτούς.

4. Καὶ ἔθηκε τὸν φόβον αὐτοῦ ἐπὶ πάσης σαρκὸς, καὶ κατακυριεύειν θηρίων καὶ πετεινῶν.

5. Διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμοὺς, ὦτα καὶ καρδίαν ἔδωκε διανοεῖσθαι αὐτοῖς.

6. Ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτοὺς, καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς.

7. Ἔθηκε τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν, δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ.

8. Καὶ ὄνομα ἁγιασμοῦ αἰνέσουσιν, ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ.

9. Προσέθηκεν αὐτοῖς ἐπιστήμην, καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς.

10. Διαθήκην αἰῶνος ἔστησε μετ' αὐτῶν, καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς.

11. Μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν, καὶ δόξαν φωνῆς αὐτῶν ἤκουσε τὸ οὖς αὐτῶν. Καὶ εἶπεν αὐτοῖς· Προσέχετε ἀπὸ παντὸς ἀδίκου,

12. καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ πλησίον.

13. Αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ διαπαντὸς, οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.

14. Ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον,

15. καὶ μερὶς Κυρίου Ἰσραήλ ἐστιν.

16. Ἅπαντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ τὰς ὁδοὺς αὐτῶν.

17. Οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ, καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἔναντι Κυρίου.

18. Ἐλεημοσύνη ἀνδρὸς ὡς σφραγὶς μετ' αὐτοῦ, καὶ χάριν ἀνθρώπου ὡς κόρην συντηρήσει.

19. Μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀνταποδώσει αὐτοῖς, καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀποδώσει.

20. Πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον, καὶ παρεκάλεσεν ἐκλείποντας ὑπομονήν.

21. Ἐπίστρεφε ἐπὶ Κύριον καὶ ἀπόλειπε ἁμαρτίας·

22. δεήθητι κατὰ πρόσωπον καὶ σμίκρυνον πρόσκομμα.

23. Ἐπάναγε ἐπὶ Ὕψιστον καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας, καὶ σφόδρα μίσησον βδέλυγμα. Ὑψίστῳ τίς αἰνέσει ἐν ᾅδου;

25. Ἀντὶ ζώντων καὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν.

26. Ἀπὸ νεκροῦ, ὡς μηδὲ ὄντος, ἀπόλλυται ἐξομολόγησις,

27. ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν Κύριον.

28. Ὡς μεγάλη ἡ ἐλεημοσύνη τοῦ Κυρίου, καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτόν.

29. Οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις, ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου.

30. Τί φωτεινότερον ἡλίου; Καὶ τοῦτο ἐκλείπει, καὶ πονηρὸς ἐνθυμηθήσεται σάρκα καὶ αἷμα.

31. Δύναμιν ὕψους οὐρανοῦ αὐτὸς ἐπισκέπτεται, καὶ οἱ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. Κύριος μόνος δικαιωθήσεται.

stivit illos virtute, et secundum imaginem suam fecit eos.

4. Et posuit illius terrorem super omnem carnem, et dominari bestiarum et volatilium.

5. Consilium et linguam et oculos, aures et cor dedit ad cogitandum illis.

6. Disciplina intellectus implevit illos, et bona et mala ostendit eis.

7. Posuit oculum suum super corda illorum, ostendere illis magnalia operum suorum.

8. Et nomen sanctificationis laudabunt, ut magnalia enarrent operum ejus.

9. Addidit illis disciplinam, et legem vitæ hæreditavit eos.

10. Testamentum æternum constituit cum illis, et judicia sua ostendit eis.

11. Magnalia honoris viderunt oculi eorum, et honorem vocis eorum audivit auris illorum. Et dixit illis : Attendite ab omni iniquo,

12. et mandavit illis unicuique de proximo

13. Viæ eorum coram illo sunt semper, non abscondentur ab oculis ipsius.

14. Unicuique genti præposuit rectorem,

15. et pars Domini Israel est.

16. Omnia opera eorum velut sol in conspectu ejus, et oculi ejus sine intermissione in vias eorum.

17. Non sunt absconsæ injustitiæ illorum ab eo, et omnia peccata eorum in conspectu Domini.

18. Eleemosyna viri quasi signaculum cum ipso, et gratiam hominis quasi pupillam conservabit.

19. Postea resurget et retribuet illis, et retributionem eorum in caput ipsorum reddet.

20. Verumtamen pœnitentibus dedit reditum, et confirmavit deficientes sustinentia.

21. Convertere ad Dominum et relinque peccata :

22. precare ante faciem et minue offendiculum.

23. Revertere ad Altissimum et avertere ab injustitia, et valde odito exsecrationem. Altissimo quis laudem dicet in inferno?

25. Pro viventibus et viventibus et dantibus vicissim confessionem.

26. A mortuo, tamquam eo qui non est, perit confessio,

27. vivus et sanus laudabit Dominum.

28. Quam magna misericordia Domini, et propitiatio convertentibus se ad eum!

29. Non enim omnia possunt esse in hominibus, quoniam non est immortalis filius hominis.

30. Quid lucidius sole? Et hoc deficit, et malus excogitabit carnem et sanguinem.

31. Virtutem altitudinis cœli ipse conspicit, et omnes homines terra et cinis.

CAPUT XVIII.

1. Qui vivit in æternum creavit omnia simul. Dominus solus justificabitur.

2. Οὐδενὶ ἐξεποίησεν ἐξαγγεῖλαι τὰ ἔργα αὐτοῦ.

3. Καὶ τίς ἐξιχνιάσει τὰ μεγαλεῖα αὐτοῦ;

4. Κράτος μεγαλωσύνης αὐτοῦ τίς ἐξαριθμήσεται; καὶ τίς προςθήσει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ;

5. Οὐκ ἔστιν ἐλαττῶσαι οὐδὲ προςθεῖναι, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ Κυρίου.

6. Ὅταν συντελέσῃ ἄνθρωπος τότε ἄρχεται, καὶ ὅταν παύσηται τότε ἀπορηθήσεται.

7. Τί ἄνθρωπος καὶ τί ἡ χρῆσις αὐτοῦ; Τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ;

8. Ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν. Ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου, οὕτως ὀλίγα ἔτη ἐν ἡμέρᾳ αἰῶνος.

9. Διὰ τοῦτο ἐμακροθύμησε Κύριος ἐπ' αὐτοῖς, καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ.

10. Εἶδε καὶ ἐπέγνω τὴν καταστροφὴν αὐτῶν ὅτι πονηρὰ,

11. διὰ τοῦτο ἐπλήθυνε τὸν ἐξιλασμὸν αὐτοῦ.

12. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα,

13. ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ.

14. Τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ, καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ.

15. Τέκνον, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, καὶ ἐν πάσῃ δόσει λύπην λόγων.

16. Οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; Οὕτως κρείσσων λόγος ἢ δόσις.

17. Οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν; Καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ.

18. Μωρὸς ἀχαρίστως ὀνειδιεῖ, καὶ δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς.

19. Πρινὴ λαλῆσαι μάνθανε,

20. καὶ πρὸ ἀῤῥωστίας θεραπεύου. Πρὸ κρίσεως ἐξέταζε σεαυτὸν, καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν.

21. Πρὶν ἀῤῥωστῆσαί σε ταπεινώθητι, καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν.

22. Μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως, καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι.

23. Πρὶν εὔξασθαι ἑτοίμασον σεαυτὸν, καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν Κύριον.

24. Μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς, καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου.

25. Μνήσθητι καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου.

26. Ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρὸς, καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι Κυρίου.

27. Ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται, καὶ ἐν ἡμέραις ἁμαρτιῶν προςέξει ἀπὸ πλημμελείας.

28. Πᾶς συνετὸς ἔγνω σοφίαν, καὶ τῷ εὑρόντι αὐτὴν δώσει ἐξομολόγησιν.

29. Συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο, καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς.

ΕΓΚΡΑΤΕΙΑ ΨΥΧΗΣ.

30. Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου.

31. Ἐὰν χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου.

2. Nemini potestatem fecit enarrandi opera ipsius.

3. Et quis investigabit magnalia ejus?

4. Virtutem magnitudinis ejus quis enumerabit? et quis adjiciet enarrare misericordias ejus?

5. Non est minuere neque adjicere, et non est investigare mirabilia Domini.

6. Cum consummaverit homo tunc incipit, et cum quieverit tunc dubitabit.

7. Quid est homo et quid usus ejus? Quid est bonum ejus, et quid malum ejus?

8. Numerus dierum hominis ut multum centum anni. Sicut gutta aquæ maris et calculus arenæ, sic exigui anni in die ævi.

9. Propter hoc patiens fuit Dominus in illis, et effudit super eos misericordiam suam.

10. Vidit et cognovit subversionem eorum quoniam mala est,

11. ideo multiplicavit propitiationem suam.

12. Miseratio hominis circa proximum suum, misericordia autem Domini super omnem carnem,

13. corripiens et erudiens et docens et convertens quasi pastor gregem suum.

14. Miseretur excipientium doctrinam, et eorum qui festinant ad judicia ipsius.

15. Fili, in bonis ne des querelam, et in omni dato tristitiam verborum.

16. Nonne ardorem refrigerabit ros? Sic verbum melius quam datum.

17. Nonne ecce verbum super datum bonum? Et utraque apud hominem gratiosum.

18. Stultus acriter improperabit, et datus invidi tabescere facit oculos.

19. Antequam loquaris disce,

20. et ante languorem adhibe medicinam. Ante judicium interroga te ipsum, et in hora visitationis invenies propitiationem.

21. Ante languorem humilia te, et in tempore peccatorum ostende conversionem.

22. Non impediaris reddere votum tempestive, et non verearis usque ad mortem justificari.

23. Ante orationem præpara te ipsum, et non sis quasi homo qui tentat Dominum.

24. Memento iræ in diebus consummationis, et tempus vindictæ in conversione faciei.

25 Memento temporis famis in tempore saturitatis, paupertatis et necessitatis in diebus divitiarum.

26. A mane usque ad vesperam mutatur tempus, et omnia sunt citata in oculis Domini.

27. Homo sapiens in omnibus metuet, et in diebus peccatorum attendet a delicto.

28. Omnis intelligens novit sapientiam, et invenienti eam dabit confessionem.

29. Sensati in verbis et ipsi sapienter egerunt, et emiserunt quasi imbrem proverbia exquisita.

CONTINENTIA ANIMÆ.

30. Post concupiscentias tuas non eas, et a desideriis tuis avertere.

31. Si præstes animæ tuæ beneplacitum concupiscentiæ, faciet te gaudium inimicorum tuorum.

32. Μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, μηδὲ προσδεθῇς συμβολῇ αὐτῆς.

33. Μὴ γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ, καὶ οὐδέν σοί ἐστιν ἐν μαρσυπείῳ· (*)

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

1. Ἐργάτης μέθυσος οὐ πλουτισθήσεται, ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται.

2. Οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς,

3. καὶ ὁ κολλώμενος πόρναις τολμηρότερος ἔσται. Σῆτες καὶ σκώληκες κληρονομήσουσιν αὐτόν, καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται.

4. Ὁ ταχὺ ἐμπιστεύων κοῦφος καρδίᾳ, καὶ ὁ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει.

6. Ὁ εὐφραινόμενος καρδίᾳ καταγνωσθήσεται, καὶ ὁ μισῶν λαλιὰν ἐλαττονοῦται κακίᾳ.

7. Μηδέποτε δευτερώσῃς λόγον, καὶ οὐθέν σοι οὐ μὴ ἐλαττονωθῇ.

8. Ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ διηγοῦ, καὶ εἰ μή ἐστί σοι ἁμαρτία, μὴ ἀποκάλυπτε.

9. Ἀκήκοε γάρ σου καὶ ἐφυλάξατό σε, καὶ ἐν καιρῷ μισήσει σε.

10. Ἀκήκοας λόγον; συναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξει.

11. Ἀπὸ προσώπου λόγου ὠδινήσει μωρός, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα.

12. Βέλος πεπηγὸς ἐν μηρῷ σαρκός, οὕτως λόγος ἐν κοιλίᾳ μωροῦ.

13. Ἔλεγξον φίλον μήποτε οὐκ ἐποίησε καὶ εἴ τι ἐποίησε, μήποτε προσθῇ.

14. Ἔλεγξον τὸν φίλον μήποτε οὐκ εἶπε, καὶ εἰ εἴρηκεν, ἵνα μὴ δευτερώσῃ.

15. Ἔλεγξον φίλον· πολλάκις γὰρ γίνεται διαβολή,

16. καὶ μὴ παντὶ λόγῳ πίστευε. Ἔστιν ὀλισθαίνων καὶ οὐκ ἀπὸ ψυχῆς,

17. καὶ τίς οὐχ ἥμαρτησεν ἐν τῇ γλώσσῃ αὐτοῦ; Ἔλεγξον τὸν πλησίον σου πρινὴ ἀπειλῆσαι,

18. καὶ δὸς τόπον νόμῳ Ὑψίστου. Πᾶσα σοφία φόβος Κυρίου, καὶ ἐν πάσῃ σοφίᾳ ποίησις νόμου.

19. Καὶ οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη, καὶ οὐκ ἔστιν ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις.

20. Ἔστι πονηρία καὶ αὕτη βδέλυγμα, καὶ ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ.

21. Κρείττων ἡττώμενος ἐν συνέσει ἔμφοβος, ἢ περισσεύων ἐν φρονήσει καὶ παραβαίνων νόμον.

22. Ἔστι πανουργία ἀκριβὴς καὶ αὕτη ἄδικος,

23. καὶ ἔστι διαστρέφων χάριν τοῦ ἐκφᾶναι κρίμα. Ἔστι πονηρευόμενος συγκεκυφὼς μελανίᾳ, καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλου.

24. Συγκύφων πρόσωπον καὶ ἑτεροκωφῶν, ὅπου οὐκ ἐπεγνώσθη προφθάσει σε.

25. Καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν, ἐὰν εὕρῃ καιρόν, κακοποιήσει.

26. Ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ, καὶ ἀπὸ ἀπαντήσεως προσώπου ἐπιγνωσθήσεται νοήμων.

(*) 33. ... ἔσῃ γὰρ ἐπίβουλος τῆς ἰδίας ζωῆς λαλητός. (C.)

32. Ne oblecteris in multa epulatione, neque alligeris commissioni ejus.

33. Non fias pauper de symbolis comessans ex fœnore, et nihil tibi est in sacculo :

CAPUT XIX.

1. Operarius ebriosus non locupletabitur, qui spernit modica paulatim decidet.

2. Vinum et mulieres apostatare facient sapientes,

3. et qui jungit se meretricibus audacior erit. Tineæ et vermes hæreditabunt illum, et anima audax tolletur de numero.

4. Qui credit cito levis est corde, et qui peccat in animam suam delinquet.

6. Qui gaudet corde denotabitur, et qui odit loquacitatem minuitur malitia.

7. Numquam iteres verbum, et nihil tibi minuetur.

8. In amico et inimico noli narrare, etiamsi non sit tibi peccatum, noli denudare.

9. Audivit enim te et custodivit te, et in tempore odiet te.

10. Audisti verbum? commoriatur tibi : fide, quoniam te non dirumpet.

11. A facie verbi parturiet fatuus, sicut a facie infantis ea quæ parit.

12. Sagitta infixa in femore carnis, sic verbum in ventre stulti.

13. Corripe amicum ne forte non fecerit, aut si quid fecerit, ne iterum addat.

14. Corripe amicum ne forte non dixerit, et si dixerit, ut non iteret.

15. Corripe amicum : sæpe enim fit calumnia,

16. et non omni verbo credas. Est qui labitur sed non ex animo,

17. et quis non deliquit in lingua sua? Corripe proximum tuum priusquam commineris,

18. et da locum legi Altissimi. Omnis sapientia timor Domini, et in omni sapientia effectio legis.

19. Et non est sapientia nequitiæ disciplina, et non est ubi consilium peccatorum prudentia.

20. Est nequitia et ipsa exsecratio, et est insipiens qui minuitur sapientia.

21. Melior est qui minuitur sensu in timore, quam qui abundat sensu et transgreditur legem.

22. Est solertia certa et ipsa iniqua,

23. et est pervertens gratiam ad ostendendum judicium. Est nequiter agens qui se humiliat nigredine, et in suis interioribus est plenus dolo.

24. Inclinans faciem et semisurdus, ubi non fuerit agnitus anticipabit te.

25. Et si ab imbecillitate virium vetetur peccare, si invenerit tempus, malefaciet.

26. Ex visu cognoscetur vir, et ab occursu faciei cognoscetur sensatus.

---

33. ... eris enim insidiosus vitæ tuæ dicendus.

27. Στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βήματα ἀνθρώπου ἀναγγέλλει τὰ περὶ αὐτοῦ.

28. Ἔστιν ἔλεγχος ὃς οὐκ ἔστιν ὡραῖος, καὶ ἔστι σιωπῶν καὶ αὐτὸς φρόνιμος.

27. Amictus viri et risus dentium et ingressus hominis enuntiat de illo.

28. Est correptio quæ non est decora, et est tacens et ipse prudens.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

1. Ὡς καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι, καὶ ὁ ἀνθολογούμενος ἀπὸ ἐλαττώσεως κωλυθήσεται.

2. Ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεανίδα,

3. οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα. (*)

5. Ἔστι σιωπῶν εὑρισκόμενος σοφὸς, καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς.

6. Ἔστι σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν, καὶ ἔστι σιωπῶν εἰδὼς καιρόν.

7. Ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ, ὁ δὲ λαπιστὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν.

8. Ὁ πλεονάζων λόγῳ βδελυχθήσεται, καὶ ὁ ἐνεξουσιαζόμενος μισηθήσεται.

9. Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρὶ, καὶ ἔστιν εὕρεμα εἰς ἐλάττωσιν.

10. Ἔστι δόσις ἣ οὐ λυσιτελήσει σοι, καὶ ἔστι δόσις ἧς τὸ ἀνταπόδομα διπλοῦν.

11. Ἔστιν ἐλάττωσις ἕνεκεν δόξης, καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως ἦρε κεφαλήν.

12. Ἔστιν ἀγοράζων πολλὰ ὀλίγου, καὶ ἀποτιννύων αὐτὰ ἑπταπλάσιον.

13. Ὁ σοφὸς ἐν λόγῳ ἑαυτὸν προσφιλῆ ποιήσει, χάριτες δὲ μωρῶν ἐκχυθήσονται.

14. Δόσις ἄφρονος οὐ λυσιτελήσει σοι, οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς πολλοί.

15. Ὀλίγα δώσει καὶ πολλὰ ὀνειδίσει, καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ὡς κῆρυξ.

16. Σήμερον δανιεῖ καὶ αὔριον ἀπαιτήσει, μισητὸς ἄνθρωπος ὁ τοιοῦτος.

17. Μωρὸς ἐρεῖ· Οὐχ ὑπάρχει μοι φίλος, καὶ οὐκ ἔστι χάρις τοῖς ἀγαθοῖς μου·

18. οἱ ἐσθοντες τὸν ἄρτον μου, φαῦλοι γλώσσῃ. Ποσάκις καὶ ὅσοι καταγελάσονται αὐτοῦ; (**)

20. Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης, οὕτως πτῶσις κακῶν κατὰ σπουδὴν ἥξει.

21. Ἄνθρωπος ἄχαρις, μῦθος ἄκαιρος, ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.

22. Ἀπὸ στόματος μωροῦ ἀποδοκιμασθήσεται παραβολὴ, οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς.

23. Ἔστι κωλυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ οὐ κατανυγήσεται.

24. Ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην, καὶ ἀπὸ ἄφρονος προσώπου ἀπολεῖ αὐτήν.

25. Ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν.

26. Μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος, ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.

27. Αἱρετὸν κλέπτης ἢ ὁ ἐνδελεχίζων ψεύδει, ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσι.

(*) 4. Ὡς καλὸν ἐλεγχθέντα φανερῶσαι μετάνοιαν· οὕτως γὰρ φεύξῃ ἑκούσιον ἁμάρτημα. (*Compl.*)

(**) 19. Οὔτε γὰρ τὸ ἔχειν ἐν ὀρθῇ αἰσθήσει εἴληφεν, καὶ τὸ μὴ ἔχειν ὁμοίως ἀδιάφορον αὐτῷ. (*Compl.*)

CAPUT XX.

1. Quam bonum est arguere quam irasci, et qui vicissim confitetur prohibebitur a diminutione.

2. Concupiscentia spadonis devirginare juvenculam,

3. sic qui facit per vim judicia.

5. Est tacens qui invenitur sapiens, et est odibilis ex multa loquacitate.

6. Est tacens, non enim habet responsum, et est tacens sciens tempus.

7. Homo sapiens tacebit usque ad tempus, lascivus autem et imprudens transgredietur tempus.

8. Qui abundat sermone in abominatione erit, et qui potestatem sibi sumit odietur.

9. Est processio in malis viro, et est inventio in detrimentum.

10. Est datum quod non erit utile tibi, et est datum cujus retributio duplex.

11. Est minoratio propter gloriam, et est qui ab humilitate levavit caput.

12. Est qui emat multa modico pretio, et restituens ea in septuplum.

13. Sapiens in verbis seipsum amabilem faciet, gratiæ autem fatuorum effundentur.

14. Datus insipientis non erit utilis tibi, oculi enim illius pro uno multi.

15. Exigua dabit et multa improperabit, et aperiet os suum tamquam præco.

16. Hodie fœnerabitur et cras repetet, est odibilis homo hujusmodi.

17. Fatuus dicet : Non est mihi amicus, et non est gratia bonis meis :

18. qui edunt panem meum, sunt mali lingua. Quoties et quanti irridebunt eum?

20. Lapsus a pavimento magis quam a lingua, sic casus malorum festinanter veniet.

21. Homo sine gratia, fabula intempestiva, in ore indisciplinatorum assidua erit.

22. Ex ore fatui reprobabitur parabola, non enim dicet illam in tempore ejus.

23. Est qui vetatur peccare præ inopia, et in requie sua non stimulabitur.

24. Est qui perdit animam suam præ confusione, et ab imprudenti persona perdet eam.

25. Est qui præ confusione promittit amico, et lucratus est eum inimicum gratis.

26. Opprobrium nequam in homine mendacium, in ore indisciplinatorum assidue erit.

27. Potior fur quam assiduus in mendacio, perditionem autem ambo hæreditabunt.

---

4. Quam pulchrum est correptum manifestare pœnitentiam! sic enim effugies voluntarium peccatum.

19. Neque enim quod habendum erat recto sensu intellexit, et quod non habendum similiter indifferens ei.

28. Ἦθος ἀνθρώπου ψευδοῦς ἀτιμία, καὶ ἡ αἰσχύνη αὐτοῦ μετ᾽ αὐτοῦ ἐνδελεχῶς.

ΛΟΓΟΙ ΠΑΡΑΒΟΛΩΝ.

29. Ὁ σοφὸς ἐν λόγοις προάξει ἑαυτὸν, καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγιστᾶσιν.
30. Ὁ ἐργαζόμενος γῆν ἀνυψώσει θημωνίαν αὐτοῦ, καὶ ὁ ἀρέσκων μεγιστᾶσιν ἐξιλάσεται ἀδικίαν.
31. Ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς.
32. Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς, τίς ὠφέλεια ἐν ἀμφοτέροις;
33. Κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

1. Τέκνον, ἥμαρτες; Μὴ προςθῇς μηκέτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι.
2. Ὡς ἀπὸ προςώπου ὄφεως, φεῦγε ἀπὸ ἁμαρτίας· ἐὰν γὰρ προςέλθῃς, δήξεταί σε.
3. Ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, ἀναιροῦντες ψυχὰς ἀνθρώπων.
4. Ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία, τῇ πληγῇ αὐτῆς οὐκ ἔστιν ἴασις.
5. Καταπληγμὸς καὶ ὕβρις ἐρημώσουσι πλοῦτον, οὕτως οἶκος ὑπερηφάνου ἐρημωθήσεται.
6. Δέησις πτωχοῦ ἐκ στόματος ἕως ὠτίων αὐτοῦ, καὶ τὸ κρίμα αὐτοῦ κατὰ σπουδὴν ἔρχεται.
7. Μισῶν ἐλεγμὸν, ἐν ἴχνει ἁμαρτωλοῦ, καὶ ὁ φοβούμενος Κύριον ἐπιστρέψει ἐν καρδίᾳ.
8. Γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν γλώσσῃ, ὁ δὲ νοήμων οἶδεν ἐν τῷ ὀλισθαίνειν αὐτόν.
9. Ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις, ὡς ὁ συνάγων αὐτοῦ τοὺς λίθους εἰς χειμῶνα.
10. Στυππεῖον συνηγμένον συναγωγὴ ἀνόμων, καὶ ἡ συντέλεια αὐτῶν φλὸξ πυρός.
11. Ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ᾽ ἐσχάτῳ αὐτῆς βόθρος ᾅδου.
12. Ὁ φυλάσσων νόμον κατακρατεῖ τοῦ ἐννοήματος αὐτοῦ,
13. καὶ συντέλεια τοῦ φόβου Κυρίου σοφία.
14. Οὐ παιδευθήσεται ὃς οὐκ ἔστι πανοῦργος·
15. ἔστι πανουργία πληθύνουσα πικρίαν.
16. Γνῶσις σοφοῦ ὡς κατακλυσμὸς πληθυνθήσεται, καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς.
17. Ἔγκατα μωροῦ ὡς ἀγγεῖον συντετριμμένον, καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει.
18. Λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, αἰνέσει αὐτὸν, καὶ ἐπ᾽ αὐτὸν προςθήσει· ἤκουσεν ὁ σπαταλῶν καὶ ἀπήρεσεν αὐτῷ, καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νώτου αὐτοῦ.
19. Ἐξήγησις μωροῦ ὡς ἐν ὁδῷ φορτίον, ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται χάρις.
20. Στόμα φρονίμου ζητηθήσεται ἐν ἐκκλησίᾳ, καὶ τοὺς λόγους αὐτοῦ διανοηθήσεται ἐν καρδίᾳ.
21. Ὡς οἶκος ἠφανισμένος οὕτως μωρῷ σοφία, καὶ γνῶσις ἀσυνέτου ἀδιεξέταστοι λόγοι.
22. Πέδαι ἐν ποσὶν ἀνοήτοις παιδεία, καὶ ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς.

28. Mos hominis mendacis inhonoratio, et confusio ejus cum ipso sine intermissione.

SERMONES PARABOLARUM.

29. Sapiens in verbis producet seipsum, et homo prudens placebit magnatis.
30. Qui operatur terram inaltabit acervum suum, et qui placet magnatis expiabit iniquitatem.
31. Xenia et dona excæcant oculos sapientum, et quasi frænum in ore avertunt increpationes.
32. Sapientia absconsa et thesaurus non comparens, quæ utilitas in utrisque?
33. Melior est homo qui celat insipientiam suam quam homo qui abscondit sapientiam suam.

CAPUT XXI.

1. Fili, peccasti? Ne adjicias iterum, et de pristinis tuis deprecare.
2. Quasi a facie colubri, fuge a peccato: nam si accesseris, mordebit te.
3. Dentes leonis dentes illius, interficientes animas hominum.
4. Quasi romphæa bis acuta omnis iniquitas, plagæ ejus non est sanatio.
5. Vehemens objurgatio et contumelia annullabunt substantiam, sic domus superbi annullabitur.
6. Deprecatio pauperis ex ore usque ad aures ejus, et judicium ejus festinato advenit.
7. Qui odit correptionem, in vestigio peccatoris, et qui timet Dominum convertetur in corde.
8. Notus a longe potens in lingua, sensatus autem novit cum ille labitur.
9. Qui ædificat domum in pecuniis alienis, quasi qui colligit lapides suos in hiemem.
10. Stuppa collecta synagoga peccantium, et consummatio illorum flamma ignis.
11. Via peccantium complanata lapidibus, et in fine illius fovea inferni.
12. Qui custodit legem continet sensum suum,
13. et consummatio timoris Domini sapientia.
14. Non erudietur qui non est astutus :
15. est astutia multiplicans amaritudinem.
16. Scientia sapientis tamquam inundatio abundabit, et consilium illius sicut fons vitæ.
17. Interiora fatui quasi vas confractum, et omnem scientiam non tenebit.
18. Verbum sapiens si audierit scius, laudabit illud, et ad se adjiciet : audivit luxuriosus et displicuit illi, et projecit illud post dorsum suum.
19. Narratio fatui quasi sarcina in via, in labio autem sensati invenietur gratia.
20. Os prudentis quæretur in ecclesia, et verba illius cogitabit in corde.
21. Tamquam domus exterminata sic fatuo sapientia, et scientia insensati non vestigabilia verba.
22. Compedes in pedibus stultis doctrina, et quasi vincula manuum super manum dextram.

23. Μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ, ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει.

24. Ὡς κόσμος χρυσοῦ φρονίμῳ παιδεία, καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ.

25. Ποῦς μωροῦ ταχὺς εἰς οἰκίαν, ἄνθρωπος δὲ πολύπειρος αἰσχυνθήσεται ἀπὸ προσώπου.

26. Ἄφρων ἀπὸ θύρας παρακύπτει εἰς οἰκίαν, ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται.

27. Ἀπαιδευσία ἀνθρώπου ἀκροᾶσθαι παρὰ θύραν, ὁ δὲ φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ.

28. Χείλη ἀλλοτρίων ἐν τούτοις βαρυνθήσεται, λόγοι δὲ φρονίμων ἐν ζυγῷ σταθήσονται.

29. Ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν, καρδία δὲ σοφῶν στόμα αὐτῶν.

30. Ἐν τῷ καταρᾶσθαι ἀσεβῆ τὸν σατανᾶν, αὐτὸς καταρᾶται τὴν ἑαυτοῦ ψυχήν.

31. Μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων, καὶ ἐν παροικήσει μισηθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

1. Λίθῳ ἠρδαλωμένῳ συνεβλήθη ὀκνηρὸς, καὶ πᾶς ἐκσυριεῖ ἐπὶ τῇ ἀτιμίᾳ αὐτοῦ.

2. Βολβίτῳ κοπρίων συνεβλήθη ὀκνηρὸς, πᾶς ὁ αναιρούμενος αὐτὸν ἐκτινάξει χεῖρα.

3. Αἰσχύνη πατρὸς ἐν γεννήσει ἀπαιδεύτου, θυγάτηρ δὲ ἐπ' ἐλαττώσει γίνεται.

4. Θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς, καὶ ἡ καταισχύνουσα, εἰς λύπην γεννήσαντος.

5. Πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα, καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται.

6. Μουσικὰ ἐν πένθει ἄκαιρος διήγησις, μάστιγες καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας.

7. Συγκολλῶν ὄστρακον ὁ διδάσκων μωρὸν,

8. ἐξεγείρων καθεύδοντα ἐκ βαθέως ὕπνου.

9. Διηγούμενος νυστάζοντι ὁ διηγούμενος μωρῷ, καὶ ἐπὶ συντελείᾳ ἐρεῖ· Τί ἐστιν;

10. Ἐπὶ νεκρῷ κλαῦσον, ἐξέλιπε γὰρ φῶς, καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σύνεσις.

11. Ἥδιον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀνεπαύσατο,

12. τοῦ δὲ μωροῦ ὑπὲρ θάνατον ἡ ζωὴ πονηρά.

13. Πένθος νεκροῦ ἑπτὰ ἡμέραι, μωροῦ δὲ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ.

14. Μετὰ ἄφρονος μὴ πληθύνῃς λόγον, καὶ πρὸς ἀσύνετον μὴ πορεύου.

15. Φύλαξαι ἀπ' αὐτοῦ, ἵνα μὴ κόπον ἔχῃς, καὶ οὐ μὴ μολυνθῇς ἐν τῷ ἐντιναγμῷ αὐτοῦ.

16. Ἔκκλινον ἀπ' αὐτοῦ καὶ εὑρήσεις ἀνάπαυσιν, καὶ οὐ μὴ ἀκηδιάσῃς ἐν τῇ ἀπονοίᾳ αὐτοῦ.

17. Ὑπὲρ μόλυβδον τί βαρυνθήσεται, καὶ τί αὐτῷ ὄνομα, ἀλλ' ἢ μωρός;

18. Ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρου εὔκοπον ὑπενεγκεῖν ἢ ἄνθρωπον ἀσύνετον.

19. Ἱμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομὴν ἐν συσσεισμῷ οὐ διαλυθήσεται, οὕτως καρδία ἐστηριγμένη ἐπὶ διανοήματος βουλῆς,

20. ἐν καιρῷ οὐ δειλιάσει. Καρδία ἡδρασμένη ἐπὶ διανοίας συνέσεως, ὡς κόσμος ψαμμωτὸς τοίχου ξυστοῦ.

21. Χάρακες ἐπὶ μετεώρου κείμενοι κατέναντι ἀνέμου οὐ μὴ ὑπομείνωσιν,

23. Fatuus in risu exaltat vocem suam, vir autem sapiens vix tacite subridebit.

24. Sicut ornamentum aureum prudenti doctrina, et quasi brachiale in brachio dextro.

25. Pes fatui velox in domum, homo autem peritus confundetur a persona.

26. Stultus a janua respicit in domum, vir autem eruditus foris stabit.

27. Stultitia hominis auscultare per ostium, prudens autem gravabitur contumelia.

28. Labia alienorum in his gravabuntur, verba autem prudentium statera ponderabuntur.

29. In ore fatuorum cor illorum, cor autem sapientum os eorum.

30. Dum maledicit impius diabolum, maledicit ipse animam suam.

31. Susurro coinquinat animam suam, et in cohabitatione odietur.

CAPUT XXII.

1. Lapidi conspurcato comparatus est piger, et omnis exsibilabit in ignominiam illius.

2. Stercori boum de sterquilinis comparatus est piger, omnis qui tollit illud excutiet manum.

3. Confusio patris de filio indisciplinato, filia autem in minorationem fit.

4. Filia prudens hæreditabit virum suum, et quæ confundit, in tristitiam genitoris.

5. Patrem et virum confundit audax, et ab utrisque inhonorabitur.

6. Musica in luctu importuna narratio, flagella et doctrina in omni tempore sapientiæ.

7. Qui docet fatuum conglutinat testam,

8. excitat dormientem de gravi somno.

9. Enarrat dormitanti qui enarrat stulto, et in fine dicet : Quid est?

10. Super mortuum plora, defecit enim lux, et super fatuum plora, defecit enim sensus.

11. Jucundius plora super mortuum, quoniam requievit,

12. fatui autem super mortem vita nequissima.

13. Luctus mortui septem dies, fatui autem et impii omnes dies vitæ illius.

14. Cum stulto ne multiplices sermonem, et ad insensatum non eas.

15. Serva te ab illo, ut non molestiam habeas, et non coinquineris in concussione illius.

16. Deflecte ab illo et invenies requiem, et non acediaberis in stultitia illius.

17. Super plumbum quid gravabitur, et quod illi aliud nomen, quam fatuus?

18. Arenam et salem et massam ferri facilius est ferre quam hominem imprudentem.

19. Loramentum ligneum colligatum in ædificium non dissolvetur in concussione, sic cor confirmatur in cogitatione consilii,

20. in tempore non metuet. Cor firmatum in cogitatione intellectus, sicut ornatus arenosus parietis limpidi.

21. Pali in excelso positi contra faciem venti non permanebunt,

22. οὕτως καρδία δειλὴ ἐπὶ διανοήματος μωροῦ κατέναντι παντὸς φόβου οὐ μὴ ὑπομείνῃ.

24. Ὁ νύσσων ὀφθαλμὸν κατάξει δάκρυα, καὶ ὁ νύσσων καρδίαν ἐκφαίνει αἴσθησιν.

25. Βάλλων λίθον ἐπὶ πετεινὰ, ἀποσοβεῖ αὐτὰ, καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν.

26. Ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν, μὴ ἀπελπίσῃς, ἔστι γὰρ ἐπάνοδος.

27. Ἐπὶ φίλον ἐὰν ἀνοίξῃς στόμα, μὴ εὐλαβηθῇς, ἔστι γὰρ διαλλαγή. Πλὴν ὀνειδισμοῦ καὶ ὑπερηφανίας καὶ μυστηρίου ἀποκαλύψεως καὶ πληγῆς δολίας, ἐν τούτοις ἀποφεύξεται πᾶς φίλος.

28. Πίστιν κτῆσαι ἐν πτωχείᾳ μετὰ τοῦ πλησίον, ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτοῦ ὁμοῦ πλησθῇς.

29. Ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ, ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς.

30. Πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνὸς, οὕτως πρὸ αἱμάτων λοιδορίαι.

31. Φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι, καὶ ἀπὸ προσώπου αὐτοῦ οὐ μὴ κρυβῶ, καὶ εἰ κακά μοι συμβῇ δι' αὐτὸν,

32. πᾶς ὁ ἀκούων φυλάξεται ἀπ' αὐτοῦ.

33. Τίς δώσει μοι ἐπὶ στόμα μου φυλακὴν, καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον, ἵνα μὴ πέσω ἀπ' αὐτῆς, καὶ ἡ γλῶσσά μου ἀπολέσῃ με;

22. sic cor timidum in cogitatione stulti contra omnem timorem non resistet.

24. Pungens oculum deducet lacrymas, et qui pungit cor profert sensum.

25. Mittens lapidem in volatilia, abigit illa, et qui convitiatur amico dissolvet amicitiam.

26. Ad amicum etsi produxeris gladium, non desperes, est enim regressus.

27. Ad amicum si aperueris os, non timeas, est enim concordatio. Excepto improperio et superbia et mysterii revelatione et plaga dolosa, in his effugiet omnis amicus.

28. Fidem posside in paupertate cum proximo, ut in bonis illius simul implearis.

29. In tempore tribulationis permane illi, ut in hæreditate illius cohæres sis.

30. Ante ignem camini vapor et fumus, sic ante sanguines convicia.

31. Amicum protegere non confundar, et a facie illius non me abscondam, etiam si mala mihi evenerint per illum,

32. omnis qui audit cavebit sibi ab eo.

33. Quis dabit mihi in ore meo custodiam, et super labia mea signaculum astutum, ut non cadam ab illa, et lingua mea perdat me?

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

1. Κύριε πάτερ καὶ δέσποτα ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν, μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς.

2. Τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας, καὶ ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας; ἵνα ἐπὶ τοῖς ἀγνοήμασί μου μὴ φείσωνται, καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν,

3. ὅπως μὴ πληθύνωσιν αἱ ἄγνοιαί μου, καὶ αἱ ἁμαρτίαι μου πλεονάσωσι, καὶ πεσοῦμαι ἔναντι τῶν ὑπεναντίων, καὶ ἐπιχαρεῖταί μοι ὁ ἐχθρός μου.

4. Κύριε πάτερ καὶ Θεὲ ζωῆς μου,

5. μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι, καὶ ἐπιθυμίαν ἀπόστρεψον ἀπ' ἐμοῦ.

6. Κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με, καὶ ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με.

CAPUT XXIII.

1. Domine pater et dominator vitæ meæ, ne derelinquas me in consilio eorum, non sinas me cadere in illis.

2. Quis superponet in cogitatu meo flagella, et in corde meo doctrinam sapientiæ? ut in ignorationibus meis non parcant, et non prætermittant delicta illorum,

3. ut non accrescant ignorantiæ meæ, et peccata mea abundent, et decidam in conspectu adversariorum, et gaudebit super me inimicus meus.

4. Domine pater et Deus vitæ meæ,

5. elationem oculorum ne dederis mihi, et concupiscentiam averte a me.

6. Ventris appetitio et concubitus ne apprehendant me, et animæ irreverenti ne tradas me.

ΠΑΙΔΕΙΑ ΣΤΟΜΑΤΟΣ.

7. Παιδείαν στόματος ἀκούσατε, τέκνα, καὶ ὁ φυλάσσων οὐ μὴ ἁλῷ ἐν τοῖς χείλεσιν αὐτοῦ.

8. Καταλειφθήσεται ἁμαρτωλὸς, καὶ λοίδορος καὶ ὑπερήφανος σκανδαλισθήσονται ἐν αὐτοῖς.

9. Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου,

10. καὶ ὀνομασίᾳ τοῦ ἁγίου μὴ συνεθισθῇς.

11. Ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσεται, οὕτως καὶ ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς ἀπὸ ἁμαρτίας οὐ μὴ καθαρισθῇ.

12. Ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ.

13. Ἐὰν πλημμελήσῃ, ἁμαρτία αὐτοῦ ἐπ' αὐτῷ, κἂν ὑπερίδῃ, ἥμαρτε δισσῶς.

DOCTRINA ORIS.

7. Doctrinam oris audite, filii, et qui custodierit non capietur in labiis suis.

8. Apprehendetur peccator, et maledicus et superbus scandalizabuntur in illis.

9. Jurationi non assuefacias os tuum,

10. et nominationi sancti non assuescas.

11. Sicut enim servus interrogatus assidue a livore non minuetur, sic et jurans et nominans semper a peccato non purgabitur.

12. Vir multum jurans implebitur iniquitate, et non discedet a domo ejus plaga.

13. Si deliquerit, delictum illius super ipsum erit, et si dissimulaverit, deliquit dupliciter.

14. Καὶ εἰ διακενῆς ὤμοσεν οὐ δικαιωθήσεται, πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ.

15. Ἔστι λέξις ἀντιπεριβεβλημένη θανάτῳ, μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ.

16. Ἀπὸ γὰρ εὐσεβῶν ταῦτα πάντα ἀποστήσεται, καὶ ἐν ἁμαρτίαις οὐκ ἐγκυλισθήσονται.

17. Ἀπαιδευσίαν ἀσυρῆ μὴ συνεθίσῃς τὸ στόμα σου, ἔστι γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας.

18. Μνήσθητι πατρὸς καὶ μητρός σου, ἀναμέσον γὰρ μεγιστάνων συνεδρεύεις·

19. μήποτ' ἐπιλάθῃ ἐνώπιον αὐτῶν, καὶ τῷ ἐθισμῷ σου μωρανθῇς, καὶ θελήσεις εἰ μὴ ἐγεννήθης, καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου καταράσῃ.

20. Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ.

21. Δύο εἴδη πληθύνουσιν ἁμαρτίας, καὶ τὸ τρίτον ἐπάξει ὀργήν·

22. Ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, οὐ μὴ σβεσθῇ, ἕως ἂν καταποθῇ·

23. ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ, οὐ μὴ παύσηται ἕως ἂν ἐκκαύσῃ πῦρ.

24. Ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδὺς, οὐ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ.

25. Ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλίνης αὐτοῦ, λέγων ἐν τῇ ψυχῇ αὐτοῦ· Τίς με ὁρᾷ;

26. Σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσι, καὶ οὐθείς με ὁρᾷ, τί εὐλαβοῦμαι; Τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ Ὕψιστος,

27. καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ.

28. Καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη.

29. Πρινὴ κτισθῆναι, τὰ πάντα ἔγνωσται αὐτῷ, οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι.

30. Οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται, καὶ οὗ οὐχ ὑπενόησε πιασθήσεται.

32. Οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα, καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου.

33. Πρῶτον μὲν γὰρ ἐν νόμῳ Ὑψίστου ἠπείθησε, καὶ δεύτερον εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέλησε, καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη, ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέστησεν.

34. Αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται, καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται.

35. Οὐ διαδώσουσι τὰ τέκνα αὐτῆς εἰς ῥίζαν, καὶ οἱ κλάδοι αὐτῆς οὐ δώσουσι καρπόν.

36. Καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς, καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται.

37. Καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες, ὅτι οὐθὲν κρεῖττον φόβου Κυρίου, καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου. (*)

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

ΑΙΝΕΣΙΣ ΣΟΦΙΑΣ.

1. Ἡ σοφία αἰνέσει ψυχὴν αὐτῆς, καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυχήσεται.

(*) 38. Δόξα μεγάλη ἀκολουθεῖν Θεῷ· μακρότης δὲ ἡμερῶν, τὸ προςληφθῆναί σε ὑπ' αὐτοῦ. (*Compl.*)

14. Et si in vacuum juraverit non justificabitur, replebitur enim obductionibus domus ejus.

15. Est loquela induta morte, non inveniatur in hæreditate Jacob.

16. A piis enim omnia hæc auferentur, et in peccatis non se volutabunt.

17. Indisciplinationi temerariæ non assuefacias os tuum, est enim in ea verbum peccati.

18. Memento patris et matris tuæ, in medio enim magnatorum consistis :

19. ne quando oblivioni tradaris in conspectu illorum, et consuetudine tua infatueris, et voles non esse natus, et diem nativitatis tuæ maledices.

20. Homo assuescens verbis improperii, in omnibus diebus suis non erudietur.

21. Duo genera abundant peccatis, et tertium adducet iram :

22. Anima calida quasi ignis ardens, non exstinguetur, donec deglutiatur :

23. homo fornicarius in corpore carnis suæ, non desinet donec accenderit ignem.

24. Homini fornicario omnis panis dulcis, non cessabit usque ad finem.

25. Homo qui transgreditur lectum suum, dicens in animo suo : Quis me videt?

26. Tenebræ circumdant me, et parietes cooperiunt me, et nemo me videt, quid vereor? Delictorum meorum non memorabitur Altissimus,

27. et oculi hominum timor ejus.

28. Et non cognovit quoniam oculi Domini decies millies lucidiores sole, inspicientes omnes vias hominum, et intuentes in absconditas partes.

29. Antequam crearentur, omnia sunt ei agnita, sic et postquam consummata sunt.

30. Hic in plateis civitatis vindicabitur, et ubi non speravit apprehendetur.

32. Sic et mulier relinquens virum, et statuens hæreditatem ex alieno.

33. Primo enim in lege Altissimi incredula fuit, et secundo in virum suum deliquit, et tertio in fornicatione mœchata est, ex alieno viro filios statuit.

34. Hæc in ecclesiam educetur, et in filios ejus visitatio erit.

35. Non diffundentur filii ejus in radicem, et rami ejus non dabunt fructum.

36. Relinquetur in maledictum memoria ejus, et dedecus ejus non delebitur.

37. Et cognoscent qui relicti sunt, quoniam nihil melius timore Domini, et nihil dulcius quam attendere mandatis Dei.

CAPUT XXIV.

LAUDATIO SAPIENTIÆ.

1. Sapientia laudabit animam suam, et in medio populi sui gloriabitur.

38. Gloria magna est sequi Deum : longitudo autem dierum, assumi te ab eo.

2. Ἐν ἐκκλησίᾳ Ὑψίστου στόμα αὐτῆς ἀνοίξει, καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται.

5. Ἐγὼ ἀπὸ στόματος Ὑψίστου ἐξῆλθον,

6. καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν.

7. Ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα, καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης.

8. Γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη, καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα. Ἐν κύμασι θαλάσσης

9. καὶ ἐν πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ λαῷ

10. καὶ ἔθνει ἐκτησάμην.

11. Μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα, καὶ ἐν κληρονομίᾳ τινὸς αὐλισθήσομαι;

12. Τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων, καὶ ὁ κτίσας με κατέπαυσε τὴν σκηνήν μου,

13. καὶ εἶπεν· Ἐν Ἰακὼβ κατασκήνωσον, καὶ ἐν Ἰσραὴλ κατακληρονομήθητι.

14. Πρὸ τοῦ αἰῶνος ἀπ' ἀρχῆς ἔκτισέ με, καὶ ἕως αἰῶνος οὐ μὴ ἐκλίπω. Ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα,

15. καὶ οὕτως ἐν Σιὼν ἐστηρίχθην. Ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσε, καὶ ἐν Ἱερουσαλὴμ ἡ ἐξουσία μου.

16. Καὶ ἐῤῥίζωσα ἐν λαῷ δεδοξασμένῳ, ἐν μερίδι Κυρίου κληρονομίας αὐτοῦ.

17. Ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ, καὶ ὡς κυπάρισσος ἐν ὄρεσιν Ἀερμών.

18. Ὡς φοῖνιξ ἀνυψώθην ἐν αἰγιαλοῖς, καὶ ὡς φυτὰ ῥόδου ἐν Ἱεριχώ.

19. Ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ, καὶ ἀνυψώθην ὡς πλάτανος.

20. Ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμὴν, καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν.

21. Ὡς χαλβάνη καὶ ὄνυξ καὶ στακτὴ, καὶ ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ.

22. Ἐγὼ ὡς τερέμινθος ἐξέτεινα κλάδους μου, καὶ οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος.

23. Ἐγὼ ὡς ἄμπελος βλαστήσασα χάριν, καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλούτου. (*)

26. Προσέλθετε πρός με, οἱ ἐπιθυμοῦντές μου, καὶ ἀπὸ τῶν γεννημάτων μου ἐμπλήσθητε.

27. Τὸ γάρ μνημόσυνόν μου ὑπὲρ μέλι γλυκὺ, καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηροῦ.

29. Οἱ ἐσθίοντές με ἔτι πεινάσουσι, καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν.

30. Ὁ ὑπακούων μου οὐκ αἰσχυνθήσεται, καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτήσουσιν.

32. Ταῦτα πάντα, βίβλος διαθήκης Θεοῦ ὑψίστου, νόμον ὃν ἐνετείλατο Μωϋσῆς, κληρονομίαν συναγωγαῖς Ἰακώβ. (**)

2. In ecclesia Altissimi aperiet os suum, et in conspectu virtutis illius gloriabitur.

5. Ego ex ore Altissimi prodivi,

6. et sicut nebula obtexi terram.

7. Ego in altissimis habitavi, et thronus meus in columna nubis.

8. Gyrum cœli circuivi sola, et in profundo abyssorum deambulavi. In fluctibus maris

9. et in omni terra, et in omni populo

10. et gente possedi.

11. Cum his omnibus requiem quæsivi, et in hæreditate cujus morabor?

12. Tunc præcepit mihi creator omnium, et qui creavit me quiescere fecit tabernaculum meum,

13. et dixit: In Jacob inhabita, et in Israel hæreditare.

14. Ante sæculum ab initio creavit me, et usque ad sæculum non desinam. In habitatione sancta coram ipso ministravi,

15. et sic in Sion firmata sum. In civitate dilecta similiter quiescere me fecit, et in Jerusalem potestas mea.

16. Et radicavi in populo honorificato, in parte Domini hæreditatis ejus.

17. Quasi cedrus exaltata sum in Libano, et quasi cupressus in montibus Aermon.

18. Quasi palma exaltata sum in littoribus, et quasi plantæ rosæ in Jericho.

19. Quasi oliva speciosa in campo, et quasi platanus exaltata sum.

20. Sicut cinnamomum et aspalathus aromatum dedi odorem, et tamquam myrrha electa dedi suavitatem odoris.

21. Quasi galbanum et ungula et gutta, et quasi libani vapor in tabernaculo.

22. Ego quasi terebinthus expandi ramos meos, et rami mei rami honoris et gratiæ.

23. Ego quasi vitis fructificavi gratiam, et flores mei fructus honoris et honestatis.

26. Accedite ad me, qui concupiscitis me, et a generationibus meis adimplemini.

27. Memoria enim mea super mel dulcis, et hæreditas mea super mellis favum.

29. Qui edunt me adhuc esurient, et qui bibunt me adhuc sitient.

30. Qui audit me non confundetur, et qui operantur in me non peccabunt.

32. Hæc omnia, liber testamenti Dei altissimi, legem quam mandavit Moyses, hæreditatem synagogis Jacob.

(*) 24. Ἐγὼ μήτηρ τῆς ἀγαπήσεως τῆς καλῆς, καὶ φόβου καὶ γνώσεως καὶ τῆς ὁσίας ἐλπίδος.

25. Δίδομαι δὲ σύμπασι τοῖς τέκνοις μου ἀειγενεῖς τοῖς λεγομένοις ὑπ' αὐτοῦ. (*Compl.*)

(**) 33. Νόμος ὃν ἐνετείλατο ἡμῖν Μωϋσῆς, κληρονομίαν ἐν συναγωγαῖς Ἰακώβ. Μὴ ἐκλύεσθε ἰσχύειν ἐν Κυρίῳ, ἵνα κραταιώσῃ ὑμᾶς αὐτός. Κολλᾶσθε πρὸς αὐτόν· Κύριος παντοκράτωρ ὁ Θεὸς μόνος ἐστὶ, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ σωτήρ. (*C.*)

24. Ego mater pulchræ dilectionis, et timoris et agnitionis et sanctæ spei.

25. Do autem omnibus filiis meis dictis ab illo sempiternos *fructus*.

33. Lex quam mandavit nobis Moyses, hæreditatem in congregationibus Jacob. Ne deficiatis vires habere in Domino, ut confortet vos ipse. Conjungimini ad illum: Dominus omnipotens Deus solus est, et non est amplius præter eum salvator.

35. Ὁ πιμπλῶν ὡς Φεισὼν σοφίαν, καὶ ὡς Τίγρις ἐν ἡμέραις νέων.

36. Ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν, καὶ ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ.

37. Ὁ ἐκφαίνων ὡς φῶς παιδείαν ὡς Γηὼν, ἐν ἡμέραις τρυγητοῦ.

38. Οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτὴν, καὶ οὕτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν.

39. Ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα αὐτῆς, καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης. (*)

41. Κἀγὼ ὡς διώρυξ ἀπὸ ποταμοῦ, καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον εἰς παράδεισον.

42. Εἶπα· Ποτιῶ μου τὸν κῆπον, καὶ μεθύσω μου τὴν πρασιάν·

43. καὶ ἰδοὺ ἐγένετό μοι ἡ διώρυξ εἰς ποταμὸν, καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν.

44. Ἔτι παιδείαν ὡς ὄρθρον φωτιῶ, καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν.

46. Ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ, καὶ καταλείψω αὐτὴν εἰς γενεὰς αἰώνων.

47. Ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ἐκζητοῦσιν αὐτήν.

35. Qui implet quasi Phison sapientiam, et sicut Tigris in diebus novorum.

36. Qui adimplet quasi Euphrates sensum, et quasi Jordanes in diebus messis.

37. Qui emittit disciplinam sicut lucem, quasi Gehon in diebus vindemiæ.

38. Non consummavit primus scire ipsam, et sic ultimus non investigavit eam.

39. A mari enim abundavit cogitatio ejus, et consilium ejus ab abysso magna.

41. Et ego sicut fossa de flumine, et sicut aquæductus exivi in paradisum.

42. Dixi: Potabo hortum meum, et inebriabo pratum meum:

43. et ecce facta est mihi fossa in fluvium, et fluvius meus factus est in mare.

44. Adhuc doctrinam quasi antelucanum illuminabo, et ostendam ea usque in longinquum.

46. Adhuc doctrinam quasi prophetiam effundam, et relinquam illam in generationes sæculorum.

47. Videte quoniam non soli mihi laboravi, sed omnibus exquirentibus eam.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

1. Ἐν τρισὶν ὡραΐσθην καὶ ἀνέστην ὡραία ἔναντι Κυρίου καὶ ἀνθρώπων·

2. ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον, καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι.

3. Τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου, καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν·

4. πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην, γέροντα μοιχὸν ἐλαττούμενον συνέσει.

5. Ἐν νεότητι οὐ συναγήοχας, καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου;

6. Ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν.

7. Ὡς ὡραία γερόντων σοφία, καὶ δεδοξασμένοις διανόημα καὶ βουλή.

8. Στέφανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.

9. Ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ, καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης·

10. Ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις, ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν.

11. Μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ, καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησε, καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ αὐτοῦ.

12. Μακάριος ὃς εὗρε φρόνησιν, καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων.

13. Ὡς μέγας ὁ εὑρὼν σοφίαν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον τὸν Κύριον.

14. Φόβος Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν,

15. ὁ κρατῶν αὐτοῦ τίνι ὁμοιωθήσεται;

18. Πᾶσαν πληγὴν καὶ μὴ πληγὴν καρδίας,

CAPUT XXV.

1. In tribus decora facta sum et surrexi decora coram Domino et hominibus:

2. concordia fratrum, et amicitia proximorum, et vir et mulier sibi bene consentientes.

3. Tres autem species odivit anima mea, et indignata sum vitæ illorum:

4. pauperem superbum, et divitem mendacem, senem adulterum diminutum intellectu.

5. In juventute tua non congregasti, et quomodo in senectute tua invenies?

6. Quam speciosum canitiei judicium, et presbyteris cognoscere consilium!

7. Quam speciosa veteranis sapientia, et gloriosis intellectus et consilium!

8. Corona senum multa peritia, et gloria illorum timor Domini.

9. Novem cogitationes beatificavi in corde, et decimam dicam in lingua:

10. Homo qui jucundatur in filiis, vivens et videns subversionem inimicorum.

11. Beatus qui habitat cum muliere sensata, et qui in lingua non est lapsus, et qui non servivit indigno se.

12. Beatus qui invenit prudentiam, et qui narrat in aures audientium.

13. Quam magnus est qui invenit sapientiam! sed non est super timentem Dominum.

14. Timor Domini super omnia se superposuit,

15. qui tenet illum cui assimilabitur?

18. Omnem plagam et non plagam cordis,

(*) 40. Ἐγὼ ἡ σοφία ὡς διώρυξ ἀπὸ ποταμοῦ. (*Compl.*)

40. Ego sapientia sicut fossa a flumine.

19. καὶ πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν γυναικός.
20. Πᾶσαν ἐπαγωγὴν καὶ μὴ ἐπαγωγὴν μισούντων,
21. καὶ πᾶσαν ἐκδίκησιν καὶ μὴ ἐκδίκησιν ἐχθρῶν.
22. Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως,
23. καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ. Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδοκήσω, ἢ ἐνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.
24. Πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς, καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς ὡς σάκκον. Ἀναμέσον τοῦ πλησίον αὐτοῦ
25. ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς, καὶ ἀκούσας ἀνεστέναξε πικρά.
26. Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός, κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ.
27. Ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρου, οὕτως γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ.
28. Μὴ προςπέσῃς ἐπὶ κάλλος γυναικός, καὶ γυναῖκα μὴ ἐπιποθήσῃς.
29. Ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη
30. γυνή, ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς.
31. Καρδία ταπεινὴ καὶ πρόσωπον σκυθρωπὸν καὶ πληγὴ καρδίας, γυνὴ πονηρά.
32. Χεῖρες παρειμέναι καὶ γόνατα παραλελυμένα, ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς.
33. Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες.
34. Μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ ἐξουσίαν.
35. Εἰ μὴ πορεύεται κατὰ χεῖρά σου,
36. ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν.

ΚΕΦΑΛΑΙΟΝ ΚϚʹ.

1. Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ, καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ διπλάσιος.
2. Γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ.
3. Γυνὴ ἀγαθὴ μερὶς ἀγαθή, ἐν μερίδι φοβουμένων Κύριον δοθήσεται.
4. Πλουσίου δὲ καὶ πτωχοῦ καρδία ἀγαθή, ἐν παντὶ καιρῷ πρόςωπον ἱλαρόν.
5. Ἀπὸ τριῶν εὐλαβήθη ἡ καρδία μου, καὶ ἐπὶ τῷ τετάρτῳ προςώπῳ ἐδεήθην·
6. Διαβολὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλου,
7. καὶ καταψευσμόν· ὑπὲρ θάνατον πάντα μοχθηρά.
8. Ἄλγος καρδίας καὶ πένθος γυνὴ
9. ἀντίζηλος ἐπὶ γυναικί, καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα.
10. Βοοζύγιον σαλευόμενον γυνὴ πονηρά, ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου.
11. Ὀργὴ μεγάλη γυνὴ μέθυσος, καὶ ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύψει.
12. Πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν, καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται.
13. Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται.
14. Ὀπίσω ἀναιδοῦς ὀφθαλμοῦ φύλαξαι, καὶ μὴ θαυμάσῃς ἐὰν εἰς σὲ πλημμελήσῃ.
15. Ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίγει, καὶ ἀπὸ

19. et omnem nequitiam et non nequitiam mulieris.
20. Omnem obductionem et non obductionem odientium,
21. et omnem vindictam et non vindictam inimicorum.
22. Non est caput super caput colubri,
23. et non est ira super iram inimici. Commorari leoni et draconi placebit mihi, quam habitare cum muliere nequam.
24. Malitia mulieris immutat faciem ejus, et obcæcat vultum ejus quasi saccum. In medio proximorum suorum
25. concidet vir ejus, et audiens suspiravit amare.
26. Brevis omnis malitia ad malitiam mulieris, sors peccatoris cadat super illam.
27. Ascensus arenosus in pedibus veterani, sic mulier linguata viro quieto.
28. Ne procidas ad speciem mulieris, et non concupiscas mulierem.
29. Ira et irreverentia et confusio magna
30. mulier, si subministret viro suo.
31. Cor humile et facies tristis et plaga cordis, mulier nequam.
32. Manus debiles et genua dissoluta, quæ non beatificabit virum suum.
33. A muliere initium peccati, et per illam omnes morimur.
34. Ne des aquæ exitum, nec mulieri nequam potestatem.
35. Si non ambulaverit ad manum tuam,
36. a carnibus tuis abscinde illam.

CAPUT XXVI.

1. Mulieris bonæ beatus vir, et numerus annorum illius duplex.
2. Mulier fortis oblectat virum suum, et annos illius implebit in pace.
3. Pars bona mulier bona, in parte timentium Dominum dabitur.
4. Divitis autem et pauperis cor bonum, in omni tempore vultus hilaris.
5. A tribus timuit cor meum, et in quarto facie supplicavi :
6. Delaturam civitatis, et collectionem turbæ,
7. et calumniam mendacem : super mortem omnia gravia.
8. Dolor cordis et luctus mulier
9. zelotypa in mulierem zelotypam, et flagellum linguæ omnibus communicans.
10. Boum jugum quod commovetur mulier nequam, qui tenet illam quasi qui apprehendit scorpionem.
11. Ira magna mulier ebriosa, et turpitudinem suam non conteget.
12. Fornicatio mulieris in extollentia oculorum, et in palpebris illius agnoscetur.
13. In filia non avertente se firma custodiam, ne inventa remissione utatur se.
14. Post irreverentem oculum cave, et non mireris si in te deliquerit.
15. Sicut viator sitiens os aperit, et ab omni aqua pro-

παντὸς ὕδατος τοῦ σύνεγγυς πίεται, κατέναντι παντὸς πασσάλου καθήσεται, καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν.

16. Χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ὀστᾶ αὐτοῦ πιανεῖ

17. ἡ ἐπιστήμη αὐτῆς. Δόσις Κυρίου

18. γυνὴ σιγηρὰ, καὶ οὐκ ἔστιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς.

19. Χάρις ἐπὶ χάριτι γυνὴ αἰσχυντηρὰ,

20. καὶ οὐκ ἔστι σταθμὸς πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς.

21. Ἥλιος ἀνατέλλων ἐν ὑψίστοις Κυρίου, καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτοῦ.

22. Λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας, καὶ κάλλος προςώπου ἐπὶ ἡλικίᾳ στασίμῃ.

23. Στῦλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς, καὶ πόδες ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς. (*)

25. Ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου, καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν·

26. ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν, καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν.

27. Ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν.

28. Μόλις ἐξελεῖται ἔμπορος ἀπὸ πλημμελείας, καὶ οὐ δικαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.

xima bibet, contra omnem palum sedebit, et contra sagittam aperiet pharetram.

16. Gratia mulieris delectabit virum suum, et ossa illius impinguabit

17. scientia ipsius. Datum Domini est

18. mulier taciturna, et non est commutatio eruditæ animæ.

19. Gratia super gratiam mulier pudorata,

20. et non est pondus omne dignum continentis animæ.

21. Sol exoriens in altissimis Domini, et species mulieris bonæ in ornamento domus suæ.

22. Lucerna lucens super candelabrum sanctum, et species faciei in ætate stabili.

23. Columnæ aureæ super basim argenteam, et pedes decori in pectoribus stabilis.

25. In duobus contristatum est cor meum, et in tertio iracundia mihi advenit:

26. vir bellator deficiens per inopiam, et viri sensati si contemnantur.

27. Regrediens a justitia ad peccatum, Dominus parabit eum ad romphæam.

28. Difficile exuetur negotians a delicto, et non justificabitur caupo a peccato.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

1. Χάριν ἀδιαφόρου πολλοὶ ἥμαρτον, καὶ ὁ ζητῶν πληθῦναι ἀποστρέψει ὀφθαλμόν.

2. Ἀναμέσον ἁρμῶν λίθων παγήσεται πάσσαλος, καὶ ἀναμέσον πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται ἁμαρτία.

4. Ἐὰν μὴ ἐν φόβῳ Κυρίου κρατήσῃ κατὰ σπουδὴν, ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος.

5. Ἐν σείσματι κοσκίνου διαμένει κοπρία, οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.

6. Σκεύη κεραμέως δοκιμάζει κάμινος, καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ.

7. Γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς αὐτοῦ, οὕτως λόγος ἐνθυμήματος καρδίας ἀνθρώπου.

8. Πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα, οὗτος γὰρ πειρασμὸς ἀνθρώπων.

9. Ἐὰν διώκῃς τὸ δίκαιον, καταλήψῃ, καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη δόξης.

10. Πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει, καὶ ἀλήθεια πρὸς τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει.

11. Λέων θήραν ἐνεδρεύει, οὕτως ἁμαρτίαι ἐργαζομένους ἄδικα.

12. Διήγησις εὐσεβοῦς διαπαντὸς σοφία, ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται.

13. Εἰς μέσον ἀσυνέτων συντήρησον καιρὸν, εἰς μέσον δὲ διανοουμένων ἐνδελέχιζε.

14. Διήγησις μωρῶν προσόχθισμα, καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.

15. Λαλιὰ πολιόρκου ὀρθώσει τρίχας, καὶ ἡ μάχη αὐτῶν ἐμφραγμὸς ὠτίων.

CAPUT XXVII.

1. Propter indifferens multi deliquerunt, et qui quærit locupletari avertet oculum.

2. In medio compaginis lapidum palus figetur, et inter medium venditionis et emptionis angustiabitur peccatum.

4. Si non in timore Domini tenuerit se instanter, cito subvertetur domus ejus.

5. In percussura cribri remanet fimus, sic quisquiliæ hominis in cogitatione ejus.

6. Vasa figuli probat fornax, et tentatio hominis in sermocinatione ejus.

7. Culturam ligni ostendit fructus ipsius, sic verbum ex cogitatum hominis cor.

8. Ante sermonem non laudes virum, hæc enim tentatio est hominum.

9. Si sequaris justitiam, apprehendes, et indues illam quasi poderem honoris.

10. Volatilia ad sibi similia divertent, et veritas ad eos qui operantur ipsam revertetur.

11. Leo venationi insidiatur, sic peccata operantibus iniqua.

12. Narratio pii semper sapientia, stultus autem ut luna mutatur.

13. In medio insensatorum serva tempus, in medio autem cogitantium assiduus esto.

14. Narratio fatuorum odiosa, et risus eorum in deliciis peccati.

15. Loquela multum jurantis arriget capillos, et jurgium eorum obturatio aurium.

(*) 24. Τέκνον, ἀκμὴν ἡλικίας σου συντήρησον ὑγιῆ, καὶ μὴ δῷς ἀλλοτρίοις τὴν ἰσχύν σου. (*Compl.*)

24. Fili, florem ætatis tuæ conserva sanam, et ne des alienis robur tuum.

16. Ἔκχυσις αἵματος μάχη ὑπερηφάνων, καὶ ἡ διαλοιδόρησις αὐτῶν ἀκοὴ μοχθηρά.
17. Ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε πίστιν, καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ.
18. Στέρξον φίλον, καὶ πιστώθητι μετ' αὐτοῦ·
19. ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ, οὐ μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ.
20. Καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν ἐχθρὸν αὐτοῦ, οὕτως ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίον.
21. Καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπέλυσας, οὕτως ἀφῆκας τὸν πλησίον, καὶ οὐ θηρεύσεις αὐτόν.
22. Μὴ αὐτὸν διώξῃς, ὅτι μακρὰν ἀπέστη, καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος. Ὅτι θραῦμά ἐστι
23. καταδῆσαι, καὶ λοιδορίας ἐστὶ διαλλαγή·
24. ὁ δὲ ἀποκαλύψας μυστήρια ἀπήλπισεν.
25. Διανεύων ὀφθαλμῷ τεκταίνει κακὰ, καὶ οὐδεὶς αὐτὸν ἀποστήσει ἀπ' αὐτοῦ.
26. Ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ στόμα σου, καὶ ἐπὶ τῶν λόγων σου ἐκθαυμάσει· ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ, καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον.
27. Πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ, καὶ ὁ Κύριος μισήσει αὐτόν.
28. Ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει, καὶ πληγὴ δολία διελεῖ τραύματα.
29. Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται.
30. Ὁ ποιῶν πονηρὰ εἰς αὐτὸν κυλισθήσεται, καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.
31. Ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνων, καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν.
32. Παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πτώσει εὐσεβῶν, καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ θανάτου αὐτῶν.
33. Μῆνις καὶ ὀργὴ καὶ ταῦτά ἐστι βδελύγματα, καὶ ἀνὴρ ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

16. Effusio sanguinis rixa superborum, et maledictio illorum auditus gravis.
17. Qui denudat arcana fidem perdidit, et non inveniet amicum ad animum suum.
18. Dilige amicum, et conjungere fide cum illo :
19. si autem denudaveris absconsa illius, non persequaris post eum.
20. Sicut enim perdidit homo inimicum suum, sic qui perdidit amicitiam proximi.
21. Et sicut qui dimisit avem de manu sua, sic demisisti proximum, et non eum capies.
22. Non illum sequaris, quoniam longe discessit, et effugit quasi caprea de laqueo. Quoniam vulnus est
23. colligare, et maledicti est concordatio :
24. qui autem denudavit mysteria desperavit.
25. Annuens oculo fabricat iniqua, et nemo ipsum removebit ab ipso.
26. In conspectu oculorum tuorum indulcabit os tuum, et super sermones tuos admirabitur : novissime autem pervertet os suum, et in verbis tuis dabit scandalum.
27. Multa odivi et non coæquavi ei, et Dominus odiet illum.
28. Qui in altum mittit lapidem super caput suum mittit, et plaga dolosa dividet vulnera.
29. Qui foveam fodit incidet in eam, et qui statuit laqueum in eo capietur.
30. Qui facit mala super ipsum volventur, et non agnoscet unde adveniant sibi.
31. Illusio et improperium superborum, et vindicta sicut leo insidiabitur illi.
32. Laqueo capientur qui oblectantur casu justorum, et dolor consumet illos antequam moriantur.
33. Ira et furor etiam hæc sunt abominationes, et vir peccator continens erit illorum.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

1. Ὁ ἐκδικῶν παρὰ Κυρίου εὑρήσει ἐκδίκησιν, καὶ τὰς ἁμαρτίας αὐτοῦ διατηρῶν διατηρήσει.
2. Ἄφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε δεηθέντος σου αἱ ἁμαρτίαι σου λυθήσονται.
3. Ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργὴν, καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν.
4. Ἐπ' ἄνθρωπον ὅμοιον αὐτῷ οὐκ ἔχει ἔλεος, καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται;
5. Αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ;
6. Μνήσθητι τὰ ἔσχατα, καὶ παῦσαι ἐχθραίνων·
7. καταφθορὰν καὶ θάνατον, καὶ ἔμμενε ἐντολαῖς.
8. Μνήσθητι ἐντολῶν καὶ μὴ μηνίσῃς τῷ πλησίον,
9. καὶ διαθήκης Ὑψίστου, καὶ πάριδε ἄγνοιαν.
10. Ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας·
11. ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην. Καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀναμέσον εἰρηνευόντων ἐμβάλλει διαβολήν.
12. Κατὰ τὴν ὕλην πυρὸς οὕτως ἐκκαυθήσεται, κατὰ τὴν ἰσχὺν τοῦ ἀνθρώπου ὁ θυμὸς αὐτοῦ ἔσται, καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ, καὶ κατὰ τὴν στερέωσιν τῆς μάχης ἐκκαυθήσεται.

CAPUT XXVIII.

1. Qui vindicat a Domino inveniet vindictam, et peccata illius servans servabit.
2. Remitte injuriam proximo tuo, et tunc deprecanti tibi peccata solventur.
3. Homo homini reservat iram, et a Deo quærit medelam.
4. In hominem similem sibi non habet misericordiam, et de peccatis suis deprecatur?
5. Ipse cum caro sit reservat iram, quis propitiabit peccata illius?
6. Memento novissimorum, et desine inimicari :
7. tabitudinis et mortis, et permane in mandatis.
8. Memorare mandata et ne irascaris proximo,
9. et testamentum Altissimi, et despice ignorantiam.
10. Abstine a lite, et minues peccata :
11. homo enim iracundus incendet litem. Et vir peccator turbabit amicos, et in medio pacem habentium immittit calumniam.
12. Secundum materiam ignis sic exardescet, secundum virtutem hominis iracundia illius erit, et secundum substantiam exaltabit iram suam, et secundum firmitatem rixæ exardescet.

13. Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ, καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.
14. Ἐὰν φυσήσῃς εἰς σπινθῆρα ἐκκαήσεται, καὶ ἐὰν πτύσῃς ἐπ' αὐτὸν σβεσθήσεται, καὶ ἀμφότερα ἐκ τοῦ στόματός σου ἐκπορεύεται.
15. Ψίθυρον καὶ δίγλωσσον καταρᾶσθαι, πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσαν.
16. Γλῶσσα τρίτη πολλοὺς ἐσάλευσε, καὶ διέστησεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος·
17. καὶ πόλεις ὀχυρὰς καθεῖλε, καὶ οἰκίας μεγιστάνων κατέστρεψε.
19. Γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλε, καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν.
20. Ὁ προσέχων αὐτῇ οὐ μὴ εὕρῃ ἀνάπαυσιν, οὐδὲ κατασκηνώσει μεθ' ἡσυχίας.
21. Πληγὴ μάστιγος ποιεῖ μώλωπα, πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ.
22. Πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας, καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν.
23. Μακάριος ὁ σκεπασθεὶς ἀπ' αὐτῆς, ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς, ὃς οὐχ εἵλκυσε τὸν ζυγὸν αὐτῆς, καὶ ἐν τοῖς δεσμοῖς αὐτῆς οὐκ ἐδέθη.
24. Ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηροῦς, καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκεοι.
25. Θάνατος πονηρὸς ὁ θάνατος αὐτῆς, καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς.
26. Οὐ μὴ κρατήσῃ εὐσεβῶν, καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται.
27. Οἱ καταλείποντες Κύριον ἐμπεσοῦνται εἰς αὐτὴν, καὶ ἐν αὐτοῖς ἐκκαήσεται, καὶ οὐ μὴ σβεσθῇ. Ἐξαποσταλήσεται ἐπ' αὐτοῖς ὡς λέων, καὶ ὡς πάρδαλις λυμανεῖται αὐτούς.
28. Ἴδε περίφραξον τὸ κτῆμά σου ἀκάνθαις,
29. τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον κατάδησον· καὶ τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ σταθμὸν, καὶ τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν.
30. Πρόσεχε μήπως ὀλισθήσῃς ἐν αὐτῇ, μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

13. Contentio festinata incendit ignem, et rixa festinans effundit sanguinem.
14. Si sufflaveris scintillam exardescet, et si exspueris super illam exstinguetur, et utraque ex ore tuo proficiscuntur.
15. Susurronem et bilinguem maledicere, multos enim pacem habentes perdiderunt.
16. Lingua tertia multos commovit, et dispersit illos de gente in gentem :
17. et civitates munitas destruxit, et domos magnatorum subvertit.
19. Lingua tertia mulieres viriles ejecit, et privavit illas laboribus suis.
20. Qui attendit illi non inveniet requiem, nec habitabit cum requie.
21. Flagelli plaga livorem faciet, plaga autem linguæ comminuet ossa.
22. Multi ceciderunt in ore gladii, et non ut ii qui ceciderunt per linguam.
23. Beatus qui tectus est ab ea, qui in iracundia illius non transivit, qui non traxit jugum illius, et in vinculis illius non est ligatus.
24. Jugum enim illius jugum ferreum est, et vincula illius vincula ærea.
25. Mors illius mors nequissima, et utilis potius infernus quam illa.
26. Non obtinebit pios, et in flamma illius non comburentur.
27. Qui relinquunt Dominum incident in illam, et exardebit in illis, et non exstinguetur. Immittetur in illos quasi leo, et quasi pardus perdet eos.
28. Ecce sepi possessionem tuam spinis,
29. argentum tuum et aurum alliga : et verbis tuis fac jugum et stateram, et ori tuo fac ostium et vectem.
30. Attende ne forte labaris in ea, ne cadas in conspectu insidiantis.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

1. Ὁ ποιῶν ἔλεος δανειεῖ τῷ πλησίον, καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ ἐντολάς.
2. Δάνεισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ, καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν.
3. Στερέωσον λόγον, καὶ πιστώθητι μετ' αὐτοῦ, καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου.
4. Πολλοὶ ὡς εὕρεμα ἐνόμισαν δάνος, καὶ παρέσχον πόνον τοῖς βοηθήσασιν αὐτοῖς.
5. Ἕως οὗ λάβῃ καταφιλήσει χεῖρα αὐτοῦ, καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν.
6. Καὶ ἐν καιρῷ ἀποδόσεως παρελκύσει χρόνον, καὶ ἀποδώσει λόγους ἀκηδίας καὶ τὸν καιρὸν αἰτιάσεται.
7. Ἐὰν ἰσχύσῃ, μόλις κομίσεται τὸ ἥμισυ, καὶ λογιεῖται αὐτὸ ὡς εὕρεμα.
8. Εἰ δὲ μὴ, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ, καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν·
9. κατάρας καὶ λοιδορίας ἀποδώσει αὐτῷ, καὶ ἀντὶ δόξης ἀποδώσει αὐτῷ ἀτιμίαν.
10. Πολλοὶ χάριν πονηρίας ἀπέστρεψαν, ἀποστερηθῆναι δωρεὰν εὐλαβήθησαν.

CAPUT XXIX.

1. Qui facit misericordiam fœnerabitur proximo, et qui prævalet manu sua mandata servat.
2. Fœnerare proximo in tempore necessitatis illius, et rursus redde proximo in tempore.
3. Confirma verbum et fideliter age cum illo, et in omni tempore invenies quod tibi necessarium est.
4. Multi quasi inventionem æstimaverunt fœnus, et præstiterunt molestiam iis qui se adjuverunt.
5. Donec accipiat osculabitur manum ejus, et in pecuniis proximi humiliabit vocem.
6. Et in tempore redditionis protrahet tempus, et reddet verba acediæ et tempus causabitur.
7. Si potuerit, vix reddet dimidium, et computabit illud quasi inventionem.
8. Sin autem, fraudavit illum pecuniis ejus, et possedit illum inimicum gratis :
9. maledicta et convicia reddet illi, et pro honore reddet illi inhonorationem.
10. Multi propter nequitiam averterunt, fraudari gratis timuerunt.

11. Πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπ' ἐλεημοσύνην μὴ παρελκύσῃς αὐτόν.
12. Χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος, καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν.
13. Ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον, καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν.
14. Θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς Ὑψίστου, καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον.
15. Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως.
16, 17, 18. Ὑπὲρ ἀσπίδα κράτους, καὶ ὑπὲρ δόρυ ἀλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ.
19. Ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, καὶ ὁ ἀπολωλεκὼς αἰσχύνην καταλείψει αὐτόν.
20. Χάριτας ἐγγύου μὴ ἐπιλάθῃ, ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ. (*)
22. Ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλὸς, καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.
24. Ἐγγύη πολλοὺς ἀπώλεσε κατευθύνοντας, καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης.
25. Ἄνδρας δυνατοὺς ἀπῴκισε, καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις.
26. Ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγγύην, καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσεις.
27. Ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου, καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς.
28. Ἀρχὴ ζωῆς ὕδωρ καὶ ἄρτος καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων ἀσχημοσύνην.
29. Κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν, ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις.
30. Ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε. (**)
31. Ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροικήσει, οὐκ ἀνοίξει στόμα.
32. Ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ.
33. Πάρελθε, πάροικε, κόσμησον τράπεζαν, καὶ εἴτι ἐν τῇ χειρί σου ψώμισόν με.
34. Ἔξελθε, πάροικε, ἀπὸ προσώπου δόξης, ἐπεξένωταί μοι ὁ ἀδελφὸς, χρεία τῆς οἰκίας.
35. Βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

11. Verumtamen super humilem longanimis esto, et pro eleemosyna non protrahas illum.
12. Propter mandatum assume pauperem, et secundum inopiam ejus ne dimittas eum vacuum.
13. Perde pecuniam propter fratrem et amicum, et non contrahat rubiginem sub lapide in perditionem.
14. Pone thesaurum tuum secundum præcepta Altissimi, et proderit tibi magis quam aurum.
15. Conclude eleemosynam in cellis tuis, et hæc eruet te ex omni malo.
16, 17, 18. Super scutum potentiæ, et super lanceam roboris adversus inimicum pugnabit pro te.
19. Vir bonus fidejubet pro proximo, et qui perdidit verecundiam derelinquet illum.
20. Gratias fidejussoris ne obliviscaris, dedit enim pro te animam suam.
22. Bona fidejussoris evertet peccator, et ingratus sensu derelinquet liberantem se.
24. Fidejussio multos perdidit dirigentes, et commovit illos quasi fluctus maris.
25. Viros potentes migrare fecit, et vagati sunt in gentibus alienis.
26. Peccator incidens in fidejussionem, et sectans redemptiones incidet in judicia.
27. Recupera proximum secundum virtutem tuam, et attende tibi ne incidas.
28. Initium vitæ aqua et panis et vestimentum, et domus tegens turpitudinem.
29. Melior est victus pauperis sub tegmine asserum, quam epulæ splendidæ in alienis.
30. Super minimum et magnum placeat tibi.
31. Vita nequam de domo in domum, et ubi hospitabitur, non aperiet os.
32. Hospitio suscipies et potabis ad ingrata, et præterea in his amara audies.
33. Transi, hospes, orna mensam, et si quid in manu tua ciba me.
34. Exi, hospes, a facie honoris, advenit mihi hospitio suscipiendus frater, opus est domo.
35. Gravia hæc homini habenti sensum, increpatio domus et improperium fœneratoris.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

ΠΕΡΙ ΤΕΚΝΩΝ.

1. Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ, ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτῳ αὐτοῦ.
2. Ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ, καὶ ἀναμέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται.
3. Ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρὸν, καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται.
4. Ἐτελεύτησεν αὐτοῦ ὁ πατὴρ, καὶ ὡς οὐκ ἀπέθανεν· ὅμοιον γὰρ αὐτῷ κατέλιπε μετ' αὐτόν.
5. Ἐν τῇ ζωῇ αὐτοῦ εἶδε καὶ εὐφράνθη, καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη.

CAPUT XXX.

DE LIBERIS.

1. Qui diligit filium suum assiduabit illi flagella, ut lætetur in novissimo suo.
2. Qui erudit filium suum lucrabitur in illo, et in medio notorum in illo gloriabitur.
3. Qui docet filium suum in zelum mittet inimicum, et in medio amicorum gloriabitur in illo.
4. Mortuus est pater ejus, et quasi non est mortuus : similem enim sibi reliquit post se.
5. In vita sua vidit et lætatus est, et in obitu suo non est contristatus.

(*) 21. Ἔγγυον φεύξεται ἁμαρτωλὸς, καὶ ἄχρηστος ἐν διανοίᾳ καταλείψει. (*Compl.*)
(**) 30. ... καὶ ὀνειδισμὸν οἰκίας σου μὴ ἀκούσῃς. (*C.*)

21. Fidejussorem fugiet peccator, et inutilis in cogitatione relinquet.
30. ... et improperium peregrinationis tuæ non audies.

6. Ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον, καὶ τοῖς φίλοις ἀνταποδιδόντα χάριν.
7. Περιψύχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ, καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ.
8. Ἵππος ἀδάμαστος ἀποβαίνει σκληρὸς, καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής.
9. Τιθήνησον τέκνον καὶ ἐκθαμβήσει σε, σύμπαιξον αὐτῷ καὶ λυπήσει σε.
10. Μὴ συγγελάσῃς αὐτῷ ἵνα μὴ συνοδυνηθῇς, καὶ ἐπ' ἐσχάτῳ γομφιάσεις τοὺς ὀδόντας σοῦ.
11. Μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι, (a)
(b) 12. θλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἔστι νήπιος, μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι.
13. Παίδευσον τὸν υἱόν σου, καὶ ἔργασαι ἐν αὐτῷ, ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ σου προσκόψῃ.
(a) 11. Καὶ μὴ παρίδῃς τὰς ἀγνοίας αὐτοῦ.
(b) 12. Κάμψον τὸν τράχηλον αὐτοῦ ἐν νεότητι. (*)

ΠΕΡΙ ΥΓΙΕΙΑΣ.

14. Κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει, ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ.
15. Ὑγεία καὶ εὐεξία βέλτιον παντὸς χρυσίου, καὶ σῶμα εὔρωστον ἢ ὄλβος ἀμέτρητος.
16. Οὐκ ἔστι πλοῦτος βελτίων ὑγείας σώματος, καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας.
17. Κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀῤῥώστημα ἔμμονον.
18. Ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ, θέματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ.
19. Τί συμφέρει κάρπωσις εἰδώλῳ; Οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ,
20. οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ Κυρίου.
21. Βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων, ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων.
22. Μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου, καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου.
23. Εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου, καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις.
24. Ἀγάπα τὴν ψυχήν σου, καὶ παρακάλει τὴν καρδίαν σου, καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ.
25. Πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ.
26. Ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας, καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα.
(**) (*Vulg.* XXXIII, 16.) Ὡς καλαμώμενος ὀπίσω τρυγητῶν,
17. ἐν εὐλογίᾳ Κυρίου ἔφθασα, καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν.
18. Κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ζητοῦσι παιδείαν.
19. Ἀκούσατέ μου, μεγιστᾶνες λαοῦ, καὶ οἱ ἡγούμενοι ἐκκλησίας, ἐνωτίσασθε.
20. Υἱῷ καὶ γυναικὶ, ἀδελφῷ καὶ φίλῳ μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου, καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματα σου, ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ αὐτῶν.
21. Ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοὶ, μὴ ἀλλάξῃς σεαυτὸν πάσῃ σαρκί.

(*) 12. ... καὶ ἔσται σοι ὀδύνη ψυχῆς. (*Compl.*)
(**) 16. Κἀγὼ ἔσχατος ἠγρύπνησα.

6. Contra inimicos reliquit defensorem, et amicis reddentem gratiam.
7. Refrigerans filium colligabit vulnera illius, et ad omnem clamorem turbabuntur viscera sua.
8. Equus indomitus evadit durus, et filius remissus evadit præceps.
8. Lacta filium et paventem te faciet, lude cum illo et contristabit te.
10. Ne corrideas illi ne simul doleas, et in novissimo quaties dentes.
11. Non des illi potestatem in juventute,
12. tunde latera illius, dum infans est, ne forte induratus non credat tibi.
13. Erudi filium tuum, et operare in illo, ne in turpitudinem tuam offendat.
11. Et ne despicias ignorantias illius.
12. Curva cervicem ejus in juventute.

DE SANITATE.

14. Melior est pauper sanus et fortis viribus, quam dives flagellatus in corpore suo.
15. Sanitas et bona habitudo melior est omni auro, et corpus validum quam census immensus.
16. Non est census melior sanitate corporis, et non est oblectamentum super cordis gaudium.
17. Melior est mors quam vita amara aut languor perseverans.
18. Bona offusa ad os clausum, appositiones epularum appositæ super sepulcrum.
19. Quid prodest oblatio idolo? Nec enim manducabit nec odorabitur,
20. sic qui persecutionem patitur a Domino.
21. Videns oculis et ingemiscens, sicut spado complectens virginem et suspirans.
22. Non des in tristitiam animam tuam, et non affligas temetipsum in consilio tuo.
23. Jucunditas cordis hæc est vita hominis, et exsultatio viri est longævitas.
24. Dilige animam tuam, et consolare cor tuum, et tristitiam longe expelle a te.
25. Multos enim occidit tristitia, et non est utilitas in ea.
26. Zelus et iracundia minuunt dies, et ante tempus senectam adducit cogitatus.
(*Vulg.* XXXIII, 16.) Quasi qui colligit acinos post vindemiatores,
17. in benedictione Domini perveni, et quasi qui vindemiat replevi torcular.
18. Respicite quoniam non mihi soli laboravi, sed omnibus exquirentibus disciplinam.
19. Audite me, magnates populi, et rectores ecclesiæ, auribus percipite.
20. Filio et mulieri, fratri et amico non des potestatem super te in vita tua, et non dederis aliis pecunias tuas, ne forte pœniteat te et depreceris pro illis.
21. Dum adhuc superes et spiratio in te, ne alienes tepsum omni carni.

12. ... et erit tibi dolor animæ.
16. Et ego novissimus evigilavi.

22. Κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σου, ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου.

23. Ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ὑπεράγων,

24. μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου. Ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σου καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν.

ΠΕΡΙ ΔΟΥΛΩΝ.

25. Χορτάσματα καὶ ῥάβδος καὶ φορτία ὄνῳ, ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.

26. Ἔργασαι ἐν παιδὶ καὶ εὑρήσεις ἀνάπαυσιν, ἄνες χεῖρας αὐτῷ καὶ ζητήσει ἐλευθερίαν.

27. Ζυγὸς καὶ ἱμὰς κάμψουσι τράχηλον,

28. καὶ οἰκέτῃ κακούργῳ στρέβλαι καὶ βάσανοι. Ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ·

29. πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία.

30. Εἰς ἔργα κατάστησον καθὼς πρέπει αὐτῷ, κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ. Καὶ μὴ περισσεύσῃς ἐν πάσῃ σαρκὶ, καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν.

31. Εἰ ἔστι σοι οἰκέτης, ἔστω ὡς σὺ, ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν. Εἰ ἔστι σοι οἰκέτης, ἄγε αὐτὸν ὡς σεαυτὸν, ὅτι ὡς ἡ ψυχή σου ἐπιδεήσεις αὐτοῦ.

32. Ἐὰν κακώσῃς αὐτὸν

33. καὶ ἀπάρας ἀποδρᾷ, ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

(*Vulg.* XXXIV, 1.) Κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρὶ, καὶ ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας.

2. Ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον, οὕτως ὁ ἐπέχων ἐνυπνίοις.

3. Τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων, κατέναντι προσώπου ὁμοίωμα προσώπου.

4. Ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται; καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει;

5. Μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστι,

6. καὶ ὡς ὠδινούσης φαντάζεται καρδία. Ἐὰν μὴ παρὰ Ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ, μὴ δῷς εἰς αὐτὰ τὴν καρδίαν σου.

7. Πολλοὺς ἐπλάνησε τὰ ἐνύπνια, καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς.

8. Ἄνευ ψεύδους συντελεσθήσεται νόμος, καὶ σοφία στόματι πιστῷ τελείωσις.

9. Ἀνὴρ πεπαιδευμένος ἔγνω πολλὰ, καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν.

10. Ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν, ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν.

12. Πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου, καὶ πλείονα τῶν λόγων μου, σύνεσίς μου.

13. Πλεονάκις ἕως θανάτου ἐκινδύνευσα, καὶ διεσώθην τούτων χάριν.

14. Πνεῦμα φοβουμένων Κύριον ζήσεται,

15. ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτούς.

16. Ὁ φοβούμενος Κύριον οὐ μὴ εὐλαβηθήσεται, καὶ οὐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ.

17. Φοβουμένου τὸν Κύριον μακαρία ἡ ψυχή·

22. Melius est enim ut filii tui te rogent, quam te respicere in manus filiorum tuorum.

23. In omnibus operibus tuis præcellens esto,

24. ne dederis maculam in gloria tua. In die consummationis dierum vitæ tuæ et in tempore exitus distribue hæreditatem tuam.

DE SERVIS.

25. Pabula et virga et onera asino, panis et disciplina et opus servo.

26. Operare in puero et invenies requiem, laxa manus illi et quæret libertatem.

27. Jugum et lorum curvabunt collum,

28. et servo malefico torturæ et tormenta. Mitte illum in operationem, ne vacet:

29. multam enim malitiam docuit otiositas.

30. In opera constitue illum prout condecet illum, quod si non obaudierit, aggrava pedes ejus. Et non amplifices super omnem carnem, et sine judicio nihil facias.

31. Si est tibi servus, sit sicut tu, quoniam in sanguine comparasti eum. Si est tibi servus, tracta eum sicut teipsum, quoniam tamquam anima tua egebis eo.

32. Si afflixeris eum

33. et tollens aufugiat, in quà via quæres illum?

CAPUT XXXI.

(*Vulg.* XXXIV, 1.) Vanæ spes et mendaces viro insensato, et somnia volare faciunt imprudentes.

2. Quasi qui apprehendit umbram et persequitur ventum, sic qui attendit somniis.

3. Hoc juxta hoc visio somniorum, ante faciem similitudo faciei.

4. Ab immundo quid mundabitur? et a falso quid verum erit?

5. Divinationes et auguria et somnia vana sunt,

6. et sicut parturientis cor phantasias patitur. Nisi ab Altissimo fuerint missa in visitatione, ne dederis ad illa cor tuum.

7. Multos errare fecerunt somnia, et exciderunt sperantes in illis.

8. Sine mendacio consummabitur lex, et sapientia ori fideli perfectio.

9. Vir eruditus novit multa, et qui multa expertus est enarrabit intellectum.

10. Qui non est expertus pauca novit, qui autem vagatus est multiplicabit astutiam.

12. Multa vidi in circumerratione mea, et plura verborum meorum, intellectus meus.

13. Sæpe usque ad mortem periclitatus sum, et salvatus sum horum gratia.

14. Spiritus timentium Dominum vivet,

15. spes enim illorum in salvantem illos.

16. Qui timet Dominum non trepidabit, et non pavebit, quoniam ipse est spes ejus.

17. Timentis Dominum beata est anima:

18. τίνι ἐπέχει, καὶ τίς ἀντιστήριγμα αὐτοῦ;
19. Οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν, ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος, σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας,
20. φυλακὴ ἀπὸ προσκόμματος καὶ βοήθεια ἀπὸ πτώματος. Ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμοὺς, ἴασιν διδοὺς, ζωὴν καὶ εὐλογίαν.
21. Θυσιάζων ἐξ ἀδίκου, προσφορὰ μεμωκημένη, καὶ οὐκ εἰς εὐδοκίαν μωκήματα ἀνόμων.
23. Οὐκ εὐδοκεῖ ὁ Ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν, οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας.
24. Θύων υἱὸν ἔναντι τοῦ πατρὸς αὐτοῦ, ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.
25. Ἄρτος ἐπιδεομένων ζωὴ πτωχῶν, ὁ ἀποστερῶν αὐτὴν ἄνθρωπος αἱμάτων.
26. Φονεύων τὸν πλησίον, ὁ ἀφαιρούμενος συμβίωσιν,
27. καὶ ἐκχέων αἷμα ὁ ἀποστερῶν μισθὸν μισθίου.
28. Εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλεῖον ἢ κόπους;
29. Εἷς εὐχόμενος καὶ εἷς καταρώμενος, τίνος φωνῆς εἰσακούσεται ὁ Δεσπότης;
30. Βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησε τῷ λουτρῷ αὐτοῦ;
31. Οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται, καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

(XXXV, 1.) Ὁ συντηρῶν νόμον πλεονάζει προσφοράς.
2. Θυσιάζων σωτηρίου ὁ προσέχων ἐντολαῖς.
4. Ἀνταποδιδοὺς χάριν προσφέρων σεμίδαλιν, καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως.
5. Εὐδοκία Κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας.
6. Μὴ ὀφθῇς ἐν προσώπῳ Κυρίου κενὸς,
7. πάντα γὰρ ταῦτα χάριν ἐντολῆς.
8. Προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον, καὶ ἡ εὐωδία αὐτῆς ἔναντι Ὑψίστου.
9. Θυσία ἀνδρὸς δικαίου δεκτὴ, καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται.
10. Ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν Κύριον, καὶ μὴ σμικρύνῃς ἀπαρχὴν χειρῶν σου.
11. Ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου, καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην.
12. Δὸς Ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθεύρεμα χειρός.
13. Ὅτι Κύριος ἀνταποδιδούς ἐστι, καὶ ἑπταπλάσια ἀνταποδώσει σοι.
14. Μὴ δωροκόπει, οὐ γὰρ προσδέξεται.
15. Καὶ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ, ὅτι Κύριος κριτής ἐστι, καὶ οὐκ ἔστι παρ' αὐτῷ δόξα προσώπου.
16. Οὐ λήψεται πρόσωπον ἐπὶ πτωχοῦ, καὶ δέησιν ἠδικημένου εἰσακούσεται.
17. Οὐ μὴ ὑπερίδῃ ἱκετείαν ὀρφανοῦ, καὶ χήραν ἐὰν ἐκχέῃ λαλιάν.
18. Οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβαίνει, καὶ ἡ καταβόησις ἐπὶ τῷ καταγαγόντι αὐτά·

18. cui intendit, et quis est fortitudo ejus?
19. Oculi Domini super diligentes eum, protectio potentiæ et firmamentum virtutis, tegmen ab ardore et tegmen a meridie,
20. custodia ab offensione et adjutorium a casu. Exaltans animam et illuminans oculum, dans sanitatem, vitam et benedictionem.
21. Immolantis ex iniquo, oblatio subsannata, et non sunt beneplacitæ subsannationes injustorum.
23. Oblationes impiorum non probat Altissimus, neque in multitudine sacrificiorum propitiatur peccatis.
24. Victimat filium in conspectu patris sui, qui offert sacrificium ex substantia pauperum.
25. Panis egentium vita pauperum est, qui defraudat illam homo sanguinum est.
26. Qui aufert victum occidit proximum,
27. et qui fraudat mercedem mercenarii effundit sanguinem.
28. Unus ædificans, et unus destruens, quid proficiunt aliud quam labores?
29. Unus orans et unus maledicens, cujus vocem exaudiet Dominus?
30. Qui baptizatur a mortuo et iterum tangit eum, quid profecit lavatione sua?
31. Sic homo qui jejunat in peccatis suis, et iterum vadit et facit eadem, orationem illius quis exaudiet, et quid profecit humiliando se?

CAPUT XXXII.

(XXXV, 1.) Qui conservat legem multiplicat oblationes.
2. Sacrificans salutare qui attendit mandatis.
4. Qui retribuit gratiam offert similaginem, et qui facit eleemosynam offert sacrificium laudis.
5. Beneplacitum est Domino recedere ab iniquitate, et propitiatio recedere ab injustitia.
6. Non apparebis ante conspectum Domini vacuus,
7. hæc enim omnia propter mandatum.
8. Oblatio justi impinguat altare, et odor suavitatis ejus est in conspectu Altissimi.
9. Sacrificium viri justi acceptum est, et memoria ejus non tradetur oblivioni.
10. In bono oculo glorifica Dominum, et non minuas primitias manuum tuarum.
11. In omni datu hilarem fac vultum tuum, et in exsultatione sanctifica decimas.
12. Da Altissimo secundum datum ejus, et in bono oculo inventionem manus.
13. Quoniam Dominus retribuens est, et septies tantum reddet tibi.
14. Ne minuas de munere, non enim suscipiet.
15. Et non attendas sacrificio injusto, quoniam Dominus judex est, et non est apud illum gloria personæ.
16. Non accipiet personam in pauperem, et deprecationem læsi exaudiet.
17. Non despiciet preces pupilli, nec viduam si effundat loquelam.
18. Nonne lacrymæ viduæ ad maxillam descendunt, et exclamatio super deducentem eas?

20. Θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται, καὶ ἡ δέησις αὐτοῦ ἕως νεφελῶν συνάψει.

21. Προςευχὴ ταπεινοῦ νεφέλας διῆλθε, καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ, καὶ οὐ μὴ ἀποστῇ ἕως ἐπισκέψηται ὁ Ὕψιστος. Καὶ κρινεῖ δικαίως, καὶ ποιήσει κρίσιν,

22. καὶ ὁ Κύριος οὐ μὴ βραδύνῃ, οὐδὲ μὴ μακροθυμήσει ἐπ' αὐτοῖς ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων.

23. Καὶ τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν, ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν καὶ σκῆπτρα ἀδίκων συντρίψῃ·

24. ἕως ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ, καὶ τὰ ἔργα τῶν ἀνθρώπων κατὰ τὰ ἐνθυμήματα αὐτῶν·

25. ἕως κρινῇ τὴν κρίσιν τοῦ λαοῦ αὐτοῦ, καὶ εὐφρανεῖ αὐτοὺς ἐν τῷ ἐλέει αὐτοῦ.

26. Ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως αὐτοῦ, ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

20. Qui colit in beneplacito suscipietur, et deprecatio illius usque ad nubes attinget.

21. Oratio humiliantis se nubes penetravit, et donec propinquet, non revocabitur, et non discedet donec aspiciat Altissimus. Et judicabit juste, et faciet judicium,

22. et Dominus non tardabit, et non habebit in illis patientiam quousque contribulet dorsum immisericordium.

23. Et gentibus reddet vindictam, donec tollat multitudinem superborum et sceptra iniquorum contribulet:

24. donec reddat homini secundum actus ejus, et opera hominum secundum cogitationes eorum:

25. donec judicet judicium plebis suæ, et lætificabit eos misericordia sua.

26. Speciosa misericordia in tempore tribulationis ejus, quasi nubes pluviæ in tempore siccitatis.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

(*Vulg.* XXXVI.) 1. Ἐλέησον ἡμᾶς, Δέσποτα ὁ Θεὸς πάντων, καὶ ἐπίβλεψον.

2. Καὶ ἐπίβαλε τὸν φόβον σου ἐπὶ πάντα τὰ ἔθνη·

3. ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια, καὶ ἰδέτωσαν τὴν δυναστείαν σου.

4. Ὥςπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν ἡμῖν, οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς.

5. Καὶ ἐπιγνώτωσάν σε καθάπερ καὶ ἡμεῖς ἐπέγνωμεν, ὅτι οὐκ ἔστι Θεὸς πλὴν σου, Κύριε.

6. Ἐγκαίνισον σημεῖα, καὶ ἀλλοίωσον θαυμάσια·

7. δόξασον χεῖρα καὶ βραχίονα δεξιόν,

8. ἔγειρον θυμόν, καὶ ἔκχεον ὀργήν.

9. Ἔξαρον ἀντίδικον, καὶ ἔκτριψον ἐχθρόν.

10. Σπεῦσον καιρὸν καὶ μνήσθητι ὁρκισμοῦ, καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σου.

11. Ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος, καὶ οἱ κακοῦντες τὸν λαόν σου εὕροισαν ἀπώλειαν.

12. Σύντριψον κεφαλὰς ἀρχόντων ἐχθρῶν λεγόντων· Οὐκ ἔστι πλὴν ἡμῶν.

13. Σύναγε πάσας φυλὰς Ἰακώβ. Λαμπρὰ καρδία καὶ ἀγαθὴ ἐπὶ ἐδέσμασι τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.

CAPUT XXXIII.

(*Vulg.* XXXVI.) 1. Miserere nostri, Domine Deus omnium, et respice.

2. Et immitte timorem tuum super omnes gentes:

3. extolle manum tuam super gentes alienas, et videant potentiam tuam.

4. Sicut coram illis sanctificatus es in nobis, ita coram nobis magnificeris in illis.

5. Et agnoscant te secundum quod et nos agnovimus, quoniam non est Deus præter te, Domine.

6. Innova signa, et immuta mirabilia:

7. glorifica manum et brachium dextrum,

8. excita furorem, et effunde iram.

9. Aufer adversarium, et affige inimicum.

10. Festina tempus et memento juramenti, et enarrentur mirabilia tua.

11. In ira ignis devoretur qui salvatur, et qui pessimant plebem tuam inveniant perditionem.

12. Contere capita principum inimicorum dicentium: Non est præter nos.

13. Congrega omnes tribus Jacob. Splendidum cor et bonum in epulis ciborum suorum diligentiam adhibebit.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

(*Vulg.* XXXI.) 1. Ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον.

2. Μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμὸν, καὶ ἀῤῥώστημα βαρὺ ἐκνήψει ὕπνος.

3. Ἐκοπίασε πλούσιος ἐν συναγωγῇ χρημάτων, καὶ ἐν τῇ ἀναπαύσει ἐμπίπλαται τῶν τρυφημάτων αὐτοῦ.

4. Ἐκοπίασε πτωχὸς ἐν ἐλαττώσει βίου, καὶ ἐν τῇ ἀναπαύσει ἐπιδεὴς γίνεται.

5. Ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται, καὶ ὁ διώκων διαφθορὰν αὐτὸς πλησθήσεται.

6. Πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, καὶ ἐγενήθη ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν.

7. Ξύλον προςκόμματός ἐστι τοῖς ἐνθυσιάζουσιν αὐτῷ, καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ.

CAPUT XXXIV.

(*Vulg.* XXXI.) 1. Vigilia divitiarum tabefacit carnes, et cogitatus illarum aufert somnum.

2. Sollicitudo vigiliæ interpellabit dormitationem, et infirmitatem gravem digeret somnus.

3. Laboravit dives in congregatione pecuniarum, et in requie repletur deliciis suis.

4. Laboravit pauper diminutione victus, et in requie indigens fit.

5. Qui aurum diligit non justificabitur, et qui insequitur corruptionem ipse replebitur.

6. Multi dati sunt in casum propter aurum, et facta est perditio ipsorum ad faciem ipsorum.

7. Lignum offensionis est sacrificantibus ei, et omnis imprudens capietur in illo.

8. Μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος, καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη.
9. Τίς ἐστι καὶ μακαριοῦμεν αὐτόν; ἐποίησε γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ.
10. Τίς ἐδοκιμάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη; Καὶ ἔστω εἰς καύχησιν. Τίς ἐδύνατο παραβῆναι καὶ οὐ παρέβη, καὶ ποιῆσαι κακὰ καὶ οὐκ ἐποίησεν;
11. Στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ, καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία.
12. Ἐπὶ τραπέζης μεγάλης ἐκάθισας; Μὴ ἀνοίξῃς ἐπ' αὐτῆς φάρυγγά σου,
13. καὶ μὴ εἴπῃς· Πολλά γε τὰ ἐπ' αὐτῆς.
14. Μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρὸς,
15. πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται; Διὰ τοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.
16. Οὗ ἐὰν ἐπιβλέψῃ, μὴ ἐκτείνῃς χεῖρα,
17. καὶ μὴ συνθλίβου αὐτῷ ἐν τρυβλίῳ.
18. Νόει τὰ τοῦ πλησίον ἐκ σεαυτοῦ, καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ.
19. Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι, καὶ μὴ διαμασῶ, μὴ μισηθῇς.
20. Παῦσαι πρῶτος χάριν παιδείας, καὶ μὴ ἀπληστεύου μήποτε προσκόψῃς.
21. Καὶ εἰ ἀναμέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου.
22. Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον, καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ οὐκ ἀσθμαίνει.
24. Ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ· ἀνέστη πρωΐ, καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ.
23. Πόνος ἀγρυπνίας καὶ χολέρας καὶ στρόφος μετὰ ἀνδρὸς ἀπλήστου.
25. Καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν, ἀνάστα μεσοπωρῶν καὶ ἀναπαύσῃ.
26. Ἄκουσόν μου, τέκνον, καὶ μὴ ἐξουδενώσῃς με, καὶ ἐπ' ἐσχάτῳ εὑρήσεις τοὺς λόγους μου.
27. Ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχὴς, καὶ πᾶν ἀῤῥώστημα οὐ μή σοι ἀπαντήσῃ.
28. Λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη, καὶ μαρτυρία τῆς καλλονῆς αὐτοῦ πιστή.
29. Πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις, καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής.
30. Ἐν οἴνῳ μὴ ἀνδρίζου, πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος.
31. Κάμινος δοκιμάζει στόμωμα ἐν βαφῇ, οὕτως οἶνος καρδίας ἐν μάχῃ ὑπερηφάνων.
32. Ἐπίσον ζωῆς οἶνος ἀνθρώπῳ, ἐὰν πίνῃς αὐτὸν μέτρῳ αὐτοῦ.
33. Τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ;
35. Καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην ἀνθρώποις.
36. Ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης.
38, 39. Πικρία ψυχῆς οἶνος πινόμενος πολὺς, ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι.
40. Πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα, ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα.
41. Ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον, καὶ μὴ ἐξουδενώσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ.
42. Λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ, καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

8. Beatus dives qui inventus est sine macula, et qui post aurum non abiit.
9. Quis est et beatificabimus eum? fecit enim mirabilia in populo suo.
10. Quis probatus est in illo et perfectus est? Et sit in gloriationem. Quis potuit transgredi et non est transgressus, et facere mala et non fecit?
11. Stabilientur bona illius, et eleemosynas illius enarrabit ecclesia.
12. Supra mensam magnam sedisti? non aperias super illam fauces,
13. et ne dicas: Multa quidem sunt quæ super illam.
14. Memento quoniam malum est oculus nequam,
15. nequius oculo quid creatum est? Ideo ab omni facie lacrymatur.
16. Quocumque aspexerit, ne extendas manum,
17. et ne comprimaris cum eo in catino.
18. Intellige quæ sunt proximi ex te ipso, et in omni re cogita.
19. Comede ut homo quæ tibi sunt apposita, et non devores, ne odio habearis.
20. Cessa prior causa disciplinæ, et noli esse insatiabilis ne forte offendas.
21. Et si in medio multorum sedisti, prior illis ne extendas manum tuam.
22. Quam sufficiens est homini erudito exiguum, et in lecto suo non laborat asthmate.
24. Somnus sanitatis in intestino moderato: surrexit prior, et anima ipsius cum ipso.
23. Labor vigiliæ et choleræ et tortura cum viro insatiabili.
25. Et si coactus fueris in epulis, surge in medio pomorum et requiesces.
26. Audi me, fili, et ne spernas me, et in novissimo invenies verba mea.
27. In omnibus operibus tuis esto velox, et omnis infirmitas non occurret tibi.
28. Splendidum in panibus benedicent labia, et testimonium bonitatis illius fidele.
29. Nequissimo in pane obmurmurabit civitas, et testimonium nequitiæ illius certum.
30. In vino noli fortem agere, multos enim exterminavit vinum.
31. Fornax probat aciem ferri in tinctura, sic vinum corda in contentione superborum.
32. Æquale vitæ vinum homini, si bibas illud mensura sua.
33. Quæ vita ei qui minuitur vino?
35. Et ipsum creatum est in jucunditatem hominis.
36. Exsultatio cordis et lætitia animæ vinum potatum in tempore quod satis sit.
38, 39. Amaritudo animæ vinum potatum multum, in irritatione et contentione.
40. Multiplicat ebrietas furorem imprudentis in offensionem, minorans virtutem et faciens vulnera.
41. In compotatione vini non arguas proximum, et non despicias eum in jucunditate illius.
42. Verbum improperii ne dicas illi, et non premas illum in repetendo.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

ΠΕΡΙ ΗΓΟΥΜΕΝΩΝ.

(*Vulg.* XXXII.) 1. Ἡγούμενόν σε κατέστησαν; Μὴ ἐπαίρου, γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν.

2. Φρόντισον αὐτῶν καὶ οὕτω κάθισον, καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας ἀνάπεσον,

3. ἵνα εὐφρανθῇς δι' αὐτοὺς, καὶ εὐκοσμίας χάριν λάβῃς στέφανον.

4. Λάλησον, πρεσβύτερε, πρέπει γάρ σοι,

5. ἐν ἀκριβεῖ ἐπιστήμῃ, καὶ μὴ ἐμποδίσῃς μουσικά.

6. Ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιὰν, καὶ ἀκαίρως μὴ σοφίζου.

7. Σφραγὶς ἄνθραχος ἐπὶ κόσμῳ χρυσῷ, σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου.

8. Ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου, μέλος μουσικῶν ἐφ' ἡδεῖ οἴνῳ.

10. Λάλησον, νεανίσκε, εἰ χρεία σου, μόλις·

11. δὶς ἐὰν ἐπερωτηθῇς, κεφαλαίωσον λόγον,

12. ἐν ὀλίγοις πολλά· γίνου ὡς γινώσκων, καὶ ἅμα σιωπῶν.

13. Ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου, καὶ ἑτέρου λέγοντος μὴ πολλὰ ἀδολέσχει.

14. Πρὸ βροντῆς κατασπεύδει ἀστραπὴ, καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις.

15. Ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει, ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥαθύμει. Ἐκεῖ παῖζε

16. καὶ ποίει τὰ ἐνθυμήματά σου, καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ.

17. Καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε, καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ.

18. Ὁ φοβούμενος Κύριον ἐκδέξεται παιδείαν, καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν.

19. Ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ, καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ.

20. Οἱ φοβούμενοι Κύριον εὑρήσουσι κρῖμα, καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν.

21. Ἄνθρωπος ἁμαρτωλὸς ἐκκλίνει ἐλεγμὸν, καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα.

22. Ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ διανόημα, ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον,

23. καὶ μετὰ τὸ ποιῆσαι μετ' αὐτοῦ ἄνευ βουλῆς.

24. Ἄνευ βουλῆς μηδὲν ποιήσῃς, καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ.

25. Ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου, καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν. Μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ,

26. καὶ ἀπὸ τῶν τέκνων σου φύλαξαι.

27. Ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου, καὶ γὰρ τοῦτό ἐστι τήρησις ἐντολῶν.

28. Ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, καὶ ὁ πεποιθὼς Κυρίῳ οὐκ ἐλαττωθήσεται.

CAPUT XXXV.

DE RECTORIBUS.

(*Vulg.* XXXII.) 1. Rectorem te posuerunt? Noli extolli, esto in illis quasi unus ex ipsis.

2. Curam illorum habe et sic conside, et omni cura tua explicita recumbe,

3. ut læteris propter illos, et ornamenti gratia accipias coronam.

4. Loquere, major natu, decet enim te,

5. in diligenti scientia, et non impedias musica.

6. Ubi est acroama, non effundas sermonem, et importune noli sapientiam ostentare.

7. Sigillum carbunculi in ornamento aureo, concentus musicorum in compotatione vini.

8. In fabricatione aurea sigillum smaragdi, modulatio musicorum in vino jucundo.

10. Adolescens, loquere, cum necessitas tui fuerit, vix :

11. si bis interrogatus fueris, in summam collige sermonem,

12. in paucis multa : esto quasi sciens, et simul tacens.

13. In medio magnatorum non agas æqualem, et alio dicente ne multa garrias.

14. Ante tonitruum festinat coruscatio, et ante verecundum præibit gratia.

15. In hora exsurge et non sis ultimus, recurre in domum et ne torpeas. Ibi lude

16. et fac cogitata tua, et ne pecces verbo superbo.

17. Et super his benedicito eum qui fecit te, et inebriantem te de bonis suis.

18. Qui timet Dominum excipiet doctrinam, et qui mane vigilant invenient benedictionem.

19. Qui quærit legem replebitur ea, et qui simulat scandalizabitur in ea.

20. Qui timent Dominum invenient judicium, et justificationes quasi lumen accendent.

21. Homo peccator vitat correptionem, et secundum voluntatem suam inveniet comparationem.

22. Vir consilii non despiciet considerationem, alienus et superbus non pertimescet timorem,

23. etiam postquam fecit secum sine consilio.

24. Sine consilio nihil facias, et in faciendo te non pœnitebit.

25. In via ruinæ non eas, et non offendes in lapidosis. Non credas te viæ non exploratæ,

26. et a filiis tuis cave.

27. In omni opere crede animæ tuæ, hoc est enim observatio mandatorun.

28. Qui credit legi attendit mandatis, et qui confidit in Domino non minorabitur.

ΚΕΦΑΛΑΙΟΝ Λϛ'.

(*Vulg.* XXXIII.) 1. Τῷ φοβουμένῳ Κύριον οὐκ ἀπαντήσει κακὸν, ἀλλ' ἐν πειρασμῷ καὶ πάλιν ἐξελεῖται.

CAPUT XXXVI.

(*Vulg.* XXXIII.) 1. Timenti Dominum non occurret malum, sed in tentatione et iterum liberabit illum.

2. Ἀνὴρ σοφὸς οὐ μισήσει νόμον· ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ, ὡς ἐν καταιγίδι πλοῖον.

3. Ἄνθρωπος συνετὸς ἐμπιστεύσει νόμῳ, καὶ ὁ νόμος αὐτῷ πιστὸς

4. ὡς ἐρώτημα δικαίων. Ἑτοίμασον λόγον, καὶ οὕτως ἀκουσθήσῃ· σύνδησον παιδείαν καὶ ἀποκρίθητι.

5. Τροχὸς ἁμάξης σπλάγχνα μωροῦ, καὶ ὡς ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ.

6. Ἵππος εἰς ὀχείαν ὡς φίλος μῶκος, ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει.

7. Διατί ἡμέρα ἡμέρας ὑπερέχει, καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου;

8. Ἐν γνώσει Κυρίου διεχωρίσθησαν,

9. καὶ ἠλλοίωσε καιροὺς καὶ ἑορτάς.

10. Ἀπ' αὐτῶν ἀνύψωσε καὶ ἡγίασε, καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν. Καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους, καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ.

11. Ἐν πλήθει ἐπιστήμης Κύριος διεχώρισεν αὐτούς, καὶ ἠλλοίωσε τὰς ὁδοὺς αὐτῶν.

12. Ἐξ αὐτῶν εὐλόγησε καὶ ἀνύψωσε, καὶ ἐξ αὐτῶν ἡγίασε, καὶ πρὸς αὐτὸν ἤγγισεν· ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσε, καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν.

13. Ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ,

14. πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ· οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτούς, ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ.

15. Ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθὸν καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή, οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός. Καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ Ὑψίστου, δύο δύο, ἓν κατέναντι τοῦ ἑνός.

16. Κἀγὼ ἔσχατος ἠγρύπνησα, καὶ κατεκληρονόμησα αὐτοὺς καθὼς ἀπ' ἀρχῆς.

(*Vulg.* XXXVI.) 14. Ἐλέησον λαόν, Κύριε, κεκλημένον ἐπ' ὀνόματί σου, καὶ Ἰσραὴλ ὃν πρωτογόνῳ ὡμοίωσας.

15. Οἰκτείρησον πόλιν ἁγιάσματός σου Ἱερουσαλήμ, πόλιν καταπαύματός σου.

16. Πλῆσον Σιὼν ἆραι τὰ λόγιά σου, καὶ ἀπὸ τῆς δόξης σου τὸν λαόν σου.

17. Δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασί σου, καὶ ἔγειρον προφητείας τὰς ἐπ' ὀνόματί σου.

18. Δὸς μισθὸν τοῖς ὑπομένουσί σε, καὶ οἱ προφῆταί σου ἐμπιστευθήτωσαν. Εἰσάκουσον, Κύριε, δεήσεως τῶν ἱκετῶν σου,

19. κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τοῦ λαοῦ σου, καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς ὅτι σὺ Κύριος εἶ ὁ Θεὸς τῶν αἰώνων.

20. Πᾶν βρῶμα φάγεται κοιλία, ἔστι δὲ βρῶμα βρώματος κάλλιον.

21. Φάρυγξ γεύεται βρώματα θήρας, οὕτως καρδία συνετὴ λόγους ψευδεῖς.

22. Καρδία στρεβλὴ δώσει λύπην, καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ.

23. Πάντα ἄῤῥενα ἐπιδέξεται γυνή, ἔστι δὲ θυγάτηρ θυγατρὸς κρείσσων.

24. Κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον, καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει.

25. Εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης, οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ' υἱοὺς ἀνθρώπων.

2. Vir sapiens non odiet legem . qui autem simulat in ea, quasi in procella navis.

3. Homo sensatus credet legi, et lex ei fidelis

4. sicut interrogatio justorum. Para verbum, et sic audieris : colliga doctrinam et responde.

5. Rota carri præcordia fatui, et quasi axis qui versatur cogitatus illius.

6. Equus ad admissuram amicus subsannator, sub omni supersedente hinnit.

7. Quare dies diem superat, et omne lumen diei anni a sole?

8. A Domini scientia separati sunt,

9. et immutavit tempora et dies festos.

10. Ex ipsis exaltavit et sanctificavit, et ex ipsis posuit in numerum dierum. Et omnes homines de solo, et ex terra creatus est Adam.

11. In multitudine scientiæ Dominus separavit eos, et immutavit vias illorum.

12. Ex ipsis benedixit et exaltavit, et ex ipsis sanctificavit, et ad se applicavit : ex ipsis maledixit et humiliavit, et evertit illos a statione ipsorum.

13. Quasi lutum figuli in manu ejus,

14. omnes viæ ejus secundum beneplacitum ejus : sic homines in manu illius qui fecit eos, ad reddendum illis secundum judicium suum.

15. Contra malum bonum est et contra mortem vita, sic contra pium peccator. Et sic intuere in omnia opera Altissimi, duo duo, unum contra unum.

16. Et ego novissimus evigilavi, et hæreditavi eos sicut ab initio.

(*Vulg.* XXXVI.) 14. Miserere plebi, Domine, vocatæ in nomine tuo, et Israel quem primogenito assimilasti.

15. Miserere civitati sanctificationis tuæ Jerusalem, civitati requiei tuæ.

16. Reple Sion ad extollenda eloquia tua, et a gloria tua populum tuum.

17. Da testimonium iis qui ab initio creaturæ tuæ sunt, et suscita prophetias quæ in nomine tuo.

18. Da mercedem sustinentibus te, et prophetæ tui fideles inveniantur. Exaudi, Domine, orationem supplicum tuorum,

19. secundum benedictionem Aaron de populo tuo, et scient omnes qui super terram quia tu Dominus es Deus sæculorum.

20. Omnem escam manducabit venter, est autem cibus cibo melior.

21. Fauces gustant cibos venationis, sic cor sensatum verba mendacia.

22. Cor pravum dabit tristitiam, et homo peritus retribuet ei.

23. Omnem masculum excipiet mulier, est autem filia melior filia.

24. Species mulieris exhilarat faciem, et super omnem concupiscentiam hominis superducit.

25. Si est in lingua ejus misericordia et mansuetudo, non est vir illius secundum filios hominum.

26. Ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως, βοηθὸν κατ' αὐτὸν καὶ στῦλον ἀναπαύσεων.

27. Οὗ οὐκ ἔστι φραγμὸς, διαρπαγήσεται κτῆμα· καὶ οὗ οὐκ ἔστι γυνὴ, στενάξει πλανώμενος.

28. Τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ σφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν; Οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

1. Πᾶς φίλος ἐρεῖ· Ἐφιλίασα αὐτῷ κἀγὼ, ἀλλ' ἔστι φίλος ὀνόματι μόνον φίλος. Οὐχὶ λύπη ἔνι ἕως θανάτου,

2. ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν;

3. Ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;

4. Ἑταῖρος φίλου ἐν εὐφροσύνῃ ἥδεται, καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι.

5. Ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρὸς, ἔναντι πολέμου λήψεται ἀσπίδα.

6. Μὴ ἐπιλάθῃ φίλου ἐν τῇ ψυχῇ σου, καὶ μὴ ἀμνημονεύσῃς αὐτοῦ ἐν χρήμασί σου.

8. Πᾶς σύμβουλος ἐξαίρει βουλὴν, ἀλλ' ἔστι συμβουλεύων εἰς ἑαυτόν.

9. Ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου, καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία· καὶ γὰρ αὐτὸς ἑαυτῷ βουλεύσεται,

10. μήποτε βάλῃ ἐπὶ σοὶ κλῆρον, καὶ εἴπῃ σοι·

11. Καλὴ ἡ ὁδός σου, καὶ στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι.

7. Μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε, καὶ ἀπὸ τῶν ζηλούντων σε κρύψον βουλήν.

12. Μετὰ γυναικὸς περὶ ἀντιζήλου αὐτῆς, καὶ μετὰ δειλοῦ περὶ πολέμου· μετὰ ἐμπόρου περὶ μεταβολίας, καὶ μετὰ ἀγοράζοντος περὶ πράσεως· μετὰ βασκάνου περὶ εὐχαριστίας,

13. καὶ μετὰ ἀνελεήμονος περὶ χρηστοηθείας· μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου,

14. καὶ μετὰ μισθίου ἐφεστίου περὶ συντελείας, οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας· μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμβουλίας.

15. Ἀλλ' ἢ μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε, ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολάς·

16. ὃς ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου, καὶ ἐὰν πταίσῃς, συναλγήσει σοι.

17. Καὶ βουλὴν καρδίας στῆσον, οὐ γάρ ἐστί σοι πιστότερος αὐτῆς.

18. Ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν, ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι ἐπὶ σκοπῆς.

19. Καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι Ὑψίστου, ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου.

20. Ἀρχὴ παντὸς ἔργου λόγος, καὶ πρὸ πάσης πράξεως βουλή.

21. Ἴχνος ἀλλοιώσεως καρδίας· τέσσαρα μέρη ἀνατέλλει, ἀγαθὸν καὶ κακὸν, ζωὴ καὶ θάνατος· καὶ κυριεύουσα ἐνδελεχῶς αὐτῶν γλῶσσά ἐστι.

22. Ἔστιν ἀνὴρ πανοῦργος καὶ πολλῶν παιδευτὴς, καὶ τῇ ἰδίᾳ ψυχῇ ἄχρηστός ἐστιν.

23. Ἔστι σοφιζόμενος ἐν λόγοις μισητὸς, οὗτος πάσης τροφῆς καθυστερήσει.

26. Qui possidet mulierem inchoat possessionem, adjutricem secundum se et columnam requietis.

27. Ubi non est sepes, diripietur possessio : et ubi non est mulier, ingemiscet errans.

28. Quis enim credet succincto latroni erranti de civitate in civitatem? Sic homini non habenti nidum et deflectenti ubicumque obscuraverit.

CAPUT XXXVII.

1. Omnis amicus dicet : Et ego cum illo amicitiam copulavi, sed est amicus solo nomine amicus. Nonne tristitia inest usque ad mortem,

2. sodalis et amicus converteus se ad inimicitiam?

3. O præsumptio nequissima, unde devoluta es cooperire aridam in dolositate?

4. Sodalis amico conjucundatur in oblectatione, et in tempore tribulationis contrarius erit.

5. Sodalis amico condolet causa ventris, contra bellum accipiet scutum.

6. Ne obliviscaris amici in animo tuo, et non immemor sis illius in opibus tuis.

8. Omnis consiliarius extollit consilium, sed est qui consulit sibi ipsi.

9. A consiliario serva animam tuam, et scito prius quæ sit illius necessitas : etenim ipse sibi consulet,

10. ne forte mittat super te sortem, et dicat tibi :

11. Bona est via tua, et stabit e contrario videre quid tibi eveniat.

7. Noli consiliari cum eo qui te suspectum habet, et a zelantibus te absconde consilium.

12. Cum muliere de æmula ejus, et cum timido de bello : cum negotiatore de permutatione, et cum emptore de venditione : cum invido de gratiis reddendis,

13. et cum immisericorde de beneficentia : cum pigro de omni opere,

14. et cum mercenario domestico de consummatione, servo pigro de multa operatione : non attendas his de omni consilio.

15. Sed cum viro sancto assiduus esto, quem cognoveris observantem mandata :

16. qui in anima sua est secundum animam tuam, et si cecideris, condolebit tibi.

17. Et consilium cordis statue, non est enim tibi fidelior ipso.

18. Anima enim viri annuntiare interdum consuevit magis, quam septem circumspectores sedentes in excelso super speculam.

19. Et in his omnibus deprecare Altissimum, ut dirigat in veritate viam tuam.

20. Principium omnis operis verbum, et ante omnem actum consilium.

21. Vestigium mutationis cordis : quatuor partes oriuntur, bonum et malum, vita et mors : et dominatrix assidue illorum est lingua.

22. Est vir astutus et multorum eruditor, et animæ propriæ inutilis est.

23. Est qui sapientiam ostentat in sermonibus odibilis, hic omni alimento defraudabitur.

24. Οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ Κυρίου χάρις, ὅτι πάσης σοφίας ἐστερήθη.

25. Ἔστι σοφὸς τῇ ἰδίᾳ ψυχῇ, καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ ἐπὶ στόματος πιστοί.

26. Ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει, καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί.

27. Ἀνὴρ σοφὸς πλησθήσεται εὐλογίας, καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες.

28. Ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν, καὶ αἱ ἡμέραι τοῦ Ἰσραὴλ ἀναρίθμητοι.

29. Ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν, καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα.

30. Τέκνον, ἐν τῇ ζωῇ σου πείρασον τὴν ψυχήν σου, καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ·

31. οὐ γὰρ πάντα πᾶσι συμφέρει, καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ.

32. Μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων.

33. Ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται πόνος, καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας.

34. Δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

1. Τίμα ἰατρὸν πρὸς τὰς χρείας τιμαῖς αὐτοῦ, καὶ γὰρ αὐτὸν ἔκτισε Κύριος.

2. Παρὰ γὰρ Ὑψίστου ἐστὶν ἴασις καὶ παρὰ βασιλέως λήψεται δόμα.

3. Ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἔναντι μεγιστάνων θαυμασθήσεται.

4. Κύριος ἔκτισεν ἐκ γῆς φάρμακα, καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς.

5. Οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ, εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ;

6. Καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ.

7. Ἐν αὐτοῖς ἐθεράπευσε καὶ ἦρε τὸν πόνον αὐτοῦ. Μυρεψὸς ἐν τούτοις ποιήσει μίγμα, καὶ οὐ μὴ συντελέσῃ ἔργα αὐτοῦ,

8. καὶ εἰρήνη παρ' αὐτοῦ ἐστιν ἐπὶ προσώπου τῆς γῆς.

9. Τέκνον, ἐν ἀῤῥωστήματί σου μὴ παράβλεπε, ἀλλ' εὖξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε.

10. Ἀπόστησον πλημμέλειαν καὶ εὔθυνον χεῖρας, καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν.

11. Δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως, καὶ λίπανον προσφορὰν, ὡς μὴ ὑπάρχων.

12. Καὶ ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτὸν ἔκτισε Κύριος, καὶ μὴ ἀποστήτω σου, καὶ γὰρ αὐτοῦ χρεία.

13. Ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐωδία,

14. καὶ γὰρ αὐτοὶ Κυρίου δεηθήσονται, ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν καὶ ἴασιν χάριν ἐμβιώσεως.

15. Ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν, ἐμπέσοι εἰς χεῖρας ἰατροῦ.

16. Τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου, κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περίστειλον τὸ σῶμα αὐτοῦ, καὶ μὴ ὑπερίδῃς τὴν ταφὴν αὐτοῦ.

17. Πίκρανον, κλαυθμὸν καὶ θέρμανον κοπετὸν,

24. Non est enim data illi a Domino gratia, omni enim sapientia defraudatus est.

25. Est sapiens animæ suæ, et fructus sensus illius in ore fideles.

26. Vir sapiens plebem suam erudiet, et fructus sensus illius fideles sunt.

27. Vir sapiens implebitur benedictione, et beatificabunt illum omnes qui vident.

28. Vita viri in numero dierum, dies autem Israel innumerabiles sunt.

29. Sapiens in populo suo hæreditabit fidem, et nomen ejus vivet in æternum.

30. Fili, in vita tua tenta animam tuam, et vide quid malum ei, et non des ei :

31. non enim omnia omnibus expediunt, et non omni animæ omnia placent.

32. Noli esse insatiabilis in omnibus deliciis, et non te effundas super epulas.

33. In multis enim escis erit labor, et insatiabilitas appropinquabit usque ad choleram.

34. Propter edacitatem multi obierunt, qui autem attendit adjiciet vitam.

CAPUT XXXVIII.

1. Honora medicum ad necessitates honoribus illius, nam et illum creavit Dominus.

2. Ab Altissimo enim est medela et a rege accipiet donationem.

3. Scientia medici exaltabit caput illius, et in conspectu magnatorum collaudabitur.

4. Dominus creavit de terra medicamenta, et vir prudens non abhorrebit illa.

5. Nonne a ligno indulcata est aqua, ut cognosceretur virtus illius?

6. Et ipse dedit hominibus scientiam ut glorificaretur in mirabilibus suis.

7. In his curavit et abstulit dolorem ejus. Unguentarius in his faciet misturam, et non consummabit opera sua,

8. et pax ab illo est super faciem terræ.

9. Fili, in infirmitate tua non despicias, sed ora Dominum, et ipse curabit te.

10. Amove delictum et dirige manus, et ab omni peccato munda cor.

11. Da suavitatem odoris et memoriale similaginis, et impingua oblationem, quasi non sis.

12. Et da locum medico, nam et illum Dominus creavit, et non discedat a te, nam et ipso opus est.

13. Est tempus cum et in manibus eorum suavitas odoris,

14. nam et ipsi Dominum deprecabuntur, ut dirigat ipsis requiem et sanationem propter restituendam valetudinem.

15. Qui peccat contra eum qui fecit eum, incidat in manus medici.

16. Fili, super mortuum deduc lacrymas, et quasi dira passus incipe ploratum, et secundum judicium ejus contege corpus illius, et non despicias sepulturam illius.

17. Amarum fac ploratum, et calefac planctum,

18. καὶ ποίησον τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτοῦ ἡμέραν μίαν καὶ δύο, χάριν διαβολῆς, καὶ παρακλήθητι λύπης ἕνεκα.

19. Ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος, καὶ λύπη καρδίας κάμψει ἰσχύν.

20. Ἐν ἀπαγωγῇ παραβαίνει καὶ λύπη, καὶ βίος πτωχοῦ κατὰ καρδίας.

21. Μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου, ἀπόστησον αὐτὴν μνησθεὶς τὰ ἔσχατα.

22. Μὴ ἐπιλάθῃ, οὐ γάρ ἐστιν ἐπάνοδος, καὶ τοῦτον οὐκ ὠφελήσεις, καὶ σεαυτὸν κακώσεις.

23. Μνήσθητι τὸ κρῖμα αὐτοῦ, ὅτι οὕτω ὡς καὶ τὸ σόν· ἐμοὶ χθὲς, καὶ σοὶ σήμερον.

24. Ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον τὸ μνημόσυνον αὐτοῦ, καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.

25. Σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς, καὶ ὁ ἐλασσούμενος πράξει αὐτοῦ σοφισθήσεται.

26. Τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου, καὶ καυχώμενος ἐν δόρατι κέντρου, βόας ἐλαύνων καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν, καὶ ἡ διήγησις αὐτοῦ ἐν υἱοῖς ταύρων;

27. Καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὔλακας, καὶ ἡ ἀγρυπνία αὐτοῦ εἰς χορτάσματα δαμάλεων.

28. Οὕτως πᾶς τέκτων καὶ ἀρχιτέκτων, ὅστις νύκτωρ ὡς ἡμέρᾳ διάγει· οἱ γλύφοντες γλύμματα σφραγίδων, καὶ ἡ ὑπομονὴ αὐτοῦ ἀλλοιῶσαι ποικιλίαν· καρδίαν αὐτοῦ δώσει εἰς τὸ ὁμοιῶσαι ζωγραφίαν, καὶ ἡ ἀγρυπνία αὐτοῦ τελέσαι ἔργον.

29. Οὕτως χαλκεὺς καθήμενος ἐγγὺς ἄκμονος, καὶ καταμανθάνων ἀργῷ σιδήρῳ· ἀτμὶς πυρὸς πήξει σάρκας αὐτοῦ, καὶ ἐν θέρμῃ καμίνου διαμαχήσεται.

30. Φωνὴ σφύρης καινιεῖ τὸ οὖς αὐτοῦ, καὶ κατέναντι ὁμοιώματος σκεύους οἱ ὀφθαλμοὶ αὐτοῦ.

31. Καρδίαν αὐτοῦ δώσει εἰς συντέλειαν ἔργων, καὶ ἡ ἀγρυπνία αὐτοῦ κοσμῆσαι ἐπὶ συντελείας.

32. Οὕτω κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτοῦ, καὶ συστρέφων ἐν ποσὶν αὐτοῦ τροχὸν, ὃς ἐν μερίμνῃ κεῖται διαπαντὸς ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτοῦ.

33. Ἐν βραχίονι αὐτοῦ τυπώσει πηλὸν, καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτοῦ.

34. Καρδίαν ἐπιδώσει συντελέσαι τὸ χρίσμα, καὶ ἡ ἀγρυπνία αὐτοῦ καθαρίσαι κάμινον.

35. Πάντες οὗτοι εἰς χεῖρας αὐτῶν ἐνεπίστευσαν, καὶ ἕκαστος ἐν τῷ ἔργῳ αὐτοῦ σοφίζεται.

36. Ἄνευ αὐτῶν οὐκ οἰκισθήσεται πόλις,

37. καὶ οὐ παροικήσουσιν οὐδὲ περιπατήσουσιν, καὶ ἐν ἐκκλησίᾳ οὐχ ὑπεραλοῦνται.

38. Ἐπὶ δίφρον δικαστοῦ οὐ καθιοῦνται, καὶ διαθήκην κρίματος οὐ διανοηθήσονται, οὐδὲ μὴ ἐκφανῶσι δικαιοσύνην καὶ κρῖμα, καὶ ἐν παραβολαῖς οὐχ εὑρεθήσονται·

39. ἀλλὰ κτίσμα αἰῶνος στηρίσουσι, καὶ ἡ δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης, πλὴν τοῦ ἐπιδόντος τὴν ψυχὴν αὐτοῦ, καὶ διανοουμένου ἐν νόμῳ Ὑψίστου.

ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

1. Σοφίαν πάντων ἀρχαίων ἐκζητήσει, καὶ ἐν προφητείαις ἀσχοληθήσεται.

18. et fac luctum secundum dignitatem ejus uno die vel duobus, propter detractionem, et admitte consolationem propter tristitiam.

19. Ex tristitia enim provenit mors, et tristitia cordis flectet virtutem.

20. In abductione transit et tristitia, et vita pauperis secundum corda.

21. Ne dederis in tristitiam cor tuum, repelle eam memor novissimorum.

22. Noli oblivisci, non est enim reditus, et huic non proderis, et teipsum pessimabis.

23. Memento judicii ejus, quoniam sic ut etiam tuum : mihi heri, et tibi hodie.

24. In requie mortui quiescere fac memoriam ejus, et consolationem accipe in eo in exitu spiritus illius.

25. Sapientia scribæ in opportunitate otii, et qui minoratur actu suo sapientiam percipiet.

26. Quomodo sapientia replebitur qui tenet aratrum, et gloriatur in hasta stimuli, boves agitat et conversatur in operibus eorum, et enarratio ejus in filiis taurorum?

27. Cor suum dabit ad versandos sulcos, et vigilia ejus in sagina vaccarum.

28. Sic omnis faber et architectus, qui noctem tamquam diem transigit : qui sculpunt sculpturas signaculorum, et assiduitas ejus immutare varietatem : cor suum dabit ad assimilandam picturam, et vigilia ejus perficere opus.

29. Sic faber ferarrius sedens juxta incudem, et addiscens pigro ferro : vapor ignis durabit carnes ejus, et in calore fornacis concertabit.

30. Vox mallei innovabit aurem ejus, et contra similitudinem vasis oculi ejus.

31. Cor suum dabit in consummationem operum, et vigilia ejus ornare in perfectionem.

32. Sic figulus sedens ad opus suum, et convertens pedibus suis rotam, qni in sollicitudine positus est semper in opus suum, et in numero omnis operatio ejus.

33. In brachio suo formabit lutum, et ante pedes curvabit virtutem suam.

34. Cor suum dabit ut consummet linitionem, et vigilia ejus mundare fornacem.

35. Omnes hi in manibus suis speraverunt, et unusquisque in arte sua sapiens est.

36. Sine ipsis non ædificabitur civitas,

37. nec inhabitabunt nec inambulabunt, et in ecclesia non transilient.

38. Super sellam judicis non sedebunt, et testamentum judicii non intelligent, neque palam facient justitiam et judicium, et in parabolis non invenientur :

39. sed creaturam ævi confirmabunt, et deprecatio eorum in operatione artis, tantummodo accommodantis animam suam, et conquirentis in lege Altissimi.

CAPUT XXXIX.

1. Sapientiam omnium antiquorum exquiret sapiens, et in prophetiis vacabit.

2. Διηγήσεις ἀνδρῶν ὀνομαστῶν συντηρήσει, καὶ ἐν στροφαῖς παραβολῶν συνεισελεύσεται.

3. Ἀπόκρυφα παροιμιῶν ἐκζητήσει, καὶ ἐν αἰνίγμασι παραβολῶν ἀναστραφήσεται.

4. Ἀναμέσον μεγιστάνων ὑπηρετήσει, καὶ ἔναντι ἡγουμένου ὀφθήσεται.

5. Ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται, ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις ἐπείρασε.

6. Τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι πρὸς Κύριον τὸν ποιήσαντα αὐτὸν, καὶ ἔναντι Ὑψίστου δεηθήσεται.

7. Καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ἐν προσευχῇ, καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεηθήσεται.

8. Ἐὰν Κύριος ὁ μέγας θελήσῃ, πνεύματι συνέσεως ἐμπλησθήσεται.

9. Αὐτὸς ἀνομβρήσει ῥήματα σοφίας αὐτοῦ, καὶ ἐν προσευχῇ ἐξομολογήσεται Κυρίῳ.

10. Αὐτὸς κατευθύνει βουλὴν αὐτοῦ καὶ ἐπιστήμην, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ διανοηθήσεται.

11. Αὐτὸς ἐκφανεῖ παιδείαν διδασκαλίας αὐτοῦ, καὶ ἐν νόμῳ διαθήκης Κυρίου καυχήσεται.

12. Αἰνέσουσι τὴν σύνεσιν αὐτοῦ πολλοὶ, ἕως τοῦ αἰῶνος οὐκ ἐξαλειφθήσεται.

13. Οὐκ ἀποστήσεται τὸ μνημόσυνον αὐτοῦ, καὶ ὄνομα αὐτοῦ ζήσεται εἰς γενεὰς γενεῶν.

14. Τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη, καὶ τὸν ἔπαινον αὐτοῦ ἐξαγγελεῖ ἐκκλησία.

15. Ἐὰν ἐμμείνῃ, ὄνομα καταλείψει ἢ χίλιοι· καὶ ἐὰν ἀναπαύσηται, ἐμποιεῖ αὐτῷ.

16. Ἔτι διανοηθεὶς ἐκδιηγήσομαι, καὶ ὡς διχομηνία ἐπληρώθην.

17. Εἰσακούσατέ μου, υἱοὶ ὅσιοι, καὶ βλαστήσατε ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ἀγροῦ,

18. καὶ ὡς λίβανος εὐωδιάσατε ὀσμήν·

19. καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον, διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾆσμα. Εὐλογήσατε Κύριον ἐπὶ πᾶσι τοῖς ἔργοις,

20. δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην. Καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτοῦ, ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις, καὶ οὕτως ἐρεῖτε ἐν ἐξομολογήσει·

21. Τὰ ἔργα Κυρίου πάντα ὅτι καλὰ σφόδρα, καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται, πάντα γὰρ ἐν καιρῷ αὐτοῦ ζητηθήσεται.

22. Ἐν λόγῳ αὐτοῦ ἔστη ὡς θημωνία ὕδωρ, καὶ ἐν ῥήματι στόματος αὐτοῦ ἀποδοχεῖα ὑδάτων.

23. Ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδοκία, καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ.

24. Ἔργα πάσης σαρκὸς ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.

25. Ἀπὸ τοῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψε, καὶ οὐθέν ἐστι θαυμάσιον ἐναντίον αὐτοῦ.

26. Οὐκ ἔστιν εἰπεῖν· Τί τοῦτο; εἰς τί τοῦτο; Πάντα γὰρ εἰς χρείας αὐτῶν ἔκτισται.

27. Ἡ εὐλογία αὐτοῦ ὡς ποταμὸς ἐπεκάλυψεν,

28. καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν· οὕτως ὀργὴν αὐτοῦ ἔθνη κληρονομήσει,

29. ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην. Αἱ ὁδοὶ αὐτοῦ τοῖς ὁσίοις εὐθεῖαι, οὕτως τοῖς ἀνόμοις προσκόμματα.

30. Ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς, οὕτως τοῖς ἁμαρτωλοῖς κακά.

2. Narrationes virorum nominatorum conservabit, et in versutias parabolarum simul introibit.

3. Occulta proverbiorum exquiret, et in ænigmatibus parabolarum conversabitur.

4. In medio magnatorum ministrabit, et in conspectu præsidis apparebit.

5. In terram alienigenarum gentium pertransiet, bona enim et mala in hominibus tentavit.

6. Cor suum tradet ad vigilandum diluculo ad Dominum qui fecit illum, et in conspectu Altissimi deprecabitur.

7. Et aperiet os suum in oratione, et pro delictis suis deprecabitur.

8. Si Dominus magnus voluerit, spiritu intelligentiæ replebitur.

9. Ipse tamquam imbres emittet verba sapientiæ suæ, et in oratione confitebitur Domino.

10. Ipse dirigit consilium ejus et scientiam, et in absconditis ejus meditabitur.

11. Ipse palam faciet disciplinam doctrinæ suæ, et in lege testamenti Domini gloriabitur.

12. Collaudabunt multi intelligentiam ejus, usque in sæculum non delebitur.

13. Non recedet memoria ejus, et nomen ejus vivet in generationes generationum.

14. Sapientiam ejus enarrabunt gentes, et laudem ejus enuntiabit ecclesia.

15. Si permanserit, nomen derelinquet plus quam mille: et si requieverit acquirit sibi.

16. Adhuc meditatus enarrabo, et tamquam plenilunium repletus sum.

17. Exaudite me, filii sancti, et germinate quasi rosa plantata super rivum agri,

18. et quasi thus odorem suavitatis emittite:

19. et florete florem quasi lilium, diffundite odorem et collaudate canticum. Benedicite Dominum in omnibus operibus,

20. date nomini ejus magnificentiam. Et confitemini in laudatione ejus, in canticis labiorum et in citharis, et sic dicetis in confessione:

21. Opera Domini universa quia bona valde, et omne præceptum in tempore suo erit, omnia enim in tempore suo quærentur.

22. In verbo ejus stetit aqua sicut congeries, et in sermone oris illius exceptoria aquarum.

23. In præcepto ipsius omne beneplacitum, et non est qui minuat salutare illius.

24. Opera omnis carnis coram illo, et non est abscondi ab oculis ejus.

25. A sæculo in sæculum respexit, et nihil est admirabile in conspectu illius.

26. Non est dicere: Quid est hoc? ad quid hoc? Omnia enim ad usus ipsorum creata sunt.

27. Benedictio illius quasi fluvius inundavit,

28. et quomodo cataclysmus aridam inebriavit: sic iram suam gentes hæreditabit faciet,

29. sicut convertit aquas in salsuginem. Viæ illius sanctis directæ, sic iniquis offensiones.

30. Bona bonis creata sunt ab initio, sic peccatoribus mala.

31. Ἀρχὴ πάσης χρείας εἰς ζωὴν ἀνθρώπου, ὕδωρ, πῦρ, καὶ σίδηρος, καὶ ἅλς, καὶ σεμίδαλις πυροῦ, καὶ μέλι, καὶ γάλα, αἷμα σταφυλῆς, καὶ ἔλαιον, καὶ ἱμάτιον.

32. Ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθὰ, οὕτως τοῖς ἁμαρτωλοῖς τραπήσεται εἰς κακά.

33. Ἔστι πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκτισται, καὶ ἐν θυμῷ αὐτῶν ἐστερέωσαν μάστιγας αὐτῶν.

34. Καὶ ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχέουσιν, καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσιν.

35. Πῦρ καὶ χάλαζα καὶ λιμὸς καὶ θάνατος, πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται.

36. Θηρίων ὀδόντες καὶ σκορπίοι καὶ ἔχεις καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβεῖς,

37. ἐν τῇ ἐντολῇ αὐτοῦ εὐφρανθήσονται, καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθήσονται, καὶ ἐν τοῖς καιροῖς αὐτῶν οὐ παραβήσονται λόγον.

38. Διὰ τοῦτο ἐξ ἀρχῆς ἐστηρίχθην, καὶ διενοήθην, καὶ ἐν γραφῇ ἀφῆκα.

39. Τὰ ἔργα Κυρίου πάντα ἀγαθὰ, καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς χορηγήσει.

40. Καὶ οὐκ ἔστιν εἰπεῖν· Τοῦτο τούτου πονηρότερον· πάντα γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται.

41. Καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ στόματι ὑμνήσατε, καὶ εὐλογήσατε τὸ ὄνομα Κυρίου.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

1. Ἀσχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ, καὶ ζυγὸς βαρὺς ἐπὶ υἱοὺς Ἀδὰμ, ἀφ' ἡμέρας ἐξόδου ἐκ γαστρὸς μητρὸς αὐτῶν ἕως ἡμέρας ἐπὶ ταφῇ εἰς μητέρα πάντων.

2. Τοὺς διαλογισμοὺς αὐτῶν καὶ φόβον καρδίας, ἐπίνοια προσδοκίας, ἡμέρα τελευτῆς.

3. Ἀπὸ καθημένου ἐπὶ θρόνου ἐν δόξῃ καὶ ἕως τεταπεινωμένου ἐν γῇ καὶ σποδῷ.

4. Ἀπὸ φοροῦντος ὑάκινθον καὶ στέφανον, καὶ ἕως περιβαλλομένου ὠμόλινον. Θυμὸς καὶ ζῆλος καὶ ταραχὴ καὶ σάλος καὶ φόβος θανάτου καὶ μηνίαμα καὶ ἔρις,

5. καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ κοίτης ὕπνος νυκτὸς ἀλλοιοῖ γνῶσιν αὐτοῦ.

6. Ὀλίγον ὡς οὐδὲν ἐν ἀναπαύσει, καὶ ἀπ' ἐκείνου ἐν ὕπνοις ὡς ἐν ἡμέρᾳ σκοπιᾶς.

7. Τεθορυβημένος ἐν ὁράσει καρδίας αὐτοῦ, ὡς ἐκπεφευγὼς ἀπὸ προσώπου πολέμου. Ἐν καιρῷ σωτηρίας αὐτοῦ ἐξηγέρθη, καὶ ἀποθαυμάζων εἰς οὐδένα φόβον,

8. μετὰ πάσης σαρκὸς ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἐπὶ ἁμαρτωλῶν ἑπταπλάσια

9. πρὸς ταῦτα. Θάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, ἐπαγωγαὶ, λιμὸς καὶ σύντριμμα καὶ μάστιξ,

10. ἐπὶ τοὺς ἀνόμους ἐκτίσθη ταῦτα πάντα, καὶ δι' αὐτοὺς ἐγένετο ὁ κατακλυσμός.

11. Πάντα ὅσα ἀπὸ γῆς εἰς γῆν ἀναστρέφει, καὶ ἀπὸ ὑδάτων εἰς θάλασσαν ἀνακάμπτει.

12. Πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται, καὶ πίστις εἰς τὸν αἰῶνα στήσεται.

13. Χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται, καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει.

14. Ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐφρανθήσεται, οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν.

31. Principium omnis rei necessariæ ad vitam hominis, aqua, ignis, et ferrum, et sal, et siligo tritici, et mel, et lac, sanguis uvæ, et oleum, et vestimentum.

32. Hæc omnia sanctis in bona, sic peccatoribus in mala convertentur.

33. Sunt spiritus qui ad vindictam creati sunt, et in furore suo confirmaverunt flagella sua.

34. Et in tempore consummationis effundunt virtutem, et furorem ejus qui fecit illos sedabunt.

35. Ignis et grando et fames et mors, omnia hæc ad vindictam creata sunt.

36. Bestiarum dentes et scorpii et viperæ et romphæa vindicans in exterminium impios,

37. in mandato lætabuntur, et super terram in necessitates præparabuntur, et in temporibus suis non præterient verbum.

38. Propterea ab initio confirmatus sum, et meditatus sum, et in scriptura reliqui.

39. Omnia opera Domini bona, et omnem usum in tempore ejus subministrabunt.

40. Et non est dicere : Hoc illo nequius est : omnia enim in tempore comprobabuntur.

41. Et nunc in omni corde et ore collaudate, et benedicite nomen Domini.

CAPUT XL.

1. Occupatio magna creata est omni homini, et jugum grave super filios Adam, a die exitus de ventre matris eorum usque in diem in sepultura in matrem omnium.

2. Cogitationes eorum et timorem cordis, consideratio expectationis, dies finitionis.

3. A residente super thronum in gloria et usque ad humiliatum in terra et cinere.

4. Ab eo qui portat hyacinthum et coronam, et usque ad eum qui operitur lino crudo. Furor et zelus et tumultus et fluctuatio et timor mortis et iracundia perseverans et contentio,

5. et in tempore refectionis in cubili somnus noctis immutat cognitionem ejus.

6. Modicum tamquam nihil in requie, et ab eo in somnis quasi in die speculæ.

7. Conturbatus est in visu cordis sui, tamquam qui evasit a facie belli. In tempore salutis suæ exsurrexit, et admirans ad nullum terrorem,

8. cum omni carne ab homine usque ad pecus, et super peccatores septupla

9. ad hæc. Mors et sanguis et contentio et romphæa, oppressiones, fames et contritio et flagellum,

10. super peccatores creata sunt hæc omnia, et propter illos factus est cataclysmus.

11. Omnia quæ de terra sunt in terram revertuntur, et ab aquis in mare reflectunt.

12. Omne munus et iniquitas delebitur, et fides in sæculum stabit.

13. Substantiæ injustorum sicut fluvius exsiccabuntur, et sicut tonitruum magnum in pluvia personabit.

14. In aperiendo ipsam manus suas lætabitur, sic prævaricatores in consummationem deficient.

15. Ἔκγονα ἀσεβῶν οὐ πληθύνει κλάδους, καὶ ῥίζαι ἀκάθαρτοι ἐπ' ἀκροτόμου πέτρας.

16. Ἄχει ἐπὶ παντὸς ὕδατος καὶ χείλους ποταμοῦ πρὸ παντὸς χόρτου ἐκτιλήσεται.

17. Χάρις ὡς παράδεισος ἐν εὐλογίαις, καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα διαμένει.

18. Ζωὴ αὐτάρχους ἐργάτου γλυκανθήσεται, καὶ ὑπὲρ ἀμφότερα ὁ εὑρίσκων θησαυρόν.

19. Τέκνα καὶ οἰκοδομὴ πόλεως στηρίζουσιν ὄνομα, καὶ ὑπὲρ ἀμφότερα γυνὴ ἄμωμος λογίζεται.

20. Οἶνος καὶ μουσικὰ εὐφραίνουσι καρδίαν, καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας.

21. Αὐλὸς καὶ ψαλτήριον ἡδύνουσι μέλι, καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα.

22. Χάριν καὶ κάλλος ἐπιθυμήσει ὁ ὀφθαλμός σου, καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρου.

23. Φίλος καὶ ἑταῖρος εἰς καιρὸν ἀπαντῶντες, καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετὰ ἀνδρός.

24. Ἀδελφοὶ καὶ βοήθεια εἰς καιρὸν θλίψεως, καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται.

25. Χρυσίον καὶ ἀργύριον ἐπιστήσουσι πόδα, καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται.

26. Χρήματα καὶ ἰσχὺς ἀνυψώσουσι καρδίαν, καὶ ὑπὲρ ἀμφότερα φόβος Κυρίου.

27. Οὐκ ἔστι φόβῳ Κυρίου ἐλάττωσις, καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ βοήθειαν.

28. Φόβος Κυρίου ὡς παράδεισος εὐλογίας, καὶ ὑπὲρ πᾶσαν δόξαν ἐκάλυψαν αὐτόν.

29. Τέκνον, ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς, κρεῖσσον ἀποθανεῖν ἢ ἐπαιτεῖν.

30. Ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, οὐκ ἔστιν αὐτοῦ ὁ βίος ἐν λογισμῷ ζωῆς, ἀλισγήσει τὴν ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις.

31. Ἀνὴρ δὲ ἐπιστήμων καὶ πεπαιδευμένος φυλάξεται.

32. Ἐν στόματι ἀναιδοῦς γλυκανθήσεται ἐπαίτησις, καὶ ἐν κοιλίᾳ αὐτοῦ πῦρ καήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

1. Ὦ θάνατε, ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστιν ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ,

2. ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσι καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν.

3. Ὦ θάνατε, καλόν σου τὸ κρῖμά ἐστιν ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ ἰσχύϊ,

4. ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων, καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν·

5. μὴ εὐλαβοῦ κρῖμα θανάτου, μνήσθητι προτέρων σου καὶ ἐσχάτων, τοῦτο τὸ κρῖμα παρὰ Κυρίου πάσῃ σαρκί.

6. Καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ Ὑψίστου; Εἴτε δέκα, εἴτε ἑκατὸν, εἴτε χίλια ἔτη,

7. οὐκ ἔστιν ἐν ᾅδου ἐλεγμὸς ζωῆς.

8. Τέκνα βδελυκτὰ γίνεται, τέκνα ἁμαρτωλῶν, καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν.

9. Τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος.

10. Πατρὶ ἀσεβεῖ μέμψεται τέκνα, ὅτι δι' αὐτὸν ὀνειδισθήσονται.

15. Nepotes impiorum non multiplicant ramos, et radices immundæ super duram petram.

16. Achi super omnem aquam et oram fluminis ante omne fœnum evelletur.

17. Gratia sicut paradisus in benedictionibus, et misericordia in sæculum permanet.

18. Vita sufficientis sibi operarii condulcabitur, et super utraque qui invenit thesaurum.

19. Filii et ædificatio civitatis confirmant nomen, et super utraque mulier immaculata computatur.

20. Vinum et musica lætificant cor, et super utraque dilectio sapientiæ.

21. Tibia et psalterium jucundam faciunt melodiam, et super utraque lingua suavis.

22. Gratiam et speciem desiderabit oculus tuus, et super utraque viriditatem sationis.

23. Amicus et sodalis in tempore occurrentes, et super utraque mulier cum viro.

24. Fratres et adjutorium in tempore tribulationis, et super utraque eleemosyna liberabit.

25. Aurum et argentum statuent pedem, et super utraque consilium bene placet.

26. Facultates et fortitudo exaltabunt cor, et super utraque timor Domini.

27. Non est timori Domini minoratio, et non est in eo inquirere adjutorium.

28. Timor Domini sicut paradisus benedictionis, et super omnem gloriam operuerunt illum.

29. Fili, vitam mendicationis ne vivas, melius est mori quam mendicare.

30. Vir respiciens in mensam alienam, non est vita ejus in computatione vitæ, contaminabit animam suam in cibis alienis.

31. Vir autem sciens et disciplinatus custodiet se.

32. In ore impudentis condulcabitur mendicatio, et in ventre ejus ignis ardebit.

CAPUT XLI.

1. O mors, quam amara est memoria tua homini pacem habenti in substantiis suis,

2. quieto et prospere agenti in omnibus et adhuc valenti accipere cibum.

3. O mors, bonum est judicium tuum homini indigenti et qui minoratur viribus,

4. defecto ætate et cui cura est de omnibus, et diffidenti et qui perdidit patientiam.

5. Noli metuere judicium mortis, memento priorum te et novissimorum, hoc judicium a Domino omni carni.

6. Et quid renues in beneplacito Altissimi? Sive decem, sive centum, sive mille anni,

7. non est in inferno accusatio vitæ.

8. Filii abominabiles fiunt, filii peccatorum, et qui conversantur parœciis impiorum.

9. Filiorum peccatorum periet hæreditas, et cum semine illorum erit assiduitas improperii.

10. De patre impio querentur filii, quoniam propter illum in opprobrio erunt.

11. Οὐαὶ ὑμῖν, ἄνδρες ἀσεβεῖς, οἵτινες ἐγκατελίπετε νόμον Θεοῦ ὑψίστου.

12. Καὶ ἐὰν γεννηθῆτε, εἰς κατάραν γεννηθήσεσθε· καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μερισθήσεσθε.

13. Πάντα ὅσα ἐκ γῆς εἰς γῆν ἀπελεύσεται, οὕτως ἀσεβεῖς ἀπὸ κατάρας εἰς ἀπώλειαν.

14. Πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν, ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν ἐξαλειφθήσεται.

15. Φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμένει ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου.

16. Ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, καὶ ἀγαθὸν ὄνομα εἰς αἰῶνα διαμένει.

17. Παιδείαν ἐν εἰρήνῃ συντηρήσατε, τέκνα· σοφία δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις;

18. Κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

19. Τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου,

20. οὐ γάρ ἐστι πᾶσαν αἰσχύνην διαφυλάξαι καλὸν, καὶ οὐ πάντα πᾶσιν ἐν πίστει εὐδοκιμεῖται.

21. Αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας, καὶ ἀπὸ ἡγουμένου καὶ δυνάστου περὶ ψεύδους·

22. ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας, ἀπὸ συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας·

23. ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας, καὶ ἀπὸ τόπου οὗ παροικεῖς,

24. περὶ κλοπῆς· καὶ ἀπὸ ἀληθείας Θεοῦ καὶ διαθήκης, καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτοις, ἀπὸ σκορακισμοῦ λήψεως καὶ δόσεως,

25. καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς· ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας,

26. καὶ ἀπὸ ἀποστροφῆς προσώπου συγγενοῦς· ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως,

27. καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου, ἀπὸ περιεργείας παιδίσκης αὐτοῦ· καὶ μὴ ἐπιστῇς ἐπὶ τὴν κοίτην αὐτῆς·

28. ἀπὸ φίλων περὶ λόγων ὀνειδισμοῦ, καὶ μετὰ τὸ δοῦναι, μὴ ὀνείδιζε.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

1. Ἀπὸ δευτερώσεως καὶ λόγου ἀκοῆς, καὶ ἀπὸ ἀποκαλύψεων λόγων κρυφίων. Καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινῶς, καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπου. Μὴ περὶ τούτων αἰσχυνθῇς, καὶ μὴ λάβῃς πρόσωπον τοῦ ἁμαρτάνειν.

2. Περὶ νόμου Ὑψίστου καὶ διαθήκης, καὶ περὶ κρίματος δικαιῶσαι τὸν ἀσεβῆ.

3. Περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων, καὶ περὶ δόσεως κληρονομίας ἑταίρων.

4. Περὶ ἀκριβείας ζυγοῦ καὶ σταθμιῶν, περὶ κτήσεως πολλῶν καὶ ὀλίγων.

5. Περὶ ἀδιαφόρου πράσεως καὶ ἐμπόρων, καὶ περὶ παιδείας τέκνων πολλῆς, καὶ οἰκέτῃ πονηρῷ πλευρὰν αἱμάξαι.

6. Ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς.

7. Καὶ ὅπου χεῖρες πολλαὶ, κλεῖσον. Ὃ ἐὰν παραδίδως, ἐν ἀριθμῷ καὶ σταθμῷ, καὶ δόσις καὶ λῆψις παντὶ ἐν γραφῇ.

8. Περὶ παιδείας ἀνοήτου καὶ μωροῦ καὶ ἐσχατογή-

11. Væ vobis, viri impii, qui dereliquistis legem Dei altissimi.

12. Et si nati fueritis, ad maledictionem nascemini: et si mortui fueritis, in maledictionem separabimini.

13. Omnia quæ de terra sunt in terram revertentur, sic impii a maledicto in perditionem.

14. Luctus hominum in corporibus ipsorum, nomen autem peccatorum non bonum delebitur.

15. Curam habe de nomine, hoc enim magis permanet tibi quam mille magni thesauri auri.

16. Bonæ vitæ numerus dierum, et bonum nomen permanet in ævum.

17. Disciplinam in pace conservate, filii: sapientia autem abscondita et thesaurus occultus, quæ utilitas in utrisque?

18. Melior est homo qui abscondit stultitiam suam quam homo qui abscondit sapientiam suam.

19. Igitur revereamini in verbo meo,

20. non est enim bonum omnem reverentiam observare, et non omnia omnibus in fide placent.

21. Erubescite a patre et matre de fornicatione, et a præsidente et potente de mendacio:

22. a judice et principe de delicto, a synagoga et plebe de iniquitate:

23. a socio et amico de injustitia, et a loco in quo habitas,

24. de furto: et a veritate Dei et testamenti, et a fixione cubiti in panibus, ab offuscatione accepti et dati,

25. et a salutantibus de silentio: ab aspectu mulieris fornicariæ,

26. et ab aversione vultus cognati: ab ablatione partis et dationis,

27. et a consideratione mulieris conjugatæ, a sollicitatione ancillæ ejus: et ne steteris super lectum ejus:

28. ab amicis de sermonibus improperii, et postquam dederis, ne improperes.

CAPUT XLII.

1. Ab iteratione et sermone auditus, et a revelationibus sermonum absconditorum. Et eris verecundus vere, et inveniens gratiam coram omni homine. Ne pro his confundaris, et ne accipias personam ut delinquas.

2. De lege Altissimi et testamento, et de judicio justificando impium.

3. De verbo socii et viatorum, et de datione hæreditatis amicorum.

4. De exacta ratione stateræ et ponderum, de acquisitione multorum et paucorum.

5. De indifferenti venditione et mercatorum, et de multa disciplina filiorum, et servo pessimo latus sanguinare.

6. Super mulierem nequam bonum est sigillum.

7. Et ubi manus multæ sunt, claude. Quodcumque tradideris, in numero et pondere, et datio et acceptio omnibus in scriptura.

8. De disciplina insensati et stulti et decrepiti litigantis

ρου κρινομενου πρὸς νέους, καὶ ἔσῃ πεπαιδευμένος ἀληθινῶς, καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος.

9. Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον, ἐν νεότητι αὐτῆς μήποτε παρακμάσῃ, καὶ συνῳκηκυῖα μήποτε μισηθῇ.

10. Ἐν παρθενίᾳ μήποτε βεβηλωθῇ, καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται. Μετὰ ἀνδρὸς οὖσα μήποτε παραβῇ, καὶ συνῳκηκυῖα μήποτε στειρώσῃ.

11. Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακὴν, μήποτε ποίησῃ σε ἐπίχαρμα ἐχθροῖς, λαλιὰν ἐν πόλει, καὶ ἔγκλητον λαοῦ, καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν.

12. Παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει, καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέδρευε.

13. Ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σὴς, καὶ ἀπὸ γυναικὸς πονηρία γυναικός.

14. Κρείσσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνὴ, καὶ γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν.

15. Μνησθήσομαι δὴ τὰ ἔργα Κυρίου, καὶ ἃ ἑώρακα ἐκδιηγήσομαι· ἐν λόγοις Κυρίου τὰ ἔργα αὐτοῦ.

16. Ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψε, καὶ τῆς δόξης αὐτοῦ πλῆρες τὸ ἔργον αὐτοῦ.

17. Οὐκ ἐνεποίησε τοῖς ἁγίοις Κύριος ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ, ἃ ἐστερέωσε Κύριος ὁ παντοκράτωρ, στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν·

18. Ἄβυσσον καὶ καρδίαν ἐξίχνευσε, καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη·

19. Ἔγνω γὰρ ὁ Κύριος πᾶσαν εἴδησιν, καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος. Ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ ἐπεσόμενα, καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων.

20. Οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα, οὐκ ἐκρύβη ἀπ' αὐτοῦ οὐδὲ εἷς λόγος.

21. Τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν, καὶ ἕως ἔστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, οὔτε προςετέθη

22. οὔτε ἠλαττώθη, καὶ οὐδὲ προςεδεήθη οὐδενὸς συμβούλου.

23. Ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητὰ, καὶ ὡς σπινθῆρος ἐστὶ θεωρῆσαι.

24. Πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα ἐν πάσαις χρείαις, καὶ πάντα ὑπακούει.

25. Πάντα δισσὰ, ἓν κατέναντι τοῦ ἑνὸς, καὶ οὐκ ἐποίησεν οὐδὲν ἐκλεῖπον.

26. Ἓν τοῦ ἑνὸς ἐστερέωσε τὰ ἀγαθὰ, καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

1. Γαυρίαμα ὕψους στερέωμα καθαριότητος, εἶδος οὐρανοῦ ἐν ὁράματι δόξης.

2. Ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ, σκεῦος θαυμαστὸν, ἔργον Ὑψίστου.

3. Ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν, καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται; Κάμινον φυσῶν ἐν ἔργοις καύματος,

4. τριπλασίως ἥλιος ἐκκαίων ὄρη, ἀτμίδας πυρώδεις ἐμφυσῶν, καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.

5. Μέγας Κύριος ὁ ποιήσας αὐτὸν, καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσε πορείαν.

6. Καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς, ἀνάδειξιν χρόνων, καὶ σημεῖον αἰῶνος.

cum adolescentibus, et eris eruditus vere, et probatus in conspectu omnis viventis.

9. Filia patri abscondita vigilia, et sollicitudo ejus aufert somnum, in juventute sua ne forte fiat superadulta, et cum viro commorata ne forte odio habeatur.

10. In virginitate ne forte polluatur, et in paternis suis gravida inveniatur. Cum viro manens ne forte transgrediatur, et cum cohabitaverit ne forte sit sterilis.

11. Super filia non avertente se confirma custodiam, ne quando faciat te gaudium inimicis, fabulam in civitate, et vocatum populi, et confundat te in multitudine plurimorum.

12. Omni homini noli intendere in speciem, et in medio mulierum noli considere.

13. De vestimentis enim procedit tinea, et a muliere iniquitas mulieris.

14. Melior est iniquitas viri quam mulier benefaciens, et mulier confundens in opprobrium.

15. Memor ero igitur operum Domini, et quæ vidi enarrabo : in sermonibus Domini opera ejus.

16. Sol illuminans per omnia respexit, et gloriæ ejus plenum est opus ejus.

17. Nonne indidit sanctis Dominus enarrare omnia mirabilia ejus, quæ confirmavit Dominus omnipotens, ut firmaretur in gloria ipsius universum?

18. Abyssum et cor investigavit, et in astutiis eorum meditatus est.

19. Cognovit enim Dominus omnem scientiam, et inspexit in signum ævi. Annuntians quæ præterierunt et quæ superventura sunt, et revelans vestigia occultorum.

20. Non præteriit illum omnis cogitatus, non abscondit se ab eo ullus sermo.

21. Magnalia sapientiæ suæ decoravit, et quatenus est ante sæculum et in sæculum, neque adjectum est ei

22. neque imminutum, et non eguit aliquo consiliario.

23. Quam desiderabilia omnia opera ejus, et tamquam scintillæ est considerare.

24. Omnia hæc vivunt et manent in sæculum in omnibus necessitatibus, et omnia obediunt.

25. Omnia duplicia, unum contra unum, et non fecit quicquam deficiens.

26. Unum unius confirmavit bona, et quis satiabitur videns gloriam ejus?

CAPUT XLIII.

1. Gloriatio altitudinis firmamentum puritatis, species cœli in visione gloriæ.

2. Sol in aspectu annuntians in exitu, vas admirabile, opus Excelsi.

3. In meridiano suo exsiccat regionem, et in conspectu ardoris ejus quis sustinebit? Fornacem sufflans in operibus ardoris,

4. tripliciter sol exurens montes, vapores igneos insufflans, et refulgens radiis offuscat oculos.

5. Magnus Dominus qui fecit illum, et in sermonibus ejus festinavit iter.

6. et luna in omnibus in tempore suo, ostensionem temporum, et signum ævi.

7. Ἀπὸ σελήνης σημεῖον ἑορτῆς, φωστὴρ μειούμενος ἐπὶ συντελείας.
8. Μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν, αὐξανομένη θαυμαστῶς ἐν ἀλλοιώσει.
9. Σκεῦος παρεμβολῶν ἐν ὕψει, ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων.
10. Κάλλος οὐρανοῦ, δόξα ἄστρων, κόσμος φωτίζων, ἐν ὑψίστοις Κύριος.
11. Ἐν λόγοις ἁγίου στήσονται κατὰ κρῖμα, καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν.
12. Ἴδε τόξον, καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτό· σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ.
13. Ἐγύρωσεν οὐρανὸν ἐν κυκλώσει δόξης, χεῖρες Ὑψίστου ἐτάννυσαν αὐτό.
14. Προστάγματι αὐτοῦ κατέσπευσε χιόνα, καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ.
15. Διὰ τοῦτο ἠνεῴχθησαν θησαυροὶ, καὶ ἐξέπτησαν νεφέλαι ὡς πετεινά.
16. Ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσε νεφέλας, καὶ διεθρύβησαν λίθοι χαλάζης.
17. Καὶ ἐν ὀπτασίαις αὐτοῦ σαλευθήσεται ὄρη, ἐν θελήματι πνεύσεται νότος.
18. Φωνὴ βροντῆς αὐτοῦ ὠδίνησε γῆν, καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος.
19. Ὡς πετεινὰ καθιπτάμενα πάσσει χιόνα, καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβασις αὐτῆς.
20. Κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμὸς, καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία.
21. Καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει, καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα.
22. Ψυχρὸς ἄνεμος βορέης πνεύσει, καὶ παγήσεται κρύσταλλος ἀφ' ὕδατος· ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει, καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.
23. Καταφάγεται ὄρη καὶ ἔρημον ἐκκαύσει, καὶ ἀποσβέσει χλόην ὡς πῦρ.
24. Ἴασις πάντων κατὰ σπουδὴν ὁμίχλη, δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει.
25. Λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον, καὶ ἐφύτευσεν αὐτὴν Ἰησοῦς.
26. Οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται τὸν κίνδυνον αὐτῆς, καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν.
27. Καὶ ἐκεῖ τὰ παράδοξα καὶ θαυμάσια ἔργα, ποικιλία παντὸς ζώου, κτίσις κητῶν.
28. Δι' αὐτὸν εὐοδία τέλος αὐτοῦ, καὶ ἐν λόγῳ αὐτοῦ σύγκειται πάντα.
29. Πολλὰ ἐροῦμεν καὶ οὐ μὴ ἐφικώμεθα, καὶ συντέλεια λόγων τὸ πᾶν ἐστιν αὐτός.
30. Δοξάζοντες ποῦ ἰσχύσωμεν; αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ.
31. Φοβερὸς Κύριος καὶ σφόδρα μέγας, καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ.
32. Δοξάζοντες Κύριον ὑψώσατε καθόσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ ἔτι.
33. Καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύϊ, μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἐφίκησθε.
35. Τίς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται, καὶ τίς μεγαλύνει αὐτὸν καθώς ἐστι;
36. Πολλὰ ἀπόκρυφά ἐστι μείζονα τούτων, ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ.

7. A luna signum diei festi, luminare quod minuitur super consummationem.
8. Mensis secundum nomen ejus est, crescens mirabiliter mutatione.
9. Vas castrorum in celsitudine, in firmamento cœli resplendens.
10. Species cœli, gloria stellarum, ornatus illuminans, in excelsis Dominus.
11. In verbis sancti stabunt ad judicium, et non deficient in vigiliis suis.
12. Vide arcum, et benedic eum qui fecit illum : valde speciosus est in fulgore suo.
13. Gyravit cœlum in circuitu gloriæ, manus Excelsi aperuerunt illum.
14. Imperio suo acceleravit nivem, et accelerat coruscationes judicii sui.
15. Propterea aperti sunt thesauri, et evolaverunt nubes sicut aves.
16. In magnitudine sua confortavit nubes, et confracti sunt lapides grandinis.
17. Et in aspectibus ejus commovebuntur montes, in voluntate spirabit notus.
18. Vox tonitrui ejus parturire fecit terram, et tempestas aquilonis et vortex spiritus.
19. Sicut aves deorsum volantes dispergit nivem, et sicut locusta divertens descensus ejus.
20. Pulchritudinem candoris ejus admirabitur oculus, et super imbrem ejus expavescet cor.
21. Et pruinam sicut salem effundit super terram, et cum congelaverit fit cacumina tribulorum.
22. Frigidus ventus aquilo flabit, et gelabit crystallus ab aqua : super omnem congregationem aquæ requiescet, et tamquam loricam induet aqua.
23. Devorabit montes et exuret desertum, et extinguet viride sicut ignis.
24. Medicina omnium in festinatione nebula, ros obvians ab ardore exhilarabit.
25. Cogitatione sua pacavit abyssum, et plantavit eam Jesus.
26. Qui enavigant mare enarrant pericula ejus, et audientes auribus nostris admiramur.
27. Et illic incredibilia et admirabilia opera, varietas omnis animalis, creatura cetorum.
28. Per ipsum prosper processus finis ejus, et in verbo ejus composita sunt omnia.
29. Multa dicemus et non assequemur, et consummatio sermonum ipse est in omnibus.
30. Glorificantes quo valebimus? ipse enim est magnus super omnia opera sua.
31. Terribilis Dominus et magnus vehementer, et mirabilis potentia ipsius.
32. Glorificantes Dominum exaltate quantumcumque potueritis, excedet enim et adhuc.
33. Et exaltantes illum abundate in virtute, ne laboretis, non enim comprehendetis.
35. Quis vidit eum et enarrabit, et quis magnificat eum sicut est?
36. Multa abscondita sunt majora his, pauca enim vidimus operum ejus.

37. Πάντα γὰρ ἐποίησεν ὁ Κύριος, καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν.

37. Omnia enim fecit Dominus, et piis dedit sapientiam.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

ΠΑΤΕΡΩΝ ΥΜΝΟΣ.

1. Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους, καὶ τοὺς πατέρας ἡμῶν τῇ γενέσει.
2. Πολλὴν δόξαν ἔκτισεν ὁ Κύριος, τὴν μεγαλωσύνην αὐτοῦ ἀπ' αἰῶνος.
3. Κυριεύοντες ἐν ταῖς βασιλείαις αὐτῶν, καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει· βουλεύσονται ἐν συνέσει αὐτῶν, ἀπηγγελκότες ἐν προφητείαις.
4. Ἡγούμενοι λαοῦ ἐν διαβουλίοις, καὶ συνέσει γραμματείας λαοῦ·
5. σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν, ἐκζητοῦντες μέλη μουσικῶν, διηγούμενοι ἔπη ἐν γραφῇ.
6. Ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύϊ, εἰρηνεύοντες ἐν παροικίαις αὐτῶν.
7. Πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν, καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
8. Εἰσὶν αὐτῶν οἳ κατέλιπον ὄνομα τοῦ ἐκδιηγήσασθαι ἐπαίνους,
9. καὶ εἰσὶν ὧν οὐκ ἔστι μνημόσυνον καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες, καὶ ἐγένοντο ὡς οὐ γεγονότες, καὶ τὰ τέκνα αὐτῶν μετ' αὐτούς.
10. Ἀλλ' ἢ οὗτοι ἄνδρες ἐλέους, ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν.
11. Μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ
12. ἀγαθὴ κληρονομία, ἔκγονα αὐτῶν ἐν ταῖς διαθήκαις. Ἔστη σπέρμα αὐτῶν
13. καὶ τέκνα αὐτῶν δι' αὐτούς, ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν, καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται.
14. Τὸ σῶμα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς.
15. Σοφίαν αὐτῶν διηγήσονται λαοὶ, καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία.
16. Ἐνὼχ εὐηρέστησε Κυρίῳ, καὶ μετετέθη, ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς.
17. Νῶε εὑρέθη τέλειος δίκαιος, ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα.
18. Διὰ τοῦτο ἐγενήθη κατάλειμμα τῇ γῇ, διὰ τοῦτο ἐγένετο κατακλυσμός.
19. Διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτὸν, ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ.
20. Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν, καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ, ὃς συνετήρησε νόμον Ὑψίστου, καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ·
21. καὶ ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην, καὶ ἐν πειρασμῷ εὑρέθη πιστός.
22. Διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ, ἐνευλογηθῆναι ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ, πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς,
23. καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ, καὶ κατακλορονομῆσαι αὐτοὺς ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου γῆς.
24. Καὶ ἐν τῷ Ἰσαὰκ ἔστησεν οὕτως διὰ Ἀβραὰμ τὸν πατέρα αὐτοῦ,
25. εὐλογίαν πάντων ἀνθρώπων καὶ διαθήκην, καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ.

CAPUT XLIV.

PATRUM HYMNUS.

1. Laudemus nunc viros gloriosos, et parentes nostros generatione.
2. Multam gloriam creavit Dominus, magnificentiam suam a sæculo.
3. Dominantes in regnis suis, et viri nominati in potentia: consiliantes in intellectu suo, annuntiantes in prophetiis.
4. Rectores populi in consiliis, et intellectu litteraturæ populi:
5. sapientes sermones in disciplina eorum, requirentes modos musicos, narrantes carmina in scriptura.
6. Homines divites subministrati in fortitudine, pacem habentes in habitationibus suis.
7. Omnes isti in generationibus gloriam adepti sunt, et in diebus ipsorum gloriatio.
8. Sunt eorum qui reliquerunt nomen ad enarrandum laudes,
9. et sunt quorum non est memoria et perierunt quasi qui non fuerint, et nati sunt quasi non nati, et filii eorum post eos.
10. Sed hi viri misericordiæ, quorum justitiæ non sunt traditæ oblivioni.
11. Cum semine eorum permanebit
12. bona hæreditas, nepotes eorum in testamentis. Stetit semen eorum
13. et filii eorum propter illos, usque in æternum manebit semen eorum, et gloria illorum non delebitur.
14. Corpus ipsorum in pace sepultum est, et nomen eorum vivit in generationes.
15. Sapientiam ipsorum narrabunt populi, et laudem annuntiat ecclesia.
16. Enoch placuit Domino, et translatus est, exemplum pœnitentiæ generationibus.
17. Noe inventus est perfectus justus, in tempore iracundiæ factus est reconciliatio.
18. Ideo fuerunt reliquiæ ipsi terræ, ideo factum est diluvium.
19. Testamenta sæculi posita sunt apud illum, ne deleretur diluvio omnis caro.
20. Abraam magnus pater multitudinis gentium, et non est inventus similis in gloria, qui conservavit legem Excelsi, et fuit in testamento cum illo:
21. et in carne sua stare fecit testamentum, et in tentatione inventus est fidelis.
22. Ideo in jurejurando statuit illi, benedicere gentes in semine ipsius, multiplicare illum quasi terræ cumulum,
23. et sicut stellas exaltare semen illius, et hæreditatem dare illis a mari usque ad mare, et a flumine usque ad extremum terræ.
24. Et in Isaac statuit ita propter Abraam patrem ejus,
25. benedictionem omnium hominum et testamentum, et requievit super caput Jacob.

26. Ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ· καὶ διέστειλε μερίδας αὐτοῦ, ἐν φυλαῖς ἐμέρισε δεκαδύο.

27. Καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

1. Ἠγαπημένον ὑπὸ Θεοῦ καὶ ἀνθρώπων Μωϋσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις.

2 Ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων, καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν. Ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν,

3. ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων· ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ, καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ.

4. Ἐν πίστει καὶ πρᾳΰτητι αὐτοῦ ἡγίασεν, ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός.

5. Ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον.

6. Καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολὰς, νόμον ζωῆς καὶ ἐπιστήμης, διδάξαι τὸν Ἰακὼβ διαθήκην, καὶ κρίματα αὐτοῦ τὸν Ἰσραήλ.

7. Ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ ἀδελφὸν αὐτοῦ, ἐκ φυλῆς Λευί.

8. Ἔστησεν αὐτῷ διαθήκην αἰῶνος, καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαοῦ· ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ,

9. καὶ περιέζωσεν αὐτὸν στολὴν δόξης, ἐνέδυσεν αὐτὸν συντέλειαν καυχήματος, καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος.

10. Περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα, καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις χρυσοῖς, κώδωσι πλείστοις κυκλόθεν,

11. ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτοῦ, ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ εἰς μνημόσυνον υἱοῖς λαοῦ αὐτοῦ.

12. Στολῇ ἁγίᾳ, χρυσῷ καὶ ὑακίνθῳ καὶ πορφύρᾳ, ἔργῳ ποικιλτοῦ, λογείῳ κρίσεως, δήλοις ἀληθείας,

13. κεκλωσμένῃ κόκκῳ, ἔργῳ τεχνίτου, λίθοις πολυτελέσι γλύμματος σφραγῖδος, ἐν δέσει χρυσίου, ἔργῳ λιθουργοῦ, εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ κατ' ἀριθμὸν φυλῶν Ἰσραήλ.

14. Στέφανον χρυσοῦν ἐπάνω κιδάρεως, ἐκτύπωμα σφραγῖδος ἁγιάσματος, καύχημα τιμῆς, ἔργον ἰσχύος, ἐπιθυμήματα ὀφθαλμῶν κοσμούμενα,

15. ὡραῖα. Πρὸ αὐτοῦ οὐ γέγονε τοιαῦτα ἕως αἰῶνος,

16. οὐκ ἐνεδύσατο ἀλλογενὴς πλὴν τῶν υἱῶν αὐτοῦ μόνον, καὶ τὰ ἔκγονα αὐτοῦ διαπαντός.

17. Θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται καθημέραν ἐνδελεχῶς δίς.

18. Ἐπλήρωσε Μωϋσῆς τὰς χεῖρας, καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ.

19. Ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰώνιον, καὶ ἐν τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ, λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν, καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι αὐτοῦ.

20. Ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος, προσαγαγεῖν κάρπωσιν Κυρίῳ, θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον, ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου.

26. Agnovit eum in benedictionibus suis, et dedit illi in hæreditate : et divisit partes ejus, in tribus partitus est duodecim.

27. Et eduxit ex eo virum misericordiæ invenientem gratiam in oculis omnis carnis.

CAPUT XLV.

1. Dilectum a Deo et hominibus Moysen, cujus memoria in benedictionibus est.

2. Similem illum fecit gloriæ sanctorum, et magnificavit eum in timoribus inimicorum. In verbis ejus signa cessare fecit,

3. glorificavit eum in conspectu regum : mandavit illi ad populum suum, et ostendit illi gloriam suam.

4. In fide et lenitate ipsius sanctum fecit, elegit eum ex omni carne.

5. Auditam fecit ei vocem suam, et induxit illum in caliginem.

6. Et dedit illi coram præcepta, legem vitæ et scientiæ, docere Jacob testamentum suum, et judicia sua Israel.

7. Excelsum fecit Aaron sanctum similem illi fratrem ejus, de tribu Levi.

8. Statuit ei testamentum sæculi, et dedit illi sacerdotium populi : beatificavit illum in decore,

9. et circumcinxit eum stola gloriæ, induit eum consummatione gloriationis, et confirmavit eum vasis virtutis.

10. Femoralia et poderem et humerale, et circumdedit eum malis punicis aureis, tintinnabulis plurimis in gyro,

11. ad sonandum vocem in gressibus suis, ad faciendum audiri sonitum in templo in memoriam filiis populi sui.

12. Stola sancta, auro et hyacintho et purpura, opere variatoris, rationali judicii, manifestationibus veritatis,

13. torta cocco, opere artificis, lapidibus pretiosis sculpturæ sigilli, in ligatura auri opere lapidarii, in memoriam in scriptura sculpta secundum numerum tribuum Israel.

14. Coronam auream super mitram, efformationem signaculi sanctitatis, gloriam honoris, opus virtutis, desideria oculorum ornata,

15. pulchra. Ante ipsum non fuerunt talia usque in sæculum,

16. non est indutus alienigena sed filii ejus soli, et nepotes ejus per omne tempus.

17. Sacrificia ipsius fient holocarpomata quotidie assidue bis.

18. Implevit Moyses manus, et unxit illum oleo sancto.

19. Factum est illi in testamentum æternum, et in semine ejus in diebus cœli, ministrare ei simul et sacerdotio fungi, et benedicere populum ejus in nomine ejus.

20. Ipsum elegit ex omni vivente, offerre oblationem Domino, incensum et bonum odorem in memoriam, placare pro populo suo.

21.

21. Ἔδωκεν αὐτὸν ἐν ἐντολαῖς αὐτοῦ, ἐξουσίαν ἐν διαθήκαις κριμάτων, διδάξαι τὸν Ἰακὼβ τὰ μαρτύρια, καὶ ἐν νόμῳ αὐτοῦ φωτίσαι Ἰσραήλ.

22. Ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι, καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἄνδρες οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν, καὶ ἡ συναγωγὴ Κορὲ ἐν θυμῷ καὶ ὀργῇ.

23. Εἶδε Κύριος καὶ οὐκ εὐδόκησε, καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς.

24. Ἐποίησεν αὐτοῖς τέρατα καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ.

25. Καὶ προσέθηκεν Ἀαρὼν δόξαν, καὶ ἔδωκεν αὐτῷ κληρονομίαν. Ἀπαρχὰς πρωτογεννημάτων ἐμέρισεν αὐτοῖς·

26. ἄρτον ἐν πρώτοις ἡτοίμασε πλησμονήν· καὶ γὰρ θυσίας Κυρίου φάγονται, ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ.

27. Πλὴν ἐν γῇ λαοῦ οὐ κληρονομήσει, καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ, αὐτὸς γὰρ μερίς σου κληρονομία.

28. Καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ τρίτος εἰς δόξαν, ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ Κυρίου,

29. καὶ στῆσαι αὐτὸν ἐν τροπῇ λαοῦ, ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ, καὶ ἐξιλάσατο περὶ τοῦ Ἰσραήλ.

30. Διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης, προστάτην ἁγίων καὶ λαῷ αὐτοῦ, ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτοῦ ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας.

31. Καὶ διαθήκην τῷ Δαυὶδ υἱῷ ἐκ φυλῆς Ἰούδα, κληρονομία βασιλέως υἱοῦ ἐξ υἱοῦ μόνου, κληρονομία Ἀαρὼν καὶ τῷ σπέρματι αὐτοῦ. Δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν, κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ, ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν, καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς αὐτῶν.

21. Dedit illum in mandatis suis, potestatem in testamentis judiciorum, docere Jacob testimonia, et in lege sua lucem dare Israel.

22. Contra eum steterunt alieni, et zelaverunt eum in deserto, homines qui erant cum Dathan et Abiron, et congregatio Core in furore et ira.

23. Vidit Dominus et non placuit illi, et consumpti sunt in impetu iracundiæ.

24. Fecit illis monstra ad consumendum in igne flammæ suæ.

25. Et addidit Aaron gloriam, et dedit illi hæreditatem. Primitias primitivorum divisit illis :

26. panem in primis paravit *in* satietatem : nam et sacrificia Domini edent, quæ dedit et ei et semini ejus.

27. Cæterum in terra populi non hæreditabit, et pars non est illi in populo, ipse enim pars tua hæreditas.

28. Et Phinees filius Eleazari tertius est in gloria, in zelando eum in timore Domini,

29. et stando in versione populi, in bonitate alacritatis animæ suæ, et placavit pro Israel.

30. Ideo statutum est illi testamentum pacis, præsidem sanctorum et populo suo, ut sit illi et semini ejus sacerdotii dignitas in sæcula.

31. Et testamentum Davidi filio ex tribu Juda, hæreditas regis filii ex filio solo, hæreditas Aaron et semini ejus. Det vobis sapientiam in corde vestro, judicare populum suum in justitia, ne aboleantur bona ipsorum, et gloria eorum in generationes eorum.

ΚΕΦΑΛΑΙΟΝ Μς΄.

1. Κραταιὸς ἐν πολέμοις Ἰησοῦς Ναυῆ, καὶ διάδοχος Μωϋσῆ ἐν προφητείαις· ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ

2. μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ, ἐκδικῆσαι ἐπεγειρομένους ἐχθροὺς, ὅπως κληρονομήσῃ τὸν Ἰσραήλ.

3. Ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ, καὶ τῷ ἐκκλῖναι ῥομφαίαν ἐπὶ πόλεις.

4. Τίς πρότερον αὐτοῦ οὕτως ἔστη; Τοὺς γὰρ πολεμίους Κύριος αὐτὸς ἐπήγαγεν.

5. Οὐχὶ ἐν χειρὶ αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος, καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;

6. Ἐπεκαλέσατο τὸν ὕψιστον Δυνάστην, ἐν τῷ θλῖψαι αὐτὸν ἐχθροὺς κυκλόθεν· καὶ ἐπήκουσεν αὐτῶν μέγας Κύριος ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·

7. κατέῤῥαξεν ἐπ' ἔθνος πόλεμον, καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεστηκότας·

8. ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῶν, ὅτι ἐναντίον Κυρίου ὁ πόλεμος αὐτοῦ, καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστου.

9. Καὶ ἐν ἡμέραις Μωϋσέως ἐποίησεν ἔλεος, αὐτὸς καὶ Χαλὲβ υἱὸς Ἰεφοννῆ, ἀντιστῆναι ἔναντι ἐχθροῦ, κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας, καὶ κοπάσαι γογγυσμὸν πονηρίας.

10. Καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν, εἰσαγαγεῖν αὐτοὺς εἰς κληρονομίαν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.

CAPUT XLVI.

1. Fortis in bellis Jesus Nave, et successor Moysi in prophetiis : qui fuit secundum nomen suum

2. magnus in salutem electorum ejus, expugnare insurgentes hostes, ut hæreditaret Israel.

3. Quam gloriam adeptus est in tollendo manus suas, et declinando romphæam contra civitates!

4. Quis ante illum sic stetit? Nam hostes ipse Dominus perduxit.

5. An non in manu ejus retrocessit sol, et una dies facta est quasi duæ?

6. Invocavit altissimum Potentem, in oppugnando inimicos undique : et audivit eos magnus Dominus in saxis grandinis virtutis fortis :

7. erupit contra gentem bellum, et in descensu perdidit contrarios :

8. ut cognoscant gentes integram armaturam eorum, quia coram Domino bellum ejus, etenim secutus est post potentem.

9. Et in diebus Moysi fecit misericordiam, ipse et Caleb filius Jephonne, stare contra inimicum, prohibere populum a peccato, et sedare murmur malitiæ.

10. Et ipsi cum duo essent salvati sunt e sexcentis millibus peditum, inducere illos in hæreditatem, in terram quæ manat lac et mel.

11. Καὶ ἔδωκεν ὁ Κύριος τῷ Χαλὲβ ἰσχὺν, καὶ ἕως γήρους διέμεινεν αὐτῷ, ἐπιβῆναι αὐτὸν ἐπὶ ὕψος τῆς γῆς, καὶ τὸ σπέρμα αὐτοῦ κατέσχε κληρονομίαν·

12. ὅπως ἴδωσι πάντες οἱ υἱοὶ Ἰσραὴλ ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω Κυρίου.

13. Καὶ οἱ κριταὶ, ἕκαστος τῷ αὐτοῦ ὀνόματι, ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία, καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ Κυρίου,

14. εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις. Τὰ ὀστᾶ αὐτῶν ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν,

15. καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον, ἐφ' υἱοῖς δεδοξασμένων αὐτῶν.

16. Ἠγαπημένος ὑπὸ Κυρίου αὐτοῦ Σαμουὴλ, προφήτης Κυρίου, κατέστησε βασιλείαν, καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ.

17. Ἐν νόμῳ Κυρίου ἔκρινε συναγωγὴν, καὶ ἐπεσκέψατο Κύριος τὸν Ἰακώβ.

18. Ἐν πίστει αὐτοῦ ἠκριβάσθη προφήτης, καὶ ἐγνώσθη ἐν πίστει αὐτοῦ πιστὸς ὁράσεως.

19. Καὶ ἐπεκαλέσατο τὸν Κύριον δυνάστην, ἐν τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν, ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ.

20. Καὶ ἐβρόντησεν ἀπ' οὐρανοῦ Κύριος, καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησε τὴν φωνὴν αὐτοῦ.

21. Καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων καὶ πάντας ἄρχοντας Φυλιστιείμ.

22. Καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος ἐπεμαρτύρατο ἔναντι Κυρίου καὶ Χριστοῦ· Χρήματα καὶ ἕως ὑποδημάτων ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα, καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος.

23. Καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσε, καὶ ὑπέδειξε βασιλεῖ τὴν τελευτὴν αὐτοῦ, καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ ἐν προφητείᾳ, ἐξαλεῖψαι ἀνομίαν λαοῦ.

11. Et dedit Dominus ipsi Caleb fortitudinem, et usque in senectutem permansit illi, ut ascenderet in excelsum terræ locum, et semen ejus obtinuit hæreditatem :

12. ut viderent omnes filii Israel quia bonum est obsequi Domino.

13. Et judices, singuli suo nomine, quorumcumque cor non est fornicatum, et quicumque non sunt aversi a Domino,

14. sit memoria eorum in benedictionibus. Ossa eorum pullulent de loco suo,

15. et nomen eorum restauratum, glorificatis ipsis in filiis.

16. Dilectus a Domino suo Samuel, propheta Domini, constituit regnum, et unxit principes super gentem suam.

17. In lege Domini judicavit synagogam, et visitavit Dominus Jacob.

18. In fide sua probatus est propheta, et cognitus est in fide sua fidelis visionis.

19. Et invocavit Dominum potentem, in oppugnando hostes suos undique, in oblatione agni lactentis.

20. Et intonuit de cœlo Dominus, et in sonitu magno auditam fecit vocem suam.

21. Et contrivit principes Tyriorum et omnes duces Phylistiim.

22. Et ante tempus dormitionis sæculi contestatus est in conspectu Domini et Christi : Pecunias et usque ad calceamenta ab omni carne non accepi, et non accusavit eum homo.

23. Et postquam dormivit prophetavit, et ostendit regi finem ejus, et exaltavit vocem suam de terra in prophetia, delere iniquitatem populi.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

1. Καὶ μετὰ τοῦτο ἀνέστη Νάθαν προφητεύειν ἐν ἡμέραις Δαυίδ.

2. Ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου, οὕτως Δαυὶδ ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

3. Ἐν λέουσιν ἔπαισεν ὡς ἐν ἐρίφοις, καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων. Ἐν νεότητι αὐτοῦ

4. οὐχὶ ἀπέκτεινε γίγαντα, καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ;

5. Ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης, καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιάθ.

6. Ἐπεκαλέσατο γὰρ Κύριον τὸν ὕψιστον, καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέμῳ, ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ.

7. Οὕτως ἐν μυριάσιν ἐδόξασεν αὐτὸν, καὶ ᾔνεσεν αὐτὸν ἐν εὐλογίαις Κυρίου, ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης.

8. Ἐξέτριψε γὰρ ἐχθροὺς κυκλόθεν, καὶ ἐξουδένωσε Φυλιστιεὶμ τοὺς ὑπεναντίους· ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.

9. Ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν Ἁγίῳ ὑψίστῳ, ῥήματι δόξης·

10. ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησε, καὶ ἠγάπησε τὸν ποιήσαντα αὐτόν.

CAPUT XLVII.

1. Et post hoc surrexit Nathan prophetare in diebus David.

2. Quasi adeps separatus a salutari, sic David a filiis Israel.

3. Cum leonibus lusit quasi cum hœdis, et in ursis sicut in agnis ovium. In juventute sua

4. numquid non occidit gigantem, et abstulit opprobrium de gente ?

5. In tollendo manum in saxo fundæ, et dejiciendo exultationem Goliæ.

6. Nam invocavit Dominum altissimum, et dedit in dextera ejus robur tollere hominem fortem in bello, exaltare cornu gentis suæ.

7. Sic in decem millibus glorificavit eum, et laudavit eum in benedictionibus Domini, in afferendo illi coronam gloriæ.

8. Contrivit enim inimicos undique et exstirpavit Phylistiim contrarios : usque in hodiernum diem contrivit cornu ipsorum.

9. In omni opere suo dedit confessionem Sancto excelso, verbo gloriæ :

10. in omni corde suo laudavit, et dilexit eum qui fecit ipsum.

11. Καὶ ἔστησε ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου, καὶ ἐξ ἤχου αὐτῶν γλυκαίνει μέλη.

12. Ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν, καὶ ἐκόσμησε καιροὺς μέχρι συντελείας· ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ, καὶ ἀπὸ πρωῒ ἠχεῖν τὸ ἁγίασμα.

13. Κύριος ἀφεῖλε τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων καὶ θρόνον δόξης ἐν τῷ Ἰσραήλ.

14. Μετὰ τούτου ἀνέστη υἱὸς ἐπιστήμων, καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ.

15. Σαλωμὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης, ᾧ ὁ Θεὸς κατέπαυσε κυκλόθεν, ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι αὐτοῦ, καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.

16. Ὡς ἐσοφίσθης ἐν νεότητί σου, καὶ ἐνεπλήσθης, ὡς ποταμὸς, συνέσεως. Γῆν ἐπεκάλυψεν ἡ ψυχή σου,

17. καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων· εἰς νήσους πόῤῥω ἀφίκετο τὸ ὄνομά σου, καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου.

18. Ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε χῶραι.

19. Ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ τοῦ ἐπικεκλημένου Θεοῦ Ἰσραὴλ,

20. συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον, καὶ ὡς μόλιβδον ἐπλήθυνας ἀργύριον.

21. Παρενέκλινας τὰς λαγόνας σου γυναιξὶ, καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου.

22. Ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐβεβήλωσας τὸ σπέρμα σου, ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου, καὶ κατενύγην ἐπὶ τῇ ἀφροσύνῃ σου·

23. γενέσθαι δίχα τυραννίδα, καὶ ἐξ Ἐφραὶμ ἄρξαι βασιλείαν ἀπειθῆ.

24. Ὁ δὲ Κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ, καὶ οὐ μὴ διαφθαρῇ ἀπὸ τῶν ἔργων αὐτοῦ· οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ ἔκγονα, καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ.

25. Καὶ τῷ Ἰακὼβ ἔδωκε κατάλειμμα, καὶ τῷ Δαυὶδ ἐξ αὐτοῦ ῥίζαν.

26. Καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν πατέρων·

27. καὶ κατέλιπε μετ' αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ, λαοῦ ἀφροσύνην,

28. καὶ ἐλασσούμενον συνέσει Ῥοβοὰμ, ὃς ἀπέστησε λαὸν ἐκ βουλῆς αὐτοῦ,

29. καὶ Ἱεροβοὰμ υἱὸν Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, καὶ ἔδωκε τῷ Ἐφραὶμ ὁδὸν ἁμαρτίας. Καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν

30. σφόδρα, ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν.

31. Καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν, ἕως ἐκδίκησις ἔλθῃ ἐπ' αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

1. Καὶ ἀνέστη Ἠλίας προφήτης ὡς πῦρ, καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο.

2. Ὃς ἐπήγαγεν ἐπ' αὐτοὺς λιμὸν, καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς.

3. Ἐν λόγῳ Κυρίου ἀνέσχεν οὐρανὸν, κατήγαγεν οὕτως τρὶς πῦρ.

4. Ὡς ἐδοξάσθης, Ἠλία, ἐν τοῖς θαυμασίοις σου, καὶ τίς ὅμοιός σοι καυχᾶσθαι;

11. Et stare fecit cantores contra altare, et ex sono eorum dulces facit modos.

12. Dedit in celebritatibus decus, et ornavit tempora usque ad consummationem : in laudando ipsos nomen sanctum ejus, et a mane personando sanctitatem.

13. Dominus abstulit peccata ipsius, et exaltavit in æternum cornu ejus, et dedit illi testamentum regum et thronum gloriæ in Israel.

14. Cum hoc surrexit filius sciens, et propter illum habitavit in latitudine.

15. Salomon regnavit in diebus pacis, cui Deus requiem dedit in circuitu, ut conderet domum in nomine ejus, et pararet sanctitatem in sempiternum.

16. Quam sapiens fuisti in juventute tua, et impletus es, quasi flumen, intellectu! Terram contexit anima tua,

17. et replesti in parabolis ænigmatum : ad insulas longe pervenit nomen tuum, et dilectus fuisti in pace tua.

18. In cantilenis et proverbiis et parabolis et interpretationibus te miratæ sunt terræ.

19. In nomine Domini Dei cui cognomen est Deus Israel,

20. collegisti quasi stannum aurum, et ut plumbum multiplicasti argentum.

21. Inclinasti femora tua mulieribus, et subjugatus es in corpore tuo.

22. Dedisti maculam in gloria tua, et prophanasti semen tuum, inducere iram super filios tuos, et compunctus sum super stultitia tua :

23. ut fieret imperium bipartitum, et ex Ephraim inciperet regnum inobediens.

24. Dominus autem non derelinquet misericordiam suam, et non corrumpet opera sua : nec delebit electi nepotes, et semen ejus qui ipsum dilexit non tollet.

25. Et dedit reliquias Jacob, et Davidi ex ipso radicem.

26. Et requievit Salomon cum patribus :

27. et reliquit post se de semine suo, gentis stultitiam,

28. et imminutum prudentia Roboam, qui avertit gentem in consilio suo,

29. et Jeroboam filium Nabat, qui peccare fecit Israel, et dedit viam peccati ipsi Ephraim. Et redundaverunt peccata ipsorum

30. valde, ut averteret eos a terra.

31. Et quæsiverunt omnem nequitiam, donec vindicta veniret super eos.

CAPUT XLVIII.

1. Et surrexit Elias propheta quasi ignis, et verbum illius quasi facula ardebat.

2. Qui induxit in illos famem, et zelo suo paucos fecit eos.

3. In verbo Domini continuit cœlum, deduxit sic ter ignem.

4. Quam glorificatus fuisti, Elias, in mirabilibus tuis! et quis similis tibi ut glorietur?

5. Ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου καὶ ἐξ ᾅδου ἐν λόγῳ Ὑψίστου.
6. Ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν, καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν.
7. Ὁ ἀκούων ἐν Σινᾷ ἔλεγμὸν, καὶ ἐν Χωρὴβ κρίματα ἐκδικήσεως.
8. Ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα, καὶ προφήτας διαδόχους μετ' αὐτόν.
9. Ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρὸς, ἐν ἅρματι ἵππων πυρίνων.
10. Ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιροὺς, κοπάσαι ὀργὴν πρὸ θυμοῦ, καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καταστῆσαι φυλὰς Ἰακώβ.
11. Μακάριοι οἱ ἰδόντες σε, καὶ οἱ ἐν ἀγαπήσει κεκοσμημένοι,
12. καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα.
13. Ἠλίας, ὃς ἐν λαίλαπι ἐσκεπάσθη· καὶ Ἐλισαιὲ ἐνεπλήσθη πνεύματος αὐτοῦ, καὶ ἐν ἡμέραις αὐτοῦ οὐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος, καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς.
14. Πᾶς λόγος οὐχ ὑπερῆρεν αὐτὸν, καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτοῦ.
15. Καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησε τέρατα, καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ.
16. Ἐν πᾶσι τούτοις οὐ μετενόησεν ὁ λαὸς, καὶ οὐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν, ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν, καὶ ἐσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ.
17. Καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστὸς, καὶ ἄρχων τῷ οἴκῳ Δαυίδ.
18. Τινὲς μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστὸν, τινὲς δὲ ἐπλήθυσαν ἁμαρτίας.
19. Ἐζεκίας ὠχύρωσε τὴν πόλιν αὐτοῦ, καὶ εἰσήγαγεν εἰς μέσον αὐτῶν τὸν Γώγ. Ὤρυξε σιδήρῳ ἀκρότομον, καὶ ᾠκοδόμησε κρήνας εἰς ὕδατα.
20. Ἐν ἡμέραις αὐτοῦ ἀνέβη Σενναχηρὶμ, καὶ ἀπέστειλε Ῥαψάκην, καὶ ἀπῆρεν. Καὶ ἐπῆρεν ἡ χεὶρ αὐτοῦ ἐπὶ Σιὼν, καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτοῦ.
21. Τότε ἐσαλεύθησαν καρδίαι καὶ χεῖρες αὐτῶν, καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι.
22. Καὶ ἐπεκαλέσαντο τὸν Κύριον τὸν ἐλεήμονα, ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν. Καὶ ὁ Ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν,
23. καὶ ἐλυτρώσατο αὐτοὺς ἐν χειρὶ Ἡσαΐου.
24. Ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων, καὶ ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ.
25. Ἐποίησε γὰρ Ἐζεκίας τὸ ἀρεστὸν Κυρίῳ, καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, ἃς ἐνετείλατο Ἡσαΐας ὁ προφήτης ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ.
26. Ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος, καὶ προσέθηκε ζωὴν βασιλεῖ.
27. Πνεύματι μεγάλῳ εἶδε τὰ ἔσχατα, καὶ παρεκάλεσε τοὺς πενθοῦντας ἐν Σιών. Ἕως τοῦ αἰῶνος
28. ὑπέδειξε τὰ ἐσόμενα καὶ τὰ ἀπόκρυφα πρινὴ παραγενέσθαι αὐτά.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

1. Μνημόσυνον Ἰωσίου εἰς σύνθεσιν θυμιάματος, ἐσκευασμένον ἔργῳ μυρεψοῦ·

5. Qui suscitasti cadaver a morte et ab inferis in verbo Altissimi.
6. Qui dejecisti reges in perniciem, et gloriosos de lecto suo.
7. Qui audis in Sina correptionem, et in Choreb judicia vindictæ.
8. Qui ungis reges in retributionem, et prophetas successores post te ipsum.
9. Qui assumptus es in turbine ignis, in curru equorum igneorum.
10. Qui descriptus es in correptionibus ad tempora, lenire iram ante furorem, et conciliare cor patris ad filium, et restituere tribus Jacob.
11. Beati qui te viderunt, et qui in amicitia decorati sunt,
12. nam et nos vita vivemus.
13. Elias, qui in turbine tectus est : et Elisæus impletus est spiritu illius, et in diebus suis non est commotus a principe, et non subjugavit eum quisquam.
14. Non superavit illum aliquod verbum, et in dormitione prophetavit corpus ejus.
15. Et in vita sua fecit monstra, et in morte mirabilia opera ejus.
16. In omnibus his non pœnituit populus, et non recesserunt a peccatis, usque dum direpti snnt de terra sua, et dispersi sunt in omnem terram.
17. Et relicta est gens perpauca, et princeps domui David.
18. Quidam sane ipsorum fecerunt quod placeret, quidam autem multa commiserunt peccata.
19. Ezecias munivit civitatem suam, et induxit in medio ipsorum Gog. Fodit ferro rupem, et ædificavit puteos ad aquas.
20. In diebus ipsius ascendit Sennacherim, et misit Rapsacem, et promovit. Et promovit manus ejus in Sion, et jactavit se in superbia sua.
21. Tunc commota sunt corda et manus ipsorum, et doluerunt quasi parturientes.
22. Et invocaverunt Dominum misericordem, expandentes manus suas ad eum. Et Sanctus de cœlo cito exaudivit eos,
23. et redemit eos in manu Esaiæ.
24. Percussit castra Assyriorum, et contrivit eos angelus ejus.
25. Nam fecit Ezecias quod placuit Domino, et fortiter fuit in viis David patris sui, quas mandavit Esaias propheta magnus et fidelis in visione ipsius.
26. In diebus ipsius retro rediit sol, et addidit regi vitam.
27. Spiritu magno vidit ultima, et consolatus est lugentes in Sion. Usque in sempiternum
28. ostendit futura et abscondita antequam ipsa evenirent.

CAPUT XLIX.

1. Memoria Josiæ in compositionem incensi, facta opere unguentarii:

2. ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται, καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἴνου.

3. Αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ λαοῦ, καὶ ἐξῆρε βδελύγματα ἀνομίας.

4. Κατεύθυνε πρὸς Κύριον τὴν καρδίαν αὐτοῦ, ἐν ἡμέραις ἀνόμων κατίσχυσε τὴν εὐσέβειαν.

5. Παρὲξ Δαυὶδ καὶ Ἐζεκίου καὶ Ἰωσίου, πάντες πλημμέλειαν ἐπλημμέλησαν·

6. κατέλιπον γὰρ τὸν νόμον τοῦ Ὑψίστου, οἱ βασιλεῖς Ἰούδα ἐξέλιπον.

7. Ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις, καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ.

8. Ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος, καὶ ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς ἐν χειρὶ Ἱερεμίου.

9. Ἐκάκωσαν γὰρ αὐτὸν, καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη προφήτης, ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν, ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν.

10. Ἰεζεκιὴλ ὃς εἶδεν ὅρασιν δόξης, ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος Χερουβίμ.

11. Καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ, καὶ ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς.

12. Καὶ τῶν δώδεκα προφητῶν τὰ ὀστᾶ ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν, παρεκάλεσε δὲ τὸν Ἰακὼβ, καὶ ἐλυτρώσατο αὐτοὺς ἐν πίστει ἐλπίδος.

13. Πῶς μεγαλύνωμεν τὸν Ζοροβάβελ; Καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός.

14. Οὕτως Ἰησοῦς υἱὸς Ἰωσεδέκ· οἳ ἐν ἡμέραις αὐτῶν ᾠκοδόμησαν οἶκον, καὶ ἀνύψωσαν λαὸν ἅγιον Κυρίῳ ἡτοιμασμένον εἰς δόξαν αἰῶνος.

15. Καὶ Νεεμίου ἐπὶ πολὺ τὸ μνημόσυνον, τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα, καὶ στήσαντος πύλας καὶ μοχλοὺς, καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν.

16. Οὐδὲ εἷς ἐκτίσθη οἷος Ἐνὼχ τοιοῦτος ἐπὶ τῆς γῆς, καὶ γὰρ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς.

17. Οὐδὲ ὡς Ἰωσὴφ ἐγεννήθη ἀνὴρ, ἡγούμενος ἀδελφῶν, στήριγμα λαοῦ,

18. καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν.

19. Σὴμ καὶ Σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν, καὶ ὑπὲρ πᾶν ζῶον ἐν τῇ κτίσει Ἀδάμ.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

1. Σίμων Ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας, ὃς ἐν ζωῇ αὐτοῦ ὑπέῤῥαψεν οἶκον, καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσε τὸν ναόν.

2. Καὶ ὑπ' αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς, ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ.

3. Ἐν ἡμέραις αὐτοῦ ἠλαττώθη ἀποδοχεῖον ὑδάτων, χαλκὸς ὡσεὶ θαλάσσης τὸ περίμετρον.

4. Ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως, καὶ ἐνισχύσας πόλιν ἐμπολιορκῆσαι,

5. ὡς ἐδοξάσθη ἐν περιστροφῇ λαοῦ, ἐν ἐξόδῳ οἴκου καταπετάσματος.

6. Ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης, ὡς σελήνη πλήρης ἐν ἡμέραις,

7. ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν Ὑψίστου,

8. καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης· ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων, ὡς κρίνα ἐπ' ἐξόδων ὕδατος, ὡς βλαστὸς λιβάνου ἐν ἡμέραις θέρους,

9. ὡς πῦρ, καὶ λίβανος ἐπὶ πυρείου,

10. ὡς σκεῦος χρυσίου ὁλοσφύρητον, κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ·

2. in omni ore quasi mel indulcabitur, et ut musica in convivio vini.

3. Ipse directus est in conversione populi, et abstulit abominationes iniquitatis.

4. Direxit ad Dominum cor suum, in diebus iniquorum corroboravit pietatem.

5. Præter David et Ezeciam et Josiam, omnes delictum deliquerunt :

6. nam reliquerunt legem Altissimi, reges Juda defecerunt.

7. Dederunt enim cornu suum aliis, et gloriam suam alienæ genti.

8. Incenderunt electam sanctitatis civitatem, et desertas fecerunt vias ipsius in manu Jeremiæ.

9. Nam male tractaverant illum, et ipse in utero consecratus est propheta, eradicare et affligere et perdere, similiter ædificare et plantare.

10. Jezeciel qui vidit conspectum gloriæ, quam ostendit illi in curru Cherubim.

11. Nam commemoratus est inimicorum in imbre, et benefacere illis qui dirigunt vias.

12. Et duodecim prophetarum ossa pullulent de loco suo, consolatus est autem Jacob, et redemit eos in fide spei.

13. Quomodo amplificemus Zorobabel? Nam et ipse quasi signaculum in dextra manu.

14. Sic Jesus filius Josedec, qui in diebus suis ædificaverunt domum, et exaltaverunt populum sanctum Domino paratum in gloriam sempiternam.

15. Et Neemiæ memoria in multum tempus, qui erexit nobis muros eversos, et stare fecit portas et seras, et erexit sola domorum nostrarum.

16. Nemo creatus est qualis Enoch talis in terra, nam et ipse assumptus est a terra.

17. Neque sicut Joseph natus est vir, princeps fratrum, stabilimentum populi,

18. et ossa ipsius visitata sunt.

19. Sem et Seth apud homines gloriam adepti sunt, et super omne animal in creatione Adam.

CAPUT L.

1. Simon Oniæ filius sacerdos magnus, qui in vita sua suffulsit domum, et in diebus suis corroboravit templum.

2. Et ab ipso fundata est altitudo duplicis, reparatio excelsa ambitus templi.

3. In diebus ipsius imminutum est receptaculum aquarum, æs quasi maris perimetrum.

4. Curam gerens populi sui a casu, et fortificans civitatem ad obsidendum,

5. quam glorificatus est in conversatione populi, in egressu domus velamenti!

6. Quasi stella matutina in medio nubis, quasi luna plena in diebus,

7. quasi sol refulgens super templum Altissimi,

8. et quasi arcus refulgens inter nubes gloriæ : quasi flos rosarum in diebus vernis, quasi lilia super transitus aquæ, quasi germen Libani in diebus æstatis,

9. quasi ignis, et thus super focum,

10. quasi vas auri solidum, ornatum omni lapide pretioso:

11. ὡς ἐλαία ἀναθάλλουσα καρποὺς, καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις. Ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης, καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος,

12. ἐν ἀναβάσει θυσιαστηρίου ἁγίου ἐδόξασε περιβολὴν ἁγιάσματος.

13. Ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων καὶ αὐτὸς ἑστὼς παρ' ἐσχάρᾳ βωμοῦ, κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν, ὡς βλάστημα κέδρου ἐν τῷ Λιβάνῳ·

14. καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων, καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν δόξῃ αὐτῶν.

15. Καὶ προσφορὰ Κυρίου ἐν χερσὶν αὐτῶν ἔναντι πάσης ἐκκλησίας Ἰσραὴλ, καὶ συντέλειαν λειτουργῶν ἐπὶ βωμῶν, κοσμῆσαι προσφορὰν Ὑψίστου παντοκράτορος,

16. ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ, καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς·

17. ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου ὀσμὴν εὐωδίας ὑψίστῳ Παμβασιλεῖ.

18. Τότε ἀνέκραγον υἱοὶ Ἀαρὼν, ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν· ἀκουστὴν ἐποίησαν φωνὴν μεγάλην εἰς μνημόσυνον ἔναντι Ὑψίστου.

19. Τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσε, καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, προσκυνῆσαι τῷ Κυρίῳ αὐτῶν παντοκράτορι, Θεῷ τῷ ὑψίστῳ.

20. Καὶ ᾔνεσαν οἱ ψαλμῳδοὶ ἐν φωναῖς αὐτῶν, ἐν πλείστῳ οἴκῳ ἐγλυκάνθη μέλος.

21. Καὶ ἐδεήθη ὁ λαὸς Κυρίου ὑψίστου ἐν προσευχῇ κατέναντι ἐλεήμονος, ἕως συντελεσθῇ κόσμος Κυρίου, καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν.

22. Τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ἰσραὴλ, δοῦναι εὐλογίαν Κυρίῳ ἐκ χειλέων αὐτοῦ, καὶ ἐν ὀνόματι αὐτοῦ καυχᾶσθαι.

23. Καὶ ἐδευτέρωσεν ἐν προσκυνήσει ἐπιδείξασθαι τὴν εὐλογίαν παρὰ Ὑψίστου.

24. Καὶ νῦν εὐλογήσατε τῷ Θεῷ, πάντες, τῷ μεγαλοποιοῦντι πάντῃ, τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας, καὶ ποιοῦντα μεθ' ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ.

25. Δῴη ἡμῖν εὐφροσύνην καρδίας, καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν ἐν Ἰσραὴλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος·

26. ἐμπιστεῦσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτοῦ, καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ λυτρωσάσθω ἡμᾶς.

27. Ἐν δυσὶν ἔθνεσι προσώχθισεν ἡ ψυχή μου, καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος·

28. οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας, Φυλιστιεὶμ, καὶ ὁ λαὸς μωρὸς ὁ κατοικῶν ἐν Σικίμοις.

29. Παιδείαν συνέσεως καὶ ἐπιστήμης ἐχάραξα ἐν τῷ βιβλίῳ τούτῳ, Ἰησοῦς υἱὸς Σειρὰχ Ἱεροσολυμίτης, ὃς ἀνώμβρησε σοφίαν ἀπὸ καρδίας αὐτοῦ.

30. Μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, καὶ ὁ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται.

31. Ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύσει, ὅτι φῶς Κυρίου τὸ ἴχνος αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

ΠΡΟΣΕΥΧΗ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

1. Ἐξομολογήσομαί σοι, Κύριε βασιλεῦ, καὶ αἰνέσω σε Θεὸν τὸν σωτῆρά μου,

11. quasi oliva pullulans fructus, et quasi cypressus exaltata in nubibus. In accipiendo ipsum stolam gloriæ, et induendo consummationem gloriationis,

12. in ascensu altaris sancti gloriam dedit amictui sanctitatis.

13. In accipiendo autem membra de manibus sacerdotum et ipse stans juxta focum aræ, circa illum corona fratrum, quasi plantatio cedri in Libano :

14. et circumdederunt illum quasi rami palmarum, et omnes filii Aaron in gloria sua.

15. Et oblatio Domini in manibus ipsorum coram omni ecclesia Israel, et consummatione fungens super aras, ad ornandum oblationem Excelsi omnipotentis,

16. porrexit manum suam super libatorium, et libavit de sanguine uvæ :

17. effudit ad fundamenta altaris odorem suavitatis excelso omnium Regi.

18. Tunc exclamaverunt filii Aaron, in tubis ductilibus sonuerunt : auditam fecerunt vocem magnam in memoriam coram Altissimo.

19. Tunc omnis populus simul properavit, et ceciderunt in faciem super terram, adorare Dominum suum omnipotentem, Deum excelsum.

20. Et laudaverunt psallentes in vocibus suis, in magna domo dulce factum est melos.

21. Et rogavit populus Dominum excelsum in prece ante misericordem, usque dum perfectus est honor Domini, et ministerium ejus perfecerunt.

22. Tunc descendens manus suas extulit in omnem ecclesiam filiorum Israel, dare benedictionem Domino in labiis suis, et in nomine ipsius gloriari.

23. Et iteravit in adoratione ad ostendendum benedictionem ab Altissimo.

24. Et nunc benedicite Deum, omnes, qui magna facit ubique, qui exaltat dies nostros ab utero, et facit nobiscum secundum misericordiam suam.

25. Det nobis jucunditatem cordis, et fieri pacem in diebus nostris in Israel secundum dies sæculi :

26. fidelem faciendo nobiscum misericordiam suam, et in diebus ejus liberet nos.

27. Duas gentes odit anima mea, tertia autem non est gens :

28. qui sedent in monte Samariæ, Phylistiim, et stultus populus qui habitat in Sicimis.

29. Doctrinam intellectus et scientiæ scripsi in codice isto, Jesus filius Sirach Jerosolymita, qui diffudit sapientiam de corde suo.

30. Beatus qui in istis versabitur, et qui posuerit illa in corde suo sapiens erit.

31. Si enim hæc fecerit, ad omnia valebit, quia lux Domini vestigium ejus.

CAPUT LI.

ORATIO JESU FILII SIRACH.

1. Confitebor tibi, Domine rex, et collaudabo te Deum salvatorem meum,

2. ἐξομολογοῦμαι τῷ ὀνόματί σου, ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι,

3. καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας, καὶ ἐκ παγίδος διαβολῆς γλώσσης, ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος· καὶ ἔναντι τῶν παρεστηκότων ἐγένου μοι βοηθὸς,

4. καὶ ἐλυτρώσω με κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου, ἐκ βρυγμῶν ἑτοίμων εἰς βρῶμα,

5. ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου· ἐκ πλειόνων θλίψεων ὧν ἔσχον,

6. ἀπὸ πνιγμοῦ πυρὸς κυκλόθεν, καὶ ἐκ μέσου πυρὸς οὗ οὐκ ἐξέκαυσα.

7. Ἐκ βάθους κοιλίας ᾅδου, καὶ ἀπὸ γλώσσης ἀκαθάρτου, καὶ λόγου ψευδοῦς, βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου.

8. Ἤγγισεν ἕως θανάτου ἡ ψυχή μου,

9. καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω.

10. Περιέσχόν με πάντοθεν καὶ οὐκ ἦν ὁ βοηθῶν, ἐμβλέπων εἰς ἀντίληψιν ἀνθρώπων καὶ οὐκ ἦν.

11. Καὶ ἐμνήσθην τοῦ ἐλέους σου, Κύριε, καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος·

12. ὅτι ἐξελῇ τοὺς ὑπομένοντάς σε, καὶ σώζεις αὐτοὺς ἐκ χειρὸς ἐθνῶν.

13. Καὶ ἀνύψωσα ἐπὶ γῆς ἱκετείαν μου, καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην.

14. Ἐπεκαλεσάμην Κύριον πατέρα Κυρίου μου, μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως, ἐν καιρῷ ὑπερηφάνων ἀβοηθησίας.

15. Αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς, καὶ ὑμνήσω ἐν ἐξομολογήσει, καὶ εἰσηκούσθη ἡ δέησίς μου.

16. Ἔσωσας γάρ με ἐξ ἀπωλείας, καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ.

17. Διὰ τοῦτο ἐξομολογήσομαι καὶ αἰνέσω σοι, καὶ εὐλογήσω τῷ ὀνόματι Κυρίου.

18. Ἔτι ὢν νεώτερος, πρινὴ πλανηθῆναί με, ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου,

19. ἔναντι ναοῦ ἠξίουν περὶ αὐτῆς, καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτὴν, ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς.

20. Εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ, ἐπέβη ὁ ποῦς μου ἐν εὐθύτητι, ἐκ νεότητός μου ἴχνευσα αὐτήν.

21. Ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην,

22. καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν· προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ.

23. Τῷ διδόντι μοι σοφίαν δώσω δόξαν.

24. Διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτὴν, καὶ ἐζήλωσα τὸ ἀγαθὸν, καὶ οὐ μὴ αἰσχυνθῶ.

25. Διαμεμάχηται ἡ ψυχή μου ἐν αὐτῇ, καὶ ἐν ποιήσει λιμοῦ διηκριβωσάμην.

26. Τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος, καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα.

27. Τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτὴν,

28. καρδίαν ἐκτησάμην μετ' αὐτῶν ἀπ' ἀρχῆς, καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν· διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ.

29. Καὶ ἡ κοιλία μου ἐταράχθη ἐκζητῆσαι αὐτήν· διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα.

30. Ἔδωκε Κύριος γλῶσσάν μοι μισθόν μου, καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν.

31. Ἐγγίσατε πρὸς μὲ, ἀπαίδευτοι, καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας.

2. confiteor nomini tuo, quoniam protector et adjutor factus es mihi,

3. et liberasti corpus meum a perditione, et a laqueo calumniæ linguæ, a labiis operantium mendacium : et in conspectu astantium factus es mihi adjutor,

4. et liberasti me secundum multitudinem misericordiæ et nominis tui, a rugitibus præparatorum ad escam,

5. de manu quærentium animam meam : de multis tribulationibus quas habui,

6. a suffocatione flammæ in circuitu, et de medio ignis ubi non sum æstuatus.

7. Ab altitudine ventris inferni, et a lingua coinquinata, et a verbo mendacii, regi calumnia linguæ injustæ.

8. Appropinquavit usque ad mortem anima mea,

9. et vita mea erat appropinquans inferno deorsum.

10. Circumdederunt me undique et non erat qui adjuvaret, respiciens ad adjutorium hominum et non erat.

11. Et memoratus sum misericordiæ tuæ, Domine, et operationis tuæ quæ a sæculo :

12. quoniam eruis sustinentes te, et salvas eos de manu gentium.

13. Et exaltavi super terram supplicationem meam, et pro mortis liberatione deprecatus sum.

14. Invocavi Dominum patrem Domini mei, ut non derelinquat me in diebus tribulationis, in tempore superborum destitutionis.

15. Laudabo nomen tuum assidue, et collaudabo in confessione, et exaudita est oratio mea.

16. Salvasti enim me de perditione, et eripuisti me de tempore iniquo.

17. Propterea confitebor et laudem dicam tibi, et benedicam nomen Domini.

18. Cum adhuc junior essem, priusquam oberrarem, quæsivi sapientiam palam in oratione mea,

19. ante templum postulabam pro illa, et usque in novissima inquiram eam, ex flore tamquam maturescentis uvæ.

20. Lætatum est cor meum in ea, ascendit pes meus in rectitudine, a juventute mea investigavi eam.

21. Inclinavi modice aurem meam et excepi,

22. et multam inveni mihi doctrinam : profectus est mihi factus in ea.

23. Danti mihi sapientiam dabo gloriam.

24. Consiliatus sum enim ut facerem illam, et zelatus sum bonum, et non confundar.

25. Colluctata est anima mea in illa, et in factione famis diligenter egi.

26. Manus meas extendi in altum, et ignorantias ejus luxi.

27. Animam meam direxi ad illam,

28. cor acquisivi cum eis ab initio, et in purificatione inveni eam : propter hoc non derelinquar.

29. Et venter meus conturbatus est quærendo eam : propterea bonam possedi possessionem.

30. Dedit Dominus linguam mihi mercedem meam, et in ea laudabo eum.

31. Appropiate ad me, indocti, et commoramini in domo disciplinæ.

32. Διότι ὑστερεῖτε ἐν τούτοις, καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα;
33. Ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου.
34. Τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγὸν, καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν, ἐγγύς ἐστιν εὑρεῖν αὐτήν.
35. Ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα, καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν.
36. Μετάσχετε παιδείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου, καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ.
37. Εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ, καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ.
38. Ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ, καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

32. Quid tardatis in his, et animæ vestræ sitiunt vehementer?
33. Aperui os meum, et locutus sum, comparate vobis sine argento.
34. Collum vestrum subjicite jugo, et suscipiat anima vestra disciplinam, in proximo est invenire eam.
35. Videte oculis vestris quia modicum laboravi, et inveni mihi multam requiem.
36. Acquirite disciplinam in multo numero argenti, et copiosum aurum possidete in ea.
37. Lætetur anima vestra in misericordia ejus, et non confundamini in laude ipsius.
38. Operamini opus vestrum ante tempus, et dabit mercedem vestram in tempore suo.

ΩΣΗΕ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λόγος Κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν τοῦ Βεηρεὶ, ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου, βασιλέων Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ υἱοῦ Ἰωὰς, βασιλέως Ἰσραήλ.
2. Ἀρχὴ λόγου Κυρίου ἐν Ὠσηέ. Καὶ εἶπε Κύριος πρὸς Ὠσηέ· Βάδιζε, λάβε σεαυτῷ γυναῖκα πορνείας, καὶ τέκνα πορνείας, διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ Κυρίου.
3. Καὶ ἐπορεύθη, καὶ ἔλαβε τὴν Γόμερ θυγατέρα Δεβηλαὶμ, καὶ συνέλαβε καὶ ἔτεκεν αὐτῷ υἱόν.
4. Καὶ εἶπε Κύριος πρὸς αὐτόν· Κάλεσον τὸ ὄνομα αὐτοῦ Ἰεζραέλ· διότι ἔτι μικρὸν, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ.
5. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν κοιλάδι τοῦ Ἰεζραέλ.
6. Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκε θυγατέρα. Καὶ εἶπεν αὐτῷ· Κάλεσον τὸ ὄνομα αὐτῆς, οὐκ ἠλεημένη· διότι οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον Ἰσραὴλ, ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς.
7. Τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω, καὶ σώσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ, οὐδὲ ἐν ῥομφαίᾳ, οὐδὲ ἐν πολέμῳ, οὐδὲ ἐν ἵπποις, οὐδὲ ἐν ἱππεῦσι.
8. Καὶ ἀπεγαλάκτισε τὴν οὐκ ἠλεημένην. Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱόν.
9. Καὶ εἶπε· Κάλεσον τὸ ὄνομα αὐτοῦ, οὐ λαός μου· διότι ὑμεῖς οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν.
10. Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἣ οὐκ ἐκμετρηθήσεται, οὐδὲ ἐξαριθμηθήσεται. Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐῤῥέθη αὐτοῖς· Οὐ λαός μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ Θεοῦ ζῶντος.
11. Καὶ συναχθήσονται υἱοὶ Ἰούδα, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπιτοαυτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ.

OSEE.

CAPUT I.

1. Verbum Domini quod factum est ad Osee filium Beeri, in diebus Oziæ et Joatham et Achaz et Ezeciæ, regum Juda, et in diebus Jeroboam filii Joas, regis Israel.
2. Principium verbi Domini in Osee. Et dixit Dominus ad Osee : Vade, tolle tibi uxorem fornicationis, et filios fornicationis, quia fornicans fornicabitur terra a post Dominum.
3. Et abiit, et accepit Gomer filiam Debelaim, et concepit et peperit ei filium.
4. Et dixit Dominus ad eum : Voca nomen ejus Jezrael : quia adhuc modicum, et ulciscar sanguinem Jezrael super domum Juda, et quiescere faciam regnum domus Israel.
5. Et erit, in die illa conteram arcum Israel in valle Jezrael.
6. Et concepit adhuc, et peperit filiam. Et dixit ei : Voca nomen ejus, absque misericordia : quia nequaquam addam ultra misereri domui Israel, sed adversans adversabor eis.
7. Filiorum autem Juda miserebor, et salvabo eos in Domino Deo suo, et non salvabo eos in arcu, neque in gladio, neque in bello, neque in equis, neque in equitibus.
8. Et ablactavit eam quæ erat absque misericordia. Et concepit adhuc, et peperit filium.
9. Et dixit : Voca nomen ejus, non populus meus : quia vos non populus meus, et ego non sum vester.
10. Et erat numerus filiorum Israel sicut arena maris, quæ non mensurabitur, nec numerabitur. Et erit, in loco ubi dictum est eis : Non populus meus vos, vocabuntur et ipsi filii Dei viventis.
11. Et congregabuntur filii Juda, et filii Israel simul, et ponent sibi principatum unum, et ascendent de terra, quoniam magnus est dies Jezrael.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, λαός μου, καὶ τῇ ἀδελφῇ ὑμῶν, ἠλεημένη.

2. Κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς. Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς,

3. ὅπως ἂν ἐκδύσω αὐτὴν γυμνὴν, καὶ ἀποκαταστήσω αὐτὴν καθὼς ἡμέρα γενέσεως αὐτῆς· καὶ θήσω αὐτὴν ἔρημον, καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον, καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει.

4. Καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστίν.

5. Ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, κατῄσχυνεν ἡ τεκοῦσα αὐτά. Ὅτι εἶπε· Πορεύσομαι ὀπίσω τῶν ἐραστῶν μου, τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει.

6. Διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς, καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ,

7. καὶ καταδιώξεται τοὺς ἐραστὰς αὐτῆς, καὶ οὐ μὴ καταλάβῃ αὐτούς· καὶ ζητήσει αὐτοὺς, καὶ οὐ μὴ εὕρῃ αὐτούς. Καὶ ἐρεῖ· Πορεύσομαι, καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν.

8. Καὶ αὕτη οὐκ ἔγνω ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἀργύριον ἐπλήθυνα αὐτῇ· αὕτη δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησε τῇ Βάαλ.

9. Διὰ τοῦτο ἐπιστρέψω, καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ· καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς.

10. Καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐραστῶν αὐτῆς, καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτὴν ἐκ χειρός μου.

11. Καὶ ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς, ἑορτὰς αὐτῆς, καὶ τὰς νουμηνίας αὐτῆς, καὶ τὰ σάββατα αὐτῆς, καὶ πάσας τὰς πανηγύρεις αὐτῆς.

12. Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς καὶ τὰς συκὰς αὐτῆς, ὅσα εἶπε· Μισθώματά μου ταῦτά ἐστιν ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου. Καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον, καὶ καταφάγεται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ ἑρπετὰ τῆς γῆς.

13. Καὶ ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλεὶμ, ἐν αἷς ἐπέθυεν αὐτοῖς, καὶ περιετίθετο τὰ ἐνώτια αὐτῆς καὶ τὰ καθόρμια αὐτῆς, καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς· ἐμοῦ δὲ ἐπελάθετο, λέγει Κύριος.

14. Διὰ τοῦτο ἰδοὺ ἐγὼ πλανῶ αὐτὴν, καὶ τάξω αὐτὴν ὡς ἔρημον, καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς,

15. καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν, καὶ τὴν κοιλάδα Ἀχὼρ διανοῖξαι σύνεσιν αὐτῆς. Καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιότητος αὐτῆς, καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου.

16. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος· καλέσει με, ὁ ἀνήρ μου, καὶ οὐ καλέσει με ἔτι Βααλείμ.

17. Καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλεὶμ ἐκ στόματος αὐτῆς, καὶ οὐ μὴ μνησθῶσιν οὐκ ἔτι τὰ ὀνόματα αὐτῶν.

CAPUT II.

1. Dicite fratri vestro, populus meus, et sorori vestræ, misericordiam consecuta.

2. Judicamini cum matre vestra, judicamini, quia hæc non uxor mea, et ego non vir ejus. Et auferam fornicationem ejus a facie mea, et adulterium ejus de medio uberum illius,

3. ut exspoliem eam nudam, et restituam eam juxta diem nativitatis suæ : et ponam eam desertum, et statuam eam sicut terram sine aqua, et occidam illam in siti.

4. Et filiorum ejus non miserebor, quoniam filii fornicationis sunt.

5. Quia fornicata est mater eorum, confusa est quæ peperit eos. Dixit enim : Vadam post amatores meos, qui dant mihi panes meos, et aquam meam, et vestimenta mea, et linteamina mea, oleum meum, et omnia quæ mihi necessaria sunt.

6. Propterea ecce ego sepiam viam ejus in sudibus, et reædificabo vias, et semitam suam non inveniet,

7. et persequetur amatores suos, et non apprehendet illos : et quæret eos, et non inveniet eos. Et dicet : Vadam, et revertar ad virum meum priorem, quia melius mihi erat tunc quam nunc.

8. Et ipsa nescivit quia ego dedi ei frumentum, et vinum, et oleum, et argentum multiplicavi ei : hæc autem argentea et aurea fecit ipsi Baal.

9. Propterea revertar, et tollam triticum meum in tempore suo, et vinum meum in tempore suo : et auferam vestimenta mea et linteamina mea, ne operiant ignominiam ejus.

10. Et nunc revelabo immunditiam ejus in conspectu amatorum illius, et nullus eruet eam de manu mea.

11. Et avertam omnes lætitias ejus, solemnitates illius, et neomenias illius, et sabbata illius, et omnes festivitates illius.

12. Et disperdam vineam ejus et ficus illius, quæ dixit : Mercedes meæ istæ sunt quas dederunt mihi amatores mei. Et ponam ea in testimonium, et comedent ea bestiæ agri et volatilia cœli et reptilia terræ.

13. Et ulciscar super eam dies Baalim, in quibus immolabat eis, et circumdabat sibi inaures suas et monilia sua, et ibat post amatores suos : mei autem oblita est, dicit Dominus :

14. Ideo ecce ego seducam eam, et ponam illam quasi desertum, et loquar ad cor ejus,

15. et dabo ei possessiones suas inde, et vallem Achor ad aperiendam intelligentiam ejus. Et humiliabitur illic juxta dies infantiæ suæ, et juxta dies ascensionis ejus de terra Ægypti.

16. Et erit in die illa, ait Dominus : vocabit me, vir meus, et non vocabit me ultra Baalim.

17. Et auferam nomina Baalim de ore ejus, et non recordabuntur ultra nominum eorum.

18. Καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν ἑρπετῶν τῆς γῆς· καὶ τόξον, καὶ ῥομφαίαν, καὶ πόλεμον συντρίψω ἀπὸ τῆς γῆς, καὶ κατοικιῶ σε ἐπ' ἐλπίδι.

19. Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα· καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν δικαιοσύνῃ καὶ ἐν κρίμασι καὶ ἐν ἐλέει καὶ ἐν οἰκτιρμοῖς,

20. καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν Κύριον.

21. Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, ἐπακούσομαι τῷ οὐρανῷ, καὶ αὐτὸς ἐπακούσεται τῇ γῇ,

22. καὶ ἡ γῆ ἐπακούσεται τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ αὐτὰ ἐπακούσεται τῷ Ἰεζραέλ.

23. Καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην,

24. καὶ ἐρῶ τῷ οὐ λαῷ μου, λαός μου εἶ σύ. Καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου εἶ σύ.

18. Et disponam eis testamentum in die illa cum bestiis agri, et cum volatilibus cœli, et reptilibus terræ: et arcum, et gladium, et bellum conteram de terra, et habitare te faciam in spe.

19. Et sponsabo te mihi in sempiternum : et sponsabo te mihi in justitia et in judicio et in misericordia et in miserationibus,

20. et sponsabo te mihi in fide, et cognosces Dominum.

21. Et erit in die illa, dicit Dominus, exaudiam cœlum, et cœlum exaudiet terram,

22. et terra exaudiet frumentum et vinum et oleum, et hæc exaudient Jezrael.

23. Et seminabo eam mihi super terram, et diligam non dilectam,

24. et dicam non populo meo, populus meus es tu. Et ipse dicet, Dominus Deus meus es tu.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ εἶπε Κύριος πρός με· Ἔτι πορεύθητι, καὶ ἀγάπησον γυναῖκα ἀγαπῶσαν πονηρὰ, καὶ μοιχαλὶν, καθὼς ἀγαπᾷ ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ αὐτοὶ ἐπιβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδος.

2. Καὶ ἐμισθωσάμην ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίου, καὶ γομὸρ κριθῶν, καὶ νέβελ οἴνου.

3. Καὶ εἶπα πρὸς αὐτήν· Ἡμέρας πολλὰς καθήσῃ ἐπ' ἐμοὶ, καὶ οὐ μὴ πορνεύσῃς, οὐδὲ μὴ γένῃ ἀνδρὶ καὶ ἐγὼ ἐπὶ σοί.

4. Διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων.

5. Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαυὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

CAPUT III.

1. Et dixit Dominus ad me : Adhuc vade, et dilige mulierem diligentem mala, et adulteram, sicut diligit Deus filios Israel, et ipsi respiciunt ad deos alienos, et amant coctiones cum vinaciis.

2. Et conduxi mihi quindecim argenteis, et gomor hordei, et nebel vini.

3. Et dixi ad eam : Dies multos sedebis super me, et non fornicaberis, nec eris viro, et ego super te.

4. Quia diebus multis sedebunt filii Israel sine rege, sine principe, sine sacrificio, sine altari, sine sacerdotio, sine manifestationibus.

5. Et post hæc revertentur filii Israel, et quærent Dominum Deum suum, et David regem suum, et stupebunt ad Dominum, et super bonis ejus in novissimis diebus.

ΚΕΦΑΛΑΙΟΝ Δ.

1. Ἀκούσατε λόγον Κυρίου, υἱοὶ Ἰσραὴλ, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν, διότι οὐκ ἔστιν ἀλήθεια οὐδὲ ἔλεος οὐδὲ ἐπίγνωσις Θεοῦ ἐπὶ τῆς γῆς.

2. Ἀρὰ, καὶ ψεῦδος, καὶ φόνος, καὶ κλοπὴ, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι.

3. Διὰ τοῦτο πενθήσει ἡ γῆ, καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτὴν, σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ σὺν τοῖς ἑρπετοῖς τῆς γῆς, καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης ἐκλείψουσιν,

4. ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχῃ μηδείς· ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεύς.

5. Καὶ ἀσθενήσει ἡμέρας, καὶ ἀσθενήσει ὁ προφήτης μετὰ σοῦ. Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου.

6. Ὡμοιώθη ὁ λαός μου, ὡς οὐκ ἔχων γνῶσιν. Ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε, τοῦ μὴ ἱερατεύειν μοι· καὶ ἐπελάθου νόμον Θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου.

CAPUT IV.

1. Audite verbum Domini, filii Israel, quia judicium Domino ad habitatores terræ, quia non est veritas neque misericordia neque scientia Dei super terram.

2. Maledictio, et mendacium, et homicidium, et furtum, et adulterium effusum est super terram, et sanguines in sanguinibus miscent.

3. Ideo lugebit terra, et minuetur cum omnibus qui habitant eam, cum bestiis agri, et cum serpentibus terræ, et cum volatilibus cœli, et pisces maris deficient,

4. ut nullus neque judicetur, neque arguatur quisquam : populus autem meus quasi sacerdos cui contradicitur.

5. Et infirmabitur per diem, et infirmabitur propheta tecum. Nocti assimilavi matrem tuam.

6. Assimilatus est populus meus, quasi non habens scientiam. Quia tu scientiam repulisti, et ego repellam te, ne sacerdotio fungaris mihi : et oblita es legis Dei tui, et ego obliviscar filiorum tuorum.

7. Κατὰ τὸ πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν μοι· τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι.

8. Ἁμαρτίας λαοῦ μου φάγονται, καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν.

9. Καὶ ἔσται καθὼς ὁ λαὸς, οὕτω καὶ ὁ ἱερεύς. Καὶ ἐκδικήσω ἐπ' αὐτὸν τὰς ὁδοὺς αὐτοῦ, καὶ τὰ διαβούλια αὐτοῦ ἀνταποδώσω αὐτῷ.

10. Καὶ φάγονται, καὶ οὐ μὴ ἐμπλησθῶσιν· ἐπόρνευσαν, καὶ οὐ μὴ κατευθύνωσι· διότι τὸν Κύριον ἐγκατέλιπον τοῦ φυλάξαι.

11. Πορνείαν καὶ οἶνον καὶ μέθυσμα ἐδέξατο καρδία λαοῦ μου.

12. Ἐν συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτοῦ ἀπήγγελλον αὐτῷ· πνεύματι πορνείας ἐπλανήθησαν, καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ Θεοῦ αὐτῶν.

13. Ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον, ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος, ὅτι καλὸν σκέπη. Διὰ τοῦτο ἐκπορνεύσουσιν αἱ θυγατέρες ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσι.

14. Καὶ οὐ μὴ ἐπισκέψωμαι ἐπὶ τὰς θυγατέρας ὑμῶν ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν ὅταν μοιχεύσωσι. Ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο, καὶ μετὰ τῶν τετελεσμένων ἔθυον, καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέκετο μετὰ πόρνης.

15. Σὺ δὲ, Ἰσραὴλ, μὴ ἀγνόει, καὶ Ἰούδα· μὴ εἰςπορεύεσθε εἰς Γάλγαλα, καὶ μὴ ἀναβαίνετε εἰς τὸν οἶκον Ὢν, καὶ μὴ ὀμνύετε ζῶντα Κύριον·

16. διότι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ· νῦν νεμήσει αὐτοὺς Κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ.

17. Μέτοχος εἰδώλων Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα,

18. ᾑρέτισε Χαναναίους. Πορνεύοντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῆς.

19. Συστροφὴ πνεύματος σὺ εἶ ἐν ταῖς πτέρυξιν αὐτῆς, καὶ καταισχυνθήσονται ἐκ τῶν θυσιαστηρίων αὐτῶν.

7. Secundum multitudinem eorum, sic peccaverunt mihi: gloriam eorum in ignominiam ponam.

8. Peccata populi mei comedent, et in iniquitatibus eorum accipient animas eorum.

9. Et erit sicut populus, sic et sacerdos. Et ulciscar super eum vias ejus, et cogitationes illius reddam ei.

10. Et comedent, et non implebuntur: fornicati sunt, et non dirigentur: quia Dominum reliquerunt ad custodiendum.

11. Fornicationem et vinum et ebrietatem suscepit cor populi mei.

12. In auguriis interrogabant, et in virgis ejus annuntiabant ei: spiritu fornicationis seducti sunt, et fornicati sunt a Deo suo.

13. Super vertices montium sacrificabant, et super colles immolabant, subter quercum, et populum, et nemorosam arborem, quia bonum erat umbraculum. Propterea fornicabuntur filiæ vestræ, et sponsæ vestræ mœchabuntur.

14. Et non visitabo super filias vestras cum fuerint fornicatæ, et super sponsas vestras cum adulteraverint. Quoniam ipsi cum meretricibus miscebantur, et cum initiatis immolabant, et populus non intelligens adhærebat meretrici.

15. Tu autem, Israel, ne ignores, et Juda: nolite ingredi in Galgala, et ne ascendatis in domum On, et ne juretis viventem Dominum:

16. quoniam sicut vacca asilo percussa insanivit Israel: nunc pascet eos Dominus sicut agnum in spatioso.

17. Particeps idolorum Ephraim posuit sibi scandala,

18. provocavit Chananæos. Fornicantes fornicati sunt, dilexerunt ignominiam ex fremitu ejus.

19. Turbo spiritus tu es in alis ejus, et confundentur ex altaribus suis.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Ἀκούσατε ταῦτα, οἱ ἱερεῖς, καὶ προσέχετε, οἶκος Ἰσραὴλ, καὶ ὁ οἶκος τοῦ βασιλέως, ἐνωτίζεσθε· διότι πρὸς ὑμᾶς ἐστι τὸ κρῖμα, ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον,

2. ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν. Ἐγὼ δὲ παιδευτὴς ὑμῶν,

3. ἐγὼ ἔγνων τὸν Ἐφραὶμ, καὶ Ἰσραὴλ οὐκ ἀπέστη ἀπ' ἐμοῦ. Διότι νῦν ἐξεπόρνευσεν Ἐφραὶμ, ἐμιάνθη Ἰσραήλ.

4. Οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν Θεὸν αὐτῶν, ὅτι πνεῦμα πορνείας ἐν αὐτοῖς ἐστι· τὸν δὲ Κύριον οὐκ ἐπέγνωσαν.

5. Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ. Καὶ Ἰσραὴλ καὶ Ἐφραὶμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν. Καὶ ἀσθενήσει καὶ Ἰούδας μετ' αὐτῶν.

6. Μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι τὸν Κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτόν. Ὅτι ἐκκέκλικεν ἀπ' αὐτῶν,

CAPUT V.

1. Audite hæc, sacerdotes, et attendite, domus Israel, et domus regis, auribus percipite: ad vos enim est judicium, quia laquei facti estis speculationi, et sicut rete expansum super Itabyrium,

2. quod qui capiunt venationem confixerunt. Ego enim magister vester,

3. ego cognovi Ephraim, et Israel non recessit a me. Quia nunc fornicatus est Ephraim, commaculatus est Israel.

4. Non dederunt cogitationes suas ut reverterentur ad Deum suum, quia spiritus fornicationis est in eis: Dominum autem non cognoverunt.

5. Et humiliabitur injuria Israel in faciem ejus. Et Israel et Ephraim infirmabuntur in iniquitatibus suis. Et infirmabitur etiam Judas cum eis.

6. Cum ovibus et vitulis ibunt ad quærendum Dominum, et non invenient eum. Declinavit enim ab illis,

7. ὅτι τὸν Κύριον ἐγκατέλιπον, ὅτι τέκνα ἀλλότρια ἐγεννήθησαν αὐτοῖς· νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη, καὶ τοὺς κλήρους αὐτῶν.

8. Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνοὺς, ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὢν· Ἐξέστη Βενιαμὶν,

9. Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου. Ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά.

10. Ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια, ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου.

11. Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησε τὸ κρῖμα, ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν ματαίων.

12. Καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφραὶμ, καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα.

13. Καὶ εἶδεν Ἐφραὶμ τὴν νόσον αὐτοῦ, καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ. Καὶ ἐπορεύθη Ἐφραὶμ πρὸς Ἀσσυρίους, καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰαρείμ. Καὶ οὗτος οὐκ ἠδυνάσθη ἰάσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνη.

14. Διότι ἐγώ εἰμι ὡς πανθὴρ τῷ Ἐφραὶμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα. Καὶ ἐγὼ ἁρπῶμαι, καὶ πορεύσομαι, καὶ λήψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος.

15. Πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσι καὶ ζητήσουσι τὸ πρόσωπόν μου.

ΚΕΦΑΛΑΙΟΝ ς'.

1. Ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρός με, λέγοντες· Πορευθῶμεν, καὶ ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι αὐτὸς

2. ἥρπακε, καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει ἡμᾶς,

3. ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας· ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἐξαναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ, καὶ γνωσόμεθα. Διώξωμεν τοῦ γνῶναι τὸν Κύριον· ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτὸν, καὶ ἥξει ὡς ὑετὸς ἡμῖν πρώϊμος καὶ ὄψιμος γῇ.

4. Τί σοι ποιήσω, Ἐφραίμ; Τί σοι ποιήσω, Ἰούδα; Τὸ δὲ ἔλεος ὑμῶν ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη.

5. Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου· καὶ τὸ κρῖμά μου ὡς φῶς ἐξελεύσεται.

6. Διότι ἔλεος θέλω ἢ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ ἢ ὁλοκαυτώματα.

7. Αὐτοὶ δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην. Ἐκεῖ κατεφρόνησέ μου

8. Γαλαὰδ, πόλις ἐργαζομένη μάταια, ταράσσουσα ὕδωρ,

9. καὶ ἡ ἰσχύς σου ἀνδρὸς πειρατοῦ. Ἔκρυψαν ἱερεῖς ὁδὸν, ἐφόνευσαν Σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν.

10. Ἐν τῷ οἴκῳ τοῦ Ἰσραὴλ εἶδον φρικώδη, ἐκεῖ πορνείαν τοῦ Ἐφραίμ· ἐμιάνθη Ἰσραὴλ

11. καὶ Ἰούδα. Ἄρχου τρυγᾷν σεαυτῷ, ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραὴλ, καὶ ἀποκαλυ-

7. quia Dominum reliquerunt, quia filios alienos genuerunt sibi : nunc devorabit eos rubigo, et cleros eorum.

8. Clangite tuba super colles, sonate super excelsa, prædicate in domo On : Mente excidit Benjamin,

9. Ephraim in desolationem factus est in diebus correptionis. In tribubus Israel ostendi fidelia.

10. Facti sunt principes Juda quasi transferentes terminos, super eos effundam sicut aquam impetum meum.

11. Oppressit Ephraim adversarium suum, conculcavit judicium, quia cœpit abire post vana.

12. Et ego quasi conturbatio Ephraim, et quasi stimulus domui Juda.

13. Et vidit Ephraim infirmitatem suam, et Judas dolorem suum. Et abiit Ephraim ad Assyrios, et misit legatos ad regem Jarim. Et ipse non potuit sanare vos, et non cessabit a vobis dolor.

14. Quia ego sum quasi panther Ephraim, et quasi leo domui Juda. Et ego rapiam, et vadam, et tollam, et non erit qui eruat.

15. Ibo et revertar in locum meum, donec dispereant et quærent faciem meam.

CAPUT VI.

1. In tribulatione sua mane vigilabunt ad me, dicentes : Eamus, et revertamur ad Dominum Deum nostrum, quia ipse

2. rapuit, et sanabit nos, percutiet et curabit nos,

3. sanos nos faciet post dies duos : in die tertio resurgemus, et vivemus coram eo, et sciemus. Persequamur ut cognoscamus Dominum : quasi mane paratum inveniemus eum, et veniet nobis quasi pluvia temporanea et serotina terræ.

4. Quid faciam tibi, Ephraim? Quid faciam tibi, Juda? Misericordia autem vestra quasi nubes matutina, et quasi ros matutinus pertransiens.

5. Propterea succidi prophetas vestros, occidi eos in verbo oris mei : et judicium meum quasi lux egredietur.

6. Quia misericordiam volo quam sacrificium, et scientiam Dei magis quam holocausta.

7. Ipsi vero sunt sicut homo præteriens testamentum. Ibi contempsit me

8. Galaad, civitas quæ operatur vana, conturbat aquam,

9. et fortitudo tua viri piratæ. Absconderunt sacerdotes viam, interfecerunt Sicima, quia iniquitatem operati sunt.

10. In domo Israel vidi horribilia, ibi fornicationem Ephraim : contaminatus est Israel,

11. et Juda. Incipe vindemiare tibi, cum convertero captivitatem populi mei.

CAPUT VII.

1. Cum sanarem ego Israel, et revelabitur iniquitas

φθήσεται ἡ ἀδικία Ἐφραΐμ, καὶ ἡ κακία Σαμαρείας, ὅτι εἰργάσαντο ψευδῆ. Καὶ κλέπτης πρὸς αὐτὸν εἰσελεύσεται, ἐκδιδύσκων λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ,

2. ὅπως συνᾴδωσιν ὡς ᾄδοντες τῇ καρδίᾳ αὐτῶν. Πάσας τὰς κακίας αὐτῶν ἐμνήσθην· νῦν ἐκύκλωσαν αὐτοὺς τὰ διαβούλια αὐτῶν, ἀπέναντι τοῦ προσώπου μου ἐγένοντο.

3. Ἐν ταῖς κακίαις αὐτῶν εὔφραναν βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας.

4. Πάντες μοιχεύοντες, ὡς κλίβανος καιόμενος εἰς πέψιν, κατακαύματος ἀπὸ τῆς φλογός, ἀπὸ φυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι αὐτό.

5. Ἡμέραι τῶν βασιλέων ὑμῶν, ἤρξαντο οἱ ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ μετὰ λοιμῶν·

6. διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ καρδίαι αὐτῶν, ἐν τῷ καταράσσειν αὐτούς, ὅλην τὴν νύκτα ὕπνου Ἐφραΐμ ἐνεπλήσθη· πρωῒ ἐνεγενήθη, ἀνεκαύθη ὡς πυρὸς φέγγος.

7. Πάντες ἐθερμάνθησαν ὡς κλίβανος, καὶ κατέφαγον τοὺς κριτὰς αὐτῶν. Πάντες οἱ βασιλεῖς αὐτῶν ἔπεσαν, οὐκ ἦν ἐν αὐτοῖς ὁ ἐπικαλούμενος πρός με.

8. Ἐφραΐμ ἐν τοῖς λαοῖς αὐτοῦ συνεμίγνυτο, Ἐφραΐμ ἐγένετο ἐγκρυφίας, οὐ μεταστρεφόμενος.

9. Κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ, αὐτὸς δὲ οὐκ ἔγνω, καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐτὸς οὐκ ἔγνω.

10. Καὶ ταπεινωθήσεται ἡ ὕβρις Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ ἐπέστρεψαν πρὸς Κύριον τὸν Θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τούτοις.

11. Καὶ ἦν Ἐφραΐμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν.

12. Καθὼς ἂν πορεύωνται ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς, παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν.

13. Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ.

14. Καὶ οὐκ ἐβόησαν πρὸς μὲ αἱ καρδίαι αὐτῶν, ἀλλ' ἢ ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν. Ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο·

15. ἐπαιδεύθησαν ἐν ἐμοί, κἀγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά.

16. Ἀπεστράφησαν εἰς οὐδέν, ἐγένοντο ὡς τόξον ἐντεταμένον, πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν. Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ.

Ephraim, et malitia Samariæ, quia operati sunt mendacia. Et fur ad eum ingredietur, spolians latro in via ejus,

2. ut concinant quasi canentes corde suo. Omnes malitias eorum recordatus sum : nunc circumdederunt eos cogitationes suæ, contra faciem meam factæ sunt.

3. In malitiis suis lætificaverunt reges, et in mendaciis suis principes.

4. Omnes adulterantes, quasi clibanus accensus ad coquendum, deustionis a flamma, a commistione fermenti, donec ipsum fermentaretur.

5. Dies regum vestrorum, cœperunt principes furere a vino, extendit manum suam cum pestilentibus :

6. quia succensa sunt quasi clibanus corda eorum, cum præcipitarentur, tota nocte Ephraim somno repletus est : mane factum est, accensus est quasi ignis flamma.

7. Omnes calefacti sunt quasi clibanus, et devoraverunt judices suos. Omnes reges eorum ceciderunt, non fuit in eis qui invocaret me.

8. Ephraim in populis suis commiscebatur, Ephraim factus est subcineritius, qui non reversatur.

9. Comederunt alieni fortitudinem ejus, ipse vero nescivit, et cani effloruerunt ei, et ipse ignoravit.

10. Et humiliabitur contumelia Israel in facie ejus, et non sunt reversi ad Dominum Deum suum, et non quæsierunt eum in omnibus his.

11. Et erat Ephraim quasi columba insipiens, non habens cor. Ægyptum invocabat, et in Assyrios abierunt.

12. Sicut ibunt mittam super eos rete meum, ut volatilia cœli detraham illos, corripiam eos in auditu tribulationis eorum.

13. Væ eis, quoniam resilierunt a me : meticulosi sunt, quoniam impie egerunt in me : ego vero redemi eos, ipsi vero locuti sunt contra me mendacia.

14. Et non clamaverunt ad me corda eorum, sed ululabant in cubilibus suis. Super tritico et vino dissecabantur :

15. eruditi sunt in me, et ego confortavi brachia eorum, et contra me cogitaverunt mala.

16. Conversi sunt in nihilum, facti sunt quasi arcus intentus, cadent in gladio principes eorum propter imperitiam linguæ eorum. Hæc est subsannatio eorum in terra Ægypto.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Εἰς κόλπον αὐτῶν, ὡς γῆ, ὡς ἀετὸς ἐπ' οἶκον Κυρίου, ἀνθ' ὧν παρέβησαν τὴν διαθήκην μου, καὶ κατὰ τοῦ νόμου μου ἠσέβησαν.

2. Ἐμὲ κεκράξονται· ὁ Θεός, ἐγνώκαμέν σε·

3. ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθά, ἐχθρὸν κατεδίωξαν.

4. Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν.

CAPUT VIII.

1. In sinu eorum, quasi terra, sicut aquila super domum Domini, pro eo quod transgressi sunt testamentum meum, et contra legem meam impie egerunt.

2. Me clamabunt : Deus, cognovimus te :

3. quia Israel aversatus est bona, inimicum persecuti sunt.

4. Sibimet ipsis regnaverunt, et non per me principes exstiterunt, et non indicaverunt mihi argentum suum, et aurum suum fecerunt sibi idola, ut dispereant.

5. Ἀπότριψαι τὸν μόσχον σου, Σαμάρεια, παρωξύνθη ὁ θυμός μου ἐπ' αὐτούς. Ἕως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι

6. ἐν τῷ Ἰσραήλ; Καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ Θεός ἐστι· διότι πλανῶν ἦν ὁ μόσχος σου, Σαμάρεια,

7. ὅτι ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά. Δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον· ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό.

8. Κατεπόθη Ἰσραὴλ, νῦν ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον,

9. ὅτι αὐτοὶ ἀνέβησαν εἰς Ἀσσυρίους. Ἀνέθαλε καθ' ἑαυτὸν Ἐφραὶμ, δῶρα ἠγάπησαν,

10. διὰ τοῦτο παραδοθήσονται ἐν τοῖς ἔθνεσι. Νῦν εἰςδέξομαι αὐτοὺς, καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας.

11. Ὅτι ἐπλήθυνεν Ἐφραὶμ θυσιαστήρια, εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ θυσιαστήρια ἠγαπημένα.

12. Καταγράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμα αὐτοῦ, εἰς ἀλλότρια ἐλογίσθησαν θυσιαστήρια τὰ ἠγαπημένα.

13. Διότι ἐὰν θύσωσι θυσίαν, καὶ φάγωσι κρέα, Κύριος οὐ προςδέξεται αὐτά. Νῦν μνησθήσεται τὰς ἀδικίας αὐτῶν, καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν. Αὐτοὶ εἰς Αἴγυπτον ἀπέστρεψαν, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται.

14. Καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτὸν, καὶ ᾠκοδόμησαν τεμένη· καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας, καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καὶ καταφάγεται τὰ θεμέλια αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Μὴ χαῖρε, Ἰσραὴλ, μηδὲ εὐφραίνου καθὼς οἱ λαοὶ, διότι ἐπόρνευσας ἀπὸ τοῦ Θεοῦ σου· ἠγάπησας δόματα ἐπὶ πάντα ἅλωνα σίτου·

2. ἅλων καὶ ληνὸς οὐκ ἔγνω αὐτοὺς, καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς.

3. Οὐ κατῴκησαν ἐν τῇ γῇ τοῦ Κυρίου· κατῴκησεν Ἐφραὶμ Αἴγυπτον, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται.

4. Οὐκ ἔσπεισαν τῷ Κυρίῳ οἶνον, καὶ οὐχ ἥδυναν αὐτῷ. Αἱ θυσίαι αὐτῶν, ὡς ἄρτος πένθους αὐτοῖς· πάντες οἱ ἐσθίοντες αὐτὰ μιανθήσονται, διότι οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν οὐκ εἰςελεύσονται εἰς τὸν οἶκον Κυρίου.

5. Τί ποιήσετε ἐν ἡμέραις πανηγύρεως, καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ Κυρίου;

6. Διὰ τοῦτο ἰδοὺ πορεύονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς. Τὸ ἀργύριον αὐτῶν ὄλεθρος κληρονομήσει αὐτὸ, ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν.

7. Ἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως, ἥκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου, καὶ κακωθήσεται Ἰσραὴλ ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκὼς, ἄνθρωπος ὁ πνευματοφόρος· ὑπὸ τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου.

8. Σκοπὸς Ἐφραὶμ μετὰ Θεοῦ, προφήτης παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ, μανίαν ἐν οἴκῳ Θεοῦ κατέπηξαν.

5. Projice vitulum tuum, Samaria, concitatus est furor meus super eos. Usquequo non poterunt emundari

6. in Israel? Et hoc artifex fecit, et non est Deus : quia seducens erat vitulus tuus, Samaria,

7. quia corrupta vento seminaverunt, et subversio eorum suscipiet ea. Manipulus non habens vires ut faciat farinam : quod etsi fecerit, alieni comedent eam.

8. Devoratus est Israel, nunc factus est in nationibus quasi vas inutile,

9. quia ipsi ascenderunt ad Assyrios. Germinavit apud seipsum Ephraim, munera dilexerunt,

10. idcirco tradentur in gentibus. Nunc suscipiam eos, et quiescent parum ut ungant regem et principes.

11. Quia multiplicavit Ephraim altaria, in peccata facta sunt ei altaria dilecta.

12. Scribam ei multitudinem, et legitima ejus, in aliena reputata sunt altaria dilecta.

13. Quia si immolaverint hostiam, et comederint carnes, Dominus non suscipiet ea. Nunc recordabitur iniquitates eorum, et ulciscetur peccata eorum. Ipsi in Ægyptum conversi sunt, et in Assyriis immunda comedent.

14. Et oblitus est Israel eum qui fecit illum, et ædificaverunt delubra : et Judas multiplicavit urbes muratas, et emittam ignem in civitates ejus, et devorabit fundamenta earum.

CAPUT IX.

1. Noli gaudere, Israel, et noli lætari sicut populi, quia fornicatus es a Deo tuo : dilexisti munera super omnem aream tritici :

2. area et torcular non cognovit eos, et vinum mentitum est illis.

3. Non habitaverunt in terra Domini : habitavit Ephraim Ægyptum, et in Assyriis immunda comedent.

4. Non libaverunt Domino vinum, et non placuerunt ei. Sacrificia eorum, quasi panis luctus eis : omnes qui manducaverunt ea contaminabuntur, quia panes eorum animabus eorum non intrabunt in domum Domini.

5. Quid facietis in die conventus, et in die solemnitatis Domini?

6. Ideo ecce vadunt de miseria Ægypti, et suscipiet eos Memphis, et sepeliet eos Machmas. Argentum eorum interitus possidebit, spinæ in tabernaculis eorum.

7. Venerunt dies ultionis, venerunt dies tribulationis tuæ, et affligetur Israel sicut propheta insaniens, homo qui a spiritu agitatur : propter multitudinem iniquitatum tuarum multiplicata est amentia tua.

8. Speculator Ephraim cum Deo, propheta laqueus tortuosus super omnes vias ejus, insaniam in domo Dei confixerunt.

9. Ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ, μνησθήσεται ἀδικίας αὐτῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν.

10. Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, καὶ ὡς σκοπὸν ἐν συκῇ πρώϊμον πατέρας αὐτῶν εἶδον. Αὐτοὶ εἰςῆλθον πρὸς τὸν Βεελφεγὼρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην· καὶ ἐγένοντο οἱ ἐβδελυγμένοι ὡς οἱ ἠγαπημένοι.

11. Ἐφραὶμ ὡς ὄρνεον ἐξεπετάσθη, αἱ δόξαι αὐτῶν ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεων·

12. διότι, καὶ ἐὰν ἐκθρέψωσι τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων· διότι καὶ οὐαὶ αὐτοῖς ἐστι, σάρξ μου ἐξ αὐτῶν.

13. Ἐφραὶμ, ὃν τρόπον εἶδον, εἰς θήραν παρέστησαν τὰ τέκνα αὐτῶν, καὶ Ἐφραὶμ, τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ.

14. Δὸς αὐτοῖς, Κύριε, τί δώσεις αὐτοῖς; Μήτραν ἀτεκνοῦσαν, καὶ μαστοὺς ξηρούς.

15. Πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγὰλ, ὅτι ἐκεῖ ἐμίσησα αὐτοὺς, διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. Ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτοὺς, οὐ μὴ προςθήσω τοῦ ἀγαπῆσαι αὐτούς· πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες.

16. Ἐπόνεσεν Ἐφραὶμ, τὰς ῥίζας αὐτοῦ ἐξηράνθη, καρπὸν οὐκ ἔτι μὴ ἐνέγκῃ· διότι καὶ ἐὰν γεννήσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα κοιλίας αὐτῶν.

17. Ἀπώσεται αὐτοὺς ὁ Θεὸς, ὅτι οὐκ εἰςήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν.

9. Corrupti sunt secundum dies collis, recordabitur iniquitates eorum, ulciscetur peccata eorum.

10. Sicut uvam in deserto inveni Israel, et sicut scopum in ficu temporaneum vidi patres eorum. Ipsi ingressi sunt ad Beelphegor, et abalienati sunt in confusionem : et facti sunt abominabiles sicut dilecti.

11. Ephraim quasi avis avolavit, gloriæ eorum ex partu et parturitionibus et conceptibus :

12. quia, etiamsi enutrierint filios suos, sine filiis erunt ex hominibus : quia et væ eis est, caro mea ex eis.

13. Ephraim, sicut vidi, in captionem præbuerunt filios suos, et Ephraim, ut educeret ad interfectionem filios suos.

14. Da eis, Domine, quid dabis eis? Vulvam sine filiis, et ubera arentia.

15. Omnes nequitiæ eorum in Galgal, quia ibi exosos habui eos, propter malitias adinventionum eorum. De domo mea ejiciam eos, non addam ut diligam eos : omnes principes eorum inobedientes.

16. Doluit Ephraim, radices suas arefactus est, fructum nequaquam ultra afferet : quia etsi genuerint, interficiam desiderabilia uteri eorum.

17. Repellet eos Deus, quia non exaudierunt eum, et erunt vagi in nationibus.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Ἄμπελος εὐκληματοῦσα Ἰσραὴλ, ὁ καρπὸς εὐθηνῶν αὐτῆς, κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτῆς ἐπλήθυνε τὰ θυσιαστήρια, κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησε στήλας.

2. Ἐμέρισαν καρδίας αὐτῶν, νῦν ἀφανισθήσονται. Αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν, ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν.

3. Διότι νῦν ἐροῦσιν· Οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν Κύριον. Ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν,

4. λαλῶν ῥήματα, προφάσεις ψευδεῖς; Διαθήσεται διαθήκην, ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ.

5. Τῷ μόσχῳ τοῦ οἴκου Ὢν παροικήσουσι οἱ κατοικοῦντες Σαμάρειαν, ὅτι ἐπένθησε λαὸς αὐτοῦ ἐπ' αὐτόν. Καὶ καθὼς παρεπίκραναν αὐτὸν, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ, ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ.

6. Καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες, ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ· ἐν δόματι Ἐφραὶμ δέξεται, καὶ αἰσχυνθήσεται Ἰσραὴλ ἐν τῇ βουλῇ αὐτοῦ.

7. Ἀπέῤῥιψε Σαμάρεια βασιλέα αὐτῆς ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος·

8. καὶ ἐξαρθήσονται βωμοὶ Ὢν ἁμαρτήματα τοῦ Ἰσραὴλ, ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν. Καὶ ἐροῦσι τοῖς ὄρεσι· Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς· Πέσατε ἐφ' ἡμᾶς.

9. Ἀφ' οὗ οἱ βουνοὶ ἥμαρτεν Ἰσραὴλ, ἐκεῖ ἔστησαν. Οὐ μὴ καταλάβῃ αὐτοὺς ἐν τῷ βουνῷ πόλεμος ἐπὶ τὰ τέκνα ἀδικίας,

10. παιδεῦσαι αὐτούς. Καὶ συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ, ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν.

CAPUT X.

1. Vitis bonas habens propagines Israel, fructus abundans ejus, secundum multitudinem fructuum suorum multiplicavit altaria, secundum bona terræ ejus ædificavit titulos.

2. Diviserunt corda sua, nunc peribunt. Ipse suffodiet altaria eorum, affligentur tituli eorum.

3. Propterea nunc dicent : Non est rex nobis, quia non timuimus Dominum. Rex autem quid faciet nobis,

4. loquens verba, occasiones mendaces? Disponet testamentum, orietur sicut gramen judicium super desertum agri.

5. Apud vitulum domus On morabuntur qui habitant in Samaria, quia luxit populus ejus super eum. Et sicut irritaverunt illum, gaudebunt super gloria ejus, quia translata est ab eo.

6. Et ipsum in Assyrios ligantes, tulerunt munera regi Jarim : in domo Ephraim suscipiet, et confundetur Israel in consilio suo.

7. Projecit Samaria regem suum sicut cremium super faciem aquæ :

8. et auferentur aræ On peccata Israel, spinæ et tribuli ascendent super altaria eorum. Et dicent montibus : Operite nos, et collibus : Cadite super nos.

9. Ex quo colles sunt peccavit Israel, ibi steterunt. Non comprehendet eos in colle bellum super filios iniquitatis,

10. ut corriperem eos. Et congregabuntur super illos populi, quando correpti fuerint in duabus iniquitatibus suis.

11. Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νεῖκος, ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτῆς. Ἐπιβιβῶ Ἐφραὶμ, παρασιωπήσομαι Ἰούδαν, ἐνισχύσει αὐτῷ Ἰακώβ.

12. Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν Κύριον ἕως τοῦ ἐλθεῖν γεννήματα δικαιοσύνης ὑμῖν.

13. Ἱνατί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε; Ἐφάγετε καρπὸν ψευδῆ, ὅτι ἤλπισας ἐν τοῖς ἁμαρτήμασί σου, ἐν πλήθει δυνάμεώς σου.

14. Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται· ὡς ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου τοῦ Ἱεροβοὰμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν,

15. οὕτω ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραὴλ, ἀπὸ προσώπου ἀδικίας κακιῶν ὑμῶν.

11. Ephraim vitula docta diligere contentionem, ego autem veniam super pulchritudinem colli ejus. Supponam Ephraim, reticebo Judam, roborabitur sibi Jacob.

12. Seminate vobis in justitia, vindemiate in fructum vitæ, illuminate vobis lumen scientiæ, quærite Dominum donec veniant fruges justitiæ vobis.

13. Quid reticuistis impietatem, et iniquitates ejus vindemiastis? Comedistis fructum mendacem, quia sperasti in peccatis tuis, in multitudine fortitudinis tuæ.

14. Et consurget perditio in populo tuo, et omnia murata tua abibunt : sicut princeps Salmanan de domo Jeroboam, in diebus belli matrem super filios alliserunt,

15. sic faciam vobis, domus Israel, a facie injustitiæ malitiarum vestrarum.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ὄρθρου ἀπεῤῥίφησαν· ἀπεῤῥίφη βασιλεὺς Ἰσραήλ· (*) ὅτι νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ.

2. Καθὼς μετεκάλεσα αὐτοὺς, οὕτως ἀπῴχοντο ἐκ προσώπου μου· αὐτοὶ τοῖς Βααλεὶμ ἔθυον, καὶ τοῖς γλυπτοῖς ἐθυμίων.

3. Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραὶμ, ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου, καὶ οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτούς.

4. Ἐν διαφθορᾷ ἀνθρώπων ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου, καὶ ἔσομαι αὐτοῖς ὡς ῥαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ· καὶ ἐπιβλέψομαι πρὸς αὐτὸν, δυνήσομαι αὐτῷ.

5. Κατῴκησεν Ἐφραὶμ ἐν Αἰγύπτῳ, καὶ Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ· ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι.

6. Καὶ ἠσθένησεν ἐν ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ· καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν.

7. Καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας αὐτοῦ· καὶ ὁ Θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν.

8. Τί σε διαθῶμαι, Ἐφραίμ; ὑπερασπιῶ σου, Ἰσραήλ; Τί σε διαθῶ; Ὡς Ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβοείμ. Μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ, συνεταράχθη ἡ μεταμέλειά μου.

9. Οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραίμ· διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος· ἐν σοὶ ἅγιος, καὶ οὐκ ἐξελεύσομαι εἰς πόλιν.

10. Ὀπίσω Κυρίου πορεύσομαι. Ὡς λέων ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται, καὶ ἐκστήσονται τέκνα ὑδάτων.

11. Ἐκστήσονται ὡς ὄρνεον ἐξ Αἰγύπτου, καὶ ὡς περιστερὰ ἐκ γῆς Ἀσσυρίων· καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, λέγει Κύριος.

12. Ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραὶμ, καὶ ἐν ἀσεβείαις οἶκος Ἰσραὴλ καὶ Ἰούδα· νῦν ἔγνω αὐτοὺς ὁ Θεὸς, καὶ ὁ λαὸς ἅγιος κεκλήσεται Θεοῦ.

CAPUT XI.

1. Mane projecti sunt : projectus est rex Israel : quia parvulus Israel, et ego dilexi eum, et ex Ægypto vocavi filios ejus.

2. Sicut vocavi eos, ita abierunt a facie mea : ipsi Baalim immolabant, et sculptilibus adolebant.

3. Et ego ligavi pedes Ephraim, suscepi eum super brachium meum, et non cognoverunt quia sano illos.

4. In corruptione hominum extendi eos in vinculis charitatis meæ, et ero illis quasi dans alapas homo super maxillas ejus : et respiciam ad eum, prævalebo ei.

5. Habitavit Ephraim in Ægypto, et Assur ipse rex ejus : quia noluit converti.

6. Et infirmatus est in gladio in civitatibus suis, et cessavit in manibus suis : et comedent de cogitationibus suis.

7. Et populus ejus suspensus ex incolatu suo : et Deus super pretiosa ejus irascetur, et non exaltabit eum.

8. Quomodo te disponam, Ephraim? protegam te, Israel? Quid te disponam? Sicut Adama ponam te, et sicut Seboim. Conversum est cor meum in ipso, conturbata est pœnitudo mea.

9. Non faciam juxta iram furoris mei, non derelinquam ut deleatur Ephraim : quoniam Deus ego sum, et non homo : in te sanctus, et non ingrediar in civitatem.

10. Post Dominum ambulabo. Sicut leo rugiet, quia ipse rugiet, et formidabunt filii aquarum.

11. Pavebunt quasi avis ex Ægypto, et quasi columba de terra Assyriorum : et restituam eos in domos suas, dicit Dominus.

12. Circumdedit me in mendacio Ephraim, et in impietatibus domus Israel et Juda : nunc cognovit eos Deus, et populus sanctus vocabitur Dei.

(*) 1. ... ὅτι παῖς Ἰσραὴλ, καὶ ἠγάπησα αὐτὸν, καὶ ἀπὸ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. (*Aquil.*)

1. ... quia puer Israel, et dilexi eum, et ex Ægypto vocavi filium meum.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Ὁ δὲ Ἐφραὶμ πονηρὸν πνεῦμα ἐδίωξε, καύσωνα ὅλην τὴν ἡμέραν· κενὰ καὶ μάταια ἐπλήθυνε, καὶ διαθήκην μετὰ Ἀσσυρίων διέθετο, καὶ ἔλαιον εἰς Αἴγυπτον ἐνεπορεύετο.

2. Καὶ κρίσις τῷ Κυρίῳ πρὸς Ἰούδαν, τοῦ ἐκδικῆσαι τὸν Ἰακώβ· κατὰ τὰς ὁδοὺς αὐτοῦ καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀποδώσει αὐτῷ.

3. Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐν κόποις αὐτοῦ ἐνίσχυσε πρὸς Θεόν·

4. καὶ ἐνίσχυσε μετὰ ἀγγέλου, καὶ ἠδυνάσθη. Ἔκλαυσαν, καὶ ἐδεήθησάν μου· ἐν τῷ οἴκῳ Ὢν εὕροσάν με, καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς·

5. ὁ δὲ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ.

6. Καὶ σὺ ἐν Θεῷ σου ἐπιστρέψεις, ἔλεον καὶ κρῖμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διαπαντός.

7. Χαναὰν ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησε.

8. Καὶ εἶπεν Ἐφραίμ· Πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ. Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ, δι' ἀδικίας ἃς ἥμαρτεν.

9. Ἐγὼ δὲ Κύριος ὁ Θεός σου ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἔτι κατοικιῶ σε ἐν σκηναῖς, καθὼς ἡμέραι ἑορτῆς.

10. Καὶ λαλήσω πρὸς προφήτας, καὶ ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην.

11. Εἰ μὴ Γαλαάδ ἐστιν, ἄρα ψευδεῖς ἦσαν ἐν Γαλαὰδ ἄρχοντες θυσιάζοντες, καὶ τὰ θυσιαστήρια αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ.

12. Καὶ ἀνεχώρησεν Ἰακὼβ εἰς πεδίον Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικὶ, καὶ γυναικὶ ἐφυλάξατο.

13. Καὶ ἐν προφήτῃ ἀνήγαγε Κύριος τὸν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη.

14. Ἐθύμωσεν Ἐφραὶμ, καὶ παρώργισε, καὶ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἐκχυθήσεται, καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει Κύριος αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Κατὰ τὸν λόγον Ἐφραὶμ δικαιώματα ἔλαβεν αὐτὸς ἐν τῷ Ἰσραὴλ, καὶ ἔθετο αὐτὰ τῇ Βάαλ καὶ ἀπέθανε.

2. Καὶ νῦν προσέθεντο τοῦ ἁμαρτάνειν, καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ τοῦ ἀργυρίου αὐτῶν, κατ' εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα. Αὐτοῖς αὐτοὶ λέγουσι· Θύσατε ἀνθρώπους, μόσχοι γὰρ ἐκλελοίπασι.

3. Διὰ τοῦτο ἔσονται ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη, ὡς χνοῦς ἀποφυσώμενος ἀφ' ἅλωνος, καὶ ὡς ἀτμὶς ἀπὸ δακρύων.

4. Ἐγὼ δὲ Κύριος ὁ Θεός σου ὁ στερεῶν τὸν οὐρανὸν καὶ κτίζων γῆν, οὗ αἱ χεῖρες ἔκτισαν πᾶσαν τὴν στρατιαν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξά σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν. Καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ Θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σώζων οὐκ ἔστι παρὲξ ἐμοῦ.

5. Ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ

6. κατὰ τὰς νομὰς αὐτῶν, καὶ ἐνεπλήσθησαν εἰς πλησμονὴν, καὶ ὑψώθησαν. αἱ καρδίαι αὐτῶν· ἕνεκα τούτου ἐπελάθοντό μου.

CAPUT XII.

1. Ephraim autem pessimus spiritus persecutus est, æstum tota die : inania et vana multiplicavit, et testamentum cum Assyriis pepigit, et oleum in Ægyptum mercabatur.

2. Et judicium Domino cum Juda, ut ulciscatur Jacob : juxta vias ejus et juxta adinventiones ejus reddet ei.

3. In utero supplantavit fratrem suum, et in laboribus suis prævaluit erga Deum :

4. et confortatus est cum angelo, et potuit. Fleverunt, et deprecati sunt me : in domo On invenerunt me, et ibi dictum est ad eos :

5. Dominus autem Deus omnipotens erit memoriale ejus.

6. Et tu in Deo tuo converteris, misericordiam et judicium custodi, et appropinqua Deo tuo semper.

7. Chanaan in manu ejus statera iniquitatis, opprimere per potentiam dilexit.

8. Et dixit Ephraim : Verumtamen dives effectus sum, inveni requiem mihi. Omnes labores ejus non invenientur ei, propter iniquitates in quibus peccavit.

9. Ego autem Dominus Deus tuus eduxi te de terra Ægypti, adhuc habitare te faciam in tabernaculis, sicut dies solemnitatis.

10. Et loquar ad prophetas, et ego visiones multiplicavi, et in manibus prophetarum assimilatus sum.

11. Si non Galaad est, ergo falsi erant in Galaad principes immolantes, et altaria eorum quasi testudines super desertum agri.

12. Et recessit Jacob in campum Syriæ, et servivit Israel in uxore, et uxori custodivit.

13. Et in propheta eduxit Dominus Israel de terra Ægypti, et in propheta servatus est.

14. Indignari fecit Ephraim, et ad iracundiam provocavit, et sanguis ejus super ipsum effundetur, et opprobrium illius restituet ei Dominus.

CAPUT XIII.

1. Juxta verbum Ephraim justificationes accepit ipse in Israel, et posuit eas Baal et mortuus est.

2. Et nunc apposuerunt ut peccarent, et fecerunt sibi conflatile ex argento suo, secundum imaginem idolorum, opera artificum completa. His ipsi dicunt : Immolate homines, vituli enim defecerunt.

3. Idcirco erunt quasi nubes matutina, et sicut ros matutinus pertransiens, sicut pulvis exsufflatus ab area, et sicut vapor de lacrymis.

4. Ego autem Dominus Deus tuus firmans cœlum et creans terram, cujus manus creaverunt omnem militiam cœli, et non ostendi ea tibi ut ambulares post ea. Et ego eduxi te de terra Ægypti, et Deum præter me non cognosces, et salvator non est absque me.

5. Ego pascebam te in solitudine, in terra inhabitabili

6. secundum pascua sua, et repleti sunt in saturitate, et elevata sunt corda eorum : idcirco obliti sunt mei.

7. Καὶ ἔσομαι αὐτοῖς ὡς πανθὴρ καὶ ὡς πάρδαλις· κατὰ τὴν ὁδὸν Ἀσσυρίων·

8. ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκος ἡ ἀπορουμένη, καὶ διαῤῥήξω συγκλεισμὸν καρδίας αὐτῶν· καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, θηρία ἀγροῦ διασπάσει αὐτούς.

9. Τῇ διαφθορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει;

10. Ποῦ ὁ βασιλεύς σου οὗτος; καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου. Κρινάτω σε ὃν εἶπας· Δός μοι βασιλέα καὶ ἄρχοντα.

11. Καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου, καὶ ἔσχον ἐν τῷ θυμῷ μου.

12. Συστροφὴν ἀδικίας Ἐφραὶμ, ἐγκεκρυμμένη ἡ ἁμαρτία αὐτοῦ,

13. ὠδῖνες ὡς τικτούσης ἥξουσιν αὐτῷ. Οὗτος ὁ υἱός σου ὁ φρόνιμος, διότι οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων.

14. Ἐκ χειρὸς ᾅδου ῥύσομαι, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς. Ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; Παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν μου·

15. διότι οὗτος ἀναμέσον ἀδελφῶν διαστελεῖ, ἐπάξει καύσωνα ἄνεμον Κύριος ἐκ τῆς ἐρήμου ἐπ' αὐτόν· καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ, ἐξερημώσει τὰς πηγὰς αὐτοῦ· αὐτὸς καταξηρανεῖ τὴν γῆν αὐτοῦ, καὶ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ.

7. Et ero eis quasi panther et sicut pardus : in via Assyriorum :

8. occurram eis sicut ursa indigens cibo, et disrumpam conclusionem cordis eorum : et devorabunt eos ibi catuli sylvæ, bestiæ agri discerpent eos.

9. Corruptioni tuæ, Israel, quis auxiliabitur?

10. Ubi est rex tuus iste? et salvum te faciat in cunctis urbibus tuis. Judicet te de quo dixisti : Da mihi regem et principem.

11. Et dedi tibi regem in ira mea, et habui in furore meo.

12. Conglobationem iniquitatis Ephraim, absconditum peccatum ejus,

13. dolores quasi parturientis venient ei. Iste est filius tuus sapiens, quia nunc non subsistet in contritione filiorum.

14. De manu inferni liberabo, et de morte redimam illos. Ubi est causa tua, mors? ubi est aculeus tuus, inferne? Consolatio abscondita est ab oculis meis :

15. quia hic inter fratres dividet, adducet urentem ventum Dominus de deserto in eum : et siccabit venas ejus, desolabit fontes illius : ipse arefaciet terram ejus, et omnia vasa desiderabilia ejus.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

1. Ἀφανισθήσεται Σαμάρεια, ὅτι ἀντέστη πρὸς τὸν Θεὸν αὐτῆς. Ἐν ῥομφαίᾳ πεσοῦνται αὐτοὶ, καὶ τὰ ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ αἱ ἐν γαστρὶ ἔχουσαι αὐτῶν διαῤῥαγήσονται.

2. Ἐπιστράφηθι, Ἰσραὴλ, πρὸς Κύριον τὸν Θεόν σου, διότι ἠσθένησαν ἐν ταῖς ἀδικίαις σου.

3. Λάβετε μεθ' ἑαυτῶν λόγους καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν. Εἴπατε αὐτῷ· Ὅπως μὴ λάβητε ἀδικίαν, καὶ λάβητε ἀγαθὰ, καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν.

4. Ἀσσοὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππον οὐκ ἀναβησόμεθα· οὐκ ἔτι μὴ εἴπωμεν, θεοὶ ἡμῶν, τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν· ὁ ἐν σοὶ ἐλεήσει ὀρφανόν.

5. Ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω αὐτοὺς ὁμολόγως, ὅτι ἀπέστρεψε τὴν ὀργήν μου ἀπ' αὐτοῦ.

6. Ἔσομαι ὡς δρόσος τῷ Ἰσραὴλ, ἀνθήσει ὡς κρίνον, καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ ὡς ὁ λίβανος.

7. Πορεύσονται οἱ κλάδοι αὐτοῦ, καὶ ἔσται ὡς ἐλαία κατάκαρπος, καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς Λιβάνου.

8. Ἐπιστρέψουσι καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ, ζήσονται καὶ μεθυσθήσονται σίτῳ· καὶ ἐξανθήσει ὡς ἄμπελος μνημόσυνον αὐτοῦ, ὡς οἶνος λιβάνου

9. τῷ Ἐφραίμ. Τί αὐτῷ ἔτι καὶ εἰδώλοις; Ἐγὼ ἐταπείνωσα αὐτὸν, καὶ κατισχύσω αὐτόν. Ἐγὼ ὡς ἄρκευθος πυκάζουσα, ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται.

10. Τίς σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά; Ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς.

CAPUT XIV.

1. Disperdetur Samaria, quoniam restitit Deo suo. In gladio corruent ipsi, et lactentes eorum allidentur, et eorum habentes in utero dirumpentur.

2. Convertere, Israel, ad Dominum Deum tuum, quia infirmati sunt in iniquitatibus tuis.

3. Sumite vobiscum sermones et revertimini ad Dominum Deum vestrum. Dicite ei : Ut non tollatis iniquitatem, sed assumatis bona, et reddemus fructum labiorum nostrorum.

4. Assur non salvabit nos, super equum non ascendemus : nequaquam ultra dicemus, dii nostri, operibus manuum nostrarum : qui in te est miserebitur pupilli.

5. Sanabo habitationes eorum, diligam eos manifeste, quia avertit iram meam a se.

6. Ero quasi ros Israel, florebit ut lilium, et mittet radices suas quasi Libanus.

7. Ibunt rami ejus, et erit quasi oliva fructifera, et odor illius quasi Libani.

8. Convertentur et sedebunt sub umbra ejus, vivent et inebriabuntur frumento : et efflorebit ut vinea memoriale ejus, quasi vinum Libani

9. Ephraim. Quid ei ultra et idolis? Ego humiliavi eum, et confortabo illum. Ego sicut juniperus condensa, ex me fructus tuus inventus est.

10. Quis sapiens et intelliget hæc? aut intelligens, et cognoscet ea? Quia rectæ viæ Domini, et justi ambulabunt in eis, qui autem impii sunt infirmabuntur in illis.

ΑΜΩΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λόγοι Ἀμὼς, οἳ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ὑπὲρ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς βασιλέως Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.

2. Καὶ εἶπε· Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου.

3. Καὶ εἶπε Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν ἔπριζον πρίοσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν ἐν Γαλαάδ.

4. Καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαὴλ, καὶ καταφάγεται τὰ θεμέλια υἱοῦ Ἄδερ.

5. Καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου Ὢν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥὰν, καὶ αἰχμαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει Κύριος.

6. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτοὺς, ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμὼν, τοῦ συγκλεῖσαι εἰς τὴν Ἰδουμαίαν.

7. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς.

8. Καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ἀκκάρων, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει Κύριος.

9. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὴν, ἀνθ' ὧν συνέκλεισαν αἰχμαλωσίαν τοῦ Σαλωμὼν εἰς τὴν Ἰδουμαίαν, καὶ οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν.

10. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Τύρου, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς.

11. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτοὺς, ἕνεκα τοῦ διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐλυμήνατο μητέρα ἐπὶ γῆς, καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην αὐτοῦ, καὶ τὸ ὅρμημα αὐτοῦ ἐφύλαξεν εἰς νῖκος.

12. Καὶ ἐξαποστελῶ πῦρ εἰς Θαμὰν, καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς.

13. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν, ὅπως ἐμπλατύνωσι τὰ ὅρια ἑαυτῶν.

14. Καὶ ἀνάψω πῦρ ἐπὶ τείχη Ῥαββὰθ, καὶ καταφάγεται θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθήσεται ἐν ἡμέραις συντελείας αὐτῆς,

15. καὶ πορεύσονται οἱ βασιλεῖς αὐτῆς ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπιτοαυτὸ, λέγει Κύριος.

AMOS.

CAPUT I.

1. Sermones Amos, qui facti sunt in Accarim de Thecue, quos vidit pro Jerusalem in diebus Oziæ regis Juda et in diebus Jeroboam filii Joas regis Israel, aute duos annos terræ motus.

2. Et ait : Dominus de Sion effatus est, et de Jerusalem dedit vocem suam, et luxerunt pascua pastorum, et arefactus est vertex Carmeli.

3. Et dixit Dominus : Super tribus impietatibus Damasci et super quatuor non aversabor eum, pro eo quod secuerunt serris ferreis prægnantes eorum qui in Galaad.

4. Et mittam ignem in domum Azael, et devorabit fundamenta filii Ader.

5. Et conteram vectes Damasci, et disperdam habitatores de campo On, et concidam tribum ex viris Charrhan, et captivus ducetur populus Syriæ nominatus, dicit Dominus.

6. Hæc dicit Dominus : Super tribus impietatibus Gazæ et super quatuor non aversabor eos, eo quod captivam duxerunt captivitatem Salomonis, ut concluderent in Idumæam.

7. Et emittam ignem super muros Gazæ, et devorabit fundamenta ejus.

8. Et disperdam habitatores de Azoto, et auferetur tribus de Ascalone, et inferam manum meam in Accaronem, et peribunt reliqui alienigenarum, dicit Dominus.

9. Hæc dicit Dominus : Super tribus impietatibus Tyri et super quatuor non aversabor eam, pro eo quod concluserunt captivitatem Salomonis in Idumæa, et non sunt recordati testamenti fratrum.

10. Et emittam ignem super muros Tyri, et devorabit fundamenta ejus.

11. Hæc dicit Dominus : Super tribus impietatibus Idumææ et super quatuor non aversabor eos, eo quod ipsi persecuti sint in gladio fratrem suum, et violavit matrem super terram, et rapuit in testimonium horrorem suum, et impetum suum custodivit in victoriam.

12. Et emittam ignem in Thaman, et devorabit fundamenta murorum ejus.

13. Hæc dicit Dominus : Super tribus impietatibus filiorum Ammon et super quatuor non aversabor eum, eo quod desecuerit prægnantes Galaaditarum, ut dilatarent terminos suos.

14. Et succendam ignem super muros Rabbath, et devorabit fundamenta ejus cum clamore in die belli, et commovebitur in die consummationis suæ,

15. et ibunt reges ejus in captivitatem, sacerdotes eorum et principes eorum simul, dicit Dominus.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν κατέκαυσαν τὰ ὀστᾶ βασιλέως τῆς Ἰδουμαίας εἰς κονίαν.

3. Καὶ ἐξαποστελῶ πῦρ εἰς Μωὰβ, καὶ καταφάγεται τὰ θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν ἀδυναμίᾳ Μωὰβ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος.

3. Καὶ ἐξολοθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ πάντας τοὺς ἄρχοντας αὐτῆς ἀποκτενῶ μετ' αὐτοῦ, λέγει Κύριος.

4. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἕνεκα τοῦ ἀπώσασθαι αὐτοὺς τὸν νόμον τοῦ Κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο, καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν ἃ ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν.

5. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἱερουσαλήμ.

6. Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν ἀπέδοντο ἀργυρίου δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδημάτων,

7. τὰ πατοῦντα ἐπὶ τὸν χοῦν τῆς γῆς, καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν, καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλῶσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν.

8. Καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν.

9. Ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμοῤῥαῖον ἐκ προσώπου αὐτῶν οὗ ἦν, καθὼς ὕψος κέδρου, τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν ὡς δρῦς, καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν, καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν.

10. Καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, τοῦ κατακληρονομῆσαι τὴν γῆν τῶν Ἀμοῤῥαίων.

11. Καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν. Μὴ οὐκ ἔστι ταῦτα υἱοὶ Ἰσραὴλ, λέγει Κύριος;

12. Καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε, λέγοντες· Οὐ μὴ προφητεύσητε.

13. Διὰ τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν, ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ γέμουσα καλάμης·

14. καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ,

15. καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ, καὶ ὁ ἱππεὺς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ,

16. καὶ ὁ κραταιὸς οὐ μὴ εὑρήσει τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις· ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἀκούσατε τὸν λόγον τοῦτον, ὃν ἐλάλησε Κύριος ἐφ' ὑμᾶς, οἶκος Ἰσραὴλ, καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, λέγων·

CAPUT II.

1. Hæc dicit Dominus : Super tribus impietatibus Moab et super quatuor non aversabor eum, pro eo quod incenderunt ossa regis Idumææ in cinerem.

2. Et emittam ignem in Moab, et devorabit fundamenta civitatum ejus, et morietur in infirmitate Moab cum clamore et cum voce tubæ.

3. Et disperdam judicem ex ea, et omnes principes ejus interficiam cum eo, dicit Dominus.

4. Hæc dicit Dominus : Super tribus impietatibus filiorum Juda et super quatuor non aversabor eum, quia repulerunt legem Domini, et præcepta illius non custodierunt, et deceperunt eos vanitates suæ quas fecerunt, quas secuti sunt patres eorum post eas.

5. Et emittam ignem in Judam, et devorabit fundamenta Jerusalem.

6. Hæc dicit Dominus : Super tribus impietatibus Israel et super quatuor non aversabor eum, pro eo quod vendiderint argento justum, et pauperem propter calceamenta,

7. quæ calcant super pulverem terræ, et pugno percutiebant in capita pauperum, et viam humilium declinabant, et filius et pater ejus ingrediebantur ad eamdem puellam, ut contaminarent nomen Dei sui.

8. Et vestimenta sua alligantes funibus, faciebant velamina juxta altare, et vinum de calumniis bibebant in domo Dei sui.

9. Ego autem abstuli Amorrhæum a facie eorum cujus erat, sicut altitudo cedri, sublimitas ejus, et fortis erat quasi quercus, et arefeci fructum ejus desuper, et radices ejus deorsum.

10. Et ego eduxi vos de terra Ægypti, et circumduxi vos in deserto quadraginta annis, ut possideretis terram Amorrhæorum.

11. Et assumpsi de filiis vestris in prophetas, et de juvenibus vestris in sanctificationem. Numquid non sunt hæc filii Israel, dicit Dominus?

12. Et propinabatis sanctificatis vinum, et prophetis mandabatis, dicentes : Ne prophetetis.

13. Quapropter ecce ego volvo subter vos, sicut volvitur plaustrum plenum stipula :

14. et peribit fuga a cursore, et fortis non obtinebit fortitudinem suam, et pugnator non salvabit animam suam,

15. et sagittarius non substinebit, et velox pedibus suis salvari non poterit, et eques non salvabit animam suam,

16. et fortis non inveniet cor suum in potentatibus : nudus persequetur in die illa, dicit Dominus.

CAPUT III.

1. Audite verbum hoc, quod locutus est Dominus super vos, domus Israel, et contra omnem tribum quam eduxi de terra Ægypti, dicens :

2. Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν.

3. Εἰ πορεύσονται δύο ἐπιτοαυτὸ καθόλου, ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς;

4. Εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ θήραν οὐκ ἔχων; Εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ τῆς μάνδρας αὐτοῦ καθόλου, ἐὰν μὴ ἁρπάσῃ τί;

5. Εἰ πεσεῖται ὄρνεον ἐπὶ τῆς γῆς ἄνευ ἰξευτοῦ; Εἰ σχασθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ τοῦ συλλαβεῖν τί;

6. Εἰ φωνήσει σάλπιγξ ἐν πόλει, καὶ λαὸς οὐ πτοηθήσεται; Εἰ ἔσται κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν;

7. Διότι οὐ μὴ ποιήσῃ Κύριος ὁ Θεὸς πρᾶγμα, ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας.

8. Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; Κύριος ὁ Θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει;

9. Ἀναγγείλατε χώραις ἐν Ἀσσυρίοις, καὶ ἐπὶ τὰς χώρας τῆς Αἰγύπτου, καὶ εἴπατε· Συνάχθητε ἐπὶ τὸ ὄρος Σαμαρείας, καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς, καὶ καταδυναστείαν τὴν ἐν αὐτῇ.

10. Καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον αὐτῆς, λέγει Κύριος, οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν.

11. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Τύρος κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ κατάξει ἐκ σοῦ ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου.

12. Τάδε λέγει Κύριος· Ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ λέοντος δύο σκέλη ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ κατέναντι τῆς φυλῆς καὶ ἐν Δαμασκῷ.

13. Ἱερεῖς, ἀκούσατε, καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰακὼβ, λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.

14. Διότι ἐν τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτὸν, καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια Βαιθήλ. Καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ πεσοῦνται ἐπὶ τὴν γῆν.

15. Συγχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον ἐπὶ τὸν οἶκον τὸν θερινὸν, καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι, καὶ προστεθήσονται ἕτεροι οἶκοι πολλοὶ, λέγει Κύριος.

2. Verumtamen vos cognovi de universis tribubus terræ, idcirco ulciscar super vos omnia peccata vestra.

3. Si ambulabunt duo simul omnino, nisi cognoverint se?

4. Si ructabit leo de saltu suo prædam non habens? Si dabit catulus leonis vocem suam de cubili suo omnino, nisi aliquid rapuerit?

5. Si cadet avis super terram sine aucupe? Si deponetur laqueus super terram nisi aliquid apprehenderit?

6. Si clanget tuba in civitate, et populus non timebit? Si erit malitia in urbe, quam Dominus non fecit?

7. Quia non faciet Dominus Deus aliquid, nisi revelaverit eruditionem suam ad servos suos prophetas.

8. Leo ructabit, et quis non timebit? Dominus Deus locutus est, et quis non prophetabit?

9. Annuntiate regionibus in Assyriis, et ad regiones Ægypti, et dicite : Congregamini super montem Samariæ, et videte mirabilia multa in medio ejus, et oppressionem quæ in ea.

10. Et ignoravit quæ futura sint coram ea, dicit Dominus, qui thesaurizant iniquitatem et miseriam in regionibus suis.

11. Propterea hæc dicit Dominus Deus : Tyrus in circuitu terra tua deserta erit, et detrahet de te fortitudinem tuam, et diripientur regiones tuæ.

12. Hæc dicit Dominus : Quomodo si avellat pastor de ore leonis duo crura aut extremum auriculæ, sic avellentur filii Israel qui habitant in Samaria contra tribum et in Damasco.

13. Sacerdotes, audite, et contestamini domum Jacob, dicit Dominus Deus omnipotens.

14. Quia in die qua ulciscar impietates Israel super eum, ulciscar et super altaria Bæthel. Et suffodientur cornua altaris, et cadent super terram.

15. Confundam et percutiam domum pinnatam super domum æstivam, et peribunt domus eburneæ, et adjicientur domus aliæ multæ, dicit Dominus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἀκούσατε τὸν λόγον τοῦτον, δαμάλεις τῆς Βασανίτιδος, αἱ ἐν τῷ ὄρει τῆς Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς, καὶ καταπατοῦσαι πένητας, αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν· Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν.

2. Ὀμνύει Κύριος κατὰ τῶν ἁγίων αὐτοῦ, διότι ἰδοὺ ἡμέραι ἔρχονται ἐφ' ὑμᾶς, καὶ λήψονται ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς λέβητας ὑποκαιομένους ἐμβαλοῦσιν, ἔμπυροι, λοιμοὶ,

3. καὶ ἐξενεχθήσεσθε γυμναὶ κατέναντι ἀλλήλων, καὶ ἀποῤῥιφήσεσθε εἰς τὸ ὄρος τὸ Ῥομμὰν, λέγει Κύριος.

4. Εἰσήλθατε εἰς Βαιθὴλ, καὶ ἠσεβήσατε, καὶ εἰς Γάλγαλα ἐπληθύνατε τοῦ ἀσεβῆσαι· καὶ ἠνέγκατε εἰς τοπρωῒ θυσίας ὑμῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν.

CAPUT IV.

1. Audite verbum hoc, vaccæ Basanitidis, quæ estis in monte Samariæ, quæ opprimitis pauperes, et conculcatis egenos, quæ dicitis dominis vestris : Date nobis ut bibamus.

2. Jurat Dominus per sanctos suos, quoniam ecce dies veniunt super vos, et tollent vos in armis, et eos qui vobiscum sunt in ollas succensas injicient, ferventes, pestilentes,

3. et ejiciemini nudæ contra invicem, et projiciemini in montem Romman, dicit Dominus.

4. Introistis in Bæthel, et impie egistis, et in Galgala multiplicastis impie agere : et intulistis mane hostias vestras, in triduum decimas vestras.

5. Καὶ ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίας· ἀναγγείλατε ὅτι ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραὴλ, λέγει Κύριος.

6. Καὶ ἐγὼ δώσω ὑμῖν γομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔνδειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός μὲ, λέγει Κύριος.

7. Καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ, καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω. Μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ξηρανθήσεται.

8. Καὶ συναθροισθήσονται δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσι, καὶ οὐκ ἐπεστράφητε πρὸς μὲ, λέγει Κύριος.

9. Ἐπάταξα ὑμᾶς ἐν πυρώσει, καὶ ἐν ἰκτέρῳ. Ἐπληθύνατε κήπους ὑμῶν, ἀμπελῶνας ὑμῶν· καὶ συκεῶνας ὑμῶν, καὶ ἐλαιῶνας ὑμῶν κατέφαγεν ἡ κάμπη; καὶ οὐδ' ὡς ἐπεστρέψατε πρὸς μὲ, λέγει Κύριος.

10. Ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν, μετὰ αἰχμαλωσίας ἵππων σου, καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ἐν τῇ ὀργῇ ὑμῶν, καὶ οὐδ' ὡς ἐπεστρέψατε πρὸς μὲ, λέγει Κύριος.

11. Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρὸς, καὶ οὐδ' ὡς ἐπεστρέψατε πρός με, λέγει Κύριος.

12. Διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ· πλὴν ὅτι οὕτως ποιήσω σοι, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου, Ἰσραήλ.

13. Διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς. Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Ἀκούσατε τὸν λόγον Κυρίου τοῦτον, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς, θρῆνον· οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκέτι μὴ προσθήσει τοῦ ἀναστῆναι.

2. Παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτοῦ, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτήν.

3. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Ἡ πόλις ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ἑκατόν· καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατὸν, ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ.

4. Διότι τάδε λέγει Κύριος πρὸς τὸν οἶκον Ἰσραήλ· Ἐκζητήσατέ με, καὶ ζήσεσθε,

5. καὶ μὴ ἐκζητεῖτε Βαιθὴλ, καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ διαβαίνετε, ὅτι Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθήσεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα.

6. Ἐκζητήσατε τὸν Κύριον, καὶ ζήσατε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος Ἰωσὴφ, καὶ καταφάγῃ αὐτὸν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ.

7. Ὁ ποιῶν εἰς ὕψος κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν.

8. Ὁ ποιῶν πάντα καὶ μετασκευάζων, καὶ ἐκτρέπων εἰς τοπρωὶ σκιὰν, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων·

5. Et legerunt foris legem, et invocaverunt confessiones: annuntiate quia hæc dilexerunt filii Israel, dicit Dominus.

6. Et ego dabo vobis stuporem dentium in cunctis urbibus vestris, et indigentiam panum in omnibus locis vestris, et non estis reversi ad me, dicit Dominus.

7. Et ego repressi a vobis pluviam ante tres menses vindemiæ, et pluam super civitatem unam, et super civitatem unam non pluam. Pars una irrigabitur, et pars super quam non pluero arefiet.

8. Et congregabuntur duæ et tres civitates in civitatem unam ut bibant aquam, et non satiabuntur, et non estis reversi ad me, dicit Dominus.

9. Percussi vos in ardore, et in aurugine. Multiplicastis hortos vestros, vineas vestras, et ficeta vestra, et oliveta vestra comedit eruca, et ne sic quidem conversi estis ad me, dicit Dominus.

10. Emisi in vos mortem in via Ægypti, et occidi in gladio juvenes vestros, cum captivitate equorum vestrorum, et eduxi in igne castra in ira vestra, et ne sic quidem reversi estis ad me, dicit Dominus.

11. Subverti vos, sicut subvertit Deus Sodomam et Gomorrham, et facti estis sicut torris erutus de igne, et ne sic quidem conversi estis ad me, dicit Dominus.

12. Propterea sic faciam tibi, Israel: verumtamen quia sic faciam tibi, præparare ut invoces Deum tuum, Israel.

13. Quia ecce ego firmans tonitruum, et creans spiritum, et annuntians in homines Christum suum, faciens mane et nebulam, et ascendens super excelsa terræ. Dominus Deus omnipotens nomen ei.

CAPUT V.

1. Audite verbum Domini istud, quod ego assumo super vos, planctum: domus Israel cecidit, non adjiciet amplius ut resurgat.

2. Virgo Israel projecta est super terram ejus, non est qui suscitet eam.

3. Propterea hæc dicit Dominus Dominus: Urbs de qua egrediebantur mille, relinquentur centum: et de qua egrediebantur centum, relinquentur decem domui Israel.

4. Quia hæc dicit Dominus ad domum Israel: Quærite me, et vivetis,

5. et nolite quærere Bæthel, et in Galgala ne ingrediamini, et super puteum juramenti non transeatis, quia Galgala captivata captivabitur, et Bæthel erit quasi non sit.

6. Quærite Dominum, et vivite, ne succendatur ut ignis domus Joseph, et devoret eam, et non erit qui exstinguat domui Israel.

7. Qui facit in excelso judicium, et justitiam in terra posuit.

8. Qui facit omnia et transformat, et convertit in mane umbram, et diem in noctem contenebrat: qui vocat aquam

ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς. Κύριος ὄνομα αὐτῷ.

9. Ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχὺν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων.

10. Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

11. Διὰ τοῦτο, ἀνθ' ὧν κατεκονδύλιζον πτωχοὺς, καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξεστοὺς ᾠκοδομήσατε, καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς· ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν.

12. Ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν, καταπατοῦντες δίκαιον, λαμβάνοντες ἀλλάγματα, καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες.

13. Διὰ τοῦτο ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρῶν ἐστιν.

14. Ἐκζητήσατε τὸ καλὸν, καὶ μὴ πονηρὸν, ὅπως ζήσητε, καὶ ἔσται οὕτως μεθ' ὑμῶν Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ. Ὃν τρόπον εἴπατε·

15. Μεμισήκαμεν τὰ πονηρὰ, καὶ ἠγαπήσαμεν τὰ καλὰ, καὶ ἀποκαταστήσατε ἐν πύλαις κρῖμα, ὅπως ἐλεήσῃ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τοὺς περιλοίπους τοῦ Ἰωσήφ.

16. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ· Ἐν πάσαις ταῖς πλατείαις κοπετὸς, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται Οὐαὶ, οὐαί. Κληθήσεται γεωργὸς εἰς πένθος καὶ κοπετὸν, καὶ εἰς εἰδότας θρῆνον·

17. καὶ ἐν πάσαις ὁδοῖς κοπετὸς, διότι ἐλεύσομαι διὰ μέσου σου, εἶπε Κύριος.

18. Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. Ἱνατί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ Κυρίου; Καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς.

19. Ὃν τρόπον ἐὰν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις.

20. Οὐχὶ σκότος ἡ ἡμέρα τοῦ Κυρίου, καὶ οὐ φῶς; καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῇ;

21. Μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ θυσίας ἐν ταῖς πανηγύρεσιν ὑμῶν·

22. διότι, ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίους ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι.

23. Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι.

24. Καὶ κυλισθήσεται ὡς ὕδωρ κρῖμα, καὶ δικαιοσύνη ὡς χειμάῤῥους ἄβατος.

25. Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ;

26. Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥαιφὰν, τοὺς τύπους αὐτῶν οὓς ἐποιήσατε ἑαυτοῖς.

27. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει Κύριος· ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

1. Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας· ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον αὐτοί. Οἶκος τοῦ Ἰσραὴλ,

maris, et effundit eam super faciem terræ. Dominus nomen ei.

9. Qui dividit contritionem super fortitudinem, et miseriam super munitionem adducit.

10. Odio habuerunt in portis arguentem, et verbum sanctum abominati sunt.

11. Propterea, quia pugno percutiebant pauperes, et munera electa accipiebatis ab eis, domos dolatis lapidibus ædificastis, et non habitabitis in eis : vineas desiderabiles plantastis, et non bibetis vinum earum.

12. Quia cognovi multas impietates vestras, et fortia sunt peccata vestra, conculcantes justum, accipientes commutationes, et pauperes in portis declinantes.

13. Ideo qui intelligit in tempore illo silebit, quia tempus malorum est.

14. Quærite bonum, et non malum, ut vivatis, et erit sic vobiscum Dominus Deus omnipotens. Sicut dixistis :

15. Odio habuimus mala, et dileximus bona, et reddite in portis judicium, ut misereatur Dominus Deus omnipotens his qui reliqui sunt de Joseph.

16. Ideo hæc dicit Dominus Deus omnipotens : In cunctis plateis planctus, et in omnibus viis dicetur Væ, Væ! Vocabitur agricola ad luctum et planctum, et in eis qui sciunt lamentationem :

17. et in omnibus viis planctus, quia pertransibo per medium tui, dicit Dominus.

18. Væ desiderantibus diem Domini! Ut quid hæc vobis dies Domini? Et ea est tenebræ et non lux

19. Quomodo si fugiat homo a facie leonis, et incidat in eum ursus, et introeat in domum suam, et innitatur manibus suis super parietem, et mordeat eum coluber.

20. Nonne tenebræ dies Domini, et non lux? et caligo non habens splendorem hæc?

21. Odio habui, repuli festivitates vestras, nec odorabor hostias in conventionibus vestris :

22. quia, si obtuleritis mihi holocausta et sacrificia vestra, non suscipiam, et salutares presentiæ vestræ non respiciam.

23. Transfer a me sonitum carminum tuorum, et psalmum organorum tuorum non audiam.

24. Et volvetur sicut aqua judicium, et justitia sicut torrens invius.

25. Numquid victimas et hostias obtulistis mihi, domus Israel, quadraginta annis in eremo?

26. Et assumpsistis tabernaculum Moloch, et sidus dei vestri Rhæphan, figuras eorum quas fecistis vobis.

27. Et transferam vos trans Damascum, dicit Dominus : Deus omnipotens nomen ei.

CAPUT VI.

1. Væ qui despiciunt Sion, et qui confidunt in monte Samariæ : vindemiarunt primitias gentium, et ingressi sunt ipsi. Domus Israel,

2. διάβητε πάντες καὶ ἴδετε, καὶ διέλθατε ἐκεῖθεν εἰς Ἐμματραββὰ, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ ἀλλοφύλων τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων· εἰ πλέονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων.

3. Οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν,

4. οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ ἔσθοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνὰ,

5. οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστηκότα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα.

6. Οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μῦρα χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσήφ.

7. Διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυνατῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφραίμ·

8. ὅτι ὤμοσε Κύριος καθ' ἑαυτοῦ, διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ἰακὼβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν.

9. Καὶ ἔσται, ἐὰν ὑπολειφθῶσι δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι,

10. καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν, καὶ παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου. Καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας· Εἰ ἔτι ὑπάρχει παρὰ σοί;

11. Καὶ ἐρεῖ· Οὐκ ἔτι. Καὶ ἐρεῖ· Σῖγα, ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα Κυρίου.

12. Διότι ἰδοὺ Κύριος ἐντέλλεται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν οἶκον τὸν μικρὸν ῥάγμασιν.

13. Εἰ διώξονται ἐν πέτραις ἵπποι, εἰ παρασιωπήσονται ἐν θηλείαις; Ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρῖμα, καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν,

14. οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ, οἱ λέγοντες· Οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔσχομεν κέρατα;

15. Διότι ἰδοὺ ἐγὼ ἐπεγερῶ ἐφ' ὑμᾶς, οἶκος Ἰσραὴλ, ἔθνος, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐκθλίψουσιν ὑμᾶς, τοῦ μὴ εἰσελθεῖν εἰς Αἰμὰθ, καὶ ὡς τοῦ χειμάῤῥου τῶν δυσμῶν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Οὕτως ἔδειξέ μοι Κύριος ὁ Θεὸς, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη ἑωθινὴ, καὶ ἰδοὺ βροῦχος εἷς Γὼγ ὁ βασιλεύς.

2. Καὶ ἔσται, ἐὰν συντελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα· Κύριε, Κύριε, ἵλεως γενοῦ. Τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστι.

3. Μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐκ ἔσται, λέγει Κύριος.

4. Οὕτως ἔδειξέ μοι Κύριος, καὶ ἰδοὺ ἐκάλεσε τὴν δίκην ἐν πυρὶ Κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλὴν, καὶ κατέφαγε τὴν μερίδα Κυρίου.

5. Καὶ εἶπα· Κύριε, κόπασον δή. Τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστι.

6. Μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος.

7. Οὕτως ἔδειξέ μοι Κύριος. Καὶ ἰδοὺ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας.

2. transite omnes et videte, et pertransite inde in Ematrabba et descendite inde in Geth alienigenarum optimas ex omnibus regnis his: si ampliores sunt termini eorum terminis vestris.

3. Venientes in diem malum, appropinquantes et tangentes sabbata mendacia,

4. dormientes in lectis eburneis, affluentes deliciis in stratis suis, et comedentes hœdos de gregibus, et lactentes vitulos de medio armentorum,

5. complaudentes ad vocem organorum, quasi stantia putaverunt, et non quasi fugientia.

6. Qui bibunt vinum defæcatum, et primis unguentis unguntur, et nihil patiebantur super contritione Joseph.

7. Propterea nunc captivi erunt ab initio fortium, et auferetur hinnitus equorum ex Ephraim:

8. quia juravit Dominus per semetipsum, quia abominor ego omnem contumeliam Jacob, et regiones ejus odi, et auferam civitatem cum omnibus habitatoribus suis.

9. Et erit, si remanserint decem viri in domo una, et morientur et remanebunt reliqui,

10. et tollent domestici eorum, et conabuntur ut efferant ossa eorum de domo. Et dicet his qui præsunt domui: Si adhuc est apud te?

11. Et dicet: Nequaquam. Et dicet: Tace, ut non nomines nomen Domini.

12. Propterea ecce Dominus mandat, et percutiet domum magnam ruinis, et domum parvam scissionibus.

13. Si persequentur in petris equi, si reticebunt ad fœminas? Quoniam convertistis in furorem judicium, et fructum justitiæ in amaritudinem,

14. qui lætamini super nullo verbo, qui dicitis: Nonne in fortitudine nostra habuimus cornua?

15. Quia ecce ego suscitabo super vos, domus Israel, gentem, ait Dominus virtutum, et conterent vos, ut non introeatis in Æmath, et usque ad torrentem occidentis.

CAPUT VII.

1. Sic ostendit mihi Dominus Deus, et ecce fœtus locustarum veniebat matutinus, et ecce bruchus unus Gog rex.

2. Et erit, si compleverit ut devoret fœnum terræ, et dixi: Domine, Domine, propitius esto. Quis suscitabit Jacob? quoniam modicus est.

3. Pœniteat te, Domine, super hoc. Et hoc non erit, dicit Dominus.

4. Sic ostendit mihi Dominus, et ecce vocavit judicium in igne Dominus, et devoravit abyssum multam, et comedit partem Domini.

5. Et dixi: Domine, desine nunc. Quis suscitabit Jacob? quoniam parvulus est.

6. Pœniteat te, Domine, super hoc. Et hoc non fiet, dicit Dominus.

7. Sic ostendit mihi Dominus. Et ecce stabat super murum adamantinum, et in manu ejus adamas.

8. Καὶ εἶπε Κύριος πρὸς μέ· Τί σὺ ὁρᾷς, Ἀμώς; Καὶ εἶπα· Ἀδάμαντα. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραὴλ, οὐκ ἔτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν.

9. Καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται, καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοάμ ἐν ῥομφαίᾳ.

10. Καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ πρὸς Ἱεροβοὰμ βασιλέα Ἰσραὴλ, λέγων· Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκου Ἰσραὴλ, οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ.

11. Διότι τάδε λέγει Ἀμώς· Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοὰμ, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ.

12. Καὶ εἶπεν Ἀμασίας πρὸς Ἀμώς· Ὁ ὁρῶν, βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις·

13. εἰς δὲ Βαιθὴλ οὐκ ἔτι προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστὶ, καὶ οἶκος βασιλείας ἐστί.

14. Καὶ ἀπεκρίθη Ἀμὼς, καὶ εἶπε πρὸς Ἀμασίαν· Οὐκ ἤμην προφήτης ἐγὼ, οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην καὶ κνίζων συκάμινα.

15. Καὶ ἀνέλαβέ με Κύριος ἐκ τῶν προβάτων, καὶ εἶπε Κύριος πρὸς μέ· Βάδιζε, καὶ προφήτευσον ἐπὶ τὸν λαόν μου Ἰσραήλ.

16. Καὶ νῦν ἄκουε λόγον Κυρίου. Σὺ λέγεις· Μὴ προφήτευε ἐπὶ τὸν Ἰσραὴλ, καὶ οὐ μὴ ὀχλαγωγήσῃς ἐπὶ τὸν οἶκον Ἰακώβ.

17. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἡ γυνή σου ἐν τῇ πόλει πορνεύσει καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ ἡ γῆ σου ἐν σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις· ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Οὕτως ἔδειξέ μοι Κύριος Κύριος. Καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ.

2. Καὶ εἶπε· Τί σὺ βλέπεις, Ἀμώς; Καὶ εἶπα· Ἄγγος ἰξευτοῦ. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραὴλ, οὐ προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν.

3. Καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Κύριος. Πολὺς ὁ πεπτωκὼς ἐν παντὶ τόπῳ, ἐπιῤῥίψω σιωπήν.

4. Ἀκούσατε δὴ ταῦτα, οἱ ἐκτρίβοντες εἰς τοπρωὶ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς,

5. λέγοντες· Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπολήσομεν; Καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρὸν, τοῦ ποιῆσαι μέτρον μικρὸν, καὶ τοῦ μεγαλῦναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον,

6. τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ καὶ πτωχοὺς καὶ πένητα ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ παντὸς γεννήματος ἐμπορευσόμεθα;

7. Ὀμνύει Κύριος κατὰ τῆς ὑπερηφανίας Ἰακὼβ, εἰ ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν.

8. Καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου;

8. Et dixit Dominus ad me : Quid tu vides, Amos? Et dixi : Adamantem. Et dixit Dominus ad me : Ecce ego impono adamantem in medio populi mei Israel, nequaquam ultra addam ut pertranseam eum.

9. Et dissipabuntur aræ risus, et sacrificia Israel desolabuntur, et consurgam super domum Jeroboam in gladio.

10. Et misit Amasias sacerdos Bæthel ad Jeroboam regem Israel, dicens : Congregationes facit contra te Amos in medio domus Israel, non poterit terra sustinere omnes sermones ejus.

11. Hæc enim dicit Amos : In gladio morietur Jeroboam, Israel autem captivus ducetur de terra sua.

12. Et dixit Amasias ad Amos : Qui vides, egredere, recede tu in terram Juda, et ibi vive, et ibi prophetabis :

13. in Bæthel autem non adjicies ultra prophetare, quia sanctificatio regis est, et domus regni est.

14. Et respondit Amos, et dixit ad Amasiam : Non eram propheta ego, neque filius prophetæ, sed pastor eram et vellicans sycamina.

15. Et tulit me Dominus ex ovibus, et dixit Dominus ad me : Vade, et prophetiza super populum meum Israel.

16. Et nunc audi sermonem Domini. Tu dicis : Noli prophetare super Israel, et ne congreges turbas contra domum Jacob.

17. Propterea hæc dicit Dominus : Uxor tua in civitate fornicabitur, et filii tui et filiæ tuæ in gladio cadent, et terra tua in funiculo dimensurabitur, et tu in terra immunda morieris : Israel autem captivus ducetur de terra sua.

CAPUT VIII.

1. Sic ostendit mihi Dominus Dominus. Et ecce vas aucupis.

2. Et dixit : Quid tu vides, Amos? Et dixi : Vas aucupis. Et dixit Dominus ad me : Venit finis super populum meum Israel, non addam ultra ut pertranseam eum.

3. Et ululabunt laquearia templi in die illa, dicit Dominus Dominus. Multi cadentes erunt in omni loco, injiciam silentium.

4. Audite nunc hæc, qui conteritis mane pauperem, et opprimitis egenos de terra,

5. dicentes : Quando pertransibit mensis, et negotiabimur? Et sabbata, et aperiemus thesaurum, ut faciamus mensuram parvam, et pondus magnum, et faciamus stateram iniquam,

6. ut possideamus in pecunia et pauperes et egenum pro calceamentis, et de omni genimine negotiabimur?

7. Jurat Dominus contra superbiam Jacob, si obliviscetur in finem omnia opera vestra.

8. Et super his non conturbabitur terra, et lugebit omnis habitator ejus, et ascendet quasi flumen consummatio, et descendet quasi fluvius Ægypti?

9. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς,

10. καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα· καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης.

11. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτων οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον Κυρίου.

12. Καὶ σαλευθήσονται ὕδατα ἀπὸ τῆς θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον τοῦ Κυρίου, καὶ οὐ μὴ εὕρωσιν.

13. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαὶ, καὶ οἱ νεανίσκοι ἐν δίψει,

14. οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ οἱ λέγοντες· Ζῇ ὁ Θεός σου, Δὰν, καὶ ζῇ ὁ Θεός σου, Βηρσαβεέ· καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀναστῶσιν ἔτι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Εἶδον τὸν Κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπε· Πάταξον ἐπὶ τὸ ἱλαστήριον, καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς πάντων. Καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενῶ· οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος.

2. Ἐὰν κατακρυβῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανὸν, ἐκεῖθεν κατάξω αὐτούς.

3. Ἐὰν ἐγκατακρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω καὶ λήψομαι αὐτούς· καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι, καὶ δήξεται αὐτούς·

4. καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι τῇ ῥομφαίᾳ, καὶ ἀποκτενεῖ αὐτούς. Καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά.

5. Καὶ Κύριος Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐφαπτόμενος τῆς γῆς, καὶ σαλεύων αὐτὴν, καὶ πενθήσουσι πάντες οἱ κατοικοῦντες αὐτὴν, καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου.

6. Ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς· Κύριος παντοκράτωρ ὄνομα αὐτῷ.

7. Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοὶ, υἱοὶ Ἰσραήλ; λέγει Κύριος. Οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ βόθρου;

8. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου τοῦ Θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλῶν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς. Πλὴν ὅτι οὐκ εἰς τέλος ἐξαρῶ τὸν οἶκον Ἰακὼβ, λέγει Κύριος.

9. Διότι ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον Ἰσραὴλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν.

10. Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ

9. Et erit in die illa, dicit Dominus Dominus, occidet sol meridie, et contenebrescet super terram in die lux,

10. et convertam solemnitates vestras in luctum, et omnia cantica vestra in lamentationem, et inducam super omnem lumbum saccum, et super omne caput calvitium : et ponam eum quasi luctum dilecti, et eos qui cum eo sunt quasi diem doloris.

11. Ecce dies veniunt, dicit Dominus, et emittam famem super terram, non famem panum neque sitim aquæ, sed famem audiendi verbum Domini.

12. Et commovebuntur aquæ de mari usque ad mare, et ab aquilone usque ad orientem circuibunt quærentes verbum Domini, et non invenient.

13. In die illa deficient virgines pulchræ, et juvenes in siti,

14. qui jurant per propitiationem Samariæ, et qui dicunt : Vivit Deus tuus, Dan, et vivit Deus tuus, Bersabe : et cadent, et non resurgent amplius.

CAPUT IX.

1. Vidi Dominum stantem super altare, et dixit : Percute super propitiatorium, et commovebuntur vestibula, et discide in capita omnium. Et reliquos eorum in gladio interficiam : non effugiet ex eis qui fugerit, et non salvabitur ex illis qui fuerit resalvatus.

2. Si absconditi fuerint in inferno, inde manus mea evellet eos : et si ascenderint in cœlum, inde detraham illos.

3. Si absconditi fuerint in vertice Carmeli, inde scrutans auferam eos : et si demerserint se ab oculis meis in profunda maris, ibi mandabo draconi, et mordebit eos :

4. et si abierint in captivitatem ante faciem inimicorum suorum, ibi præcipiam gladio, et interficiet eos. Et obfirmabo oculos meos super illos in mala, et non in bona.

5. Et Dominus Dominus Deus omnipotens, qui tangit terram, et commovet eam, et lugebunt omnes habitatores ejus, et ascendet sicut fluvius consummatio ejus, et descendet sicut flumen Ægypti.

6. Qui ædificat in cœlo ascensionem suam, et promissionem suam super terram fundat : qui vocat aquam maris, et effundit eam super faciem terræ : Dominus omnipotens nomen ei.

7. Nonne ut filii Æthiopum vos estis mihi, filii Israel? dicit Dominus. Nonne Israel eduxi de terra Ægypti, et alienigenas de Cappadocia, et Syros de fovea?

8. Ecce occuli Domini Dei super regnum peccatorum, et auferam illud a facie terræ. Verumtamen non in finem auferam domum Jacob, dicit Dominus.

9. Quia ego præcipio, et ventilabo in cunctis gentibus domum Israel, sicut ventilatur in ventilabro, et non cadet contritio super terram.

10. In gladio morientur omnes peccatores populi mei, qui

λαοῦ μου, οἱ λέγοντες· Οὐ μὴ ἐγγίσῃ, οὐδὲ μὴ γένηται ἐφ' ἡμᾶς τὰ κακά.

11. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος·

12. ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει Κύριος, ὁ ποιῶν πάντα ταῦτα.

13. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ καταλήψεται ὁ ἀμητὸς τὸν τρυγητὸν, καὶ περκάσει ἡ σταφυλὴ ἐν τῷ σπόρῳ. Καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται.

14. Καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου Ἰσραὴλ, καὶ οἰκοδομήσουσι πόλεις τὰς ἠφανισμένας, καὶ κατοικήσουσι, καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ πίονται τὸν οἶνον αὐτῶν, καὶ ποιήσουσι κήπους, καὶ φάγονται τὸν καρπὸν αὐτῶν.

15. Καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν, καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς, λέγει Κύριος ὁ Θεὸς παντοκράτωρ.

dicunt : Non appropinquabit, neque venient super nos mala.

11. In die illa suscitabo tabernaculum David quod ceciderat, et reædificabo ea quæ corruerant ex ipso, et quæ suffossa sunt ex eo suscitabo, et instaurabo illud sicut dies sæculi :

12. ut quærant reliqui hominum et omnes gentes, super quos invocatum est nomen meum super eos, dicit Dominus, faciens hæc omnia.

13. Ecce dies veniunt, dicit Dominus, et apprehendet messis vindemiam, et maturescet uva in semente. Et stillabunt montes dulcedinem, et omnes colles consiti erunt.

14. Et convertam captivitatem populi mei Israel, et ædificabunt civitates dissipatas, et habitabunt, et plantabunt vineas, et bibent vinum earum, et facient hortos, et comedent fructum eorum.

15. Et plantabo eos super terram suam, et non avellentur amplius de terra quam dedi eis, dicit Dominus Deus omnipotens.

ΜΙΧΑΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Μιχαίαν τὸν τοῦ Μωρασθεὶ, ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου βασιλέων Ἰούδα, ὑπὲρ ὧν εἶδε περὶ Σαμαρείας καὶ περὶ Ἱερουσαλήμ.

2. Ἀκούσατε, λαοὶ, λόγους, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. Καὶ ἔσται Κύριος Κύριος ἐν ὑμῖν εἰς μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ.

3. Διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς,

4. καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει.

5. Δι' ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. Τίς ἡ ἀσέβεια τοῦ Ἰακώβ; οὐχ ἡ Σαμάρεια; Καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα; οὐχὶ Ἱερουσαλήμ;

6. Καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω.

7. Καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι, καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν ἐν πυρὶ, καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν· διότι ἐκ μισθωμάτων πορνείας συνήγαγε, καὶ ἐκ μισθωμάτων πορνείας συνέστρεψεν.

8. Ἕνεκεν τούτου κόψεται, καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος καὶ γυμνή· ποιήσεται κοπετὸν ὡς δρακόντων, καὶ πένθος ὡς θυγατέρων σειρήνων.

MICHÆAS.

CAPUT I.

1. Et factum est verbum Domini ad Michæam Morasthitem, in diebus Joatham, et Achaz, et Ezeciæ regum Juda, de quibus vidit de Samaria et de Jerusalem.

2. Audite, populi, verba, et auscultet terra, et omnes qui sunt in ea. Et erit Dominus Dominus in vobis in testimonium, Dominus ex domo sancta sua.

3. Ecce enim Dominus egreditur de loco suo, et descendet, et ascendet super excelsa terræ,

4. et commovebuntur montes subter eum, et valles tabescent sicut cera a facie ignis, et sicut aqua profluens in descensu.

5. Propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel. Quæ est impietas Jacob? nonne Samaria? Et quod est peccatum domus Juda? nonne Jerusalem?

6. Et ponam Samariam in pomorum custodiam in agro, et in plantationem vineæ, et detraham in voraginem lapides ejus, et fundamenta ejus revelabo.

7. Et cuncta sculptilia ejus concident, et omnes mercedes ejus comburent in igni, et cuncta idola ejus ponam in perditionem : quia ex mercedibus fornicationis congregavit, et ex mercedibus fornicationis convertit.

8. Propter hoc planget, et lamentabitur, ibit discalceata et nuda : faciet planctum quasi draconum, et luctum quasi filiarum sirenarum.

9. Ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν ἕως Ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ μου ἕως Ἱερουσαλήμ.

10. Οἱ ἐν Γὲθ, μὴ μεγαλύνεσθε, καὶ οἱ Ἐνακεὶμ, μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου κατὰ γέλωτα· γῆν καταπάσασθε κατὰ γέλωτα ὑμῶν·

11. κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς, οὐκ ἐξῆλθε κατοικοῦσα Σενναάρ· κόψασθαι οἶκον ἐχόμενον αὐτῆς, λήψεται ἐξ ὑμῶν πληγὴν ὀδύνης.

12. Τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας; Ὅτι κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ,

13. ψόφος ἁρμάτων καὶ ἱππευόντων. Κατοικοῦσα Λαχεὶς, ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶ τῇ θυγατρὶ Σιὼν, ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ Ἰσραήλ.

14. Διὰ τοῦτο δώσει ἐξαποστελλομένους ἕως κληρονομίας Γὲθ, οἴκους ματαίους, εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν τοῦ Ἰσραὴλ,

15. ἕως τοὺς κληρονόμους ἀγάγωσι, κατοικοῦσα Λαχείς· κληρονομία ἕως Ὀδολλὰμ ἥξει, ἡ δόξα τῆς θυγατρὸς Ἰσραήλ.

16. Ξύρησαι, καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου· ἐμπλάτυνον τὴν χηρείαν σου ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ.

9. Quia obtinuit plaga ejus, quia venit usque ad Judam et tetigit usque ad portam populi mei usque Jerusalem.

10. Qui in Geth, nolite magnificari, et Enacim, nolite reædificare ex domo in derisum : terra aspergite derisum vestrum :

11. quæ habitas bene civitates ejus, non est egressa habitatrix Sennaar : plangite domum juxta eam, accipiet ex vobis plagam doloris.

12. Quis cœpit in bona ei quæ habitat dolores? Quia descenderunt mala a Domino super portas Jerusalem,

13. sonitus curruum et equitum. Quæ habitas Lachis, princeps peccati hæc est filiæ Sion, quia in te inventæ sunt impietates Israel.

14. Ideo dabit emissarios usque ad hæreditatem Geth, domos vanas, in vanum factæ sunt regibus Israel,

15. donec hæredes adducant, quæ habitas Lachis : hæreditas usque Odollam veniet, gloria filiæ Israel.

16. Decalvare, et detondere super filios delicatos tuos : dilata tonsuram tuam sicut aquila, quoniam captivi ducti sunt ex te.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά. Διότι οὐκ ἦραν πρὸς τὸν Θεὸν χεῖρας αὐτῶν·

2. καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα καὶ τὸν οἶκον αὐτοῦ, καὶ ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ.

3. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακὰ, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ ἐξαίφνης, ὅτι καιρὸς πονηρός ἐστιν.

4. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ' ὑμᾶς παραβολὴ, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει, λέγων· Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύων αὐτὸν τοῦ ἀποστρέψαι. Οἱ ἀγροὶ ὑμῶν διεμερίσθησαν·

5. διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον ἐν κλήρῳ ἐν ἐκκλησίᾳ Κυρίου.

6. Μὴ κλαίετε δάκρυσι, μηδὲ δακρυέτωσαν ἐπὶ τούτοις. Οὐδὲ γὰρ ἀπώσεται ὀνείδη

7. ὁ λέγων· Οἶκος Ἰακὼβ παρώργισε πνεῦμα Κυρίου. Οὐ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστιν; Οὐχ οἱ λόγοι αὐτοῦ εἰσι καλοὶ μετ' αὐτοῦ; καὶ ὀρθοὶ πεπόρευνται;

8. Καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη, κατέναντι τῆς εἰρήνης αὐτοῦ. Τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδας, συντριμμὸν πολέμου.

9. Ἡγούμενοι λαοῦ μου ἀποῤῥιφήσονται ἐκ τῶν οἴκων τρυφῆς αὐτῶν, διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. Ἐγγίσατε ὄρεσιν αἰωνίοις.

10. Ἀνάσθηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις ἕνεκεν ἀκαθαρσίας. Διεφθάρητε φθορᾷ,

11. κατεδιώχθητε οὐδενὸς διώκοντος. Πνεῦμα ἔστησε ψεῦδος, ἐστάλαξέ σοι εἰς οἶνον καὶ μέθυσμα. Καὶ ἔσται, ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου

CAPUT II.

1. Facti sunt cogitantes labores, et operantes mala in cubilibus suis, et simul cum die consummabant ea. Quia non levaverunt ad Deum manus suas :

2. et desiderabant agros, et diripiebant pupillos, et domos opprimebant, et rapiebant virum et domum ejus, et virum et hæreditatem ejus.

3. Propterea hæc dicit Dominus : Ecce ego cogito super tribum istam mala, de quibus non auferetis colla vestra, et non ambulabitis recti subito, quia tempus pessimum est.

4. In die illa sumetur super vos parabola, et plangetur planctus in cantico, dicendo : Miseria miseri facti sumus : pars populi mei dimensa est in funiculo, et non erat qui prohiberet eum ut averteretur. Agri vestri divisi sunt :

5. propter hoc non erit tibi mittens funiculum in hæreditate. In ecclesia Domini

6. nolite flere lacrymis, neque plorent super his. Non enim abjiciet opprobria

7. qui dicit : Domus Jacob ad iram provocavit spiritum Domini. Nonne hæ sunt adinventiones ejus? Nonne sermones ejus boni sunt cum eo? et recti ambulaverunt?

8. Et antea populus meus in inimicitia restitit, contra pacem suam. Pellem ejus excoriaverunt, ut auferrent spem, contritionem belli.

9. Duces populi mei projicientur de domibus deliciarum suarum, propter malas adinventiones suas ejecti sunt. Propinquate montibus æternis.

10. Surge et ambula, quia non est tibi hæc requies propter immunditiam. Consumpti estis corruptione,

11. fugistis nemine persequente. Spiritus statuit mendacium, stillavit tibi in vinum et ebrietatem. Et erit, de stilla populi hujus

12. συναγόμενος συναχθήσεται Ἰακὼϐ σὺν πᾶσιν. Ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραὴλ, ἐπιτοαυτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτοῦ. Ὡς πρόϐατα ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτῶν, ἐξαλοῦνται ἐξ ἀνθρώπων

13. διὰ τῆς διακοπῆς πρὸ προςώπου αὐτῶν. Διέκοψαν, καὶ διῆλθον πύλην, καὶ ἐξῆλθον δι' αὐτῆς, καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προςώπου αὐτῶν· ὁ δὲ Κύριος ἡγήσεται αὐτῶν.

12. congregandus congregabitur Jacob cum omnibus. Suscipiens suscipiam reliquos de Israel, in idipsum ponam aversionem ejus. Sicut oves in tribulatione, quasi gregem in medio cubilis sui, exsilient ex hominibus

13. per divisionem ante faciem eorum. Diviserunt, et transierunt portam, et egressi sunt per eam, et exivit rex eorum ante faciem eorum : Dominus autem princeps erit eorum.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ ἐρεῖ· Ἀκούσατε δὴ ταῦτα, αἱ ἀρχαὶ οἴκου Ἰακὼϐ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ. Οὐχ ὑμῖν ἐστι τοῦ γνῶναι τὸ κρῖμα;

2. Μισοῦντες τὰ καλὰ, καὶ ζητοῦντες τὰ πονηρὰ, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν, καὶ τὰς σάρκας αὐτῶν ἀπὸ τῶν ὀστέων αὐτῶν.

3. Ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ λαοῦ μου, καὶ τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν ἐξέδειραν, καὶ τὰ ὀστέα αὐτῶν συνέθλασαν, καὶ ἐμέλισαν ὡς σάρκας εἰς λέϐητα, καὶ ὡς κρέα εἰς χύτραν,

4. οὕτως κεκράξονται πρὸς τὸν Κύριον, καὶ οὐκ εἰςακούσεται αὐτῶν· καὶ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνθ' ὧν ἐπονηρεύσαντο ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐπ' αὐτούς.

5. Τάδε λέγει Κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐτῶν, καὶ κηρύσσοντας εἰρήνην ἐπ' αὐτὸν, καὶ οὐκ ἐδόθη εἰς τὸ στόμα αὐτῶν, ἤγειραν ἐπ' αὐτὸν πόλεμον.

6. Διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως, καὶ σκοτία ἔσται ὑμῖν ἐκ μαντείας, καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα.

7. Καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλαλήσουσι κατ' αὐτῶν πάντες αὐτοὶ, διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν·

8. ἐὰν μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν πνεύματι Κυρίου καὶ κρίματος καὶ δυναστείας, τοῦ ἀπαγγεῖλαι τῷ Ἰακὼϐ ἀσεϐείας αὐτοῦ, καὶ τῷ Ἰσραὴλ ἁμαρτίας αὐτοῦ.

9. Ἀκούσατε δὴ ταῦτα, οἱ ἡγούμενοι οἴκου Ἰακὼϐ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραὴλ, οἱ βδελυσσόμενοι κρῖμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες,

10. οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις.

11. Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν Κύριον ἐπανεπαύοντο, λέγοντες· Οὐχὶ ὁ Κύριος ἐν ἡμῖν ἐστιν; Οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά.

12. Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.

CAPUT III.

1. Et dicet : Audite nunc hæc, principia domus Jacob, et reliqui domus Israel. Nonne vestrum est cognoscere judicium?

2. Qui odio habetis bona, et quæritis mala, diripientes pelles eorum ab eis, et carnes eorum ab ossibus eorum.

3. Sicut devoraverunt carnes populi mei, et pelles eorum ab eis excoriaverunt, et ossa eorum confregerunt, et conciderunt sicut carnes in lebete, et sicut carnem in olla,

4. sic clamabunt ad Dominum, et non exaudiet eos : et avertet faciem suam ab eis in tempore illo, eo quod pessime egerunt in adinventionibus suis super eos.

5. Hæc dicit Dominus super prophetas qui seducunt populum meum, qui mordent dentibus suis, et prædicant super eum pacem, et non est data in ore eorum, excitaverunt super eum prælium.

6. Propterea nox vobis erit ex visione, et tenebræ erunt vobis ex divinatione, et occumbet sol super prophetas, et contenebrescet super eos dies.

7. Et confundentur qui vident somnia, et irridebuntur arioli, et loquentur adversum eos omnes isti, quia non erit qui exaudiat eos :

8. nisi ego implevero fortitudinem in spiritu Domini et judicii et potentiæ, ut annuntiem Jacob impietates ejus, et Israel peccata ejus.

9. Audite nunc hæc, duces domus Jacob, et reliqui domus Israel, qui abominamini judicium, et omnia recta pervertitis,

10. qui ædificatis Sion in sanguinibus, et Jerusalem in iniquitatibus.

11. Duces ejus cum muneribus judicabant, et sacerdotes ejus cum mercede respondebant, et prophetæ ejus cum pecunia divinabant, et super Dominum requiescebant, dicentes : Nonne Dominus in nobis est? Non venient super nos mala.

12. Idcirco propter vos Sion quasi ager arabitur, et Jerusalem ut custodia pomarii erit, et mons domus in locum saltus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν. Καὶ σπεύσουσι πρὸς αὐτὸ λαοὶ,

CAPUT IV.

1. Et erit in novissimis dierum manifestus mons Domini, præparatus super vertices montium, et elevabitur super colles. Et festinabunt ad eum populi,

2. καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ· ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.

3. Καὶ κρινεῖ ἀναμέσον λαῶν πολλῶν, καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς μακράν· καὶ κατακόψουσι τὰς ῥομφαίας αὐτῶν εἰς ἄροτρα, καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα, καὶ οὐκέτι μὴ ἀντάρῃ ἔθνος ἐπ' ἔθνος ῥομφαίαν, καὶ οὐκέτι μὴ μάθωσι πολεμεῖν.

4. Καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ στόμα Κυρίου παντοκράτορος ἐλάλησε ταῦτα·

5. ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα, καὶ ἐπέκεινα.

6. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἐξωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην.

7. Καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος δυνατόν, καὶ βασιλεύσει Κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιὼν ἀπὸ τοῦ νῦν ἕως εἰς τὸν αἰῶνα.

8. Καὶ σὺ πύργος ποιμνίου αὐχμώδης, θυγάτηρ Σιών, ἐπὶ σὲ ἥξει, καὶ εἰσελεύσεται ἡ ἀρχὴ ἡ πρώτη βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ Ἱερουσαλήμ.

9. Καὶ νῦν ἱνατί ἔγνως κακά; Μὴ βασιλεὺς οὐκ ἦν σοι, ἢ ἡ βουλή σου ἀπώλετο, ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης;

10. Ὤδινε καὶ ἀνδρίζου καὶ ἔγγιζε, θυγάτηρ Σιών, ὡς τίκτουσα· διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν πεδίῳ, καὶ ἥξεις ἕως Βαβυλῶνος. Ἐκεῖθεν ῥύσεταί σε, καὶ ἐκεῖθεν λυτρώσεταί σε Κύριος ὁ Θεός σου ἐκ χειρὸς ἐχθρῶν σου.

11. Καὶ νῦν ἐπισυνήχθησαν ἐπὶ σὲ ἔθνη πολλά, λέγοντες· ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν.

12. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν Κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγματα ἅλωνος.

13. Ἀνάστηθι, καὶ ἀλόα αὐτούς, θυγάτηρ Σιών, ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς· καὶ κατατήξεις λαοὺς πολλούς, καὶ ἀναθήσεις τῷ Κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ Κυρίῳ πάσης τῆς γῆς.

2. et ibunt gentes multæ et dicent : Venite, ascendamus ad montem Domini, et in domum Dei Jacob : et ostendent nobis viam ejus, et ambulabimus in semitis ejus : quia de Sion exiet lex, et verbum Domini de Jerusalem.

3. Et judicabit inter populos multos, et arguet gentes fortes usque in longinquum : et concident gladios suos in aratra, et hastas suas in falces, et ultra non tollet gens contra gentem gladium, et nequaquam ultra discent bellare.

4. Et requiescet unusquisque sub vite sua, et unusquisque sub ficu sua, et non erit qui exterreat, quia os Domini omnipotentis locutum est hæc :

5. quia omnes populi ibunt unusquisque viam suam, nos autem ibimus in nomine Domini Dei nostri in æternum, et ultra.

6. In die illa, dicit Dominus, congregabo eam quæ contrita est, et eam quæ ejecta fuerat suscipiam, et quos repuleram.

7. Et ponam contritam in reliquias, et repulsam in gentem fortem, et regnabit Dominus super eos in monte Sion ex hoc nunc usque in sæculum.

8. Et tu turris gregis squalens, filia Sion, ad te veniet, et ingredietur principatus primum regnum de Babylone filiæ Jerusalem.

9. Et nunc quare cognovisti mala? Numquid rex non erat tibi, aut consilium tuum periit, quia obtinuerunt te dolores sicut parturientis?

10. Dole et viriliter age et appropinqua, filia Sion, quasi pariens : quia nunc egredieris de civitate, et habitabis in campo, et venies usque ad Babylonem. Inde liberabit te, et inde redimet te Dominus Deus tuus de manu inimicorum tuorum.

11. Et nunc congregatæ sunt super te gentes multæ, dicentes : Insultabimus, et videbunt in Sion oculi nostri.

12. Ipsi autem nescierunt cogitationem Domini, et non intellexerunt consilium ejus, quia congregavit eos ut manipulos areæ.

13. Surge, et tritura eos, filia Sion, quia cornua tua ponam ferrea, et ungulas tuas ponam æreas : et consumes populos multos, et consecrabis Domino multitudinem eorum, et robur eorum Domino universæ terræ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Νῦν ἐμφραχθήσεται θυγάτηρ ἐμφραγμῷ, συνοχὴν ἔταξεν ἐφ' ἡμᾶς, ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ.

2. Καὶ σύ, Βηθλεὲμ οἶκος Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραήλ, καὶ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.

3. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης· τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ.

4. Καὶ στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποί-

CAPUT V.

1. Nunc obstruetur filia obstructione, angustiam posuit super nos, in virga percutient super maxillam tribus Israel.

2. Et tu, Bethleem domus Ephrata, minima es ut sis in millibus Juda. Ex te mihi egredietur, ut sit in principem Israel, et egressus ejus ab initio ex diebus sæculi.

3. Propterea dabit eos usque ad tempus parientis : pariet, et reliquiæ fratrum eorum revertentur ad filios Israel.

4. Et stabit et videbit, et pascet gregem suum in fortitu-

νιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος, καὶ ἐν τῇ δόξῃ ὀνόματος Κυρίου Θεοῦ αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς.

5. Καὶ ἔσται αὕτη εἰρήνη· Ἀσσοὺρ ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων,

6. καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ, καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς· καὶ ῥύσεται ἐκ τοῦ Ἀσσοὺρ ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν.

7. Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς δρόσος παρὰ Κυρίου πίπτουσα, καὶ ὡς ἄρνες ἐπὶ ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς, μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων.

8. Καὶ ἔσται τὸ ὑπόλειμμα Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν κτήνεσιν ἐν τῷ δρυμῷ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων, ὃν τρόπον ὅταν διέλθῃ, καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος.

9. Ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται.

10. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἐξολοθρεύσω τοὺς ἵππους ἐκ μέσου σου, καὶ ἀπολῶ τὰ ἅρματά σου,

11. καὶ ἐξολοθρεύσω τὰς πόλεις τῆς γῆς σου, καὶ ἐξαρῶ πάντα τὰ ὀχυρώματά σου.

12. Καὶ ἐξολοθρεύσω τὰ φάρμακά σου ἐκ τῶν χειρῶν σου, καὶ ἀποφθεγγόμενοι οὐκ ἔσονται ἐν σοί.

13. Καὶ ἐξολοθρεύσω τὰ γλυπτά σου, καὶ τὰς στήλας σοῦ ἐκ μέσου σου, καὶ οὐκ ἔτι μὴ προσκυνήσεις τοῖς ἔργοις τῶν χειρῶν σου,

14. καὶ ἐκκόψω τὰ ἄλση ἐκ μέσου σου, καὶ ἀφανιῶ τὰς πόλεις σου,

15. καὶ ποιήσω ἐν ὀργῇ καὶ ἐν θυμῷ ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν ἀνθ' ὧν οὐκ εἰσήκουσαν.

ΚΕΦΑΛΑΙΟΝ ς'.

1. Ἀκούσατε δὴ λόγον· Κύριος Κύριος εἶπεν· Ἀνάστηθι, κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν βουνοὶ φωνήν σου.

2. Ἀκούσατε, ὄρη, τὴν κρίσιν τοῦ Κυρίου, καὶ αἱ φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται.

3. Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε, ἢ τί παρηνώχλησά σοι; ἀποκρίθητί μοι.

4. Διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην σε, καὶ ἐξαπέστειλα πρὸ προσώπου σου τὸν Μωσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ;

5. Λαός μου, μνήσθητι δὴ, τί ἐβουλεύσατο κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωὰβ, καὶ τί ἀπεκρίθη αὐτῷ Βαλαὰμ υἱὸς τοῦ Βεὼρ, ἀπὸ τῶν Σχοίνων ἕως τοῦ Γαλγὰλ, ὅπως γνωσθῇ ἡ δικαιοσύνη τοῦ Κυρίου.

6. Ἐν τίνι καταλάβω τὸν Κύριον, ἀντιλήψομαι Θεοῦ μου ὑψίστου; Εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις;

7. Εἰ προσδέξεται Κύριος ἐν χιλιάσι κριῶν, ἢ ἐν μυριάσι χιμάρων πιόνων; Εἰ δῶ πρωτότοκά μου ὑπὲρ ἀσεβείας, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου;

dine Dominus, et in gloria nominis Domini Dei sui erunt: quia nunc magnificabuntur usque ad terminos terræ.

5. Et erit hæc pax: Assur quando supervenerit in terram vestram, et quando ascenderit super regionem vestram, et consurgent super eum septem pastores, et octo morsus hominum,

6. et pascent Assur in gladio, et terram Nebrod in fovea ejus: et liberabit de Assur cum venerit super terram vestram, et cum ascenderit super terminos vestros.

7. Et erunt reliquiæ Jacob in gentibus in medio populorum multorum quasi ros a Domino cadens, et quasi agni super gramen, ut non congregetur quispiam, neque sit in filiis hominum.

8. Et erunt reliquiæ Jacob in gentibus in medio populorum multorum quasi leo in jumentis in saltu, et quasi catulus leonis in gregibus pecorum, quomodo si pertranseat, et dividens rapiat, et non sit qui eruat.

9. Elevabitur manus tua super eos qui tribulant te, et omnes inimici tui perdentur.

10. Et erit in die illa, dicit Dominus, interficiam equos tuos de medio tui, et disperdam currus tuos,

11. et subvertam civitates terræ tuæ, et auferam omnes munitiones tuas.

12. Et auferam veneficia tua de manibus tuis, et qui loquuntur non erunt in te.

13. Et disperdam sculptilia tua, et statuas tuas de medio tui, et ultra non adorabis opera manuum tuarum,

14. et succidam lucos de medio tui, et demoliar civitates tuas,

15. et faciam in ira et furore ultionem in gentibus pro eo quod non exaudierunt.

CAPUT VI.

1. Audite nunc verbum: Dominus Dominus dixit: Surge, judicare apud montes, et audiant colles vocem tuam.

2. Audite, montes, judicium Domini, et valles fundamenta terræ, quia judicium Domino adversus populum suum, et cum Israel judicabitur.

3. Populus meus, quid feci tibi, aut quid contristavi te, aut in quo molestus fui tibi? responde mihi.

4. Quia eduxi te de terra Ægypti, et de domo servitutis redemi te, et misi ante faciem tuam Moysem et Aaron et Mariam?

5. Populus meus, recordare nunc, quid cogitaverit adversum te Balac rex Moab, et quid responderit ei Balaam filius Beor, de Schœnis usque ad Galgal, ut cognosceretur justitia Domini.

6. In quo apprehendam Dominum, suscipiam Deum meum excelsum? Si apprehendam eum in holocaustis, in vitulis anniculis?

7. Si suscipiet Dominus in millibus arietum, vel in decem millibus hircorum pinguium? Si dabo primogenita mea pro impietate, fructum ventris mei pro peccato animæ meæ?

8. Εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; Ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ᾽ ἢ τοῦ ποιεῖν κρῖμα καὶ ἀγαπᾷν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου;

9. Φωνὴ Κυρίου τῇ πόλει ἐπικληθήσεται, καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ. Ἄκουε, φυλή· καὶ τίς κοσμήσει πόλιν;

10. Μὴ πῦρ καὶ οἶκος ἀνόμου θησαυρίζων θησαυροὺς ἀνόμους, καὶ μετὰ ὕβρεως ἀδικίας;

11. Εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄνομος, καὶ ἐν μαρσίππῳ στάθμια δόλου,

12. ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν, καὶ οἱ κατοικοῦντες αὐτὴν ἐλάλουν ψεύδη, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ στόματι αὐτῶν;

13. Καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε, ἀφανιῶ σε ἐν ταῖς ἁμαρτίαις σου.

14. Σὺ φάγεσαι, καὶ οὐ μὴ ἐμπλησθῇς· καὶ συσκοτάσει ἐν σοί, καὶ ἐκνεύσει, καὶ οὐ μὴ διασωθῇς· καὶ ὅσοι ἂν διασωθῶσιν, εἰς ῥομφαίαν παραδοθήσονται.

15. Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον, καὶ οὐ μὴ πίητε, καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου.

16. Καὶ ἐφύλαξας τὰ δικαιώματα Ζαμβρί, καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαάβ, καὶ ἐπορεύθητε ἐν ταῖς ὁδοῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμόν, καὶ τοὺς κατοικοῦντας αὐτὴν εἰς συρισμόν, καὶ ὀνείδη λαῶν λήψεσθε.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Οἴμοι, ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρωτόγονα. Οἴμοι, ψυχή,

2. ὅτι ἀπόλωλεν εὐσεβὴς ἀπὸ τῆς γῆς, καὶ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. Πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ,

3. ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν. Ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησε, καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν. Καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτῶν,

4. ὡς σὴς ἐκτρώγων, καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέρᾳ σκοπιᾶς. Οὐαί, αἱ ἐκδικήσεις σου ἥκασι, νῦν ἔσονται κλαυθμοὶ αὐτῶν.

5. Μὴ καταπιστεύετε ἐν φίλοις, καὶ μὴ ἐλπίζετε ἐπὶ ἡγουμένοις, ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ.

6. Διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς, ἐχθροὶ πάντες ἀνδρὸς οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.

7. Ἐγὼ δὲ ἐπὶ τὸν Κύριον ἐπιβλέψομαι, ὑπομενῶ ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, εἰσακούσεταί μου ὁ Θεός μου.

8. Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι πέπτωκα, καὶ ἀναστήσομαι· διότι ἐὰν καθίσω ἐν τῷ σκότει, Κύριος φωτιεῖ μοι.

9. Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου. Καὶ ποιήσει τὸ κρῖμά μου, καὶ ἐξάξει με εἰς τὸ φῶς· ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ,

8. Si annuntiatum est tibi, homo, quid bonum? Aut quid Dominus quærat a te, nisi ut facias judicium et diligas misericordiam, et paratus sis ambulare cum Domino Deo tuo?

9. Vox Domini civitati clamabit, et salvabit timentes nomen ejus. Audi, tribus : et quis ornabit civitatem?

10. Numquid ignis et domus iniqui thesaurizans thesauros iniquos, et cum contumelia injurias?

11. Si justificabitur in statera iniquus, et in saccello pondera fraudulenta,

12. de quibus divitias suas impietatis repleverunt, et qui habitant in ea locuti sunt mendacia, et lingua eorum exaltata est in ore eorum?

13. Et ego incipiam percutere te, delebo te in peccatis tuis.

14. Tu comedes, et non saturaberis : et contenebrescet in te, et declinabit, et non salvaberis : et quicumque salvati fuerint, gladio tradentur.

15. Tu seminabis, et non metes : tu premes olivam, et non ungeris oleo, et vinum, et non bibetis, et dissipabuntur legitima populi mei.

16. Et custodisti justificationes Zambri, et omnia opera domus Achaab, et ambulastis in viis eorum, ut traderem te in perditionem, et habitatores ejus in sibilum, et opprobria populorum accipietis.

CAPUT VII.

1. Væ mihi, quia factus sum sicut qui congregat stipulam in messe, et sicut racemum in vindemia, cum non sit botrus ad comedendum primitiva. Væ mihi, anima,

2. quia periit pius de terra, et qui corrigat in hominibus non est. Omnes in sanguines judicantur, unusquisque proximum suum tribulat tribulatione,

3. in malum manus suas præparant. Princeps postulat, et judex verba pacifica locutus est, desiderium animæ suæ est. Et auferam bona eorum,

4. quasi tinea comedens, et ambulans super regulam in die speculationis. Væ! ultiones tuæ venerunt, nunc erunt fletus eorum.

5. Nolite credere in amicis, neque speretis in ducibus, ab ea quæ cubat tecum cave concredere quicquam ei.

6. Quia filius contumeliam facit patri, filia insurgit adversus matrem suam, nurus contra socrum suam, inimici omnes viri domestici ejus.

7. Ego autem in Dominum intuebor, exspectabo Deum salvatorem meum, exaudiet me Deus meus.

8. Ne insultes mihi, inimica mea, quia cecidi, et resurgam : quia si sedero in tenebris, Dominus illuminabit me.

9. Iram Domini sustinebo, quia peccavi ei, donec ipse justificet causam meam. Et faciet judicium meum, et educet me in lucem : videbo justitiam ejus,

10. καὶ ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνην ἡ λέγουσα· Ποῦ Κύριος ὁ Θεός σου; Οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτὴν, νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς.

11. Ἡμέρα ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη, καὶ ἀποτρίψεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη.

12. Καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν, καὶ εἰς διαμερισμὸν Ἀσσυρίων, καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ εἰς διαμερισμὸν ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ, καὶ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους.

13. Καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοικοῦσιν αὐτὴν, ἀπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν.

14. Ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου, πρόβατα κληρονομίας σου, κατασκηνοῦντας καθ' ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου· νεμήσονται τὴν Βασανῖτιν, καὶ τὴν Γαλααδῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος,

15. καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου. Ὄψεσθε θαυμαστὰ,

16. ὄψονται ἔθνη καὶ καταισχυνθήσονται καὶ ἐκ πάσης τῆς ἰσχύος αὐτῶν, ἐπιθήσουσι χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν, τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται,

17. λείξουσι χοῦν ὡς ὄφις σύροντες γῆν, συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν· ἐπὶ τῷ Κυρίῳ Θεῷ ἡμῶν ἐκστήσονται, καὶ φοβηθήσονται ἀπὸ σοῦ.

18. Τίς Θεὸς ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ; Καὶ οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστίν.

19. Ἐπιστρέψει, καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἀδικίας ἡμῶν, καὶ ἀποῤῥίψει εἰς τὰ βάθη τῆς θαλάσσης πάσας τὰς ἁμαρτίας ἡμῶν.

20. Δώσει εἰς ἀλήθειαν τῷ Ἰακὼβ, ἔλεον τῷ Ἀβραὰμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν, κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.

10. et videbit inimica mea, et operietur confusione quæ dicit : Ubi est Dominus Deus tuus? Oculi mei videbunt eam, nunc erit in conculcationem sicut lutum in viis.

11. Dies lituræ lateris, deletio tua dies illa, et atteret legitima tua dies illa.

12. Et urbes tuæ venient in complanationem, et in divisionem Assyriorum, et civitates tuæ munitæ in divisionem a Tyro usque ad flumen, et a mari usque ad mare, et de monte usque ad montem.

13. Et erit terra in dissipationem cum habitatoribus suis, propter fructus adinventionum eorum.

14. Pasce populum tuum in virga tua, oves hæreditatis tuæ, habitantes seorsum in saltu in medio Carmeli : pascentur Basanitin, et Galaaditin sicut dies sæculi,

15. et juxta dies egressionis tuæ de Ægypto. Videte mirabilia,

16. videbunt gentes et confundentur et ex omni fortitudine sua, imponent manus super os suum, aures eorum surdæ erunt,

17. lingent humum sicut serpentes quæ trahunt terram, turbabuntur in conclusione sua : super Domino Deo nostro formidabunt, et timebunt a te.

18. Quis Deus sicut tu, auferens iniquitates, et transcendens impietates his qui reliqui sunt de hæreditate tua? Et non tenuit in testimonium iram suam, quia cupidus misericordiæ est.

19. Revertetur, et miserebitur nostri, demerget peccata nostra, et projiciet in profunda maris omnia peccata nostra.

20. Dabit in veritatem Jacob, misericordiam Abraham, sicut jurasti patribus nostris, juxta dies priores.

ΙΩΗΛ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ.

2. Ἀκούσατε ταῦτα, οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν γῆν· εἰ γέγονε τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν, ἢ ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν;

3. Ὑπὲρ αὐτῶν, τοῖς τέκνοις ὑμῶν διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν.

4. Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη.

5. Ἐκνήψατε, οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν, καὶ κλαύσατε· θρηνήσατε, πάντες οἱ πίνοντες οἶνον εἰς μέθην, ὅτι ἐξήρθη ἐκ στόματος ὑμῶν εὐφροσύνη καὶ χαρά.

JOEL.

CAPUT I.

1. Verbum Domini, quod factum est ad Joel filium Bathuel.

2. Audite hæc, senes, et auribus percipite, omnes habitatores terræ : si facta sunt talia in diebus vestris, aut in diebus patrum vestrorum?

3. Pro his, filiis vestris narrate, et filii vestri filiis suis, et filii eorum in generationem alteram.

4. Residua erucæ comedit locusta, et residua locustæ comedit bruchus, et residua bruchi comedit rubigo.

5. Evigilate, qui ebrii estis ex vino vestro, et plorate : plangite, omnes qui bibitis vinum ad ebrietatem, quoniam ablatum est de ore vestro gaudium et lætitia.

6. Ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον· οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος, καὶ αἱ μύλαι αὐτοῦ σκύμνου.

7. Ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμὸν, καὶ τὰς συκᾶς μου εἰς συγκλασμόν. Ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν, καὶ ἔῤῥιψεν· ἐλεύκανε τὰ κλήματα αὐτῆς.

8. Θρήνησον πρὸς μὲ ὑπὲρ νύμφην περιεζωσμένην σάκκον, ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν.

9. Ἐξῆρται θυσία καὶ σπονδὴ ἐξ οἴκου Κυρίου. Πενθεῖτε, οἱ ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ Κυρίου,

10. ὅτι τεταλαιπώρηκε τὰ πεδία· πενθείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκε σῖτος, ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον,

11. ἐξηράνθησαν γεωργοί. Θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς, ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ,

12. ἡ ἄμπελος ἐξηράνθη, καὶ αἱ συκαῖ ὠλιγώθησαν. Ῥοὰ, καὶ φοῖνιξ, καὶ μῆλον, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν, ὅτι ᾔσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων.

13. Περιζώσασθε καὶ κόπτεσθε, οἱ ἱερεῖς, θρηνεῖτε, οἱ λειτουργοῦντες θυσιαστηρίῳ· εἰσέλθετε, ὑπνώσατε ἐν σάκκοις, λειτουργοῦντες Θεῷ, ὅτι ἀπέσχηκεν ἐξ οἴκου Θεοῦ ὑμῶν θυσία καὶ σπονδή.

14. Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγατε πρεσβυτέρους, πάντας κατοικοῦντας γῆν εἰς οἶκον Θεοῦ ὑμῶν, καὶ κεκράξετε πρὸς Κύριον ἐκτενῶς·

15. Οἴμοι, οἴμοι, οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου, καὶ ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει.

16. Κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα ἐξωλοθρεύθη, ἐξ οἴκου Θεοῦ ὑμῶν εὐφροσύνη καὶ χαρά.

17. Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἠφανίσθησαν θησαυροὶ, κατεσκάφησαν ληνοὶ, ὅτι ἐξηράνθη σῖτος.

18. Τί ἀποθήσομεν ἑαυτοῖς; Ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς, καὶ τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν.

19. Πρὸς σὲ, Κύριε, βοήσομαι, ὅτι πῦρ ἀνήλωσε τὰ ὡραῖα τῆς ἐρήμου, καὶ φλὸξ ἀνῆψε πάντα τὰ ξύλα τοῦ ἀγροῦ,

20. καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σὲ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων, καὶ πῦρ κατέφαγε τὰ ὡραῖα τῆς ἐρήμου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν, διότι πάρεστιν ἡμέρα Κυρίου, ὅτι ἐγγὺς

2. ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης. Ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρὸς, ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος, καὶ μετ' αὐτὸν οὐ προστεθήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν.

3. Τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ. Ὡς παράδεισος τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ, καὶ τὰ ὄπισθεν αὐτοῦ πεδίον ἀφανισμοῦ, καὶ ἀνασωζόμενος οὐκ ἔσται αὐτῷ.

4. Ὡς ὅρασις ἵππων ἡ ὅρασις αὐτῶν, καὶ ὡς ἱππεῖς οὕτως καταδιώξονται.

6. Quia gens ascendit super terram meam fortis et innumerabilis : dentes ejus dentes leonis, et molares ejus catuli leonis.

7. Posuit vineam meam in dissipationem, et ficus meas in confractionem. Scrutans scrutatus est eam, et projecit : dealbavit ramos ejus.

8. Plange ad me super sponsam accinctam cilicio, super virum suum virgineum.

9. Ablatum est sacrificium et libatio de domo Domini. Lugete, sacerdotes, qui ministratis altari Domini,

10. quoniam desolati sunt campi : lugeat terra, quoniam afflictum est triticum, aruit vinum, imminutum est oleum,

11. aruerunt agricolæ. Lugete possessiones pro frumento et hordeo, quia periit vindemia de agro,

12. vinea aruit, et ficus imminutæ sunt. Malogranatum, et palma, et malum, et omnia ligna agri arefacta sunt, quoniam confuderunt gaudium filii hominum.

13. Accingite vos et plangite, sacerdotes, lamentamini, qui ministratis altari : ingredimini, dormite in saccis, ministri Dei, quoniam defecit de domo Dei vestri sacrificium et libatio.

14. Sanctificate jejunium, prædicate curationem, congregate senes, omnes habitatores terræ in domum Dei vestri, et clamate ad Dominum vehementer :

15. Heu mihi! heu mihi! heu mihi in die! quoniam juxta est dies Domini, et quasi miseria de miseria veniet.

16. Ante oculos vestros alimenta perierunt, de domo Dei nostri lætitia et gaudium.

17. Subsultaverunt vituli in præsepibus suis, dissipati sunt thesauri, suffossa sunt torcularia, quia arefactum est triticum.

18. Quid reponemus nobis? Fleverunt armenta boum, quia non erant pascua eis, et greges ovium disperierunt,

19. Ad te, Domine, clamabo, quoniam ignis consumpsit speciosa deserti, et flamma succendit omnia ligna agri,

20. et jumenta campi suspexerunt ad te, quoniam arefactæ sunt emissiones aquarum, et ignis devoravit speciosa deserti.

CAPUT II.

1. Canite tuba in Sion, prædicate in monte sancto meo, et conturbentur omnes habitatores terræ, quoniam adest dies Domini, quoniam juxta est

2. dies tenebrarum et caliginis, dies nubis et nebulæ. Sicut mane fundetur super montes populus multus et fortis, similis ei non fuit a sæculo, et post eum non adjicietur usque ad annos in generationes generationum.

3. Quæ ante eum consumens ignis, et quæ post eum flamma succensa. Sicut paradisus voluptatis terra ante faciem ejus, et posteriora illius sicut campus solitudinis, et qui salvetur non erit ei.

4. Sicut aspectus equorum aspectus eorum, et sicut equites sic persequentur.

5. Ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης καλάμην, καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον.

6. Ἀπὸ προσώπου αὐτοῦ συντριβήσονται λαοὶ, πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας.

7. Ὡς μαχηταὶ δραμοῦνται, καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη, καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλίνωσι τὰς τρίβους αὐτῶν,

8. καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται. Καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται, καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσι.

9. Τῆς πόλεως ἐπιλήψονται, καὶ ἐπὶ τῶν τειχέων δραμοῦνται, καὶ ἐπὶ ταῖς οἰκίαις ἀναβήσονται, καὶ διὰ θυρίδων εἰςελεύσονται ὡς κλέπται.

10. Πρὸ προσώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ, καὶ σεισθήσεται ὁ οὐρανός· ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ ἄστρα δύσουσιν τὸ φέγγος αὐτῶν.

11. Καὶ Κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ, ὅτι πολλή ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ, διότι μεγάλη ἡ ἡμέρα Κυρίου, ἐπιφανὴς σφόδρα, καὶ τίς ἔσται ἱκανὸς αὐτῇ;

12. Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ὑμῶν· Ἐπιστράφητε πρός μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ,

13. καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. Καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις.

14. Τίς οἶδεν εἰ ἐπιστρέψει, καὶ μετανοήσει, καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν, καὶ θυσίαν, καὶ σπονδὴν Κυρίῳ τῷ Θεῷ ὑμῶν;

15. Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν,

16. συναγάγετε λαὸν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστοὺς, ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς.

17. Ἀναμέσον τῆς κρηπίδος τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ Κυρίῳ, καὶ ἐροῦσι· Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

18. Καὶ ἐζήλωσε Κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ.

19. Καὶ ἀπεκρίθη Κύριος, καὶ εἶπε τῷ λαῷ αὐτοῦ· Ἰδοὺ ἐγὼ ἐξαποστέλλω ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκ ἔτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσι·

20. καὶ τὸν ἀπὸ βοῤῥᾶ ἐκδιώξω ἀφ' ὑμῶν, καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. Καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος αὐτοῦ, ὅτι ἐμεγάλυνε τὰ ἔργα αὐτοῦ.

21. Θάρσει, γῆ, χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι.

5. Sicut vox quadrigarum super vertices montium exsilient, et sicut vox flammæ ignis devorantis stipulam, et sicut populus multus et fortis præparatus ad prælium.

6. A facie ejus conterentur populi, omnis vultus sicut adustio ollæ.

7. Sicut pugnatores current, et sicut viri bellatores ascendent super muros, et unusquisque in via sua ambulabit, et non declinabunt a semitis suis,

8. et unusquisque a fratre suo non recedet. Aggravati in armis suis ibunt, et in jaculis suis cadent, et non consumentur.

9. Urbem apprehendent, et super muros current, et super domos ascendent, et per fenestras intrabunt sicut fures.

10. Ante faciem ejus confundetur terra, et commovebitur cœlum : sol et luna contenebrabuntur, et stellæ deponent lumen suum.

11. Et Dominus dabit vocem suam ante faciem fortitudinis suæ, quoniam multa sunt nimis castra ejus, quoniam fortia opera sermonum illius, quia magna dies Domini, illustris nimis, et quis erit sufficiens ad eam?

12. Et nunc dicit Dominus Deus vester : Convertimini ad me ex toto corde vestro, et in jejunio, et in fletu, et in planctu,

13. et scindite corda vestra, et non vestimenta vestra. Et convertimini ad Dominum Deum vestrum, quia misericors et miserator est, patiens et multæ misericordiæ, et pœnitens super malitiis.

14. Quis novit si revertatur, et pœniteat, et relinquat post se benedictionem, et sacrificium, et libamen Domino Deo vestro?

15. Clangite tuba in Sion, sanctificate jejunium, prædicate curationem,

16. congregate populum, sanctificate ecclesiam, eligite senes, congregate parvulos sugentes ubera, egrediatur sponsus de cubili suo et sponsa de thalamo suo.

17. Inter crepidinem altaris plorabunt sacerdotes ministri Domini, et dicent : Parce, Domine, populo tuo, et ne dederis hæreditatem tuam in opprobrium, ut dominentur eorum gentes, ne dicant in nationibus : Ubi est Deus eorum?

18. Et zelatus est Dominus terram suam, et pepercit populo suo.

19. Et respondit Dominus, et dixit populo suo : Ecce ego mitto vobis frumentum et vinum et oleum, et implebimini eis, et non dabo vos ultra in opprobrium in gentibus :

20. et eum qui ab aquilone est repellam a vobis, et expellam eum in terram quæ est sine aqua, et disperdam faciem ejus in mare primum, et posteriora ejus in mare novissimum. Et ascendet putredo ejus, et ascendet fœtor ejus, quia magnificavit opera sua.

21. Confide, terra, gaude atque lætare, quia magnificavit Dominus ut faceret.

22. Θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ, συκῆ καὶ ἄμπελος ἔδωκαν τὴν ἰσχὺν αὐτῶν.

23. Καὶ τὰ τέκνα Σιὼν, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ Κυρίῳ Θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν,

24. καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου.

25. Καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη· ἡ δύναμίς μου ἡ μεγάλη ἣν ἐξαπέστειλα εἰς ὑμᾶς,

26. καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν, ἃ ἐποίησε μεθ' ὑμῶν εἰς θαυμάσια· καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα.

27. Καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· καὶ οὐ μὴ καταισχυνθῶσιν ἔτι ὁ λαός μου εἰς τὸν αἰῶνα.

28. Καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται.

29. Καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου.

30. Καὶ δώσω τέρατα ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ.

31. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

32. Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται. Ὅτι ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καθότι εἶπε Κύριος, καὶ εὐαγγελιζόμενοι οὓς Κύριος προσκέκληται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ὅτι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ Ἱερουσαλὴμ,

2. καὶ συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου καὶ τῆς κληρονομίας μου Ἰσραὴλ, οἳ διεσπάρησαν ἐν τοῖς ἔθνεσι, καὶ τὴν γῆν μου κατεδιείλαντο,

3. καὶ ἐπὶ τὸν λαόν μου ἔβαλον κλήρους, καὶ ἔδωκαν τὰ παιδάρια πόρναις, καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ τοῦ οἴνου, καὶ ἔπινον.

4. Καὶ τί ὑμεῖς ἐμοὶ, Τύρος καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; Μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι; ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοί; Ὀξέως καὶ ταχέως ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν,

5. ἀνθ' ὧν τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν,

6. καὶ τοὺς υἱοὺς Ἰούδα καὶ τοὺς υἱοὺς Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν.

22. Confidite, jumenta campi, quoniam germinaverunt campi solitudinis, quia lignum attulit fructum suum, ficus et vitis dederunt fortitudinem suam.

23. Et filii Sion, gaudete atque lætamini in Domino Deo vestro, quoniam dedit vobis escas in justitia, et pluet vobis imbrem temporaneum et serotinum, sicut a principio,

24. et replebuntur areæ tritico, et redundabunt torcularia vino et oleo.

25. Et reddam vobis pro annis quos comedit locusta et bruchus et rubigo et eruca : fortitudo mea magna quam misi in vos,

26. et vescemini comedentes et saturabimini, et laudabitis nomen Domini Dei vestri, qui fecit vobiscum in mirabilia : et non confundetur populus meus in æternum.

27. Et scietis quia in medio Israel ego sum, et ego Dominus Deus vester, et non est amplius præter me : et non confundetur ultra populus meus in æternum.

28. Et erit post hæc, et effundam de spiritu meo super omnem carnem, et prophetabunt filii vestri et filiæ vestræ, et senes vestri somnia somniabunt, et juvenes vestri visiones videbunt.

29. Et super servos meos et super ancillas in diebus illis effundam de spiritu meo.

30. Et dabo prodigia in cœlo, et super terram sanguinem et ignem et vaporem fumi.

31. Sol convertetur in tenebras, et luna in sanguinem, antequam veniat dies Domini magnus et illustris.

32. Et erit, omnis qui invocaverit nomen Domini salvus erit. Quia in monte Sion et in Jerusalem erit salvatus, sicut dixit Dominus, et evangelizati quos Dominus vocavit.

CAPUT III.

1. Quia ecce ego in diebus illis et in tempore illo, quando convertero captivitatem Juda et Jerusalem,

2. et congregabo omnes gentes, et detraham eas in vallem Josaphat, et disceptabo cum eis ibi pro populo meo et hæreditate mea Israel, qui dispersi sunt in gentibus, et terram meam diviserunt,

3. et super populum meum miserunt sortes, et dederunt pueros meretricibus, et puellas vendebant pro vino, et bibebant.

4. Et quid vos mihi, Tyrus et Sidon, et omnis Galilæa alienigenarum? Numquid retributionem vos redditis mihi? aut iram in corde retinetis adversum me? Velociter et cito reddam retributionem vestram in capita vestra,

5. pro eo quod argentum meum et aurum meum tulistis, et electa mea optima intulistis in templa vestra,

6. et filios Juda et filios Jerusalem vendidistis filiis Græcorum, ut ejiceretis eos de finibus suis.

7. Καὶ ἰδοὺ ἐγὼ ἐξεγείρω αὐτοὺς ἐκ τοῦ τόπου οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ, καὶ ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν,

8. καὶ ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖρας τῶν υἱῶν Ἰούδα, καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν εἰς ἔθνος μακρὰν ἀπέχον, ὅτι Κύριος ἐλάλησε.

9. Κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν, ἁγιάσατε πόλεμον, ἐξεγείρατε τοὺς μαχητὰς, προσαγάγετε καὶ ἀναβαίνετε, πάντες ἄνδρες πολεμισταὶ,

10. συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας. Ὁ ἀδύνατος λεγέτω, ὅτι ἰσχύω ἐγώ.

11. Συναθροίζεσθε καὶ εἰσπορεύεσθε, πάντα τὰ ἔθνη κυκλόθεν, καὶ συνάχθητε ἐκεῖ· ὁ πραῢς ἔστω μαχητής.

12. Ἐξεγειρέσθωσαν, ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, διότι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν.

13. Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητός· εἰσπορεύεσθε, πατεῖτε, διότι πλήρης ἡ ληνός· ὑπερεκχεῖτε τὰ ὑπολήνια, ὅτι πεπλήθυνται τὰ κακὰ αὐτῶν.

14. Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡμέρα Κυρίου ἐν τῇ κοιλάδι τῆς δίκης.

15. Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες δύσουσι φέγγος αὐτῶν.

16. Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακεκράξεται, καὶ ἐξ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ Κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ καὶ ἐνισχύσει τοὺς υἱοὺς Ἰσραήλ.

17. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ κατασκηνῶν ἐν Σιὼν ὄρει ἁγίῳ. Καὶ ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς οὐκέτι.

18. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοίνων.

19. Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται, καὶ ἡ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ ἔσται, ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ' ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν.

20. Ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται, καὶ Ἱερουσαλὴμ εἰς γενεὰς γενεῶν.

21. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν, καὶ οὐ μὴ ἀθωώσω, καὶ Κύριος κατασκηνώσει ἐν Σιών.

7. Et ecce ego suscito eos de loco in quo vendidistis eos ibi, et reddam retributionem vestram in capita vestra,

8. et vendam filios vestros et filias vestras in manus filiorum Juda, et venumdabunt eos in captivitatem genti quæ procul abest, quoniam Dominus locutus est.

9. Prædicate hæc in gentibus, sanctificate bellum, suscitate pugnatores, adducite et ascendite, omnes viri bellatores,

10. concidite aratra vestra in gladios, et falces vestras in lanceas. Infirmus dicat, quia prævaleo ego.

11. Congregamini et introite, omnes gentes per circuitum, et congregamini illuc : mansuetus sit pugnator.

12. Consurgant, ascendant omnes gentes in vallem Josaphat, quia ibi sedebo ut judicem omnes gentes in circuitu.

13. Emittite falces, quoniam adest vindemia : introite, calcate, quia plenum est torcular : supereffundite torcularia, quia repleta sunt mala eorum.

14. Sonitus exauditi sunt in valle judicii, quia juxta est dies Domini in valle judicii.

15. Sol et luna obtenebrabuntur, et stellæ occidere facient splendorem suum.

16. Dominus autem de Sion clamavit, et de Jerusalem dabit vocem suam, et movebitur cœlum et terra : Dominus autem parcet populo suo et confortabit filios Israel.

17. Et scietis quia ego Dominus Deus vester, habitans in Sion monte sancto meo. Et erit Jerusalem sancta, et alienigenæ non transibunt per eam amplius.

18. Et erit, in die illa stillabunt montes dulcedinem, et colles fluent lacte, et omnes emissiones Judæ fluent aquis, et fons de domo Domini egredietur, et irrigabit torrentem funiculorum.

19. Ægyptus in perditione erit, et Idumæa in campum desolationis erit, ex iniquitatibus filiorum Juda, pro eo quod effuderunt sanguinem justum in terra sua.

20. Judæa autem in æternum habitabitur, et Jerusalem in generationes generationum.

21. Et requiram sanguinem eorum, inultumque esse non patiar, et Dominus habitabit in Sion.

ΟΒΔΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ὅρασις Ὀβδιού. Τάδε λέγει Κύριος ὁ Θεὸς τῇ Ἰδουμαίᾳ· Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν· ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον.

OBDIU.

CAPUT I.

1. Visio Obdiu. Hæc dicit Dominus Deus Idumææ : Auditum audivi a Domino, et munitionem in gentes misit : surgite, et consurgamus adversus eam in prælium.

2. Ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν, ἠτιμωμένος εἶ σὺ σφόδρα.

3. Ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν· ὑψῶν κατοικίαν αὐτοῦ, λέγων ἐν καρδίᾳ αὐτοῦ· Τίς κατάξει με ἐπὶ τὴν γῆν;

4. Ἐὰν μετεωρισθῇς ὡς ἀετὸς, καὶ ἐὰν ἀναμέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει Κύριος.

5. Εἰ κλέπται εἰσῆλθον πρὸς σὲ, ἢ λησταὶ νυκτὸς, ποῦ ἂν ἀπεῤῥίφης; Οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ ἑαυτοῖς; Καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σὲ, οὐκ ἂν ἐπελείποντο ἐπιφυλλίδα;

6. Πῶς ἐξηρευνήθη Ἡσαῦ, καὶ κατελήφθη τὰ κεκρυμμένα αὐτοῦ;

7. Ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε· πάντες οἱ ἄνδρες τῆς διαθήκης σου ἀντέστησάν σοι, ἠδυνάσθησαν πρὸς σὲ ἄνδρες εἰρηνικοί σου, ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστι σύνεσις αὐτοῖς.

8. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας, καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ.

9. Καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ,

10. διὰ τὴν σφαγὴν, καὶ τὴν ἀσέβειαν ἀδελφοῦ σου Ἰακὼβ, καλύψει σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα.

11. Ἀφ᾽ ἧς ἡμέρας ἀντέστης ἐξεναντίας ἐν ἡμέραις αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ, καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ, καὶ ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἦς ὡς εἷς ἐξ αὐτῶν.

12. Καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων, καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν, καὶ μὴ μεγαλοῤῥημονῇς ἐν ἡμέρᾳ θλίψεως,

13. μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν, μηδὲ ἐπίδῃς καὶ σὺ τὴν συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, καὶ μὴ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν,

14. μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν, ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους αὐτῶν, μηδὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως,

15. διότι ἐγγὺς ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ ἔθνη. Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι. Τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου.

16. Διότι, ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίονται πάντα τὰ ἔθνη οἶνον· πίονται καὶ καταβήσονται, καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες.

17. Ἐν δὲ τῷ ὄρει Σιὼν ἔσται σωτηρία, καὶ ἔσται ἅγιον· καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κατακληρονομήσαντας αὐτούς.

18. Καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, ὁ δὲ οἶκος Ἰωσὴφ φλὸξ, ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην, καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς, καὶ καταφάγονται αὐτοὺς, καὶ οὐκ ἔσται πυροφόρος τῷ οἴκῳ Ἡσαῦ, διότι Κύριος ἐλάλησε.

19. Καὶ κατακληρονομήσουσιν οἱ ἐν Ναγὲβ τὸ ὄρος τὸ Ἡσαῦ, καὶ οἱ ἐν τῇ Σεφηλὰ τοὺς ἀλλοφύλους. Καὶ κατακληρονομήσουσι τὸ ὄρος Ἐφραὶμ, καὶ τὸ πεδίον Σαμαρείας, καὶ Βενιαμὶν, καὶ τὴν Γαλααδῖτιν.

20. Καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη τοῖς υἱοῖς

2. Ecce minimum dedi te in gentibus, inhonoratus es tu valde.

3. Superbia cordis tui elevavit te habitantem in foramini bus petrarum : exaltans habitaculum suum, dicens in corde suo : Quis me detrahet in terram?

4. Si exaltatus fueris ut aquila, et si inter media sidera ponas nidum tuum, inde te detraham, dicit Dominus.

5. Si fures introissent ad te, vel latrones per noctem, ubicumque projectus esses? Nonne furati essent sufficientia sibi? Et si vindemiatores introissent ad te, nonne reliquissent racemum?

6. Quomodo investigatus est Esau, et deprehensa sunt abscondita ejus?

7. Usque ad terminos dimiserunt te : omnes viri testamenti tui restiterunt tibi, prævaluerunt adversum te viri pacifici tui, posuerunt insidias subter te, non est intellectus eis.

8. In die illa, dicit Dominus, perdam sapientes ex Idumæa, et intelligentiam de monte Esau.

9. Et pavebunt pugnatores tui qui de Thæman, ut auferatur homo de monte Esau,

10. propter interfectionem, et impietatem fratris tui Jacob, operiet te confusio, et auferеris in æternum.

11. Ex die qua restitisti contra in diebus captivantium alienigenarum fortitudinem ejus, et alieni ingressi sunt in portas ejus, et super Jerusalem miserunt sortes, et tu eras quasi unus ex eis.

12. Et non despicies diem fratris tui in die alienorum, et non lætaberis super filios Juda in die perditionis eorum, et non magna loqueris in die angustiæ,

13. neque ingredieris portas populorum in die laborum eorum, et non despicies etiam tu congregationem eorum in die perditionis eorum, neque simul apponeris fortitudini eorum in die perditionis eorum,

14. neque stabis in egressibus eorum, ut interficias eos qui salvi fuerint ex eis, neque concludes fugitivos ejus in die tribulationis,

15. quia juxta est dies Domini super omnes gentes. Sicut fecisti, sic erit tibi. Retributio tua reddetur in caput tuum.

16 Quia, quomodo bibisti super montem sanctum meum, bibent omnes gentes vinum : bibent et descendent, et erunt quasi non sint.

17. In monte autem Sion erit salvatio, et erit sanctus : et possidebunt domus Jacob eos qui se possederant.

18. Et erit domus Jacob ignis, et domus Joseph flamma, domus autem Esau in stipulam, et succendentur in eos, et devorabunt illos, et non erit frumentarius domui Esau, quia Dominus locutus est.

19. Et possidebunt qui in Nageb montem Esau, et qui in Sephela alienigenas. Et possidebunt montem Ephraim, et campum Samariæ, et Benjamin, et Galaaditin.

20. Et transmigrationis principium istud filiis Israel,

Ἰσραὴλ, γῆ τῶν Χαναναίων ἕως Σαρεπτῶν, καὶ ἡ μετοικεσία Ἱερουσαλὴμ ἕως Ἐφραθά. Κληρονομήσουσι τὰς πόλεις τοῦ Ναγέβ·

21. καὶ ἀναβήσονται ἀνασωζόμενοι ἐξ ὄρους Σιὼν, τοῦ ἐκδικῆσαι τὸ ὄρος Ἡσαῦ, καὶ ἔσται τῷ Κυρίῳ ἡ βασιλεία.

terra Chananæorum usque Sareptam, et transmigratio Jerusalem usque Ephratha. Possidebunt civitates Nageb:

21. et ascendent qui salvi fuerint de monte Sion, ut puniant montem Esau, et erit Domino regnum.

ΙΩΝΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ, λέγων.
2. Ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρὸς μέ.
3. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου, καὶ κατέβη εἰς Ἰόππην, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτὸ, τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου.
4. Καὶ Κύριος ἐξήγειρε πνεῦμα ἐπὶ τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι.
5. Καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ, καὶ ἀνεβόησαν ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε, καὶ ἔρεγχε.
6. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς, καὶ εἶπεν αὐτῷ· Τί σὺ ῥέγχεις; Ἀνάστα, καὶ ἐπικαλοῦ τὸν θεόν σου, ὅπως διασώσῃ ὁ Θεὸς ἡμᾶς, καὶ οὐ μὴ ἀπολώμεθα.
7. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Δεῦτε, βάλωμεν κλήρους, καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν. Καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν.
8. Καὶ εἶπον πρὸς αὐτόν· Ἀπάγγειλον ἡμῖν τίς σου ἡ ἐργασία ἐστὶ, καὶ πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ;
9. Καὶ εἶπε πρὸς αὐτούς· Δοῦλος Κυρίου εἰμὶ ἐγὼ, καὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν.
10. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπαν πρὸς αὐτόν· Τί τοῦτο ἐποίησας; Διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς.
11. Καὶ εἶπαν πρὸς αὐτόν· Τί ποιήσομέν σοι, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; Ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα.
12. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Ἄρατέ με, καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν. Διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι.
13. Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς.

JONAS.

CAPUT I.

1. Et factum est verbum Domini ad Jonam filium Amathi, dicens:
2. Surge, et vade in Ninevem civitatem magnam, et prædica in ea, quia ascendit clamor malitiæ ejus ad me.
3. Et surrexit Jonas ut fugeret in Tharsis a facie Domini, et descendit in Joppen, et invenit navem euntem in Tharsis, deditque naulum suum, et ascendit in eam, ut navigaret cum eis in Tharsis a facie Domini.
4. Et Dominus suscitavit spiritum in mare, et facta est tempestas magna in mari, et navis periclitabatur conteri.
5. Et timuerunt nautæ, et clamaverunt unusquisque ad deum suum, et jactum fecerunt vasorum quæ erant in navi in mare, ut allevaretur ab eis. Jonas autem descendit in ventrem navis, et dormiebat, et stertebat.
6. Et accessit ad eum proreta, et dixit ei: Quid tu stertis? Surge, et invoca deum tuum, ut salvos faciat nos Deus, et non pereamus.
7. Et dixit unusquisque ad proximum suum: Venite, mittamus sortes, et cognoscamus cujus gratia malitia hæc est super nos. Et miserunt sortes, et cecidit sors super Jonam.
8. Et dixerunt ad eum: Annuntia nobis quod est opus tuum, et unde venis, et ex qua regione, et ex quo populo es tu?
9. Et dixit ad eos: Servus Domini ego sum, et Dominum Deum cœli ego colo, qui fecit mare et aridam.
10. Et timuerunt viri timore magno, et dixerunt ad eum: Quid hoc fecisti? Cognoverunt enim viri quod a facie Dei fugeret, eo quod indicasset eis.
11. Et dixerunt ad eum: Quid tibi faciemus, et quiescet mare a nobis? Quia mare ibat et suscitabat magis fluctum.
12. Et dixit Jonas ad eos: Tollite me, et mittite me in mare, et quiescet mare a vobis. Ego enim novi quod propter me fluctus isti magni contra vos sunt.
13. Et conabantur viri ut reverterentur ad terram, et non poterant, quia mare ibat, et insurgebat magis contra eos.

14. Καὶ ἀνεβόησαν πρὸς Κύριον, καὶ εἶπαν· Μηδαμῶς, Κύριε· μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σὺ, Κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας.

15. Καὶ ἔλαβον τὸν Ἰωνᾶν, καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς.

16. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον, καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ, καὶ ηὔξαντο τὰς εὐχάς.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ προςέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

2. Καὶ προςηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους,

3. καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰςήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου,

4. ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με, πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

5. Καὶ ἐγὼ εἶπα· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;

6. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου

7. εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω φθορὰ ζωῆς μου, Κύριε ὁ Θεός μου.

8. Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν τὸν ἅγιόν σου.

9. Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεος αὐτῶν ἐγκατέλιπον·

10. ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίου τῷ Κυρίῳ.

11. Καὶ προσετάγη ἀπὸ Κυρίου τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου, λέγων·

2. Ἀνάστηθι, πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σέ.

3. Καὶ ἀνέστη Ἰωνᾶς, καὶ ἐπορεύθη εἰς Νινευὴ, καθὰ ἐλάλησε Κύριος. Ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡςεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν.

4. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰςελθεῖν εἰς τὴν πόλιν, ὡςεὶ πορείαν ἡμέρας μιᾶς· καὶ ἐκήρυξε, καὶ εἶπεν· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται.

5. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν.

6. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευὴ, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλατο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ.

14. Et clamaverunt ad Dominum, et dixerunt : Nequaquam, Domine : ne pereamus propter animam viri hujus, et non des super nos sanguinem justum : tu enim, Domine, sicut voluisti fecisti.

15. Et tulerunt Jonam, et miserunt eum in mare, et stetit mare a commotione sua.

16. Et timuerunt viri timore magno Dominum, et immolaverunt hostiam Domino, et voverunt vota.

CAPUT II.

1. et præcepit Dominus ceto magno devorare Jonam : Et erat Jonas in ventre ceti tribus diebus et tribus noctibus.

2. Et oravit Jonas ad Dominum Deum suum de utero piscis,

3. et dixit : Clamavi in tribulatione mea ad Dominum Deum meum, et exaudivit me : de ventre inferi clamoris mei, audisti vocem meam,

4. projecisti me in profunda cordis maris, et flumina me circumdederunt, omnes elevationes tuæ et fluctus tui super me transierunt.

5. Et ego dixi : Abjectus sum ex oculis tuis : putasne addam ut videam templum sanctum tuum?

6. Circumfusa est mihi aqua usque ad animam, abyssus vallavit me novissima, intravit caput meum

7. in scissuras montium, descendi in terram cujus vectes ejus sunt retinacula sempiterna. Et ascendat corruptio vitæ meæ, Domine Deus meus.

8. Cum deficeret ex me anima mea, Domini recordatus sum, et veniat ad te oratio mea in templum sanctum tuum.

9. Qui custodiunt vana et mendacia misericordiam suam reliquerunt :

10. ego autem cum voce laudis et confessionis immolabo tibi, quæcumque vovi reddam tibi salutaris Domino.

11. Et a Domino præceptum est ceto, et ejecit Jonam super siccam.

CAPUT III.

1. Et factus est sermo Domini ad Jonam secundo, dicens :

2. Surge, vade in Nineven civitatem magnam, et prædica in ea juxta prædicationem priorem quam ego locutus sum ad te.

3. Et surrexit Jonas, et abiit in Nineven, sicut ei locutus fuerat Dominus. Erat autem Nineve civitas magna Deo, quasi itinere viæ dierum trium.

4. Et cœpit Jonas ingredi in civitatem, quasi itinere diei unius : et prædicavit, et dixit : Adhuc tres dies, et Nineve subvertetur.

5. Et crediderunt viri Nineve Deo, et prædicaverunt jejunium, et vestiti sunt saccis a magno eorum usque ad parvum eorum.

6. Et appropinquavit sermo ad regem Nineve, et surrexit de throno suo, et abstulit stolam suam a se, et coopertus est sacco, et sedit in cinere.

7. Καὶ ἐκηρύχθη καὶ ἐῤῥέθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ, λέγων· Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲ νεμέσθωσαν, μηδὲ ὕδωρ πιέτωσαν.

8. Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς. Καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, λέγοντες·

9. Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα;

10. Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν· καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε.

7. Et prædicatum est et dictum est in Nineve a rege et a magnatibus ejus, dicendo : Homines et jumenta et boves et oves non gustent quicquam nec pascantur, et aquam non bibant.

8. Et cooperti sunt saccis homines et jumenta, et clamaverunt ad Deum vehementer. Et reversi sunt unusquisque de via sua mala, et ab iniquitate quæ erat in manibus eorum, dicentes :

9. Quis scit si pœniteat Deum, et avertatur ab ira furoris sui, et non pereamus?

10. Et vidit Deus opera eorum, quoniam reversi sunt de viis suis malis : et egit pœnitentiam Deus super malitia quam locutus fuerat ut faceret eis, et non fecit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη,

2. καὶ προςηύξατο πρὸς Κύριον, καὶ εἶπεν· Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσὶς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις.

3. Καὶ νῦν, δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ ζῆν με.

4. Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σύ;

5. Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως· καὶ ἐποίησεν αὐτῷ ἐκεῖ σκηνὴν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει.

6. Καὶ προςέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ, τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. Καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην.

7. Καὶ προςέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολόκυνθαν, καὶ ἀπεξηράνθη.

8. Καὶ ἐγένετο, ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προςέταξεν ὁ Θεὸς πνεύματι καύσωνι, συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ, καὶ ὠλιγοψύχησε, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε· Καλόν μοι ἀποθανεῖν με ἢ ζῆν.

9. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; Καὶ εἶπε· Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου.

10. Καὶ εἶπε Κύριος· Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτὴν, καὶ οὐδὲ ἐξέθρεψας αὐτὴν, ἣ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο·

11. ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

CAPUT IV.

1. Et contristatus est Jonas tristitia magna, et confusus est,

2. oravitque ad Dominum, et ait : O Domine, nonne isti sunt sermones mei, cum adhuc essem in terra mea? Propterea præoccupavi fugere in Tharsis, quia sciebam quod tu misericors et miserator, patiens et multæ miserationis, et agens pœnitentiam super malitiis.

3. Et nunc, dominator Domine, tolle animam meam a me, quia melius est mihi mori quam vivere.

4. Et dixit Dominus ad Jonam : Si vehementer contristatus es tu?

5. Et egressus est Jonas de civitate, et sedit contra civitatem : et fecit sibi tabernaculum ibi, et sedebat subter illud, donec videret quid esset civitati.

6. Et præcepit Dominus Deus cucurbitæ, et ascendit super caput Jonæ, ut esset umbraculum super caput ejus, ut protegeret eum a suis malis. Lætatusque est Jonas super cucurbita gaudio magno.

7. Et præcepit Deus vermi mane in crastinum, et percussit cucurbitam, et arefacta est.

8. Et factum est, simul atque exortus est sol, et præcepit Deus spiritui ardenti, urenti, et percussit sol super caput Jonæ, et angustiatus est, et tæduit eum animæ suæ, et dixit : Melius est mihi mori quam vivere.

9. Et dixit Deus ad Jonam : Si valde contristatus es tu super cucurbita? Et ait : Valde contristatus sum ego usque ad mortem.

10. Et dixit Dominus : Tu pepercisti super cucurbita, pro qua non laborasti super eam, neque nutristi eam, quæ nata est sub noctem, et sub noctem periit :

11. ego autem non parcam super Nineve civitate magna, in qua habitant plures quam centum viginti millia hominum, qui non noverunt dextram suam et sinistram suam, et pecora multa?

ΝΑΟΥΜ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λῆμμα Νινευὴ, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου.

2. Θεὸς ζηλωτὴς, καὶ ἐκδικῶν Κύριος, ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν Κύριος τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ.

3. Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ἀθῷον οὐκ ἀθωώσει Κύριος. Ἐν συντελείᾳ, καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ, καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ.

4. Ἀπειλῶν θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. Ὠλιγώθη ἡ Βασανῖτις, καὶ ὁ Κάρμηλος, καὶ τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε.

5. Τὰ ὄρη ἐσείσθησαν ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν· καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

6. Ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; Ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς, καὶ αἱ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ.

7. Χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν.

8. Καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται· τοὺς ἐπεγειρομένους καὶ τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος.

9. Τί λογίζεσθε ἐπὶ τὸν Κύριον; Συντέλειαν αὐτὸς ποιήσεται, οὐκ ἐκδικήσει δὶς ἐπιτοαυτὸ ἐν θλίψει.

10. Ὅτι ἕως θεμελίου αὐτοῦ χερσωθήσεται, καὶ ὡς σμίλαξ περιπλεκομένη βρωθήσεται, καὶ ὡς καλάμη ξηρασίας μεστή.

11. Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ Κυρίου, πονηρὰ, βουλευόμενος ἐναντία.

12. Τάδε λέγει Κύριος κατάρχων ὑδάτων πολλῶν, καὶ οὕτως διασταλήσονται, καὶ ἡ ἀκοή σου οὐκ ἐνακουσθήσεται ἔτι.

13. Καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμοὺς διαῤῥήξω.

14. Καὶ ἐντελεῖται περὶ σοῦ Κύριος, οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι· ἐξ οἴκου Θεοῦ σου ἐξολοθρεύσω τὰ γλυπτὰ καὶ χωνευτὰ, θήσομαι ταφήν σου, ὅτι ταχεῖς·

15. ἰδοὺ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου, καὶ ἀπαγγέλλοντος εἰρήνην. Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τὰς εὐχάς σου, διότι οὐ μὴ προσθήσωσιν ἔτι τοῦ διελθεῖν διὰ σοῦ εἰς παλαίωσιν. Συντετέλεσται ἐξῆρται,

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. ἀνέβη ἐμφυσῶν εἰς πρόσωπόν σου, ἐξαιρούμενος ἐκ θλίψεως. Σκόπευσον ὁδὸν, κράτησον ὀσφύος, ἄνδρισαι τῇ ἰσχύϊ σφόδρα·

2. διότι ἀπέστρεψε Κύριος τὴν ὕβριν Ἰακὼβ καθὼς

NAUM.

CAPUT I.

1. Assumptio Nineve, libri visionis Naum Elcesæi.

2. Deus æmulator, et ulciscens Dominus, ulciscens Dominus cum furore, ulciscens Dominus adversarios suos, et tollens ipse inimicos suos.

3. Dominus longanimis, et magna fortitudo ejus, et innocentem non faciet innocentem Dominus. In consummatione, et in commotione via ejus, et nubes pulvis pedum ejus.

4. Increpans mare, et exsiccans illud, et omnia flumina ad desertum perducens. Imminuta est Basanitis, et Carmelus, et quæ florebant Libani defecerunt.

5. Montes commoti sunt ab eo, et colles concussi sunt : et contracta est terra a facie ejus universa, et omnes qui habitant in ea.

6. A facie iræ ejus quis sustinebit? et quis resistet in ira furoris ejus? Furor ejus consumit principatus, et petræ contritæ sunt ab eo.

7. Suavis Dominus exspectantibus eum in die tribulationis, et cognoscens timentes se.

8. Et in diluvio transeunte consummationem faciet : consurgentes et inimicos ejus persequentur tenebræ.

9. Quid cogitatis contra Dominum? Consummationem ipse faciet, non vindicabit bis in idipsum in tribulatione.

10. Quia usque ad fundamentum suum redigetur in vepres, et quasi volvola circumdata comedetur, et quasi stipula ariditate plena.

11. Ex te exibit cogitatio contra Dominum, pessima, cogitans contraria.

12. Hæc dicit Dominus imperans aquis multis, et sic dividentur, et auditus tuus non audietur amplius.

13. Et nunc conteram virgam ejus a te, et vincula disrumpam.

14. Et præcipiet de te Dominus, non seminabitur ex nomine tuo amplius : de domo Dei tui disperdam sculptilia et conflatilia, ponam sepulcrum tuum, quia veloces :

15. ecce super montes pedes evangelizantis, et annuntiantis pacem. Celebra, Juda, festivitates tuas, redde vota tua, quia nequaquam apponent ultra transire per te in vetustatem. Consummatus est, sublatus est,

CAPUT II.

1. ascendit insufflans in faciem tuam, eruens de tribulatione. Contemplare viam, tene lumbum, confortare robore valde :

2. quoniam avertit Dominus contumeliam Jacob sicut

ὕβριν τοῦ Ἰσραὴλ, διότι ἐκτινάσσοντες ἐξετίναξαν αὐτοὺς, καὶ τὰ κλήματα αὐτῶν διέφθειραν.

3. Ὅπλα δυναστείας αὐτῶν ἐξ ἀνθρώπων, ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί· αἱ ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς θορυβηθήσονται

4. ἐν ταῖς ὁδοῖς, καὶ συγχυθήσονται τὰ ἅρματα, καὶ συμπλακήσονται ἐν ταῖς πλατείαις. Ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς, καὶ ὡς ἀστραπαὶ διατρέχουσαι.

5. Καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ φεύξονται ἡμέρας, καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν.

6. Πύλαι τῶν πόλεων διηνοίχθησαν, καὶ τὰ βασίλεια διέπεσε,

7. καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη, καὶ αὕτη ἀνέβαινε. Καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο, καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐτῶν.

8. Καὶ Νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες οὐχ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων.

9. Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς· βεβάρυνται ἐπὶ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτῆς.

10. Ἐκτιναγμὸς, καὶ ἀνατιναγμὸς, καὶ ἐκβρασμὸς, καὶ καρδίας θραυσμὸς, καὶ ὑπόλυσις γονάτων, καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφύν· καὶ τὸ πρόσωπον πάντων ὡς πρόσκαυμα χύτρας.

11. Ποῦ ἐστι τὸ κατοικητήριον τῶν λεόντων, καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις; Ποῦ ἐπορεύθη λέων, τοῦ εἰσελθεῖν ἐκεῖ σκύμνον λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν;

12. Λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς.

13. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται ῥομφαία, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ οὐκέτι τὰ ἔργα σου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ὦ πόλις αἱμάτων, ὅλη ψευδὴς, ἀδικίας πλήρης, οὐ ψηλαφηθήσεται θήρα.

2. Φωνὴ μαστίγων, καὶ φωνὴ σεισμοῦ τροχῶν, καὶ ἵππου διώκοντος, καὶ ἅρματος ἀναβράσσοντος, καὶ ἱππέως ἀναβαίνοντος,

3. καὶ στιλβούσης ῥομφαίας, καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως· καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς, καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἀπὸ πλήθους πορνείας.

4. Πόρνη καλὴ καὶ ἐπίχαρις, ἡγουμένη φαρμάκων, ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ λαοὺς ἐν τοῖς φαρμάκοις αὐτῆς.

5. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου, καὶ βασιλείαις τὴν ἀτιμίαν σου.

6. Καὶ ἐπιῤῥίψω ἐπὶ σὲ βδελυγμὸν κατὰ τὰς ἀκαθαρσίας σου, καὶ θήσομαί σε εἰς παράδειγμα.

contumeliam Israel, quia excutientes excusserunt eos, et propagines eorum corruperunt.

3. Arma potentiæ eorum ex hominibus, viros fortes illudentes in igne : habenæ curruum eorum in die præparationis ejus, et equites timebunt

4. in viis, et confundentur currus, et collidentur in plateis. Aspectus eorum quasi lampades ignis, et quasi fulgura discurrentia.

5. Et commemorabuntur optimates eorum, et fugient die, et infirmabuntur in itinere suo, et festinabunt ad muros ejus, et præparabunt propugnacula sua.

6. Portæ civitatum apertæ sunt, et regalia conciderunt,

7. et substantia revelata est, et ipsa ascendebat. Et ancillæ ejus ducebantur, sicut columbæ loquentes in cordibus suis.

8. Et Nineve sicut piscina aquæ aquæ ejus, et ipsi fugientes non steterunt, et non erat qui respiceret.

9. Diripiebant argentum, diripiebant aurum, et non erat finis ornamenti ejus : aggravati sunt super omnia vasa desiderabilia ejus.

10. Excussio, et rediscussio, et ebullitio, et cordis confractio, et dissolutio genuum, et dolores super omnem lumbum : et facies omnium sicut adustio ollæ.

11. Ubi est habitaculum leonum, et pascua quæ erat catulis leonum? Quo ivit leo, ut ingrederetur illuc catulus leonis, et non est qui exterreat?

12. Leo rapuit sufficientia catulis suis, et suffocavit leonibus suis, et implevit præda nidum suum, et habitaculum suum rapina.

13. Ecce ego ad te, dicit Dominus omnipotens, et succendam in fumo multitudinem tuam, et leones tuos comedet gladius, et auferam de terra prædam tuam, et non audientur ultra opera tua.

CAPUT III.

1. O civitas sanguinum, tota mendax, iniquitate plena, non contrectabitur venatio.

2. Vox flagellorum, et vox commotionis rotarum, et equi persequentis, et currus ferventis, et equitis ascendentis,

3. et splendentis gladii, et fulgentium armorum, et multitudinis vulneratorum et gravis ruinæ : et non fuit finis gentibus ejus, et infirmabuntur in corporibus suis a multitudine fornicationis.

4. Meretrix speciosa et grata, dux maleficiorum, quæ vendit gentes in fornicatione sua, et populos in maleficiis suis.

5. Ecce ego ad te, dicit Dominus Deus omnipotens, et discooperiam posteriora tua super faciem tuam, et ostendam gentibus confusioem tuam; et regnis ignominiam tuam,

6. Et projiciam super te abominationem secundum immunditias tuas, et ponam te in exemplum.

7. Καὶ ἔσται, πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ, καὶ ἐρεῖ· Δειλαία Νινευὴ, τίς στενάξει αὐτήν; Πόθεν ζητήσω παράκλησιν αὐτῇ;

8. Ἑτοιμάσαι μερίδα, ἁρμόσαι χορδὴν, ἑτοιμάσαι μερίδα Ἀμμών· ἡ κατοικοῦσα ἐν ποταμοῖς, ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ θάλασσα, καὶ ὕδωρ τὰ τείχη αὐτῆς,

9. καὶ Αἰθιοπία ἰσχὺς αὐτῆς, καὶ Αἴγυπτος, καὶ οὐκ ἔστη πέρας τῆς φυγῆς. Καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς·

10. καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν ἐπ' ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσι κλήρους· καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις.

11. Καὶ σὺ μεθυσθήσῃ, καὶ ἔσῃ ὑπερεωραμένη, καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν.

12. Πάντα τὰ ὀχυρώματά σου συκαῖ σκοποὺς ἔχουσαι· ἐὰν σαλευθῶσι, πεσοῦνται εἰς στόμα ἔσθοντος.

13. Ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καταφάγεται πῦρ τοὺς μοχλούς σου.

14. Ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ, καὶ κατακράτησον τῶν ὀχυρωμάτων σου· ἔμβηθι εἰς πηλὸν, καὶ συμπατήθητι ἐν ἀχύροις, κατακράτησον ὑπὲρ πλίνθον.

15. Ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε ῥομφαία, καταφάγεταί σε ὡς ἀκρὶς, καὶ βαρυνθήσῃ ὡς βροῦχος.

16. Ἐπλήθυνας τὰς ἐμπορίας σου ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ· βροῦχος ὥρμησε, καὶ ἐξεπετάσθη.

17. Ἐξήλατο ὡς ἀττέλεβος ὁ συμμικτός σου, ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγους. Ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτῆς. Οὐαὶ αὐτοῖς.

18. Ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύριος ἐκοίμισε τοὺς δυνάστας σου, ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος.

19. Οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου, ἐφλέγμανεν ἡ πληγή σου, πάντες οἱ ἀκούοντες τὴν ἀγγελίαν σου κροτήσουσι χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διαπαντός;

7. Et erit, omnis qui viderit te descendet a te, et dicet : Misera Nineve, quis gemet eam? Unde quæram consolationem illi?

8. Parare partem, aptare chordam, parare partem Ammon : quæ habitas fluminibus, aqua in circuitu ejus, cujus principium mare est, et aqua muri ejus,

9. et Æthiopia fortitudo ejus, et Ægyptus, et non stetit finis fugæ. Et Libyes facti sunt auxiliatores illius :

10. et ipsa in transmigrationem ibit captiva, et parvuli ejus allident in principiis omnium viarum ejus, et super omnia inclyta ejus mittent sortes : et universi optimates ejus alligabuntur compedibus.

11. Et tu inebriaberis, et eris despecta, et tu quæres tibi stationem ab inimicis.

12. Omnes munitiones tuæ ficus quæ scopos habent : si commotæ fuerint, cadent in os comedentis.

13. Ecce populus tuus quasi mulieres in te : inimicis tuis aperiendo aperientur portæ terræ tuæ, comedet ignis vectes tuos.

14. Aquam obsidionis hauri tibi, et obtine munitiones tuas : ingredere in lutum, et conculcare in paleis, obtine super laterem.

15. Ibi comedet te ignis, disperdet te gladius, comedet te quasi locusta, et aggravaberis quasi bruchus.

16. Multiplicasti negotiationes tuas super stellas cœli : bruchus irruit, et evolavit.

17. Exsiliit quasi attelabus commistus tuus, sicut locusta quæ ascendit super sepem in die gelus. Sol ortus est, et exsilivit, et non cognovit locum suum. Væ ipsis!

18. Dormitaverunt pastores tui, rex Assyrius consopivit fortes tuos, abiit populus tuus super montes, et non erat qui susciperet.

19. Non est sanatio contritioni tuæ, intumuit plaga tua, omnes qui audierint nuntium tuum plaudent manibus super te : quia super quem non supervenit malitia tua semper!

ΑΜΒΑΚΟΥΜ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Τὸ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης.

2. Ἕως τίνος, Κύριε, κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσεις; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις;

3. Ἱνατί ἔδειξάς μοι κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει.

4. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα διεστραμμένον.

AMBACUM.

CAPUT I.

1. Assumptio quam vidit Ambacum propheta.

2. Usquequo, Domine, clamabo, et non exaudies? vociferabor ad te vim patiens, et non salvabis?

3. Quare mihi ostendisti labores et dolores, videre miseriam et impietatem? Contra me factum est judicium, et judex accipit.

4. Propterea lacerata est lex, et non pervenit ad finem judicium, quia impius prævalet adversus justum : propterea egredietur judicium perversum.

5. Ἴδετε, οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε· διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται.

6. Διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς Χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχινὸν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ.

7. Φοβερὸς καὶ ἐπιφανής ἐστιν, ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται.

8. Καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας. Καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ, καὶ ὁρμήσουσι μακρόθεν, καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν.

9. Συντέλεια εἰς ἀσεβεῖς ἥξει, ἀνθεστηκότας προσώποις αὐτῶν ἐξεναντίας, καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν.

10. Καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει, καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα, καὶ κρατήσει αὐτοῦ.

11. Τότε μεταβαλεῖ τὸ πνεῦμα, καὶ διελεύσεται, καὶ ἐξιλάσεται· αὕτη ἡ ἰσχὺς τῷ Θεῷ μου.

12. Οὐχὶ σὺ ἀπ' ἀρχῆς, Κύριε ὁ Θεὸς ὁ ἅγιός μου; καὶ οὐ μὴ ἀποθάνωμεν; Κύριε, εἰς κρῖμα τέταχας αὐτὸ, καὶ ἔπλασέ με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ.

13. Καθαρὸς ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους ὀδύνης. Ἱνατί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον;

14. Καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ τὰ οὐκ ἔχοντα ἡγούμενον;

15. Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε, καὶ εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ, καὶ συνήγαγεν αὐτὸν ἐν ταῖς σαγήναις αὐτοῦ. Ἕνεκεν τούτου εὐφρανθήσεται, καὶ χαρήσεται ἡ καρδία αὐτοῦ.

16. Ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ, καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανε μερίδα αὐτοῦ, καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά.

17. Διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διαπαντὸς ἀποκτέννειν ἔθνη οὐ φείσεται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου.

2. Καὶ ἀπεκρίθη πρὸς μὲ Κύριος, καὶ εἶπε· Γράψον ὅρασιν, καὶ σαφῶς εἰς πυξίον, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά·

3. διότι ἔτι ὅρασις εἰς καιρὸν, καὶ ἀνατελεῖ εἰς πέρας, καὶ οὐκ εἰς κενόν. Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτὸν, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ.

4. Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται.

5. Ὁ δὲ κατοιόμενος, καὶ καταφρονητὴς, ἀνὴρ ἀλαζὼν, οὐθὲν μὴ περάνῃ· ὃς ἐπλάτυνε καθὼς ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ οὗτος ὡς θάνατος οὐκ ἐμπιπλάμενος, καὶ ἐπισυνάξει ἐπ' αὐτὸν πάντα τὰ ἔθνη, καὶ εἰσδέξεται πρὸς αὐτὸν πάντας τοὺς λαούς.

5. Videte, contemptores, et respicite, et admiramini mirabilia, et disperdimini : quia opus ego operor in diebus vestris quod non credetis, si quis narraverit.

6. Quia ecce ego suscito Chaldæos, gentem amaram et velocem, quæ ambulat super latitudines terræ, ut possideat tabernacula non sua.

7. Terribilis et illustris est, ex ipsa judicium ejus erit, et assumptio ejus ex se egredietur.

8. Et exsilient super pardos equi ejus, et velociores lupis Arabiæ. Et equitabunt equites ejus, et impetu venient de longinquo, et volabunt quasi aquila prompta ad comedendum.

9. Consummatio in impios veniet, resistentes faciebus ipsorum ex adverso, et congregabit quasi arenam captivitatem.

10. Et ipse in regibus delectabitur, et tyranni ludibria ejus, et ipse in omnem munitionem illudet, et mittet aggerem, et obtinebit eam.

11. Tunc mutabit spiritum, et pertransiet, et propitiabitur : hæc est fortitudo Deo meo.

12. Nonne tu a principio, Domine Deus sancte meus? et non moriemur? Domine, in judicium posuisti ipsam, et plasmavit me ut arguam disciplinam ejus.

13. Mundus oculus ne videat mala, et aspiciat super labores doloris. Quare aspicis super contemptores? tacebis dum impius devorat justum?

14. Et facies homines quasi pisces maris, et quasi reptilia non habentia ducem?

15. Consummationem in hamo sublevavit, et attraxit eum in reti, et congregavit eum in sagenis suis. Propter hoc lætabitur, et gaudebit cor ejus.

16. Propterea immolabit sagenæ suæ, et incendet reti suo, quia in ipsis incrassavit partem suam, et escæ ejus electæ.

17. Propterea expandet rete suum, et semper interficere gentes non parcet.

CAPUT II.

1. Super custodiam meam stabo, et ascendam super petram, et contemplabor ut videam quid loquatur in me, et quid respondeam ad correptionem meam.

2. Et respondit ad me Dominus, et dixit : Scribe visionem, et manifeste in buxum, ut persequatur qui legit ea :

3. quia adhuc visio in tempus, et orietur in finem, et non in vacuum. Si defecerit, sustine eum, quia veniens veniet, et non tardabit.

4. Si retraxerit se, non placet animæ meæ in eo : justus autem ex fide mea vivet.

5. Qui autem arrogans est, et contemptor, vir superbus, nihil perducet ad finem : qui dilatavit sicut infernus animam suam, et iste quasi mors non adimplebitur, et congregabit ad se omnes gentes, et accipiet ad se omnes populos.

6. Οὐχὶ ταῦτα πάντα κατ' αὐτοῦ παραβολὴν λήψονται, καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ; Καὶ ἐροῦσιν· Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ ἕως τίνος, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς.

7. Ὅτι ἐξαίφνης ἀναστήσονται δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς.

8. Διότι ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί πάντες οἱ ὑπολελειμμένοι λαοὶ, δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς καὶ πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν.

9. Ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τοῦ τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ, τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν.

10. Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου, συνεπέρανας πολλοὺς λαοὺς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου.

11. Διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά.

12. Οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι, καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις.

13. Οὐ ταῦτά ἐστι παρὰ Κυρίου παντοκράτορος; Καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν πυρὶ, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν

14. Ὅτι ἐμπλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν Κυρίου, ὡς ὕδωρ κατακαλύψει αὐτούς.

15. Ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ, καὶ μεθύσκων ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν·

16. πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σύ· καρδία σαλεύθητι καὶ σείσθητι· ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς Κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου.

17. Διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε, δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς καὶ πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν.

18. Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; Ἔπλασεν αὐτὸ χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ, τοῦ ποιῆσαι εἴδωλα κωφά.

19. Οὐαὶ ὁ λέγων τῷ ξύλῳ· Ἔκνηψον, ἐξεγέρθητι, καὶ τῷ λίθῳ· Ὑψώθητι· καὶ αὐτό ἐστι φαντασία· τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ.

20. Ὁ δὲ Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΡΟΣΕΥΧΗ ΑΜΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ

ΜΕΤΑ ᾨΔΗΣ.

1. Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην·

2. κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ. Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ.

3. Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους Φαρὰν κατασκίου δασέος. Διάψαλμα. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

6. Nonne universa hæc adversum eum parabolam sument, et propositionem ad narrationem ejus? Et dicent : Væ qui multiplicat sibi quæ non sunt sua usquequo, et aggravat torquem suam graviter !

7. Quia subito consurgent mordentes eum, et vigilabunt insidiatores tui, et eris in rapinam illis.

8. Quia expoliasti gentes multas, exspoliabunt omnes reliqui populi, propter sanguines hominum, et impietates terræ et civitatis, et omnium habitatorum ejus.

9. O qui multiplicat avaritiam malam domui suæ, ut ponat in excelso nidum suum, ut eruatur de manu malorum.

10. Cogitasti confusionem domui tuæ, consumpsisti populos multos, et peccavit anima tua.

11. Propter quod lapis de pariete clamabit, et scarabeus de ligno loquetur ea.

12. Væ qui ædificat civitatem in sanguinibus, et præparat urbem in iniquitatibus !

13. Non hæc sunt a Domino omnipotente? Et defecerunt populi multi in igne, et gentes multæ coangustatæ sunt.

14. Quia replebitur terra ut cognoscat gloriam Domini, quasi aqua operiet eos.

15. O qui propinat proximo suo subversionem turbidam, et inebriat ut aspiciat in speluncas eorum :

16. saturitatem ignominiæ de gloria bibe et tu : cor commovere, et concutere : circumdedit te calix dexteræ Domini, et congregata est ignominia super gloriam tuam.

17. Quia impietas Libani operiet te, et miseria bestiarum terrebit te, propter sanguines hominum, et impietates terræ et civitatis, et omnium habitantium in ea.

18. Quid prodest sculptile, quia sculpserunt illud? Formavit illud conflatile, imaginem falsam, quia confidit fictor in figmento suo, ut faciat idola muta.

19. Væ qui dicit ligno : Evigila, exsurge, et lapidi : Elevare : et ipsum est imago : istud vero est productio auri et argenti, et omnis spiritus non est in eo.

20. Dominus autem in templo sancto suo, revereatur a facie ejus omnis terra.

CAPUT III.

ORATIO AMBACUM PROPHETÆ

CUM CANTICO.

1. Domine, audivi auditum tuum, et timui :

2. consideravi opera tua, et obstupui. In medio duorum animalium cognosceris, cum appropinquaverint anni cognosceris. Cum advenerit tempus demonstraberis : cum turbata fuerit anima mea in ira, misericordiæ recordaberis.

3. Deus a Thæman veniet, et sanctus de monte Pharan umbroso condenso. *Diapsalma.* Operuit cœlos virtus ejus, et laudis ejus plena est terra.

4. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. Κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

5. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία· κατὰ πόδας αὐτοῦ

6. ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. Ἐπέβλεψε, καὶ διετάκη ἔθνη. Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι πορείας αἰωνίας αὐτοῦ.

7. Ἀντὶ κόπων εἶδον σκηνώματα Αἰθιόπων, πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ.

8. Μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε; ἢ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.

9. Ἐντείνων ἐνέτεινας τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος. Διάψαλμα. Ποταμῶν ῥαγήσεται γῆ,

10. ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί· σκορπίζων ὕδατα πορείας, ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

11. Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

12. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

13. Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τὸν Χριστόν σου. Βαλεῖς εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου. Διάψαλμα.

14. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυνάστων, σεισθήσονται ἐν αὐτῇ· διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ἔσθων πτωχὸς λάθρα.

15. Καὶ ἐπιβιβᾷς εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδωρ πολύ.

16. Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ κοιλία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθεν μου ἐταράχθη ἡ ἕξις μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως, τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου.

17. Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις· ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. Ἐξέλιπεν ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτναις.

18. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

19. Κύριος ὁ Θεὸς δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

4. Et splendor ejus quasi lux erit. Cornua in manibus ejus, et posuit dilectionem robustam fortitudinis suæ.

5. Ante faciem ejus ibit verbum, et egredietur in campos: ad pedes ejus

6. stetit, et commota est terra. Aspexit, et distabuerunt gentes. Contriti sunt montes violentia, tabuerunt colles sempiterni itineris sempiterni ejus.

7. Pro laboribus vidi tabernacula Æthiopum, pavebunt et tabernacula terræ Madiam.

8. Numquid in fluminibus iratus es, Domine? aut in fluminibus furor tuus? vel in mari impetus tuus? Quia ascendes super equos tuos, et equitatio tua salus.

9. Intendens intendisti arcum tuum super sceptra, dicit Dominus. *Diapsalma.* Fluviorum scindetur terra,

10. Videbunt te, et dolebunt (*sive* parturient) populi: dispergens aquas itineris, dedit abyssus vocem suam, altitudo phantasiæ ejus.

11. Elevatus est sol, et luna stetit in ordine suo. In luce jacula tua ibunt, in splendore coruscationis armorum tuorum.

12. In comminatione imminues terram, et in furore detrahes gentes.

13. Egressus es in salutem populi tui, ut salvares Christum tuum. Mittes in capita iniquorum mortem, suscitasti vincula usque ad collum. *Diapsalma.*

14. Divisisti in stupore capita potentium, commovebuntur in eo: aperient frænos suos, sicut comedens pauper in absconso.

15. Et superducis in mare equos tuos, conturbantes aquam multam.

16. Custodivi, et extimuit venter meus a voce orationis labiorum meorum, et ingressus est tremor in ossa mea, et subter me conturbata est habitudo mea. Requiescam in die tribulationis, ut ascendam ad populum peregrinationis meæ.

17. Quia ficus non afferet fructum, et non erunt germina in vineis: mentietur opus olivæ, et campi non facient escam. Defecerunt ab esca oves, et non sunt boves in præsepibus.

18. Ego autem in Domino exsultabo, gaudebo super Deo salvatore meo.

19. Dominus Deus fortitudo mea, et ponet pedes meos in consummationem. Super excelsa ascendere facit me, ut vincam in cantico ejus.

ΣΟΦΟΝΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Σοφονίαν τὸν τοῦ Χουσὶ, υἱὸν Γοδολίου, τοῦ Ἀμορίου, τοῦ Ἐζεκίου, ἐν ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼν, βασιλέως Ἰούδα.

2. Ἐκλείψει ἐκλιπέτω ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος·

SOPHONIAS.

CAPUT I.

1. Verbum Domini, quod factum est ad Sophoniam filium Chusi, filium Godoliæ, filii Amoriæ, filii Ezeciæ, in diebus Josiæ filii Amon, regis Juda.

2. Defectione deficiat a facie terræ, dicit Dominus:

3. ἐκλιπέτω ἄνθρωπος καὶ κτήνη, ἐκλιπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προςώπου τῆς γῆς, λέγει Κύριος.

3. deficiat homo et jumenta, deficiant volatilia cœli et pisces maris : et infirmabuntur impii, et auferam iniquos a facie terræ, dicit Dominus.

4. Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδα, καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἱερουσαλὴμ· καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῆς Βάαλ, καὶ τὰ ὀνόματα τῶν ἱερέων,

4. Et extendam manum meam super Judam, et super omnes qui habitant Jerusalem : et auferam de loco hoc nomina ipsius Baal, et nomina sacerdotum,

5. καὶ τοὺς προςκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοὺς προςκυνοῦντας καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ Κυρίου, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ βασιλέως αὐτῶν,

5. et eos qui adorant super tecta militiam cœli, et eos qui adorant et jurant per Dominum, et jurant per regem suum,

6. καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ Κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν Κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ Κυρίου.

6. et eos qui declinant a Domino, et qui non requirunt Dominum, et qui non retinent Dominum.

7. Εὐλαβεῖσθε ἀπὸ προςώπου Κυρίου τοῦ Θεοῦ, διότι ἐγγὺς ἡμέρα τοῦ Κυρίου, ὅτι ἡτοίμακε Κύριος τὴν θυσίαν αὐτοῦ, καὶ ἡγίακε τοὺς κλητοὺς αὐτοῦ.

7. Timete a facie Domini Dei, quia juxta est dies Domini, quia paravit Dominus sacrificium suum, et sanctificavit vocatos suos.

8. Καὶ ἔσται, ἐν ἡμέρᾳ θυσίας Κυρίου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια.

8. Et erit, in die hostiæ Domini, et ulciscar super principes, et super domum regis, et super omnes qui induti sunt vestimentis alienis.

9. Καὶ ἐκδικήσω ἐμφανῶς ἐπὶ τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον Κυρίου Θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου.

9. Et ulciscar manifeste super vestibula in die illa, qui complent domum Domini Dei sui impietate et dolo.

10. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων, καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν.

10. Et erit in illa die, dicit Dominus, vox clamoris de porta compungentium, et ululatus a secunda, et contritio magna a collibus.

11. Θρηνήσατε, οἱ κατοικοῦντες τὴν κατακεκομμένην, ὅτι ὡμοιώθη πᾶς ὁ λαὸς Χαναὰν, καὶ ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ.

11. Plangite, qui habitatis concisam, quia assimilatus est omnis populus Chanaan, et disperierunt omnes qui erecti sunt argento.

12. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν. Οἱ δὲ λέγοντες ἐν ταῖς καρδίαις αὐτῶν· Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος, οὐδὲ μὴ κακώσῃ,

12. Et erit in die illa, scrutabor Jerusalem cum lucerna, et ulciscar super viros qui contemnunt custodias suas. Qui autem dicunt in cordibus suis : Non faciet bene Dominus, et non faciet male,

13. καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγὴν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν. Καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς· καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ οὐ μὴ πίωσι τὸν οἶνον αὐτῶν·

13. et erit fortitudo eorum in rapinam, et domus eorum in dissipationem. Et ædificabunt domos, et non habitabunt in eis : et plantabunt vineas, et non bibent vinum earum :

14. ὅτι ἐγγὺς ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα. Φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται·

14. quia juxta est dies Domini magnus, juxta et velox nimis. Vox diei Domini amara et dura posita est :

15. δυνατὴ ἡμέρα ὀργῆς, ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα γνόφου καὶ σκότους, ἡμέρα νεφέλης καὶ ὁμίχλης,

15. fortis dies iræ, dies illa, dies tribulationis et necessitatis, dies immaturitatis et perditionis, dies caliginis et tenebrarum, dies nubis et nebulæ,

16. ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς.

16. dies tubæ et clamoris super civitates munitas, et super angulos excelsos.

17. Καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύσονται ὡς τυφλοί· ὅτι τῷ Κυρίῳ ἐξήμαρτον. Καὶ ἐκχεεῖ τὸ αἷμα αὐτῶν ὡς χοῦν, καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα·

17. Et tribulabo homines, et ambulabunt ut cæci : quia Domino peccaverunt. Et effundet sanguinem eorum sicut pulverem, et carnes eorum sicut stercora boum :

18. καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς Κυρίου· καὶ ἐν πυρὶ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

18. et argentum eorum et aurum eorum non poterit eruere eos in die iræ Domini : et in igne zeli ejus consumetur omnis terra, consummationem enim et festinationem faciet super omnes habitantes terram.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Συνάχθητε καὶ συνδέθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον,

2. πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν Κυρίου, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν θυμοῦ Κυρίου.

3. Ζητήσατε τὸν Κύριον, πάντες ταπεινοὶ γῆς, κρῖμα ἐργάζεσθε, καὶ δικαιοσύνην ζητήσατε, καὶ ἀποκρίνασθε αὐτὰ, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς Κυρίου.

4. Διότι Γάζα διηρπασμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμὸν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ Ἀκκαρὼν ἐκριζωθήσεται.

5. Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι Κρητῶν. Λόγος Κυρίου ἐφ' ὑμᾶς, Χαναὰν, γῆ ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας.

6. Καὶ ἔσται Κρήτη νομὴ ποιμνίων, καὶ μάνδρα προβάτων.

7. Καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου Ἰούδα, ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις Ἀσκάλωνος, δείλης καταλύσουσιν ἀπὸ προσώπου υἱῶν Ἰούδα, ὅτι ἐπέσκεπται αὐτοὺς Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἀποστρέψει τὴν αἰχμαλωσίαν αὐτῶν.

8. Ἤκουσα ὀνειδισμοὺς Μωὰβ, καὶ κονδυλισμοὺς υἱῶν Ἀμμὼν, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου.

9. Διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει Κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ, διότι Μωὰβ ὡς Σόδομα ἔσται, καὶ υἱοὶ Ἀμμὼν ὡς Γόμοῤῥα, καὶ Δαμασκὸς ἐκλελειμμένη ὡς θιμωνία ἅλωνος, καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα. Καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς.

10. Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν, καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν Κύριον τὸν παντοκράτορα.

11. Ἐπιφανήσεται Κύριος ἐπ' αὐτοὺς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.

12. Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι ῥομφαίας μου ἐστέ.

13. Καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ βοῤῥᾶν, καὶ ἀπολεῖ τὸν Ἀσσύριον, καὶ θήσει τὴν Νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον, ὡς ἔρημον.

14. Καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς ποίμνια, καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται· καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτῆς.

15. Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· Ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι. Πῶς ἐγενήθη εἰς ἀφανισμὸν, νομὴ θηρίων; Πᾶς ὁ διαπορευόμενος δι' αὐτῆς συριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ὦ ἡ ἐπιφανὴς καὶ ἀπολελυτρωμένη πόλις, ἡ περιστερὰ

2. οὐκ εἰσήκουσε φωνῆς· οὐκ ἐδέξατο παιδείαν, ἐπὶ

CAPUT II.

1. Congregamini et colligamini, gens inerudita,

2. antequam sitis sicut flos pertransiens, antequam veniat ira Domini super vos, antequam super vos irruat dies furoris Domini.

3. Quærite Dominum, omnes humiles terræ, judicium operamini, et justitiam quærite, et respondete ea, ut protegamini in die iræ Domini.

4. Quia Gaza direpta erit, et Ascalon in desolationem, et Azotus meridie projicietur, et Accaron eradicabitur.

5. Væ qui habitatis funiculum maris, advenæ Cretensium. Verbum Domini super vos, Chanaan, terra alienigenarum, et perdam vos de habitatione.

6. Et erit Creta pascua gregum, et ovile pecorum.

7. Et erit funiculus maris his qui reliqui sunt de domo Juda, super ipsos pascentur in domibus Ascalonis, ad vesperam divertent a facie filiorum Juda, quia visitat eos Dominus Deus eorum, et avertet captivitatem eorum.

8. Audivi opprobria Moab, et contumelias filiorum Ammon, in quibus exprobrabant populo meo, et magnificabantur super terminos meos.

9. Propterea, vivo ego, dicit Dominus virtutum Deus Israel, quia Moab sicut Sodoma erit, et filii Ammon quasi Gomorrha, et Damascus derelicta quasi acervus areæ, et dissipata usque in sempiternum. Et qui reliqui fuerint de populo meo diripient eos, et residui gentis meæ possidebunt eos.

10. Hæc erit eis pro contumelia sua, quia exprobraverunt, et magnificati sunt super Dominum omnipotentem.

11. Apparebit Dominus super eos, et disperdet omnes deos gentium terræ, et adorabunt eum singuli de loco suo, omnes insulæ gentium.

12. Et vos, Æthiopes, vulnerati estis gladii mei.

13. Et extendet manum suam super aquilonem, et perdet Assyrium, et ponet Ninevem in desolationem inaquosam, quasi desertum.

14. Et pascentur in medio ejus greges, et omnes bestiæ terræ, et chamæleontes et ericii in præsepibus ejus cubabunt : et bestiæ clamabunt in foveis ejus et corvi in portis ejus, quia cedrus altitudo ejus.

15. Hæc est civitas vilipendens, quæ habitat in spe, quæ dicit in corde suo : Ego sum, et non est post me amplius. Quomodo facta est in solitudinem, pascua bestiarum? Omnis qui transit per eam sibilabit, et amovebit manus suas.

CAPUT III.

1. O illustris et redempta civitas, columba

2. non audivit vocem : non suscepit disciplinam, in Do-

τῷ Κυρίῳ οὐκ ἐπεποίθει, καὶ πρὸς τὸν Θεὸν αὐτῆς οὐκ ἤγγισεν.

3. Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι, οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τοπρωΐ.

4. Οἱ προφῆται αὐτῆς πνευματοφόροι, ἄνδρες καταφρονηταί· ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσι νόμον·

5. ὁ δὲ Κύριος δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιήσῃ ἄδικον· πρωῒ πρωῒ δώσει κρῖμα αὐτοῦ εἰς φῶς· καὶ οὐκ ἀπεκρύβη καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νεῖκος ἀδικίαν.

6. Ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν· ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ καράπαν, τοῦ μὴ διοδεύειν· ἐξέλιπον αἱ πόλεις αὐτῶν, παρὰ τὸ μηδένα ὑπάρχειν, μηδὲ κατοικεῖν.

7. Εἶπα· πλὴν φοβεῖσθέ με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. Ἑτοιμάζου, ὄρθρισον· ἔφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν.

8. Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον· διὸ τὸ κρῖμα μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου· διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ·

9. ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα.

10. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι ἐν διεσπαρμένοις μου, οἴσουσι θυσίας μοι.

11. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκ ἔτι μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου.

12. Καὶ ὑπολήψομαι ἐν σοὶ λαὸν πραῢν καὶ ταπεινόν, καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος Κυρίου

13. οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμήσονται, καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς.

14. Χαῖρε, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἱερουσαλήμ.

15. Περιεῖλε Κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεὺς Ἰσραὴλ Κύριος ἐν μέσῳ σου, οὐκ ὄψῃ κακὰ οὐκέτι.

16. Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἱερουσαλὴμ· Θάρσει, Σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου·

17. Κύριος ὁ Θεός σου ἐν σοὶ, ὁ δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

18. Καὶ συνάξω τοὺς συντετριμμένους σου. Οὐαὶ, τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν;

19. Ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ, ἕνεκέν σου ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, καὶ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ

mino non est confisa, et ad Deum suum non appropinquavit.

3. Principes ejus in ea veluti rugientes leones, judices ejus sicut lupi Arabiæ, non dimittebant in mane.

4. Prophetæ ejus portantes spiritum, viri contemptores : sacerdotes ejus polluunt sancta, et impie faciunt legem :

5. Dominus autem justus in medio ejus, et non faciet iniquitatem : mane mane judicium suum dabit in luce : et non est absconditus et nescit iniquitatem in exactione, nec in contentione injustitiam.

6. In corruptione detraxi superbos, dissipati sunt anguli eorum : desertas faciam vias eorum penitus, ut non transeant : defecerunt civitates eorum, eo quod nullus subsisteret, neque habitaret.

7. Dixi : verumtamen timete me, et suscipite disciplinam, et non peribitis de oculis ejus in omnibus in quibus ultus sum super eam. Præparare, consurge diluculo : dissipata est omnis frondositas eorum.

8. Propterea exspecta me, dicit Dominus, in diem resurrectionis meæ in testimonium : quia judicium meum in congregationes gentium, ut suscipiam reges, ut effundam super eos omnem iram furoris mei : quia in igne zeli mei consumetur omnis terra :

9. quia tunc convertam super populos linguam in generationem ejus, ut invocent omnes nomen Domini, ut serviant ei sub jugo uno.

10. De finibus fluminum Æthiopiæ suscipiam in dispersis meis, afferent victimas mihi.

11. In die illa non confunderis ex omnibus adinventionibus tuis, quibus impie egisti in me : quia tunc auferam a te vilipendia contumeliæ tuæ, et ultra non adjicies ut magnifice glorieris super montem sanctum meum.

12. Et relinquam in te populum mansuetum et humilem, et verebuntur a nomine Domini

13. qui fuerint reliqui de Israel, et non facient iniquitatem, et non loquentur vana, et non invenietur in ore eorum lingua dolosa : quoniam ipsi pascentur, et accubabunt, et non erit qui exterreat eos.

14. Gaude, filia Sion, prædica, filia Jerusalem : exsulta et delectare de toto corde tuo, filia Jerusalem.

15. Abstulit Dominus iniquitates tuas, redemit te de manu inimicorum tuorum : rex Israel Dominus in medio tui, non videbis mala ultra.

16. In tempore illo dicet Dominus Jerusalem : Confide, Sion, non dissolvantur manus tuæ :

17. Dominus Deus tuus in te, fortis salvabit te, adducet super te lætitiam, et innovabit te in charitate sua, et lætabitur in te in delectatione quasi in die solemni.

18. Et congregabo confractos tuos. Væ, quis accepit super eam opprobrium?

19. Ecce ego facio in te, propter te in tempore illo, dicit Dominus, et salvabo expressam, et repulsam suscipiam, et ponam eos in gloriam, et nominatos in omni terra.

20. Καὶ καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ, ὅταν εἰςδέξωμαι ὑμᾶς· διότι δώσω ὑμᾶς ὀνομαστοὺς, καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς λαοῖς τῆς γῆς, ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει Κύριος.

20. Et confundentur in tempore illo, quando bene vobis fecero, et in tempore, cum suscepero vos : quia dabo vos nominatos, et in gloriam in cunctis populis terræ, quando convertero captivitatem vestram coram vobis, dicit Dominus.

ΑΓΓΑΙΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων· Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, λέγων·

2. Τάδε λέγει Κύριος παντοκράτωρ, λέγων· Ὁ λαὸς οὗτος λέγουσιν· Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου.

3. Καὶ ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων·

4. Εἰ καιρὸς μὲν ὑμῖν ἐστιν τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος ἡμῶν ἐξηρήμωται;

5. Καὶ νῦν τάδε λέγει Κύριος παντοκράτωρ· Τάξατε δὴ καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν.

6. Ἐσπείρατε πολλὰ καὶ εἰςενέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονὴν, ἐπίετε καὶ οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετρυπημένον.

7. Τάδε λέγει Κύριος παντοκράτωρ· Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν,

8. ἀνάβητε εἰς τὸ ὄρος, καὶ κόψατε ξύλα, οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ, καὶ ἐνδοξασθήσομαι, εἶπε Κύριος.

9. Ἐπεβλέψατε εἰς πολλὰ καὶ ἐγένετο ὀλίγα, καὶ εἰςηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά· διὰ τοῦτο τάδε λέγει Κύριος παντοκράτωρ· Ἀνθ' ὧν ὁ οἶκός μου ἐστὶν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ,

10. διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς.

11. Καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν.

12. Καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας, καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ, τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν, καὶ τῶν λόγων τοῦ Ἀγγαίου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς αὐτῶν πρὸς αὐτούς· καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προςώπου Κυρίου.

13. Καὶ εἶπεν Ἀγγαῖος ἄγγελος Κυρίου ἐν ἀγγέλοις Κυρίου τῷ λαῷ· Ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει Κύριος.

AGGÆUS.

CAPUT I.

1. In anno secundo Darii regis, in mense sexto, una mensis, factum est verbum Domini in manu Aggæi prophetæ, dicens : Dic ad Zorobabel filium Salathiel de tribū Juda, et ad Jesum filium Josedec sacerdotem magnum, dicens :

2. Hæc dicit Dominus omnipotens, dicens : Populus iste dicunt : Non venit tempus ædificandi domum Domini.

3. Et factum est verbum Domini in manu Aggæi prophetæ, dicens :

4. Si tempus quidem vobis est habitandi in domibus vestris concavis, domus autem nostra deserta est?

5. Et nunc hæc dicit Dominus omnipotens : Ponite nunc corda vestra ad vias vestras.

6. Seminastis multa et intulistis pauca, comedistis et non ad saturitatem, bibistis et non ad ebrietatem, operuistis vos et non estis calefacti in ipsis, et qui mercedes congregabat congregavit in sacculum pertusum.

7. Hæc dicit Dominus omnipotens : Ponite corda vestra in vias vestras,

8. ascendite in montem, et præcidite ligna, ædificate domum, et placebit mihi in ea, et glorificabor, dicit Dominus.

9. Respexistis in multa et facta sunt pauca, et illata sunt in domum, et exsufflavi ea : quamobrem hæc dicit Dominus omnipotens : Eo quod domus mea deserta est, vos autem sectamini unusquisque in domum suam,

10. propterea abstinebit cœlum a rore, et terra subtrahet procreationes suas.

11. Et inducam gladium super terram, et super montes, et super triticum, et super vinum, et super oleum, et quæcumque profert humus, et super homines, et super jumenta, et super omnes labores manuum eorum.

12. Et audivit Zorobabel filius Salathiel de tribu Juda, et Jesus filius Josedec sacerdos magnus, et omnes residui de populo, vocem Domini Dei sui, et verba Aggæi prophetæ, sicut misit eum Dominus Deus eorum ad eos : et timuit populus a facie Domini.

13. Et dixit Aggæus nuntius Domini in nuntiis Domini populo : Ego sum vobiscum, dicit Dominus.

14. Καὶ ἐξήγειρε Κύριος τὸ πνεῦμα Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον, καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος Θεοῦ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου, τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως,

2. τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς, ἐλάλησε Κύριος ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων·

3. Εἰπὸν δὴ πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, λέγων·

4. Τίς ἐξ ὑμῶν ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν;

5. Καὶ νῦν κατίσχυε, Ζοροβάβελ, λέγει Κύριος, καὶ κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος, καὶ ποιεῖτε, διότι μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος ὁ παντοκράτωρ,

6. (*) καὶ τὸ πνεῦμα μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Θαρσεῖτε,

7. διότι τάδε λέγει Κύριος παντοκράτωρ. Ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν,

8. καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν· καὶ πλήσω τὸν οἶκον τοῦτον δόξης, λέγει Κύριος παντοκράτωρ.

9. Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, λέγει Κύριος παντοκράτωρ.

10. Διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ. Καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει Κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι, τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον.

11. Τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνὸς, ἔτους δευτέρου ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην, λέγων·

12. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον, λέγων·

13. Ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ ἑψέματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν· Οὔ.

14. Καὶ εἶπεν Ἀγγαῖος· Ἐὰν ἅψηται μεμιασμένος ἀκάθαρτος ἐπὶ ψυχῇ ἐπὶ παντὸς τούτων, εἰ μιανθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν· Μιανθήσεται.

15. Καὶ ἀπεκρίθη Ἀγγαῖος, καὶ εἶπεν· Οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ, λέγει Κύριος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ, μιανθήσεται ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρινῶν, ὀδυνηθήσονται ἀπὸ

(*) 6. τὸ ῥῆμα ὃ διέθηκα πρὸς ὑμᾶς ἐν τῷ ἐξελθεῖν ὑμᾶς ἐκ γῆς Αἰγύπτου... (*Compl.*)

14. Et suscitavit Dominus spiritum Zorobabel filii Salathiel de tribu Juda, et spiritum Jesu filii Josedec sacerdotis magni, et spiritum reliquorum de omni populo, et ingressi sunt, et faciebant opera in domo Domini omnipotentis Dei sui.

CAPUT II.

1. In quarta et vigesima mensis sexti, anno secundo Darii regis,

2. in mense septimo, una et vigesima mensis, locutus est Dominus in manu Aggæi prophetæ, dicens :

3. Dicito nunc ad Zorobabel filium Salathiel de tribu Juda, et ad Jesum Josedec filium sacerdotem magnum, et ad omnes reliquos populi, dicens :

4. Quis ex vobis qui vidit domum istam in gloria sua prima? et quomodo vos videtis ipsam nunc quasi non sit coram vobis?

5. Et nunc confortare, Zorobabel, dicit Dominus, et confortare, Jesu fili Josedec, sacerdos magne, et confortetur omnis populus terræ, dicit Dominus, et facite, quoniam ego vobiscum sum, dicit Dominus omnipotens,

6. et spiritus meus stetit in medio vestrum. Confidite,

7. quia hæc dicit Dominus omnipotens : Adhuc semel ego commovebo cœlum et terram, et mare et aridam,

8. et commovebo omnes gentes, et venient electa omnium gentium : et implebo domum istam gloria; dicit Dominus omnipotens.

9. Meum est argentum, et meum est aurum, dicit Dominus omnipotens.

10. Quare magna erit gloria domus istius, novissima super primam, dicit Dominus omnipotens. Et in loco isto dabo pacem, dicit Dominus omnipotens, et pacem animæ in acquisitionem omni condenti, ut suscitet templum istud.

11. Quarta et vigesima noni mensis, anno secundo sub Dario, factus est sermo Domini ad Aggæum prophetam, dicens :

12. Hæc dicit Dominus omnipotens : Interroga nunc sacerdotes legem, dicens :

13. Si sumpserit homo carnem sanctam in summitate vestimenti sui, et tetigerit summitas vestimenti ejus panem, aut coctionem, aut vinum, aut oleum, aut omnem cibum, si sanctificabitur? Et responderunt sacerdotes, et dixerunt : Non.

14. Et dixit Aggæus : Si tetigerit pollutus immundus in anima de omnibus his, si contaminabitur? Et responderunt sacerdotes, et dixerunt : Contaminabitur.

15. Et respondit Aggæus, et dixit : Sic populus iste, et sic gens hæc coram me, dicit Dominus, et sic omnia opera manuum eorum, et quicumque appropinquaverit ibi, contaminabitur propter munera eorum matutina, dolebunt

6. verbum quod pepigi vobiscum cum egrederemini de terra Ægypti....

προσώπου πόνων αὐτῶν, καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντα.

16. Καὶ νῦν θέσθε δὴ εἰς τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω, πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ ναῷ Κυρίου, τίνες ἦτε,

17. ὅτε ἐνεβάλλετε εἰς κυψέλην κριθῆς εἴκοσι σάτα, καὶ ἐγένετο κριθῆς δέκα σάτα· καὶ εἰςπορεύεσθε εἰς τὸ ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητάς, καὶ ἐγένοντο εἴκοσι.

18. Ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ, καὶ ἐν ἀνεμοφθορίᾳ καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει Κύριος.

19. Ὑποτάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα, ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ ἐνάτου μηνὸς, καὶ ἀπὸ τῆς ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς Κυρίου· θέσθε ἐν ταῖς καρδίαις ὑμῶν,

20. εἰ ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω, καὶ εἰ ἔτι ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ῥοὰ, καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπὸν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω.

21. Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον τὸν προφήτην, τετράδι καὶ εἰκάδι τοῦ μηνὸς, λέγων·

22. Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, λέγων· Ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ τὴν ξηρὰν,

23. καὶ καταστρέψω θρόνους βασιλέων, καὶ ὀλοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν, καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

24. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ, τὸν δοῦλόν μου, λέγει Κύριος, καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σὲ ᾑρέτισα, λέγει Κύριος παντοκράτωρ.

a facie laborum suorum, et oderatis in portis arguentem.

16. Et nunc ponite, quæso, in corda vestra a die hac et supra, antequam poneretur lapis super lapidem in templo Domini, qui eratis,

17. quando mittebatis in cypselen hordei viginti sata, et fiebant decem sata hordei : et ingrediebamini torcular ut hauriretis quinquaginta amphoras, et fiebant viginti.

18. Percussi vos sterilitate, et corruptione aeris et grandine omnia opera manuum vestrarum, et non reversi estis ad me, dicit Dominus.

19. Supponite nunc corda vestra a die ista et in futurum, a quarta et vigesima noni mensis, et a die qua fundamenta jacta sunt templi Domini : ponite in cordibus vestris,

20. si cognoscetur super aream, et si adhuc vinea, et ficus, et malogranatum, et ligna olivæ quæ non ferunt fructum, a die hac benedicam.

21. Et factum est verbum Domini secundo ad Aggæum prophetam, quarta et vigesima mensis, dicens :

22. Dic ad Zerobabel filium Salathiel de tribu Juda, dicens : Ego commoveo cœlum et terram, et mare et aridam,

23. et subvertam thronos regum, et disperdam fortitudinem regum gentium, et subvertam currus et ascensores, et descendent equi et ascensores eorum unusquisque in gladio adversus fratrem suum.

24. In die illa, dicit Dominus omnipotens, assumam te Zorobabel filium Salathiel, servum meum, dicit Dominus, et ponam te quasi signaculum, quia te elegi, dicit Dominus omnipotens.

ΖΑΧΑΡΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου, ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἀδδὼ, τὸν προφήτην, λέγων·

2. Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην,

3. καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐπιστρέψατε πρός με, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος τῶν δυνάμεων.

4. Καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοῖς οἱ προφῆται ἔμπροσθεν, λέγοντες· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἀποστρέψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐκ εἰςήκουσαν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει Κύριος.

5. Οἱ πατέρες ὑμῶν ποῦ εἰσι, καὶ οἱ προφῆται; Μὴ τὸν αἰῶνα ζήσονται·

ZACHARIAS.

CAPUT I.

1. In octavo mense anni secundi, sub Dario, factum est verbum Domini ad Zachariam Barachiæ, filium Addo, prophetam, dicens :

2. Iratus est Dominus super patres vestros ira magna,

3. et dices ad eos : Hæc dicit Dominus omnipotens : Convertimini ad me, dicit Dominus virtutum, et convertar ad vos, dicit Dominus virtutum.

4. Et nolite fieri sicut patres vestri, quos arguerunt prophetæ qui prius fuerant, dicentes : Hæc dicit Dominus omnipotens : Avertimini a viis vestris pessimis, et ab adinventionibus vestris malis, et non exaudierunt, et non attenderunt ut exaudirent me, dicit Dominus.

5. Patres vestri ubi sunt, et prophetæ? Numquid in sempiternum vivent?

6. Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν· καὶ ἀπεκρίθησαν, καὶ εἶπαν· Καθὼς παρατέτακται Κύριος παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν.

7. Τῇ τετράδι καὶ εἰκάδι, τῷ ἑνδεκάτῳ μηνὶ, οὗτός ἐστιν ὁ μὴν σαβὰτ, ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἀδδὼ, τὸν προφήτην, λέγων·

8. Ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυῤῥὸν, καὶ οὗτος εἱστήκει ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ, καὶ ψαροὶ, καὶ ποικίλοι, καὶ λευκοί.

9. Καὶ εἶπα· Τί οὗτοι, Κύριε; Καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα.

10. Καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀναμέσον τῶν ὀρέων, καὶ εἶπε πρὸς μέ· Οὗτοί εἰσιν οὓς ἐξαπέστειλε Κύριος, περιοδεῦσαι τὴν γῆν.

11. Καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ Κυρίου τῷ ἐφεστῶτι ἀναμέσον τῶν ὀρέων, καὶ εἶπον· Περιωδεύσαμεν πᾶσαν τὴν γῆν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται, καὶ ἡσυχάζει.

12. Καὶ ἀπεκρίθη ὁ ἄγγελος Κυρίου, καὶ εἶπε· Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες, τοῦτο ἑβδομηκοστὸν ἔτος;

13. Καὶ ἀπεκρίθη Κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ, ῥήματα καλὰ καὶ λόγους παρακλητικούς.

14. Καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἀνάκραγε λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν,

15. καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά.

16. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐπιστρέψω ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει Κύριος παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι.

17. Καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἔτι ἀνάκραγε λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει Κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ τὴν Ἱερουσαλήμ.

18. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ τέσσαρα κέρατα.

19. Καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα, κύριε; Καὶ εἶπε πρὸς μέ· Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ καὶ Ἱερουσαλήμ.

20. Καὶ ἔδειξέ μοι Κύριος τέσσαρας τέκτονας,

21. καὶ εἶπα· Τί οὗτοι ἔρχονται ποιῆσαι; Καὶ εἶπε· Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδα καὶ τὸν Ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλήν. Καὶ ἐξήλθοσαν οὗτοι τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν, τὰ τέσσαρα κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν Κυρίου, τοῦ διασκορπίσαι αὐτήν.

6. Verumtamen sermones meos et legitima mea suscipite, quæ ego præcipio in spiritu meo servis meis prophetis, qui comprehenderunt patres vestros : et responderunt, et dixerunt : Sicut præparatus est Dominus omnipotens ut faceret nobis secundum vias nostras et secundum adinventiones nostras, sic fecit nobis.

7. Quarta et vigesima, undecimo mense, hic est mensis sabat, in secundo anno sub Dario, factus est sermo Domini ad Zachariam Barachiæ, filium Addo, prophetam, dicens :

8. Vidi nocte, et ecce vir ascendens super equum rufum, et ipse stabat inter montes umbrosos, et post eum equi rufi, et varii, et albi.

9. Et dixi : quid sunt isti, Domine? Et dixit ad me angelus qui loquebatur in me : Ego ostendam tibi quid sunt hæc.

10. Et respondit vir qui stabat inter montes, et dixit ad me : Isti sunt quos misit Dominus, ut circuirent terram.

11. Et responderunt angelo Domini qui stabat inter montes, et dixerunt : Circuivimus omnem terram, et ecce omnis terra habitatur, et quiescit.

12. Et respondit angelus Domini, et dixit : Domine omnipotens, usquequo non misereberis Jerusalem, et urbium Juda, quas despexisti, hic est septuagesimus annus?

13. Et respondit Dominus omnipotens angelo qui loquebatur in me, verba bona et sermones consolatorios.

14. Et dixit ad me angelus qui loquebatur in me : Clama dicens : Hæc dicit Dominus omnipotens : Zelatus sum Jerusalem et Sion zelo magno,

15. et ira magna ego irascor super gentes quæ superimpositæ sunt, pro eo quod ego quidem iratus sum modicum, ipsi vero superimpositi sunt in mala.

16. Propterea hæc dicit Dominus : Convertar ad Jerusalem in misericordia, et domus mea instaurabitur in ea, dicit Dominus omnipotens, et mensura extendetur super Jerusalem adhuc.

17. Et dixit ad me angelus qui loquebatur in me : Adhuc clama dicens : Hæc dicit Dominus omnipotens : Adhuc diffundentur civitates in bonis, et miserebitur Dominus adhuc Sion, et eliget Jerusalem.

18. Et levavi oculos meos, et vidi, et ecce quatuor cornua.

19. Et dixi ad angelum qui loquebatur in me : Quid sunt hæc, domine? Et dixit ad me : Hæc sunt cornua quæ disperserunt Judam et Israel et Jerusalem.

20. Et ostendit mihi Dominus quatuor fabros,

21. et dixi : Quid isti veniunt facere? Et dixit : Hæc sunt cornua quæ disperserunt Judam et Israel confregerunt, et nullus eorum levavit caput. Et egressi sunt isti ut exacuant ea in manibus suis, quatuor cornua, gentes quæ levaverunt cornu super terram Domini, ut dispergerent eam.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν.

2. Καὶ εἶπα πρὸς αὐτόν· Ποῦ σὺ πορεύῃ; Καὶ εἶπε πρός μέ· Διαμετρῆσαι τὴν Ἱερουσαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι καὶ πηλίκον τὸ μῆκος.

3. Καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ.

4. Καὶ εἶπε πρὸς αὐτὸν, λέγων· Δράμε, καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον, λέγων· Κατακάρπως κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν ἐν μέσῳ αὐτῆς·

5. καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.

6. Ὦ ὢ φεύγετε ἀπὸ γῆς βοῤῥᾶ, λέγει Κύριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει Κύριος,

7. εἰς Σιὼν, ἀνασώζεσθε, οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος.

8. Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ.

9. Διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με.

10. Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος.

11. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.

12. Καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν, τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν ἁγίαν· καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ.

13. Εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου Κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ ἔδειξέ μοι Κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ.

2. Καὶ εἶπε Κύριος πρὸς τὸν διάβολον· Ἐπιτιμήσαι Κύριος ἐν σοὶ, διάβολε, καὶ ἐπιτιμήσαι Κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. Οὐχ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός;

3. Καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ, καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου.

4. Καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ, λέγων· Ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ. Καὶ εἶπε πρὸς αὐτόν· Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη,

5. καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Καὶ ἐπέθηκαν κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ περιέβαλον αὐτὸν ἱμάτια. Καὶ ὁ ἄγγελος Κυρίου εἱστήκει.

CAPUT II.

1. Et levavi oculos meos et vidi, et ecce vir, et in manu ejus funiculus geometricus.

2. Et dixi ad eum : Quo tu vadis? Et dixit ad me : Ut dimetiar Jerusalem, ut videam quanta sit latitudo ejus et quanta longitudo.

3. Et ecce angelus qui loquebatur in me stabat, et angelus alius egrediebatur in occursum ejus.

4. Et dixit ad eum, dicens : Curre, et loquere adolescentulo illi, dicens : Frugifere habitabitur Jerusalem a multitudine hominum et jumentorum in medio ejus :

5. et ego ero illi, dicit Dominus, murus ignis in circuitu, et in gloriam ero in medio ejus.

6. O o fugite de terra aquilonis, dicit Dominus, quia de quatuor ventis cœli congregabo vos, dicit Dominus,

7. in Sion, salvamini, qui habitatis filiam Babylonis.

8. Hæc enim dicit Dominus omnipotens : Post gloriam misit me ad gentes quæ spoliaverunt vos : quia qui tetigerit vos quasi qui tangat pupillam oculi ejus.

9. Quia ecce ego infero manum meam super eos, et erunt prædæ iis qui servierant eis, et cognoscetis quia Dominus omnipotens misit me.

10. Lætare et gaude, filia Sion, quia ecce ego venio, et habitabo in medio tui, dicit Dominus.

11. Et confugient gentes multæ ad Dominum in die illa, et erunt ei in populum, et habitabunt in medio tui, et scies quoniam Dominus omnipotens misit me ad te.

12. Et possidebit Dominus Judam, parte sua in terra sancta : et eliget adhuc Jerusalem.

13. Timeat omnis caro a facie Domini, quoniam surrexit de nubibus sanctis suis.

CAPUT III.

1. Et ostendit mihi Dominus Jesum sacerdotem magnum, stantem ante faciem angeli Domini, et diabolus stabat a dextris ejus, ut adversaretur ei.

2. Et dixit Dominus ad diabolum : Increpet Dominus in te, diabole, et increpet in te Dominus qui elegit Jerusalem. Nonne ecce hoc ut torris est erutus de igne?

3. Et Jesus indutus erat vestibus sordidis, et stabat ante faciem angeli.

4. Et respondit et ait ad adstantes coram facie sua, dicens : Auferte vestimenta sordida ab eo. Et dixit ad eum : Ecce abstuli iniquitates tuas, et induite eum poderem,

5. et imponite cidarim mundam super caput ejus. Et imposuerunt cidarim mundam super caput ejus, et circumdederunt eum vestimentis. Et angelus Domini adstabat :

6. καὶ διεμαρτύρατο ὁ ἄγγελος Κυρίου πρὸς Ἰησοῦν, λέγων·

7. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐὰν ταῖς ὁδοῖς μου πορεύῃ, καὶ ἐν τοῖς προστάγμασί μου φυλάξῃ, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου· καὶ ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων.

8. Ἄκουε δὴ, Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου, διότι ἄνδρες τερατοσκόποι εἰσὶ, διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου Ἀνατολήν·

9. διότι ὁ λίθος ὃν ἔδωκα πρὸ προσώπου τοῦ Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν. Ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει Κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ.

10. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, συγκαλέσετε ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ,

2. καὶ εἶπε πρός μέ· Τί σὺ βλέπεις; Καὶ εἶπα· Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς,

3. καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων.

4. Καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ, λέγων· Τί ἐστι ταῦτα, κύριε;

5. Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρὸς μὲ, λέγων· Οὐ γινώσκεις τί ἐστι ταῦτα; Καὶ εἶπα· Οὐχὶ, κύριε.

6. Καὶ ἀπεκρίθη, καὶ εἶπε πρὸς μὲ, λέγων· Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλὰ ἐν πνεύματί μου, λέγει Κύριος παντοκράτωρ.

7. Τίς εἶ σὺ, τὸ ὄρος τὸ μέγα τὸ πρὸ προσώπου Ζοροβάβελ, τοῦ κατορθῶσαι; Καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας, ἰσότητα χάριτος, χάριτα αὐτῆς.

8. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

9. Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτὸν, καὶ ἐπιγνώσῃ διότι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.

10. Διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικρὰς, καὶ χαροῦνται, καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. Ἑπτὰ οὗτοι ὀφθαλμοί εἰσιν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν.

11. Καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς αὐτόν· Τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων;

12. Καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπα πρὸς αὐτόν· Τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς;

13. Καὶ εἶπε πρὸς μέ· Οὐκ οἶδας τί ἐστι ταῦτα; Καὶ εἶπα· Οὐχὶ, κύριε

6. et contestabatur angelus Domini ad Jesum, dicens :

7. Hæc dicit Dominus omnipotens : Si viis meis ambulaveris, et præcepta mea custodieris, et tu judicabis domum meam : et si custodieris atrium meum, et dabo tibi qui conversentur in medio stantium istorum.

8. Audi ergo, Jesu sacerdos magne, tu et proximi tui qui sedent ante faciem, quia viri portentorum spectatores sunt, quia ecce ego adduco servum meum Orientem :

9. quia lapis quem dedi ante faciem Jesu, super lapidem unum septem oculi sunt. Ecce ego fodio foveam, dicit Dominus omnipotens, et contrectabo omnem iniquitatem terræ illius in die una.

10. In die illo, dicit Dominus omnipotens, convocabitis unusquisque proximum suum subter vitem et subter ficum.

CAPUT IV.

1. Et reversus est angelus qui loquebatur in me, et suscitavit me sicut suscitari solet homo de somno suo :

2. et dixit ad me : Quid tu vides? Et dixi : Vidi, et ecce candelabrum aureum totum, et lampas super ipsum, et septem lucernæ super illud, et septem infusoria lucernis quæ erant super illud,

3. et duæ olivæ super illud, una a dextris lampadis ejus, et una a sinistris.

4. Et interrogavi, et dixi ad angelum qui loquebatur in me, dicens : Quid sunt hæc, domine?

5. Responditque angelus qui loquebatur in me, et dixit ad me, dicens : Non cognoscis quid sunt hæc? Et dixi : Non, domine.

6. Et respondit, et ait ad me, dicens : Iste est sermo Domini ad Zorobabel, dicens : Non in fortitudine magna, neque in robore, sed in spiritu meo, dicit Dominus omnipotens.

7. Quis es tu, mons magne qui ante faciem Zorobabel, ut corrigas? Et educam lapidem hæreditatis, æqualitatem gratiæ, gratiam ejus.

8. Et factus est sermo Domini ad me, dicens :

9. Manus Zorobabel fundaverunt domum istam, et manus ejus complebunt eam, et scies quoniam Dominus omnipotens misit me ad te.

10. Quis enim despexit in dies parvos, et lætabuntur, et videbunt lapidem stanneum in manu Zorobabel. Septem isti sunt oculi qui respiciunt super omnem terram.

11. Et respondi, et dixi ad eum : Quid sunt duæ olivæ istæ quæ a dextris candelabri et a sinistris?

12. Et interrogavi secundo, et dixi ad eum : Quid sunt duo rami olivarum qui sunt in manibus duarum narium aurearum quæ infundunt et retrahunt suffusoria aurea?

13. Et dixit ad me : Non nosti quid sunt hæc? Et dixi : Nequaquam, domine.

14. Καὶ εἶπεν· Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι Κυρίῳ πάσης τῆς γῆς.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ δρέπανον πετόμενον.

2. Καὶ εἶπε πρός μέ· Τί σὺ βλέπεις; Καὶ εἶπα ἐγώ· Ὁρῶ δρέπανον πετόμενον, μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα.

3. Καὶ εἶπε πρός μέ· Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς· διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος ἐκ τούτου ἐκδικηθήσεται.

4. Καὶ ἐξοίσω αὐτὸ, λέγει Κύριος παντοκράτωρ, καὶ εἰςελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν, καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐτοῦ.

5. Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρός μέ· Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο.

6. Καὶ εἶπα· Τί ἐστι; Καὶ εἶπε· Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. Καὶ εἶπεν· Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ.

7. Καὶ ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον· καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου.

8. Καὶ εἶπεν· Αὕτη ἐστὶν ἡ ἀνομία. Καὶ ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου, καὶ ἔρριψε τὸν λίθον τοῦ μολίβδου εἰς τὸ στόμα αὐτῆς.

9. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ἔποπος, καὶ ἀνέλαβον τὸ μέτρον ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ.

10. Καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον;

11. Καὶ εἶπε πρός μέ· Οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος, καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ.

2. Ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοὶ, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες,

3. καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοὶ, καὶ ἐν τῷ ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι ψαροί.

4. Καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα, κύριε;

5. Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε· Ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, ἐκπορεύονται παραστῆναι τῷ Κυρίῳ πάσης τῆς γῆς.

6. Ἐν ᾧ ἦσαν ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βοῤῥᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου,

7. καὶ οἱ ψαροὶ ἐξεπορεύοντο, καὶ ἐπέβλεπον τοῦ πο-

14. Et ait : Isti duo filii pinguedinis assistunt Domino universæ terræ.

CAPUT V.

1. Et conversus sum, et levavi oculos meos, et vidi, et ecce falx volans.

2. Et dixit ad me : Quid tu vides? Et dixi ego : Video falcem volantem longitudinis cubitorum viginti, et latitudinis cubitorum decem.

3. Et dixit ad me : Hæc est maledictio quæ egreditur super faciem omnis terræ : quia omnis fur ex hoc usque ad mortem punietur, et omnis perjurus ex hoc cruciabitur.

4. Et educam illud, dicit Dominus omnipotens, et ingredietur in domum furis, et in domum jurantis nomine meo super mendacio, et requiescet in medio domus ejus, et consummabit eam, et ligna ejus, et lapides ejus.

5. Et egressus est angelus qui loquebatur in me, et dixit ad me : Suspice oculis tuis, et vide hoc quod egreditur.

6. Et dixi : Quid est? Et ait : Hæc est mensura quæ egreditur. Et ait : Hæc est iniquitas eorum in omni terra.

7. Et ecce talentum plumbi elevatum : et ecce mulier una sedebat in medio mensuræ.

8. Et dixit : Hæc est iniquitas. Et projecit eam in medium mensuræ, et projecit lapidem plumbi in os ejus.

9. Et elevavi oculos meos, et vidi, et ecce duæ mulieres egredientes, et spiritus in alis earum, et ipsæ habebant alas upupæ, et elevaverunt mensuram inter terram et cœlum.

10. Et dixi ad angelum qui loquebatur in me : Quo istæ deferunt mensuram?

11. Et dixit ad me : Ut ædificent ei domum in terra Babylonis, et præparent, et ponant eam ibi super præparationem suam.

CAPUT VI.

1. Et conversus sum, et levavi oculos meos, et vidi, et ecce quatuor quadrigæ egredientes de medio duorum montium, et montes erant montes æenei.

2. In quadriga prima equi rufi, et in quadriga secunda equi nigri,

3. et in quadriga tertia equi albi, et in quadriga quarta equi varii sturnini.

4. Et respondi, et dixi ad angelum qui loquebatur in me : Quid sunt hæc, domine?

5. Et respondit angelus qui loquebatur in me, et dixit Hi sunt quatuor venti cœli, egrediuntur ut assistant Domino omnis terræ.

6. In qua erant equi nigri, egrediebantur super terram aquilonis, et albi egrediebantur post eos, et varii exibant in terram austri,

7. et sturnini egrediebantur, et considerabant ut irent

ρεύεσθαι τοῦ περιοδεῦσαι τὴν γῆν. Καὶ εἶπε· Πορεύεσθε, καὶ περιοδεύσατε τὴν γῆν. Καὶ περιώδευσαν τὴν γῆν.

8. Καὶ ἀνεβόησε, καὶ ἐλάλησε πρός με, λέγων· Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ, καὶ ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βοῤῥᾶ.

9. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

10. Λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων, καὶ παρὰ τῶν χρησίμων αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτὴν, καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου τοῦ Σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος·

11. καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου·

12. καὶ ἐρεῖς πρὸς αὐτόν· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ,

13. καὶ οἰκοδομήσει τὸν οἶκον Κυρίου, καὶ αὐτὸς λήψεται ἀρετὴν, καὶ καθιεῖται, καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων.

14. Ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι, καὶ τοῖς χρησίμοις αὐτῆς, καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν, καὶ εἰς χάριτα υἱοῦ Σοφονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου.

15. Καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι, καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ Κυρίου, καὶ γνώσεσθε διότι Κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς. Καὶ ἔσται, ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν.

circuire terram. Et dixit : Ite, et circuite terram. Et circuierunt terram.

8. Et clamavit, et locutus est ad me, dicens : Ecce qui egrediuntur super terram aquilonis, et requiescere fecerant furorem meum in terra aquilonis.

9. Et factus est sermo Domini ad me, dicens :

10. Accipe quæ de captivitate sunt a principibus, et ab utilibus ejus, et ab iis qui cognoverunt eam, et ingrederis tu in die illa in domum Josiæ filii Sophoniæ qui venit de Babylone :

11. et accipies argentum et aurum, et facies coronas, et impones super caput Jesu Josedec sacerdotis magni :

12. et dices ad eum : Hæc dicit Dominus omnipotens : Ecce vir, Oriens nomen ejus, et subter eum orietur,

13. et ædificabit domum Domini, et ipse accipiet virtutem, et sedebit, et imperabit super throno suo, et erit sacerdos a dextris ejus, et consilium pacis erit inter utrosque.

14. Corona autem erit exspectantibus, et utilibus ejus, et qui cognoverunt eam, et in gratiam filii Sophoniæ, et in psalmum in domo Domini.

15. Et qui longe sunt ab eis venient, et ædificabunt in domo Domini, et scietis quia Dominus omnipotens misit me ad vos. Et erit, si exaudientes exaudieritis vocem Domini Dei vestri.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει, ἐπὶ Δαρείου τοῦ βασιλέως, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου, ὅς ἐστι χασελεῦ.

2. Καὶ ἐξαπέστειλεν εἰς Βαιθὴλ, Σαρασὰρ καὶ Ἀρβεσεὲρ ὁ βασιλεὺς καὶ οἱ ἄνδρες αὐτοῦ, ἐξιλάσασθαι τὸν Κύριον,

3. λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος, καὶ πρὸς τοὺς προφήτας, λέγων· Εἰσελήλυθεν ὧδε ἐν τῷ μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα, καθότι ἐποίησεν ἤδη ἱκανὰ ἔτη.

4. Καὶ ἐγένετο λόγος Κυρίου τῶν δυνάμεων πρὸς ἐμὲ, λέγων·

5. Εἰπὸν πρὸς ἅπαντα τὸν λαὸν τῆς γῆς, καὶ πρὸς τοὺς ἱερεῖς, λέγων· Ἐὰν νηστεύσητε ἢ κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ ἑβδομήκοντα ἔτη, μὴ νηστείαν νενηστεύκατέ μοι;

6. Καὶ ἐὰν φάγητε ἢ πίητε, οὐχ ὑμεῖς ἔσθετε καὶ πίνετε;

7. Οὐχ οὗτοι οἱ λόγοι οὓς ἐλάλησε Κύριος ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν, ὅτε ἦν Ἱερουσαλὴμ κατοικουμένη, καὶ εὐθηνοῦσα, καὶ αἱ πόλεις κυκλόθεν αὐτῆς, καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο;

8. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν, λέγων·

9. Τάδε λέγει Κύριος παντοκράτωρ· Κρῖμα δίκαιον κρίνετε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ,

CAPUT VII.

1. Et factum est in quarto anno, sub Dario rege, factus est sermo Domini ad Zachariam quarta die mensis noni, qui est chaseleu.

2. Et misit in Bæthel, Sarasar et Arbeseer rex et viri ejus, ad deprecandum Dominum,

3. dicens ad sacerdotes qui in domo Domini omnipotentis, et ad prophetas, dicens : Ingressa est huc in mense quinto sanctificatio, juxta quod fecit jam annis pluribus.

4. Et factus est sermo Domini virtutum ad me, dicens .

5. Dic ad omnem populum terræ, et ad sacerdotes dicens : Si jejunatis et plangitis in quintis aut septimis, et ecce septuaginta anni, numquid jejunium jejunastis mihi?

6. Et si comeditis aut bibitis, nonne vos comeditis et bibitis?

7. Numquid non ista sunt verba quæ locutus est Dominus in manibus prophetarum qui fuerunt prius, quando Jerusalem habitabatur, et erat abundans, et civitates ejus per circuitum, et montana et campestria habitabantur?

8. Et factus est sermo Domini ad Zachariam, dicens :

9. Hæc dicit Dominus omnipotens : Judicium justum judicate, et misericordiam et miserationem facite unusquisque ad fratrem suum,

10. καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν.

11. Καὶ ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔδωκαν νῶτον παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν·

12. καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου, καὶ τοὺς λόγους οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν· καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου παντοκράτορος.

13. Καὶ ἔσται, ὃν τρόπον εἶπε, καὶ οὐκ εἰσήκουσαν, οὕτως κεκράξονται, καὶ οὐ μὴ εἰσακούσω, λέγει Κύριος παντοκράτωρ.

14. Καὶ ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη ἃ οὐκ ἔγνωσαν· καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέφοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν.

10. et viduam et pupillum et advenam et pauperem non opprimatis, et malitiæ unusquisque fratris sui nolit meminisse in cordibus vestris.

11. Et noluerunt attendere, et dederunt dorsum contemnens, et aures suas aggravaverunt ut non audirent:

12. et cor suum posuerunt inobediens ut non audirent legem meam, et verba quæ misit Dominus omnipotens in spiritu suo in manibus prophetarum priorum: et facta est ira magna a Domino omnipotente.

13. Et erit, sicut dixit, et non audierunt, sic clamabunt, et non exaudiam, dicit Dominus omnipotens.

14. Et ejiciam eos in omnes gentes quas ignoraverunt: et terra desolabitur post eos a perambulante et a revertente: et posuerunt terram electam in solitudinem.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ ἐγένετο λόγος Κυρίου παντοκράτορος, λέγων·

2. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐζήλωκα αὐτήν.

3. Τάδε λέγει Κύριος· Ἐπιστρέψω ἐπὶ Σιών, καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ κληθήσεται ἡ Ἱερουσαλὴμ πόλις ἀληθινή, καὶ τὸ ὄρος Κυρίου παντοκράτορος, ὄρος ἅγιον.

4. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι καθήσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἱερουσαλήμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ πλήθους ἡμερῶν·

5. καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς.

6. Τάδε λέγει Κύριος παντοκράτωρ· Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιόν μου ἀδυνατήσει; λέγει Κύριος παντοκράτωρ.

7. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν καὶ ἀπὸ γῆς δυσμῶν,

8. καὶ εἰσάξω αὐτούς, καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ ἔσονται ἐμοὶ εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ.

9. Τάδε λέγει Κύριος παντοκράτωρ· Κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν, τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται.

10. Διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἔσται εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως· καὶ ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους, ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ.

11. Καὶ νῦν, οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει Κύριος παντοκράτωρ,

12. ἀλλ' ἢ δείξω εἰρήνην. Ἡ ἄμπελος δώσει τὸν

CAPUT VIII.

1. Et factus est sermo Domini omnipotentis, dicens:

2. Hæc dicit Dominus omnipotens: Zelatus sum Jerusalem et Sion zelo magno, et furore maximo zelatus sum eam.

3. Hæc dicit Dominus: Revertar ad Sion, et habitabo in medio Jerusalem, et vocabitur Jerusalem civitas vera, et mons Domini omnipotentis, mons sanctus.

4. Hæc dicit Dominus omnipotens: Adhuc sedebunt senes et anus in plateis Jerusalem, unusquisque virgam suam habens in manu sua, præ multitudine dierum:

5. et plateæ civitatis replebuntur pueris et puellis ludentibus in plateis ejus.

6. Hæc dicit Dominus omnipotens: Si impossibile erit coram reliquis populi hujus in diebus illis, numquid et coram me impossibile erit? dicit Dominus omnipotens.

7. Hæc dicit Dominus omnipotens: Ecce ego salvo populum meum de terra orientis et de terra occasus,

8. et introducam eos, et habitabo in medio Jerusalem, et erunt mihi in populum, et ego ero eis in Deum in veritate et in justitia.

9. Hæc dicit Dominus omnipotens: Confortentur manus vestræ, qui auditis in diebus his sermones istos ex ore prophetarum, ex quo die fundata est domus Domini omnipotentis, et ex quo templum ædificatum est.

10. Quia ante dies illos merces hominum non erit in lucrum et merces jumentorum non subsistet, et egredienti et ingredienti non erit pax præ tribulatione: et emittam omnes homines, unumquemque super proximum suum.

11. Et nunc, non juxta dies priores ego facio reliquis populi hujus, dicit Dominus omnipotens,

12. sed pacem monstrabo. Vinea dabit fructum suum,

καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου τούτου ταῦτα πάντα.

13. Καὶ ἔσται, ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν, ὁ οἶκος Ἰούδα καὶ οἶκος Ἰσραὴλ, οὕτως διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. Θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν,

14. διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος παντοκράτωρ,

15. καὶ οὐ μετενόησα· οὕτως παρατέταγμαι, καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον Ἰούδα. Θαρσεῖτε.

16. Οὗτοι οἱ λόγοι οὓς ποιήσετε· Λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρῖμα εἰρηνικὸν κρίνατε ἐν ταῖς πύλαις ὑμῶν,

17. καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε, διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ.

18. Καὶ ἐγένετο λόγος Κυρίου παντοκράτορος πρὸς μὲ, λέγων·

19. Τάδε λέγει Κύριος παντοκράτωρ· Νηστεία ἡ τετρὰς, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη, καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθάς· καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε.

20. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις πολλὰς,

21. καὶ συνελεύσονται κατοικοῦντες πέντε πόλεις εἰς μίαν πόλιν, λέγοντες· Πορευθῶμεν δεηθῆναι τοῦ προσώπου Κυρίου καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος· πορεύσομαι κἀγώ.

22. Καὶ ἥξουσι λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλὴμ, καὶ ἐξιλάσασθαι τὸ πρόσωπον Κυρίου.

23. Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐὰν ἐπιλάβωνται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ ἐπιλάβωνται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου, λέγοντες· Πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ Θεὸς μεθ' ὑμῶν ἐστιν.

et terra dabit germina sua, et cœlum dabit rorem suum, et possidere faciam reliquos populi mei hujus hæc omnia.

13. Et erit, sicut eratis in maledictione inter gentes, domus Juda et domus Israel, sic salvabo vos, et eritis in benedictione. Confidite et confortamini in manibus vestris,

14. quia hæc dicit Dominus omnipotens : Sicut cogitavi ut affligerem vos in eo quod me ad iracundiam provocassent patres vestri, dicit Dominus omnipotens,

15. et non me pœnituit : sic paratus sum, et cogitavi in diebus istis, ut benefaciam Jerusalem et domui Juda. Confidite.

16. Isti sermones sunt quos facietis : Loquimini veritatem unusquisque ad proximum suum, veritatem et judicium pacificum judicate in portis vestris,

17. et unusquisque malum proximi sui non cogitate in cordibus vestris, et juramentum mendax ne diligatis, quia hæc omnia odi, dicit Dominus omnipotens.

18. Et factus est sermo Domini omnipotentis ad me, dicens :

19. Hæc dicit Dominus omnipotens : Jejunium quartum, et jejunium quintum, et jejunium septimum, et jejunium decimum erunt domui Juda in gaudium et lætitiam, et in festivitates bonas : et lætamini, et veritatem et pacem diligite.

20. Hæc dicit Dominus omnipotens : Adhuc venient populi multi, et habitatores urbium multarum,

21. et congregabuntur qui habitant quinque civitates in unam civitatem, dicentes : Eamus ut deprecemur faciem Domini, et quæramus vultum Domini omnipotentis : vadam etiam ego.

22. Et venient populi multi et gentes plurimæ ut quærant faciem Domini omnipotentis in Jerusalem, et ut exorent faciem Domini.

23. Hæc dicit Dominus omnipotens : In diebus illis, si apprehenderint decem viri de omnibus linguis gentium, et tenuerint fimbriam viri Judæi, dicentes : Ibimus tecum, quia audivimus quod Deus vobiscum est.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Λῆμμα λόγου Κυρίου ἐν γῇ Σεδρὰχ, καὶ Δαμασκοῦ θυσία αὐτοῦ, διότι Κύριος ἐφορᾷ ἀνθρώπους, καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ.

2. Καὶ ἐν Ἡμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς Τύρος καὶ Σιδὼν, διότι ἐφρόνησαν σφόδρα.

3. Καὶ ᾠκοδόμησε Τύρος ὀχυρώματα αὐτῇ, καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ συνήγαγε χρυσίον ὡς πηλὸν ὁδῶν.

4. Καὶ διὰ τοῦτο Κύριος κληρονομήσει αὐτοὺς, καὶ πατάξει εἰς θάλασσαν δύναμιν αὐτῆς, καὶ αὕτη ἐν πυρὶ καταναλωθήσεται.

5. Ὄψεται Ἀσκάλων, καὶ φοβηθήσεται, καὶ Γάζα, καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκάρων, ὅτι ᾐσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ·

CAPUT IX.

1. Assumptio verbi Domini in terra Sedrach, et Damasci sacrificium ejus, quia Dominus respicit homines, et omnes tribus Israel.

2. Et in Emath in finibus ejus Tyrus et Sidon, quoniam sapientes fuerunt nimis.

3. Et ædificavit Tyrus munitiones suas, et thesaurizavit argentum ut humum, et congregavit aurum ut lutum viarum.

4. Et propterea Dominus possidebit eos, et percutiet in mari fortitudinem ejus, et ipsa in igne concremabitur.

5. Videbit Ascalon, et timebit, et Gaza, et dolebit nimis, et Accaron, quoniam confusa est super ruina sua : et peribit rex de Gaza, et Ascalon non habitabitur :

6. καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων·

7. καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν. Καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ Θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος ἐν Ἰούδᾳ, καὶ Ἀκκάρων ὡς ὁ Ἰεβουσαῖος.

8. Καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα, τοῦ μὴ διαπορεύεσθαι, μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων· διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου.

9. Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πρᾳΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.

10. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραίμ, καὶ ἵππον ἐξ Ἱερουσαλήμ, καὶ ἐξολοθρεύσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ποταμῶν διεκβολὰς γῆς.

11. Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ.

12. Καθήσεσθε ἐν ὀχυρώμασι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι·

13. διότι ἐνέτεινά σε, Ἰούδα, ἐμαυτῷ τόξον, ἔπλησα τὸν Ἐφραίμ, καὶ ἐξεγερῶ τὰ τέκνα σου, Σιών, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ·

14. καὶ Κύριος ἔσται ἐπ' αὐτούς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολίς, καὶ Κύριος παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ.

15. Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτούς, καὶ καταναλώσουσιν αὐτούς, καὶ καταχώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται αὐτοὺς ὡς οἶνον, καὶ πλήσουσι τὰς φιάλας ὡς θυσιαστήριον.

16. Καὶ σώσει αὐτοὺς Κύριος ὁ Θεὸς αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα, λαὸν αὐτοῦ, διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ γῆς αὐτοῦ.

17. Ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ, καὶ εἴ τι καλὸν αὐτοῦ, σῖτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Αἰτεῖσθε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον καὶ ὄψιμον. Κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῷ.

2. Διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν· διὰ τοῦτο ἐξηράνθησαν ὡς πρόβατα, καὶ ἐκακώθησαν, διότι οὐκ ἦν ἴασις.

3. Ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι. Καὶ ἐπισκέψεται Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ, τὸν οἶκον Ἰούδα, καὶ τάξει αὐτοὺς ὡς ἵππον εὐπρεπῆ αὐτοῦ ἐν πολέμῳ,

4. καὶ ἀπ' αὐτοῦ ἐπέβλεψε, καὶ ἀπ' αὐτοῦ ἔταξε, καὶ ἀπ' αὐτοῦ τόξον ἐν θυμῷ· ἀπ' αὐτοῦ ἐξελεύσεται πᾶς ὁ ἐξελαύνων ἐν τῷ αὐτῷ.

5. Καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες πηλὸν ἐν ταῖς

6. et habitabunt alienigenæ in Azoto, et destruam injuriam alienigenarum :

7. et auferam sanguinem eorum de ore illorum, et abominationes eorum de medio dentium illorum. Et relinquentur et isti Deo nostro, et erunt ut chiliarchus in Juda, et Accaron sicut Jebusæus.

8. Et supponam domui meæ elevationem, ut non pertranseat, neque revertatur, et nequaquam superveniat eis ultra abactor : quia nunc vidi in oculis meis.

9. Gaude vehementer, filia Sion, prædica, filia Jerusalem : ecce rex tuus venit tibi justus et salvans, ipse mansuetus, et ascendens super subjugalem et pullum novum.

10. Et disperdet quadrigas ex Ephraim, et equum de Jerusalem, et disperdetur arcus bellicus, et multitudo et pax ex gentibus, et dominabitur aquis usque ad mare, et fluminibus exitus terræ.

11. Et tu in sanguine testamenti tui emisisti vinctos tuos de lacu qui non habet aquam.

12. Sedebitis in munitionibus vincti congregationis, et pro una die peregrinationis tuæ duplicia reddam tibi :

13. quoniam tetendi te, Juda, mihi arcum, implevi Ephraim, et suscitabo filios tuos, Sion, super filios Græcorum, et attrectabo te quasi gladium pugnatoris :

14. et Dominus erit super eos, et egredietur sicut fulgur sagitta, et Dominus omnipotens in tuba sonabit, et ibit in commotione terroris sui.

15. Dominus omnipotens proteget eos, et consument eos, et obruent eos in lapidibus fundæ, et bibent eos sicut vinum, et implebunt phialas sicut altare.

16. Et salvabit eos Dominus Deus eorum in die illa, sicut oves, populum suum, quia lapides sancti volvuntur super terram ejus.

17. Quia si quid optimum illius, et si quid bonum ejus, frumentum juvenibus, et vinum boni odoris ad virgines.

CAPUT X.

1. Petite a Domino pluviam opportunam, temporaneam et serotinam. Dominus fecit phantasias, et pluviam hiemalem dabit eis, unicuique herbam in agro.

2. Quoniam hi qui loquebantur locuti sunt labores, et divini visiones falsas, et somnia falsa loquebantur, vane consolabantur : ideo arefacti sunt sicut oves, et afflicti sunt, quia non erat sanatio.

3. Super pastores concitatus est furor meus, et super agnos visitabo. Et visitabit Dominus Deus omnipotens gregem suum, domum Juda, et ponet eos sicut equum decorum suum in prælio,

4. et ex ipso respexit, et ex ipso posuit, et ex ipso arcum in furore : ex ipso egredietur omnis qui abigit in eo.

5. Et erunt quasi bellatores conculcantes lutum in viis in

ὁδοῖς ἐν πολέμῳ, καὶ παρατάξονται, διότι Κύριος μετ' αὐτῶν· καὶ καταισχυνθήσονται ἀναβάται ἵππων.

6. Καὶ κατισχύσω τὸν οἶκον Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ αὐτοὺς, ὅτι ἠγάπησα αὐτοὺς, καὶ ἔσονται ὃν τρόπον οὐκ ἀπεστρεψάμην αὐτούς· διότι ἐγὼ Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτοῖς.

7. Καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφραὶμ, καὶ χαρήσεται ἡ καρδία αὐτῶν ὡς ἐν οἴνῳ· καὶ τὰ τέκνα αὐτῶν ὄψονται καὶ εὐφρανθήσονται, καὶ χαρεῖται ἡ καρδία αὐτῶν ἐπὶ τῷ Κυρίῳ.

8. Σημανῶ αὐτοῖς, καὶ εἰςδέξομαι αὐτοὺς, διότι λυτρώσομαι αὐτοὺς, καὶ πληθυνθήσονται καθότι ἦσαν πολλοί.

9. Καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν μνησθήσονταί μου, ἐκθρέψουσι τὰ τέκνα αὐτῶν, καὶ ἐπιστρέψουσι.

10. Καὶ ἐπιστρέψω αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ Ἀσσυρίων εἰςδέξομαι αὐτοὺς, καὶ εἰς τὴν Γαλααδῖτιν καὶ εἰς τὸν Λίβανον εἰςάξω αὐτοὺς, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδὲ εἷς.

11. Καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ, καὶ πατάξουσιν ἐν θαλάσσῃ κύματα, καὶ ξηρανθήσεται πάντα τὰ βάθη ποταμῶν, καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις Ἀσσυρίων, καὶ σκῆπτρον Αἰγύπτου περιαιρεθήσεται.

12. Καὶ κατισχύσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυχήσονται, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου.

2. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν· ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος.

3. Φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. Φωνὴ ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου.

4. Τάδε λέγει Κύριος παντοκράτωρ· Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς,

5. ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο, καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον· Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν, καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς.

6. Διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος. Καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖρα τοῦ πλησίον αὐτοῦ, καὶ εἰς χεῖρα βασιλέως αὐτοῦ, καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν.

7. Καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν Χαναανῖτιν. Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μὲν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατα.

8. Καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς· καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ.

9. Καὶ εἶπα· Οὐ ποιμανῶ ὑμᾶς, τὸ ἀποθνῆσκον

prælio, et in acie stabunt, quia Dominus cum eis est : et confundentur ascensores equorum.

6. Et confortabo domum Juda, et domum Joseph salvabo, et habitare eos faciam, quia dilexi eos, et erunt sicut non evertissem eos : quia ego Dominus Deus eorum, et exaudiam eos.

7. Et erunt quasi bellatores Ephraim, et lætabitur cor eorum quasi in vino : et filii eorum videbunt et lætabuntur, et gaudebit cor eorum in Domino.

8. Significabo eis, et suscipiam illos, quia redimam eos, et multiplicabuntur sicut erant plurimi.

9. Et seminabo eos in populis, et qui de longe recordabuntur mei, nutrient filios suos, et convertentur.

10. Et convertam eos de terra Ægypti, et de Assyriis suscipiam illos, et in Galaaditin et in Libanum introducam eos, et nullus ex eis deerit.

11. Et pertransibunt in mari angusto, et percutient in mari fluctus, et siccabuntur omnia profunda fluviorum, et auferetur universa injuria Assyriorum, et sceptrum Ægypti tolletur.

12. Et confortabo eos in Domino Deo suo, et in nomine ejus gloriabuntur, dicit Dominus.

CAPUT XI.

1. Aperi, Libane, portas tuas, et comedat ignis cedros tuas.

2. Ulule pinus, quia cecidit cedrus, quia valde miseri facti sunt optimates : ululate, quercus Basanitidis, quia succisus est saltus consitus.

3. Vox lugentium pastorum, quoniam misera facta est magnificentia eorum. Vox rugientium leonum, quia afflictus est fremitus Jordanis.

4. Hæc dicit Dominus omnipotens : Pascite oves occisionis,

5. quas qui possederunt interficiebant, et non agebant pœnitentiam, et qui vendebant eas dicebant : Benedictus Dominus, et divites facti sumus, et pastores earum nihil patiebantur super eis.

6. Ideo non parcam ultra super habitatores terræ, dicit Dominus. Et ecce ego trado homines, unumquemque in manum proximi sui, et in manum regis ejus, et concident terram, et non eruam de manu eorum.

7. Et pascam oves occisionis in Chanaanitide. Et assumam mihi duas virgas, unam vocavi decorem, et alteram vocavi funiculum, et pascam oves.

8. Et auferam tres pastores in mense uno, et ingravescet anima mea super eos : siquidem et animæ eorum rugiebant super me.

9. Et dixi : Non pascam vos, quod moritur moriatur, et

ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλιπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτωσαν ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ.

10. Καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀποῤῥίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς·

11. καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος Κυρίου ἐστί.

12. Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε. Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς.

13. Καὶ εἶπε Κύριος πρὸς μέ· Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον.

14. Καὶ ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν κατάσχεσιν ἀναμέσον Ἰούδα καὶ ἀναμέσον Ἰσραήλ.

15. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου,

16. διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ τὴν γῆν, τὸ ἐκλιμπάνον οὐ μὴ ἐπισκέψηται, καὶ τὸ ἐσκορπισμένον οὐ μὴ ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ κατευθύνῃ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει.

17. Ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καταλελοιπότες τὰ πρόβατα, μάχαιρα ἐπὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ· ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

quod deficit deficiat, et reliquiæ devorent unusquisque carnes proximi sui.

10. Et assumam virgam meam pulchram, et projiciam eam, ut dissipem testamentum meum, quod disposui ad omnes populos :

11. et dissipabitur in die illa, et cognoscent Chananæi oves quæ custodiuntur mihi, quia verbum Domini est.

12. Et dicam ad eos : Si bonum est in conspectu vestro, date mercedem meam, aut renuite. Et statuerunt mercedem meam triginta argenteos.

13. Et dixit Dominus ad me : Depone eos in conflatorium, et considerabo si probatum est, sicut probatus sum pro eis. Et tuli triginta argenteos, et misi eos in domum Domini in conflatorium.

14. Et abjeci virgam meam secundam funiculum, ut dissiparem possessionem inter Judam et Israel.

15. Et dixit Dominus ad me : Adhuc sume tibi vasa pastoralia pastoris imperiti,

16. quia ecce ego suscito pastorem super terram, quod deficit non visitabit, et dispersum non requiret, et contritum non sanabit, et integrum non diriget, et carnes electorum devorabit, et talos eorum pervertet.

17. O qui pascitis vana, qui dereliquistis oves, gladius super brachium ejus, et super oculum ejus dextrum : brachium ejus arescens arefiet, et oculus dexter ejus excæcatus excæcabitur.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραήλ. Λέγει Κύριος, ἐκτείνων οὐρανὸν καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ·

2. Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλήμ.

3. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι· πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς.

4. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει, καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει· ἐπὶ δὲ τὸν οἶκον Ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει.

5. Καὶ ἐροῦσιν οἱ χιλίαρχοι Ἰούδα ἐν ταῖς καρδίαις αὐτῶν· Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἱερουσαλὴμ ἐν Κυρίῳ παντοκράτορι Θεῷ αὐτῶν.

6. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους Ἰούδα ὡς δαλὸν πυρὸς ἐν ξύλοις, καὶ ὡς λαμπάδα πυρὸς ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικήσει Ἱερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἱερουσαλήμ.

7. Καὶ σώσει Κύριος τὰ σκηνώματα Ἰούδα, καθὼς

CAPUT XII.

1. Assumptio verbi Domini super Israel. Dicit Dominus, extendens cœlum et fundans terram, et fingens spiritum hominis in eo :

2. Ecce ego pono Jerusalem ut superliminaria quæ moventur omnibus populis in circuitu, et in Judæa erit obsidio super Jerusalem.

3. Et erit, in die illo ponam Jerusalem lapidem qui conculcatur cunctis gentibus : omnis qui conculcaverit eam illudens illudet, et congregabuntur super eam omnes gentes terræ.

4. In die illa, dicit Dominus omnipotens, percutiam omnem equum in stupore, et ascensorem ejus in amentia : super domum autem Juda aperiam oculos meos, et omnes equos populorum percutiam in cæcitate.

5. Et dicent tribuni Juda in cordibus suis : Inveniemus nobis eos qui habitant Jerusalem in Domino omnipotente Deo eorum.

6. In die illa ponam tribunos Juda sicut torrem ignis in lignis, et sicut facem ignis in stipula, et devorabunt a dextris et a sinistris omnes populos per circuitum, et habitabit adhuc Jerusalem per seipsa in Jerusalem.

7. Et salva faciet Dominus tabernacula Juda, sicut a-

ἀπ' ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαυὶδ, καὶ ἔπαρσις τῶν κατοικούντων Ἱερουσαλὴμ ἐπὶ τὸν Ἰούδα.

8. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ Κύριος ὑπὲρ τῶν κατοικούντων Ἱερουσαλὴμ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαυὶδ, ὁ δὲ οἶκος Δαυὶδ ὡς οἶκος Θεοῦ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτῶν.

9. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ Ἱερουσαλὴμ,

10. καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυὶδ, καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ. Καὶ ἐπιβλέψονται πρὸς μὲ, ἀνθ' ὧν κατωρχήσαντο· καὶ κόψονται ἐπ' αὐτὸν κοπετὸν ὡς ἐπ' ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ τῷ πρωτοτόκῳ.

11. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν Ἱερουσαλὴμ, ὡς κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου,

12. καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυλάς· φυλὴ οἴκου Δαυὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς·

13. φυλὴ οἴκου Νάθαν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Λευὶ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ τοῦ Συμεὼν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.

14. Πᾶσαι αἱ ὑπολελειμμέναι φυλαὶ, φυλὴ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ Δαυὶδ, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εἰς τὴν μετακίνησιν καὶ εἰς τὸν χωρισμόν.

2. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔτι αὐτῶν ἔσται μνεία· καὶ τοὺς ψευδοπροφήτας, καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς.

3. Καὶ ἔσται, ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι, καὶ ἐρεῖ πρὸς αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεννήσαντες αὐτόν· Οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐπ' ὀνόματι Κυρίου. Καὶ συμποδιοῦσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεννήσαντες αὐτὸν, ἐν τῷ προφητεύειν αὐτόν.

4. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατισχυνθήσονται οἱ προφῆται, ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ, ἐν τῷ προφητεύειν αὐτὸν, καὶ ἐνδύσονται δέῤῥιν τριχίνην, ἀνθ' ὧν ἐψεύσαντο.

5. Καὶ ἐρεῖ· Οὐκ εἰμὶ προφήτης ἐγὼ, διότι ἄνθρωπος ἐργαζόμενος τὴν γῆν ἐγώ εἰμι, ὅτι ἄνθρωπος ἐγέννησέ με ἐκ νεότητός μου.

6. Καὶ ἐρῶ πρὸς αὐτόν· Τί αἱ πληγαὶ αὗται ἀναμέσον τῶν χειρῶν σου; Καὶ ἐρεῖ· Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου.

7. Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας μου, καὶ ἐπὶ ἄνδρα πολίτην μου, λέγει Κύριος παντοκράτωρ, πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα. Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς μικρούς.

8. Καὶ ἔσται, ἐν πάσῃ τῇ γῇ, λέγει Κύριος, τὰ δύο μέρη αὐτῆς ἐξολοθρευθήσεται, καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ.

principio, ut non magnificetur gloria domus David, et elatio habitatorum Jerusalem super Judam.

8. Et erit, in die illa proteget Dominus habitatores Jerusalem, et qui infirmus in eis fuerit in die illa erit sicut David, et domus David quasi domus Dei, sicut angelus Domini in conspectu eorum.

9. Et erit, in die illa quæram auferre omnes gentes quæ veniunt contra Jerusalem,

10. et effundam super domum David, et super habitatores Jerusalem spiritum gratiæ et misericordiæ. Et aspicient in me, pro eo quod insultaverunt : et plangent super eum planctum quasi super dilectum, et dolebunt dolore quasi super primogenito.

11. In die illa magnus erit planctus in Jerusalem, sicut planctus malogranati quod in campo succiditur,

12. et planget terra per tribus tribus : tribus domus David seorsum, et mulieres eorum seorsum :

13. tribus domus Nathan seorsum, et mulieres eorum seorsum : tribus domus Levi seorsum, et mulieres eorum seorsum : tribus Symeon seorsum, et mulieres eorum seorsum.

14. Omnes reliquæ tribus, tribus seorsum, et mulieres eorum seorsum.

CAPUT XIII.

1. In die illa erit omnis locus apertus domui David, et habitantibus Jerusalem in transmutationem et in separationem.

2. Et erit in die illa, dicit Dominus sabaoth, disperdam nomina idolorum de terra, et non erit ultra eorum memoria : et pseudoprophetas, et spiritum immundum auferam de terra.

3. Et erit, si prophetaverit homo ultra, et dicet ad eum pater suus er mater sua, qui genuerunt eum : Non vives, quoniam mendacia locutus es in nomine Domini. Et compedient eum pater ejus et mater ejus, qui genuerunt eum, dum ipse prophetat.

4. Et erit, in die illa confundentur prophetæ, unusquisque ex visione sua, cum prophetaverit, et induentur pelle cilicina, quia mentiti sunt.

5. Et dicet : Non sum propheta ego, quia homo operans terram ego sum, quia homo genuit me a juventute mea.

6. Et dicam ad eum : Quid sunt plagæ istæ in medio manuum tuarum? Et dicet : Quibus percussus sum in domo dilecta mea.

7. Framea, consurge super pastores meos, et super virum civem meum, dicit Dominus omnipotens, percutite pastores, et avellite oves. Et inducam manum meam super parvulos.

8. Et erit, in omni terra, dicit Dominus, duæ partes ejus peribunt, et deficient, et tertia relinquetur in ea.

9. Καὶ διάξω τὸ τρίτον διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται τὸ χρυσίον. Αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, κἀγὼ ἐπακούσομαι αὐτῷ, καὶ ἐρῶ· Λαός μου οὗτός ἐστι. Καὶ αὐτὸς ἐρεῖ· Κύριος ὁ Θεός μου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Ἰδοὺ ἡμέραι ἔρχονται Κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν σοί·

2. καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται· καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως.

3. Καὶ ἐξελεύσεται Κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου.

4. Καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν. Καὶ σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος μέγα σφόδρα· καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον.

5. Καὶ φραχθήσεται ἡ φάραγξ τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως Ἰασὸδ, καὶ ἐμφραχθήσεται καθὼς ἐνεφράγη ἐν ταῖς ἡμέραις τοῦ συσσεισμοῦ, ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα. Καὶ ἥξει Κύριος ὁ Θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ.

6. Καὶ ἔσται, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ πάγος

7. ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ, καὶ οὐχ ἡμέρα, καὶ οὐ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.

8. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως.

9. Καὶ ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἓν,

10. κυκλῶν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβὲ ἕως Ῥεμμὼν κατὰ νότον Ἱερουσαλήμ. Ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμὶν ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τῶν γωνιῶν, καὶ ἕως τοῦ πύργου Ἀναμεὴλ, ἕως τῶν ἀπολη-νίων τοῦ βασιλέως·

11. κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

12. Καὶ αὕτη ἔσται ἡ πτῶσις ἣν κόψει Κύριος πάντας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλήμ. Τακήσονται αἱ σάρκες αὐτῶν, ἑστηκότων ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ῥυήσονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν τακήσεται ἐν τῷ στόματι αὐτῶν.

13. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις Κυρίου μεγάλη ἐπ' αὐτοὺς, καὶ ἐπιλήψονται ἕκαστος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς τὴν χεῖρα τοῦ πλησίον αὐτοῦ.

9. Et transducam tertiam partem per ignem, et uram eos sicut uritur argentum, et probabo eos sicut probatur aurum. Ipse invocabit nomen meum, et ego exaudiam eum, et dicam : Populus meus is est. Et ipse dicet : Dominus Deus meus.

CAPUT XIV.

1. Ecce dies Domini veniunt, et dividentur spolia tua in te :

2. et congregabo omnes gentes super Jerusalem ad bellum, et capietur civitas, et diripientur domus, et mulieres polluentur : et egredietur dimidia pars civitatis in captivitate, reliqui autem populi mei non peribunt de civitate.

3. Et egredietur Dominus, et præliabitur contra gentes illas, sicut dies commissionis ejus in die prælii.

4. Et stabunt pedes ejus in die illa super montem olivarum, qui est contra Jerusalem ab oriente. Et scindetur mons olivarum, dimidium ejus ad orientem et mare, voragine magna nimis : et inclinabit dimidium montis ad aquilonem, et dimidium ejus ad austrum.

5. Et obturabitur vallis montium meorum, et adjungetur vallis montium usque Jasod, et replebitur sicut repleta est in diebus terræ motus, in diebus Oziæ regis Juda. Et veniet Dominus Deus meus, et omnes sancti cum eo.

6. Et erit, in illa die non erit lux, et frigus et gelu

7. erit una die, et dies illa nota Domino, et non dies, neque nox, et ad vesperam erit lux.

8. Et in die illa egredietur aqua vivens de Jerusalem, dimidium ejus ad mare primum, et dimidium ejus ad mare novissimum, et in æstate et in vere erit sic.

9. Et erit Dominus in regem super omnem terram : in die illa erit Dominus unus, et nomen ejus unum;

10. circumiens omnem terram, et desertum a Gabee usque Remmon ad austrum Jerusalem. Rhama vero in loco permanebit, a porta Benjamin usque ad locum portæ primæ, usque ad portam angulorum, et usque ad turrim Anameel, usque ad torcularia regis :

11. habitabunt in ea, et anathema ultra non erit, et habitabit Jerusalem confidenter.

12. Et hæc erit ruina qua percutiet Dominus omnes populos, quicumque militaverunt contra Jerusalem. Tabescent carnes eorum, stantium super pedes suos, et oculi eorum defluent de foraminibus suis, et lingua eorum tabescet in ore eorum.

13. Et erit in die illa stupor Domini magnus super eos, et apprehendent unusquisque manum proximi sui, et complicabitur manus ejus ad manum proximi sui.

14. Καὶ Ἰούδας παρατάξεται ἐν Ἱερουσαλὴμ, καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον καὶ ἀργύριον καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα.

15. Καὶ αὕτη ἔσται ἡ πτῶσις τῶν ἵππων, καὶ τῶν ἡμιόνων, καὶ τῶν καμήλων, καὶ τῶν ὄνων, καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκείναις, κατὰ τὴν πτῶσιν ταύτην.

16. Καὶ ἔσται, ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν, τοῦ προςκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.

17. Καὶ ἔσται, ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ, τοῦ προςκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι, καὶ οὗτοι ἐκείνοις προςτεθήσονται.

18. Ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ, καὶ ἐπὶ τούτους ἔσται ἡ πτῶσις, ἣν πατάξει Κύριος πάντα τὰ ἔθνη ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.

19. Αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου, καὶ ἡ ἁμαρτία πάντων τῶν ἐθνῶν, ὃς ἂν μὴ ἀναβῇ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.

20. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι· καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ Κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου.

21. Καὶ ἔσται πᾶς λέβης ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ Κυρίῳ παντοκράτορι· καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες, καὶ λήψονται ἐξ αὐτῶν, καὶ ἑψήσουσιν ἐν αὐτοῖς, καὶ οὐκ ἔσται Χαναναῖος ἔτι ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

14. Et Judas præparabitur in Jerusalem, et congregabit robur omnium populorum per circuitum, aurum et argentum et vestes in multitudine nimis.

15. Et hæc erit ruina equorum, et mulorum, et camelorum, et asinorum, et omnium jumentorum quæ fuerint in castris illis, juxta ruinam hanc.

16. Et erit, quicumque relicti fuerint de cunctis gentibus quæ venerint contra Jerusalem, et ascendent per annos singulos, ut adorent regem Dominum omnipotentem, et celebrent festivitatem tabernaculorum.

17. Et erit, qui non ascenderint ex omnibus tribubus terræ ad Jerusalem, ut adorent regem Dominum omnipotentem, et isti illis apponentur.

18. Sin autem tribus Ægypti non ascenderit, nec venerit, et super eos erit ruina, qua percutiet Dominus omnes gentes quæ non ascenderunt ut agerent solemnitatem scenopegiæ.

19. Hoc erit peccatum Ægypti, et peccatum omnium gentium, quicumque non ascenderit ut celebret festivitatem scenopegiæ.

20. In die illa erit quod super frenum equi est sanctum Domino omnipotenti : et erunt lebetes in domo Domini sicut phialæ ante faciem altaris.

21. Et erit omnis lebes in Jerusalem et in Juda sanctus Domino omnipotenti : et venient omnes qui immolant, et sument ex eis, et coquent in illis, et non erit Chananæus ultra in domo Domini omnipotentis in die illa.

ΜΑΛΑΧΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ. Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν.

2. Ἠγάπησα ὑμᾶς, λέγει Κύριος. Καὶ εἴπατε· Ἐν τίνι ἠγάπησας ἡμᾶς; Οὐκ ἀδελφὸς ἦν Ἠσαῦ τοῦ Ἰακὼβ, λέγει Κύριος, καὶ ἠγάπησα τὸν Ἰακὼβ,

3. τὸν δὲ Ἠσαῦ ἐμίσησα; καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν, καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου.

4. Διότι ἐρεῖ· Ἡ Ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν, καὶ ἀνοικοδομήσωμεν τὰς ἐρήμους. Τάδε λέγει Κύριος παντοκράτωρ· Αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος.

5. Καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε· Ἐμεγαλύνθη Κύριος ὑπεράνω τῶν ὁρίων τοῦ Ἰσραήλ.

6. Υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον ἑαυτοῦ. Καὶ εἰ πατήρ εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; Καὶ εἰ κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου; λέγει

MALACHIAS.

CAPUT I.

1. Assumptio verbi Domini super Israel in manu angeli ejus. Ponite nunc super corda vestra.

2. Dilexi vos, dicit Dominus. Et dixistis : In quo dilexisti nos? Nonne frater erat Esau Jacob, dicit Dominus, et dilexi Jacob,

3. Esau autem odio habui? et posui terminos ejus in desolationem, et hæreditatem ejus in domata deserti.

4. Quia dicet : Idumæa destructa est, et revertamur, et reædificemus deserta. Hæc dicit Dominus omnipotens : Ipsi ædificabunt, et ego destruam : et vocabuntur eis termini iniquitatis, et populus super quem præparatus est Dominus usque in æternum.

5. Et oculi vestri videbunt, et vos dicetis? Magnificatus est Dominus super terminos Israel.

6. Filius glorificat patrem, et servus dominum suum. Et si pater ego sum, ubi est gloria mea? Et si dominus sum ego, ubi est timor meus? dicit Dominus omnipotens. Vos

Κύριος παντοκράτωρ. Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου, καὶ εἴπατε· Ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου;

7. Προςάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους, καὶ εἴπατε· Ἐν τίνι ἠλισγήσαμεν αὐτούς; Ἐν τῷ λέγειν ὑμᾶς· Τράπεζα Κυρίου ἠλισγημένη ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε.

8. Διότι, ἐὰν προςαγάγητε τυφλὸν εἰς θυσίας, οὐ κακόν; Καὶ ἐὰν προςαγάγητε χωλὸν ἢ ἄῤῥωστον, οὐ κακόν; Προςάγαγε δὴ αὐτῷ τῷ ἡγουμένῳ σου, εἰ προςδέξεταί σε, εἰ λήψεται πρόςωπόν σου, λέγει Κύριος παντοκράτωρ.

9. Καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ Θεοῦ ὑμῶν, καὶ δεήθητε αὐτοῦ. Ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα· εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν, λέγει Κύριος παντοκράτωρ.

10. Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν. Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προςδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν·

11. διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προςάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομα μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντοκράτωρ.

12. Ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέγειν ὑμᾶς· Τράπεζα Κυρίου ἠλισγημένη ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα ἐξουδένωται βρώματα αὐτοῦ.

13. Καὶ εἴπατε· Ταῦτα ἐκ κακοπαθείας ἐστὶ, καὶ ἐξεφύσησα αὐτὰ, λέγει Κύριος παντοκράτωρ, καὶ εἰςεφέρετε ἁρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα· καὶ ἐὰν φέρητε τὴν θυσίαν, εἰ προςδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει Κύριος παντοκράτωρ.

14. Καὶ ἐπικατάρατος ὃς ἦν δυνατὸς, καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρμένον τῷ Κυρίῳ. Διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς.

2. Ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν, τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει Κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι αὐτήν· καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε εἰς τὴν καρδίαν ὑμῶν.

3. Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον, καὶ σκορπιῶ ἔνυστρον ἐπὶ τὰ πρόςωπα ὑμῶν, ἔνυστρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό.

4. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευίτας, λέγει Κύριος παντοκράτωρ.

5. Ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα αὐτῷ ἐν φόβῳ φοβεῖσθαί με, καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι αὐτόν.

6. Νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ

sacerdotes qui despicitis nomen meum, et dixistis : In quo despeximus nomen tuum?

7. Offerentes ad altare meum panes pollutos, et dixistis: In quo polluimus ipsos? In eo quod dicitis : Mensa Domini polluta est, et quæ superposita sunt despexistis.

8. Quia, si offeratis cæcum in sacrificia, nonne malum est? Et si offeratis claudum aut languidum, nonne malum est? Offer nunc illud duci tuo, si suscipiet te, si accipiet faciem tuam, dicit Dominus omnipotens.

9. Et nunc deprecamini faciem Dei vestri, et rogate eum. In manibus vestris facta sunt hæc : si accipiam ex vobis facies vestras, dicit Dominus omnipotens.

10. Quia et in vobis claudentur ostia, et non succendetur altare meum gratis. Non est voluntas mea in vobis, dicit Dominus omnipotens, et sacrificium non suscipiam de manibus vestris :

11. quia ab ortu solis et usque ad occasum clarificatum est nomen meum in gentibus, et in omni loco incensum offertur nomini meo, et sacrificium mundum : quia magnum est nomen meum in gentibus, dicit Dominus omnipotens.

12. Vos autem contaminatis illud in eo quod dicitis : Mensa Domini polluta est, et qui superponuntur despecti sunt cibi ejus.

13. Et dixistis : Hæc de afflictione sunt, et exsufflavi ea, dicit Dominus omnipotens, et inferebatis rapinas, et clauda, et debilia : et si afferatis sacrificium, si suscipiam ea de manibus vestris, dicit Dominus omnipotens

14. Et maledictus qui erat potens, et habebat in grege suo masculum, et votum ejus super eo, et immolat corruptum Domino. Quia rex magnus ego sum, dicit Dominus omnipotens, et nomen meum illustre in gentibus.

CAPUT II.

1. Et nunc mandatum hoc ad vos, o sacerdotes.

2. Si non audieritis, et si non posueritis in cor vestrum, ut detis gloriam nomini meo, dicit Dominus omnipotens, et mittam super vos maledictionem, et maledicam benedictioni vestræ, et maledicam ei : et dissipabo benedictionem vestram, et non erit in vobis, quia vos non ponitis in cor vestrum.

3. Ecce ego separo vobis humerum, et dispergam ventriculum super facies vestras, ventriculum solemnitatum vestrarum, et suscipiam vos simul.

4. Et cognoscetis quia ego misi ad vos mandatum hoc, ut esset testamentum meum ad Levitas, dicit Dominus omnipotens.

5. Testamentum meum fuit cum eo vitæ et pacis, et dedi ei ut in timore timeret me, et a facie nominis mei formidaret.

6. Lex veritatis fuit in ore ejus, et iniquitas non est

ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας.

7. Ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ· διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν.

8. Ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ, καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην τοῦ Λευὶ, λέγει Κύριος παντοκράτωρ.

9. Κἀγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ ἀπεῤῥιμμένους εἰς πάντα τὰ ἔθνη· ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλὰ ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ.

10. Οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; Τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν;

11. Ἐγκατελείφθη Ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἱερουσαλήμ· διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια Κυρίου, ἐν οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους.

12. Ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακὼβ, καὶ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι·

13. Καὶ ταῦτα, ἃ ἐμίσουν, ἐποιεῖτε· ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον Κυρίου, καὶ κλαυθμῷ καὶ στεναγμῷ ἐκ κόπων. Ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν;

14. Καὶ εἴπατε· Ἕνεκεν τίνος; Ὅτι Κύριος διεμαρτύρατο ἀναμέσον σου καὶ ἀναμέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες, καὶ αὕτη κοινωνός σου, καὶ γυνὴ διαθήκης σου.

15. Καὶ οὐ καλὸν ἐποίησε, καὶ ὑπόλειμμα πνεύματος αὐτοῦ; Καὶ εἴπατε· Τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ Θεός; Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς,

16. ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει Κύριος παντοκράτωρ, καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ οὐ μὴ ἐγκαταλίπητε,

17. οἱ παροξύναντες τὸν Θεὸν ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε· Ἐν τίνι παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς· Πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε, καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης;

inventa in labiis ejus: in pace dirigens ambulavit mecum, et multos convertit ab iniquitate.

7. Quoniam labia sacerdotis custodient scientiam, et legem requirent ex ore ejus: quia angelus Domini omnipotentis est.

8. Vos autem declinastis de via, et infirmos fecistis multos in lege, corrupistis testamentum Levi, dicit Dominus omnipotens.

9. Et ego dedi vos contemptos et abjectos in omnes gentes: pro eo quod non custodistis vias meas, sed accipiebatis personas in lege.

10. Nonne pater unus omnium vestrum? Nonne Deus unus creavit vos? Quare reliquistis unusquisque fratrem suum: ut abominabile faceret testamentum patrum vestrorum?

11. Derelictus est Judas, et abominatio facta est in Israel et in Jerusalem: quia contaminavit Judas sancta Domini, in quibus dilexit, et adinvenit in diis alienis.

12. Disperdet Dominus hominem qui facit hæc, donec et humilietur de tabernaculis Jacob, et de his qui offerunt sacrificium Domino omnipotenti.

13. Et hæc, quæ oderam, faciebatis: operiebatis lacrymis altare Domini, et planctu et gemitu de laboribus. Adhuc dignum respicere sacrificium, aut suscipere acceptabile de manibus vestris?

14. Et dixistis: Propter quid? Quia Dominus testificatus est inter te et uxorem adolescentiæ tuæ, quam reliquisti, et hæc particeps tua, et uxor testamenti tui.

15. Et nonne bonum fecit, et reliquiæ spiritus ejus? Et dixistis: Quid aliud præter semen quærit Deus? Et custodite in spiritu vestro, et uxorem adolescentiæ tuæ ne derelinquas,

16. sed si odio habens dimiseris eam, dicit Dominus Deus Israel, et operiet impietas super cogitationes tuas, dicit Dominus omnipotens, et custodite in spiritu vestro, et nolite derelinquere,

17. qui provocastis Deum in sermonibus vestris, et dixistis: In quo provocavimus eum? In eo quod dicitis: Omnis qui facit malum, bonum est in conspectu Domini, et in his sibi complacuit, et ubi est Deus justitiæ?

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ·

2. καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς ποιὰ πλυνόντων.

3. Καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον, καὶ ὡς τὸ χρυσίον, καὶ καθαρίσει τοὺς υἱοὺς Λευὶ, καὶ χεεῖ αὐτοὺς ὥσπερ τὸ χρυσίον καὶ τὸ ἀργύριον. Καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ,

CAPUT III.

1. Ecce mitto angelum meum, et respiciet viam ante faciem meam, et subito veniet ad templum suum Dominus, quem vos quæritis, et angelus testamenti, quem vos vultis. Ecce venit, dicit Dominus omnipotens:

2. et quis sustinebit diem introitus ejus? aut quis ferre poterit ut aspiciat eum? Quia ipse ingreditur quasi ignis conflatorii, et quasi herba lavantium.

3. Sedebit conflans et emundans sicut argentum, et sicut aurum, et emundabit filios Levi, et fundet eos sicut aurum et argentum. Et erunt Domino offerentes hostiam in justitia,

4. καὶ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα καὶ Ἱερουσαλὴμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν.

5. Καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς, καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ, καὶ τοὺς καταδυναστεύοντας χήραν, καὶ τοὺς κονδυλίζοντας ὀρφανοὺς, καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου, καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος παντοκράτωρ.

6. Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι.

7. Καὶ ὑμεῖς, οἱ υἱοὶ Ἰακὼβ, οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἀδικιῶν τῶν πατέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου, καὶ οὐκ ἐφυλάξασθε. Ἐπιστρέψατε πρὸς μὲ, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος παντοκράτωρ. Καὶ εἴπατε· Ἐν τίνι ἐπιστρέψομεν;

8. Μήτι πτερνιεῖ ἄνθρωπος Θεόν; διότι ὑμεῖς πτερνίζετέ με. Καὶ ἐρεῖτε· Ἐν τίνι ἐπτερνίσαμέν σε; Ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσιν·

9. καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς πτερνίζετε. Τὸ ἔτος συνετελέσθη,

10. καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυροὺς, καὶ ἔσται ἡ διαρπαγὴ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ. Ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει Κύριος παντοκράτωρ. Ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ, καὶ ἐκχεῶ τὴν εὐλογίαν μου ὑμῖν, ἕως τοῦ ἱκανωθῆναι·

11. καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ, λέγει Κύριος παντοκράτωρ.

12. Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει Κύριος παντοκράτωρ.

13. Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει Κύριος, καὶ εἴπατε· Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ;

14. Εἴπατε· Μάταιος ὁ δουλεύων Θεῷ, καὶ τί πλέον, ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου παντοκράτορος;

15. Καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν τῷ Θεῷ, καὶ ἐσώθησαν.

16. Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Καὶ προσέσχε Κύριος, καὶ εἰσήκουσε, καὶ ἔγραψε βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν Κύριον, καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ.

17. Καὶ ἔσονταί μοι, λέγει Κύριος παντοκράτωρ, εἰς ἡμέραν ἣν ἐγὼ ποιῶ, εἰς περιποίησιν, καὶ αἱρετιῶ αὐτοὺς, ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, τὸν δουλεύοντα αὐτῷ.

18. Καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀναμέσον δικαίου καὶ ἀναμέσον ἀνόμου, καὶ ἀναμέσον τοῦ δουλεύοντος Θεῷ καὶ τοῦ μὴ δουλεύοντος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Διότι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει αὐτοὺς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες οἱ ποιοῦντες ἄνομα, καλάμη, καὶ ἀνάψει

4. et placebit Domino sacrificium Juda et Jerusalem, sicut dies sæculi, et sicut anni pristini.

5. Et accedam ad vos in judicio, et ero testis velox super maleficos, et super adulteras, et super eos qui jurant nomine meo in mendacio, et qui fraudant mercedem mercenarii, et qui opprimunt per potentiam viduam, et percutiunt pupillos, et pervertunt judicium advenæ, et qui non timent me, dicit Dominus omnipotens.

6. Quoniam ego Dominus Deus vester, et non mutor.

7. Et vos, filii Jacob, non recessistis ab injustitiis patrum vestrorum, declinastis legitima mea, et non custodistis. Revertimini ad me, et revertar ad vos, dicit Dominus omnipotens. Et dixistis : In quo revertemur?

8. Numquid supplantabit homo Deum? quia vos supplantatis me. Et dicetis : In quo supplantavimus te? Quia decimæ et primitiæ vobiscum sunt :

9. et vos respicientes respicitis, et me vos supplantatis. Annus impletus est,

10. et intulistis omnes fructus in thesauros, et erit rapina ejus in domo ejus. Revertimini ergo in hoc, dicit Dominus omnipotens. Nisi aperuero vobis cataractas cœli, et effudero benedictionem meam vobis, usque dum sufficiat :

11. et dividam vobis in cibum, et non disperdam fructum terræ vestræ, et non infirmabitur vinea vestra in agro, dicit Dominus omnipotens.

12. Et beatos vos dicent omnes gentes, quia eritis vos terra accepta, dicit Dominus omnipotens.

13. Ingravastis super me verba vestra, dicit Dominus, et dixistis : In quo locuti sumus contra te?

14. Dixistis : Vanus est qui servit Deo, et quid amplius, quia custodivimus custodias ejus, et quia ambulavimus supplices ante faciem Domini omnipotentis?

15. Et nunc nos beatos dicimus alienos, et ædificantur omnes qui faciunt iniqua, et restiterunt Deo, et salvi facti sunt.

16. Hæc oblocuti sunt qui timent Dominum, unusquisque ad proximum suum. Et attendit Dominus, et audivit, et scripsit librum monumenti in conspectu suo his qui timent Dominum, et qui reverentur nomen ejus.

17. Et erunt mihi, dicit Dominus omnipotens, in die qua ego facio, in acquisitionem, et eligam eos, sicut eligit homo filium suum, qui servit ei.

18. Et convertemini, et videbitis inter justum et iniquum, et inter servientem Deo et non servientem.

CAPUT IV.

1. Quia ecce dies venit ardens sicut clibanus, et comburet eos, et erunt omnes alienigenæ, et universi qui faciunt iniqua, stipula, et succendet eos dies veniens, dicit Domi-

αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα.

2. Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ· καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα·

3. καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ, λέγει Κύριος παντοκράτωρ.

5. Καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ,

6. ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην.

4. Μνήσθητε νόμου Μωϋσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ, προστάγματα καὶ δικαιώματα.

nus omnipotens, et non relinquetur ex eis radix neque ramus.

2. Et orietur vobis qui timetis nomen meum sol justitiæ, et sanitas in pennis ejus : et egrediemini, et salietis sicut vituli de vinculis relaxati :

3. et conculcabitis iniquos, quia erunt cinis subter pedes vestros in die qua ego facio, dicit Dominus omnipotens.

5. Et ecce ego mittam vobis Eliam Thesbiten, antequam veniat dies Domini magna et illustris,

6. qui convertet cor patris ad filium, et cor hominis ad proximum suum, ne forte veniam et percutiam terram penitus.

4. Mementote legis Moysi servi mei, sicut mandavi ei in Choreb ad omnem Israel, præcepta et justificationes.

ΗΣΑΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ, ἐν βασιλείᾳ Ὀζείου καὶ Ἰωάθαμ, καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας.

2. Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.

3. Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν.

4. Οὐαὶ, ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι· ἐγκατελίπατε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ.

5. Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην·

6. ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους.

7. Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων.

8. Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη.

9. Καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν.

10. Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόῤῥας.

ESAIAS.

CAPUT I.

1. Visio quam vidit Esaias filius Amos, quam vidit contra Judæam et contra Jerusalem, in regno Oziæ et Joatham, et Achaz et Ezeciæ, qui regnaverunt in Judæa.

2. Audi, cœlum, et auribus percipe, terra, quia Dominus locutus est : Filios genui et exaltavi, ipsi autem spreverunt me.

3. Cognovit bos possessorem, et asinus præsepe domini sui : Israel autem me non cognovit, et populus me non intellexit.

4. Væ gens peccatrix, populus plenus peccatis, semen nequam, filii scelesti : dereliquistis Dominum, et ad iracundiam concitastis sanctum Israel.

5. Quid adhuc percutiamini addentes iniquitatem? Omne caput in labore, et omne cor in mœrore :

6. a pedibus usque ad caput non est in eo integritas, neque vulnus, neque livor, neque plaga tumens : non est malagma imponere, neque oleum, neque alligaturas.

7. Terra vestra deserta, civitates vestræ igne succensæ : regionem vestram in conspectu vestro alieni devorant eam, et desolata est subversa a populis alienis.

8. Derelinquetur filia Sion sicut tabernaculum in vinea, et sicut pomorum custodia in cucumerario, sicut civitas expugnata.

9. Et nisi Dominus sabaoth reliquisset nobis semen, quasi Sodoma facti essemus, et quasi Gomorra similes essemus.

10. Audite verbum Domini, principes Sodomorum : attendite legi Dei, populus Gomorrhæ.

11. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν λέγει Κύριος; Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι·

12. οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προςθήσεσθε.

13. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι ἐστί. Τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν, καὶ ἀργίαν,

14. καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ἐγενήθητέ μοι εἰς πλησμονὴν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν.

15. Ὅταν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰςακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.

16. Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν,

17. μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν,

18. καὶ δεῦτε, διελεγχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ.

19. Καὶ ἐὰν θέλητε καὶ εἰςακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε.

20. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰςακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

21. Πῶς ἐγένετο πόρνη πόλις πιστὴ, Σιὼν πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί.

22. Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι·

23. οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσιν χηρῶν οὐ προσέχοντες.

24. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ δεσπότης σαβαώθ· Οὐαὶ οἱ ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω·

25. καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ πυρώσω εἰς καθαρόν· τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ.

26. Καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς. Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών.

27. Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης.

28. Καὶ συντριβήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν Κύριον συντελεσθήσονται.

29. Διότι αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο, καὶ ᾐσχύνθησαν ἐπὶ τοῖς κήποις ἃ ἐπεθύμησαν.

30. Ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων.

11. Quo mihi multitudinem sacrificiorum vestrorum dicit Dominus? Plenus sum holocaustis arietum, et adipem agnorum et sanguinem taurorum et hircorum nolo :

12. neque veniatis ut appareatis mihi : quis enim quæsivit hæc de manibus vestris? Calcare atrium meum non apponetis.

13. Si afferatis similam vanum, incensum, abominatio mihi est. Neomenias vestras, et sabbata, et diem magnum non fero : jejunium, et otium,

14. et neomenias vestras, et solemnitates vestras odit anima mea. Facti estis mihi in satietatem, nequaquam ultra dimittam peccata vestra.

15. Cum extenderitis manus, avertam oculos meos a vobis : et si multiplicetis orationem, non exaudiam vos, manus enim vestræ sanguine plenæ sunt.

16. Lavamini, mundi estote, auferte mala ex animabus vestris ab oculis meis, quiescite a malitiis vestris,

17. discite facere bonum, quærite judicium, liberate oppressum, judicate pupillo, et justificate viduam,

18. et venite, arguamur, dicit Dominus. Et si fuerint peccata vestra quasi phœniceum, sicut nivem dealbabo : et si fuerint ut coccinum, sicut lanam dealbabo.

19. Et si volueritis et audieritis me, bona terræ comedetis.

20. Si autem nolueritis, neque exaudieritis me, gladius devorabit vos : os enim Domini locutum est hæc.

21. Quomodo facta est meretrix civitas fidelis, Sion plena judicii? in qua dormivit justitia in ea, nunc autem homicidæ.

22. Argentum vestrum non probum, caupones tui miscent vinum aqua :

23. principes tui inobedientes sunt, participes furum, diligentes munera, sequentes retributionem, pupillis non judicantes, et judicio viduarum non attendentes.

24. Propterea hæc dicit Dominus dominator sabaoth : Væ fortes Israel! non cessabit enim furor meus contra adversarios, et judicium de inimicis meis faciam.

25. Et inducam manum meam super te, et excoquam ad purum : inobedientes autem perdam, et auferam omnes prævaricatores a te.

26. Et imponam judices tuos sicut prius, et consiliarios tuos sicut ab initio. Et post hæc vocaberis civitas justitiæ, metropolis fidelis Sion.

27. Nam cum judicio salvabitur captivitas ipsius, et cum misericordia.

28. Et conterentur scelesti, et peccatores simul, et qui dereliquerunt Dominum consumentur.

29. Confundentur enim ab idolis suis quæ ipsi volebant, et confusi sunt super hortis quos concupierunt.

30. Erunt enim quasi terebinthus quæ abjecit folia, et velut hortus non habens aquam.

31. Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σϐέσων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας, καὶ περὶ Ἱερουσαλήμ.

2. Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη.

3. Καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι· Δεῦτε, καὶ ἀναϐῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼϐ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.

4. Καὶ κρινεῖ ἀναμέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει λαὸν πολύν. Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιϐύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.

5. Καὶ νῦν, ὁ οἶκος Ἰακὼϐ, δεῦτε, πορευθῶμεν τῷ φωτὶ Κυρίου.

6. Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ· ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς.

7. Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν.

8. Καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν.

9. Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνὴρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς.

10. Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόϐου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.

11. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί· ὁ δὲ ἄνθρωπος ταπεινός. Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

12. Ἡμέρα γὰρ Κυρίου σαϐαὼθ ἐπὶ πάντα ὑϐριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται.

13. Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιϐάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασᾶν.

14. Καὶ ἐπὶ πᾶν ὑψηλὸν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν,

15. καὶ ἐπὶ πάντα πύργον ὑψηλὸν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν,

16. καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους.

17. Καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὕϐρις τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

18. Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν,

19. εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισ-

31. Et erit fortitudo eorum ut stipula stuppæ, et operationes eorum sicut scintillæ, et comburentur scelesti, et peccatores simul, et non erit qui exstinguat.

CAPUT II.

1. Verbum quod factum est ad Esaiam filium Amos de Judæa, et de Jerusalem.

2. Quia erit in novissimis diebus manifestus mons Domini, et domus Dei in vertice montium, et elevabitur super colles, et venient ad eum omnes gentes.

3. Et ibunt gentes multæ, et dicent: Venite, et ascendamus ad montem Domini, et ad domum Dei Jacob, et annuntiabit nobis viam suam, et ambulabimus in ea. Quia de Sion exibit lex, et verbum Domini de Jerusalem.

4. Et judicabit inter gentes, et arguet populum multum. Et contundent gladios suos in aratra, et lanceas suas in falces: et non levabit gens contra gentem gladium, et non discent ultra bellare.

5. Et nunc, domus Jacob, venite, ambulemus lumine Domini.

6. Dimisit enim populum suum domum Israel: quia repleta est ut ab initio regio eorum auguriis, ut ea quæ alienigenarum, et filii multi alienigenæ facti sunt eis.

7. Repleta est enim regio eorum argento et auro, et non fuit numerus thesaurorum eorum.

8. Et impleta est terra equis, et non fuit numerus quadrigarum eorum. Et repleta est terra abominationibus operum manuum eorum, et adoraverunt ea quæ fecerant digiti ipsorum.

9. Et procubuit homo, et humiliatus est vir, et non dimittam eos.

10. Et nunc ingredimini in petras, et occultamini in terram a facie timoris Domini, et a gloria fortitudinis ejus, quando surrexerit quassare terram.

11. Oculi enim Domini sublimes: homo autem humilis. Et humiliabitur altitudo hominum, et exaltabitur Dominus solus in die illa.

12. Dies enim Domini sabaoth super omnem contumeliosum et superbum, et super omnem excelsum et sublimem, et humiliabuntur.

13. Et super omnem cedrum Libani excelsarum et sublimium, et super omnem arborem glandis Basan.

14. Et super omnem excelsum montem, et super omnem collem excelsum,

15. et super omnem turrim excelsam, et super omnem murum excelsum,

16. et super omne navigium maris, et super omnem aspectum pulchritudinis navium.

17. Et humiliabitur omnis homo, et cadet contumelia hominum, et exaltabitur Dominus solus in die illa.

18. Et manufacta omnia abscondent,

19. inferentes in speluncas et in scissuras petrarum et in

μὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προςώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.

20. Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν προςκυνεῖν τοῖς ματαίοις, καὶ ταῖς νυκτερίσι,

21. τοῦ εἰςελθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προςώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. (*)

cavernas terræ, a facie timoris Domini, et a gloria fortitudinis ejus, cum surrexerit frangere terram.

20. Die enim illa ejiciet homo abominationes suas argenteas et aureas, quas fecerunt ad adorandum vana, et vespertiliones,

21. ad intrandum in cavernas firmæ petræ, et in scissuras petrarum a facie timoris Domini, et a gloria fortitudinis ejus, cum surrexerit frangere terram.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ Ἱερουσαλὴμ, καὶ ἀπὸ τῆς Ἰουδαίας ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος,

2. γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστὴν, καὶ δικαστὴν, καὶ προφήτην, καὶ στοχαστὴν, καὶ πρεσβύτερον,

3. καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν.

4. Καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσι αὐτῶν.

5. Καὶ συμπεσεῖται ὁ λαὸς, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ· προκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ἄτιμος πρὸς τὸν ἔντιμον,

6. ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω.

7. Καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ· Οὐκ ἔσομαί σου ἀρχηγὸς, οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου,

8. ὅτι ἀνεῖται Ἱερουσαλὴμ, καὶ ἡ Ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντες.

9. Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη τοῦ προςώπου αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν,

10. εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται.

11. Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ.

12. Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν· λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν.

13. Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ.

14. Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν;

15. Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν καταισχύνετε;

CAPUT III.

1. Ecce itaque dominator Dominus sabaoth aufert de Jerusalem, et de Judæa validum et validam, robur panis et robur aquæ,

2. gigantem et fortem, et hominem bellatorem, et judicem, et prophetam, et conjectorem, et presbyterum,

3. et quinquagenarium, et admirabilem consiliarium, et sapientem architectum, et prudentem auditorem.

4. Et imponam adolescentes principes eorum, et illusores dominabuntur eis.

5. Et corruet populus, homo ad hominem, et homo ad proximum suum : impinget puer ad senem, et inhonoratus ad honoratum,

6. quia apprehendet homo fratrem suum, vel domesticum patris sui, dicens : Vestimentum habes, princeps esto nostrum, et cibus meus sub te sit.

7. Et respondens in die illa dicet : Non ero tuus princeps, non enim est in domo mea panis, neque vestimentum : non ero princeps populi hujus,

8. quia dissoluta est Jerusalem, et Judæa concidit, et linguæ eorum cum iniquitate, in his quæ ad Dominum increduli.

9. Quare nunc humiliata est gloria eorum, et confusio vultus eorum restitit eis : et peccatum suum quasi Sodomorum annuntiaverunt et ostenderunt. Væ animæ eorum, quoniam consiliati sunt consilium pessimum contra semetipsos,

10. dicentes : Alligemus justum, quoniam inutilis est nobis. Itaque fructus operum suorum comedent.

11. Væ iniquo! mala secundum opera manuum ejus accident ei.

12. Popule meus, exactores vestri spoliant vos, et exigentes dominantur vobis : popule meus, qui beatos vos dicunt decipiunt vos, et semitam pedum vestrorum turbant.

13. Sed nunc stabit in judicio Dominus, et statuet ad judicium populum suum.

14. Ipse Dominus ad judicium veniet cum senioribus populi, et cum principibus ejus. Vos autem quare incendistis vineam meam, et rapina pauperis in domibus vestris?

15. Quare vos injuriis afficitis populum meum, et faciem pauperum confunditis?

---

22. Παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, ᾧ ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτός; (*Compl. ex Aquil.*)

22. Quiescite ab homine, cujus spiritus in naribus ejus est, quoniam in quo reputatus est ipse?

16. Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι,

17. καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν

18. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, τὰ ἐμπλόκια, καὶ τοὺς κοσύμβους, καὶ τοὺς μηνίσκους,

19. καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν,

20. καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλια, καὶ τὸ ἐμπλόκιον, καὶ τοὺς δακτυλίους, καὶ τὰ περιδέξια, καὶ τὰ ἐνώτια,

21. καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα,

22. καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικὰ,

23. καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένα, καὶ θέριστρα κατάκλιτα.

24. Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτὸς, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ· καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου· καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον.

25. Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται,

26. καὶ ταπεινωθήσονται, καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν· καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.

16. Hæc dicit Dominus : Pro eo quod exaltatæ sunt filiæ Sion, et ambulaverunt collo excelso, et in nutibus oculorum, et incessu pedum simul trahentes tunicas, et pedibus simul ludentes,

17. et humiliabit Deus principales filias Sion, et Dominus denudabit habitum earum

18. in die illa, et auferet Dominus gloriam vestimenti earum, et reticulos, et cincinnos, et lunulas,

19. et monile demissum, et ornatum faciei eorum,

20. et compositionem ornatus gloriæ, et brachialia, et armillas, et reticulum, et annulos, et dextralia, et inaures,

21. et prætextas purpureas, et purpuras clavatas,

22. et indumenta quæ per domum, et perspicua laconica,

23. et byssina, et hyacinthina, et coccinea, et byssum cum auro et hyacintho contexta, et theristra accubitoria.

24. Et erit pro odore suavi pulvis, et pro zona funiculo cingeris : et pro ornamento capitis aureo calvitium habebis propter opera tua : et pro tunica clavatæ purpuræ circumcingeris sacco.

25. Et filius tuus pulcherrimus, quem diligis, gladio cadet, et fortes vestri gladio cadent,

26. et humiliabuntur, atque lugebunt thecæ ornatus vestri : et relinqueris sola, et ad terram allideris.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς, λέγουσαι· Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν.

2. Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ.

3. Καὶ ἔσται, τὸ ὑπολειφθὲν ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ.

4. Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως.

5. Καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ φωτὸς πυρὸς καιομένου νυκτὸς, καὶ πάσῃ τῇ δόξῃ σκεπασθήσεται.

6. Καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

CAPUT IV.

1. Et apprehendent septem mulieres hominem unum, dicentes : Panem nostrum comedemus, et vestimentis nostris operiemur : tantummodo nomen tuum vocetur super nos, aufer opprobrium nostrum.

2. Die autem illa illucescet Deus in consilio cum gloria super terram, ut exaltet et glorificet residuum Israel.

3. Et erit, quod reliquum fuerit in Sion, et quod remanserit in Jerusalem, sancti vocabuntur omnes scripti ad vitam in Jerusalem.

4. Abluet enim Dominus sordem filiorum et filiarum Sion, et sanguinem emundabit de medio eorum, in spiritu judicii et spiritu combustionis.

5. Et veniet, et erit omnis locus montis Sion, et omnia quæ in circuitu ejus sunt obumbrabit nubes per diem, et tanquam fumo et luce ignis ardente per noctem, et omni gloria protegetur.

6. Et erit in umbram ab æstu, et in protectionem et in absconsionem ab asperitate et pluvia.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι.

2. Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρὴχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, καὶ ἐποίησεν ἀκάνθας.

CAPUT V.

1. Cantabo nunc dilecto canticum dilecti mei vineæ meæ. Vinea facta est dilecto, in cornu, in loco pingui.

2. Et sepem circumposui, et vallavi, et plantavi vineam Sorec, et ædificavi turrim in medio ejus, et torcular fodi in ea, et exspectavi ut faceret uvam, et fecit spinas.

3. Καὶ νῦν, οἱ ἐνοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε ἐν ἐμοὶ καὶ ἀναμέσον τοῦ ἀμπελῶνός μου.

4. Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐχ ἐποίησα αὐτῷ; Διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας.

5. Νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ἐγὼ ποιήσω τῷ ἀμπελῶνί μου. Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα.

6. Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ τμηθῇ, οὐδὲ μὴ σκαφῇ· καὶ ἀναβήσονται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν.

7. Ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. Ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.

8. Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι· μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;

9. Ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου σαβαὼθ ταῦτα· ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἔρημον ἔσονται· μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς.

10. Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία.

11. Οὐαὶ οἱ ἐγειρόμενοι τοπρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει.

12. Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι.

13. Τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον· καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψος ὕδατος.

14. Καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν. Καὶ καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς·

15. καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνὴρ, καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται.

16. Καὶ ὑψωθήσεται Κύριος σαβαὼθ ἐν κρίματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ·

17. καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται.

18. Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας·

19. οἱ λέγοντες· Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν· καὶ ἐλθάτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν.

20. Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ τιθέντες πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν.

21. Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

3. Et nunc, habitatores Jerusalem, et homo Juda, judicate in me et inter vineam meam.

4. Quid faciam ultra vineæ meæ, et non feci ei? Quoniam exspectavi ut faceret uvam, fecit autem spinas.

5. Nunc autem annuntiabo vobis quid ego faciam vineæ meæ. Auferam sepem ejus, et erit in direptionem : et diruam murum ejus, et erit in conculcationem.

6. Et dimittam vineam meam, et non putabitur, neque fodietur : et ascendent in eam tamquam in terram incultam spinæ : et nubibus mandabo, ne pluant in eam imbrem.

7. Vinea enim Domini sabaoth domus Israel, et homo Juda novella plantatio dilecta. Exspectavi ut faceret judicium, fecit autem iniquitatem, et non justitiam, sed clamorem.

8. Væ qui conjungunt domum ad domum, et agrum ad agrum appropinquant, ut a proximo auferant aliquid : numquid habitabitis soli super terram?

9. Audita enim sunt hæc in auribus Domini sabaoth : Nam si fuerint domus multæ, in desertum erunt : magnæ et pulchræ, et non erunt qui habitant in eis.

10. Ubi enim operantur decem juga boum, faciet lagunculam unam : et qui seminat artabas sex, faciet mensuras tres.

11. Væ qui surgunt mane, et siceram sequuntur, qui exspectant vesperam : vinum enim comburet eos.

12. Nam cum cithara et psalterio et tympanis et tibiis vinum bibunt, opera autem Domini non respiciunt, et opera manuum ejus non considerant.

13. Ergo captivus populus meus factus est, eo quod ipsi non cognoverunt Dominum : et facta est multitudo mortuorum propter famem et sitim aquæ.

14. Et dilatavit infernus animam suam, et aperuit os suum, ut non cesset. Et descendent inclyti et magni et divites et pestilentes ejus :

15. et humiliabitur homo, et dehonorabitur vir, et oculi sublimes humiliabuntur.

16. Et exaltabitur Dominus sabaoth in judicio, et Deus sanctus glorificabitur in justitia :

17. et pascentur direpti quasi tauri, et deserta eorum qui capti sunt agni comedent.

18. Væ qui trahunt peccata quasi funiculo longo, et quasi jugi corrigia vitulæ iniquitates :

19. qui dicunt : Cito appropinquent quæ faciet, ut videamus : et veniat consilium sancti Israel, ut cognoscamus.

20. Væ qui dicunt malum bonum, et bonum malum, qui ponunt tenebras lucem, et lucem tenebras, qui ponunt amarum dulce, et dulce amarum.

21. Væ qui sunt arguti in semetipsis, et coram semetipsis scientes.

22. Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται οἱ κεραννύντες τὸ σίκερα,

23. οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες.

24. Διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται· οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου σαβαὼθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν.

25. Καὶ ἐθυμώθη ὀργῇ Κύριος σαβαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα ἐπ' αὐτοὺς, καὶ ἐπάταξεν αὐτούς. Καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κόπρια ἐν μέσῳ ὁδοῦ. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλὰ ἔτι ἡ χεὶρ ὑψηλή.

26. Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρὰν, καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς, καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται.

27. Οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσιν, οὐδὲ κοιμηθήσονται, οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν.

28. Ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν· οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς·

29. ὀργιῶσιν ὡς λέοντες, καὶ παρέστηκαν ὡς σκύμνοι λέοντος. Καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς.

30. Καὶ βοήσει δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης· καὶ ἐμβλέψονται εἰς τὴν γῆν, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ.

2. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο.

3. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.

4. Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ.

5. Καὶ εἶπον· Ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου.

6. Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου,

7. καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

8. Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με.

22. Væ valentes vestri, qui bibunt vinum, et potentes qui miscent siceram,

23. qui justificant impium propter munera, et justum justi tollunt.

24. Propter hoc sicut uretur stipula a carbone ignis, et comburetur a flamma resoluta, radix eorum quasi lanugo erit, et flos eorum quasi pulvis ascendet : non enim voluerunt legem Domini sabaoth, sed eloquium sancti Israel irritaverunt.

25. Et indignatus est ira Dominus sabaoth super populum suum, et immisit manum suam super eos, et percussit eos. Et acerbati sunt montes, et facta sunt morticina eorum sicut stercus in medio viæ. Et in omnibus his non est aversus furor ejus, sed adhuc manus excelsa.

26. Ergo levabit signum in nationibus quæ procul, et sibilabit eos ab extremo terræ, et ecce cito leviter veniunt.

27. Non esurient, neque laborabunt, neque dormitabunt, neque dormient, neque solvent zonas suas a lumbo suo, neque rumpentur corrigiæ calceamentorum eorum.

28. Quorum sagittæ acutæ sunt, et arcus eorum intenti : pedes equorum eorum quasi solida petra reputati sunt : rotæ curruum eorum quasi tempestas :

29. fremunt ut leones, et adstiterunt sicut catuli leonum. Et apprehendet, et clamabit quasi fera, et ejiciet, et non erit qui liberet eos.

30. Et clamabit propter eos in die illa, sicut vox maris fluctuantis : et respicient in terram, et ecce tenebræ duræ in indigentia eorum.

CAPUT VI.

1. Et factum est anno quo mortuus est Ozias rex, vidi Dominum sedentem super thronum excelsum et elevatum, et plena domus gloria ejus.

2. Et Seraphim stabant in circuitu ejus : sex alæ uni, et sex alæ uni : et duabus quidem operiebant faciem, duabus autem operiebant pedes, et duabus volabant.

3. Et clamabat alter ad alterum, et dicebant : Sanctus, sanctus, sanctus Dominus sabaoth, plena est omnis terra gloria ejus.

4. Et elevatum est superliminare a voce qua clamabant, et domus impleta est fumo.

5. Et dixi : O miser ego, quia compunctus sum, quia homo cum sim, et immunda labia habens, in medio populi immunda labia habentis ego habito, et regem Dominum sabaoth vidi oculis meis.

6. Et missus est ad me unus de Seraphim, et in manu habebat carbonem, quem forcipe sumpsit de altari,

7. et tetigit os meum, et dixit : Ecce tetigit hoc labia tua, et auferet iniquitates tuas, et peccata tua circumpurgabit.

8. Et audivi vocem Domini dicentis : Quem mittam, et quis ibit ad populum hunc ? Et dixi : Ecce ego sum, mitte me.

9. Καὶ εἶπε· Πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε·

10. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶ ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς.

11. Καὶ εἶπα· Ἕως πότε, Κύριε; Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις, παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος.

12. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς,

13. καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς, (*)

9. Et dixit: Vade, et dic populo huic: Auditu audietis et non intelligetis, et videntes videbitis et non perspicietis:

10. incrassatum est enim cor populi hujus, et auribus suis graviter audierunt, et oculos compresserunt, ne forte videant oculis, et auribus audiant, et corde intelligant, et convertant se, et sanabo illos.

11. Et dixi: Usquequo, Domine? Et dixit: Donec desolatæ fuerint civitates, eo quod non habitentur, et domus eo quod non sint homines, et terra derelinquetur deserta.

12. Et post hæc longe faciet Deus homines, et multiplicabuntur derelicti super terram,

13. et adhuc super ipsam est decimatio, et rursum erit in deprædationem sicut terebinthus et sicut glans, cum exciderit e theca sua,

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαμ τοῦ υἱοῦ Ὀζίου, βασιλέως Ἰούδα, ἀνέβη Ῥασὶν βασιλεὺς Ἀρὰμ, καὶ Φακεὲ υἱὸς Ῥομελίου, βασιλεὺς Ἰσραὴλ, ἐπὶ Ἱερουσαλὴμ, πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν.

2. Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαυὶδ, λέγων· Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραὶμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ.

3. Καὶ εἶπε Κύριος πρὸς Ἡσαΐαν· Ἔξελθε εἰς συνάντησιν Ἄχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου, πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ ἀγροῦ τοῦ κναφέως,

4. καὶ ἐρεῖς αὐτῷ· Φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι.

5. Καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ, καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν.

6. Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ.

7. Τάδε λέγει Κύριος σαβαώθ· Οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται,

8. ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασίμ. Ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν, ἐκλείψει ἡ βασιλεία Ἐφραὶμ ἀπὸ λαοῦ,

9. καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου. Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε.

10. Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων·

11. Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος.

12. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον.

13. Καὶ εἶπεν· Ἀκούσατε δὴ, οἶκος Δαυίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα;

CAPUT VII.

1. Et factum est in diebus Achaz filii Joatham filii Oziæ, regis Juda, ascendit Rasin rex Aram, et Phacee filius Romeliæ, rex Israel, super Jerusalem, ad oppugnandam eam, et non potuerunt expugnare eam.

2. Et annuntiatum est in domum David, dicendo: Consensit Aram cum Ephraim, et expavit anima ejus, et anima populi sui, quomodo in sylva lignum a spiritu commoveatur.

3. Et dixit Dominus ad Esaiam: Egredere in occursum Achaz, tu et qui derelictus est Jasub filius tuus, ad piscinam superioris viæ agri fullonis,

4. et dices ei: Observa ut sileas, et noli timere, neque anima tua infirmetur a duobus lignis titionum fumigantium istorum; cum enim ira furoris mei exstiterit, rursus sanabo.

5. Et filius Aram, et filius Romeliæ, quoniam inierunt consilium pessimum.

6. Ascendamus in Judæam, et colloquentes eis avertemus eos ad nos, et faciemus regem ejus filium Tabeel.

7. Hæc dicit Dominus sabaoth: Non stabit consilium hoc, neque erit,

8. sed caput Aram Damascus, et caput Damasci Rasim. Sed adhuc sexaginta et quinque annis, deficiet regnum Ephraim de populo,

9. et caput Ephraim Somorom, et caput Somorom filius Romeliæ. Et nisi credideritis, non intelligetis.

10. Et adjecit Dominus loqui ad Achaz, dicens:

11. Pete tibi signum a Domino Deo tuo in profundum, sive in excelsum.

12. Et dixit Achaz: Non petam, neque tentabo Dominum.

13. Et dixit: Audite nunc, domus David: Numquid parum vobis est certamen præbere hominibus, et quomodo Domino præbetis certamen?

(*) 13. ... σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. (*Theod.*)

13. ... semen sanctum columna fundationis ejus.

14. Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

15. Βούτυρον καὶ μέλι φάγεται πρινὴ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξασθαι τὸ ἀγαθόν.

16. Διότι πρινὴ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, ἐκλέξασθαι τὸ ἀγαθόν. Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων.

17. Ἀλλὰ ἐπάξει ὁ Θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων.

18. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ Κύριος μυίαις, ὃ κυριεύσει μέρος ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων.

19. Καὶ ἐλεύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα.

20. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει Κύριος ἐν τῷ ξυρῷ τῷ μεμισθωμένῳ πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων τὴν κεφαλὴν, καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ.

21. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα.

22. Καὶ ἔσται, ἀπὸ τοῦ πλεῖστον πιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς.

23. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν,

24. μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ· ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ,

25. καὶ πᾶν ὄρος ἠροτριωμένον ἀροτριωθήσεται. Οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. Ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου, καὶ καταπάτημα βοός.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ εἶπε Κύριος πρός μέ· Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστι γάρ·

2. καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν καὶ Ζαχαρίαν υἱὸν Βαραχίου.

3. Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπε Κύριός μοι· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, ὀξέως προνόμευσον·

4. διότι, πρινὴ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων.

5. Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι·

6. Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥασσὶν καὶ τὸν υἱὸν Ῥομελίου βασιλέα ἐφ' ὑμῶν,

7. διὰ τοῦτο ἰδοὺ Κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ· καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν,

8. καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς δυνή-

14. Propterea dabit Dominus ipse vobis signum. Ecce virgo in utero concipiet, et pariet filium, et vocabis nomen ejus Emmanuel.

15. Butyrum et mel comedet antequam sciat aut præeligere mala, eligere bonum.

16. Quoniam antequam cognoscat puer bonum vel malum, reprobat malitiam, eligendo bonum. Et relinquetur terra, quam tu times, a facie duorum regum.

17. Sed adducet Dominus super te et super populum tuum et super domum patris tui dies, qui necdum venerunt ex qua die abstulit Ephraim a Juda regem Assyriorum.

18. Et erit, in die illa sibilabit Dominus muscis, qui dominabitur parti fluminis Ægypti, et api quæ est in regione Assyriorum.

19. Et venient omnes in convalles regionis, et in cavernas petrarum, et in speluncas, et in omnem fissuram.

20. In die illa radet Dominus in novacula conducta trans flumen regis Assyriorum caput, et pilos pedum et barbam auferet.

21. Et erit, in die illa nutriet homo vaccam boum, et duas oves.

22. Et erit, ex plurima potione lactis, butyrum et mel comedet omnis relictus super terram.

23. Et erit in die illa, omnis locus ubi fuerint mille vites mille siclorum, in desertum erunt et in spinam,

24. cum sagitta et arcu ingredientur illuc: quoniam desertum et spina erit omnis terra,

25. et omnis mons arando arabitur. Non superveniet illuc timor. Erit enim præ solitudine et spina in pastum ovis, et conculcationem bovis.

CAPUT VIII.

1. Et dixit Dominus ad me: Sume tibi tomum novi magni, et scribe in eo hominis stylo, ut velociter deprædationem faciat spoliorum: adest enim:

2. et testes mihi fac fideles homines, Uriam et Zachariam filium Barachiæ.

3. Et accessi ad prophetissam, et in utero concepit, et peperit filium. Et dixit Dominus mihi: Voca nomen ejus, Cito spolia, velociter deprædare:

4. quia, antequam sciat puer vocare patrem aut matrem, tollet virtutem Damasci, et spolia Samariæ coram rege Assyriorum.

5. Et adjecit Dominus loqui mihi adhuc:

6. Eo quod populus hic non vult aquam Siloam quæ vadit cum silentio, sed vult habere Rasin et filium Romeliæ regem super vos,

7. propterea ecce Dominus adducit super vos aquam fluminis fortem et multam, regem Assyriorum, et gloriam ejus: et ascendet super omnem convallem vestram, et ambulabit super omnem murum vestrum,

8. et auferet de Judæa hominem qui possit caput levare,

σεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου· μεθ' ἡμῶν ὁ Θεός.

9. Γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, ἰσχυκότες, ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε·

10. καὶ ἣν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ὑμῶν ὁ Θεός.

11. Οὕτω λέγει Κύριος· Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου, λέγοντες·

12. Μήποτε εἴπωσι, Σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστι. Τὸν δὲ φόβον αὐτοῦ οὐ μὴ φοβηθῆτε οὐδὲ μὴ ταραχθῆτε.

13. Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος.

14. Κἂν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε, οὐδὲ ὡς πέτρας πτώματι· Οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ·

15. διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ πεσοῦνται καὶ συντριβήσονται, καὶ ἐγγιοῦσι, καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ.

16. Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν.

17. Καὶ ἐρεῖ· Μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ.

18. Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. Καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου σαβαὼθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών.

19. Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐχ ἔθνος πρὸς θεὸν αὐτοῦ ἐκζητήσουσι; Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς;

20. Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν· Οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ.

21. Καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμὸς, καὶ ἔσται, ὡς ἂν πεινάσητε, λυπηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια, καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω,

22. καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται· καὶ ἰδοὺ ἀπορία στενὴ καὶ σκότος, θλῖψις καὶ στενοχωρία καὶ σκότος, ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν, ἡ γῆ Νεφθαλὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν, καὶ πέραν τοῦ Ἰορδάνου Γαλιλαία τῶν ἐθνῶν.

2. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς·

3. τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου· καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα·

4. διότι ἀφῄρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ·

aut fortem aliquid facere. Et erunt castra ejus, ut impleant latitudinem regionis tuæ, nobiscum Deus.

9. Cognoscite, gentes, et vincimini : exaudite usque ad extremum terræ, qui prævaluistis, vincimini. Nam si rursus prævalueritis, rursus vincemini :

10. et quodcumque consilium consultaveritis, dissipabit Dominus : et verbum quodcumque locuti fueritis, non manebit in vobis, quia nobiscum Deus.

11. Sic dicit Dominus : Forti manu recedunt ab itinere viæ populi hujus, dicentes :

12. Ne forte dicant, Durum. Omne enim quicquid dixerit populus iste, durum est. Timorem autem ejus ne timueritis neque conturbemini.

13. Dominum ipsum sanctificate, et ipse erit timor tuus.

14. Et si in ipso confisus fueris, erit tibi in sanctificationem, et non ut lapidi offensionis occurretis, neque ut petræ ruinæ. Domus autem Jacob in laqueo, et in convalle sedentes in Jerusalem :

15. ideo infirmi erunt in ipsis plurimi, et cadent et conterentur, et appropinquabunt, et capientur homines in tuitione.

16. Tunc manifesti erunt qui signantur ut non discant legem.

17. Et dicet : Exspectabo Deum qui avertit faciem suam a domo Jacob, et fidens ero super eum.

18. Ecce ego et pueri quos dedit mihi Deus. Et erunt signa et portenta in domo Israel a Domino sabaoth, qui habitat in monte Sion.

19. Et si dixerint ad vos : Quærite ventriloquos, et eos qui de terra loquuntur, vana loquentes, qui de ventre clamitant, nonne gens ad deum suum exquirent? Quid exquirunt de vivis mortuos ?

20. Legem enim in auxilium dedit, ut dicant : Non sicut verbum hoc, pro quo non est dare munera pro eo.

21. Et veniet super vos dura fames, et erit, ut esurieritis, contristabimini et maledicetis principem et paterna, et suspicient in cœlum sursum,

22. et in terram deorsum inspicient : et ecce egestas angusta et tenebræ, tribulatio et angustia et tenebræ, ita ut non sit videre, et non deficiet qui in angustia fuerit usque ad tempus.

CAPUT IX.

1. Hoc primum bibe, velociter fac, regio Zabulon, terra Nephthalim, et reliqui qui juxta mare, et trans Jordanem Galilæa gentium.

2. Populus qui ambulabat in tenebris, videte lumen magnum : qui habitatis in regione umbra mortis, lumen lucebit super vos :

3. plurima pars populi, quam deduxisti in lætitia tua : et lætabuntur in conspectu tuo, sicut qui lætantur in messe, et sicut hi qui dividunt spolia :

4. quia ablatum est jugum quod supra ipsos erat positum, et virga quæ super collum eorum. Virgam enim exigentium dissipavit, sicut die quæ super Madiam :

5. ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν· καὶ θελήσουσιν, εἰ ἐγένοντο πυρίκαυστοι.

(*) 6. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος. Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, καὶ ὑγίειαν αὐτῷ.

7. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· ὁ ζῆλος Κυρίου σαβαὼθ ποιήσει ταῦτα.

8. Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ.

9. Καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ Ἐφραὶμ, καὶ οἱ καθήμενοι ἐν Σαμαρείᾳ, ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες·

10. Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε, λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον.

11. Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος Σιὼν ἐπὶ αὐτὸν, καὶ τοὺς ἐχθροὺς διασκεδάσει·

12. Συρίαν ἀφ' ἡλίου ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

13. Καὶ ὁ λαὸς οὐκ ἐπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν.

14. Καὶ ἀφεῖλε Κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐρὰν, μέγαν καὶ μικρὸν, ἐν μιᾷ ἡμέρᾳ,

15. πρεσβύτην, καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας· αὕτη ἡ ἀρχὴ, καὶ προφήτην διδάσκοντα ἄνομα· οὗτος ἡ οὐρά.

16. Καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν, ὅπως καταπίνωσιν αὐτούς.

17. Διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται ὁ Κύριος, καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει, ὅτι πάντες ἄνομοι καὶ πονηροὶ, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

18. Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός· καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα·

19. διὰ θυμὸν ὀργῆς Κυρίου συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς κατακεκαυμένος ὑπὸ πυρὸς, ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει,

20. ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιὰ, ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραὶμ, καὶ Ἐφραὶμ τοῦ Μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν.

21. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

5. quia omnem stolam congregatam dolo, et vestimentum cum commutatione restituent : et cupient, si fiant igne combusti.

6. Quia parvulus natus est nobis, filius et datus est nobis, cujus principatus factus est super humerum ejus, et vocatur nomen ejus, magni consilii angelus. Adducam enim pacem super principes, et sanitatem ei.

7. Magnus principatus illius, et pacis ejus non est terminus : super thronum David, et regnum ejus, ut corrigat illud, et auxilietur in judicio et in justitia, ex hoc nunc et in sæculum : zelus Domini sabaoth faciet hæc.

8. Mortem misit Dominus super Jacob, et venit super Israel.

9. Et cognoscent omnis populus Ephraim, et sedentes in Samaria, in contumelia et excelso corde dicentes :

10. Lateres ceciderunt, sed venite, dolemus lapides, et succidamus sycomoros et cedros, et ædificemus nobis turrim.

11. Et allidet Deus eos qui consurgunt contra montem Sion super eum, et inimicos dissipabit :

12. Syriam a solis ortu, et Græcos a solis occasu, devorantes Israel toto ore. In omnibus his non est aversus furor, sed adhuc manus excelsa.

13. Et populus non est reversus, donec percussus est, et Dominum non quæsierunt.

14. Et abstulit Dominus ab Israel caput et caudam, magnum et parvum, in una die,

15. senem, et eos qui facies admirantur : hoc est principium, et prophetam docentem iniqua : hic est cauda.

16. Et erunt qui beatum dicunt populum istum seducentes, et seducunt, ut devorent eos.

17. Propter hoc super adolescentulis eorum non lætabitur Dominus, et pupillorum eorum et viduarum eorum non miserebitur, quoniam omnes iniqui et nequam, et omne os loquitur injusta. In omnibus his non est aversus furor, sed adhuc manus excelsa.

18. Et succendetur quasi ignis iniquitas, et tamquam gramen siccum vorabitur ab igne : et succendetur in densitatibus saltus, et devorabit quæ in circuitu collium omnia :

19. propter furorem iræ Domini combusta est tota terra, et erit populus tamquam combustus ab igne, homo fratris sui non miserebitur,

20. sed declinabit ad dexteram, quia esuriet, et comedet a sinistris, et non saturabitur homo comedens carnes brachii sui. Comedet enim Manasses Ephraim, et Ephraim Manassem, quoniam simul oppugnabunt Judam.

21. In his omnibus non est aversus furor, sed adhuc manus excelsa.

(*) 6. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῷ. (*Alex.*)

6. Quoniam parvulus natus est nobis, et filius datus est nobis, cujus factus est principatus super humerum ejus : et vocatur nomen ejus magni consilii angelus, admirabilis, consiliarius, fortis, potens, princeps pacis, pater futuri sæculi. Ego enim adducam pacem super principes, pacem et sanitatem ipsi.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Οὐαὶ τοῖς γράφουσι πονηρίαν, γράφοντες γὰρ πονηρίαν γράφουσιν·

2. ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρῖμα πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς χήραν εἰς διάρπαγὴν, καὶ ὀρφανὸν εἰς προνομήν.

3. Καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; Ἡ γὰρ θλῖψις ὑμῖν πόῤῥωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν,

4. τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν; Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργὴ, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

5. Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου, καὶ ὀργή ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν.

6. Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομὴν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν.

7. Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται· ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ ἔθνη ἐξολοθρεῦσαι οὐκ ὀλίγα.

8. Καὶ ἐὰν εἴπωσιν αὐτῷ· Σὺ μόνος εἶ ἄρχων,

9. καὶ ἐρεῖ· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύργος ᾠκοδομήθη, καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν;

10. Ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς ἀρχὰς λήψομαι. Ὀλολύξατε, τὰ γλυπτὰ, ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ.

11. Ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐτῆς.

12. Καὶ ἔσται, ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν καὶ Ἱερουσαλὴμ, ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ.

13. Εἶπε γάρ· Ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω·

14. καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ· καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι.

15. Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; Ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; Ὡς ἄν τις ἄρῃ ῥάβδον ἢ ξύλον· καὶ οὐχ οὕτως,

16. ἀλλὰ ἀποστελεῖ Κύριος σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται.

17. Καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην.

18. Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοὶ, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Καὶ ἔσται ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης·

19. καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται, καὶ παιδίον γράψει αὐτούς.

20. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραὴλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας

CAPUT X.

1. Væ scribentibus iniquitatem! scribentes enim iniquitatem scribunt :

2. declinantes judicium inopum, rapientes causam pauperum populi mei, ut sit ipsis vidua in direptionem, et pupillus in prædam.

3. Et quid facient in die visitationis? Tribulatio enim vobis de longe veniet : et ad quem confugietis ut auxilium consequamini? et ubi derelinquetis gloriam vestram,

4. ut non incidatis in abductionem? In omnibus his non est aversa ira, sed adhuc manus excelsa.

5. Væ Assyriis! virga furoris mei, et ira est in manibus eorum.

6. Iram meam in gentem iniquam mittam, et populo meo præcipiam ut faciat spolia et prædam, et conculcet civitates, et ponat eas in pulverem.

7. Ipse autem non sic cogitavit, et animo non ita arbitratus est : sed abscedet mens ejus, etiam ut disperdat gentes plurimas.

8. Quod si dixerint ei : Tu solus es princeps,

9. et dicet : Non cepi regionem quæ est supra Babylonem et Chalanen, ubi turris ædificata est, cepi autem Arabiam et Damascum et Samariam?

10. Sicut has cepi, sic omnes principatus capiam. Ululate, sculptilia, in Jerusalem et in Samaria.

11. Sicut enim feci Samariæ et manufactis ejus, sic faciam et Jerusalem et idolis ejus.

12. Et erit, cum consummaverit Dominus omnia faciens in monte Sion et Jerusalem, visitabo super sensum magnum, super principem Assyriorum, et super altitudinem gloriæ oculorum ejus.

13. Dixit enim : In fortitudine faciam, et in sapientia intellectus auferam terminos gentium, et fortitudinem eorum deprædabor :

14. et concutiam civitates habitatas, et orbem terræ totum apprehendam manu quasi nidum, et quasi ova derelicta tollam : et non est qui effugiat me, aut contradicat mihi.

15. Numquid glorificabitur securis sine eo qui cædit in ipsa? Aut exaltabitur serra sine eo qui ipsam trahit? Quomodo si quis elevet virgam aut lignum : et non sic,

16. sed mittet Dominus sabaoth in honorem tuum ignominiam, et in gloriam tuam ignem ardentem accendet.

17. Et erit lumen Israel in igne, et sanctificabit eum in igne ardenti, et comedet sicut fœnum silvam.

18. Die illa exstinguentur montes, et colles, et saltus, et devorabit ab anima usque ad carnes. Et erit qui fugit, quasi qui fugit a flamma ardenti :

19. et residui ex eis numerus erunt, et parvulus scribet eos.

20. Et erit in die illa, non ultra adjiciet residuum Israel, et salvati de Jacob non ultra fidentes erunt super eos qui

αὐτοὺς, ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ.

21. Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα.

22. Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται.

23. Λόγον συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον Κύριος ποιήσει ἐν τῇ οἰκουμένῃ ὅλῃ.

24. Διὰ τοῦτο τάδε λέγει Κύριος σαβαώθ· Μὴ φοβοῦ, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε· πληγὴν γὰρ ἐπάγω ἐπὶ σὲ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου.

25. Ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργὴ, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν.

26. Καὶ ἐγερεῖ ὁ Θεὸς ἐπ' αὐτοὺς κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως· καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον.

27. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαιρεθήσεται ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν.

28. Ἥξει γὰρ εἰς τὴν πόλιν Ἀγγαὶ, καὶ παρελεύσεται εἰς Μαγγεδὼ, καὶ ἐν Μαχμὰς θήσει τὰ σκεύη αὐτοῦ.

29. Καὶ παρελεύσεται φάραγγα, καὶ ἥξει εἰς Ἀγγαί· φόβος λήψεται Ῥαμᾶ, πόλιν Σαούλ.

30. Φεύξεται ἡ θυγάτηρ Γαλλεὶμ, ἐπακούσεται Λαϊσὰ, ἐπακούσεται ἐν Ἀναθώθ·

31. καὶ ἐξέστη Μαδεβηνὰ, καὶ οἱ κατοικοῦντες Γιββείρ.

32. Παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι· τῇ χειρὶ παρακαλεῖτε τὸ ὄρος, τὴν θυγατέρα Σιὼν, καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ.

33. Ἰδοὺ ὁ δεσπότης Κύριος σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται,

34. καὶ πεσοῦνται ὑψηλοὶ μαχαίρᾳ· ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται,

2. καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας·

3. ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει,

4. ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ.

5. Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευράς.

6. Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς·

7. καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται· καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα,

8. καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ·

9. καὶ οὐ μὴ κακοποιήσουσιν, οὐδὲ μὴ δύνωνται

ipsos injuriis afficiunt, sed erunt fidentes super Deum sanctum Israel veritate.

21. Et erit residuum Jacob super Deum fortem.

22. Quod si fuerit populus Israel quasi arena maris, reliquiæ eorum salvabuntur.

23. Verbum consummans et brevians in justitia, quoniam sermonem breviatum faciet Dominus in toto orbe terræ.

24. Propter hoc hæc dicit Dominus sabaoth : Noli timere, populus meus, qui habitatis in Sion, ab Assyriis, quia in virga percutiet te : plagam enim induco super te, ad videndam viam Ægypti.

25. Adhuc enim paululum, et cessabit ira, furor autem meus super consilium eorum.

26. Et suscitabit Dominus super eos secundum plagam Madiam in loco tribulationis : et furor ejus in via quæ super mare, in viam quæ super Ægyptum.

27. Et erit, in die illa auferetur jugum ejus ab humero tuo, et timor ejus a te, et computrescet jugum ab humeris vestris.

28. Veniet enim in civitatem Angæ, et transibit in Maggedo, et in Machmas ponet vasa sua.

29. Et transibit vallem, et veniet in Angæ : timor apprehendet Rama, civitatem Saul.

30. Fugiet filia Gallim, audietur Laisa, audietur in Anathoth :

31. et obstupuit Madebena, et habitatores Gibbir.

32. Consolamini hodie in via ut maneat : manu consolamini montem, filiam Sion, et colles qui in Jerusalem.

33. Ecce dominator Dominus sabaoth conturbabit gloriosos cum fortitudine, et excelsi superbia conterentur, et sublimes humiliabuntur,

34. et cadent sublimes gladio : Libanus autem cum excelsis cadet.

CAPUT XI.

1. Et egredietur virga de radice Jessæ, et flos de radice ascendet,

2. et requiescet super eum spiritus Dei, spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis, spiritus scientiæ et pietatis :

3. replebit eum spiritus timoris Domini. Non secundum gloriam judicabit, neque juxta sermonem arguet,

4. sed judicabit humili judicium, et arguet humiles terræ, et percutiet terram verbo oris sui, et in spiritu per labia interficiet impium.

5. Et erit justitia cinctus lumbum suum, et veritate involutus costas.

6. Et simul pascetur lupus cum agno, et pardus simul accubabit cum hœdo, et vitulus et taurus et leo simul pascentur, et puer parvus ducet eos :

7. et bos et ursus pascentur simul, et erunt simul catuli eorum : et leo quasi bos comedet paleas,

8. et puer infans super foramina aspidum, et in cubile fœtuum aspidum manum mittet :

9. et non nocebunt, neque poterunt perdere quemquam

ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου· ὅτι ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας.

10. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.

11. Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ προςθήσει ὁ Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ὑπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰγύπτου, καὶ ἀπὸ Βαβυλωνίας, καὶ ἀπὸ Αἰθιοπίας, καὶ ἀπὸ Ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας.

12. Καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς

13. Καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραὶμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται. Ἐφραὶμ οὐ ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει Ἐφραίμ.

14. Καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύσουσι, καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ Ἰδουμαίαν, καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν· οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται.

15. Καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι.

16. Καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ· καὶ ἔσται τῷ Ἰσραὴλ, ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογῶ σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με.

2. Ἰδοὺ ὁ Θεός μου σωτήρ μου, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

3. Καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου.

4. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ.

5. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ.

6. Ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες Σιὼν, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς κατὰ Βαβυλῶνος.

2. Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς, παρακαλεῖτε τῇ χειρὶ, ἀνοίξατε, οἱ ἄρχοντες.

3. Ἐγὼ συντάσσω, καὶ ἐγὼ ἄγω αὐτούς. Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες ἅμα καὶ ὑβρίζοντες.

4. Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. Κύριος σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ,

in monte sancto meo : quia repleta est terra cognitione Domini, quasi aqua multa cooperiat maria.

10. Et erit in die illa radix Jessæ, et qui consurgit ut princeps sit gentium : in ipso gentes sperabunt, et erit requies ejus honor.

11. Et erit die illa adjiciet Dominus ostendere manum suam, ad zelandum relictum residuum populi, quod relictum fuerit ab Assyriis, et ab Ægypto, et a Babylonia, et ab Æthiopia, et ab Elamitis, et a solis ortu, et ex Arabia.

12. Et levabit signum in nationes, et congregabit perditos Israel, et dispersos Juda colliget a quatuor alis terræ.

13. Et auferetur zelus Ephraim, et hostes Juda peribunt. Ephraim non æmulabitur Judam, et Judas non tribulabit Ephraim.

14. Et volabunt in navibus alienigenarum : mare simul prædabuntur, et eos qui a solis ortu, et Idumæam, et super Moab primum manus mittent : filii autem Ammon primi obedient.

15. Et desolabit Dominus mare Ægypti, et mittet manum suam super flumen spiritu violento, et percutiet septem valles, ita ut transeatur illud in calceamentis.

16. Et erit via residuo populo meo in Ægypto : et erit ipsi Israel, sicut dies quando egressus est de terra Ægypti.

CAPUT XII.

1. Et dices in die illa : Benedico te, Domine, quoniam iratus es mihi, et avertisti furorem tuum, et misertus es mei.

2. Ecce Deus meus salvator meus, fidens ero in eo, et non timebo : quoniam gloria mea et laus mea Dominus, et factus est mihi in salutem.

3. Et haurite aquam cum lætitia de fontibus salutaris.

4. Et dices in illa die : Hymnis celebrate Dominum, clamate nomen ejus, annuntiate in gentibus gloriosa ejus : mementote quoniam exaltatum est nomen ejus.

5. Laudate nomen Domini, quoniam excelsa fecit : annuntiate hæc in omni terra.

6. Exsultate, et lætamini, qui habitatis Sion, quia exaltatus est sanctus Israel in medio ejus.

CAPUT XIII.

1. Visio quam vidit Esaias filius Amos contra Babylonem.

2. Super montem campestrem levate signum, exaltate vocem eis, consolamini manu, aperite, principes.

3. Ego præcipio, et ego adduco eos. Gigantes veniunt implere furorem meum gaudentes simul et contumeliam facientes.

4. Vox gentium multarum super montes, similis gentium multarum, vox regum et gentium congregatarum. Dominus sabaoth mandavit genti bellicosæ,

5. ἔρχεσθαι ἐκ γῆς πόῤῥωθεν ἀπ' ἄκρου θεμελίου τοῦ οὐρανοῦ, Κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην.

6. Ὀλολύζετε, ἐγγὺς γὰρ ἡμέρα Κυρίου, καὶ συντριβὴ παρὰ τοῦ Θεοῦ ἥξει.

7. Διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει.

8. Ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν, ὡς γυναικὸς τικτούσης· καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν.

9. Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς.

10. Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι· καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς.

11. Καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω.

12. Καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον· καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐν Σουφίρ.

13. Ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς Κυρίου σαβαὼθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ.

14. Καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται.

15. Ὃς γὰρ ἂν ἁλῷ ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσὶ πεσοῦνται μαχαίρᾳ.

16. Καὶ τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν.

17. Ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους, οἳ ἀργύριον οὐ λογίζονται, οὐδὲ χρυσίου χρείαν ἔχουσι.

18. Τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν.

19. Καὶ ἔσται Βαβυλὼν, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως Χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμοῤῥα,

20. οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν Ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ.

21. Καὶ ἀναπαύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου· καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται,

22. καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσι, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Ταχὺ ἔρχεται καὶ οὐ χρονιεῖ, καὶ ἐλεήσει Κύριος τὸν Ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν Ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γειώρας προστεθήσεται πρὸς αὐτοὺς, καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ·

5. ut veniat de terra longinqua a summo fundamento cœli, Dominus et armati bellatores ejus, ad corrumpendum universum orbem terræ.

6. Ululate, prope enim dies Domini, et contritio a Deo veniet.

7. Propter hoc omnis manus dissolvetur, et omnis anima hominis formidabit.

8. Turbabuntur legati, et dolores eos tenebunt, quasi mulieris parturientis : et condolebunt alter ad alterum, et stupebunt, et faciem suam quasi flamma mutabunt.

9. Ecce enim dies Domini venit insanabilis furoris et iræ, ad ponendum orbem terræ desertum, et peccatores perdendos ex eo.

10. Stellæ enim cœli et Orion et omnis ornatus cœli, non dabunt lumen : et obtenebrabuntur oriente sole, et luna non dabit lumen suum.

11. Et mandabo universo orbi terræ mala, et impiis peccata eorum : et perdam superbiam iniquorum, et contumeliam superborum humiliabo.

12. Et erunt qui derelicti fuerint honorati magis quam aurum incoctum : et homo magis honoratus erit quam lapis qui de Suphir.

13. Cœlum enim indignabitur, et terra concutietur a fundamentis suis, propter furorem iræ Domini sabaoth, in die illa qua supervenerit furor ejus.

14. Et erunt residui quasi damula fugiens, et quasi ovis errans, et non erit qui congreget, ita ut homo ad populum suum revertatur, et homo ad regionem suam expelletur.

15. Quicumque enim deprehensus fuerit opprimetur, et qui congregati fuerint cadent gladio.

16. Et filios eorum allident coram eis, et domos eorum deprædabuntur, et uxores eorum habebunt.

17. Ecce suscito vobis Medos, qui argentum non reputant, neque auro opus habent.

18. Arcus adolescentium conterent, et filiorum vestrorum non miserebuntur, neque super filiis vestris parcent oculi eorum.

19. Et erit Babylon, quæ vocatur inclyta a rege Chaldæorum, sicut subvertit Deus Sodomam et Gomorrham,

20. non habitabitur in æternum tempus, neque ingredientur in eam per multas generationes, neque permeabunt eam Arabes, neque pastores requiescent in ea.

21. Et requiescent illic bestiæ, et implebuntur domus sonitu : et accubabunt ibi sirenes, et dæmonia illic saltabunt,

22. et onocentauri illic habitabunt, et nidificabunt hericii in domibus eorum.

CAPUT XIV.

1. Cito venit et non tardabit, et miserebitur Dominus Jacob, et eliget adhuc Israel, et requiescent super terram suam, et advena apponetur ad eos, et apponetur ad domum Jacob :

2. καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς εἰς δούλους καὶ δούλας· καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν.

3. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει σε Κύριος ἀπὸ τῆς ὀδύνης καὶ τοῦ θυμοῦ σου, τῆς δουλείας σου τῆς σκληρᾶς, ἧς ἐδούλευσας αὐτοῖς.

4. Καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα Βαβυλῶνος· Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής;

5. Συνέτριψε Κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων·

6. πατάξας ἔθνος θυμῷ, πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγὴν θυμοῦ, ἣ οὐκ ἐφείσατο·

7. ἀνεπαύσατο πεποιθὼς πᾶσα ἡ γῆ, βοᾷ μετ' εὐφροσύνης,

8. καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοὶ, καὶ ἡ κέδρος τοῦ Λιβάνου, ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς.

9. Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν.

10. Πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι· Καὶ σὺ ἑάλως, ὥςπερ καὶ ἡμεῖς· ἐν ἡμῖν δὲ κατελογίσθης.

11. Κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου· ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ.

12. Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωςφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη;

13. Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βοῤῥᾶν,

14. ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ.

15. Νῦν δὲ εἰς ᾅδην καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς.

16. Οἱ ἰδόντες σε θαυμάσονται ἐπὶ σοὶ, καὶ ἐροῦσιν· Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς,

17. ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε, τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσε.

18. Πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ.

19. Σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίραις, καταβαινόντων εἰς ᾅδου.

20. Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. Διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν.

21. Ἑτοίμασον τὰ τέκνα σου, σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτῶν, ἵνα μὴ ἀναστῶσι καὶ κληρονομήσωσι τὴν γῆν, καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων.

22. Καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος σαβαὼθ, καὶ ἀπολῶ αὐτῶν ὄνομα, καὶ κατάλειμμα, καὶ σπέρμα· τάδε λέγει Κύριος.

2. et assument eos gentes, et introducent in locum eorum, et possidebunt, et multiplicabuntur super terram in servos et servas: et erunt captivi qui captivaverant eos, et subjicientur dominationi qui dominati fuerant eis.

3. Et erit in die illa, requiescere te faciet Dominus a dolore et furore tuo, a servitute tua dura, quam servivisti eis.

4. Et sumes lamentationem hanc super regem Babylonis: Quomodo cessavit exactor, et cessavit sollicitator?

5. Contrivit Dominus jugum peccatorum, jugum principum:

6. percutiens gentem furore, plaga insanabili, percutiens gentem plaga furoris, quæ non pepercit:

7. requievit confidenter omnis terra, clamat cum lætitia,

8. et ligna Libani lætata sunt super te, et cedrus Libani, ex quo tu dormivisti, non ascendit qui cædat nos.

9. Infernus subter exacerbatus est occurrens tibi: consurrexerunt tibi omnes gigantes qui principabantur terræ, qui excitabant de soliis eorum omnes reges gentium.

10. Omnes respondebunt, et dicent tibi: Et tu captus es, sicut et nos: et in nobis reputatus es.

11. Descendit ad infernum gloria tua, multa lætitia tua: subter te sternent putredinem, et operculum tuum vermis.

12. Quomodo cecidit de cœlo Lucifer qui mane oriebatur? contritus est ad terram qui mittebat ad omnes gentes?

13. Tu autem dixeras in mente tua: In cœlum ascendam, super sidera cœli ponam thronum meum, sedebo in monte excelso, super montes excelsos qui ad aquilonem,

14. ascendam super nubes, ero similis Altissimo.

15. Nunc autem in infernum descendes, et ad fundamenta terræ.

16. Qui vident te mirabuntur super te, et dicent: Iste homo qui irritabat terram, qui concutiebat reges,

17. qui ponebat orbem totum desertum, et civitates ejus destruxit, qui in obductione erant non solvit.

18. Omnes reges gentium dormierunt in honore, homo in domo sua.

19. Tu autem projectus eris in montibus, sicut mortuus abominatus cum multis mortuis confossis gladio, descendentibus ad infernum.

20. Quemadmodum vestimentum in sanguine conspersum non erit mundum, ita neque tu eris mundus. Quoniam terram meam perdidisti, et populum meum interfecisti: non manebis in æternum tempus, semen pessimum.

21. Præpara filios tuos, ut occidantur pro peccatis patris eorum, ut non resurgant neque hæreditent terram, et impleant terram bellis.

22. Et consurgam super eos, dicit Dominus sabaoth, et perdam eorum nomen, et reliquias, et semen: hæc dicit Dominus.

23. Καὶ θήσω τὴν Βαβυλωνίαν ἔρημον, ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσται εἰς οὐδέν· καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλειαν.

24. Τάδε λέγει Κύριος σαβαώθ· Ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ,

25. τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου· καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται.

26. Αὕτη ἡ βουλὴ ἣν βεβούλευται Κύριος ἐπὶ τὴν ὅλην οἰκουμένην, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη.

27. Ἃ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει;

28. Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς Ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο·

29. Μὴ εὐφρανθείητε, οἱ ἀλλόφυλοι πάντες, συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. Ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετάμενοι,

30. καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ· πτωχοὶ δὲ ἄνθρωποι ἐπὶ εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ.

31. Ὀλολύξατε, πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες· ὅτι ἀπὸ βοῤῥᾶ καπνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι.

32. Καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; Ὅτι Κύριος ἐθεμελίωσε Σιὼν, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΜΩΑΒΙΤΙΔΟΣ.

1. Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις, νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος.

2. Λυπεῖσθε ἐφ' ἑαυτοὺς, ἀπολεῖται γὰρ καὶ Δηβὼν, οὗ ὁ βωμὸς ὑμῶν. Ἐκεῖ ἀναβήσεσθε κλαίειν ἐπὶ Ναβαῦ τῆς Μωαβίτιδος. Ὀλολύξατε· ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βραχίονες κατατετμημένοι,

3. ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥυμαῖς αὐτῆς· πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ.

4. Ὅτι κέκραγεν Ἐσεβὼν καὶ Ἐλεαλὴ, ἕως Ἰασσὰ ἠκούσθη ἡ φωνὴ αὐτῶν· διὰ τοῦτο ἡ ὀσφὺς τῆς Μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται.

5. Ἡ καρδία τῆς Μωαβίτιδος βοᾷ ἐν αὐτῇ ἕως Σηγώρ· δάμαλις γάρ ἐστι τριετής, ἐπὶ δὲ τῆς ἀναβάσεως Λουεὶθ, πρὸς σὲ κλαίοντες ἀναβήσονται τῇ ὁδῷ Ἀρωνιείμ. Βοᾷ σύντριμμα καὶ σεισμὸς,

6. τὸ ὕδωρ τῆς Νεμηρεὶμ ἔρημον ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει· χόρτος γὰρ χλωρὸς οὐκ ἔσται.

7. Μὴ καὶ οὕτως μέλλει σωθῆναι; Ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας, καὶ λήψονται αὐτήν.

8. Συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος τῆς Ἀγαλεὶμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Αἰλείμ.

9. Τὸ δὲ ὕδωρ τὸ Δειμὼν πλησθήσεται αἵματος·

23. Et ponam Babyloniam desertum, ut inhabitent hericii, et erit in nihilum : et ponam eam luti voraginem in perditionem.

24. Hæc dicit Dominus sabaoth : Sicut dixi, ita erit, et sicut consilium cepi, sic manebit,

25. ad perdendum Assyrios super terram meam, et super montes meos : et erunt in conculcationem, et auferetur ab eis jugum eorum, et gloria eorum ab humeris auferetur.

26. Hoc est consilium quod decrevit Dominus super totum terræ orbem, et hæc manus excelsa super omnes gentes.

27. Quæ enim Deus sanctus decrevit, quis dissipabit? et manum ejus excelsam quis avertet?

28. Anno quo mortuus est rex Achaz, factum est verbum hoc :

29. Nolite lætari, alienigenæ omnes, contritum est enim jugum percutientis vos. Nam ex semine serpentis egredientur fœtus aspidum, et fœtus eorum egredientur serpentes volantes,

30. et pascentur inopes per eum : inopes autem homines super pacem requiescent : interficiet autem in fame semen tuum, et reliquias tuas interficiet.

31. Ululate, portæ civitatum, clament urbes turbatæ, alienigenæ omnes : quoniam ab aquilone fumus venit, et non est ut sit.

32. Et quid respondebunt reges gentium? Quoniam Dominus fundavit Sion, et per ipsum salvabuntur humiles plebis.

CAPUT XV.

VERBUM QUOD CONTRA MOABITIDEM.

1. Nocte peribit Moabitis, nocte enim peribit murus Moabitidis.

2. Contristamini super vos ipsos, peribit enim et Debon, ubi est ara vestra. Illuc ascendetis plorare super Nabay Moabitidis. Ululate : super omne caput calvitium, omnia brachia dissecta,

3. in plateis ejus circumcingimini saccis, et plangite super domos ejus, et in plateis ejus, et in vicis ejus : omnes ululate cum ploratu.

4. Quoniam clamavit Esebon et Eleale, usque Jassa audita est vox eorum : propter hoc lumbus Moabitidis clamat, anima ejus cognoscet.

5. Cor Moabitidis clamat in se usque Segor : vitula enim triennis est, super ascensum autem Luith, ad te flentes ascendent via Aroniim. Clamat contritio et concussio,

6. aqua Nemerim deserta erit, et herba ejus deficiet : herba enim viridis non erit.

7. Numquid et sic salvanda est? Inducam enim super vallem Arabas, et capient eam.

8. Pertigit enim clamor terminum Moabitidis ipsius Agalim, et ululatus ejus usque ad puteum Elim.

9. Aqua autem Dimon implebitur sanguine : inducam

ἐπάξω γὰρ ἐπὶ Δειμὼν Ἄραβας, καὶ ἀρῶ τὸ σπέρμα Μωὰβ, καὶ Ἀριὴλ καὶ τὸ κατάλοιπον Ἀδαμα.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

1. Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. Μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος θυγατρὸς Σιών;

2. Ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου νοσσὸς ἀφῃρημένος, ἔσῃ θυγάτηρ Μωὰβ,

3. ἔπειτα δὲ, Ἀρνῶν, πλείονα βουλεύου, ποίει τε σκέπην πένθους αὐτῇ διαπαντὸς, ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. Μὴ ἀχθῇς,

4. παροικήσουσί σοι οἱ φυγάδες Μωάβ· ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἀπὸ τῆς γῆς.

5. Καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυὶδ, κρίνων καὶ ἐκζητῶν κρῖμα καὶ σπεύδων δικαιοσύνην.

6. Ἠκούσαμεν τὴν ὕβριν Μωάβ· ὑβριστὴς σφόδρα, τὴν ὑπερηφανίαν ἐξῆρα. Οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως.

7. Ὀλολύξει Μωὰβ, ἐν γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι· τοῖς κατοικοῦσι δὲ Σὲθ μελετήσεις, καὶ οὐκ ἐντραπήσῃ.

8. Τὰ πεδία Ἐσεβῶν πενθήσει· ἄμπελος Σεβαμά. Καταπίνοντες τὰ ἔθνη, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ· οὐ μὴ συνάψητε, πλανήθητε τὴν ἔρημον, οἱ ἀπεσταλμένοι ἐγκατελείφθησαν, διέβησαν γὰρ πρὸς τὴν θάλασσαν.

9. Διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν Ἰαζὴρ, ἄμπελον Σεβαμά. Τὰ δένδρα σου κατέβαλεν Ἐσεβῶν καὶ Ἐλεαλὴ, ὅτι ἐπὶ τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπατήσω, καὶ πάντα πεσοῦνται.

10. Καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώνων, καὶ ἐν τοῖς ἀμπελῶσί σου οὐ μὴ εὐφρανθήσονται, καὶ οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέπαυται γάρ.

11. Διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ τὰ ἐντός μου ὡς τεῖχος ἐνεκαίνισας.

12. Καὶ ἔσται εἰς τὸ ἐντραπῆναί σε, ὅτι ἐκοπίασε Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ εἰςελεύσεται εἰς τὰ χειροποίητα αὐτῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνηται ἐξελέσθαι αὐτόν.

13. Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος ἐπὶ Μωὰβ, ὁπότε ἐλάλησε.

14. Καὶ νῦν λέγω· Ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστὸς, καὶ οὐκ ἔντιμος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΔΑΜΑΣΚΟΥ.

1. Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν,

2. καταλελειμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, καὶ οὐκ ἔσται ὁ διώκων·

3. καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν Ἐφραίμ·

enim super Dimon Arabas, et tollam semen Moab, et Ariel et residuum Adama.

CAPUT XVI.

1. Mittam quasi reptilia super terram. Numquid petra deserta est mons filiæ Sion?

2. Eris enim velut avis avolantis pullus ablatus, eris filia Moab,

3. deinde vero, Arnon, plura consulta, et fac tegmen luctus ipsa semper, in meridianis tenebris fugiunt, obstupuerunt. Ne abducaris,

4. accolent tibi profugi Moab : erunt tegmen vobis a facie persequentis, quia sublatum est auxilium tuum, et princeps periit qui conculcabat de terra.

5. Et dirigetur cum misericordia thronus, et sedebit super illum cum veritate in tabernaculo David, et judicans et exquirens judicium et accelerans justitiam.

6. Audivimus superbiam Moab : contumeliosus valde, superbiam sustuli. Non sic divinatio tua, non sic.

7. Ululabit Moab, in Moabitide enim omnes plorabunt: habitatoribus autem Seth meditationes, et non confunderis.

8. Campi Esebon lugebunt : vinea Sebama. Qui absorbetis gentes, conculcate vites ejus usque Jazer : nolite contingere, oberrate desertum, qui missi estis derelicti sunt, transierunt enim ad mare.

9. Propter hoc plorabo quasi ploratum Jazer, vineam Sebama. Arbores tuas dejecit Esebon et Eleale, quoniam super messem et super vindemiam tuam conculcabo, et omnia cadent.

10. Et tolletur lætitia et exsultatio de vineis, et in vineis tuis non lætabuntur, et non calcabunt vinum in torcularibus, nam cessavit.

11. Propter hoc venter meus super Moab velut cithara sonabit, et interiora mea quasi murum renovasti.

12. Et erit in confusionem tuam, quia laboravit Moab in aris, et ingredietur in manufacta sua, ut deprecetur, et non poterunt eximere eum.

13. Hoc verbum quod locutus est Dominus super Moab, quando locutus est.

14. Et nunc dico : In tribus annis annorum mercenarii inhonorabitur gloria Moab omnibus divitiis multis, et relinquetur paucus, et non honoratus.

CAPUT XVII.

VERBUM QUOD CONTRA DAMASCUM.

1. Ecce Damascus tolletur de civitatibus, et erit in ruinam,

2. derelicta in sæculum, in cubile gregum et requiem, et non erit persequens :

3. et non erit ultra munita ad confugiendum Ephraim :

καὶ οὐκέτι βασιλεία ἐν Δαμασκῷ, καὶ τὸ λοιπὸν τῶν Σύρων. Οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ, τῆς δόξης αὐτῶν· τάδε λέγει Κύριος σαβαώθ.

4. Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις δόξης Ἰακὼβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται.

5. Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα καὶ σπέρμα σταχύων ἀμήσῃ, καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι στερεᾷ,

6. καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῇ· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ.

7. Τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται,

8. καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ οὐκ ὄψονται τὰ δένδρα οὐδὲ τὰ βδελύγματα αὐτῶν.

9. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλελειμμέναι, ὃν τρόπον κατέλιπον οἱ Ἀμοῤῥαῖοι καὶ οἱ Εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἔσονται ἔρημοι,

10. διότι κατέλιπες τὸν Θεὸν τὸν σωτῆρά σου, καὶ Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης· διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον, καὶ σπέρμα ἄπιστον.

11. Τῇ ἡμέρᾳ ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ. Τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν ᾗ ἂν ἡμέρᾳ κληρώσῃ, καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς σου.

12. Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν, ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε· καὶ νῶτος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει·

13. ὡς ὕδωρ πολὺ ἔθνη πολλὰ, ὡς ὕδατος πολλοῦ βίᾳ φερομένου. Καὶ ἀποσκορακιεῖ αὐτὸν, καὶ πόῤῥω αὐτὸν διώξεται, ὡς χνοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν τροχοῦ καταιγὶς φέρουσα.

14. Πρὸς ἑσπέραν καὶ ἔσται πένθος, πρινὴ πρωῒ, καὶ οὐκ ἔσται. Αὕτη ἡ μερὶς τῶν προνομευσάντων ὑμᾶς, καὶ κληρονομία τοῖς ὑμᾶς κληρονομήσασιν.

et non ultra regnum in Damasco, et reliquum Syrorum. Non enim tu melior es filiis Israel, gloria eorum : hæc dicit Dominus sabaoth.

4. Erit in die illa defectio gloriæ Jacob, et pinguia gloriæ ejus concutientur.

5. Et erit quomodo si quis congreget messem stantem et semen spicarum metat, et erit quomodo si quis congreget spicam in valle dura,

6. et relicta in ea fuerit stipula, vel sicut grana olivæ duo vel tria in summitate excelsa, vel quatuor aut quinque super ramos earum sint relicta : hæc dicit Dominus Israel.

7. Die illa fidens erit homo in eo qui fecit eum, oculi autem ejus in sanctum Israel intuebuntur,

8. et non erunt fidentes in aris, neque in operibus manuum suarum, quæ fecerunt digiti ipsorum, et non aspicient arbores neque abominationes eorum.

9. Die illa erunt civitates tuæ derelictæ, sicut dereliquerunt Amorrhæi et Evæi a facie filiorum Israel : et erunt desertæ,

10. quia dereliquisti Deum salvatorem tuum, et Domini adjutoris tui non es recordata : ideo plantabis plantationem infidelem, et semen infidele.

11. Quacumque die plantaveris, errabis. Mane autem si seminaveris, florebit in messem quacumque die hæreditaveris, et tamquam pater hominis hæreditatem distribues filiis tuis.

12. Væ multitudo gentium plurimarum! tamquam mare fluctuans, sic turbabimini : et dorsum gentium multarum tamquam aqua sonabit :

13. tamquam aqua multa gentes multæ, quasi aqua multa per vim impulsa. Et exterminabit eum, et longe eum persequetur, tamquam pulverem paleæ ventilantium coram vento, et quasi pulverem rotæ tempestas impellens.

14. Ad vesperam et erit luctus, priusquam mane, et non erit. Hæc est pars eorum qui deprædati sunt vos, et hæreditas iis qui hæreditarunt vos.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Οὐαὶ γῆς πλοίων πτέρυγες, ἐπέκεινα ποταμῶν Αἰθιοπίας·

2. ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. Πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον, καὶ ξένον λαὸν καὶ χαλεπόν. Τίς αὐτοῦ ἐπέκεινα; Ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον. Νῦν οἱ ποταμοὶ τῆς γῆς

3. πάντες ὡς χώρα κατοικουμένη, κατοικηθήσεται ἡ χώρα αὐτῶν. Ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται.

4. Διότι οὕτως εἶπε Κύριός μοι· Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει, ὡς φῶς καύματος μεσημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμητοῦ ἔσται

5. πρὸ τοῦ θερισμοῦ, ὅταν συντελεσθῇ ἄνθος, καὶ ὄμφαξ ἐξανθήσῃ, ἄνθος ὀμφακίζουσα. Καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς κληματίδας ἀφελεῖ, καὶ ἀποκόψει,

6. καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ,

CAPUT XVIII.

1. Væ terræ navium alis, trans flumina Æthiopiæ :

2. qui mittit in mari obsides, et epistolas biblinas super aquam. Ibunt enim nuntii leves ad gentem excelsam, et peregrinum populum et pessimum. Quis ultra illum? Gens absque spe et conculcata. Nunc fluvii terræ

3. omnes tamquam regio habitata, habitabitur regio eorum. Quasi signum de monte levabitur, quasi tubæ vox audibile erit.

4. Quia sic dixit Dominus mihi : Securitas erit in civitate mea, sicut lux æstus in meridie, et sicut nubes roris in die messis erit

5. ante messem, quando consummatus fuerit flos, et uva immatura effloruerit, immature florem germinans. Et auferet racemulos parvos falcibus, et sarmenta auferet, et abscidet,

6. et relinquet simul volatilibus cœli, et bestiis terræ. Et

καὶ τοῖς θηρίοις τῆς γῆς. Καὶ συναχθήσεται ἐπ' αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ' αὐτὸν ἥξει.

7. Ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα Κυρίῳ σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου καὶ τετιλμένου, καὶ ἀπὸ λαοῦ μεγάλου, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον. Ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνομα Κυρίου σαβαὼθ, ὄρος Σιών.

congregabuntur super eos volatilia cœli, et omnes bestiæ terræ super eum venient.

7. In tempore illo afferentur munera Domino sabaoth de populo tribulato et avulso, et a populo magno, ex hoc nunc et usque in æternum tempus. Gens sperans et conculcata, quæ est in parte fluvii regionis ejus, in locum ubi nomen Domini sabaoth, montem Sion.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

1. Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.

2. Καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον.

3. Καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους.

4. Καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν· τάδε λέγει Κύριος σαβαώθ.

5. Καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται·

6. καὶ ἐκλείψουσιν οἱ ποταμοὶ, καὶ αἱ διώρυχες τοῦ ποταμοῦ· καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος, καὶ ἐν παντὶ ἕλει καλάμου καὶ παπύρου,

7. καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον.

8. Καὶ στενάξουσιν οἱ ἁλιεῖς, καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμὸν, καὶ οἱ βάλλοντες σαγήνας καὶ οἱ ἀμφιβολεῖς πενθήσουσι.

9. Καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ σχιστὸν, καὶ τοὺς ἐργαζομένους τὴν βύσσον·

10. Καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ ποιοῦντες τὸν ζύθον λυπηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσι.

11. Καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες Τάνεως, οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως· ἡ βουλὴ αὐτῶν μωρανθήσεται. Πῶς ἐρεῖτε τῷ βασιλεῖ· Υἱοὶ συνετῶν ἡμεῖς, υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς.

12. Ποῦ εἰσι νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι καὶ εἰπάτωσαν· Τί βεβούλευται Κύριος σαβαὼθ ἐπ' Αἴγυπτον;

13. Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσιν Αἴγυπτον κατὰ φυλάς.

14. Κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων, καὶ ὁ ἐμῶν ἅμα.

CAPUT XIX.

VISIO ÆGYPTI.

1. Ecce Dominus sedet super nubem levem, et veniet in Ægyptum, et concutientur manufacta Ægypti a facie ejus, et cor eorum deficiet in ipsis.

2. Et incitabuntur Ægyptii super Ægyptios, et oppugnabit homo fratrem suum, et homo proximum suum, civitas super civitatem, et lex super legem.

3. Et turbabitur spiritus Ægyptiorum in ipsis, et concilium eorum dissipabo, et interrogabunt deos suos, et simulacra sua, et eos qui de terra vocem edunt, et ventriloquos.

4. Et tradam Ægyptum in manus hominum dominorum durorum, et reges duri dominabuntur eorum : hæc dicit Dominus sabaoth.

5. Et bibent Ægyptii aquam quæ juxta mare, fluvius autem deficiet et arescet :

6. et deficient fluvii, et rivi fluvii et arescet omnis congregatio aquæ, etiam in omni palude calami et papyri,

7. et achi viride omne quod in circuitu fluminis, et omne quod seminatur circa fluvium arescet a vento corruptum.

8. Et gement piscatores, et gement omnes qui jaciunt hamum in fluvium, et qui jaciunt sagenas et qui retia lugebunt.

9. Et confusio capiet operantes linum fissile, et operantes byssum :

10. et erunt operantes ea in dolore, et omnes qui faciunt zythum mœrebunt, et animis laborabunt.

11. Et stulti erunt principes Taneos, sapientes consiliarii regis : consilium eorum infatuabitur. Quomodo dicetis regi : Filii sapientum nos, filii regum qui a principio.

12. Ubi sunt nunc sapientes tui, et annuntient tibi, et dicant : Quid deliberavit Dominus sabaoth super Ægyptum?

13. Defecerunt principes Taneos, et exaltati sunt principes Mempheos, et decipient Ægyptum per tribus.

14. Dominus enim miscuit eis spiritum seductionis, et seduxerunt Ægyptum in omnibus operibus suis, sicut errat ebrius, et vomens simul.

15. Καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον ὃ ποιήσει κεφαλὴν καὶ οὐρὰν, καὶ ἀρχὴν καὶ τέλος.

16. Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς Κυρίου σαβαὼθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς.

17. Καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον. Πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλὴν ἣν βεβούλευται Κύριος σαβαὼθ ἐπ' αὐτήν.

18. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν τῇ Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ χανααντίδι, καὶ ὀμνύντες τῷ ὀνόματι Κυρίου σαβαώθ. Πόλις Ἀσεδὲκ κληθήσεται ἡ μία πόλις.

19. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ.

20. Καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου. Ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας αὐτοὺς, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτοὺς, κρίνων σώσει αὐτούς.

21. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις. Καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ, καὶ ἀποδώσουσι.

22. Καὶ πατάξει Κύριος τοὺς Αἰγυπτίους πληγῇ, καὶ ἰάσεται αὐτοὺς ἰάσει, καὶ ἐπιστραφήσονται πρὸς Κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτοὺς ἰάσει.

23. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἡ ὁδὸς ἀπὸ Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι εἰς Αἴγυπτον· καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύσουσιν Αἰγύπτιοι τοῖς Ἀσσυρίοις.

24. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Ἰσραὴλ τρίτος ἐν τοῖς Αἰγυπτίοις, καὶ ἐν τοῖς Ἀσσυρίοις εὐλογημένος ἐν τῇ γῇ

25. ἣν εὐλόγησε Κύριος σαβαὼθ, λέγων· Εὐλογημένος ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ, καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ἡ κληρονομία μου Ἰσραήλ.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

1. Τοῦ ἔτους ὅτε εἰσῆλθε Τανάθαν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ Ἀρνᾶ βασιλέως Ἀσσυρίων, καὶ ἐπολέμησε τὴν Ἄζωτον, καὶ ἔλαβεν αὐτήν,

2. τότε ἐλάλησε Κύριος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, λέγων· Πορεύου, καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου, καὶ ποίησον οὕτως, πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος.

3. Καὶ εἶπε Κύριος· Ὃν τρόπον πεπόρευται ὁ παῖς μου Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος τρία ἔτη, τρία ἔτη ἔσται εἰς σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν·

4. ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου καὶ Αἰθιόπων, νεανίσκους καὶ πρεσβύτας, γυμνοὺς καὶ ἀνυποδέτους, ἀνακεκαλυμμένους τὴν αἰσχύνην Αἰγύπτου.

5. Καὶ αἰσχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ Αἰγύπτιοι, ἦσαν γὰρ αὐτοῖς δόξα.

6. Καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οἳ οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως Ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα;

15. Et non erit Ægyptiis opus quod faciat caput et caudam, et principium et finem.

16. Die autem illa erunt Ægyptii quasi mulieres in timore et tremore a facie manus Domini sabaoth, quam ipse immittet eis.

17. Et erit regio Judæorum Ægyptiis in terrorem. Quicumque nominaverit eam ipsis, timebunt propter consilium quod deliberavit Dominus sabaoth super ipsam.

18. Die illa erunt quinque civitates in Ægypto loquentes lingua chanaanitide, et jurantes nomine Domini sabaoth. Civitas Asedec vocabitur una civitas.

19. Die illa erit altare Domino in regione Ægyptiorum, et titulus ad terminum ejus Domino.

20. Et erit in signum in sæculum Domino in regione Ægypti. Quia clamabunt ad Dominum propter tribulantes eos, et mittet eis hominem qui salvabit eos, judicans salvabit eos.

21. Et notus erit Dominus Ægyptiis. Et cognoscent Ægyptii Dominum in die illa, et facient sacrificia, et vovebunt vota Domino, et reddent.

22. Et percutiet Dominus Ægyptios plaga, et sanabit eos sanatione, et convertentur ad Dominum, et exaudiet eos, et sanabit eos sanatione.

23. Die illa erit via ab Ægypto ad Assyrios, et ingredientur Assyrii in Ægyptum : et ibunt Ægyptii ad Assyrios, et servient Ægyptii Assyriis.

24. Die illa erit Israel tertius in Ægyptiis, et in Assyriis benedictus in terra

25. quam benedixit Dominus sabaoth, dicens : Benedictus populus meus qui in Ægypto, et qui in Assyriis, et hæreditas mea Israel.

CAPUT XX.

1. Anno quo ingressus est Tanathan in Azotum, cum missus esset ab Arna rege Assyriorum, et oppugnavit Azotum, et cepit eam,

2. tunc locutus est Dominus ad Esaiam filium Amos, dicens : Vade, et aufer saccum a lumbo tuo, et calceamenta tua solve de pedibus tuis, et fac ita, vadens nudus et discalceatus.

3. Et dixit Dominus : Quo modo ivit puer meus Esaias nudus et discalceatus tres annos, tres anni erunt in signa et prodigia Ægyptiis et Æthiopibus :

4. quoniam sic ducet rex Assyriorum captivitatem Ægypti et Æthiopum, juvenes et senes, nudos et discalceatos, discoopertos confusionem Ægypti.

5. Et confundentur justi super Æthiopibus, in quibus erant fidentes Ægyptii, erant enim eis gloria.

6. Et dicent habitatores insulæ hujus in die illa : Ecce nos fuimus fidentes ad fugiendum ad eos in auxilium, qui non potuerunt salvari a rege Assyriorum, et quomodo nos salvabimur?

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

1. Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς, φοβερὸν
2. τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι. Ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν ἀνομεῖ. Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται. Νῦν στενάξω καὶ παρακαλέσω ἐμαυτόν.
3. Διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν· ἠδίκησα τοῦ μὴ ἀκοῦσαι, ἐσπούδασα τοῦ μὴ βλέπειν.
4. Ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει, ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον.
5. Ἑτοίμασον τὴν τράπεζαν, φάγετε, πίετε. Ἀναστάντες, οἱ ἄρχοντες, ἑτοιμάσατε θυρεούς,
6. ὅτι οὕτως εἶπε πρὸς μὲ Κύριος· Βαδίσας σεαυτῷ στῆσον σκοπὸν, καὶ ὃ ἂν ἴδῃς, ἀνάγγειλον.
7. Καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. Ἀκρόασαι ἀκρόασιν πολλὴν,
8. καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν. Κύριος εἶπεν· Ἔστην διαπαντὸς ἡμέρας, καὶ ἐπὶ τῆς παρεμβολῆς ἐγὼ ἔστην ὅλην τὴν νύκτα,
9. καὶ ἰδοὺ αὐτὸς ἔρχεται ἀναβάτης ξυνωρίδος. Καὶ ἀποκριθεὶς εἶπε· Πέπτωκε, πέπτωκε Βαβυλὼν, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς, καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβησαν εἰς τὴν γῆν.
10. Ἀκούσατε, οἱ καταλελειμμένοι, καὶ οἱ ὀδυνώμενοι, ἀκούσατε, ἃ ἤκουσα παρὰ Κυρίου σαβαὼθ, ὁ Θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

11. Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηεὶρ, φυλάσσετε ἐπάλξεις.
12. Φυλάσσω τοπρωῒ καὶ τὴν νύκτα. Ἐὰν ζητῇς ζήτει, καὶ παρ' ἐμοὶ οἴκει,
13. ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθῇς, ἢ ἐν τῇ ὁδῷ Δαιδάν.
14. Εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ ἐνοικοῦντες ἐν χώρᾳ Θαιμὰν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσι
15. διὰ τὸ πλῆθος τῶν πεφονευμένων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας, καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ.
16. Διότι οὕτως εἶπέ μοι Κύριος· Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα τῶν υἱῶν Κηδὰρ,
17. καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐλάλησεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

ΤΟ ΡΗΜΑ ΤΗΣ ΦΑΡΑΓΓΟΣ ΣΙΩΝ.

1. Τί ἐγένετό σοι, ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια;

CAPUT XXI.

VISIO DESERTI.

1. Sicut tempestas per desertum transeat e deserto veniens de terra, terribilis
2. visio et dura annuntiata est mihi. Prævaricans prævaricatur, iniquus inique agit. Super me Elamitæ, et legati Persarum super me veniunt. Nunc gemam et consolabor meipsum.
3. Propter hoc impletus est lumbus meus dissolutione, et dolores apprehenderunt me sicut parturientem : injuste egi non audiendo, studiose egi ne viderem.
4. Cor meum errat, et iniquitas me demergit, anima mea incubuit in timorem.
5. Para mensam, comedite, bibite. Surgentes, principes, parate clypeos,
6. quia sic dixit ad me Dominus : Vadens tibi statue speculatorem, et quodcumque videris, annuntia.
7. Et vidi ascensores equites duos, et ascensorem asini, et ascensorem cameli. Ausculta auscultatione multa,
8. et voca Uriam in speculam. Dominus dixit : Steti semper die, et super castra ego steti tota nocte,
9. et ecce ipse venit ascensor bigæ. Et respondens dixit : Cecidit, cecidit Babylon, et omnia simulacra ejus, et manu facta ejus contrita sunt in terram.
10. Audite, qui derelicti estis, et qui doletis, audite, quæ audivi a Domino sabaoth, Deus Israel annuntiavit nobis.

VISIO IDUMÆÆ.

11. Ad me voca de Seir, custodite propugnacula.
12. Custodio mane et noctu. Si quæsieris quære, et apud me habita,
13. in saltu vespere dormies, aut in via Dædan.
14. In occursum sitienti aquam ferte, qui habitatis in regione Thæman, panes obviam ferte fugientibus
15. propter multitudinem occisorum, et propter turbam errantium, et propter multitudinem gladii, et propter multitudinem arcuum intentorum, et propter multitudinem eorum qui ceciderunt in bello.
16. Quia sic dixit mihi Dominus : Adhuc annus quasi annus mercenarii, deficiet gloria filiorum Cedar,
17. et residuum arcuum fortium filiorum Cedar erit paucum, quia Dominus Deus Israel locutus est.

CAPUT XXII.

VERBUM VALLIS SION.

1. Quid factum est tibi, quia nunc ascendistis omnes in tecta vana?

2. Ἐνεπλήσθη ἡ πόλις βοώντων, οἱ τραυματίαι σου οὐ τραυματίαι ἐν μαχαίραις, οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμων·

3. πάντες οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσὶ, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόῤῥω πεφεύγασι.

4. Διὰ τοῦτο εἶπα· Ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου,

5. ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος, καὶ πλάνησις παρὰ Κυρίου σαβαώθ. Ἐν φάραγγι Σιὼν πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη.

6. Οἱ δὲ Ἐλαμῖται ἔλαβον φαρέτρας, καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵππους, καὶ συναγωγὴ παρατάξεως.

7. Καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου,

8. καὶ ἀνακαλύψουσι τὰς πύλας Ἰούδα· καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως, καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυίδ.

9. Καὶ εἴδοσαν ὅτι πλείους εἰσὶ, καὶ ὅτι ἀπέστρεψε τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν,

10. καὶ ὅτι καθεῖλοσαν τοὺς οἴκους Ἱερουσαλὴμ εἰς ὀχυρώματα τείχους τῇ πόλει.

11. Καὶ ἐποιήσατε ἑαυτοῖς ὕδωρ ἀναμέσον τῶν δύο τειχῶν, ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπ' ἀρχῆς ποιήσαντα αὐτὴν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε.

12. Καὶ ἐκάλεσε Κύριος, Κύριος σαβαὼθ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ κοπετὸν, καὶ ξύρησιν καὶ ζῶσιν σάκκων,

13. αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέατα καὶ πιεῖν οἶνον, λέγοντες· Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν.

14. Καὶ ἀνακεκαλυμμένα ταῦτα ἐστὶν ἐν τοῖς ὠσὶ Κυρίου σαβαὼθ, ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία, ἕως ἂν ἀποθάνητε.

15. Τάδε λέγει Κύριος σαβαώθ· Πορεύου εἰς τὸ παστοφόριον, πρὸς Σομνᾶν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ·

16. Τί σὺ ὧδε, καὶ τί σοί ἐστιν ὧδε; ὅτι ἐλατόμησας σεαυτῷ ὧδε μνημεῖον, καὶ ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ σκηνήν;

17. Ἰδοὺ δὴ Κύριος σαβαὼθ ἐκβάλλει καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀφελεῖ τὴν στολήν σου

18. καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον, καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς καταπάτημα,

19. καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου.

20. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου,

21. καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφανόν σου δώσω αὐτῷ κατὰ κράτος, καὶ τὴν οἰκονο-

2. Impleta est civitas clamantium, vulnerati tui non vulnerati in gladiis, neque mortui tui mortui præliorum :

3. omnes principes tui fugerunt, et capti dure ligati sunt, et fortes in te longe fugerunt.

4. Propter hoc dixi : Dimittite me, amare plorabo : nolite contendere ut consolemini me super contritione filiæ generis mei,

5. quoniam dies tumultus est et perditionis et conculcationis, et error a Domino sabaoth. In valle Sion errant, a parvo usque ad magnum errant super montes.

6. Elamitæ autem sumpserunt pharetras, et ascensores homines super equos, et congregatio aciei.

7. Et erunt electæ valles tuæ, implebuntur curribus, et equites stipabunt portas tuas,

8. et revelabunt portas Juda : et inspicient die illa in electas domos civitatis, et revelabunt occulta domorum arcis David.

9. Et viderunt quia plures sunt, et quia avertit aquam veteris piscinæ in civitatem,

10. et quia destruxerunt domos Jerusalem in munitiones muri civitati.

11. Et fecistis vobis aquam inter duos muros, intra piscinam antiquam, et non aspexistis in eum qui a principio fecit eam, et creatorem illius non vidistis.

12. Et vocavit Dominus, Dominus sabaoth, in die illa ploratum et planctum, et rasuram et cincturam saccorum,

13. ipsi autem fecerunt lætitiam et exsultationem, jugulantes vitulos et immolantes oves, et ad comedendas carnes et bibendum vinum, dicentes : Edamus et bibamus, cras enim morimur.

14. Et revelata hæc sunt in auribus Domini sabaoth, quia non auferetur vobis hoc peccatum, donec mortui sitis.

15. Hæc dicit Dominus sabaoth : Vade in pastophorium, ad Somnam quæstorem, et dic ei :

16. Quid tu hic, et quid tibi est hic ? quia excidisti tibi hic monumentum, et fecisti tibi ipsi in excelso monumentum, et scripsisti tibi in petra tabernaculum ?

17. Ecce nunc Dominus sabaoth ejicit et conteret virum, et auferet stolam tuam

18. et coronam tuam gloriosam, et projiciet te in regionem magnam et immensam, et ibi morieris : et ponet currum tuum optimum in ignominiam, et domum principis tui in conculcationem,

19. et tolleris de dispensatione tua et de gradu tuo.

20. Et erit in die illa, et vocabo puerum meum Eliacim filium Chelciæ,

21. et induam illum stola tua, et coronam tuam dabo ei per imperium, et dispensationem tuam dabo in manus ejus :

μίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ· καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ, καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδᾳ.

22. Καὶ δώσω τὴν δόξαν Δαυὶδ αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντιλέγων· καὶ δώσω αὐτῷ τὴν κλεῖδα οἴκου Δαυὶδ ἐπὶ τῷ ὤμῳ αὐτοῦ, καὶ ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων· καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοίγων.

23. Καὶ στήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ·

24. καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ

25. τῇ ἡμέρᾳ ἐκείνῃ. Τάδε λέγει Κύριος σαβαώθ· Κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν τόπῳ πιστῷ, καὶ ἀφαιρεθήσεται, καὶ πεσεῖται, καὶ ἐξολοθρευθήσεται ἡ δόξα ἡ ἐπ' αὐτὸν, ὅτι Κύριος ἐλάλησεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

ΤΟ ΡΗΜΑ ΤΥΡΟΥ.

1. Ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχονται ἐκ γῆς Κιτιαίων· ἦκται αἰχμάλωτος.

2. Τίνι ὅμοιοι γεγόνασιν οἱ ἐνοικοῦντες ἐν τῇ νήσῳ, μετάβολοι Φοινίκης, διαπερῶντες τὴν θάλασσαν

3. ἐν ὕδατι πολλῷ, σπέρμα μεταβόλων; Ὡς ἀμητοῦ εἰσφερομένου, οἱ μετάβολοι τῶν ἐθνῶν.

4. Αἰσχύνθητι, Σιδὼν, εἶπεν ἡ θάλασσα· ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν· Οὐκ ὤδινον, οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα νεανίσκους, οὐδὲ ὕψωσα παρθένους.

5. Ὅταν δὲ ἀκουστὸν γένηται Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου.

6. Ἀπέλθατε εἰς Καρχηδόνα, ὀλολύξατε, οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ.

7. Οὐχ αὕτη ἦν ὑμῶν ἡ ὕβρις ἀπ' ἀρχῆς, πρινὴ παραδοθῆναι αὐτήν;

8. Τίς ταῦτα ἐβούλευσεν ἐπὶ Τύρον; Μὴ ἥσσων ἐστὶν, ἢ οὐκ ἰσχύει; Οἱ ἔμποροι αὐτῆς ἔνδοξοι, ἄρχοντες τῆς γῆς.

9. Κύριος σαβαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων, καὶ ἀτιμάσαι πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς.

10. Ἐργάζου τὴν γῆν σου, καὶ γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ Καρχηδόνος.

11. Ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει κατὰ θάλασσαν, ἡ παροξύνουσα βασιλεῖς. Κύριος σαβαὼθ ἐνετείλατο περὶ Χαναὰν, ἀπολέσαι αὐτῆς τὴν ἰσχύν.

12. Καὶ ἐροῦσιν· Οὐκέτι οὐ μὴ προστεθῆτε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα Σιδῶνος. Καὶ ἐὰν ἀπέλθῃς εἰς Κιτιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι·

13. καὶ εἰς γῆν Χαλδαίων, καὶ αὕτη ἠρήμωται ἀπὸ τῶν Ἀσσυρίων, ὅτι ὁ τοῖχος αὐτῆς πέπτωκεν.

14. Ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπόλωλε τὸ ὀχύρωμα ὑμῶν.

15. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καταλειφθήσεται Τύρος ἔτη ἑβδομήκοντα, ὡς χρόνος βασιλέως, ὡς χρόνος ἀνθρώπου· καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη, ἔσται Τύρος ὡς ᾆσμα πόρνης.

et erit velut pater habitatoribus Jerusalem, et inhabitantibus in Juda.

22. Et dabo gloriam David ei, et principabitur, et non erit qui contradicat : et dabo ei clavem domus David super humerum ejus, et aperiet, et non erit qui claudat : et claudet, et non erit qui aperiat.

23. Et statuam eum principem in loco fideli, et erit in solium gloriæ domus patris ejus :

24. et erit confidens super eum omnis gloriosus in domo patris sui, a parvo usque ad magnum, et erunt pendentes ab eo

25. die illa. Hæc dicit Dominus sabaoth : Movebitur homo qui stabilitus fuerat in loco fideli, et tolletur, et cadet, et disperibit gloria quæ erat super eum, quoniam Dominus locutus est.

CAPUT XXIII.

VERBUM TYRI.

1. Ululate, naves Carthaginis, quia periit, et non ultra veniunt de terra Citiæorum : ducta est captiva.

2. Cui similes facti sunt habitantes in insula, negotiatores Phœniciæ, transmittentes mare

3. in aqua multa, semen negotiatorum? Quasi messis inferatur, negotiatores gentium.

4. Erubesce, Sidon, dixit mare : fortitudo autem maris dixit : Non parturivi, neque peperi, neque enutrivi juvenes, neque exaltavi virgines.

5. Quando autem auditum fuerit Ægypto, capiet eos dolor pro Tyro.

6. Abite in Carthaginem, ululate, qui habitatis in insula hac.

7. Nonne hæc erat superbia vestra a principio, priusquam ipsa traderetur?

8. Quis hæc decrevit super Tyrum? Numquid imbecillior est, aut non valet? Mercatores ejus gloriosi, principes terræ.

9. Dominus sabaoth decrevit dissolvere universam superbiam gloriosorum, et inhonorare omne gloriosum super terram.

10. Operare terram tuam, etenim naves non ultra veniunt de Carthagine.

11. Manus autem tua non ultra valet per mare, irritans reges. Dominus sabaoth mandavit de Chanaan, perdere ejus fortitudinem.

12. Et dicent : non ultra adjicietis contumeliosi esse et afficere injuriis filiam Sidonis. Quod si abieris ad Citiæos, neque ibi requies erit tibi :

13. et in terram Chaldæorum, et hæc desolata est ab Assyriis, quoniam murus ejus corruit.

14. Ululate, naves Carthaginis, quoniam periit munitio vestra.

15. Et erit in die illa, derelinquetur Tyrus annos septuaginta, sicut tempora regis, sicut tempus hominis : et erit post septuaginta annos, erit Tyrus quasi canticum meretricis.

16. Λάβε κιθάραν, ῥέμβευσον, πόλις πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται.

17. Καὶ ἔσται μετὰ τὰ ἑβδομήκοντα ἔτη, ἐπισκοπὴν ποιήσει ὁ Θεὸς Τύρου, καὶ πάλιν ἀποκαταστήσεται εἰς τὸ ἀρχαῖον, καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης ἐπὶ πρόσωπον τῆς γῆς·

18. καὶ ἔσται αὐτῆς ἡ ἐμπορία καὶ ὁ μισθὸς ἅγιον Κυρίῳ, οὐκ αὐτοῖς συναχθήσεται, ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι Κυρίου· πᾶσα ἡ ἐμπορία αὐτῆς, φαγεῖν καὶ πιεῖν καὶ ἐμπλησθῆναι, καὶ εἰς συμβολὴν μνημόσυνον ἔναντι Κυρίου.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

1. Ἰδοὺ Κύριος καταφθείρει τὴν οἰκουμένην, καὶ ἐρημώσει αὐτὴν, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς, καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ·

2. καὶ ἔσται ὁ λαὸς ὡς ἱερεὺς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ κυρία· ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, ὁ δανείζων ὡς ὁ δανειζόμενος, καὶ ὁ ὀφείλων ὡς ᾧ ὀφείλει.

3. Φθορᾷ φθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ, τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

4. Ἐπένθησεν ἡ γῆ, καὶ ἐφθάρη ἡ οἰκουμένη, ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς·

5. ἡ δὲ ἠνόμησε διὰ τοὺς κατοικοῦντας αὐτὴν, διότι παρήλθοσαν τὸν νόμον, καὶ ἤλλαξαν τὰ προστάγματα, διαθήκην αἰώνιον.

6. Διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ κατοικοῦντες αὐτήν. Διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ, καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι.

7. Πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν·

8. Πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται φωνὴ κιθάρας.

9. Ἠσχύνθησαν, οὐκ ἔπιον οἶνον, πικρὸν ἐγένετο τὸ σίκερα τοῖς πίνουσιν.

10. Ἠρημώθη πᾶσα πόλις, κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν.

11. Ὀλολύζεται περὶ τοῦ οἴνου πανταχῇ, πέπαυται πᾶσα εὐφροσύνη τῆς γῆς, ἀπῆλθε πᾶσα εὐφροσύνη τῆς γῆς.

12. Καὶ καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται.

13. Ταῦτα πάντα ἔσονται ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν. Ὃν τρόπον ἐάν τις καλαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς· καὶ ἐὰν παύσηται ὁ τρυγητὸς,

14. οὗτοι βοῇ φωνήσουσιν, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου, ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης.

15. Διὰ τοῦτο ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης, τὸ ὄνομα Κυρίου ἔνδοξον ἔσται.

16. Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν, ἐλπὶς τῷ εὐσεβεῖ. Καὶ ἐροῦσι· Οὐαὶ τοῖς ἀθετοῦσιν, οἱ ἀθετοῦντες τὸν νόμον·

17. φόβος καὶ βόθυνος καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς.

18. Καὶ ἔσται, ὁ φεύγων τὸν φόβον ἐμπεσεῖται εἰς

16. Sume citharam, vagare, civitas meretrix oblivioni tradita, bene cithariza, multum cane, ut tui memoria sit.

17. Et erit post septuaginta annos, visitationem faciet Deus Tyri, et rursus restituetur in antiquum, et erit emporium omnibus regnis orbis super faciem terræ :

18. et erit ejus negotiatio et merces sanctum Domino, non ipsis congregabitur, sed habitantibus ante Dominum : omnis negotiatio ejus, edere et bibere et implere, et in symbolam memoriale coram Domino.

CAPUT XXIV.

1. Ecce Dominus disperdit orbem terræ, et desolabit eum, et revelabit faciem ejus, et disseminabit inhabitantes in eo :

2. et erit populus sicut sacerdos, et puer sicut dominus, et ancilla sicut domina : erit emens sicut vendens, fœnerator sicut qui mutuum accipit, et qui debet sicut cui debet.

3. Dissipatione dissipabitur terra, et direptione diripietur terra, os enim Domini locutum est hæc.

4. Luxit terra, et corruptus est orbis, luxerunt excelsi terræ :

5. ipsa vero impie egit propter habitatores suos, quia prævaricati sunt legem, et mutaverunt præcepta, testamentum æternum.

6. Propter hoc maledictio devorabit terram, quia peccaverunt habitatores ejus. Ideo pauperes erunt habitatores terræ, et derelinquentur homines pauci.

7. Lugebit vinum, lugebit vitis, gement omnes lætantes animo :

8. cessavit lætitia tympanorum, cessavit vox citharæ.

9. Confusi sunt, non biberunt vinum, amara facta est sicera bibentibus.

10. Desolata est universa civitas, claudet domum ad non ingrediendum.

11. Ululat pro vino ubique, cessavit omnis lætitia terræ, abiit omnis lætitia terræ.

12. Et derelinquentur civitates desolatæ, et domus derelictæ peribunt.

13. Hæc omnia erunt in terra in medio gentium. Quomodo si quis excutiat olivam, sic excutient eos : et si quiescat vindemia,

14. isti clamore vociferabuntur, qui autem relicti fuerint super terram lætabuntur simul cum gloria Domini, conturbabitur aqua maris.

15. Propterea gloria Domini in insulis erit maris, nomen Domini gloriosum erit.

16. Domine Deus Israel, ab alis terræ portenta audivimus, spes pio. Et dicent : Væ prævaricatoribus, qui prævaricantur legem :

17. timor et fovea et laqueus super vos qui habitatis terram.

18. Et erit, qui fugerit timorem incidet in foveam : et qui

τὸν βόθυνον· καὶ ὁ ἐκβαίνων ἐκ τοῦ βοθύνου ἁλώσεται ὑπὸ τῆς παγίδος· ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς.

19. Ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ.

20. Ἔκλινεν ὡς ὁ μεθύων καὶ κραιπαλῶν, καὶ σεισθήσεται ὡς ὀπωροφυλάκιον ἡ γῆ, κατίσχυσε γὰρ ἐπ' αὐτῆς ἡ ἀνομία, καὶ πεσεῖται, καὶ οὐ μὴ δύνηται ἀναστῆναι.

21. Καὶ ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα, καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς.

22. Καὶ συνάξουσι συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον, καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα, διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν.

23. Καὶ τακήσεται ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖχος. Ὅτι βασιλεύσει Κύριος ἐκ Σιὼν καὶ ἐξ Ἱερουσαλὴμ, καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται.

exierit de fovea capietur a laqueo : quia fenestræ de cœlo apertæ sunt, et concutientur fundamenta terræ.

19. Turbatione turbabitur terra, et egestate egebit terra.

20. Declinavit sicut ebrius et plenus crapulæ, et concutietur quasi pomorum custodia terra, invaluit enim super eam iniquitas, et cadet, et non poterit resurgere.

21. Et inducet Dominus super ornatum cœli manum, et super reges terræ.

22. Et congregabunt congregationem ejus in carcerem, et claudent in munitionem, per multas generationes visitatio erit eorum.

23. Et liquefiet later, et cadet murus. Quoniam regnabit Dominus e Sion et de Jerusalem, et in conspectu seniorum glorificabitur.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

1. Κύριε ὁ Θεὸς, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. Γένοιτο.

2. Ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ὀχυρὰς, τοῦ μὴ πεσεῖν αὐτῶν τὰ θεμέλια· τῶν ἀσεβῶν πόλις τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ.

3. Διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχὸς, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε.

4. Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθὸς, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη· ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς· σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων.

5. Ὡς ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν Σιὼν, ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς ἡμᾶς παρέδωκας.

6. Καὶ ποιήσει Κύριος σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν· ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην, πίονται οἶνον·

7. χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη.

8. Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλε Κύριος ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς, τὸ γὰρ στόμα Κυρίου ἐλάλησε.

9. Καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ὁ Θεὸς ἡμῶν ἐφ' ᾧ ἠλπίζομεν, καὶ σώσει ἡμᾶς. Οὗτος Κύριος, ὑπεμείναμεν αὐτῷ, καὶ ἠγαλλιώμεθα, καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν.

10. Ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο, καὶ καταπατηθήσεται ἡ Μωαβῖτις, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις.

11. Καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι· καὶ ταπεινώσει τὴν ὕβριν αὐτοῦ, ἐφ' ἃ τὰς χεῖρας ἐπέβαλε.

12. Καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου ταπεινώσει, καὶ καταβήσεται ἕως τοῦ ἐδάφους.

CAPUT XXV.

1. Domine Deus, glorificabo te, laudabo nomen tuum, quoniam fecisti admirabiles res, consilium antiquum verum. Fiat.

2. Quia posuisti civitates in tumulum, civitates munitas, ut non caderent fundamenta earum : impiorum civitas in æternum non ædificabitur.

3. Propterea benedicet tibi populus pauper, et civitates hominum injuriam sustinentium benedicent tibi.

4. Fuisti enim omni civitati humili auxiliator, et tristibus propter inopiam protectio : ab hominibus pessimis liberabis eos : umbraculum sitientium, et spiritus hominum iniquitatem sustinentium.

5. Quasi homines pusillanimes sitientes in Sion, ab hominibus impiis, quibus nos tradidisti.

6. Et faciet Dominus sabaoth omnibus gentibus : super montem istum bibent lætitiam, bibent vinum :

7. ungentur unguento in monte isto. Trade hæc omnia gentibus : consilium enim hoc super omnes gentes.

8. Devorabit mors prævalens, et rursum abstulit Dominus Deus omnem lacrymam ab omni facie, opprobrium populi abstulit ab omni terra, os enim Domini locutum est.

9. Et dicent die illa : Ecce Deus noster in quo sperabamus, et salvabit nos. Iste Dominus, sustinuimus eum, et exsultavimus, et lætabimur in salute nostra.

10. Requiem dabit Dominus in monte isto, et conculcabitur Moabitis, quemadmodum calcant aream in plaustris.

11. Et remittet manus suas, quomodo et ipse humiliavit ad perdendum : et humiliabit superbiam ejus, super quæ manus injecit.

12. Et altitudinem refugii muri humiliabit, et descendet usque ad pavimentum.

ΚΕΦΑΛΑΙΟΝ Κς'.

1. Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς Ἰουδαίας· Ἰδοὺ πόλις ἰσχυρὰ καὶ σωτήριον θήσει τὸ τεῖχος, καὶ περίτειχος.

CAPUT XXVI.

1. Die illa cantabunt canticum istud super terram Judæam : Ecce civitas fortis, et salutare ponet murum, et circummurale.

2. Ἀνοίξατε πύλας, εἰςελθέτω λαὸς φυλάσσων δικαιοσύνην, καὶ φυλάσσων ἀλήθειαν,

3. ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰρήνην·

4. ὅτι ἐπὶ σοὶ ἐλπίδι ἤλπισαν, Κύριε, ἕως τοῦ αἰῶνος, ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος,

5. ὃς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς. Πόλεις ὀχυρὰς καταβαλεῖς, καὶ κατάξεις ἕως ἐδάφους.

6. Καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων καὶ ταπεινῶν.

7. Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, ἡ ὁδὸς τῶν εὐσεβῶν καὶ παρεσκευασμένη.

8. Ἡ γὰρ ὁδὸς Κυρίου, κρίσις. Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν.

9. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προςτάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

10. Πέπαυται γὰρ ὁ ἀσεβής. Πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

11. Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήσονται. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

12. Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν.

13. Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν.

14. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι. Διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

15. Πρόςθες αὐτοῖς κακὰ, Κύριε, πρόςθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

16. Κύριε, ἐν θλίψει ἐμνήσθην σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

17. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τεκεῖν, ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

18. Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

19. Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

20. Βάδιζε, λαός μου, εἴςελθε εἰς τὰ ταμεῖά σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

21. Ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς· καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους.

2. Aperite portas, ingrediatur populus custodiens justitiam, et custodiens veritatem,

3. apprehendens veritatem, et custodiens pacem :

4. quoniam in te spe speraverunt, Domine, usque in sempiternum, Deus magne, æterne,

5. qui humilians detraxisti eos qui habitant in excelsis. Civitates munitas destrues, et sternes usque ad pavimentum.

6. Et conculcabunt eos pedes mansuetorum et humilium.

7. Via piorum recta facta est, et præparata via piorum.

8. Via enim Domini, judicium. Speravimus in nomine tuo, et in memoria qua desiderat anima nostra.

9. De nocte mane consurgit spiritus meus ad te, Deus, quia lux præcepta tua super terram. Justitiam discite, qui habitatis super terram.

10. Cessavit enim impius. Omnis qui non didicerit justitiam super terram, veritatem non faciet. Auferatur impius, ut non videat gloriam Domini.

11. Domine, excelsum est brachium tuum, et nescierunt, scientes autem confundentur. Zelus apprehendet populum ineruditum, et nunc ignis adversarios comedet.

12. Domine Deus noster, pacem da nobis, omnia enim reddidisti nobis.

13. Domine Deus noster, posside nos : Domine, extra te alium nescimus : nomen tuum nominamus.

14. Mortui autem vitam non videbunt, neque medici suscitabunt. Idcirco induxisti, et perdidisti, et tulisti omne masculum eorum.

15. Adde eis mala, Domine, adde mala gloriosis terræ.

16. Domine, in tribulatione recordatus sum tui, in tribulatione parva disciplina tua nobis.

17. Et sicut parturiens appropinquat ad pariendum, in dolore suo clamavit, sic facti sumus dilecto tuo.

18. Propter timorem tuum, Domine, in utero accepimus, et parturivimus, et peperimus spiritum salutis tuæ, quem fecimus super terram. Non cademus, sed cadent omnes habitatores terræ.

19. Resurgent mortui, et expergiscentur qui in monumentis, et lætabuntur qui sunt in terra. Ros enim qui a te sanatio eis est, terra autem impiorum cadet.

20. Vade, populus meus, ingredere in cubicula tua, claude ostium tuum, abscondere paululum quantulumcumque, donec pertranseat ira Domini.

21. Ecce enim Dominus de sancto inducit iram super habitatores terræ : et revelabit terra sanguinem suum, et non abscondet interfectos.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

1. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, καὶ τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν· ἀνελεῖ τὸν δράκοντα.

CAPUT XXVII.

1. In die illa inducet Deus gladium sanctum, et magnum, et fortem super draconem colubrum fugientem, super draconem colubrum tortuosum : occidet draconem.

2. Τῇ ἡμέρᾳ ἐκείνῃ, ἀμπελὼν καλὸς, ἐπιθύμημα ἐξάρχειν κατ' αὐτῆς.

3. Ἐγὼ πόλις ὀχυρά, πόλις πολιορκουμένη· μάτην ποτιῶ αὐτήν. Ἁλώσεται γὰρ νυκτὸς, ἡμέρας δὲ πεσεῖται τεῖχος. Οὐκ ἔστιν ἣ οὐκ ἐπελάβετο αὐτῆς.

4. Τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; Διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν. Τοίνυν διὰ τοῦτο ἐποίησε Κύριος πάντα ὅσα συνέταξε. Κατακέκαυμαι,

5. βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην,

6. οἱ ἐρχόμενοι τέκνα Ἰακώβ. Βλαστήσει καὶ ἐξανθήσει Ἰσραὴλ, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ.

7. Μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται; καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται;

8. Μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς. Οὐ σὺ ἦσθα μελετῶν τῷ πνεύματι τῷ σκληρῷ, ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;

9. Διὰ τοῦτο ἀφαιρεθήσεται ἀνομία Ἰακὼβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι τὴν ἁμαρτίαν αὐτοῦ, ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους, ὡς κονίαν λεπτήν· καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα, ὥσπερ δρυμὸς μακράν·

10. τὸ κατοικούμενον ποίμνιον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελειμμένον, καὶ ἔσται πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται ποίμνια.

11. Καὶ μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ πᾶν χλωρὰν, διὰ τὸ ξηρανθῆναι. Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γάρ λαός ἐστιν ἔχων σύνεσιν· διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιήσας αὐτοὺς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσῃ.

12. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συμφράξει ὁ Θεὸς ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων. Ὑμεῖς δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς Ἰσραήλ.

13. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων, καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ, καὶ προςκυνήσουσι τῷ Κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ.

2. Die illo, vinea bona, desiderium cantare super eam.

3. Ego civitas munita, civitas quæ oppugnatur : frustra potum dabo illi. Capietur enim nocte, die autem cadet murus. Non est quæ non apprehenderit eam.

4. Quis ponet me custodem stipulæ in agro? Propter adversariam hanc repuli eam. Idcirco igitur fecit Dominus omnia quæ disposuit. Combusta sum,

5. clamabunt habitatores ejus, faciamus pacem illi, faciamus pacem,

6. venientes filii Jacob. Germinabit et florebit Israel, et implebitur orbis terrarum fructu ejus.

7. Non sicut ipse percussit, et ipse sic percutietur? et sicut ipse interfecit, sic interficietur?

8. Rixans et exprobrans emittet eos. Nonne tu eras qui meditabaris spiritu duro interficere eos spiritu furoris?

9. Propterea auferetur iniquitas Jacob, et hoc est benedictio ejus, cum abstulero peccatum ejus, quando posuerint omnes lapides ararum contritos, quasi cinerem minutum : et non perseverabunt arbores eorum, et idola eorum succisa, quasi lucus longe :

10. habitans grex dimittetur, sicut grex derelictus, et erit multo tempore in pastionem, et ibi requiescent greges.

11. Et post tempus non erit in ea omne viride, quia exsiccatum est. Mulieres venientes a spectaculo, venite : non est enim populus habens intelligentiam : propterea non miserebitur eorum qui fecit eos, et qui formavit eos non parcet.

12. Et erit in die illa, concludet Deus a fossa fluminis usque ad Rhinocoruram. Vos autem congregate singulos filios Israel.

13. Et erit in die illa, canent tuba magna, et venient qui perierant in regione Assyriorum, et qui perierant in Ægypto, et adorabunt Dominum super montem sanctum in Jerusalem.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

1. Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραίμ· τὸ ἄνθος τὸ ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέως, οἱ μεθύοντες ἄνευ οἴνου.

2. Ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς Κυρίου, ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη· ὡς ὕδατος πολὺ πλῆθος σύρον χωραν, τῇ γῇ ποιήσει ἀνάπαυμα. Ταῖς χερσὶ

3. καὶ τοῖς ποσὶ καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως, οἱ μισθωτοὶ τοῦ Ἐφραίμ.

4. Καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης, ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ· ὡς πρόδρομος σύκου, ὁ ἰδὼν αὐτὸ, πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν αὐτὸ, θελήσει αὐτὸ καταπιεῖν.

5. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος, ὁ πλεκεὶς τῆς δόξης, τῷ καταλειφθέντι τοῦ λαοῦ.

CAPUT XXVIII.

1. Væ coronæ injuriæ, mercenarii Ephraim : flos cadens de gloria super verticem montis pinguis, qui ebrii estis absque vino.

2. Ecce forte et durum furor Domini, sicut grando quæ fertur in pronum non habens tegmen, quæ violenter decidit : sicut aquæ magna multitudo trahens regionem, terræ faciet requiem. Manibus

3. et pedibus conculcabitur corona injuriæ, mercenarii Ephraim.

4. Et erit flos qui decidit de spe gloriæ, in summitate montis excelsi : sicut præmatura ficus, quam qui viderit, antequam sumat manu, cupiet eam devorare.

5. Die illa erit Dominus sabaoth corona spei, quæ compacta est gloriæ, reliquiis populi.

6. Καταλειφθήσονται ἐπὶ πνεύματι κρίσεως ἐπὶ κρίσιν, καὶ ἰσχὺν κωλυόντων ἀνελεῖν.

7. Οὗτοι γὰρ οἴνῳ πεπλημμελημένοι εἰσὶν, ἐπλανήθησαν διὰ τὸ σίκερα, ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸ σίκερα, κατεπόθησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς μέθης, ἐπλανήθησαν· τουτέστι φάσμα.

8. Ἀρὰ ἔδεται ταύτην τὴν βουλὴν, αὕτη γὰρ ἡ βουλὴ ἕνεκα πλεονεξίας.

9. Τίνι ἀνηγγείλαμεν κακὰ, καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν; Οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ,

10. Θλῖψιν ἐπὶ θλῖψιν προσδέχου, ἐλπίδα ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρὸν,

11. διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ,

12. λέγοντες αὐτοῖς· Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν.

13. Καὶ ἔσται αὐτοῖς τὸ λόγιον τοῦ Θεοῦ, θλῖψις ἐπὶ θλῖψιν, ἐλπὶς ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρὸν, ἵνα πορεύσωσι καὶ πέσωσιν ὀπίσω, καὶ συντριβήσονται, καὶ κινδυνεύσουσι, καὶ ἁλώσονται.

14. Διὰ τοῦτο ἀκούσατε λόγον Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ οἱ ἄρχοντες τοῦ λαοῦ τούτου τοῦ ἐν Ἱερουσαλήμ·

15. ὅτι εἴπατε· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας· καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα.

16. Διὰ τοῦτο οὕτω λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων οὐ μὴ καταισχυνθῇ.

17. Καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμοὺς, καὶ οἱ πεποιθότες μάτην ψεύδει· ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγὶς,

18. μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ; Καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα·

19. ὅταν παρέλθῃ, λήψεται ὑμᾶς, πρωῒ πρωῒ παρελεύσεται ἡμέρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά. Μάθετε ἀκούειν,

20. στενοχωρούμενοι· οὐ δυνάμεθα μάχεσθαι, αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ὑμᾶς συναχθῆναι.

21. Ὥσπερ ὄρος ἀσεβῶν ἀναστήσεται Κύριος, καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαὼν, μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον· ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία.

22. Καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί· διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν.

23. Ἐνωτίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου, προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου.

24. Μὴ ὅλην τὴν ἡμέραν ἀροτριάσει ὁ ἀροτριῶν, ἢ σπόρον προετοιμάσει πρὶν ἐργάσασθαι τὴν γῆν;

25. Οὐχ, ὅταν ὁμαλίσῃ τὸ πρόσωπον αὐτῆς, τότε σπείρει μικρὸν μελάνθιον ἢ κύμινον, καὶ πάλιν σπείρει πυρὸν, καὶ κριθὴν, καὶ κέγχρον καὶ ζέαν ἐν τοῖς ὁρίοις σου;

6. Relinquentur in spiritu judicii super judicium, et fortitudinem vetantium interficere.

7. Isti enim vino deliquerunt, erraront propter siceram, sacerdos et propheta exciderunt mente propter siceram, absorpti sunt propter vinum, vacillaverunt propter ebrietatem, erraverunt : hoc est phasma.

8. Maledictio comedet hoc consilium, siquidem istud consilium propter avaritiam est.

9. Cui annuntiavimus mala, et cui annuntiavimus nuntium? Qui ablactati sunt a lacte, qui abstracti ab ubere.

10. Tribulationem super tribulationem exspecta, spem super spem : adhuc parum, adhuc parum,

11. propter irrisionem labiorum, propter linguam alteram, quia loquentur populo huic,

12. dicentes eis : Hæc est requies esurienti, et hæc contritio, et noluerunt audire.

13. Et erit eis sermo Domini, tribulatio super tribulationem, spes super spem : adhuc parum, adhuc parum, ut vadant et cadant retrorsum, et conterentur, et periclitabuntur, et capientur.

14. Propterea audite verbum Domini, viri tribulati, et principes populi hujus qui est in Jerusalem :

15. quia dixistis : Fecimus testamentum cum inferno, et cum morte pacta : tempestas irruens si pertransierit, non veniet super nos : posuimus mendacium spem nostram, et mendacio protegemur.

16. Propterea sic dicit Dominus Dominus : Ecce ego immittam in fundamenta Sion lapidem pretiosum, electum, summum, angularem, honorabilem, in fundamenta ejus, et qui crediderit non confundetur.

17. Et ponam judicium in spem, misericordia autem mea in pondera, et qui confiderunt frustra mendacio : quoniam non transibit per vos tempestas,

18. nonne etiam auferet testamentum mortis, et spes vestra quæ erga infernum non permanebit? Tempestas ruens si supervenerit, eritis ei in conculcationem :

19. cum pertransierit, tollet vos, mane mane transibit die, et in nocte erit spes pessima. Discite audire,

20. qui estis in tribulatione : non possumus pugnare, ipsi autem infirmi sumus ut vos congregemini.

21. Sicut mons impiorum consurget Dominus, et erit in valle Gabaon, cum furore faciet opera sua, amaritudinis opus : et furor ejus aliene utetur, et perditio ejus aliena.

22. Et vos nolite lætari, neque confortentur vincula vestra : quia consummatas et abbreviatas res audivi a Domino sabaoth, quas facturus est super omnem terram.

23. Auribus percipite et audite vocem meam, attendite et audite sermones meos.

24. Numquid tota die arabit qui arat, aut sementem præparabit antequam operetur terram?

25. Nonne, cum adæquaverit faciem ejus, tunc seminat parvum melanthium aut cyminum, et rursus seminat triticum, et hordeum, et milium et speltam in finibus tuis?

26. Καὶ παιδευθήσῃ κρίματι Θεοῦ σου, καὶ εὐφρανθήσῃ.

27. Οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον· ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον,

28. τὸ δὲ κύμινον μετὰ ἄρτου βρωθήσεται. Οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγώ εἰμι ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς.

29. Καὶ ταῦτα παρὰ Κυρίου σαβαὼθ ἐξῆλθε τὰ τέρατα. Βουλεύσασθε, ὑψώσατε ματαίαν παράκλησιν.

26. Et erudieris judicio Dei tui, et lætaberis.

27. Non enim cum duritia mundatur melanthium, neque rota plaustri circuit super cyminum : sed virga excutitur melanthium,

28. cyminum autem cum pane comedetur. Neque enim in sempiternum equidem irascar vobis, nec vox amaritudinis meæ conculcabit vos.

29. Et hæc a Domino sabaoth sunt egressa portenta. Inite consilium, exaltate vanam consolationem.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

1. Οὐαὶ Ἀριὴλ πόλις, ἣν ἐπολέμησε Δαυίδ. Συναγάγετε γεννήματα, ἐνιαυτὸν ἐπὶ ἐνιαυτὸν, φάγεσθε, φάγεσθε γὰρ σὺν Μωάβ·

2. ἐκθλίψω γὰρ Ἀριὴλ, καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί.

3. Καὶ κυκλώσω ὡς Δαυὶδ ἐπὶ σὲ, καὶ βαλῶ περὶ σὲ χάρακα, καὶ θήσω περὶ σὲ πύργους,

4. καὶ ταπεινωθήσονται εἰς τὴν γῆν οἱ λόγοι σου, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται· καὶ ἔσονται ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει.

5. Καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ ὡς χνοῦς φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε· καὶ ἔσται ὡς στιγμὴ

6. παραχρῆμα παρὰ Κυρίου σαβαώθ. Ἐπισκοπὴ γὰρ ἔσται μετὰ βροντῆς καὶ σεισμοῦ καὶ φωνῆς μεγάλης, καταιγὶς φερομένη καὶ φλὸξ πυρὸς κατεσθίουσα.

7. Καὶ ἔσται ὡς ἐνυπνιαζόμενος καθ' ὕπνους νυκτὸς, ὁ πλοῦτος ἁπάντων τῶν ἐθνῶν ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἀριὴλ, καὶ πάντες οἱ στρατευόμενοι ἐπὶ Ἱερουσαλὴμ, καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτὴν, καὶ οἱ θλίβοντες αὐτήν.

8. Καὶ ὡς οἱ ἐν τῷ ὕπνῳ πίνοντες καὶ ἔσθοντες, καὶ ἐξαναστάντων, μάταιον τὸ ἐνύπνιον· καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος τῶν ἐθνῶν πάντων, ὅσοι ἐπεστράτευσαν ἐπὶ τὸ ὄρος Σιών.

9. Ἐκλύθητε καὶ ἔκστητε, καὶ κραιπαλήσατε οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου,

10. ὅτι πεπότικεν ὑμᾶς Κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά.

11. Καὶ ἔσται ὑμῖν τὰ ῥήματα πάντα ταῦτα ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου τούτου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, λέγοντες· Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ· Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ.

12. Καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα, καὶ ἐρεῖ αὐτῷ· Ἀνάγνωθι τοῦτο, καὶ ἐρεῖ· Οὐκ ἐπίσταμαι γράμματα.

13. Καὶ εἶπε Κύριος· Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με, διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας.

CAPUT XXIX.

1. Væ Ariel civitas, quam expugnavit David. Congregate genimina, annum super annum, comedite, comedetis enim cum Moab :

2. coangustabo enim Ariel, et erit fortitudo illius et divitiæ mihi.

3. Et circumdabo sicut David super te, et mittam vallum in circuitu tuo, et ponam per gyrum tui turres,

4. et humiliabuntur in terram sermones tui, et in terram occident verba tua : et erunt sicut loquentium de terra vox tua, et ad pavimentum vox tua infirmabitur.

5. Et erunt sicut pulvis de rota divitiæ impiorum, et sicut lanugo quæ rapitur multitudo opprimentium te : eritque quasi punctus

6. repente a Domino sabaoth. Visitatio enim erit cum tonitru et commotione et voce magna, tempestas ruens et flamma ignis devorans.

7. Et erunt sicut somnians per somnos noctis, divitiæ omnium gentium quæ militaverunt contra Ariel, et omnes qui pugnabant contra Jerusalem, et universi qui congregati sunt super eam, et qui affligebant eam.

8. Et sicut qui in somno bibunt et comedunt, cumque surrexerint, vanum est somnium : et sicut somniat qui sitit quasi bibens, et cum surrexerit adhuc sitit, et anima ejus frustra speravit, sic erunt divitiæ omnium gentium, quicumque militaverunt contra montem Sion.

9. Dissolvimini et obstupescite, et crapulamini non a sicera neque a vino,

10. quoniam potavit vos Dominus spiritu compunctionis, et claudet oculos eorum, et prophetarum eorum, et principum eorum, qui vident occulta.

11. Et erunt vobis omnia verba hæc sicut verba libri signati hujus, quem si dederint ipsum homini scienti litteras, dicentes : Lege hæc, et dicet : Non possum legere, signatus enim est.

12. Et dabitur liber hic in manus hominis nescientis litteras, et dicet ei : Lege hunc, et dicet : Nescio litteras.

13. Et ait Dominus : Appropinquat mihi populus iste ore suo, et in labiis suis honorant me, cor autem eorum longe abest a me. Frustra autem colunt me, docentes hominum præcepta atque doctrinas.

14. Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτοὺς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω.

15. Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Κυρίου. Οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν· καὶ ἐροῦσι· Τίς ἑώρακεν ἡμᾶς; καὶ τίς ἡμᾶς γνώσεται ἢ ἃ ἡμεῖς ποιοῦμεν;

16. Οὐχ ὡς πηλὸς τοῦ κεραμέως λογισθήσεσθε; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό· Οὐ σύ με ἔπλασας; Ἢ τὸ ποίημα τῷ ποιήσαντι· Οὐ συνετῶς με ἐποίησας;

17. Οὐχέτι μικρὸν, καὶ μετατεθήσεται ὁ Λίβανος, ὡς τὸ ὄρος τὸ Χέρμελ, καὶ τὸ Χέρμελ εἰς δρυμὸν λογισθήσεται;

18. Καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ. Ὀφθαλμοὶ τυφλῶν ὄψονται,

19. καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ Κύριον ἐν εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης.

20. Ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ,

21. καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ· πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν, ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον.

22. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τὸν οἶκον Ἰακὼβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ· Οὐ νῦν αἰσχυνθήσεται Ἰακὼβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ·

23. ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου, καὶ ἁγιάσουσι τὸν ἅγιον Ἰακὼβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται.

24. Καὶ γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

1. Οὐαὶ τέκνα ἀποστάται, λέγει Κύριος· ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίας,

2. οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν, τοῦ βοηθηθῆναι ὑπὸ Φαραὼ, καὶ σκεπασθῆναι ὑπὸ Αἰγυπτίων.

3. Ἔσται γὰρ ὑμῖν σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος.

4. Ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ, ἄγγελοι πονηροί.

5. Μάτην κοπιάσουσι πρὸς λαὸν, ὃς οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.

Η ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑΠΟΔΩΝ ΤΩΝ ΕΝ ΤΗ ΕΡΗΜΩ.

6. Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ, λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες, καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτούς.

7. Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς; Ἀπάγγειλον αὐτοῖς ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη.

8. Νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίου ταῦτα καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα καιρῷ, καὶ ἕως εἰς τὸν αἰῶνα.

14. Propterea ecce adjiciam ut transferam populum justum, et transferam eos, et perdam sapientiam sapientum, et prudentiam prudentium abscondam.

15. Væ qui profundum consilium faciunt, et non per Dominum. Væ qui in occulto consilium faciunt, et erunt in tenebris opera eorum : et dicent : Quis vidit nos? et quis sciet nos vel quæ nos facimus?

16. Nonne ut lutum figuli reputabimini? Numquid dicet figmentum fictori suo : Non tu me formasti? Aut factura factori : Non sapienter me fecisti?

17. Nonne adhuc modicum, et transferetur Libanus, sicut mons Chermel, et Chermel in saltum reputabitur?

18. Et audient in die illa surdi verba libri, et qui in tenebris, et qui in nebula. Oculi cæcorum videbunt,

19. et lætabuntur inopes propter Dominum in lætitia, et desperati homines implebuntur lætitia.

20. Defecit iniquus, et periit superbus, et exterminati sunt qui inique agunt in malitia,

21. et qui faciunt peccare homines in verbo : omnes autem arguentes in portis offensionem ponent, quia obliquaverunt pro injustis justum.

22. Propterea hæc dicit Dominus super domum Jacob, quam separavit ex Abraam : Non confundetur modo Jacob, neque nunc faciem mutabit :

23. sed cum viderint filii eorum opera mea, propter me sanctificabunt nomen meum, et sanctificabunt sanctum ipsius Jacob, et Deum Israel timebunt.

24. Et scient qui errant spiritu intelligentiam, et mussitatores discent obedire, et linguæ balbutientes discent loqui pacem.

CAPUT XXX.

1. Væ filii desertores, dicit Dominus : fecistis consilium non per me, et pacta non per spiritum meum, ut adderetis peccata peccatis,

2. qui vadunt descendere in Ægyptum, me autem non interrogaverunt, ut acciperent auxilium a Pharaone, et protegerentur ab Ægyptiis.

3. Erit enim vobis protectio Pharaonis in confusionem, et his qui confidunt in Ægypto opprobrium.

4. Sunt enim in Tani principes, nuntii pessimi.

5. Frustra laborabunt ad populum, qui eis non proderit ad auxilium, sed ad confusionem et opprobrium.

VISIO QUADRUPEDUM IN DESERTO.

6. In tribulatione et angustia, leo et catulus leonis, inde etiam aspides, et genimina aspidum volantium, qui ferebant super asinos et camelos divitias suas ad gentem quæ eis non proderit.

7. Ægyptii inania et vacua proderunt vobis? Annuntia eis quia vana consolatio vestra hæc.

8. Nunc igitur sedens scribe super buxum hæc et in libro, quoniam erunt in dies hæc tempore, et usque in æternum.

9. Ὅτι ὁ λαὸς ἀπειθής ἐστι, υἱοὶ ψευδεῖς, οἳ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ Θεοῦ·

10. οἱ λέγοντες τοῖς προφήταις· Μὴ ἀναγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι· Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν,

11. καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης· ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ.

12. Διὰ τοῦτο τάδε λέγει ὁ ἅγιος τοῦ Ἰσραήλ· Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις, καὶ ἠλπίσατε ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας, καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τούτῳ,

13. διὰ τοῦτο ἔσται ὑμῖν ἁμαρτία αὕτη ὡς τεῖχος πίπτον παραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πάρεστι τὸ πτῶμα·

14. καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου ὀστρακίνου, ἐκ κεραμίου λεπτὰ, ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον, ἐν ᾧ πῦρ ἀρεῖς, καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν.

15. Οὕτω λέγει Κύριος Κύριος ὁ ἅγιος τοῦ Ἰσραήλ. Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, καὶ γνώσῃ ποῦ ἦσθα· ὅτι ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις, ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη. Καὶ οὐκ ἐβούλεσθε ἀκούειν,

16. ἀλλ' εἴπατε· Ἐφ' ἵππων φευξόμεθα, διὰ τοῦτο φεύξεσθε, καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα· διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς.

17. Χίλιοι διὰ φωνὴν ἑνὸς φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύξονται πολλοὶ, ἕως ἂν καταλειφθῆτε, ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ.

18. Καὶ πάλιν μενεῖ ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς, καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς· διότι κριτὴς Κύριος ὁ Θεὸς ὑμῶν. Μακάριοι οἱ ἐμμένοντες ἐπ' αὐτῷ,

19. διότι λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει, καὶ Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν· Ἐλέησόν με. Ἐλεήσει σε, τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου.

20. Καὶ δώσει Κύριος ὑμῖν ἄρτον θλίψεως, καὶ ὕδωρ στενὸν, καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε· ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε,

21. καὶ τὰ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων, οἱ λέγοντες· Αὕτη ἡ ὁδὸς, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιὰ εἴτε ἀριστερά.

22. Καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα, καὶ περικεχρυσωμένα λεπτὰ ποιήσῃς, καὶ λικμήσῃς ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς κόπρον ὤσεις αὐτά.

23. Τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου ἔσται πλησμονὴ καὶ λιπαρός. Καὶ βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύχωρον.

24. Οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες, οἱ ἐργαζόμενοι τὴν γῆν, φάγονται ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ.

25. Καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψηλοῦ, καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοὶ, καὶ ὅταν πέσωσι πύργοι.

26. Καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου ἰάσεται.

9. Quia populus inobediens est, filii mendaces, qui nolunt audire legem Dei :

10. qui dicunt prophetis : Nolite annuntiare nobis, et videntibus visiones : Nolite loqui nobis, sed nobis loquimini et annuntiate nobis alteram seductionem,

11. et avertite nos a via hac : auferte a nobis semitam hanc, et auferte a nobis eloquium Israel.

12. Propterea hæc dicit sanctus Israel : Quia increduli fuistis verbis his, et sperastis in mendacio, et quia murmurasti, et fidens fuisti in verbo isto,

13. propterea erit vobis peccatum hoc sicut murus decidens subito civitatis munitæ captæ, cujus repente adest ruina :

14. et ruina ejus erit sicut contritio vasis testacei, ex figuli officina comminuta, ita ut non inveniatur in eis testa, in qua ignem tollas, et in qua extrahas aquam pusillam.

15. Sic dicit Dominus Dominus sanctus Israel Cum reversus ingemueris, tunc salvus eris, et scies ubi fueris : quia confidebas super vanis, vana facta est fortitudo vestra. Et noluistis audire,

16. sed dixistis : Super equos fugiemus, propterea fugietis, et super levibus ascensoribus erimus : ideo leves erunt qui persequuntur vos.

17. Mille ad vocem unius fugient, et ad vocem quinque fugient multi, donec relinquamini, quasi malus navis super montem, et quasi signum ferens super collem.

18. Et rursus exspectabit Deus ut misereatur vestri, et propterea exaltabitur ut parcat vobis : quia judex Dominus Deus vester. Beati qui immanent in eo,

19. quia populus sanctus in Sion habitavit, et Jerusalem ploratu ploravit : Miserere mei. Miserebitur tui, vocem clamoris tui quando vidit, exaudivit te.

20. Et dabit Dominus vobis panem tribulationis, et aquam angustam, et nequaquam ultra appropinquabunt tibi qui decipiant te : quia oculi tui videbunt eos qui te seducebant,

21. et aures tuæ audient verba post te decipientium, qui dicebant : Hæc via, ambulemus in ea, sive ad dextram sive ad sinistram.

22. Et contaminabis idola deargentata, et deaurata comminues ea, et disperges sicut aquam menstruatæ, et sicut stercus abjicies ea.

23. Tunc erit pluvia semini terræ tuæ, et panis frugum terræ tuæ erit abundans et pinguis. Et pascentur jumenta tua in die illa locum pinguem et spatiosum.

24. Tauri vestri et boves, qui operantur terram, comedent paleas commistas in hordeo ventilato.

25. Et erit super omnem montem excelsum, et super omnem collem elevatum aqua transiens in die illa, cum perierint multi, et cum ceciderint turres.

26. Et erit lumen lunæ sicut lumen solis, et lumen solis erit septuplum in die, quando sanaverit Dominus contritionem populi sui, et dolorem plagæ tuæ curabit.

27. Ἰδοὺ τὸ ὄνομα Κυρίου ἔρχεται διὰ χρόνου, καιόμενος θυμός· μετὰ δόξης τὸ λόγιον τῶν χειλέων αὐτοῦ, λόγιον ὀργῆς πλῆρες, καὶ ἡ ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται.

28. Καὶ τὸ πνεῦμα αὐτοῦ ὡς ὕδωρ ἐν φάραγγι σύρον, ἥξει ἕως τοῦ τραχήλου, καὶ διαιρεθήσεται, τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις, καὶ λήψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν.

29. Μὴ διαπαντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι καὶ εἰςπορεύεσθαι εἰς τὰ ἅγιά μου διαπαντὸς, ὡσεὶ ἑορτάζοντας, καὶ ὡσεὶ εὐφραινομένους εἰςελθεῖν μετὰ αὐλοῦ εἰς τὸ ὄρος Κυρίου πρὸς τὸν Θεὸν τοῦ Ἰσραήλ;

30. Καὶ ἀκουστὴν ποιήσει Κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ, καὶ τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ, δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης, κεραυνώσει βιαίως, καὶ ὡς ὕδωρ καὶ χάλαζα συγκαταφερομένη βίᾳ.

31. Διὰ γὰρ τῆς φωνῆς Κυρίου ἡττηθήσονται Ἀσσύριοι τῇ πληγῇ ᾗ ἂν πατάξῃ αὐτούς.

32. Καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς βοηθείας, ἐφ' ᾗ αὐτὸς ἐπεποίθει· αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς.

33. Σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ. Μὴ καί σοι ἡτοιμάσθη βασιλεύειν; Φάραγγα βαθεῖαν, ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλὰ, ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ θείου καιομένη.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

1. Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασι· ἔστι γὰρ πολλὰ, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα. Καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν.

2. Καὶ αὐτὸς σοφῶς ἦγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν, καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν,

3. Αἰγύπτιον ἄνθρωπον, καὶ οὐ Θεὸν, ἵππων σάρκας, καὶ οὐκ ἔστι βοήθεια· ὁ δὲ Κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς· καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ ἅμα πάντες ἀπολοῦνται.

4. Ὅτι οὕτως εἶπέ μοι Κύριος· Ὃν τρόπον βοήσῃ ὁ λέων, ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ᾗ ἔλαβε, καὶ κεκράξῃ ἐπ' αὐτῇ, ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν, καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν, οὕτως καταβήσεται Κύριος σαβαὼθ ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σιὼν, ἐπὶ τὰ ὄρη αὐτῆς.

5. Ὡς ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ Κύριος σαβαὼθ ὑπὲρ Ἱερουσαλὴμ, ὑπερασπιεῖ, καὶ ἐξελεῖται, καὶ περιποιήσεται, καὶ σώσει.

6. Ἐπιστράφητε, οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον, υἱοὶ Ἰσραήλ.

7. Ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀπαρνήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ, καὶ τὰ χειροποίητα τὰ χρυσᾶ, ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν,

8. καὶ πεσεῖται Ἀσσούρ· οὐ μάχαιρα ἀνδρὸς, οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτὸν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας. Οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα,

27. Ecce nomen Domini venit post tempus, ardens furor: cum gloria eloquium labiorum ejus, eloquium iræ plenum, et ira furoris sicut ignis devorabit.

28. Et spiritus ejus sicut aqua in valle trahens, veniet usque ad collum, et dividetur, ut conturbet gentes super errore vano, et persequetur eos error, et capiet eos ad faciem ipsorum.

29. Numquid semper oportet vos lætari et ingredi in sancta mea jugiter, quasi festa celebrantes, et quasi gaudentes ingredi cum tibia in montem Domini ad Deum Israel?

30. Et auditam faciet Dominus gloriam vocis suæ, et furorem brachii sui, ostendere cum furore et ira et flamma devorante, fulminabit vehementer, et sicut aqua et grando descendens cum vi.

31. Per vocem enim Domini superabuntur Assyrii plaga qua percutiet eos.

32. Et erit ei per circuitum, unde erat eorum spes auxilii, in qua ipse confidebat: ipsi cum tympanis et cithara pugnabunt contra eum ex commutatione.

33. Tu enim ante dies exigeris. Numquid et tibi paratum est regnare? Vallem profundam, ligna posita, ignem et ligna multa, furor Domini sicut vallis sulphure succensa.

CAPUT XXXI.

1. Væ qui descendunt in Ægyptum ad auxilium, qui in equis fidentes sunt et in currubus: quia multi sunt, et in equis multitudo magna. Et non fuerunt fidentes super sanctum Israel, et Dominum non requisierunt.

2. Et ipse sapienter adduxit super eos mala, et verbum ejus non frustrabitur, et insurget super domos hominum pessimorum, et super spem eorum vanam,

3. Ægyptium hominem, et non Deum, equorum carnes, et non est auxilium: Dominus autem inducet manum suam super eos: et laborabunt auxiliatores, et simul omnes peribunt.

4. Quia sic dixit mihi Dominus: Quomodo clamabit leo, aut catulus leonis super venatione quam cepit, et vociferabitur super ea, donec impleantur montes voce ejus, et victi fuerint, et multitudinem furoris expaverint, sic descendet Dominus sabaoth ut prælietur super montem Sion, super montes ejus.

5. Sicut aves volantes, sic proteget Dominus sabaoth super Jerusalem, proteget, et eruet, et conservabit, et salvabit.

6. Convertimini, qui profundum consilium consultabatis et iniquum, filii Israel.

7. In die enim illa abjicient homines manufacta sua argentea, et manufacta aurea, quæ fecerant manus eorum,

8. et cadet Assur: non gladius viri, neque gladius hominis vorabit eum, et fugiet non a facie gladii. Juvenes autem erunt in cladem,

9. πέτρᾳ γὰρ περιληφθήσονται ὡς χάρακι, καὶ ἡττηθήσονται· ὁ δὲ φεύγων ἁλώσεται. Τάδε λέγει Κύριος· Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

1. Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι.

2. Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται, ὡς ἀφ' ὕδατος φερομένου· καὶ φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ.

3. Καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλὰ τὰ ὦτα ἀκούειν δώσουσι.

4. Καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τῷ ἀκούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην,

5. καὶ οὐκέτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου· Σίγα.

6. Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συντελεῖν ἄνομα, καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιήσει.

7. Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις, καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει.

8. Οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μενεῖ.

9. Γυναῖκες πλούσιαι, ἀνάστητε, καὶ ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες, ἐν ἐλπίδι εἰςακούσατε λόγους μου.

10. Ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος. Ἀνήλωται ὁ τρυγητὸς, πέπαυται, οὐκέτι μὴ ἔλθῃ·

11. ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφύας,

12. καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, ἀπὸ ἀγροῦ ἐπιθυμήματος, καὶ ἀμπέλου γεννήματος.

13. Ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται· πόλις πλουσία,

14. οἶκοι ἐγκαταλελειμμένοι πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπιθυμήματος. Καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη ὄνων ἀγρίων, βοσκήματα ποιμένων,

15. ἕως ἂν ἔλθῃ ἐφ' ὑμᾶς πνεῦμα ἀφ' Ὑψηλοῦ. Καὶ ἔσται ἔρημος ὁ Χέρμελ, καὶ ὁ Χέρμελ εἰς δρυμὸν λογισθήσεται.

16. Καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρῖμα, καὶ δικαιοσύνη ἐν τῷ Καρμήλῳ κατοικήσει.

17. Καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης, εἰρήνη· καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἕως τοῦ αἰῶνος,

18. καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης, καὶ ἐνοικήσει πεποιθὼς, καὶ ἀναπαύσονται μετὰ πλούτου.

19. Ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. Καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες, ὡς οἱ ἐν τῇ πεδινῇ.

9. petra enim circumdabuntur quasi vallo, et vincentur: qui autem fugerit capietur. Hæc dicit Dominus: Beatus qui habet in Sion semen, et domesticos in Jerusalem.

CAPUT XXXII.

1. Ecce enim rex justus regnabit, et principes cum judicio præerunt.

2. Et erit homo occultans sermones suos, et abscondetur, quasi ab aqua quæ fertur: et apparebit in Sion sicut fluvius currens inclytus in terra sitienti.

3. Et nequaquam ultra erunt confidentes in hominibus, sed aures ad audiendum dabunt.

4. Et cor infirmorum attendet auditui, et linguæ balbutientes cito discent loqui pacem,

5. et nequaquam ultra dicent stulto ut princeps sit, nec ultra dicent ministri tui: Tace.

6. Fatuus enim fatua loquetur, et cor ejus vana intelliget ad perficiendum iniqua, et loquendum ad Dominum errorem, ut disperdat animas esurientes, et animas sitientes vacuas faciet.

7. Consilium enim pessimorum iniqua cogitabit, interficere humiles in sermonibus iniquis, et dissipare verba humilium in judicio.

8. Pii autem sapientia cogitarunt, et hoc consilium permanet.

9. Mulieres divites, surgite, et audite vocem meam: filiæ, in spe audite verba mea.

10. Diei anni memoriam facite in dolore cum spe. Consumpta est vindemia, cessavit, non ultra veniet:

11. obstupescite, tristamini confidentes, exuimini, nudæ fiamini, accingite lumbos,

12. et super ubera plangite, de agro desiderii, et vite geniminis.

13. Terra populi mei, spina et fœnum ascendet, et ex omni domo lætitia tolletur: civitas opulenta,

14. domus derelictæ divitias civitatis dimittent, domos desiderii. Et erunt villæ speluncæ usque in sæculum, lætitia asinorum agrestium, pascua pastorum,

15. donec venerit super vos spiritus ab Excelso. Et Chermel erit desertum, et Chermel in saltum deputabitur.

16. Et requiescet in deserto judicium, et justitia in Carmelo habitabit.

17. Et erunt opera justitiæ, pax: et obtinebit justitia requiem, et confidentes usque in sæculum,

18. et habitabit populus ejus in civitate pacis, et inhabitabit confidenter, et requiescent cum divitiis.

19. Grando autem si descenderit, non veniet super vos. Et erunt qui inhabitant in sylvis fidentes, sicut qui in campestri.

20. Μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

1. Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους, καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ. Ἁλώσονται οἱ ἀθετοῦντες, καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίου, οὕτως ἡττηθήσονται.

2. Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν, ἡ δὲ σωτηρία ἡμῶν ἐν καιρῷ θλίψεως.

3. Διὰ φωνὴν τοῦ φόβου ἐξέστησαν λαοὶ ἀπὸ τοῦ φόβου σου, καὶ διεσπάρησαν τὰ ἔθνη.

4. Νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν μικροῦ καὶ μεγάλου· ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδας, οὕτως ἐμπαίξουσιν ὑμῖν.

5. Ἅγιος ὁ Θεὸς ὁ κατοικῶν ἐν ὑψηλῷ, ἐνεπλήσθη Σιὼν κρίσεως καὶ δικαιοσύνης.

6. Ἐν νόμῳ παραδοθήσονται, ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν, ἐκεῖ σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς τὸν Κύριον· οὗτοι εἰσὶ θησαυροὶ δικαιοσύνης.

7. Ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται· οὓς ἐφοβεῖσθε, βοήσονται ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται, πικρῶς κλαίοντες, παρακαλοῦντες εἰρήνην.

8. Ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί· πέπαυται ὁ φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογίσησθε αὐτοὺς ἀνθρώπους.

9. Ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ Λίβανος, ἕλη ἐγένετο ὁ Σάρων. Φανερὰ ἔσται ἡ Γαλιλαία, καὶ ὁ Χέρμελ.

10. Νῦν ἀναστήσομαι, λέγει Κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι.

11. Νῦν ὄψεσθε, νῦν αἰσθηθήσεσθε· ματαία ἔσται ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ κατέδεται ὑμᾶς·

12. καὶ ἔσονται ἔθνη κατακεκαυμένα, ὡς ἄκανθα ἐν ἀγρῷ ἐῤῥιμμένη καὶ κατακεκαυμένη.

13. Ἀκούσονται οἱ πόῤῥωθεν ἃ ἐποίησα, γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου.

14. Ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, λήψεται τρόμος τοὺς ἀσεβεῖς. Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; Τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον;

15. Πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδὸν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων· βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδῃ ἀδικίαν,

16. οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν.

17. Βασιλέα μετὰ δόξης ὄψεσθε, οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται γῆν πόῤῥωθεν,

18. ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον. Ποῦ εἰσιν οἱ γραμματικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς τρεφομένους,

19. μικρὸν καὶ μέγαν λαὸν, ᾧ οὐ συνεβουλεύσατο, οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις.

20. Ἰδοὺ Σιὼν ἡ πόλις, τὸ σωτήριον ἡμῶν, οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ, πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσιν,

21. ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν· τόπος ὑμῖν

20. Beati seminantes super omnem aquam, ubi bos et asinus calcat.

CAPUT XXXIII.

1. Væ qui vos miseros faciunt, vos autem nemo facit miseros, et qui reprobat vos non reprobat. Capientur reprobantes, et tradentur, et quasi tinea in vestimento, sic superabuntur.

2. Domine, miserere nostri, in te enim confidimus. Factum est semen incredulorum in perditionem, salus autem nostra in tempore tribulationis.

3. Propter vocem timoris obstupuerunt populi a timore tuo, et dispersæ sunt gentes.

4. Nunc autem congregabuntur spolia vestra parvi et magni : quomodo si quis congreget locustas, sic illudent vobis.

5. Sanctus Deus qui habitat in excelso, repleta est Sion judicio et justitia.

6. In lege tradentur, in thesauris salus nostra, illic sapientia et scientia et pietas erga Dominum : isti sunt thesauri justitiæ.

7. Ecce nunc in timore vestro ipsi timebunt : quos timebatis, clamabunt a vobis : angeli mittentur, amare flentes, obsecrantes pacem.

8. Desolabuntur enim istorum viæ : cessavit timor gentium, et testamentum quod erga istos tollitur, et non reputabitis istos homines.

9. Luxit terra, confusus est Libanus, paludes factus est Saron. Manifesta erit Galilæa, et Chermel.

10. Nunc exsurgam, dicit Dominus, nunc glorificabor, nunc exaltabor.

11. Nunc videbitis, nunc sentietis : vana erit fortitudo spiritus vestri, ignis devorabit vos :

12. et erunt gentes combustæ, sicut spina in agro projecta et combusta.

13. Audient qui longe sunt quæ feci, scient qui appropinquant fortitudinem meam.

14. Recesserunt qui erant in Sion iniqui, apprehendet tremor impios. Quis annuntiabit vobis quia ignis ardet? Quis annuntiabit vobis locum æternum?

15. Qui ambulat in justitia, qui loquitur rectam viam, odit impietatem et iniquitatem, et manus excutit a muneribus : qui obturat aures, ut non audiat judicium sanguinis, claudit oculos ne videat iniquitatem,

16. iste habitabit in excelsa spelunca petræ fortissimæ : panis ei dabitur, et aqua ejus fidelis.

17. Regem cum gloria videbitis, oculi vestri videbunt terram de longe,

18. anima vestra meditabitur timorem. Ubi sunt grammatici? ubi consiliatores? ubi est qui numerat eos qui nutriuntur,

19. parvum et magnum populum, cui non dedit consilium, neque sciebat profundam vocem habentem, ita ut non audiret populus contemptus, et non est audienti intelligentia.

20. Ecce Sion civitas, salutare nostrum, oculi tui videbunt Jerusalem, civitas dives, tabernacula quæ non commovebuntur, neque movebuntur paxilli tabernaculi ejus in sempiternum tempus, et funiculi ejus non disrumpentur,

21. quia nomen Domini magnum vobis : locus vobis erit,

ἔσται, ποταμοὶ καὶ διώρυχες πλατεῖς καὶ εὐρύχωροι. Οὐ πορεύσῃ ταύτην τὴν ὁδὸν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον.

22. Ὁ γὰρ Θεός μου μέγας ἐστίν. Οὐ παρελεύσεταί με Κύριος κριτὴς ἡμῶν, Κύριος ἄρχων ἡμῶν, Κύριος ἄρχων ἡμῶν· Κύριος οὗτος ἡμᾶς σώσει.

23. Ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν. Ὁ ἱστός σου ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς προνομήν. Τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσι,

24. καὶ οὐ μὴ εἴπωσι· Κοπιῶ, ὁ λαὸς ἐνοικῶν ἐν αὐτοῖς· ἀφεθῇ γὰρ αὐτοῖς ἡ ἁμαρτία.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

1. Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες. Ἀκουσάτω ἡ γῆ καὶ οἱ ἐν αὐτῇ, ἡ οἰκουμένη καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ.

2. Διότι θυμὸς Κυρίου ἐπὶ πάντα τὰ ἔθνη, καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν, τοῦ ἀπολέσαι αὐτοὺς, καὶ παραδοῦναι αὐτοὺς εἰς σφαγήν.

3. Οἱ δὲ τραυματίαι αὐτῶν ῥιφήσονται, καὶ οἱ νεκροὶ, καὶ ἀναβήσεται αὐτῶν ἡ ὀσμὴ, καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν.

4. Καὶ τακήσονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ ἑλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς.

5. Ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ· ἰδοὺ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται, καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρίσεως.

6. Ἡ μάχαιρα τοῦ Κυρίου ἐνεπλήσθη αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν, καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν· ὅτι θυσία τῷ Κυρίῳ ἐν Βοσὸρ, καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ·

7. καὶ συμπεσοῦνται οἱ ἁδροὶ μετ' αὐτῶν, καὶ οἱ κριοὶ καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται,

8. Ἡμέρα γὰρ κρίσεως Κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σιών.

9. Καὶ στραφήσονται αἱ φάραγγες αὐτῆς εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον· καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσσα καιομένη

10. νυκτὸς καὶ ἡμέρας, καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον, καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄνω, εἰς γενεὰς αὐτῆς ἐρημωθήσεται, καὶ εἰς χρόνον πολὺν

11. ὄρνεα καὶ ἐχῖνοι, καὶ ἴβεις, καὶ κόρακες κατοικήσουσιν ἐν αὐτῇ. Καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ.

12. Οἱ ἄρχοντες αὐτῆς οὐκ ἔσονται· οἱ γὰρ βασιλεῖς, καὶ οἱ μεγιστᾶνες αὐτῆς ἔσονται εἰς ἀπώλειαν.

13. Καὶ ἀναφυήσει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα, καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς· καὶ ἔσται ἐπαύλεις σειρήνων, καὶ αὐλὴ στρουθῶν.

14. Καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις, καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον· ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι, εὑρόντες αὐτοῖς ἀνάπαυσιν.

15. Ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας· ἐκεῖ συνήντησαν ἔλαφοι, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων.

16. Ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο

flumina et rivi lati et spatiosi. Non ibis hanc viam, neque ibit navis impellens remigio.

22. Deus enim meus magnus est. Non transibit me Dominus judex noster, Dominus princeps noster, Dominus rex noster : Dominus iste salvabit nos.

23. Disrupti sunt funiculi tui, quia non prævaluerunt. Malus tuus inclinatus est, non demittet vela, non elevabit signum, donec tradatur in direptionem. Multi igitur claudi prædam facient,

24. et non dicent : Laborabo, populus qui habitat in eis : dimittetur enim eis delictum.

CAPUT XXXIV.

1. Accedite, gentes, et audite, principes. Audiat terra et qui in ea, orbis terræ et populus qui in ea.

2. Quia furor Domini super omnes gentes, et ira super numerum earum, ad perdendos eos, et tradendos eos in occisionem.

3. Vulnerati autem eorum projicientur, etiam mortui, et ascendet eorum odor, et rigabuntur montes a sanguine eorum.

4. Et tabescent omnes virtutes cœlorum, et complicabitur cœlum sicut liber, et omnes stellæ cadent sicut folia ex vite, et sicut cadunt folia de ficu.

5. Inebriatus est gladius meus in cœlo : ecce super Idumæam descendet, et super populum perditionis cum judicio.

6. Gladius Domini impletus est sanguine, incrassatus est de adipe, de sanguine hircorum et agnorum, et de adipe hircorum et arietum : sacrificium enim Domino in Bosor, et mactatio magna in Idumæa :

7. et concident robusti cum eis, et arietes et tauri, et inebriabitur terra ex sanguine, et ex adipe eorum implebitur.

8. Dies enim judicii Domini, et annus retributionis judicii Sion.

9. Et vertentur valles ejus in picem, et terra ejus in sulphur : et erit terra ejus quasi pix ardens

10. nocte et die, et non exstinguetur in sempiternum tempus, et ascendet fumus ejus sursum, in generationes suas desolabitur, et in tempus multum

11. aves et ericii, et ibes, et corvi habitabunt in ea. Et immittetur super eam funiculus geometriæ deserti, et onocentauri habitabunt in ea.

12. Principes ejus non erunt : reges enim et magnates ejus erunt in perditionem.

13. Et pullulabunt in civitatibus eorum spinea ligna, et in munitionibus ejus : et erit caulæ sirenum, et atrium struthionum.

14. Et occurrent dæmonia onocentauris, et clamabunt alter ad alterum : illic requiescent onocentauri, invenientes sibi requiem.

15. Illic nidificavit ericius, et salvavit terra filios ejus cum securitate : ibi occurrerunt cervi, et viderunt facies inter se.

16. Numero transierunt, et una ipsarum non periit : al-

ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι ὁ Κύριος αὐτοῖς ἐνετείλατο, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτά.

17. Καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι· εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε, εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

1. Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον.

2. Καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου καὶ τὸ ὕψος τοῦ Θεοῦ.

3. Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα.

4. Παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.

5. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται.

6. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, τρανὴ δὲ ἔσται γλῶσσα μογιλάλων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ.

7. Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· ἐκεῖ εὐφροσύνη ὀρνέων, ἐπαύλεις καλάμου καὶ ἕλη.

8. Ἔσται ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ' αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι.

9. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ εἰς αὐτὴν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι,

10. καὶ συνηγμένοι διὰ Κύριον, καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτοὺς, ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'.

1. Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασιλεύοντος Ἐζεκίου, ἀνέβη Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς, καὶ ἔλαβεν αὐτάς.

2. Καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν Ῥαβσάκην ἐκ Λάχης εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν μετὰ δυνάμεως πολλῆς, καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ κναφέως.

3. Καὶ ἐξῆλθε πρὸς αὐτὸν Ἑλιακεὶμ ὁ τοῦ Χελκίου ὁ οἰκονόμος, καὶ Σομνᾶς ὁ γραμματεὺς, καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος.

4. Καὶ εἶπεν αὐτοῖς Ῥαβσάκης· Εἴπατε Ἐζεκίᾳ· Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, βασιλεὺς Ἀσσυρίων· Τί πεποιθὼς εἶ;

5. Μὴ ἐν βουλῇ καὶ λόγοις χειλέων παράταξις γίνεται; Καὶ νῦν ἐπὶ τίνα πέποιθας, ὅτι ἀπειθεῖς μοι;

6. Ἰδοὺ πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ' Αἴγυπτον· ὡς ἂν ἐπιστη-

tera alteram non requisierunt, quia Dominus eis mandavit, et spiritus ipsius congregavit ea.

17. Et ipse mittet eis sortes, et manus ejus distribuit ut pascantur : in æternum tempus possidebitis, in generationes generationum requiescent super eam.

CAPUT XXXV.

1. Lætare, desertum sitiens, exsultet solitudo, et floreat quasi lilium.

2. Et efflorebunt et exsultabunt deserta Jordanis : gloria Libani data est ei, et honor Carmeli, et populus meus videbit gloriam Domini et altitudinem Dei.

3. Confortamini, manus remissæ et genua dissoluta.

4. Consolamini vos, pusillanimes mente : confortamini, nolite timere. Ecce Deus noster judicium retribuit, et retribuet : ipse veniet et salvabit nos.

5. Tunc aperientur oculi cæcorum, et aures surdorum audient.

6. Tunc saliet sicut cervus claudus, expedita autem erit lingua balborum, quia scissa est in deserto aqua, et vallis in terra sitienti.

7. Et erit inaquosa in paludes, et in sitiente terra fons aquæ erit : ibi lætitia avium, caulæ arundinis et paludes.

8. Erit ibi via munda, et via sancta vocabitur, et non transibit illic immundus, neque erit ibi via immunda : qui autem dispersi sunt ibunt super eam, et non errabunt.

9. Et non erit ibi leo, et mala bestia non ascendet in eam, neque invenietur ibi, sed ambulabunt in ea redempti.

10. et congregati per Dominum, et revertentur, et venient in Sion cum lætitia, et lætitia sempiterna super caput eorum : super caput enim eorum laus et exsultatio, et lætitia apprehendet eos, fugit dolor et tristitia et gemitus.

CAPUT XXXVI.

1. Et factum est in quarto et decimo anno regnante Ezecia, ascendit Sennacherim rex Assyriorum super civitates Judææ munitas, et cepit eas.

2. Et misit rex Assyriorum Rabsacen de Laches in Jerusalem ad regem Ezeciam cum virtute multa, et stetit in aquæductu piscinæ superioris in via agri fullonis.

3. Et egressus est ad eum Eliacim filius Chelciæ œconomus, et Somnas scriba, et Joach filius Asaph a commentariis.

4. Et dixit eis Rabsaces : Dicite Ezeciæ : Hæc dicit rex magnus, rex Assyriorum : Quid fidens es?

5. Numquid in consilio et sermonibus labiorum prælium sit? Et nunc super quem confidisti, quia inobediens es mihi?

6. Ecce fidens es super virgam arundineam confractam istam, super Ægyptum : sicut si innitatur vir super eam,

ρισθῇ ἀνὴρ ἐπ' αὐτὴν, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν· οὕτως ἐστὶ Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

(*) 7. Εἰ δὲ λέγετε· Ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν πεποίθαμεν,

8. νῦν μίχθητε τῷ κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχιλίαν ἵππον, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς.

9. Καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν τοπαρχῶν; Οἰκέται εἰσὶν οἱ πεποιθότες ἐπ' Αἰγυπτίοις, εἰς ἵππον καὶ ἀναβάτην.

10. Καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πολεμῆσαι αὐτήν; Κύριος εἶπε πρός μέ· Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ διάφθειρον αὐτήν.

11. Καὶ εἶπε πρὸς αὐτὸν Ἑλιακεὶμ, καὶ Σομνᾶς, καὶ Ἰωάχ· Λάλησον πρὸς τοὺς παῖδάς σου συριστί· ἀκούομεν γὰρ ἡμεῖς· καὶ μὴ λάλει πρὸς ἡμᾶς ἰουδαϊστί· καὶ ἱνατί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων ἐπὶ τῷ τείχει;

12. Καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης· Μὴ πρὸς τὸν κύριον ὑμῶν ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου, λαλῆσαι τοὺς λόγους τούτους; Οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα φάγωσι κόπρον, καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα;

13. Καὶ ἔστη Ῥαψάκης, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ ἰουδαϊστὶ, καὶ εἶπεν· Ἀκούσατε τοὺς λόγους τοῦ βασιλέως τοῦ μεγάλου, βασιλέως Ἀσσυρίων.

14. Τάδε λέγει ὁ βασιλεύς· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λόγοις, οὐ μὴ δύνηται ῥύσασθαι ὑμᾶς·

15. καὶ μὴ λεγέτω ὑμῖν Ἐζεκίας ὅτι ῥύσεται ὑμᾶς ὁ Θεὸς, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυρίων.

16. Μὴ ἀκούετε Ἐζεκίου. Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων· Εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρός μὲ, καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ καὶ τὰς συκᾶς, καὶ πίεσθε ὕδωρ ἐκ τοῦ λάκκου ὑμῶν,

17. ἕως ἂν ἔλθω, καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου καὶ ἄρτων καὶ ἀμπελώνων.

18. Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας, λέγων· Ὁ Θεὸς ῥύσεται ὑμᾶς. Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν, ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων;

19. Ποῦ ἐστιν ὁ θεὸς Ἑμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ὁ θεὸς τῆς πόλεως Ἐπφαρουαΐμ; Μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός μου;

20. Τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ὅστις ἐῤῥύσατο τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ Θεὸς τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου;

21. Καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι τὸν βασιλέα μηδένα ἀποκριθῆναι.

22. Καὶ εἰσῆλθεν Ἑλιακεὶμ ὁ τοῦ Χελκίου οἰκονόμος, καὶ Σομνᾶς ὁ γραμματεὺς τῆς δυνάμεως, καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος, πρὸς Ἐζεκίαν, ἐσχισμένοι τοὺς χιτῶνας, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

1. Καὶ ἐγένετο, ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν,

(*) 7. Εἰ δὲ λέγετε πρὸς μέ· Ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν πεποίθαμεν, καὶ μὴν οὗτός ἐστιν οὗ περιεῖλεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ, καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλήμ· Κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τούτου προσκυνεῖτε. (*Ald. Compl.*)

intrabit in manum ejus, et perforabit eam : sic erit Pharao rex Ægypti, et omnes qui confidunt in eo.

7. Sin autem dicitis : Super Dominum Deum nostrum confidimus,

8. nunc admiscemini domino meo regi Assyriorum, et dabo vobis duo millia equorum, si poteritis præbere ascensores super eos.

9. Et quomodo potestis avertere in faciem toparcharum? Servi sunt qui confiderunt in Ægyptiis, in equum et ascensorem.

10. Et nunc num sine Domino ascendimus super regionem hanc ad oppugnandam eam? Dominus dixit ad me : Ascende super terram istam, et disperde eam.

11. Et dixit ad eum Eliacim, et Somnas, et Joach : Loquere ad servos tuos syriace : audimus enim nos : et ne loquaris ad nos judaice : et ut quid loqueris in aures hominum, super murum?

12. Et dixit ad eos Rabsaces : Numquid ad dominum vestrum vel ad vos misit me dominus meus, loqui verba hæc? Nonne ad homines qui sedent super murum, ut comedant stercus, et bibant urinam vobiscum simul?

13. Et stetit Rabsaces, et exclamavit voce magna judaice, et dixit : Audite verba regis magni, regis Assyriorum.

14. Hæc dicit rex : Non seducat vos Ezecias sermonibus, non poterit eruere vos :

15. neque dicat vobis Ezecias quia eruet vos Deus, et non tradetur civitas hæc in manu regis Assyriorum.

16. Nolite audire Ezeciam. Hæc dicit rex Assyriorum : Si vultis benedici, egredimini ad me, et comedite unusquisque vitem suam et ficus, et bibite aquam de cisterna vestra,

17. donec veniam, et tollam vos ad terram, sicut terra vestra, terra frumenti et vini et panum et vinearum.

18. Ne seducat vos Ezecias, dicens : Deus liberabit vos. Numquid liberaverunt dii gentium, unusquisque regionem suam de manu regis Assyriorum?

19. Ubi est deus Emath et Arphath? et ubi deus civitatis Eppharvæm? Numquid potuerunt eruere Samariam de manu mea?

20. Quis est ex omnibus diis gentium istarum qui eruerit terram suam de manu mea, quia eruet Deus Jerusalem de manu mea?

21. Et siluerunt, et nemo respondit ei verbum, quia mandaverat rex neminem respondere.

22. Et ingressus est Eliacim filius Chelciæ œconomus, et Somnas scriba virtutis, et Joach filius Asaph a commentariis, ad Ezeciam, scissis tunicis, et nuntiaverunt ei verba Rabsacis.

CAPUT XXXVII.

1. Et factum est, cum audisset rex Ezecias, scidit ve-

7. Si dicitis ad me : In Domino Deo nostro confidimus, et quidem ipse est cujus abstulit Ezecias excelsa ejus, et dixit Judæ et Jerusalem : Ad faciem altaris hujus adorabitis.

ἔσχισε τὰ ἱμάτια, καὶ περιεβάλετο σάκκον, καὶ ἀνέβη εἰς τὸν οἶκον Κυρίου,

2. καὶ ἀπέστειλεν Ἐλιακεὶμ τὸν οἰκονόμον, καὶ Σομνᾶν τὸν γραμματέα, καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκους, πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, τὸν προφήτην,

3. καὶ εἶπαν αὐτῷ· Τάδε λέγει Ἐζεκίας· Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν.

4. Εἰσακούσαι Κύριος ὁ Θεός σου τοὺς λόγους Ῥαβσάκου, οὓς ἀπέστειλε βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα, καὶ ὀνειδίζειν λόγους οὓς ἤκουσε Κύριος ὁ Θεός σου, καὶ δεηθήσῃ πρὸς Κύριόν σου περὶ τῶν καταλελειμμένων τούτων.

5. Καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως Ἐζεκίου πρὸς Ἡσαΐαν,

6. καὶ εἶπεν αὐτοῖς Ἡσαΐας· Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν· Τάδε λέγει Κύριος· Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ πρέσβεις βασιλέως Ἀσσυρίων.

7. Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγγελίαν ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ, καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ.

8. Καὶ ἀπέστρεψε Ῥαβσάκης, καὶ κατέλαβε τὸν βασιλέα Ἀσσυρίων πολιορκοῦντα Λοβνάν· καὶ ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ Λαχίς.

9. Καὶ ἐξῆλθε Θαρακὰ βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν· καὶ ἀκούσας ἀπέστρεψε, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν, λέγων·

10. Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας· Μή σε ἀπατάτω ὁ Θεός σου, ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ, λέγων· Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ ἐν χειρὶ βασιλέως Ἀσσυρίων.

11. Σὺ οὐκ ἤκουσας ἃ ἐποίησαν βασιλεῖς Ἀσσυρίων, πᾶσαν τὴν γῆν ὡς ἀπώλεσαν; καὶ σὺ ῥυσθήσῃ;

12. Μὴ ἐῤῥύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς ἀπώλεσαν οἱ πατέρες μου, τήν τε Γωζᾶν, καὶ Χαῤῥὰν, καὶ Ῥαφὲθ, αἵ εἰσιν ἐν χώρᾳ Θεεμάθ;

13. Ποῦ εἰσι βασιλεῖς Ἐμὰθ καὶ ποῦ Ἀρφὰθ, καὶ ποῦ πόλεως Ἐπφαρουαὶμ, Ἀναγουγάνα;

14. Καὶ ἔλαβεν Ἐζεκίας τὸ βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἀνέγνω αὐτὸ, καὶ ἀνέβη εἰς οἶκον Κυρίου, καὶ ἤνοιξεν αὐτὸ ἐναντίον Κυρίου.

15. Καὶ προσηύξατο Ἐζεκίας πρὸς Κύριον, λέγων·

16. Κύριος σαβαὼθ, ὁ Θεὸς Ἰσραὴλ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σὺ εἶ ὁ Θεὸς μόνος πάσης βασιλείας τῆς οἰκουμένης, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν.

17. Κλῖνον, Κύριε, τὸ οὖς σου· εἰσάκουσον, Κύριε, ἄνοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου· εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Σενναχηρεὶμ, οὓς ἀπέστειλεν ὀνειδίζειν Θεὸν ζῶντα.

18. Ἐπ' ἀληθείας γὰρ, Κύριε, ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὴν οἰκουμένην ὅλην, καὶ τὴν χώραν αὐτῶν,

19. καὶ ἐνέβαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ· οὐ γὰρ θεοὶ ἦσαν, ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώσαντο αὐτούς.

20. Νῦν δὲ, Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, ἵνα γνῷ πᾶσα βασιλεία τῆς γῆς ὅτι σὺ εἶ ὁ Θεὸς μόνος.

stimenta, et obvolutus est sacco, et ascendit in domum Domini,

2. et misit Eliacim œconomum, et Somnam scribam, et seniores sacerdotum opertos saccis, ad Esaiam filium Amos, prophetam,

3. et dixerunt ei : Hæc dicit Ezecias : Dies tribulationis et opprobrii et correptionis et iræ hodierna dies, quia venit dolor parturienti, virtutem autem non habet pariendi.

4. Exaudiat Dominus Deus tuus verba Rabsacis, quæ misit rex Assyriorum, ad exprobrandum Deum viventem, et exprobrandum sermonibus quos audivit Dominus Deus tuus, et orabis ad Dominum tuum pro derelictis his.

5. Et venerunt pueri regis Ezeciæ ad Esaiam,

6. et dixit eis Esaias : Sic dicetis ad dominum vestrum : Hæc dicit Dominus : Ne timeas a verbis quæ audisti, quibus exprobraverunt me legati regis Assyriorum.

7. Ecce ego immitto in eum spiritum, et audiens nuntium revertetur in regionem suam, et cadet gladio in terra sua.

8. Et revertit Rabsaces, et invenit regem Assyriorum oppugnantem Lobnam : et audiverat quia promoverat de Lachis.

9. Et egressus est Tharaca rex Æthiopum ad oppugnandum eum : et audiens revertit, et misit nuntios ad Ezeciam, dicens :

10. Sic dicetis Ezeciæ regi Judææ : Non te decipiat Deus tuus, in quo confidisti in eo, dicens : Non tradetur Jerusalem in manu regis Assyriorum.

11. Tu non audisti quæ fecerunt reges Assyriorum, universam terram quomodo disperdiderunt? et tu liberaberis?

12. Numquid eruerunt eos dii gentium, quos disperdiderunt patres mei, Gozan, et Charran, et Rapheth, quæ sunt in regione Theemath?

13. Ubi sunt reges Emath et ubi Arphath, et ubi civitatis Eppharvæm, Anagugana?

14. Et accepit Ezecias librum a nuntiis, et legit illum, et ascendit in domum Domini, et aperuit illum ante Dominum.

15. Et oravit Ezecias ad Dominum, dicens :

16. Dominus sabaoth, Deus Israel, qui sedes super Cherubim, tu es Deus solus omnis regni orbis terrarum, tu fecisti cœlum et terram.

17. Inclina, Domine, aurem tuam : exaudi, Domine, aperi, Domine, oculos tuos : inspice, Domine, et vide verba Sennacherim, quæ misit ad exprobrandum Deum viventem.

18. In veritate enim, Domine, desolaverunt reges Assyriorum totum orbem terræ, et regionem eorum,

19. et injecerunt idola eorum in ignem : non enim dii erant, sed opera manuum hominum, ligna et lapides, et abjecerunt eos.

20. Nunc autem, Domine Deus noster, salva nos de manu ejus, ut cognoscat omne regnum terræ quia tu es Deus solus.

21. Καὶ ἀπεστάλη Ἡσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν, καὶ εἶπεν αὐτῷ· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἤκουσα ἃ προσηύξω πρὸς μὲ περὶ Σενναχηρεὶμ βασιλέως Ἀσσυρίων.

22. Οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ Θεός· Ἐφαύλισέ σε, καὶ ἐμυκτήρισέ σε, παρθένος θυγάτηρ Σιών· ἐπὶ σοὶ κεφαλὴν ἐκίνησε, θυγάτηρ Ἱερουσαλήμ.

23. Τίνα ὠνείδισας καὶ παρώξυνας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; Καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου πρὸς τὸν ἅγιον τοῦ Ἰσραήλ;

24. Ὅτι δι' ἀγγέλων ὠνείδισας Κύριον. Σὺ γὰρ εἶπας· Τῷ πλήθει τῶν ἁρμάτων ἐγὼ ἀνέβην εἰς ὕψος ὀρέων, καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου, καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ, καὶ τὸ κάλλος τῆς κυπαρίσσου, καὶ εἰςῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ,

25. καὶ ἔθηκα γέφυραν, καὶ ἠρήμωσα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος.

26. Οὐ ταῦτα ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; Ἐξ ἡμερῶν ἀρχαίων συνέταξα, νῦν δὲ ἐπέδειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς, καὶ οἰκοῦντας ἐν πόλεσιν ὀχυραῖς.

27. Ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡς χόρτος ξηρὸς ἐπὶ δωμάτων, καὶ ὡς ἄγρωστις.

28. Νῦν δὲ τὴν ἀνάπαυσίν σου, καὶ τὴν ἔξοδόν σου, καὶ τὴν εἴσοδόν σου ἐγὼ ἐπίσταμαι·

29. ὁ δὲ θυμός σου ὃν ἐθυμώθης, καὶ ἡ πικρία σου ἀνέβη πρὸς μὲ, καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ.

30. Τοῦτο δέ σοι τὸ σημεῖον. Φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας, τῷ δὲ ἐνιαυτῷ τῷ δευτέρῳ τὸ κατάλειμμα, τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε, καὶ φυτεύσατε ἀμπελῶνας, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.

31. Καὶ ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ Ἰουδαίᾳ, φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι σπέρμα ἄνω.

32. Ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών· ὁ ζῆλος Κυρίου σαβαὼθ ποιήσει ταῦτα.

33. Διὰ τοῦτο οὕτως λέγει Κύριος ἐπὶ βασιλέα Ἀσσυρίων· Οὐ μὴ εἰςέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεὸν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα·

34. ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰςέλθῃ· τάδε λέγει Κύριος·

35. Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαυὶδ τὸν παῖδά μου.

36. Καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας· καὶ ἀναστάντες τοπρωῒ εὗρον πάντα τὰ σώματα νεκρά.

37. Καὶ ἀπῆλθεν ἀποστραφεὶς Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευῇ·

38. καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ τὸν πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαρασὰρ, οἱ υἱοὶ αὐτοῦ, ἐπάταξαν αὐτὸν μαχαίραις· αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

1. Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζε-

21. Et missus est Esaias filius Amos ad Ezeciam, et dixit ei : Hæc dicit Dominus Deus Israel : Audivi quæ orasti ad me de Sennacherim rege Assyriorum.

22. Hoc est verbum quod locutus est de eo Deus : Vilipendit te, et subsannavit te, virgo filia Sion : super te caput movit, filia Jerusalem.

23. Quem exprobrasti et irritasti? aut erga quem exaltasti vocem tuam? Et non elevasti in altitudinem oculos tuos ad sanctum Israel;

24. Quia per nuntios exprobrasti Dominum. Tu enim dixisti : Multitudine curruum ego ascendi in altitudinem montium, et in ultima Libani, et succidi altitudinem cedri ejus, et pulchritudinem cupressi, et intravi in altitudinem partis sylvæ,

25. et posui pontem, et desolavi aquas et omnem congregationem aquæ.

26. Non hæc audisti olim quæ ego feci? Ex diebus antiquis constitui, nunc autem ostendi desolare gentes in munitionibus, et habitantes in civitatibus munitis.

27. Remisi manus, et exaruerunt, et facti sunt quasi fœnum aridum super tecta, et quasi gramen.

28. Nunc autem requiem tuam, et exitum tuum, et introitum tuum ego scio :

29. furor autem tuus quo furis, et amaritudo tua ascendit ad me, et immittam circulum in nasum tuum, et frænum in labia tua, et avertam te via qua venisti in ea.

30. Hoc autem tibi signum. Comede hoc anno quæ seminasti, anno autem secundo reliquias, tertio autem seminantes metite, et plantate vineas, et comedite fructum earum.

31. Et erunt derelicti in Judæa, pullulabunt radicem deorsum, et facient semen sursum.

32. Quoniam de Jerusalem erunt relicti, et salvati de monte Sion : zelus Domini sabaoth faciet hæc.

33. Propterea sic dicit Dominus super regem Assyriorum : Non ingredietur in civitatem hanc, neque jaciet in eam sagittam, neque immittet super eam scutum, neque circumdabit super eam vallum :

34. sed via qua venit in ea revertetur, et in civitatem hanc non ingredietur : hæc dicit Dominus :

35. Protegam pro civitate hac ad salvandam eam propter me, et propter David puerum meum.

36. Et egressus est angelus Domini, et occidit de castris Assyriorum centum octuaginta quinque millia : et surgentes mane invenerunt omnia corpora mortua.

37. Et abiit reversus Sennacherim rex Assyriorum, et habitavit in Nineve :

38. et cum ipse adoraret in domo Nasarach patriarchum suum, Adramelech et Sarasar, filii ejus, percusserunt eum gladiis : ipsi autem salvati sunt in Armeniam, et regnavit Asordan filius ejus pro eo.

CAPUT XXXVIII

1. Factum est autem in tempore illo, ægrotavit Ezecias us-

κίας ἕως θανάτου. Καὶ ἦλθε πρὸς αὐτὸν Ἠσαίας υἱὸς Ἀμὼς, ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτόν· Τάδε λέγει Κύριος· Τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ,

2. Καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς Κύριον.

3. λέγων· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα. Καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ.

4. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἠσαΐαν, λέγων·

5. Πορεύθητι, καὶ εἶπον Ἐζεκίᾳ· Τάδε λέγει Κύριος ὁ Θεὸς Δαυὶδ τοῦ πατρός σου· Ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου· ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου δεκαπέντε ἔτη,

6. καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην, καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης.

7. Τοῦτο δέ σοι τὸ σημεῖον παρὰ Κυρίου, ὅτι ποιήσει ὁ Θεὸς τὸ ῥῆμα τοῦτο.

8. Ἰδοὺ ἐγὼ στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν οὓς κατέβη τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος· ἀποστρέψω τὸν ἥλιον τοὺς δέκα ἀναβαθμούς. Καὶ ἀνέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς, οὓς κατέβη ἡ σκιά.

ΠΡΟΣΕΥΧΗ ΕΖΕΚΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ,

ΗΝΙΚΑ ΕΜΑΛΑΚΙΣΘΗ, ΚΑΙ ΑΝΕΣΤΗ ΕΚ ΤΗΣ ΜΑΛΑΚΙΑΣ ΑΥΤΟΥ.

10. Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου, πορεύσομαι ἐν πύλαις ᾅδου· Καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.

11. Εἶπα· Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ Θεοῦ ἐπὶ γῆς ζώντων, οὐκέτι μὴ ἴδω τὸ σωτήριον τοῦ Ἰσραὴλ ἐπὶ γῆς, οὐκέτι μὴ ἴδω ἄνθρωπον.

12. Ἐξέλιπεν ἐκ τῆς συγγενείας μου, κατέλιπον τὸ ἐπίλοιπον τῆς ζωῆς μου, ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ σκηνὴν καταλύων πήξας· ὡς ἱστὸς τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο, ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν.

13. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωῒ ὡς λέοντι, οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου· ἀπὸ γὰρ τῆς ἡμέρας ἕως νυκτὸς παρεδόθην.

14. Ὡς χελιδὼν, οὕτω φωνήσω, καὶ ὡς περιστερὰ, οὕτω μελετῶ. Ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν Κύριον, ὃς ἐξείλατό με, καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς. (*)

16. Κύριε, περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι, καὶ ἐξήγειράς μου τὴν πνοὴν, καὶ παρακληθεὶς ἔζησα.

17. Εἵλου γάρ μου τὴν ψυχὴν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέῤῥιψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας.

18. Οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου.

19. Οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου,

20. Θεὲ τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν

(*) 15. Καὶ αὐτὸς ἐποίησε καθοδήγησιν πάντας ἐνιαυτούς μου. (*Compl.*)

que ad mortem. Et venit ad eum Esaias filius Amos, propheta, et dixit ad eum : Hæc dicit Dominus : Dispone de domo tua, morieris enim tu, et non vives.

2. Et convertit Ezecias faciem suam ad parietem, et oravit ad Dominum,

3. dicens : Memento, Domine, quomodo ambulaverim coram te cum veritate, in corde vero, et placita coram te fecerim. Et ploravit Ezecias ploratione magna.

4. Et factum est verbum Domini ad Esaiam, dicens :

5. Vade, et dic Ezeciæ : Hæc dicit Dominus Deus David patris tui : Audivi orationem tuam, et vidi lacrymas tuas : ecce adjicio ad tempus tuum quindecim annos,

6. et de manu regis Assyriorum eruam te et civitatem hanc, et protegam super civitatem hanc.

7. Hoc autem tibi signum a Domino, quia faciet Deus verbum hoc.

8. Ecce ego vertam umbram graduum quos descendit decem gradus domus patris tui sol : redire faciam solem decem gradus. Et ascendit sol decem gradus, quos descenderat umbra.

ORATIO EZECIÆ REGIS JUDÆÆ,

QUANDO LANGUIT, ET SURREXIT DE INFIRMITATE SUA.

10. Ego dixi in excelso dierum meorum, vadam ad portas inferi : Relinquam annos residuos.

11. Dixi : Nequaquam ultra videbo salutare Dei in terra viventium, non amplius videbo salutare Israel super terram, nec videbo ultra hominem.

12. Defecit ex cognatione mea, dereliqui residuum vitæ meæ, exivit et recessit a me sicut tabernaculum solvens qui fixerat : sicut tela spiritus meus apud me factus est, texente appropinquante ad succidendum.

13. In illa die traditus sum usque mane sicut leoni, sic contrivit omnia ossa mea : a die enim usque ad noctem traditus sum.

14. Quasi hirundo, sic clamabo, et quasi columba, sic meditor. Defecerunt enim oculi mei aspiciendo in excelsum cœli ad Dominum, qui eruit me, et abstulit a me dolorem animæ.

16. Domine, de ipsa enim annuntiatum est tibi, et suscitasti spiritum meum, et consolationem accipiens vixi.

17. Eruisti enim animam meam, ut non periret, et projecisti post me omnia peccata.

18. Non enim qui in inferno laudabunt te, neque mortui benedicent te, neque sperabunt qui apud inferos sunt misericordiam tuam.

19. Viventes benedicent tibi sicut et ego. Ab hodie enim filios faciam, qui annuntiabunt justitiam tuam,

20. Dee salutis meæ, et non cessabo benedicens tibi cum

---

15. Et ipse fecit deductionem omnes annos meos.

σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, κατέναντι τοῦ οἴκου τοῦ Θεοῦ.

21. Καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζεκίαν· Λάβε παλάθην ἐκ σύκων, καὶ τρίψον, καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ.

22. Καὶ εἶπεν Ἐζεκίας· Τοῦτο σημεῖον πρὸς Ἐζεκίαν, ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ Θεοῦ;

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

1. Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν ὁ υἱὸς τοῦ Βαλαδὰν, ὁ βασιλεὺς τῆς Βαβυλωνίας, ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα Ἐζεκίᾳ· ἤκουσε γὰρ ὅτι ἐμαλακίσθη ἕως θανάτου, καὶ ἀνέστη.

2. Καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ Νεχωθᾶ, καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, καὶ τῆς στακτῆς, καὶ τῶν θυμιαμάτων, καὶ τοῦ μύρου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ. Καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ.

3. Καὶ ἦλθεν Ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεκίαν, καὶ εἶπε πρὸς αὐτόν· Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι, καὶ πόθεν ἥκασι πρὸς σέ; Καὶ εἶπεν Ἐζεκίας· Ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με ἐκ Βαβυλῶνος.

4. Καὶ εἶπεν Ἡσαΐας· Τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; Καὶ εἶπεν Ἐζεκίας· Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου.

5. Καὶ εἶπεν Ἡσαΐας αὐτῷ· Ἄκουσον τὸν λόγον Κυρίου σαβαώθ·

6. Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλείπωσιν· εἶπε δὲ ὁ Θεός·

7. Ὅτι καὶ ἀπὸ τῶν τέκνων σου, ὧν γεννήσεις, λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων.

8. Καὶ εἶπεν Ἐζεκίας Ἡσαΐᾳ· Ἀγαθὸς ὁ λόγος Κυρίου ὃν ἐλάλησε· γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

1. Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός·

2. ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, παρακαλέσατε αὐτὴν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς.

3. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν.

4. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία,

5. καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε.

6. Φωνὴ λέγοντος· Βόησον. Καὶ εἶπα· Τί βοήσω; Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου.

7. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε,

psalterio omnibus diebus vitæ meæ, in conspectu domus Dei.

21. Et dixit Esaias ad Ezeciam : Sume massam de ficis, et tere, et cataplasma, et sanus eris.

22. Et dixit Ezecias : Hoc signum ad Ezeciam, quia ascendam in domum Dei ?

CAPUT XXXIX.

1. In tempore illo misit Marodach Baladan filius Baladan, rex Babyloniæ, epistolas et legatos et munera Ezeciæ : audierat enim quod ægrotasset usque ad mortem, et surrexisset.

2. Lætatusque est super eis Ezecias, et ostendit eis domum Nechotha, et argenti et auri, et stactes, et thymiamatum, et unguenti, et omnes domos vasorum gazæ, et omnia quæcumque erant in thesauris ipsius. Et non fuit quicquam quod non ostenderit Ezecias in domo sua, et in omni potestate sua.

3. Et venit Esaias propheta ad regem Ezeciam, et dixit ad eum : Quid dicunt homines isti, et unde venerunt ad te? Et dixit Ezecias : De terra longinqua venerunt ad me de Babylone.

4. Et dixit Esaias : Quid viderunt in domo tua? Et dixit Ezecias : Omnia quæ in domo mea sunt viderunt, et non est in domo mea quod non viderint, sed etiam quæ in thesauris meis.

5. Et dixit Esaias ei : Audi verbum Domini sabaoth :

6. Ecce dies veniunt, et tollent omnia quæ in domo tua sunt, et quæcumque congregaverunt patres tui usque ad diem hanc, in Babylonem venient, et nihil relinquent : dixit autem Deus :

7. Quia et de filiis tuis, quos genueris, tollent, et facient spadones in domo regis Babyloniorum.

8. Et dixit Ezecias Esaiæ : Bonum verbum Domini quod locutus est : fiat nunc pax et justitia in diebus meis.

CAPUT XL.

1. Consolamini, consolamini populum meum, dicit Deus :

2. sacerdotes, loquimini ad cor Jerusalem, consolamini eam, quia repleta est humilitas ejus, solutum est peccatum illius, quia recepit de manu Domini duplicia peccata sua.

3. Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas Dei nostri.

4. Omnis vallis implebitur, et omnis mons et collis humiliabitur : et erunt omnia prava in directam, et aspera in campos,

5. et apparebit gloria Domini, et videbit omnis caro salutare Dei, quia Dominus locutus est.

6. Vox dicentis : Clama. Et dixi : Quid clamabo? Omnis caro fœnum, et omnis gloria hominis quasi flos fœni.

7. Aruit fœnum, et flos cecidit,

8. τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα.

9. Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ὑμῶν,

10. ἰδοὺ Κύριος. Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας. Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ.

11. Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.

12. Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ;

13. Τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο, ὃς συμβιβᾷ αὐτόν;

14. Ἢ πρὸς τίνα συνεβουλεύσατο, καὶ συνεβίβασεν αὐτόν; Ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ;

15. Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, ὡς σίελος λογισθήσονται;

16. Ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν,

17. καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι, καὶ εἰς οὐθὲν ἐλογίσθησαν.

18. Τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν;

19. Μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτόν; ὁμοίωμα κατεσκεύασεν αὐτόν;

20. Ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητήσει πῶς στήσει εἰκόνα αὐτοῦ, καὶ ἵνα μὴ σαλεύηται.

21. Οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς;

22. Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες. Ὁ στήσας ὡς καμάραν τὸν οὐρανόν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν.

23. Ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησεν.

24. Οὐ γὰρ μὴ φυτεύσωσιν, οὐδὲ μὴ σπείρωσιν, οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν. Ἔπνευσεν ἐπ' αὐτούς, καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα λήψεται αὐτούς.

25. Νῦν οὖν τίνι με ὡμοιώσατε, καὶ ὑψωθήσομαι, εἶπεν ὁ Ἅγιος.

26. Ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τίς κατέδειξε ταῦτα πάντα; Ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος αὐτοῦ οὐδέν σε ἔλαθε.

27. Μὴ γὰρ εἴπῃς Ἰακώβ, καὶ τί ἐλάλησας Ἰσραήλ; Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὁ Θεός μου τὴν κρίσιν ἀφεῖλε, καὶ ἀπέστη.

28. Καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας; Θεὸς αἰώνιος, ὁ Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ·

29. διδοὺς τοῖς πεινῶσιν ἰσχύν, καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην.

8. verbum autem Dei nostri manet in sempiternum.

9. Super montem excelsum ascende, qui evangelizas Sion, exalta in fortitudine vocem tuam, qui evangelizas Jerusalem: exaltate, nolite timere: dic civitatibus Juda: Ecce Deus vester,

10. ecce Dominus. Dominus cum virtute venit, et brachium cum dominatione. Ecce merces ejus cum eo, et opus in conspectu illius.

11. Sicut pastor pascet gregem suum, et brachio suo congregabit agnos, et prægnantes consolabitur.

12. Quis mensus est manu aquam, et cœlum palmo, et omnem terram pugillo? Quis statuit montes pondere, et rupes statera?

13. Quis cognovit mentem Domini, aut quis consiliarius ejus fuit, qui doceat eum?

14. Aut cum quo consilium iniit, et instruxit illum? Vel quis ostendit ei judicium? vel viam intelligentiæ quis ostendit illi?

15. Si omnes gentes sicut stilla de situla, et quasi momentum stateræ reputatæ sunt, quasi saliva reputabuntur?

16. Libanus autem non sufficit ad comburendum, et omnia quadrupedia non sufficiunt ad holocaustum,

17. et cunctæ gentes quasi nihilum sunt, et in nihilum reputatæ sunt.

18. Cui similem fecistis Dominum, et cui simulacro assimilastis eum?

19. Numquid imaginem fecit faber, aut aurifex fundens aurum circumauravit illum? simulacrum apparavit eum?

20. Lignum enim imputribile elegit faber, et sapienter quæret quomodo statuet imaginem ejus, et ut non moveatur.

21. Nonne scietis? nonne audietis? nonne annuntiatum est vobis a principio? non cognovistis fundamenta terræ?

22. Qui tenet gyrum terræ, et habitatores ejus quasi locustæ. Qui statuit quasi cameram cœlum, et extendit quasi tabernaculum ad habitandum.

23. Qui dat principes quasi nihil præesse, terram autem quasi nihil fecit.

24. Siquidem non plantabunt, neque serent, nec radicabitur in terram radix eorum. Flavit super eos, et arefacti sunt, et tempestas tamquam stipulas tollet eos.

25. Nunc ergo cui assimilastis me, et exaltabor, dixit Sanctus.

26. Elevate in excelsum oculos vestros, et videte quis ostendit hæc omnia? Qui eduxit juxta numerum ornatum suum, omnes in nomine vocabit a multa gloria, et in robore fortitudinis suæ nihil te latuit.

27. Non enim dicas Jacob, et quid locutus es Israel? Abscondita est via mea a Deo, et Deus meum judicium abstulit, et recessit.

28. Et nunc nescis, et non audisti? Deus æternus, Deus qui apparavit terminos terræ, non esuriet, nec laborabit, nec est inventio prudentiæ ejus:

29. qui dat esurientibus fortitudinem et non dolentibus mœrorem.

28.

30. Πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται.

31. Οἱ δὲ ὑπομένοντες τὸν Θεὸν ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοὶ, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσιν.

30. Esurient enim juvenes, et laborabunt adolescentes, et electi infirmi erunt.

31. Qui autem exspectant Deum mutabunt fortitudinem, assument alas quasi aquilæ, current et non laborabunt, gradientur et non esurient.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

1. Ἐγκαινίζεσθε πρὸς μὲ, νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν· ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν.

2. Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ πορεύσεται; Δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει. Καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν·

3. καὶ διώξεται αὐτοὺς, διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ.

4. Τίς ἐνήργησε, καὶ ἐποίησε ταῦτα; Ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς. Ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι.

5. Εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα,

6. κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι, καὶ ἐρεῖ·

7. Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων σφύρῃ, ἅμα ἐλαύνων· πότε μὲν ἐρεῖ· Σύμβλημα καλόν ἐστιν, ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται.

8. Σὺ δὲ, Ἰσραὴλ, παῖς μου Ἰακὼβ, καὶ ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα,

9. οὗ ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι· Παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε.

10. Μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ Θεός σου, ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου.

11. Ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου.

12. Ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἳ παροινήσουσιν εἰς σέ. Ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε·

13. ὅτι ἐγὼ ὁ Θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι· Μὴ φοβοῦ,

14. Ἰακὼβ ὀλιγοστὸς Ἰσραὴλ, ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεός σου, ὁ λυτρούμενός σε Ἰσραήλ.

15. Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς, καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνοὺς, καὶ ὡς χνοῦν θήσεις,

16. καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτοὺς, καὶ καταιγὶς διασπερεῖ αὐτούς. Σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις Ἰσραήλ.

17. Καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ καὶ οἱ ἐνδεεῖς. Ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται· ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. Ἐγὼ Κύριος ὁ Θεὸς, ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτοὺς,

18. ἀλλὰ ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς, καὶ ἐν μέσῳ πεδίων πηγάς· ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς.

CAPUT XLI.

1. Innovamini ad me, insulæ, principes enim mutabunt fortitudinem : appropinquent et loquantur simul, tunc judicium annuntient.

2. Quis suscitavit de oriente justitiam, vocavit eam ad pedes suos, et vadet? Dabit in conspectu gentium, et reges obstupefaciet. Et dabit in terram gladios eorum, et sicut stipulas projectas arcus eorum :

3. et persequetur eos, transibit in pace via pedum ejus.

4. Quis operatus est, et fecit hæc? Vocavit eam qui vocat eam a generationum principio. Ego Deus primus, et in ea quæ ventura sunt ego sum.

5. Viderunt gentes et timuerunt, termini terræ accesserunt, et venerunt simul,

6. judicans unusquisque proximo, et fratri ad auxiliandum, et dicet :

7. Prævaluit vir artifex , et ærarius percutiens malleo, simul producens : aliquando quidem dicet : Solidatio bona est, confortaverunt ea in clavis, ponent ea, et non movebuntur.

8. Tu autem, Israel, puer meus Jacob, et quem elegi, semen Abraam, quem dilexi,

9. quem assumpsi ab extremis terræ, et a summitatibus ejus vocavi te, et dixi tibi : Puer meus es, elegi te, et non dereliqui te.

10. Noli timere, tecum enim sum, non fallo : ecce enim sum Deus tuus, qui confortavi te, et auxiliatus sum tibi, et roboravi te dextera justa mea.

11. Ecce confundentur et erubescent omnes adversarii tui, erunt enim quasi non sint, et peribunt omnes inimici tui.

12. Quæres eos, et non invenies homines qui insanient in te. Erunt enim quasi non sint, et non erunt pugnantes adversus te :

13. quia ego Deus tuus, qui teneo dexteram tuam, qui dico tibi :

14. Ne timeas, Jacob parvule Israel, ego auxiliatus sum tibi, dicit Deus tuus, qui redimo te Israel.

15. Ecce feci te quasi rotas plaustri triturantes novas in serrarum modum, et triturabis montes, et comminues colles, et ut pulverem pones,

16. et ventilabis, et ventus auferet eos, et tempestas disperget illos. Tu autem lætaberis in sanctis Israel.

17. Et exsultabunt pauperes et inopes. Quærent enim aquam, et non erit : lingua eorum præ siti exaruit. Ego Dominus Deus, ego exaudiam Deus Israel, et non derelinquam eos,

18. sed aperiam in montibus flumina, et in medio camporum fontes : faciam desertum in paludes aquarum, et sitientem terram in aquæductus.

19. Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον καὶ πύξον, μυρσίνην καὶ κυπάρισσον καὶ λεύκην·

20. ἵνα ἴδωσι καὶ γνῶσι, καὶ ἐννοηθῶσι καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν.

21. Ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει Κύριος ὁ Θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς Ἰακώϐ.

22. Ἐγγισάτωσαν, καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμϐήσεται, ἢ τὰ πρότερον τίνα ἦν· εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν, καὶ γνωσόμεθα τί τὰ ἔσχατα καὶ τὰ ἐπερχόμενα. Εἴπατε ἡμῖν,

23. ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. Εὐποιήσατε καὶ κακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα

24. ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν· ἐκ γῆς βδέλυγμα ἐξελέξαντο ὑμᾶς.

25. ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βοῤῥᾶ, καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν· κληθήσονται τῷ ὀνόματί μου. Ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλὸν, οὕτω καταπατηθήσεσθε.

26. Τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν καὶ τὰ ἔμπροσθεν; Καὶ ἐροῦμεν, ὅτι ἀληθῆ ἐστιν. Οὐκ ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους.

27. Ἀρχὴν Σιὼν δώσω, καὶ Ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν.

28. Ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐδεὶς, καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων· καὶ ἐὰν ἐρωτήσω αὐτοὺς, πόθεν ἐστὲ, οὐ μὴ ἀποκριθῶσί μοι·

29. εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

1. Ἰακὼϐ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει,

2. οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ.

3. Κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σϐέσει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν.

4. Ἀναλάμψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

5. Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν·

6. Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν,

7. ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει.

8. Ἐγὼ Κύριος ὁ Θεὸς, τοῦτό μου ἐστὶ τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς,

9. Τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν.

10. Ὑμνήσατε τῷ Κυρίῳ ὕμνον καινόν· ἡ ἀρχὴ

19. Ponam in terram absque aqua cedrum et buxum, myrtum et cyparissum et populum :

20. ut videant et sciant, et cogitent et noverint simul, quia manus Domini fecit hæc, et sanctus Israel ostendit.

21. Juxta est judicium vestrum, dicit Dominus Deus : appropinquaverunt consilia vestra, dicit rex Jacob.

22. Appropinquent, et annuntient vobis quæ ventura sunt, aut priora quænam erant : dicite, et apponemus sensum, et sciemus quæ sint novissima et ventura. Dicite nobis,

23. nuntiate nobis quæ ventura in novissimo, et sciemus quoniam dii estis. Benefacite et malefacite, et admirabimur, et videbimus simul

24. unde sitis vos, et unde sit opus vestrum : de terra abominationem elegerunt vos.

25. Ego autem suscitavi eum qui ab aquilone est, et qui ab ortu solis : vocabuntur nomine meo. Veniant principes, et sicut lutum figuli, et sicut figulus conculcans lutum, sic conculcabimini.

26. Quis enim annuntiabit ea quæ a principio sunt, ut cognoscamus ea quæ ad faciem sunt? Et dicemus, quia vera sunt. Non est qui prædicat, neque qui audiat verba vestra.

27. Principium Sion dabo, et Jerusalem consolabor in via.

28. Nam de gentibus ecce nullus est, et de idolis ipsorum non erat qui annuntiaret : et si interrogavero eos, unde estis, non respondebunt mihi :

29. sunt enim factores vestri, et frustra qui seducunt vos.

CAPUT XLII.

1. Jacob puer meus, assumam eum : Israel electus meus, suscepit eum anima mea, dedi spiritum meum super eum, judicium gentibus proferet,

2. non clamabit, neque dimittet, nec audietur foris vox ejus.

3. Calamum fractum non conteret, et linum fumigans non exstinguet, sed in veritate proferet judicium.

4. Splendebit, et non conteretur, donec ponat super terram judicium, et in nomine ejus gentes sperabunt.

5. Sic dicit Dominus Deus, qui fecit cœlum et defixit illud, qui firmavit terram et quæ in ea, et qui dat spirationem populo qui super eam, et spiritum calcantibus eam :

6. Ego Dominus Deus vocavi te in justitia, et tenebo dexteram tuam, et confortabo te, et dedi te in testamentum generis, in lucem gentium,

7. ad aperiendum oculos cæcorum, ad educendum de vinculis vinctos et de domo carceris, et sedentes in tenebris.

8. Ego Dominus Deus, hoc meum est nomen, gloriam meam alteri non dabo, neque virtutes meas sculptilibus.

9. Quæ a principio ecce venerunt, et nova quæ ego annuntio, et antequam annuntientur manifestata sunt vobis.

10. Canite Domino canticum novum : principatus ejus,

αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες αὐτὴν, αἱ νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς.

11. Εὐφράνθητι, ἔρημος καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις καὶ οἱ κατοικοῦντες Κηδάρ· εὐφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι.

12. Δώσουσι τῷ Θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσι.

13. Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται, καὶ συντρίψει πόλεμον· ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος.

14. Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; Ὡς ἡ τίκτουσα ἐκαρτέρησα, ἐκστήσω καὶ ξηρανῶ ἅμα,

15. ἐρημώσω ὄρη καὶ βουνοὺς, καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ.

16. Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν πατῆσαι ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. Ταῦτα τὰ ῥήματα ποιήσω καὶ οὐκ ἐγκαταλείψω αὐτούς.

17. Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Αἰσχύνθητε αἰσχύνην, οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· Ὑμεῖς ἐστε θεοὶ ἡμῶν.

18. Οἱ κωφοὶ, ἀκούσατε, καὶ οἱ τυφλοὶ, ἀναβλέψατε ἰδεῖν.

19. Καὶ τίς τυφλὸς ἀλλ' ἢ οἱ παῖδές μου, καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ.

20. Εἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε.

21. Κύριος ὁ Θεὸς ἐβουλεύσατο ἵνα δικαιωθῇ, καὶ μεγαλύνῃ αἴνεσιν.

22. Καὶ εἶδον, καὶ ἐγένετο ὁ λαὸς πεπρονομευμένος καὶ διηρπασμένος. Ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν αὐτούς· ἐγένοντο εἰς προνομὴν, καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων· Ἀπόδος.

23. Τίς ἐν ὑμῖν ὃς ἐνωτιεῖται ταῦτα; Εἰσακούσατε εἰς τὰ ἐπερχόμενα.

24. Τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν; Οὐχὶ ὁ Θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ;

25. Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ, καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

1. Καὶ νῦν οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας σε, Ἰακὼβ, καὶ ὁ πλάσας σε, Ἰσραήλ· Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ ὄνομά σου. Ἐμὸς εἶ σύ.

3. Καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε· καὶ ἐὰν διέλθῃς διὰ πυρὸς, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε·

3. ὅτι ἐγὼ Κύριος ὁ Θεός σου, ὁ ἅγιος Ἰσραὴλ, ὁ σώζων σε. Ἐποίησα ἄλλαγμά σου Αἴγυπτον, καὶ Αἰθιοπίαν, καὶ Σοήνην ὑπὲρ σοῦ.

glorificate nomen ejus a summitate terræ, qui descendunt in mare, et navigant illud, insulæ et habitatores earum.

11. Lætare, desertum et vici ejus, villæ et habitatores Cedar : lætabuntur qui habitant in petra, de summitate montium clamabunt.

12. Dabunt Deo gloriam, virtutes ejus in insulis nuntiabunt.

13. Dominus Deus virtutum egredietur, et conteret bellum : suscitabit zelum, et clamabit super inimicos suos cum fortitudine.

14. Tacui, num et semper tacebo et sustinebo? Sicut pariens patienter egi, erumpam et arefaciam simul,

15. vastabo montes et colles, et omne fœnum eorum arefaciam, et ponam flumina in insulas, et paludes siccabo.

16. Et adducam cæcos in via quam nesciunt, et semitas quas ignoraverunt calcare eos faciam : faciam eis tenebras in lucem, et prava in directum. Hæc verba faciam et non derelinquam eos.

17. Ipsi vero conversi sunt retrorsum. Confundamini confusione, qui confiditis super sculptilibus, qui dicitis conflatis : Vos estis dii nostri.

18. Surdi, audite, et cæci, suspicite ut videatis.

19. Et quis est cæcus nisi pueri mei, et surdi nisi qui dominantur eorum? Et excæcati sunt servi Dei.

20. Vidistis sæpe, et non custodistis : apertæ sunt aures, et non audistis.

21. Dominus Deus cogitavit ut justificaretur, et magnificaret laudem.

22. Et vidi, et erat populus vastatus atque direptus. Laqueus enim in cubilibus ubique, et in domibus simul, in quibus absconderunt eos : facti sunt in direptionem, et non erat qui erueret prædam, et non erat qui diceret : Redde.

23. Quis est in vobis qui hæc auribus percipiat? Exaudite in futura.

24. Quis dedit in direptionem Jacob et Israel vastantibus eum? Nonne Deus cui peccaverunt ei, et noluerunt in viis illius ambulare, neque audire legem ejus?

25. Et induxit super eos iram furoris sui, et prævaluit adversus eos bellum, et qui comburebant eos per circuitum, et non cognoverunt unusquisque eorum, nec posuerunt super animam.

CAPUT XLIII.

1. Et nunc sic dicit Dominus Deus qui fecit te, Jacob, et qui formavit te, Israel : Noli timere, quoniam redemi te : vocavi te nomine tuo. Meus es tu.

2. Et si transieris per aquam, tecum sum, et flumina non cooperient te : et si transieris per ignem, non combureris, flamma non exuret te :

3. quia ego Dominus Deus tuus, sanctus Israel, salvator tuus. Feci commutationem tuam Ægyptum, et Æthiopiam, et Soenem pro te.

4. Ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξάσθης, καὶ ἐγώ σε ἠγάπησα, καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου.

5. Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι. Ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε.

6. Ἐρῶ τῷ βοῤῥᾷ· Ἄγε, καὶ τῷ λιβί· Μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ τῆς πόῤῥωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς,

7. πάντας ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου. Ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτὸν, καὶ ἔπλασα αὐτὸν, καὶ ἐποίησα αὐτὸν,

8. καὶ ἐξήγαγον λαὸν τυφλὸν, καὶ ὀφθαλμοί εἰσιν ὡσαύτως τυφλοὶ, καὶ κωφοὶ τὰ ὦτα ἔχοντες.

9. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ.

10. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται.

11. Ἐγὼ ὁ Θεὸς, καὶ οὐκ ἔστι παρὲξ ἐμοῦ σώζων.

12. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς

13. ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ὁ ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό;

14. Οὕτως λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ. Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα, καὶ ἐπεγερῶ φεύγοντας πάντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται.

15. Ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἅγιος ὑμῶν, ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν.

16. Οὕτως λέγει Κύριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδὸν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον,

17. ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν. Ἀλλ' ἐκοιμήθησαν, καὶ οὐκ ἀναστήσονται· ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον.

18. Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε·

19. ἰδοὺ ἐγὼ ποιῶ καινὰ, ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά· καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς.

20. Εὐλογήσουσί με τὰ θηρία τοῦ ἀγροῦ, Σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ· ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν,

21. λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι.

22. Οὐ νῦν ἐκάλεσά σε, Ἰακὼβ, οὐδὲ κοπιάσαι σε ἐποίησα, Ἰσραήλ·

23. οὐκ ἤνεγκάς μοι πρόβατά σου τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με, οὐκ ἐδούλωσά σε ἐν θυσίαις, οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβάνῳ.

24. Οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυσίασμα, οὐδὲ τὸ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα, ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σου προέστης μου καὶ ἐν ταῖς ἀδικίαις σου.

4. Ex quo honorabilis factus es in conspectu meo, glorificatus es, et ego dilexi te, et dabo homines pro te, et principes pro capite tuo.

5. Noli timere, quoniam tecum sum. Ab oriente adducam semen tuum, et ab occidente congregabo te.

6. Dicam aquiloni : Adduc, et africo : Noli prohibere : adduc filios meos de terra longinqua, et filias meas a terminis terræ,

7. omnes qui vocantur nomine meo. In gloria enim mea creavi illum, et plasmavi eum, et feci illum,

8. et eduxi populum cæcum, et oculi sunt cæci similiter, et surdi qui aures habent.

9. Omnes gentes congregatæ sunt simul, et convenient principes ex eis. Quis annuntiabit hæc? aut quæ a principio sunt quis annuntiabit vobis? Adducant testes suos et justificentur, et audiant, et loquantur vera.

10. Estote mihi testes, et ego testis, dicit Dominus Deus, et puer meus quem elegi, ut sciatis et credatis et intelligatis quia ego sum. Ante me non fuit alius Deus, et post me non erit.

11. Ego Deus, et non est præter me salvator.

12. Ego annuntiavi et salvavi, exprobravi et non erat in vobis alienus. Vos mei testes, et ego Dominus Deus

13. usque a principio, et non est qui de manibus meis eruat. Faciam, et quis avertet illud?

14. Sic dicit Dominus Deus, qui redimit vos, sanctus Israel. Propter vos mittam in Babylonem, et suscitabo fugientes universos, et Chaldæi in navibus vincientur.

15. Ego Dominus Deus sanctus vester, qui ostendi Israel regem vestrum.

16. Sic dicit Dominus qui dat in mari viam, et in aqua vehementi semitam,

17. qui educit currus et equum et multitudinem robustam. Sed dormierunt, et non resurgent : exstincti sunt quasi linum exstinctum.

18. Nolite meminisse priorum, et vetera ne recogitetis :

19. ecce ego facio nova, quæ nunc orientur, et cognoscetis ea : et faciam in deserto viam, et in inaquoso flumina.

20. Benedicent me bestiæ agri, Sirenes, et filiæ struthionum, quia dedi in deserto aquam, et flumina in inaquoso : ut bibere faciam genus meum electum,

21. populum meum quem acquisivi ut virtutes meas narret.

22. Non nunc vocavi te, Jacob, neque laborare te feci, Israel :

23. non attulisti mihi oves tuas holocausti tui, neque in victimis tuis magnificasti me, nec servire te feci in hostiis, nec laborem tibi præbui in thure.

24. Nec emisti mihi argento thymiama, nec adipem hostiarum tuarum concupivi, sed in peccatis tuis ante me stetisti et in iniquitatibus tuis.

25. Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι.

26. Σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν. Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς.

27. Οἱ πατέρες ὑμῶν πρῶτοι, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ·

28. καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου, καὶ ἔδωκα ἀπωλέσαι Ἰακὼβ καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

1. Νῦν δὲ ἄκουσον, Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην.

2. Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας, ἔτι βοηθηθήσῃ· μὴ φοβοῦ, παῖς μου Ἰακὼβ, καὶ ἠγαπημένος Ἰσραὴλ ὃν ἐξελεξάμην.

3. Ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ, ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου,

4. καὶ ἀνατελοῦσιν ὡς ἀναμέσον ὕδατος χόρτος, καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον ὕδωρ.

5. Οὗτος ἐρεῖ· Τοῦ Θεοῦ εἰμι, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακὼβ, καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ· Τοῦ Θεοῦ εἰμι, καὶ ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ βοήσεται.

6. Οὕτως λέγει ὁ Θεὸς ὁ βασιλεὺς Ἰσραὴλ, καὶ ῥυσάμενος αὐτὸν Θεὸς σαβαώθ· Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· πλὴν ἐμοῦ οὐκ ἔστι Θεός.

7. Τίς ὥσπερ ἐγώ; Στήτω, καὶ καλεσάτω, καὶ ἀναγγειλάτω, καὶ ἑτοιμασάτω μοι ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν.

8. Μὴ παρακαλύπτεσθε, μηδὲ πλανᾶσθε. Οὐκ ἀπ' ἀρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; Μάρτυρες ὑμεῖς ἐστε, εἰ ἔστι Θεὸς πλὴν ἐμοῦ.

9. Καὶ οὐκ ἤκουσαν τότε οἱ πλάσσοντες, καὶ οἱ γλύφοντες, πάντες μάταιοι, ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς· (*) ἀλλὰ αἰσχυνθήσονται

10. οἱ πλάσσοντες θεὸν, καὶ γλύφοντες πάντες ἀνωφελῆ,

11. καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν. Καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες· καὶ στησάτωσαν ἅμα, καὶ ἐντραπήτωσαν, καὶ αἰσχυνθήτωσαν ἅμα·

12. ὅτι ὤξυνε τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸ, καὶ ἐν τερέτρῳ ἔστησεν αὐτὸ, καὶ εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ· καὶ πεινάσει, καὶ ἀσθενήσει, καὶ οὐ μὴ πίῃ ὕδωρ.

13. Ἐκλεξάμενος τέκτων ξύλον, ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐῤῥύθμισεν αὐτὸ, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου, στῆσαι αὐτὸ ἐν οἴκῳ.

14. Ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ, ὃ ἐφύτευσε Κύριος, πίτυν, καὶ ὑετὸς ἐμήκυνεν,

15. ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν, καὶ λαβὼν ἀπ' αὐτοῦ ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ' αὐτῶν· τὸ δὲ λοιπὸν εἰργάσαντο θεοὺς, καὶ προσκυνοῦσιν αὐτοῖς.

(*) 9. ... καὶ μάρτυρες αὐτῶν εἰσιν, οὐκ ὄψονται, καὶ οὐ γνώσονται... (*Schol. Rom.*)

25. Ego sum, ego sum qui deleo iniquitates tuas propter me, et peccata tua, et non recordabor.

26. Tu vero memento, et judicemur. Dic tu iniquitates tuas primus, ut justificeris.

27. Patres vestri primi, et principes vestri inique egerunt in me :

28. et contaminaverunt principes sancta mea, et dedi ut perderem Jacob et Israel in opprobrium.

CAPUT XLIV.

1. Nunc autem audi, Jacob puer meus, et Israel quem elegi.

2. Sic dicit Dominus Deus qui fecit te, et qui plasmavit te de ventre, adhuc habebis auxilium : noli timere, puer meus Jacob, et dilecte Israel quem elegi.

3. Quia ego dabo aquam in siti iis qui ambulant in inaquoso, imponam spiritum meum super semen tuum, et benedictiones meas super filios tuos,

4. et orientur ut in medio aquæ fœnum, et sicut salix super præterfluentem aquam.

5. Iste dicet : Dei sum, et iste clamabit in nomine Jacob, et alius scribet in manu sua : Dei sum, et in nomine Israel clamabit.

6. Sic dicit Deus rex Israel, et qui eruit eum Deus sabaoth : Ego primus, et ego post hæc : præter me non est Deus.

7. Quis sicut ego? Stet, et vocet, et annuntiet, et paret mihi ex quo feci hominem in sæculum, et futura antequam veniant annuntient vobis.

8. Ne abscondamini, neque erretis. Nonne a principio auribus percepistis, et annuntiavi vobis? Testes vos estis, si est Deus præter me.

9. Et non audierunt tunc qui formabant, et sculpebant, omnes vani, facientes desideria sua, quæ non proderunt ipsis : sed confundentur

10. qui plasmant deum, et omnes sculpentes inutilia,

11. et omnes unde facti sunt exaruerunt. Et surdi ex hominibus congregentur omnes : et stent simul, et confundantur, et erubescant simul :

12. quoniam acuit faber ferrum, lima operatus est illud, et in terebro statuit illud, et operatus est illud in brachio fortitudinis suæ : et esuriet, et infirmus erit, et non bibet aquam.

13. Eligens faber lignum, statuit illud in mensura, et in glutine composuit illud, et fecit ipsum quasi formam viri, et tamquam speciem hominis, ad statuendum illud in domo.

14. Succidit lignum de sylva, quod plantavit Dominus, pinum, et pluvia produxit in longitudinem,

15. ut sit hominibus ad accendendum, et sumens ex eo calefactus est, et succendentes coxerunt panes super ea : residuum autem fabricati sunt deos, et adorant eos.

9. ... et testes eorum sunt, non videbunt, neque cognoscent.

16. Οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ, καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ ἔπεψεν ἐν τοῖς ἄνθραξιν ἄρτους, καὶ ἐπ' αὐτοῦ κρέας ὀπτήσας ἔφαγε, καὶ ἐνεπλήσθη, καὶ θερμανθεὶς εἶπεν· Ἡδύ μοι ὅτι ἐθερμάνθην καὶ εἶδον πῦρ.

17. Τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν, καὶ προσκυνεῖ, καὶ προσεύχεται, λέγων· Ἐξελοῦ με, ὅτι Θεός μου εἶ σύ.

18. Οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν.

19. Καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ, οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέα ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε, καὶ προσκυνοῦσιν αὐτῷ.

20. Γνῶθι ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ. Ἴδετε, οὐκ ἐρεῖτε, ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου.

21. Μνήσθητι ταῦτα, Ἰακὼβ καὶ Ἰσραὴλ, ὅτι παῖς μου εἶ σύ· ἔπλασά σε παῖδά μου, καὶ σὺ, Ἰσραὴλ, μὴ ἐπιλανθάνου μου.

22. Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου. Ἐπιστράφηθι πρός με, καὶ λυτρώσομαί σε.

23. Εὐφράνθητε, οὐρανοὶ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν Ἰσραήλ· σαλπίσατε, τὰ θεμέλια τῆς γῆς, βοήσατε, ὄρη, εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δοξασθήσεται.

24. Οὕτω λέγει Κύριος ὁ λυτρούμενός σε, καὶ πλάσσων σε ἐκ κοιλίας· Ἐγὼ Κύριος ὁ συντελῶν πάντα, ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ ἐστερέωσα τὴν γῆν.

25. Τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; Ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωραίνων,

26. καὶ ἱστῶν ῥῆμα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων· ὁ λέγων τῇ Ἱερουσαλήμ· Κατοικηθήσῃ, καὶ ταῖς πόλεσι τῆς Ἰδουμαίας· Οἰκοδομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ.

27. Ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ·

28. ὁ λέγων Κύρῳ φρονεῖν, καὶ πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ἱερουσαλήμ· Οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

1. Οὕτω λέγει Κύριος ὁ Θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται.

2. Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συγκλάσω.

3. Καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ Κύριος ὁ Θεός σου, ὁ καλῶν τὸ ὄνομά σου, ὁ Θεὸς Ἰσραήλ.

4. Ἕνεκεν τοῦ παιδός μου Ἰακὼβ καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί σου, καὶ προσδέξομαί σε. Σὺ δὲ οὐκ ἔγνως με,

16. Cujus dimidium ejus combussit in igni, et super dimidium ejus coxit in carbonibus panes, et super illud assans carnes comedit, et saturatus est, et calefactus dixit: Suave mihi quia calefactus sum et vidi ignem.

17. Residuum vero fecit in deum sculptum, et adorat, et orat, dicens: Erue me, quia Deus meus es tu.

18. Nescierunt sapere, quia obscurati sunt ne videant oculis suis, et intelligant corde suo.

19. Et non cogitavit animo suo, neque cognovit per prudentiam, quia dimidium ejus combussit in igni, et combussit super carbones ejus panes, et assatas carnes comedit, et residuum ejus in abominationem fecit et adorant eum.

20. Scito quia cinis cor eorum, et errant, et nemo potest liberare animam suam. Videte, non dicetis, quia mendacium in dextera mea.

21. Memento horum, Jacob et Israel, quoniam puer meus es tu: formavi te puerum meum, et tu, Israel, ne obliviscaris mei.

22. Ecce enim delevi sicut nubem iniquitates tuas, et sicut caliginem peccatum tuum. Revertere ad me, et redimam te.

23. Lætamini, cœli, quoniam misertus est Deus Israelis: canite tuba, fundamenta terræ, clamate, montes, lætitiam, colles et omnia ligna quæ in eis sunt, quoniam redemit Deus Jacob, et Israel glorificabitur.

24. Sic dicit Dominus qui redimit te, et formans te ex utero: Ego Dominus qui compleo omnia, extendi cœlum solus, et firmavi terram.

25. Quis alius dissipabit signa pythonum, et divinationes de corde? Avertens prudentes retrorsum, et consilium eorum stultum faciens,

26. et statuens verbum pueri sui, et consilium angelorum suorum verum probans: dicens ad Jerusalem: Habitaberis, et civitatibus Idumææ: Habitabimini, et deserta illius germinabunt.

27. Dicens abysso: Desolaberis, et flumina tua arefaciam:

28. dicens Cyro ut sapiat, et omnes voluntates meas faciet: dicens ad Jerusalem: Ædificaberis, et domum sanctam meam fundabo.

CAPUT XLV.

1. Sic dicit Dominus Deus christo meo Cyro, cujus apprehendi dexteram, ut obediant ante faciem ejus gentes, et fortitudinem regum disrumpam, aperiam ante eum januas, et civitates non claudentur.

2. Ego ante te ibo, et montes complanabo, portas æreas conteram, et vectes ferreos confringam.

3. Et dabo tibi thesauros tenebrosos, absconditos, invisibiles aperiam tibi, ut scias quia ego Dominus Deus tuus, qui voco nomen tuum, Deus Israel.

4. Propter puerum meum Jacob et Israel electum meum, ego vocabo te nomine tuo, et suscipiam te. Tu autem non cognovisti me

5. ὅτι ἐγὼ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ Θεός. Ἐνίσχυσά σε, καὶ οὐκ ᾔδεις με·

6. ἵνα γνῶσιν οἱ ἀπ' ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ. Ἐγὼ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἔτι.

7. Ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά· ἐγὼ Κύριος ὁ Θεὸς, ὁ ποιῶν πάντα ταῦτα.

8. Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα· ἐγώ εἰμι Κύριος ὁ κτίσας σε.

9. Ποῖον βέλτιον κατεσκεύασα ὡς πηλὸν κεραμέως; Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ· Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; Μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό;

10. Ὁ λέγων τῷ πατρί· Τί γεννήσεις; καὶ τῇ μητρί· Τί ὠδίνεις;

11. Ὅτι οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ἅγιος Ἰσραὴλ, ὁ ποιήσας τὰ ἐπερχόμενα· Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι.

12. Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην.

13. Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε Κύριος σαβαώθ.

14. Οὕτω λέγει Κύριος σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Ζαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ.

15. Σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ.

16. Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ. Ἐγκαινίζεσθε πρὸς μὲ, νῆσοι·

17. Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον· οὐκ αἰσχυνθήσονται, οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος ἔτι.

18. Οὕτως λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος ὁ Θεὸς ὁ καταδείξας τὴν γῆν, καὶ ποιήσας αὐτὴν, αὐτὸς διώρισεν αὐτήν· οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτήν. Ἐγώ εἰμι Κύριος, καὶ οὐκ ἔστιν ἔτι.

19. Οὐκ ἐν κρυφῇ λελάληκα, οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ. Οὐκ εἶπα τῷ σπέρματι Ἰακώβ· Μάταιον ζητήσατε. Ἐγώ εἰμι, ἐγώ εἰμι Κύριος ὁ λαλῶν δικαιοσύνην, καὶ ἀναγγέλλων ἀλήθειαν.

20. Συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα, οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. Οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ οἱ προσευχόμενοι πρὸς θεοὺς οἳ οὐ σώζουσιν.

21. Εἰ ἀναγγελοῦσιν, ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα

5. quia ego Dominus Deus, et non est amplius præter me Deus. Confortavi te, et non novisti me :

6. ut sciant hi qui ab ortu solis et qui ab occidente, quoniam non est Deus præter me. Ego Dominus Deus, et non est amplius.

7. Ego qui fabricavi lucem, et feci tenebras, faciens pacem, et creans mala : ego Dominus Deus, faciens omnia hæc.

8. Lætetur cœlum desuper, et nubes spargant justitiam : germinet terra, et proferat misericordiam, et justitiam germinet simul : ego sum Dominus qui creavi te.

9. Quid melius feci quam lutum figuli? Numquid arans arabit terram tota die? Numquid dicet lutum figulo : Quid facis, quoniam non operaris, nec habes manus? Numquid respondebit figmentum ad fictorem suum?

10. Qui dicit patri : Quid generabis? et matri : Quid parturis?

11. Sic enim dicit Dominus Deus sanctus Israel, qui fecit ventura : Interrogate me de filiis meis, et de operibus manuum mearum mandate mihi.

12. Ego feci terram et hominem super eam, ego manu mea firmavi cœlum, ego omnibus stellis mandavi.

13. Ego suscitavi eum cum justitia regem, et omnes viæ illius rectæ. Ipse ædificabit civitatem meam, et captivitatem populi mei convertet, non cum pretio, neque cum muneribus, dixit Dominus sabaoth.

14. Sic dicit Dominus sabaoth : Laboravit Ægyptus, et negotiatio Æthiopum, et Sabaim viri excelsi ad te transibunt, et tui erunt servi, et post te sequentur vincti manicis, et transibunt ad te, et adorabunt te, et in te orabunt : quoniam in te Deus est, et non est Deus absque te.

15. Tu enim Deus es, et nesciebamus, Deus Israel salvator.

16. Confundentur et erubescent omnes adversarii ejus, et ambulabunt in confusione. Innovamini ad me, insulæ :

17. Israel salvatur a Domino salute æterna : non confundentur, neque erubescent usque in æternum amplius,

18. Sic dicit Dominus qui fecit cœlum, iste Deus qui ostendit terram, et fecit eam, ipse distinxit eam : non in vacuum fecit eam, sed ut habitaretur plasmavit eam. Ego sum Dominus, et non est ultra.

19. Non in abscondito locutus sum, neque in loco terræ tenebroso. Non dixi semini Jacob : Vanum quærite. Ego sum, ego sum Dominus qui loquor justitiam, et annuntio veritatem.

20. Congregamini et venite, consulite simul, qui salvamini de gentibus. Non cognoverunt qui portant lignum sculpturam suam, et orant deos non salvantes.

21. Si annuntiant, appropinquent, ut sciant simul quis

τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς· τότε ἀνηγγέλη ὑμῖν. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ· δίκαιος καὶ σωτὴρ, οὐκ ἔστι πάρεξ ἐμοῦ.

22. Ἐπιστράφητε ἐπ' ἐμὲ, καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς γῆς. Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος.

23. Κατ' ἐμαυτοῦ ὀμνύω· εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται·

24. ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεὸν,

25. λέγων· Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες αὐτοὺς ἀπὸ Κυρίου·

26. δικαιωθήσονται, καὶ ἐν τῷ Θεῷ ἐνδοξασθήσεται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.

audita fecit hæc ab initio : tunc annuntiatum est vobis. Ego Deus, et non est alius absque me : justus et salvator, non est præter me.

22. Convertimini ad me, et salvi eritis, qui ab extremis terræ. Ego sum Deus, et non est alius.

23. Per memetipsum juro : nisi egredietur de ore meo justitia, sermones mei non avertentur :

24. quia mihi incurvabit omne genu, et jurabit omnis lingua Deum,

25. dicens : Justitia et gloria ad eum veniet, et confundentur omnes qui separant se a Domino :

26. justificabuntur, et in Deo glorificabitur omne semen filiorum Israel.

ΚΕΦΑΛΑΙΟΝ Μς'.

1. Ἔπεσε Βὴλ, συνετρίβη Ναβὼ, ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία, καὶ τὰ κτήνη· αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι,

2. ἐκλελυμένῳ, καὶ πεινῶντι, οὐκ ἰσχύοντι ἅμα· οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν.

3. Ἀκούετέ μου, οἶκος τοῦ Ἰακὼβ, καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραὴλ, οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἐκ παιδίου

4. ἕως γήρως. Ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι· ἐγὼ ἀνέχομαι ὑμῶν, ἐγὼ ἐποίησα, καὶ ἐγὼ ἀνήσω· ἐγὼ ἀναλήψομαι, καὶ σώσω ὑμᾶς.

5. Τίνι με ὡμοιώσατε; Ἴδετε, τεχνάσασθε, οἱ πλανώμενοι,

6. οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσυππίου, καὶ ἀργύριον ἐν ζυγῷ· στήσουσιν ἐν σταθμῷ, καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσκυνοῦσιν αὐτοῖς·

7. αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου, καὶ πορεύονται· ἐὰν δὲ θῶσιν αὐτὸ ἐπὶ τοῦ τόπου αὐτοῦ, μένει, οὐ μὴ κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτὸν, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν.

8. Μνήσθητε ταῦτα, καὶ στενάξατε· μετανοήσατε, οἱ πεπλανημένοι· ἐπιστρέψατε τῇ καρδίᾳ,

9. καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ,

10. ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν γενέσθαι, καὶ ἅμα συνετελέσθη. Καὶ εἶπα· Πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω.

11. Καλῶν ἀπὸ ἀνατολῶν πετεινὸν, καὶ ἀπὸ γῆς πόῤῥωθεν περὶ ὧν βεβούλευμαι· ἐλάλησα, καὶ ἤγαγον· ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ.

12. Ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης.

13. Ἤγγισα τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν παρ' ἐμοῦ οὐ βραδυνῶ. Δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.

CAPUT XLVI.

1. Cecidit Bel, contritus est Nabo, facta sunt sculptilia eorum in bestias, et jumenta : portatis ea colligata quasi onus laboranti,

2. deficienti, et esurienti, nec prævalenti simul : qui non poterunt salvari a bello, ipsi autem captivi ducti sunt.

3. Audite me, domus Jacob, et omnes reliquiæ Israel, qui portamini de utero, et erudimini a parvulo

4. usque ad senectutem. Ego sum, et donec senescatis, ego sum : ego sustineo vos, ego feci, et ego portabo : ego suscipiam, et salvos vos faciam.

5. Cui assimilastis me? Videte, excogitate, qui erratis,

6. qui confertis aurum de sacculo, et argentum in statera : statuent in pondere, et conducentes aurificem fecerunt opera manuum, et incurvati adorant ea :

7. portant illud super humerum, et vadunt : si autem posuerint illud in loco suo, manet, non movebitur : et quisquis clamaverit ad ipsum, non exaudiet, de malis non salvabit eum.

8. Mementote horum, et ingemiscite : agite pœnitentiam, qui errastis : revertimini corde,

9. et mementote priorum a sæculo, quoniam ego sum Deus, et non est ultra præter me,

10. qui annuntio prius novissima antequam fiant, et simul completa sunt. Et dixi : Omne consilium meum stabit, et cuncta quæ deliberavi faciam.

11. Qui voco ab oriente avem, et de terra longinqua ea de quibus cogitavi : locutus sum, et adduxi : creavi et feci, adduxi eum, et prosperavi viam ejus.

12. Audite me, qui perdidistis cor, qui longe estis a justitia.

13. Prope feci justitiam meam, et salutem quæ a me est tardare non faciam. Dedi in Sion salutem Israeli in gloriam.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

1. Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, παρθένος θυγά-

CAPUT XLVII.

1. Descende, sede super terram, virgo filia Babylonis :

τηρ Βαβυλῶνος· κάθισον εἰς τὴν γῆν, θυγάτηρ Χαλδαίων, ὅτι οὐκέτι προςτεθήσῃ κληθῆναι ἁπαλὴ καὶ τρυφερά.

2. Λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψαι τὸ κατακάλυμμά σου, ἀνακάλυψαι τὰς πολιάς, ἀνάσυρε τὰς κνήμας, διάβηθι ποταμούς·

3. ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου· τὸ δίκαιον ἐκ σοῦ λήψομαι, οὐκέτι μὴ παραδῶ ἀνθρώποις.

4. Ὁ ῥυσάμενός σε Κύριος σαβαὼθ, ὄνομα αὐτῷ ἅγιος Ἰσραήλ.

5. Κάθισον κατανενυγμένη, εἴςελθε εἰς τὸ σκότος, θύγατερ Χαλδαίων· οὐκέτι μὴ κληθήσῃ ἰσχὺς βασιλείας.

6. Παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου. Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα,

7. καὶ εἶπας· Εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. Οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατα;

8. Νῦν δὲ ἄκουε ταῦτα, τρυφερὰ, ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· οὐ καθιῶ χήρα, οὐδὲ γνώσομαι ὀρφανίαν.

9. Νῦν δὲ ἥξει ἐπὶ σὲ τὰ δύο ταῦτα ἐξαίφνης ἐν ἡμέρᾳ μιᾷ· ἀτεκνία καὶ χηρεία ἥξει ἐξαίφνης ἐπὶ σὲ, ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα,

10. τῇ ἐλπίδι τῆς πονηρίας σου. Σὺ γὰρ εἶπας· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. Γνῶθι· ἡ σύνεσις τούτων ἔσται, καὶ ἡ πορνεία σου σοὶ αἰσχύνη. Καὶ εἶπας τῇ καρδίᾳ σου· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα.

11. Καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια, καὶ οὐ μὴ γνῷς· βόθυνος, καὶ ἐμπεσῇ εἰς αὐτόν· καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι· καὶ ἥξει ἐπὶ σὲ ἐξαπίνης ἀπώλεια, καὶ οὐ μὴ γνώσῃ.

12. Στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου, καὶ ἐν τῇ πολλῇ φαρμακείᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληθῆναι.

13. Κεκοπίακας ἐν ταῖς βουλαῖς σου· στήτωσαν δὴ, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ δρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι.

14. Ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογὸς, ὅτι ἔχεις ἄνθρακας πυρὸς, κάθισαι ἐπ' αὐτούς,

15. οὗτοι ἔσονταί σοι βοήθεια· ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

1. Ἀκούσατε ταῦτα, οἶκος Ἰακὼβ, κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ, καὶ ἐξ Ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραὴλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης,

2 καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ Θεῷ Ἰσραὴλ ἀντιστηριζόμενοι· κύριος σαβαὼθ ὄνομα αὐτῷ.

3. Τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο· ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθεν.

sede in terram, filia Chaldæorum, quoniam nequaquam ultra apponeris vocari mollis et tenera.

2. Tolle molam, mole farinam, revela operimentum tuum, denuda canos, discooperi tibias, transi flumina :

3. revelabitur ignominia tua, apparebunt opprobria tua : quod justum est de te auferam, nequaquam ultra tradam hominibus.

4. Qui eruit te Dominus sabaoth, nomen ei sanctus Israel.

5. Sede compuncta, ingredere in tenebras, filia Chaldæorum : nequaquam ultra vocaberis fortitudo regni.

6. Iratus sum contra populum meum, contaminasti hæreditatem meam. Ego dedi eos in manum tuam, tu vero non dedisti eis misericordiam, seni aggravasti jugum valde,

7. et dixisti : In æternum ero domina. Non intellexisti hæc in corde tuo, neque recordata es novissimorum?

8. Nunc autem audi hæc, delicata, quæ sedes, quæ confidis, quæ dicis in corde tuo : Ego sum, et non est altera : non sedebo vidua, neque cognoscam orbitatem,

9. Nunc autem venient super te duo hæc subito in die una : orbitas et viduitas venient repente super te, in maleficio tuo, in fortitudine incantatorum tuorum valde,

10. spe malitiæ tuæ. Tu enim dixisti : Ego sum, et non est altera. Scito : intelligentia horum erit, et fornicatio tua tibi confusio. Et dixisti corde tuo : Ego sum, et non est altera.

11. Et veniet super te perditio, et nescies : fovea, et incides in eam : et veniet super te miseria, et non poteris munda fieri : et veniet super te subito perditio, et nescies.

12. Sta nunc in incantationibus tuis, et in multo maleficio tuo, quæ discebas ab adolescentia tua, si poteris adjuvari.

13. Laborasti in consiliis tuis : stent nunc, et salvam te faciant astrologi cœli, qui contemplantur stellas annuntient tibi quid venturum sit super te.

14. Ecce omnes quasi phrygana in igne comburentur, et non eruent animam suam de flamma, quia habes carbones ignis, sede super eos,

15. hi erunt tibi adjutorium : laborasti in commutatione ab adolescentia, homo in semetipso erravit, tibi autem non erit salus.

CAPUT XLVIII.

1. Audite hæc, domus Jacob, qui vocati estis in nomine Israel, et de Juda exiistis, qui juratis in nomine Domini Dei Israel, commemorantes non cum veritate, neque cum justitia,

2. et inhærentes nomini civitatis sanctæ, et super Deum Israel innitentes : dominus sabaoth nomen ei.

3. Priora adhuc annuntiavi, et de ore meo egressa sunt, et auditum factum est : subito feci, et advenerunt.

4. Γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν.

5. Καὶ ἀνήγγειλά σοι πάλαι ἃ πρὶν ἐλθεῖν ἐπὶ σέ. Ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ εἴπῃς ὅτι τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι.

6. Ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε. Ἀλλὰ ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει γίνεσθαι.

7. Καὶ οὐκ εἶπας· Νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ οὐ προτέραις ἡμέραις ἤκουσας αὐτά. Μὴ εἴπῃς· Ναὶ γινώσκω αὐτά.

8. Οὔτε ἔγνως, οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρχῆς ἤνοιξά σου τὰ ὦτα· ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι ἐκ κοιλίας κληθήσῃ.

9. Ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν θυμόν μου, καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σὲ, ἵνα μὴ ἐξολοθρεύσω σε.

10. Ἰδοὺ πέπρακά σε, οὐχ ἕνεκεν ἀργυρίου· ἐξειλάμην δέ σε ἐκ καμίνου πτωχείας.

11. Ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω.

12. Ἄκουέ μου, Ἰακὼβ, καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ. Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα·

13. καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. Καλέσω αὐτοὺς, καὶ στήσονται ἅμα,

14. καὶ συναχθήσονται πάντες, καὶ ἀκούσονται. Τίς αὐτοῖς ἀνήγγειλε ταῦτα; Ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα, τοῦ ἆραι σπέρμα Χαλδαίων.

15. Ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλεσα, ἤγαγον αὐτὸν, καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ.

16. Προσαγάγετε πρὸς μὲ, καὶ ἀκούσατε ταῦτα· οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην, καὶ νῦν Κύριος Κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ.

17. Οὕτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι ὁ Θεός σου, δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ.

18. Καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης·

19. καὶ ἐγένετο ἂν ὡς ἡ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς· οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ.

20. Ἔξελθε ἐκ Βαβυλῶνος, φεύγων ἀπὸ τῶν Χαλδαίων· φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο· ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς. Λέγετε· Ἐῤῥύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακὼβ,

21. καὶ ἐὰν διψήσωσι, δι' ἐρήμου ἄξει αὐτοὺς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς, σχισθήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου.

22. Οὐκ ἔστι χαίρειν, λέγει Κύριος, τοῖς ἀσεβέσιν.

4. Scio quia durus es, et nervus ferreus collum tuum, et frons tua ænea.

5. Et annuntiavi tibi olim quæ antequam venirent super te. Auditum tibi feci, ne forte diceres quia idola mihi fecit, et dicas quia sculptilia et conflatilia mandavit mihi.

6. Audistis omnia, et vos non cognovistis. Sed audita tibi feci nova a nunc, quæ futura sunt.

7. Et non dixisti: Nunc fiunt, et non olim, et non prioribus diebus audisti ea. Ne dicas: Etiam novi ea.

8. Neque nosti, neque scisti, neque a principio aperui aures tuas: scio enim quoniam prævaricans prævaricaberis, et iniquus adhuc ex utero vocaberis.

9. Propter nomen meum ostendam tibi furorem meum, et gloriosa mea inferam super te, ut non te interficiam.

10. Ecce vendidi te, non propter argentum: erui autem te de fornace paupertatis.

11. Propter me faciam tibi, quia nomen meum polluitur, et gloriam meam alteri non dabo.

12. Audi me, Jacob, et Israel quem ego voco. Ego sum primus, et ego sum in sempiternum:

13. et manus mea fundavit terram, et dextera mea firmavit cœlum. Vocabo eos, et stabunt simul,

14. et congregabuntur omnes, et audient. Quis eis nuntiavit hæc? Diligens te feci voluntatem tuam super Babylonem, ut auferrem semen Chaldæorum.

15. Ego locutus sum, ego vocavi, adduxi eum, et prosperam feci viam ejus.

16. Accedite ad me, et audite hæc: non a principio in abscondito locutus sum: quando fiebat, ibi eram, et nunc Dominus Dominus misit me, et spiritus ejus.

17. Sic dicit Dominus, qui eruit te, sanctus Israel: Ego sum Deus tuus, docui te ut invenires viam in qua ambulabis in ea.

18. Quod si audisses mandata mea, facta esset sicut flumen pax tua, et justitia tua sicut gurges maris:

19. et fuisset sicut arena semen tuum, et fœtus uteri tui quasi pulvis terræ: neque nunc exterminaberis, neque peribit nomen tuum coram me.

20. Egredere de Babylone, fugiens a Chaldæis: vocem lætitiæ annuntiate, et auditum fiat hoc: annuntiate usque ad extremum terræ. Dicite: Liberavit Dominus servum suum Jacob,

21. et si sitierint, per desertum ducet eos, aquam de petra educet eis, scindetur petra et fluet aqua, et bibet populus meus.

22. Non est gaudere, dicit Dominus, impiis.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

1. Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη· Διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος· ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου,

CAPUT XLIX.

1. Audite me, insulæ, et attendite, gentes: Per multum tempus stabit, dicit Dominus: ex utero matris meæ vocavit nomen meum,

2. καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με,

3. καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σὺ, Ἰσραὴλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι.

4. Καὶ ἐγὼ εἶπα· Κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου· διὰ τοῦτο ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ Θεοῦ μου.

5. Καὶ νῦν οὕτω λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτὸν καὶ Ἰσραήλ. Συναχθήσομαι καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς.

6. Καὶ εἶπέ μοι· Μέγα σοι ἐστὶ τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακὼβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι. Ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

7. Οὕτως λέγει Κύριος, ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ. Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτὸν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου· ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραὴλ, καὶ ἐξελεξάμην σε.

8. Οὕτως λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους,

9. λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι. Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν.

10. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς.

11. Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς.

12. Ἰδοὺ οὗτοι πόῤῥωθεν ἥξουσιν, οὗτοι ἀπὸ βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν.

13. Εὐφραίνεσθε, οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν.

14. Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με Κύριος, καὶ ὅτι Κύριος ἐπελάθετό μου.

15. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε Κύριος.

16. Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διαπαντός.

17. καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ἐρημώσαντές σε ἐξελεύσονται ἐκ σοῦ.

18. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας· ἰδοὺ συνήχθησαν καὶ ἦλθοσαν πρός σέ. Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσεις αὐτοὺς ὡς κόσμον νύμφη·

19. ὅτι τὰ ἔρημά σου καὶ τὰ κατεφθαρμένα καὶ πεπτωκότα, ὅτι νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε.

20. Ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου, οὓς ἀπολώλεκας· Στενός μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω.

2. et posuit os meum quasi gladium acutum, et sub protectione manus suæ abscondit me. Posuit me quasi sagittam electam, et in pharetra sua abscondit me,

3. et dixit mihi: Servus meus es tu, Israel, et in te glorificabor.

4. Et ego dixi: In vacuum laboravi, in vanum et in nihilum dedi fortitudinem meam: propterea judicium meum apud Dominum, et labor meus coram Deo meo.

5. Et nunc sic dicit Dominus, qui formavit me ex utero servum sibi, ut congregarem Jacob ad eum et Israel. Congregabor et glorificabor coram Domino, et Deus meus erit mihi fortitudo.

6. Et dixit mihi: Magnum tibi est ut voceris puer meus, ut suscites tribus Jacob, et dispersionem Israel convertas. Ecce dedi te in testamentum generis, in lucem gentium, ut sis in salutem usque ad extremum terræ.

7. Sic dicit Dominus, qui eruit te, Deus Israel. Sanctificate eum qui despicit animam suam, qui abominatur a gentibus servis principum. Reges videbunt eum, et consurgent principes, et adorabunt eum propter Dominum: quia fidelis est sanctus Israel, et elegi te.

8. Sic dicit Dominus: Tempore accepto exaudivi te, et in die salutis auxiliatus sum tibi, et plasmavi te, et dedi te in testamentum gentium, ut constitueres terram, et possideres hæreditates desertas,

9. dicens his qui in vinculis sunt: Exite, et his qui in tenebris, ut revelentur. In omnibus viis pascentur, et in omnibus semitis pascua eorum.

10. Non esurient, neque sitient, neque percutiet eos æstus, neque sol, sed qui miseretur eorum consolabitur eos, et per fontes aquarum ducet illos.

11. Ponamque omnem montem in viam, et omnem semitam in pascuam eis.

12. Ecce isti de longe venient, isti ab aquilone et mari, alii autem de terra Persarum.

13. Lætamini, cœli, et exsultet terra: erumpant montes lætitiam, quia misertus est Deus populi sui, et humiles populi sui consolatus est.

14. Dixit autem Sion: Dereliquit me Dominus, et quia Dominus oblitus est mei.

15. Numquid obliviscetur mulier parvuli sui, ut non misereatur fœtuum uteri sui? Sin autem et horum oblita fuerit mulier, sed ego non obliviscar tui, dixit Dominus.

16. Ecce super manus meas depinxi muros tuos, et coram me es semper,

17. citoque ædificaberis a quibus destructa fueras, et qui te dissipaverant egredientur ex te.

18. Leva in circuitu oculos tuos, et vide omnes: ecce congregati sunt et venerunt ad te. Vivo ego, dicit Dominus, quia omnibus his quasi ornamento vestieris, et circumdabis tibi eos sicut ornamentum sponsa:

19. quoniam deserta tua et quæ dissipata et quæ corruerunt, quia nunc angustabuntur præ habitatoribus, et longe fient a te qui te devorabant.

20. Dicent enim in auribus tuis filii tui, quos perdidisti: Angustus mihi locus est, fac mihi locum ut habitem.

21. Καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, τούτους δὲ τίς ἐξέθρεψέ μοι; Ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν;

22. Οὕτως λέγει Κύριος Κύριος· Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι,

23. καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου. Ἐπὶ πρόσωπον τῆς γῆς προςκυνήσουσί σε, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι, καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος, καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με.

24. Μὴ λήψεταί τις παρὰ γίγαντος σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσεται;

25. Ὅτι οὕτω λέγει Κύριος· Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα· λαμβάνων δὲ παρὰ ἰσχύοντος σωθήσεται. Ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς σου ῥύσομαι,

26. καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν, καὶ μεθυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα σὰρξ ὅτι ἐγὼ Κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ.

21. Et dices in corde tuo : Quis genuit mihi istos? Ego autem absque liberis et vidua, et istos quis enutrivit mihi? Ego autem derelicta sum sola, et isti mihi ubi erant?

22. Sic dicit Dominus Dominus : Ecce elevo ad gentes manum meam, et ad insulas levabo signum meum, et adducent filios tuos in sinu, et filias tuas super humeros portabunt,

23. et erunt reges nutritii tui, et principes fœminæ eorum nutrices tuæ. Super faciem terræ adorabunt te, et pulverem pedum tuorum lingent, et scies quia ego Dominus, et non confundentur qui exspectant me.

24. Numquid accipiet quis a gigante spolia? et si captivum duxerit quis inique, salvabitur?

25. Quoniam sic dicit Dominus : Si quis captivaverit gigantem, accipiet spolia : qui autem accipit a forti salvabitur. Ego autem judicium tuum judicabo, et ego filios tuos eruam,

26. et comedent qui tribulaverunt te carnes suas, et bibent quasi vinum novum sanguinem suum, et inebriabuntur, et sentiet omnis caro quia ego Dominus qui erui te et qui adjuvo fortitudinem Jacob.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

1. Οὕτως λέγει Κύριος· Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν.

2. Τί ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος; ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων; Μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι, ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; Ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει.

3. Ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ.

4. Κύριος Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἔθηκέ μοι πρωῒ, προςέθηκέ μοι ὠτίον ἀκούειν,

5. καὶ ἡ παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω.

6. Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων,

7. καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ·

8. ὅτι ἐγγίζει ὁ δικαιώσας με. Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα. Καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι.

9. Ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς.

10. Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ.

11. Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε

CAPUT L.

1. Sic dicit Dominus : Qualis est liber repudii matris vestræ, quo dimisi eam? aut cui creditori vendidi vos? Ecce peccatis vestris venumdati estis, et in vestris iniquitatibus dimisi matrem vestram.

2. Quid quia veni, et non erat homo? vocavi, et non erat qui obediret? Numquid non potest manus mea liberare, aut non prævaleo ut eruam? Ecce increpatione mea desertum faciam mare, et ponam flumina deserta, et arefient pisces eorum eo quod non sit aqua, et morientur in siti.

3. Induam cœlum tenebris, et quasi cilicium ponam operimentum ejus.

4. Dominus Dominus dat mihi linguam disciplinæ, ut sciam quando oporteat loqui verbum. Posuit mihi mane, addidit mihi aurem ad audiendum,

5. et disciplina Domini Domini aperit aures meas, ego autem non renuo, neque contradico.

6. Dorsum meum dedi ad flagella, et genas meas ad alapas, et faciem meam non averti a confusione sputorum,

7. et Dominus Dominus auxiliator meus factus est : propterea non sum confusus, sed posui faciem meam sicut solidam petram, et novi quoniam non confundar :

8. quia juxta est qui justificavit me. Quis est qui judicetur mecum? resistat mihi simul. Et quis est qui judicium ineat adversum me? appropinquet mihi.

9. Ecce Dominus Dominus adjuvabit me : quis affliget me? Ecce omnes vos quasi vestimentum veterascetis, et tinea comedet vos.

10. Quis est in vobis qui timeat Dominum? exaudiat vocem pueri ejus. Qui ambulant in tenebris, et non est eis lux, confidite in nomine Domini, et innitimini super Deo.

11. Ecce omnes vos ignem accenditis, et confortatis flam-

φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

mam : ambulate in lumine ignis vestri, et in flamma quam succendistis : propter me facta sunt hæc vobis, in mœrore dormietis.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

1. Ἀκούσατέ μου, οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον· ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ὃν ὠρύξατε.

2. Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς· ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλόγησα αὐτὸν, καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν.

3. Καὶ σὲ νῦν παρακαλέσω, Σιὼν, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παράδεισον, καὶ τὰ πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον Κυρίου· εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως.

4. Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασιλεῖς, πρὸς μὲ ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν.

5. Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν.

6. Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀποθανοῦνται· τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ.

7. Ἀκούσατέ μου, οἱ εἰδότες κρίσιν, λαὸς οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν· μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε.

8. Ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν.

9. Ἐξεγείρου, ἐξεγείρου, Ἱερουσαλὴμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου· ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος.

10. Οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις

11. καὶ λελυτρωμένοις; Ὑπὸ γὰρ Κυρίου ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου. Ἐπὶ κεφαλῆς γὰρ αὐτῶν αἴνεσις, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

12. Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ παρακαλῶν σε· γνῶθι τίς οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν.

13. Καὶ ἐπελάθου Θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ θεμελιώσαντα τὴν γῆν· καὶ ἐφοβοῦ ἀεὶ πάσας τὰς ἡμέρας τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε. Ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε;

14. Ἐν γὰρ τῷ σώζεσθαί σε οὐ στήσεται, οὐδὲ χρονιεῖ, (*)

(*) 14. . . . καὶ οὐ θανατώσει εἰς διαφθορὰν, καὶ οὐ μὴ ὑστερήσει ἄρτος αὐτοῦ. (*Compl.*)

CAPUT LI.

1. Audite me, qui persequimini quod justum est, et quæritis Dominum : inspicite in solidam petram quam excidistis, et in foveam laci quam fodistis.

2. Respicite in Abraam patrem vestrum, et in Sarram quæ peperit vos : quia unus erat, et vocavi eum, et benedixi eum, et dilexi illum, et multiplicavi eum.

3. Et te nunc consolabor, Sion, et consolatus sum omnia deserta ejus, et ponam deserta ejus quasi paradisum, et ea quæ ad occidentem ejus sunt quasi paradisum Domini : lætitiam et exsultationem invenient in ea, confessionem et vocem laudis.

4. Audite me, audite me, populus meus, et reges, ad me auribus attendite, quia lex a me egredietur, et judicium meum in lucem gentium.

5. Appropinquat cito justitia mea, et egredietur sicut lux salutare meum, et in brachio meo gentes sperabunt : me insulæ exspectabunt, et in brachio meo sperabunt.

6. Levate in cœlum oculos vestros, et inspicite in terram deorsum, quoniam cœlum sicut fumus firmatum est, terra autem sicut vestimentum veterascet, et habitatores ejus sicut hæc morientur : salutare autem meum in sempiternum erit, et justitia mea non deficiet.

7. Audite me, qui scitis judicium, populus cujus lex mea in corde vestro : nolite timere opprobrium hominum, et contemptu eorum ne vincamini.

8. Sicut enim vestimentum comedentur a tempore, et sicut lanæ comedentur a tinea : justitia autem mea in æternum erit, et salus mea in generationes generationum.

9. Exsurge, exsurge, Jerusalem, et induere fortitudine brachii tui : exsurge sicut in principio diei, sicut generatio sempiterna.

10. Nonne tu es quæ desertum fecisti mare, aquam abyssi multam? quæ posuisti profunda maris viam transitus his qui fuerant liberati

11. et redempti? A Domino enim reducentur, et venient in Sion cum lætitia et exsultatione æterna. Super caput enim eorum laus, et lætitia apprehendet eos : fugit dolor et mœror et gemitus.

12. Ego sum, ego sum qui consolor te : scito quæ cum esses timueris ab homine mortali, et a filio hominis, qui quasi fœnum arefacti sunt.

13. Et oblita es Dei factoris tui, qui fecit cœlum et fundavit terram : et timebas semper cunctis diebus faciem furoris tribulantis te. Sicut enim cogitavit auferre te, et nunc ubi est furor tribulantis te?

14. Cum enim salva facta fueris non stabit, neque permanebit,

14. ... et non mortificabit in corruptionem, et non deficiet panis ejus.

15. Ὅτι ἐγὼ ὁ Θεός σου, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχῶν τὰ κύματα αὐτῆς· Κύριος σαβαὼθ ὄνομά μοι.

16. Θήσω τοὺς λόγους μου εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν, καὶ ἐθεμελίωσα τὴν γῆν· καὶ ἐρεῖ Σιών· Λαός μου εἶ σύ.

17. Ἐξεγείρου, ἐξεγείρου, ἀνάστηθι, Ἱερουσαλὴμ, ἡ πιοῦσα ἐκ χειρὸς Κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ· τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας,

18. καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν σου ὧν ὕψωσας.

19. Διὸ ταῦτα ἀντικείμενά σοι, τίς συλλυπηθήσεταί σοι; Πτῶμα καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα· τίς παρακαλέσει σε;

20. Οἱ υἱοί σου, οἱ ἀπορούμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου ὡς σευτλίον ἡμίεφθον, οἱ πλήρεις θυμοῦ Κυρίου, ἐκλελυμένοι διὰ Κυρίου τοῦ Θεοῦ.

21. Διὰ τοῦτο ἄκουε, τεταπεινωμένη, καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου.

22. Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ κρίνων τὸν λαὸν αὐτοῦ· Ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό·

23. καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ ψυχῇ σου· Κύψον, ἵνα παρέλθωμεν· καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω τοῖς παραπορευομένοις.

15. Quia ego Deus tuus, qui conturbo mare, et sonare facio fluctus ejus : Dominus sabaoth nomen mihi.

16. Ponam verba mea in ore tuo, et sub umbra manus meæ protegam te, in qua statui cœlum, et fundavi terram : et dicet Sion : Populus meus es tu.

17. Exsurge, exsurge, elevare, Jerusalem, quæ bibisti de manu Domini calicem furoris ejus : calicem enim ruinæ, condy furoris ebibisti et evacuasti,

18. et non erat qui consolaretur te ex omnibus filiis tuis quos genuisti, et non erat qui apprehenderet manum tuam, neque ex omnibus filiis tuis quos exaltasti.

19. Quare hæc contraria tibi, quis contristabitur tecum? Ruina et contritio, fames et gladius : quis consolabitur te?

20. Filii tui, indigentes, dormientes in capite omnis viæ sicut beta semicocta, pleni furoris Domini, deficientes per Dominum Deum.

21. Propterea audi, humiliata, et ebria non a vino.

22. Sic dicit Dominus Deus qui judicat populum suum : Ecce tuli de manu tua calicem ruinæ, condy furoris mei, et non adjicies bibere illum ultra :

23. et dabo eum in manus eorum qui te inique oppresserunt et humiliaverunt, qui dixerunt animæ tuæ : Inclinare, ut transeamus : et posuisti æqualia terræ media tua foris transeuntibus.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

1. Ἐξεγείρου, ἐξεγείρου, Σιών· ἔνδυσαι τὴν ἰσχύν σου, Σιών· καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου, Ἱερουσαλὴμ, πόλις ἡ ἁγία· οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος.

2. Ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι· κάθισον, Ἱερουσαλήμ· ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σιών.

3. Ὅτι τάδε λέγει Κύριος· Δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε.

4. Οὕτως λέγει Κύριος· Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρότερον παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους βίᾳ ἤχθησαν·

5. καὶ νῦν τί ἐστὲ ὧδε; Τάδε λέγει Κύριος· Ὅτι ἐλήφθη ὁ λαός μου δωρεὰν, θαυμάζετε καὶ ὀλολύζετε. Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.

6. Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν πάρειμι·

7. ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά. Ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιὼν, βασιλεύσει σου ὁ Θεός.

8. Ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται· ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ Κύριος τὴν Σιών.

CAPUT LII.

1. Exsurge, exsurge, Sion : induere fortitudine tua, Sion : et tu induere gloria tua, Jerusalem, civitas sancta : nequaquam ultra adjiciet ut pertranseat per te incircumcisus et immundus.

2. Excute pulverem et surge : sede, Jerusalem : solve vinculum colli tui, captiva filia Sion.

3. Quia hæc dicit Dominus : Gratis venumdati estis, et non cum argento redimemini.

4. Sic dicit Dominus : In Ægyptum descendit populus meus prius ut peregrinaretur ibi, et in Assyrios violenter abducti sunt :

5. et nunc quid estis hic? Hæc dicit Dominus : Quia ablatus est populus meus gratis, admiramini et ululate. Hæc dicit Dominus : Propter vos semper nomen meum blasphematur in gentibus.

6. Propterea sciet populus meus nomen meum in die illa, quia ego ipse qui loquebar adsum :

7. sicut hora super montes, sicut pedes evangelizantis auditum pacis, sicut evangelizans bona. Quia auditam faciam salutem meam, dicens : Sion, regnabit Deus tuus.

8. Quia vox custodientium te exaltata est, et voce simul lætabuntur : quia oculi ad oculos videbunt, quando miseratus fuerit Dominus Sion.

9. Ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλὴμ, ὅτι ἠλέησε Κύριος αὐτὴν, καὶ ἐῤῥύσατο Ἱερουσαλήμ.

10. Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ Θεοῦ ἡμῶν.

11. Ἀπόστητε, ἀπόστητε, ἐξέλθατε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε· ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου,

12. ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ φυγῇ πορεύσεσθε. Προπορεύσεται γὰρ πρότερος ὑμῶν Κύριος, καὶ ὁ ἐπισυνάγων ὑμᾶς, Θεὸς Ἰσραήλ.

13. Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα.

14. Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοὶ, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων.

15. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.

9. Erumpant lætitiam simul deserta Jerusalem, quia misertus est Dominus ejus, et eruit Jerusalem.

10. Et revelabit Dominus brachium sanctum suum in conspectu cunctarum gentium, et videbunt omnes fines terræ salutem quæ a Deo nostro.

11. Recedite, recedite, egredimini inde, et immundum nolite tangere : exite de medio ejus, separamini, qui portatis vasa Domini,

12. quia non cum tumultu exibitis, neque cum fuga ibitis. Præcedet enim prior vobis Dominus, et qui congregat vos, Deus Israel.

13. Ecce intelliget puer meus, et exaltabitur, et glorificabitur valde.

14. Sicut stupebunt super te multi, sic ingloria erit ab hominibus species tua, et gloria tua a filiis hominum.

15. Sic mirabuntur gentes multæ super eo, et continebunt reges os suum : quia quibus non est annuntiatum de eo, videbunt, et qui non audierunt, intelligent.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

1. Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;

2. Ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ· Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος·

3. ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη.

4. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει·

5. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτὸν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.

6. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν,

7. καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα.

8. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.

9. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ.

10. Καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ βούλεται Κύριος

11. ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει.

CAPUT LIII.

1. Domine, quis credidit auditui nostro, et brachium Domini cui revelatum est?

2. Annuntiavimus quasi parvulum in conspectu ejus, sicut radix in terra sitienti : Non est species ei, neque gloria : et vidimus eum, et non habebat speciem neque decorem :

3. sed species ejus in honorata, et deficiens præ filiis hominum. Homo in plaga positus, et sciens ferre infirmitatem, quia aversa est facies ejus, despecta, et non reputata.

4. Iste peccata nostra portat, et pro nobis dolet, et nos reputavimus eum esse in labore, et in plaga, et in afflictione.

5. Ipse autem vulneratus est propter peccata nostra, et infirmatus est propter iniquitates nostras : disciplina pacis nostræ super eum, livore ejus nos sanati sumus.

6. Omnes quasi oves erravimus : homo in via sua erravit. Et Dominus tradidit eum propter iniquitates nostras,

7. et ipse propter afflictionem non aperit os suum. Sicut ovis ad victimam ductus est, et sicut agnus coram tondente mutus, sic non aperit os.

8. In humilitate judicium ejus sublatum est. Generationem ejus quis enarrabit? Quia tollitur de terra vita ejus, ab iniquitatibus populi mei ductus est ad mortem.

9. Et dabo pessimos pro sepultura ejus, et divites pro morte illius : quia iniquitatem non fecit, neque dolum in ore suo.

10. Et Dominus vult mundare eum a plaga. Si dederitis pro peccato, anima vestra videbit semen longævum. Et vult Dominus

11. auferre de dolore animam ejus, ostendere ei lucem, et formare intelligentia, justificare justum bene servientem multis, et peccata eorum ipse portabit.

12. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

12. Propterea ipse possidebit multos, et fortium dividet spolia: pro eo quod tradita est ad mortem anima ejus, et in iniquis reputatus est, et ipse peccata multorum tulit, et propter iniquitates eorum traditus est.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

1. Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Εἶπε γὰρ Κύριος·
2. Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαιῶν σου· πῆξον, μὴ φείσῃ· μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον·
3. ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον· καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς.
4. Μὴ φοβοῦ, ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ ἔτι.
5. Ὅτι Κύριος ὁ ποιῶν σε, Κύριος σαβαὼθ ὄνομα αὐτῷ· καὶ ὁ ῥυσάμενός σε, αὐτὸς Θεὸς Ἰσραὴλ, πάσῃ τῇ γῇ κληθήσεται.
6. Οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ Κύριος, οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην, εἶπεν ὁ Θεός σου.
7. Χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου ἐλεήσω σε.
8. Ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε, εἶπεν ὁ ῥυσάμενός σε Κύριος.
9. Ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοι ἐστὶ, καθότι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ, μὴ θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι,
10. μηδὲ ἐν ἀπειλῇ σου τὰ ὄρη μεταστήσεσθαι, οὐδ' οἱ βουνοί σου μετακινηθήσονται. Οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης σου οὐ μὴ μεταστῇ· εἶπε γὰρ ἵλεώς σοι, Κύριε.
11. Ταπεινὴ καὶ ἀκατάστατος οὐ παρεκλήθης. Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου σάπφειρον,
12. καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτοὺς,
13. καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ· καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου.
14. Καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ. Ἀπέχου ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.
15. Ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ, καὶ παροικήσουσί σοι, καὶ ἐπὶ σὲ καταφεύξονται.
16. Ἰδοὺ ἐγὼ ἔκτισά σε, οὐχ ὡς χαλκεὺς φυσῶν ἄνθρακας, καὶ ἐκφέρων σκεῦος εἰς ἔργον· ἐγὼ δὲ ἔκτισά σε, οὐκ εἰς ἀπώλειαν φθεῖραι.
17. Πᾶν σκεῦος σκευαστὸν ἐπὶ σὲ οὐκ εὐοδώσω· καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ. Ἔστι κληρονομία τοῖς θεραπεύουσι Κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει Κύριος.

CAPUT LIV.

1. Lætare, sterilis quæ non paris: erumpe et clama, quæ non parturis: quia multi filii desertæ quam ejus quæ habet virum. Dicit enim Dominus:
2. Dilata locum tabernaculi tui et aulæorum tuorum: fige, ne parcas: protende funiculos tuos, et palos tuos conforta:
3. adhuc in dextris et sinistris dilata: et semen tuum possidebit gentes, et civitates desertas habitare facies.
4. Noli timere, quia confusa es, neque confundaris, quia exprobratum tibi est: confusionem enim æternam oblivisceris, et opprobrii viduitatis tuæ memor non eris ultra.
5. Quia Dominus qui facit te, Dominus sabaoth nomen illi: et qui eruit te, ipse Deus Israel, omni terræ vocabitur.
6. Non ut mulierem derelictam et pusillanimem vocavit te Dominus, neque ut mulierem quæ ab adolescentia odiosa est, dixit Deus tuus.
7. Tempore modico reliqui te, et cum misericordia magna miserebor tui.
8. In furore parvo averti faciem meam a te, et in misericordia sempiterna miserebor tui, dixit qui eruit te Dominus.
9. Ab aqua quæ fuit sub Noe hoc mihi est, sicut juravi ei in tempore illo terræ, nequaquam ultra irasci super te,
10. neque in comminatione tua montes transferre, neque colles tui transferentur. Sic neque quæ a me tibi misericordia deficiet, nec testamentum pacis tuæ auferetur: dixit enim propitius tibi, Domine:
11. Humilis et instabilis non habuisti consolationem. Ecce ego præparo tibi carbunculum lapidem tuum, et fundamenta tua sapphirum,
12. et ponam propugnacula tua Iaspin, et portas tuas lapides crystalli, et murum tuum lapides electos,
13. et omnes filios tuos discipulos Dei: et in multa pace filii tui.
14. Et in justitia ædificaberis. Recede ab iniquo, et non timebis, et tremor non appropinquabit tibi.
15. Ecce proselyti accedent ad te per me, et coloni erunt tui, et ad te confugient.
16. Ecce ego creavi te, non ut ærarius sufflans prunas, et proferens vas in opus: ego autem creavi te, non in perditionem interficere.
17. Omne vas quod factum est contra te non prosperabo: et omnis vox surget contra te in judicium, omnes eos vinces, et obnoxii tui erunt in ea. Est hæreditas servientibus Domino, et vos eritis mihi justi, dicit Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

1. Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ

CAPUT LV.

1. Qui sititis, ite ad aquam, et quotquot non habetis pe-

ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγετε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ.

2. Ἱνατί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν.

3. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου· εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαυὶδ τὰ πιστά.

4. Ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτὸν ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν.

5. Ἔθνη ἃ οὐκ οἴδασίν σε ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε.

6. Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε. Ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν,

7. ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν.

8. Οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, λέγει Κύριος.

9. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου.

10. Ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν,

11. οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου· οὐ μὴ ἀποστραφῇ, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ ἐντάλματά μου.

12. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. Τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις.

13. Καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. Καὶ ἔσται Κύριος εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

cuniam, euntes emite, et comedite sine argento et pretio vinum et adipem.

2. Quare emitis pecunia, et laborem vestrum non in saturitatem? Audite me, et comedite bona, et delectabitur in bonis anima vestra.

3. Attendite auribus vestris, et sequimini vias meas: exaudite me, et vivet in bonis anima vestra, et constituam vobis testamentum æternum, sancta David fidelia.

4. Ecce testimonium in gentibus dedi eum principem et præcipientem gentibus.

5. Gentes quæ nesciebant te invocabunt te, et populi qui ignorabant te ad te confugient, propter Dominum Deum tuum sanctum Israel, quia glorificavit te.

6. Quærite Dominum, et in inveniendo eum invocate. Et postquam vobis appropinquaverit,

7. relinquat impius vias suas, et vir iniquus cogitationes suas, et convertatur ad Dominum, et misericordiam consequetur, quia multum dimittet peccata vestra.

8. Neque enim sunt cogitationes meæ sicut cogitationes vestræ, nec sicut viæ meæ viæ vestræ, dicit Dominus.

9. Sed sicut distat cœlum a terra, sic distat via mea a viis vestris, et cogitationes vestræ a cogitatione mea.

10. Quomodo enim si descendat pluvia aut nix de cœlo, et non revertatur donec inebriet terram, et generet, et oriatur, et det semen seminanti, et panem ad comedendum,

11. sic erit verbum meum, quod exierit de ore meo: non revertetur, donec compleat quæ volui, et prosperas faciam vias tuas, et præcepta mea.

12. In lætitia enim egrediemini, et in gaudio docebemini. Montes enim et colles exilient exspectantes vos in gaudio, et omnia ligna agri applaudent ramis.

13. Et pro stœba ascendet cyparissus, et pro conyza ascendet myrtus. Et erit Dominus in nomen, et in signum sempiternum, et non deficiet.

ΚΕΦΑΛΑΙΟΝ ΝϚ'.

1. Τάδε λέγει Κύριος· Φυλάσσεσθε κρίσιν καὶ ποιήσατε δικαιοσύνην, ἤγγικε γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι.

2. Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα, καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυλάσσων τὰ σάββατα μὴ βεβηλοῦν, καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα.

3. Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος πρὸς Κύριον· Ἀφοριεῖ με ἄρα Κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ. Καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ξύλον ἐγώ εἰμι ξηρόν.

4. Τάδε λέγει Κύριος τοῖς εὐνούχοις· Ὅσοι ἂν φυλάξωνται τὰ σάββατά μου, καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς διαθήκης μου,

5. δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων· ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει.

CAPUT LVI.

1. Hæc dicit Dominus: Custodite judicium et facite justitiam, quia juxta est salutare meum ut adveniat, et misericordia mea ut reveletur.

2. Beatus vir qui facit hæc, et homo qui retinet ista, et custodit sabbata ut non profanet ea, et servat manus suas ne faciat iniqua.

3. Ne dicat alienigena qui appositus est Domino: Separabit me utique Dominus a populo suo. Et ne dicat eunuchus, quia ego sum lignum aridum.

4. Hæc dicit Dominus eunuchis: Quicumque custodierint sabbata mea, et elegerint quæ ego volo, et tenuerint testamentum meum,

5. dabo eis in domo mea, et in muro meo locum nominatum, meliorem filiis et filiabus: nomen sempiternum dabo eis, et non deficiet.

6. Καὶ τοῖς ἀλλογενέσι τοῖς προσκειμένοις Κυρίῳ, δουλεύειν αὐτῷ καὶ ἀγαπᾷν τὸ ὄνομα Κυρίου, τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας· καὶ πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου μὴ βεβηλοῦν, καὶ ἀντεχομένους τῆς διαθήκης μου,

7. εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. Τὰ ὁλοκαυτώματα αὐτῶν καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου. Ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν,

8. εἶπε Κύριος ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ· ὅτι συνάξω ἐπ' αὐτὸν συναγωγήν.

9. Πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε· φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ.

10. Ἴδετε ὅτι ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν· κύνες ἐνεοὶ οὐ δυνήσονται ὑλακτεῖν· ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυστάξαι.

11. Καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονήν. Καί εἰσι πονηροί, οὐκ εἰδότες σύνεσιν· πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ. (*)

6. Et alienigenis qui additi sunt Domino, servire ei et diligere nomen ejus, ut sint ei in servos et ancillas : et omnes qui custodiunt sabbata mea ut non violent ea, et tenent testamentum meum,

7. inducam illos in montem sanctum meum, et lætificabo eos in domo orationis meæ. Holocaustomata eorum et victimæ eorum erunt acceptabiles super altare meum. Domus enim mea domus orationis vocabitur cunctis gentibus,

8. dixit Dominus qui congregat dispersos Israel : quia congregabo ad eum congregationem.

9. Omnes bestiæ feræ, venite : comedite, omnes bestiæ sylvæ.

10. Videte quoniam excæcati sunt omnes, non cognoverunt : canes muti non poterunt latrare : somniantes lectulum, amantes dormitationem.

11. Et canes impudentes animo, ignorantes saturitatem. Et sunt mali, nescientes intelligentiam : omnes vias suas secuti sunt, unusquisque juxta suum.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

1. Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος,

2. ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου.

3. Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης.

4. Ἐν τίνι ἐνετρυφήσατε, καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν, καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Οὐχ ὑμεῖς ἐστὲ τέκνα ἀπωλείας, σπέρμα ἄνομον,

5. οἱ παρακαλοῦντες εἴδωλα ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν ἀναμέσον τῶν πετρῶν;

6. Ἐκείνη σου ἡ μερίς, οὗτός σου ὁ κλῆρος, κἀκείνοις ἐξέχεας σπονδάς, καὶ τούτοις ἀνήνεγκας θυσίας. Ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι;

7. Ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας σου,

8. καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνά σου. Ὤου ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις; Ἠγάπησας τοὺς κοιμωμένους μετὰ σοῦ,

9. καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ, καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου, καὶ ἐταπεινώθης ἕως ᾅδου.

10. Ταῖς πολυοδίαις σου ἐκοπίασας, καὶ οὐκ εἶπας· Παύσομαι ἐνισχύουσα, ὅτι ἔπραξας ταῦτα, διὰ τοῦτο οὐ κατεδεήθης μου σύ.

11. Τίνα εὐλαβηθεῖσα ἐφοβήθης; καὶ ἐψεύσω με, καὶ οὐκ ἐμνήσθης, οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιαν, οὐδὲ εἰς τὴν καρδίαν σου; Καὶ ἐγώ σε ἰδὼν παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης.

CAPUT LVII.

1. Videte quomodo justus periit, et nemo suscipit corde, et viri justi tolluntur, et nemo considerat. A facie enim iniquitatis ablatus est justus,

2. erit in pace sepultura ejus, ablatus est de medio.

3. Vos autem accedite huc, filii iniqui, semen adulterorum et meretricis.

4. In quo oblectati estis, et super quem aperuistis os vestrum, et super quem ejecistis linguam vestram? Nonne vos estis filii perditionis, semen iniquum,

5. qui vocatis idola subter frondosas arbores, immolantes filios vestros in vallibus in medio petrarum?

6. Illa est pars tua, hæc est sors tua, et illis effudisti libamina, et his obtulisti hostias. Super his ergo non irascar?

7. Super montem excelsum et sublimem, illic cubile tuum, et illuc ascendere fecisti hostias tuas,

8. et post ostii tui postes posuisti memorialia tua. Putabas quoniam si recessisses a me, plus aliquid haberes? Dilexisti dormientes tecum,

9. et multiplicasti fornicationem tuam cum eis, multosque fecisti eos qui procul a te, et misisti legatos ultra terminos tuos, et humiliata es usque ad inferos.

10. Multis itineribus tuis laborasti, et non dixisti : Desinam confortata, quia fecisti hæc, propterea non rogasti me.

11. Quem timens perterrita es? et mentita es mihi, nec recordata es mei, neque sumpsisti me in mentem, neque in cor tuum? Et ego te videns despicio, et me non timuisti.

(*) 11. ... πλεονέκτημοι ἅμα, ἀπ' ἄκρου αὐτοῦ.

12. Δεῦτε, λάβωμεν οἶνον, καὶ οἰνοφλυγήσωμεν μέθην, καὶ ἔσται τοιαύτη ἡμέρα αὔριον μεγάλη μᾶλλον σφόδρα. (*Compl.*)

11. ... *Suam* avaritiam, a summo ejus.

12. Venite, sumamus vinum, et inebriemur ebrietate, et erit talis dies crastina magna abundanter nimis.

12. Καὶ ἐγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην σου, καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσει σε·

13. ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας ἄνεμος λήψεται, καὶ ἀποίσει καταιγίς. Οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν μου,

14. καὶ ἐροῦσι· Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδοὺς, καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου.

15. Τάδε λέγει ὁ Ὕψιστος ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ἐν ἁγίοις, ὄνομα αὐτῷ, Ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν.

16. Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα.

17. Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ.

18. Τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτὸν, καὶ παρεκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινὴν,

19. εἰρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. Καὶ εἶπε Κύριος· Ἰάσομαι αὐτούς·

20. οἱ δὲ ἄδικοι κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ δυνήσονται.

21. Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

1. Ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν.

2. Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσιν, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. Αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι,

3. λέγοντες· Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε.

4. Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινὸν, ἱνατί μοι νηστεύετε ὡς σήμερον, ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν;

5. Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ, οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν.

6. Οὐχὶ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει Κύριος, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα.

7. Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει.

8. Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ

12. Et ego annuntiabo justitiam tuam, et mala tua, quæ non proderunt tibi:

13. cum clamaveris, eruant te in tribulatione tua: istos enim omnes tollet ventus, et auferet tempestas. Qui autem innituntur mihi possidebunt terram, et hæreditate consequentur montem sanctum meum,

14. et dicent: Mundas facite a facie ejus vias, et auferte offendicula de via populi mei.

15. Hæc dicit Excelsus in excelsis habitans in æternum, sanctus in sanctis, nomen illi, Excelsus in sanctis requiescens, et pusillanimis dans patientiam, et dans vitam his qui corde contriti sunt.

16. Non in æternum ulciscar in vos, neque semper irascar vobis: spiritus enim a me egredietur, et flatum omnem ego feci.

17. Propter peccatum ad modicum quid contristavi eum, et percussi eum, et averti faciem meam ab eo, et contristatus est, et ambulavit tristis in viis suis.

18. Vias ejus vidi, et sanavi eum, et consolatus sum illum, et dedi ei consolationem veram,

19. pacem super pacem his qui longe et qui prope sunt. Et dixit Dominus: Sanabo eos:

20. qui autem iniqui sunt fluctuabunt, et quiescere non poterunt.

21. Non est gaudium impiis, dixit Deus.

CAPUT LVIII.

1. Clama in fortitudine, et ne parcas: quasi tuba exalta vocem tuam, et annuntia populo meo peccata eorum, et domui Jacob iniquitates eorum.

2. Me de die in diem quærunt, et scire vias meas volunt, quasi gens quæ justitiam fecerit, et judicium Dei sui non dereliquerit. Petunt me nunc judicium justum, et appropinquare Deo cupiunt,

3. dicentes: Quare jejunavimus, et non vidisti? humiliavimus animas nostras, et non cognovisti? In diebus enim jejuniorum vestrorum inveuitis voluntates vestras, et omnes subjectos vobis affligitis.

4. Si ad judicia et jurgia jejunatis, et percutitis pugnis humilem, ut quid mihi jejunatis ut hodie, audiatur in clamore vox vestra?

5. Non tale jejunium elegi, et die humiliare hominem animam suam, neque si incurvaveris quasi circulum collum tuum et cilicium, et cinerem substraveris, nec sic vocabis jejunium acceptabile.

6. Non hoc jejunium elegi, dicit Dominus, sed solve omnem colligaturam iniquitatis, dissolve obligationes violentorum contractuum, dimitte fractos in remissionem, et omnem scripturam iniquam conscinde.

7. Frange esurienti panem tuum, et pauperes sine tecto induc in domum tuam. Si videris nudum, operi, et domesticos seminis tui ne despexeris.

8. Tunc erumpet matutinum lumen tuum, et sanitates

ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε.

9. Τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰςακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι. Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ,

10. καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία,

11. καὶ ἔσται ὁ Θεός σου μετὰ σοῦ διαπαντός· καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσται ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ.

12. Καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια γενεῶν γενεαῖς, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους σου ἀναμέσον παύσεις.

13. Ἐὰν ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων, τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσεις τὰ σάββατα τρυφερὰ, ἅγια τῷ Θεῷ· οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ, οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου,

14. καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον, καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ἰακὼβ τοῦ πατρός σου· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

tuæ cito orientur : et præibit in conspectu tuo justitia tua, et gloria Dei circumdabit te.

9. Tunc clamabis, et Deus exaudiet te : adhuc loquente te dicet : Ecce adsum. Si abstuleris a te colligationem et ordinationem, et verbum murmurationis,

10. et dederis esurienti panem ex anima tua, et animam humiliatam saturaveris, tunc orietur in tenebris lumen tuum, et tenebræ tuæ erunt sicut meridies,

11. et erit Deus tuus tecum semper : et impleberis sicut desiderat anima tua, et ossa tua pinguescent, et erunt sicut hortus ebrius, et sicut fons cui non defecit aqua.

12. Et ædificabuntur tibi deserta a sæculo, et erunt fundamenta tua sempiterna generationum generationibus, et vocaberis ædificator sepium, et semitas tuas in medio quiescere facies.

13. Si averteris pedem tuum a sabbatis, ut non facias voluntates tuas in die sancta, et vocabis sabbata delicata, sancta Deo : non tolles pedem tuum ad opus, neque loqueris verbum in ira de ore tuo,

14. et eris confidens super Dominum, et elevabit te super bona terræ, et cibabit te hæreditate Jacob patris tui : os enim Domini locutum est hæc.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

1. Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰςακοῦσαι;

2. Ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀναμέσον ὑμῶν καὶ ἀναμέσον τοῦ Θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι.

3. Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις· τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ.

4. Οὐδεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή. Πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενὰ, ὅτι κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν.

5. Ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν· καὶ ὁ μέλλων τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον, εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον.

6. Ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ἔργων αὐτῶν· τὰ γὰρ ἔργα αὐτῶν ἔργα ἀνομίας·

7. οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι, ταχινοὶ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν διαλογισμοὶ ἀπὸ φόνων· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν,

8. καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασι, καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν· αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην.

9. Διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη· ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν.

10. Ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι, καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνήσκοντες στενάξουσιν,

CAPUT LIX.

1. Numquid non valet manus Domini salvos facere? aut gravavit aurem suam ut non exaudiat?

2. Sed peccata vestra separant inter vos et Deum, et propter peccata vestra avertit faciem a vobis ne misereatur.

3. Manus enim vestræ inquinatæ sunt sanguine, et digiti vestri in peccatis : labia autem vestra locuta sunt iniquitatem, et lingua vestra injustitiam meditatur.

4. Nemo loquitur justa, neque est judicium verum. Fidunt in vanis, et loquuntur inania, quia parturiunt dolorem, et pariunt iniquitatem.

5. Ova aspidum fregerunt, et telam araneæ texunt : et qui de ovis eorum comedere voluerit, frangens putridum, reperiet etiam in eo regulum.

6. Tela eorum non erit in vestimentum, neque operientur de operibus suis : opera enim eorum opera iniquitatis :

7. et pedes eorum ad malitiam currunt, veloces ad effundendum sanguinem, et cogitationes eorum cogitationes de homicidiis : contritio et miseria in viis eorum,

8. et viam pacis non cognoverunt, et non est judicium in viis eorum : semitæ enim eorum perversæ, quas transeunt, et nesciunt pacem.

9. Propterea recessit judicium ab eis, et non apprehendet eos justitia : cum exspectarent lucem factæ sunt eis tenebræ, præstolantes splendorem in obscuritate ambularunt.

10. Palpabunt sicut cæci parietem, et quasi non habentes oculos attrectabunt, et cadent in meridie quasi in nocte media, quasi morientes gement,

11. ὡς ἄρκος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται. Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν.

12. Πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. Αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν.

13. Ἠσεβήσαμεν καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ὄπισθεν τοῦ Θεοῦ ἡμῶν· ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν· ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους,

14. καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν· ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι' εὐθείας οὐκ ἐδύναντο διελθεῖν.

15. Καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι. Καὶ εἶδε Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις.

16. Καὶ εἶδε, καὶ οὐκ ἦν ἀνὴρ, καὶ κατενόησε, καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος· καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο.

17. Καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς, καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως, καὶ τὸ περιβόλαιὸν αὐτοῦ,

18. ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναντίοις... (*)

19. Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα Κυρίου, καὶ οἱ ἀπ' ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον. Ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ Κυρίου, ἥξει μετὰ θυμοῦ.

20. Καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ.

21. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπε Κύριος· τὸ πνεῦμα τὸ ἐμὸν, ὅ ἐστιν ἐπὶ σοὶ, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου· εἶπε γὰρ Κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

1. Φωτίζου, φωτίζου, Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν.

2. Ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται·

3. καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου.

4. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται.

5. Τότε ὄψῃ, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν καὶ λαῶν,

6. καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γαιφά. Πάντες ἐκ Σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ λίβανον οἴσουσι, καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται.

---

18. ... αὐτοῦ, ἀμυνὰν τοὺς ἐχθροὺς αὐτοῦ, ταῖς νήσοις ἀνταπόδωμα ἀνταποδώσει. (*Ex Grab.*)

11. quasi ursus et quasi columba pariter ambulabunt. Exspectavimus judicium, et non est salus, longe recessit a nobis.

12. Multa enim est iniquitas nostra in conspectu tuo, et peccata nostra restiterunt nobis. Iniquitates enim nostræ in nobis sunt, et injustitias nostras cognovimus.

13. Impie egimus et mentiti sumus, et recessimus a Deo nostro : locuti sumus iniqua, et inobedientes fuimus : parturivimus, et meditati sumus de cordibus nostris verba iniqua,

14. et recessimus a judicio, et justitia longe stetit : quia consumpta est in viis eorum veritas, et per rectum iter transire non poterant.

15. Et veritas sublata est, et transtulerunt mentem ab intelligendo. Et vidit Dominus, et non placuit ei, quoniam non erat judicium.

16. Et vidit, et non erat vir, et consideravit, et non erat qui defenderet : et ultus est eos brachio suo, et misericordia sustinuit.

17. Et indutus est justitiam quasi loricam, et posuit galeam salutis in capite, et circumdatus est vestimento vindictæ, et pallio suo,

18. quasi retributurus retributionem opprobrium adversariis.

19. Et timebunt qui ab occidente nomen Domini, et qui ab ortu solis nomen inclytum. Veniet enim quasi fluvius violentus ira a Domino, veniet cum furore.

20. Et veniet propter Sion qui liberat, et avertet impietates a Jacob.

21. Et hoc erit eis a me testamentum, dixit Dominus : spiritus meus, qui est in te, et verba quæ dedi in ore tuo, non deficient de ore tuo, et ex ore seminis tui : ait enim Dominus ex nunc et in æternum.

CAPUT LX.

1. Illuminare, illuminare, Jerusalem, venit enim lumen tuum, et gloria Domini super te orta est.

2. Ecce tenebræ operient terram, et caligo super gentes : super te autem apparebit Dominus, et gloria illius in te videbitur :

3. et ambulabunt reges in lumine tuo, et gentes in splendore tuo.

4. Leva in circuitu oculos tuos, et vide congregatos filios tuos : venerunt omnes filii tui de longe, et filiæ tuæ super humeros portabuntur.

5. Tunc videbis, et timebis, et stupebis corde, quoniam transferentur in te divitiæ maris, et gentium et populorum,

6. et venient tibi greges camelorum, et operient te cameli Madiam et Gæpha. Omnes de Saba venient ferentes aurum, et thus deferent, et salutare Domini annuntiabunt.

---

18. ... suis, vindictam inimicis suis, insulis retributionem retribuet.

7. Καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονται, καὶ κριοὶ Ναβαιὼθ ἥξουσι, καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται.

8. Τίνες οἵδε, ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νοσσοῖς ἐπ' ἐμέ;

9. Ἐμὲ αἱ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσὶς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐτῶν, καὶ διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι.

10. Καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ ὀργήν μου ἐπάταξά σε, καὶ διὰ ἔλεον ἠγάπησά σε.

11. Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διαπαντὸς, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους.

12. Τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται.

13. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα, δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου.

14. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων σε καὶ παροξυνάντων σε (*), καὶ κληθήσῃ πόλις Σιὼν ἁγίου Ἰσραήλ·

15. διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς.

16. Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι· καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ἐξαιρούμενός σε Θεὸς Ἰσραήλ.

17. Καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον· ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκὸν, ἀντὶ δὲ λίθων σίδηρον. Καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ·

18. καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα, οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται σωτήριον τὰ τείχη σου, καὶ αἱ πύλαι σου γλύμμα.

19. Καὶ οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σου τὴν νύκτα, ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου.

20. Οὐ γὰρ δύσεται ὁ ἥλιός σοι, καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει· ἔσται γάρ σοι Κύριος φῶς αἰώνιον, καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου.

21. Καὶ ὁ λαός σου πᾶς δίκαιος, δι' αἰῶνος κληρονομήσουσι τὴν γῆν, φυλάσσων τὸ φύτευμα, ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν.

22. Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα· ἐγὼ Κύριος κατὰ καιρὸν συνάξω αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

1. Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν,

(*) 14. ... καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε· ... (*Schol. Rom.*)

7. Et omnes oves Cedar congregabuntur, et arietes Nabæoth venient, et offerentur acceptabilia super altare meum, et domus orationis meæ glorificabitur.

8. Quinam isti, ut nubes volant, et sicut columbæ cum pullis ad me?

9. Me insulæ exspectarunt, et naves Tharsis in primis, ut adducant filios tuos de longe, et argentum et aurum eorum cum eis, et propter nomen Domini sanctum, et quia sanctus Israel glorificatus est.

10. Et ædificabunt alienigenæ muros tuos, et reges eorum assistent tibi : propter iram enim meam percussi te, et propter misericordiam dilexi te.

11. Et aperientur portæ tuæ semper, die ac nocte non claudentur, ut introducant ad te fortitudinem gentium, et reges earum qui adducendi sunt.

12. Gentes enim et reges, qui non servient tibi, peribunt, et gentes solitudine desolabuntur.

13. Et gloria Libani ad te veniet, in cyparisso et pino et cedro simul, ut glorificetur locus sanctus meus.

14. Et ibunt ad te timentes filii eorum qui te humiliaverunt et irritaverunt te, et vocaberis civitas Sion sancti Israel :

15. pro eo quod fuisti derelicta et odio habita, et non erat qui auxiliaretur. Et ponam te exsultationem æternam, gaudium generationum generationibus.

16. Et suges lac gentium, et divitias regum comedes : et scies quia ego Dominus qui salvabo te, et qui eruo te Deus Israel.

17. Et pro ære afferam tibi aurum, et pro ferro afferam tibi argentum : et pro lignis afferam tibi æs, et pro lapidibus ferrum. Et dabo principes tuos in pace, et episcopos tuos in justitia :

18. et non audietur ultra iniquitas in terra tua, neque contritio, neque miseria in finibus tuis, sed vocabuntur salutare muri tui, et portæ tuæ sculptura.

19. Et non erit tibi sol ultra in lucem diei, neque ortus lunæ lumen præbebit tibi nocte, sed erit tibi Dominus lux æterna, et Deus gloria tua.

20. Non enim occidet sol tibi, et luna tibi non deficiet : erit enim tibi Dominus lux sempiterna, et complebuntur dies luctus tui.

21. Et populus tuus omnis justus, semper possidebunt terram, custodiens plantationem, opera manuum suarum in gloriam.

22. Qui paucus est erit in millia, et qui minimus in gentem magnam : ego Dominus in tempore congregabo eos.

CAPUT LXI.

1. Spiritus Domini super me, propter quod unxit me, evangelizare pauperibus misit me, sanare contritos corde, prædicare captivis remissionem, et cæcis visum,

14. ... et adorabunt vestigia pedum tuorum omnes qui exacerbaverunt te : ...

2. καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας,

3. δοθῆναι τοῖς πενθοῦσι Σιὼν αὐτοῖς δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσιν, κατάστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν.

4. Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς γενεάς.

5. Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί.

6. Ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ, ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε.

(*) 7. Οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν.

8. Ἐγὼ γάρ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας. Καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς.

9. Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν. Πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα ηὐλογημένον ὑπὸ Θεοῦ,

10. καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ·

11. καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος Κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.

2. vocare annum Domini acceptabilem, et diem retributionis, consolari omnes lugentes,

3. ut detur lugentibus Sion gloria eis pro cinere, unctio lætitiæ lugentibus, secundum stolam gloriæ pro spiritu mœroris: et vocabuntur generationes justitiæ, plantatio Domini in gloriam.

4. Et ædificabunt deserta sempiterna, quæ desolata fuerant prius suscitabunt, et innovabunt civitates desertas, desolatas in generationes.

5. Et venient alienigenæ pascentes oves tuas, et aliarum gentium aratores et vinitores.

6. Vos autem sacerdotes Domini vocabimini, ministri Dei, fortitudinem gentium comedetis, et in divitiis earum eritis admirabiles.

7. Sic terram secundo possidebunt, et gaudium sempiternum erit super caput eorum.

8. Ego enim sum Dominus qui diligo justitiam, et odi rapinas ex iniquitate. Et dabo laborem eorum justis, et testamentum æternum disponam eis.

9. Et scietur in gentibus semen eorum, et nepotes eorum in medio populorum. Omnis qui viderit eos cognoscet illos, quia isti sunt semen benedictum a Deo,

10. et lætitia lætabuntur super Dominum. Exsultet anima mea in Domino: induit enim me vestimento salutis et tunica lætitiæ, sicut sponso circumposuit mihi mitram, et sicut sponsam ornavit me mundo muliebri:

11. et sicut terram efferentem florem suum, et sicut hortus semina sua, sic germinare faciet Dominus Dominus justitiam et exsultationem in conspectu omnium gentium.

ΚΕΦΑΛΑΙΟΝ ΞΒʹ.

1. Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται·

2. καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομα τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό.

3. Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου.

4. Καὶ οὐκέτι κληθήσῃ Καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρημος. Σοὶ γὰρ κληθήσεται, Θέλημα ἐμὸν, καὶ τῇ γῇ σου, οἰκουμένη, ὅτι εὐδόκησε Κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται.

5. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται, ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

6. Καὶ ἐπὶ τῶν τειχῶν σου, Ἱερουσαλὴμ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνησκόμενοι Κυρίου.

7. Οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος. Ἐὰν διορθώσῃ, καὶ ποιήσῃ Ἱερουσαλὴμ γαυρίαμα ἐπὶ τῆς γῆς·

CAPUT LXII.

1. Propter Sion non tacebo, et propter Jerusalem non relinquam, donec egrediatur sicut lumen justitia ejus, et salutare meum sicut lampas ardebit:

2. et videbunt gentes justitiam tuam, et reges gloriam tuam, et vocabit te nomen novum, quod Dominus nominabit illud.

3. Et eris corona decoris in manu Domini, et diadema regni in manu Dei tui.

4. Et nequaquam ultra vocaberis Derelicta, et terra tua non vocabitur adhuc deserta. Tibi enim vocabitur, voluntas mea, et terræ tuæ, habitata, quia complacuit Domino in te, et terra tua cohabitabitur.

5. Et sicut habitans juvenis cum virgine, sic habitabunt filii tui: et erit, quomodo lætabitur sponsus super sponsa, sic lætabitur super te Dominus.

6. Et super muros tuos, Jerusalem, constitui custodes tota die et tota nocte, qui numquam tacebunt recordantes Domini.

7. Non est enim vestri similis. Si correxerit, et fecerit Jerusalem gaudium super terram:

(*) 7. Ἀντὶ τῆς αἰσχύνης ὑμῶν διπλῆς καὶ ἐντροπῆς ἀγαλλιάσονται μερὶς αὐτῶν... (*Ex Grab.*)

7. Pro pudore vestro duplici et confusione exsultabit portio eorum....

8. ὤμοσε Κύριος κατὰ τῆς δόξης αὐτοῦ, καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ, εἰ ἔτι δώσω τὸν σῖτόν σου, καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου, ἐφ' ᾧ ἐμόχθησας.

9. Ἀλλ' οἱ συναγαγόντες φάγονται αὐτὰ, καὶ αἰνέσουσι Κύριον, καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου.

10. Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη.

11. Ἰδοὺ γὰρ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ Σωτήρ σοι παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθὸν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ.

12. Καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου· σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

1. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; Οὕτως ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος; Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου.

2. Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;

3. Πλήρης καταπεπατημένης, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ· καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.

4. Ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι.

5. Καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός· καὶ προσενόησα, καὶ οὐθεὶς ἀντελαμβάνετο. Καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη,

6. καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.

7. Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἐν πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ.

8. Καὶ εἶπεν· Οὐχ ὁ λαός μου; τέκνα οὐ μὴ ἀθετήσωσι. Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν

9. ἐκ πάσης θλίψεως αὐτῶν. Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτοὺς, διὰ τὸ ἀγαπᾷν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν. Αὐτὸς ἐλυτρώσατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

10. Αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ. Καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, αὐτὸς ἐπολέμησεν αὐτοὺς,

11. καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων. Ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων; ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον;

12. Ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; Κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον.

13. Ἤγαγεν αὐτοὺς δι' ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν,

14. καὶ ὡς κτήνη διὰ πεδίου. Κατέβη πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου, ποιῆσαι σεαυτῷ ὄνομα δόξης.

8. juravit Dominus per gloriam suam, et per fortitudinem brachii sui, si ultra dedero triticum tuum, et cibos tuos inimicis tuis, et si ultra biberint filii alieni vinum tuum, in quo laborasti.

9. Sed qui congregaverint comedent ea et laudabunt Dominum, et qui congregaverint bibent ea in atriis sanctis meis.

10. Ite per portas meas, et viam facite populo meo, et lapides de via projicite, levate signum in gentes.

11. Ecce enim Dominus fecit auditum usque ad extremum terræ. Dicite filiæ Sion : Ecce Salvator tuus venit habens mercedem suam, et opus suum ante faciem suam.

12. Et vocabit eum populum sanctum, redemptum a Domino : tu autem vocaberis requisita civitas, et non derelicta.

CAPUT LXIII.

1. Quis est iste qui venit de Edom, rubor vestium de Bosor? Sic formosus in stola, violentia cum fortitudine? Ego loquor justitiam et judicium salutaris.

2. Quare rubra sunt vestimenta tua, et indumenta tua sicut de calcato torculari?

3. Plenus percalcato, et de gentibus non est vir mecum : et conculcavi eos in furore meo, et confregi eos quasi terram, et deduxi sanguinem eorum in terram.

4. Dies enim retributionis venit eis, et annus redemptionis adest.

5. Et aspexi, et non erat auxiliator : et consideravi, et nullus præbebat auxilium. Et eruit eos brachium meum, et furor meus advenit,

6. et conculvavi eos in ira mea, et deduxi in terram sanguinem eorum.

7. Misericordiæ Domini recordatus sum, virtutum Domini in omnibus quæ retribuit nobis. Dominus judex bonus domui Israel, adducit nobis secundum misericordiam suam, et secundum multitudinem justitiæ suæ.

8. Et dixit : Nonne populus meus? filii non reprobabunt. Et factus est eis in salutem

9. ex omni tribulatione eorum. Non legatus, neque angelus, sed ipse salvavit eos, quod diligeret eos et parceret eis. Ipse redemit eos, et suscepit illos, et exaltavit eos omnibus diebus sæculi.

10. Ipsi autem non crediderunt, et exacerbaverunt spiritum sanctum ejus. Et conversus est eis in inimicitiam, ipse pugnavit contra eos,

11. et recordatus est dierum antiquorum. Ubi est qui eduxit e mari pastorem ovium? ubi est qui posuit in eis spiritum sanctum?

12. Qui eduxit dextra Moysem, brachium gloriæ suæ? Superavit aquam a facie ejus, ut faceret sibi nomen sempiternum.

13. Adduxit eos per abyssum, sicut equum per solitudinem, et non laboraverunt,

14. et sicut jumenta per campum. Descendit spiritus a Domino, et dux eorum fuit : sic adduxisti populum tuum, ut faceres tibi nomen gloriæ.

15. Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης σου. Ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν;

16. Σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ, Κύριε πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς· ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι.

17. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; Ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου,

18. ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. (*)

19. Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

1. Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται,

2. ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου ἐν τοῖς ὑπεναντίοις. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται,

3. ὅταν ποιῇς τὰ ἔνδοξα· τρόμος λήψεται ἀπὸ σοῦ ὄρη.

4. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλὴν σοῦ, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον.

5. Συναντήσεται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. Διὰ τοῦτο ἐπλανήθημεν,

6. καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς, ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν· καὶ ἐξεῤῥύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν. Οὕτως ἄνεμος οἴσει ἡμᾶς,

7. καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου. Ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

8. Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σύ· ἡμεῖς δὲ πηλὸς, ἔργα τῶν χειρῶν σου πάντες.

9. Μὴ ὀργίζου ἡμῖν σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον, ὅτι λαός σου πάντες ἡμεῖς.

10. Πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, Σιὼν ὡς ἔρημος ἐγενήθη, Ἱερουσαλὴμ εἰς κατάραν.

11. Ὁ οἶκος τὸ ἅγιον ἡμῶν, καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα ἔνδοξα ἡμῶν συνέπεσε.

12. Καὶ ἐπὶ πᾶσι τούτοις ἀνέσχου, Κύριε, καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

1. Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. Εἶπα· Ἰδού εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσάν μου τὸ ὄνομα.

(*) 18. ... οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. (*Alex.*)

15. Convertere de cœlo, et vide de domo sancta tua et gloriæ tuæ. Ubi est zelus tuus et fortitudo tua? Ubi est multitudo misericordiæ tuæ, et miserationum tuarum, quia sustinuisti nos?

16. Tu enim es pater noster, quia Abraam non cognovit nos, et Israel non cognovit nos, sed tu, Domine pater noster, libera nos : a principio nomen tuum super nos est.

17. Quare seduxisti nos, Domine, de via tua? Indurasti corda nostra, ne timeremus te? Convertere propter servos tuos, propter tribus hæreditatis tuæ,

18. ut modicum possideamus montis sancti tui.

19. Facti sumus quasi a principio, cum non dominareris nostri, neque invocatum esset nomen tuum super nos.

CAPUT LXIV.

1. Si aperueris cœlum, tremor apprehendet ex te montes, et liquescent,

2. sicut cera a facie ignis liquescit, et comburet ignis adversarios, et manifestum erit nomen tuum in adversariis. A facie tua gentes turbabuntur,

3. cum feceris gloriosa : tremor apprehendet ex te montes.

4. A sæculo non audivimus, neque oculi nostri viderunt Deum præter te, et opera tua, quæ facies exspectantibus misericordiam.

5. Occurret enim facientibus justitiam, et viarum tuarum recordabuntur. Ecce tu iratus es, et nos peccavimus. Idcirco erravimus,

6. et facti sumus quasi immundi omnes nos, ut pannus sedentis omnis justitia nostra : et defluximus quasi folia propter iniquitates nostras. Sic ventus auferet nos,

7. et non est qui invocet nomen tuum, et qui recordatus apprehendat te. Quoniam avertisti faciem tuam a nobis, et tradidisti nos propter peccata nostra.

8. Et nunc, Domine, pater noster tu : nos autem lutum, opera manuum tuarum omnes.

9. Ne irascaris nobis nimis, et ne in tempore memineris peccatorum nostrorum. Et nunc respice, quoniam populus tuus omnes nos.

10. Civitas sancti tui facta est deserta, Sion quasi solitudo facta est, Jerusalem in maledictionem.

11. Domus sanctuarium nostrum, et gloria cui benedixerunt patres nostri, facta est igni combusta, et omnia gloriosa nostra conciderunt.

12. Et super omnibus his sustinuisti, Domine, et tacuisti, et humiliasti nos valde.

CAPUT LXV.

1. Manifestus factus sum non interrogantibus me, inventus sum ab his qui me non quærebant. Dixi : Ecce ego genti, qui non vocaverunt nomen meum.

---

18. .. hostes nostri conculcaverunt sanctificationem tuam

2. Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν·

3. ὁ λαὸς οὗτος ὁ παροξύνων με ἐναντίον ἐμοῦ διαπαντός. Αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις, καὶ θυμιῶσιν ἐπὶ ταῖς πλίνθοις τοῖς δαιμονίοις ἃ οὐκ ἔστιν·

4. ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται διὰ ἐνύπνια, οἱ ἔσθοντες κρέας ὕειον, καὶ ζωμὸν θυσιῶν· μεμολυμμένα πάντα τὰ σκεύη αὐτῶν,

5. οἱ λέγοντες· Πόῤῥω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καθαρός εἰμι. Οὗτος καπνὸς τοῦ θυμοῦ μου, πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας.

6. Ἰδοὺ γέγραπται ἐνώπιόν μου· Οὐ σιωπήσω ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν

7. τὰς ἁμαρτίας αὐτῶν καὶ τῶν πατέρων αὐτῶν, λέγει Κύριος. Οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων, καὶ ἐπὶ τῶν βουνῶν ὠνείδισάν με, ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν.

8. Οὕτως λέγει Κύριος· Ὃν τρόπον εὑρεθήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι· Μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ, οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι, τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας.

9. Καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου, καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ·

10. καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με.

11. Ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν καὶ πληροῦντες τῇ τύχῃ κέρασμα,

12. ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες ἐν σφαγῇ πεσεῖσθε· ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε· ἐλάλησα, καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε.

13. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε·

14. ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν ὀλολύξετε.

15. Καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ Κύριος· τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν,

16. ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσι γὰρ τὸν Θεὸν τὸν ἀληθινόν· καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν Θεὸν τὸν ἀληθινόν. Ἐπιλήσονται γὰρ τὴν θλῖψιν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν.

17. Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδ' οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν,

18. ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ· ὅτι ἰδοὺ ἐγὼ ποιῶ ἀγαλλίαμα Ἱερουσαλὴμ, καὶ τὸν λαόν μου εὐφροσύνην·

2. Expandi manus meas tota die ad populum incredulum et contradicentem, qui ambulabant in via non bona, sed post peccata sua :

3. populus hic qui exacerbat me in conspectu meo semper. Ipsi immolant in hortis, et adolent incensum super laterem dæmonibus qui non sunt :

4. in sepulcris et specubus dormiunt propter somnia, qui comedunt carnem suillam, et jus hostiarum : inquinata omnia vasa eorum,

5. qui dicunt : Longe a me, ne appropinques mihi, quoniam mundus sum. Iste est fumus furoris mei, ignis ardet in eo cunctis diebus.

6. Ecce scriptum est in conspectu meo : Non tacebo donec retribuam in sinum eorum

7. peccata sua et patrum suorum, dicit Dominus. Qui adolebant incensum super montes, et super colles exprobraverunt mihi, reddam opera eorum in sinum eorum.

8. Sic dicit Dominus : Quomodo invenietur acinum in botro, et dicent : Ne perdas illud, quia benedictio est in eo, sic faciam propter servientem mihi, propter hunc non disperdam omnes.

9. Et educam quod de Jacob semen et de Juda, et hæreditabit montem sanctum meum, et hæreditabunt electi mei et servi mei, et habitabunt ibi :

10. et erunt in saltu ovilia gregum, et vallis Achor in requiem armentorum populo meo, qui requisierunt me.

11. Vos autem qui dereliquistis me, et obliti estis montis sancti mei, et paratis dæmoni mensam et impletis fortunæ potionem,

12. ego tradam vos in gladium, omnes in mactationem cadetis : quia vocavi vos, et non obedistis : locutus sum, et contempsistis, et fecistis malum in conspectu meo, et quæ nolebam elegistis.

13. Propterea hæc dicit Dominus : Ecce qui serviunt mihi manducabunt, vos autem esurietis : ecce qui serviunt mihi bibent, vos autem sitietis :

14. ecce qui serviunt mihi lætabuntur, vos autem confundemini : ecce qui serviunt mihi exsultabunt in lætitia, vos autem clamabitis propter dolorem cordis vestri, et propter contritionem spiritus vestri ululabitis.

15. Relinquetis enim nomen vestrum in saturitatem electis meis, vos autem interficiet Dominus : servientibus autem mihi vocabitur nomen novum,

16. cui benedicetur super terram : benedicent enim Deum verum : et qui jurant super terram jurabunt Deum verum. Obliviscentur enim tribulationis prioris, et non ascendet super cor eorum.

17. Erit enim cœlum novum et terra nova, et non recordabuntur priorum, et non venient super cor eorum,

18. sed gaudium et exsultationem invenient in ea : quia ecce ego facio exsultationem Jerusalem, et populum meum lætitiam :

19. καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλὴμ, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου· καὶ οὐκέτι μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ, καὶ φωνὴ κραυγῆς,

20. οὐδ' οὐ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ. Ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται.

21. Καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ αὐτοὶ ἐνοικήσουσι· καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν.

22. Οὐ μὴ οἰκοδομήσουσι, καὶ ἄλλοι ἐνοικήσουσι, καὶ οὐ μὴ φυτεύσουσι, καὶ ἄλλοι φάγονται· κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου· τὰ γὰρ ἔργα τῶν πόνων αὐτῶν παλαιώσουσιν.

23. Οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενὸν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν, ὅτι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ ἐστι, καὶ τὰ ἔκγονα αὐτῶν μετ' αὐτῶν.

24. Καὶ ἔσται, πρὶν ἢ κεκράξαι αὐτοὺς, ἐγὼ ὑπακούσομαι αὐτῶν· ἔτι λαλούντων αὐτῶν ἐρῶ· Τί ἐστι;

25. Τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον· οὐκ ἀδικήσουσιν, οὐδὲ λυμανοῦνται ἐπὶ τὸ ὄρει τῷ ἁγίῳ μου, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Ξϛ'.

1. Οὕτως λέγει Κύριος· Ὁ οὐρανός μου θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου;

2. Πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἔστιν ἐμὰ πάντα ταῦτα, λέγει Κύριος. Καὶ ἐπὶ τίνα ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου;

3. Ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον, ὡς ὁ ἀποκτέννων κύνα· ὁ δὲ ἀναφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον· ὁ διδοὺς λίβανον εἰς μνημόσυνον, ὡς βλάσφημος. Καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἡ ψυχὴ αὐτῶν ἠθέλησε,

4. καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς. Ὅτι ἐκάλεσα αὐτοὺς, καὶ οὐχ ὑπήκουσάν μου· ἐλάλησα, καὶ οὐκ ἤκουσαν, καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον ἐμοῦ, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξαντο.

5. Ἀκούσατε ῥήματα Κυρίου, οἱ τρέμοντες τὸν λόγον αὐτοῦ· εἴπατε, ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ, καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν, καὶ ἐκεῖνοι αἰσχυνθήσονται.

6. Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ Κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις.

7. Πρὶν τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν.

8. Τίς ἤκουσε τοιοῦτο, καὶ τίς ἑώρακεν οὕτως, εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ, ἢ καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς;

9. Ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπε Κύριος. Οὐκ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα, εἶπεν ὁ Θεός σου;

10. Εὐφράνθητι, Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε ἐν

19. et exsultabo super Jerusalem, et lætabor super populo meo : et non ultra audietur in ea vox fletus, et vox clamoris,

20. neque fiet ibi ultra immaturus et senex, qui non impleat tempus suum. Erit enim adolescens centum annorum, qui autem moritur peccator centenarius, etiam maledictus erit.

21. Et ædificabunt domos, et ipsi inhabitabunt : et plantabunt vineas, et ipsi comedent genimina earum.

22. Non ædificabunt, et alii inhabitabunt, et non plantabunt, alii vero comedent : etenim secundum dies ligni vitæ erunt dies populi mei : opera enim laborum suorum inveterascere facient.

23. Electi mei non laborabunt in vacuum, neque filios generabunt in maledictionem, quia semen benedictum a Deo est, et nepotes eorum cum eis.

24. Et erit, antequam ipsi clament, ego exaudiam eos : adhuc loquentibus illis dicam : Quid est?

25. Tunc lupi et agni pascentur simul, et leo quasi bos comedet paleas, serpens autem terram quasi panem : non nocebunt, neque corrumpent in monte sancto meo, dicit Dominus.

CAPUT LXVI.

1. Sic dicit Dominus : Cœlum thronus meus, et terra suppedaneum pedum meorum. Quam mihi domum ædificabitis? aut quis locus requietis meæ?

2. Omnia enim ista fecit manus mea, et mea sunt omnia ista, dicit Dominus. Et super quem respiciam nisi super humilem et quietum, et trementem sermones meos?

3. Iniquus autem qui immolat mihi vitulum, quasi qui occidat canem : qui autem offert similam, quasi sanguinem suillum : qui dat thus in memoriale, quasi blasphemus. Et ipsi elegerunt vias suas, et abominationes suas anima eorum voluit,

4. et ego eligam illusiones eorum, et peccata retribuam eis. Quia vocavi eos, et non obedierunt mihi : locutus sum, et non audierunt, et fecerunt malum in conspectu meo, et quæ nolebam elegerunt.

5. Audite verba Domini, qui tremitis sermonem ejus : dicite, fratres nostri, iis qui oderunt vos et abominantur, ut nomen Domini glorificetur, et appareat in lætitia eorum, et illi confundentur.

6. Vox clamoris de civitate, vox de templo, vox Domini retribuentis retributionem adversariis.

7. Antequam parturiens pariat, antequam veniat labor parturiginum, effugit et peperit masculum.

8. Quis audivit tale, et quis vidit sic, si parturivit terra in die una, aut etiam nata est gens tota simul, quia parturivit et peperit Sion parvulos suos?

9. Ego autem dedi exspectationem hanc, et non recordata es mei, dicit Dominus. Nonne ego parientem et sterilem feci, dixit Deus tuus?

10. Lætare, Jerusalem, et conventum facite in ea, omnes

αὐτῇ, πάντες οἱ ἀγαπῶντες αὐτήν· χάρητε ἅμα αὐτῇ χαρᾷ, πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ,

11. ἵνα θηλάσητε, καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς·

12. ὅτι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν. Τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται.

13. Ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε.

14. Καὶ ὄψεσθε, καὶ χαρήσεται ἡ καρδία ὑμῶν, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ. Καὶ γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς φοβουμένοις αὐτὸν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν.

15. Ἰδοὺ γὰρ Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν αὐτοῦ, καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός.

16. Ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου.

17. Οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον, καὶ τὰ βδελύγματα, καὶ τὸν μῦν, ἐπιτοαυτὸ ἀναλωθήσονται, εἶπε Κύριος.

18. Κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν, ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου.

19. Καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη εἰς Θαρσὶς, καὶ Φοὺδ, καὶ Λοὺδ, καὶ Μοσὸχ, καὶ εἰς Θοβὲλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὰς νήσους τὰς πόῤῥω, οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὔτε ἑωράκασί μου τὴν δόξαν. Καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι,

20. καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον Κυρίῳ, μεθ' ἵππων καὶ ἁρμάτων, ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων, εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, εἶπε Κύριος, ὡς ἀνενέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν ἐμοὶ μετὰ ψαλμῶν εἰς τὸν οἶκον Κυρίου.

21. Καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ Λευΐτας, εἶπε Κύριος.

22. Ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ, ἃ ἐγὼ ποιῶ, μένει ἐνώπιον ἐμοῦ, λέγει Κύριος, οὕτω στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν.

23. Καὶ ἔσται μὴν ἐκ μηνὸς, καὶ σάββατον ἐκ σαββάτου· ἥξει πᾶσα σὰρξ τοῦ προςκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλὴμ, εἶπε Κύριος.

24. Καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

qui diligitis eam : gaudete simul cum ea gaudio, qui lugetis super eam,

11. ut sugatis, et impleamini ab ubere consolationis ejus, ut postquam suxeritis delectemini ab introitu gloriæ ejus :

12. quia hæc dicit Dominus : Ecce ego declino ad eos quasi fluvius pacis, et quasi torrens inundans gloriam gentium. Parvuli eorum in humeris portabuntur, et super genua consolabuntur.

13. Quomodo si quem mater consoletur, ita et ego consolabor vos, et in Jerusalem consolabimini.

14. Et videbitis, et gaudebit cor vestrum, et ossa vestra sicut herba germinabunt. Et cognoscetur manus Domini timentibus eum, et minabitur contumacibus.

15. Ecce enim Dominus sicut ignis veniet, et sicut procella currus ejus, reddere in furore ultionem suam, et increpationem suam in flamma ignis.

16. In igne enim Domini judicabitur omnis terra, et in gladio illius universa caro : multi vulnerati erunt a Domino.

17. Qui purificantur et mundantur in hortis, et in liminibus comedentes carnem porcinam, et abominationes, et murem, simul consumentur, dixit Dominus.

18. Et ego opera eorum et cogitationem eorum, venio congregare omnes gentes et linguas, et venient et videbunt gloriam meam.

19. Et dimittam super eos signum, et emittam ex eis qui salvati fuerint ad gentes in Tharsis, et Phud, et Lud, et Mosoch, et in Thobel, et in Græciam, et in insulas quæ longe, qui non audierunt nomen meum, neque viderunt gloriam meam. Et annuntiabunt gloriam meam in gentibus,

20. et adducent fratres vestros de omnibus nationibus donum Domino, cum equis et rhedis, in lampenis mulorum cum umbraculis, in sanctam civitatem Jerusalem, dixit Dominus, quasi afferant filii Israel victimas suas mihi cum psalmis in domum Domini.

21. Et ex eis sumam sacerdotes et Levitas, dixit Dominus.

22. Sicut enim cœlum novum et terra nova, quæ ego facio, permanent in conspectu meo, dicit Dominus, sic stabit semen vestrum et nomen vestrum.

23. Et erit mensis ex mense, et sabbatum ex sabbato: veniet omnis caro ut adoret in conspectu meo in Jerusalem, dixit Dominus.

24. Et egredientur, et videbunt cadavera hominum qui prævaricati sunt in me : vermis enim eorum non morietur, et ignis eorum non exstinguetur, et erunt in visionem omni carni.

ΙΕΡΕΜΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α′.

1. Τὸ ῥῆμα τοῦ Θεοῦ, ὃ ἐγένετο ἐπὶ Ἱερεμίαν τὸν τοῦ Χελκίου, ἐκ τῶν ἱερέων, ὃς κατῴκει ἐν Ἀναθὼθ ἐν γῇ Βενιαμείν·

2. ὡς ἐγενήθη λόγος τοῦ Θεοῦ πρὸς αὐτὸν ἐν ταῖς ἡμέραις Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα, ἔτους τριςκαιδεκάτου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

3. Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἰωακεὶμ υἱοῦ Ἰωσία βασιλέως Ἰούδα, ἕως ἑνδεκάτου ἔτους τοῦ Σεδεκία υἱοῦ Ἰωσία βασιλέως Ἰούδα, ἕως τῆς αἰχμαλωσίας Ἱερουσαλὴμ ἐν τῷ πέμπτῳ μηνί.

4. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς αὐτόν·

5. Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σὲ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε· προφήτην εἰς ἔθνη τέθεικά σε.

6. Καὶ εἶπα· Ὦ ὤν, δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερος ἐγώ εἰμι.

7. Καὶ εἶπε Κύριος πρὸς μέ· Μὴ λέγε, ὅτι νεώτερος ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἐὰν ἐξαποστείλω σε, πορεύσῃ, καὶ κατὰ πάντα ὅσα ἐὰν ἐντείλωμαί σοι, λαλήσεις.

8. Μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι μετὰ σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος.

9. Καὶ ἐξέτεινε Κύριος τὴν χεῖρα αὐτοῦ πρὸς μὲ, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπε Κύριος πρὸς μέ· Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου.

10. Ἰδοὺ καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας, ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολύειν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν.

11. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων· Τί σὺ ὁρᾷς; Καὶ εἶπα· Βακτηρίαν καρυΐνην.

12. Καὶ εἶπε Κύριος πρὸς μέ· Καλῶς ἑώρακας, διότι ἐγρήγορα ἐγὼ ἐπὶ τοὺς λόγους μου τοῦ ποιῆσαι αὐτούς.

13. Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου πρὸς μὲ, λέγων· Τί σὺ ὁρᾷς; Καὶ εἶπα· Λέβητα ὑποκαιόμενον, καὶ τὸ πρόσωπον αὐτοῦ ἀπὸ προσώπου βοῤῥᾶ.

14. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἀπὸ προσώπου βοῤῥᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

15. Διότι ἰδοὺ ἐγὼ συγκαλῶ πάσας τὰς βασιλείας τῆς γῆς ἀπὸ βοῤῥᾶ, λέγει Κύριος. Καὶ ἥξουσι, καὶ θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν Ἱερουσαλὴμ, καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ αὐτῆς, καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα.

16. Καὶ λαλήσω πρὸς αὐτοὺς μετὰ κρίσεως περὶ πάσης τῆς κακίας αὐτῶν, ὡς ἐγκατέλιπόν με, καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις, καὶ προσεκύνησαν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

17. Καὶ σὺ περίζωσαι τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ εἶπον πάντα ὅσα ἂν ἐντέλλομαί σοι. Μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, μηδὲ πτοηθῇς ἐναντίον αὐτῶν, ὅτι μετὰ σοῦ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος.

18. Ἰδοὺ τέθεικά σε ἐν τῇ σήμερον ἡμέρᾳ ὡς πόλιν

HIEREMIAS.

CAPUT I.

1. Verbum Dei, quod factum est ad Jeremiam filium Chelciæ, de sacerdotibus, qui habitabat in Anathoth in terra Benjamin :

2. sicut factum est verbum Dei ad illum in diebus Josiæ filii Amos regis Juda, anno tertio decimo in regno ejus.

3. Et factum est in diebus Joacim filii Josiæ regis Juda, usque ad undecimum annum Sedeciæ filii Josiæ regis Juda, usque ad captivitatem Jerusalem in quinto mense.

4. Et factum est verbum Domini ad eum :

5. Antequam formarem te in utero, novi te, et antequam exires de vulva, sanctificavi te : prophetam in gentes posui te.

6. Et dixi : O On, dominator Domine, ecce nescio loqui, quia junior ego sum.

7. Et dixit Dominus ad me : Noli dicere, quia junior ego sum, quoniam ad omnes ad quos misero te, ibis, et juxta omnia quæ mandavero tibi, loqueris.

8. Ne timeas a facie eorum, quia ego tecum sum ut eruam te, dicit Dominus.

9. Et extendit Dominus manum suam ad me, et tetigit os meum, et dixit Dominus ad me : Ecce dedi verba mea in os tuum.

10. Ecce constitui te hodie super gentes et super regna, ut eradices, et destruas, et disperdas, et reædifices, et plantes.

11. Et factum est verbum Domini ad me, dicens : Quid tu vides? Et dixi : Baculum nuceum.

12. Et dixit Dominus ad me : Bene vidisti, quia vigilavi ego super verba mea ut faciam illa.

13. Et factum est verbum Domini secundo ad me, dicens : Quid tu vides? Et dixi : Ollam succensam, et faciem ejus a facie aquilonis.

14. Et dixit Dominus ad me : A facie aquilonis exardescent mala super omnes habitatores terræ.

15. Quia ecce ego convoco omnia regna terræ ab aquilone, ait Dominus. Et venient, et ponent unusquisque solium suum super vestibula portarum Jerusalem, et super omnes muros qui in circuitu ejus, et super universas urbes Judæ.

16. Et loquar ad eos cum judicio de omni malitia eorum, quomodo dereliquerunt me, et sacrificaverunt diis alienis, et adoraverunt opera manuum suarum.

17. Et tu accinge lumbum tuum, et surge, et dic omnia quæcumque mandavero tibi. Ne timeas a facie eorum, neque exterrearis coram eis, quia tecum sum ut liberem te, dicit Dominus.

18. Ecce posui te in hodierna die in civitatem munitam,

ὀχυρὰν, καὶ ὡς τεῖχος χαλκοῦν ὀχυρὸν πᾶσι τοῖς βασιλεῦσιν Ἰούδα, καὶ τοῖς ἄρχουσιν αὐτοῦ, καὶ τῷ λαῷ τῆς γῆς.

19. Καὶ πολεμήσουσί σε, καὶ οὐ μὴ δύνωνται πρὸς σὲ, διότι μετὰ σοῦ ἐγώ εἰμι, τοῦ ἐξαιρεῖσθαί σε, εἶπε Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Β'.

(*) 2. Καὶ εἶπε· Τάδε λέγει Κύριος· Ἐμνήσθην ἐλέους νεότητός σου, καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραὴλ λέγει Κύριος.

3. Ὁ ἅγιος Ἰσραὴλ τῷ Κυρίῳ, ἀρχὴ γεννημάτων αὐτοῦ· πάντες οἱ ἔσθοντες αὐτὸν πλημμελήσουσι, κακὰ ἥξει ἐπ' αὐτοὺς, φησὶ Κύριος.

4. Ἀκούσατε λόγον Κυρίου, οἶκος Ἰακὼβ, καὶ πᾶσα πατριὰ οἴκου Ἰσραήλ.

5. Τάδε λέγει Κύριος· Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν;

6. Καὶ οὐκ εἶπαν· Ποῦ ἐστι Κύριος ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ ἐν γῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ, ἐν γῇ ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνὴρ οὐθὲν, καὶ οὐ κατῴκησεν ἄνθρωπος ἐκεῖ;

7. Καὶ ἤγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον, τοῦ φαγεῖν ὑμᾶς τοὺς καρποὺς αὐτοῦ καὶ τὰ ἀγαθὰ αὐτοῦ· καὶ εἰσήλθετε, καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα.

8. Οἱ ἱερεῖς οὐκ εἶπαν· Ποῦ ἐστι Κύριος; Καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμὲ, καὶ οἱ προφῆται ἐπροφήτευον τῇ Βάαλ, καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν.

9. Διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, καὶ πρὸς τοὺς υἱοὺς τῶν υἱῶν ὑμῶν κριθήσομαι.

10. Διότι ἔλθετε εἰς νήσους Χεττιείμ, καὶ ἴδετε, καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ νοήσατε σφόδρα, καὶ ἴδετε εἰ γέγονε τοιαῦτα;

11. Εἰ ἀλλάξωνται ἔθνη θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ θεοί. Ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται.

12. Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος.

13. Ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.

14. Μὴ δοῦλός ἐστιν Ἰσραὴλ, ἢ οἰκογενής ἐστι; Διατί εἰς προνομὴν ἐγένετο;

15. Ἐπ' αὐτὸν ὠρύοντο λέοντες, καὶ ἔδωκαν τὴν φωνὴν αὐτῶν οἳ ἔταξαν τὴν γῆν αὐτοῦ εἰς ἔρημον, καὶ αἱ πόλεις αὐτοῦ κατεσκάφησαν, παρὰ τὸ μὴ κατοικεῖσθαι.

16. Καὶ υἱοὶ Μέμφεως καὶ Τάφνας ἔγνωσάν σε, καὶ κατέπαιζόν σου.

17. Οὐχὶ ταῦτα ἐποίησέ σοι τὸ καταλιπεῖν σὲ ἐμὲ, λέγει Κύριος ὁ Θεός σου.

(*) 1. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς μὲ, λέγων·
2. Πορεύου καὶ βόα εἰς τὰ ὦτα Ἱερουσαλὴμ, . . . ἐν τῇ ἐρήμῳ, ἐν γῇ μὴ σπαρείσῃ... (*Compl.*)

et in murum æneum munitum regibus Juda, et principibus ejus, et populo terræ.

19. Et bellabunt adversum te, et non prævalebunt adversum te, quia tecum ego sum, ut liberem te, ait Dominus.

CAPUT II.

2. Et dixit : Hæc dicit Dominus : Recordatus sum misericordiæ adolescentiæ tuæ, et dilectionis perfectionis tuæ, quando tu secuta es sanctum Israel, dicit Dominus.

3. Sanctus Israel Domino, principium geniminum ejus : omnes qui comedent eum delinquent, mala venient super eos, dicit Dominus.

4. Audite verbum Domini, domus Jacob, et omnis cognatio domus Israel.

5. Hæc dicit Dominus : Quod invenerunt patres vestri in me delictum, quia recesserunt longe a me, et ambulaverunt post vana, et vani facti sunt?

6. Et non dixerunt : Ubi est Dominus qui eduxit nos de terra Ægypti, qui deduxit nos in deserto in terra inusitata et invia, in terra inaquosa et infructuosa, in terra in qua non pertransivit in ea vir unquam, neque habitavit homo illic?

7. Et duxi vos in Carmelum, ut comederetis fructus ejus et bona ejus : et ingressi estis, et contaminastis terram meam, et hæreditatem meam posuistis in abominationem.

8. Sacerdotes non dixerunt : Ubi est Dominus? Et tenentes legem nescierunt me, et pastores impie egerunt in me, et prophetæ prophetabant in Baal, et post inutile ambulaverunt.

9. Propterea adhuc judicio contendam vobiscum, et cum filiis filiorum vestrorum judicio contendam.

10. Idcirco venite ad insulas Chettiim, et videte, et in Cedar mittite, et considerate vehementer, et videte si facta sunt hujusmodi?

11. Si mutaverint gentes deos suos, et isti non sunt dii. Populus vero meus mutavit gloriam suam in id, ex quo nihil juvabuntur.

12. Obstupuit cœlum super hoc, et inhorruit extra modum vehementer, dicit Dominus.

13. Duo enim et mala fecit populus meus : me dereliquerunt fontem aquæ vivæ, et foderunt sibi cisternas contritas, quæ non poterunt continere aquam.

14. Numquid servus est Israel, aut vernaculus est? Quare factus est in prædam?

15. Super eum rugierunt leones, et dederunt vocem suam qui posuerunt terram ejus in solitudinem, et civitates illius destructæ sunt, eo quod non habitentur.

16. Et filii Mempheos et Taphnas cognoverunt te, et illuserunt tibi.

17. Nonne hæc fecit tibi illud quod dereliquisti me, dicit Dominus Deus tuus?

1. Et factum est verbum Domini ad me, dicens :
2. Vade et clama in aures Jerusalem... in deserto, in terra quæ non seminatur...

18. Καὶ νῦν τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γηῶν; Καὶ τί σοι καὶ τῇ ὁδῷ Ἀσσυρίων, τοῦ πιεῖν ὕδωρ ποταμῶν;

19. Παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. Καὶ γνῶθι, καὶ ἴδε, ὅτι πικρόν σοι τὸ καταλιπεῖν σε ἐμὲ, λέγει Κύριος ὁ Θεός σου· καὶ οὐκ εὐδόκησα ἐπὶ σοὶ, λέγει Κύριος ὁ Θεός σου·

20. ὅτι ἀπ' αἰῶνος συνέτριψας τὸν ζυγόν σου, καὶ διέσπασας τοὺς δεσμούς σου, καὶ εἶπας· Οὐ δουλεύσω σοι, ἀλλὰ πορεύσομαι ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου κατασκίου, ἐκεῖ διαχυθήσομαι ἐν τῇ πορνείᾳ μου.

21. Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία;

22. Ἐὰν ἀποπλύνῃ ἐν νίτρῳ, καὶ πληθυνῇς σεαυτῇ ποίαν, κεκηλίδωσαι ἐν ταῖς ἀδικίαις σου ἐναντίον ἐμοῦ, λέγει Κύριος.

23. Πῶς ἐρεῖς· Οὐκ ἐμιάνθην, καὶ ὀπίσω τῆς Βάαλ οὐκ ἐπορεύθην; Ἴδε τὰς ὁδούς σου ἐν τῷ πολυανδρίῳ, καὶ γνῶθι τί ἐποίησας. Ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξε,

24. τὰς ὁδοὺς αὐτῆς ἐπλάτυνεν ἐφ' ὕδατα ἐρήμου, ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο, παρεδόθη· τίς ἐπιστρέψει αὐτήν; Πάντες οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν, ἐν τῇ ταπεινώσει αὐτῆς εὑρήσουσιν αὐτήν.

25. Ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ τραχείας, καὶ τὸν φάρυγγά σου ἀπὸ δίψους. Ἡ δὲ εἶπεν· Ἀνδριοῦμαι, ὅτι ἠγαπήκει ἀλλοτρίους, καὶ ὀπίσω αὐτῶν ἐπορεύετο.

26. Ὡς αἰσχύνη κλέπτου ὅταν ἁλῷ, οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ Ἰσραὴλ, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν.

27. Τῷ ξύλῳ εἶπαν, ὅτι πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, σὺ ἐγέννησάς με. Καὶ ἔστρεψαν ἐπ' ἐμὲ νῶτα, καὶ οὐ πρόσωπα αὐτῶν. Καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· Ἀνάστα καὶ σῶσον ἡμᾶς.

28. Καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; Εἰ ἀναστήσονται καὶ σώσουσιν ἐν καιρῷ τῆς κακώσεώς σου; Ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ κατ' ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἔθυον τῇ Βάαλ.

29. Ἱνατί λαλεῖτε πρός με; Πάντες ὑμεῖς ἠσεβήσατε, καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμὲ, λέγει Κύριος.

30. Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε. Μάχαιρα κατέφαγε τοὺς προφήτας ὑμῶν ὡς λέων ὀλοθρεύων, καὶ οὐκ ἐφοβήθητε.

31. Ἀκούσατε λόγον Κυρίου· Τάδε λέγει Κύριος· Μὴ ἔρημος ἐγενόμην τῷ Ἰσραὴλ, ἡ γῆ κεχερσωμένη; Διατί εἶπεν ὁ λαός μου· Οὐ κυριευθησόμεθα, καὶ οὐχ ἥξομεν πρὸς σὲ ἔτι;

32. Μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς, καὶ παρθένος τὴν στηθοδεσμίδα αὐτῆς; Ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας ὧν οὐκ ἔστιν ἀριθμός.

33. Τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου, τοῦ ζητῆσαι ἀγάπησιν; Οὐχ οὕτως· ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ μιᾶναι τὰς ὁδούς σου,

34. καὶ ἐν ταῖς χερσί σου εὑρέθησαν αἵματα ψυχῶν ἀθῴων. Οὐκ ἐν διορύγμασιν εὗρον αὐτοὺς, ἀλλ' ἐπὶ πάσῃ δρυΐ.

18. Et nunc quid tibi et viæ Ægypti, ut bibas aquam Geon? Et quid tibi et viæ Assyriorum, ut bibas aquam fluminum?

19. Corripiet te rebellio tua, et malitia tua arguet te. Et scito, et vide, quia amarum tibi quod dereliqueris me, dicit Dominus Deus tuus: et non complacui in te, dicit Dominus Deus tuus:

20. quia a sæculo confregisti jugum tuum, et dirupisti vincula tua, et dixisti: Non serviam tibi, sed ibo ad omnem collem excelsum, et subter omne lignum umbrosum, ibi diffundar in fornicatione mea.

21. Ego autem plantavi te vitem fructiferam omnem veram: quomodo conversa es in amaritudinem, vitis aliena?

22. Si laveris te in nitro, et multiplicaveris tibi herbam, maculata es in tuis iniquitatibus coram me, dicit Dominus.

23. Quomodo dices: Non sum polluta, et post Baal non ambulavi? Vide vias tuas in sepulcro multitudinis, et nosce quid feceris. Ad vesperam vox ejus ululavit,

24. vias suas dilatavit super aquas solitudinis, in desideriis animæ suæ spiritu portabatur, tradita est: quis convertet eam? Omnes qui quærunt illam non laborabunt, in humilitate illius reperient illam.

25. Averte pedem tuum a via aspera, et guttur tuum a siti. Illa vero dixit: Viriliter agam, quia dilexit alienos, et post eos ambulabat.

26. Sicut confusio furis cum deprehensus fuerit, sic confundentur filii Israel, ipsi et reges eorum, et principes eorum, et sacerdotes eorum, et prophetæ eorum.

27. Ligno dixerunt, quia pater meus es tu, et lapidi, tu genuisti me. Et converterunt ad me dorsa, et non facies suas. Et in tempore malorum suorum dicent: Surge et salva nos.

28. Et ubi sunt dii tui, quos fecisti tibi? Si surgent et salvabunt in tempore afflictionis tuæ? Quia juxta numerum civitatum tuarum erant dii tui, Juda, et juxta numerum viarum Jerusalem immolabant Baal.

29. Ut quid loquimini ad me? Omnes vos impie egistis, et omnes vos inique egistis in me, dicit Dominus.

30. Frustra percussi filios vestros, disciplinam non recepistis. Gladius devoravit prophetas vestros quasi leo vastator, et non timuistis.

31. Audite verbum Domini: Hæc dicit Dominus: Numquid solitudo factus sum Israeli, terra plena sentium? Cur dixit populus meus: Non serviemus, nec veniemus ultra ad te?

32. Numquid obliviscetur sponsa ornamenti sui, et virgo fasciæ pectoralis suæ? Populus autem meus oblitus est mei diebus quorum non est numerus.

33. Quod adhuc bonum adinvenies in viis tuis, ad quærendam dilectionem? Non sic: sed et tu malignata es polluendo vias tuas,

34. et in manibus tuis inventi sunt sanguines animarum innocentium. Non in fossis inveni eos, sed in omni quercu.

35. Καὶ εἶπας· Ἀθῷός εἰμι, ἀλλὰ ἀποστραφήτω ὁ θυμὸς αὐτοῦ ἀπ' ἐμοῦ. Ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ, ἐν τῷ λέγειν σε· Οὐχ ἥμαρτον.

36. Ὅτι κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου. Καὶ ἀπὸ Αἰγύπτου καταισχυνθήσῃ, καθὼς κατῃσχύνθης ἀπὸ Ἀσσοὺρ,

37. ὅτι καὶ ἐντεῦθεν ἐξελεύσῃ, καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου· ὅτι ἀπώσατο Κύριος τὴν ἐλπίδα σου, καὶ οὐκ εὐοδωθήσῃ ἐν αὐτῇ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἐὰν ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπέλθῃ ἀπ' αὐτοῦ, καὶ γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνακάμπτουσα ἀνακάμψει πρὸς αὐτὸν ἔτι; οὐ μιαινομένη μιανθήσεται ἡ γυνὴ ἐκείνη; Καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσι πολλοῖς, καὶ ἀνέκαμπτες πρὸς μὲ, λέγει Κύριος.

2. Ἆρον τοὺς ὀφθαλμούς σου εἰς εὐθεῖαν, καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης. Ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς ὡσεὶ κορώνη ἐρημουμένη, καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου καὶ ἐν ταῖς κακίαις σου,

3. καὶ ἔσχες ποιμένας πολλοὺς εἰς πρόσκομμα σεαυτῇ. Ὄψις πόρνης ἐγένετό σου, ἀπηναισχύντησας πρὸς πάντας.

4. Οὐχ ὡς οἶκόν με ἐκάλεσας καὶ πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου;

5. Μὴ διαμενεῖ εἰς τὸν αἰῶνα, ἢ φυλαχθήσεται εἰς νῖκος; Ἰδοὺ ἐλάλησας, καὶ ἐποίησας τὰ πονηρὰ ταῦτα, καὶ ἠδυνάσθης.

6. Καὶ εἶπε Κύριος πρὸς μὲ ἐν ταῖς ἡμέραις Ἰωσίου τοῦ βασιλέως· Εἶδες ἃ ἐποίησέ μοι ἡ κατοικία τοῦ Ἰσραήλ; Ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσαν ἐκεῖ.

7. Καὶ εἶπα, μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα· Πρός μὲ ἀνάστρεψον. Καὶ οὐκ ἀνέστρεψε. Καὶ εἶδε τὴν ἀσυνθεσίαν αὐτῆς ἡ ἀσύνθετος Ἰούδα. Καὶ εἶδον,

8. ὅτι περὶ πάντων ὧν κατελήφθη, ἐν οἷς ἐμοιχᾶτο ἡ κατοικία Ἰσραήλ· καὶ ἐξαπέστειλα αὐτὴν, καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς. Καὶ οὐκ ἐφοβήθη ἡ ἀσύνθετος Ἰούδα, καὶ ἐπορεύθη, καὶ ἐπόρνευσε καὶ αὐτή,

9. καὶ ἐγένετο εἰς οὐθὲν ἡ πορνεία αὐτῆς, καὶ ἐμοίχευσε τὸ ξύλον καὶ τὸν λίθον.

10. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπεστράφη πρὸς μὲ ἡ ἀσύνθετος Ἰούδα ἐξ ὅλης τῆς καρδίας αὐτῆς, ἀλλ' ἐπὶ ψεύδει.

11. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἐδικαίωσε τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰούδα.

12. Πορεύου, καὶ ἀνάγνωθι τοὺς λόγους τούτους πρὸς βοῤῥᾶν, καὶ ἐρεῖς· Ἐπιστράφηθι πρὸς μὲ, ἡ κατοικία τοῦ Ἰσραὴλ, λέγει Κύριος· καὶ μὴ στηριῶ τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, ὅτι ἐλεήμων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ μηνιῶ ὑμῖν εἰς τὸν αἰῶνα.

13. Πλὴν, γνῶθι τὴν ἀδικίαν σου· ὅτι εἰς Κύριον τὸν Θεόν σου ἠσέβησας, καὶ διέχεας τὰς ὁδούς σου εἰς ἀλλοτρίους ὑποκάτω παντὸς ξύλου ἀλσώδους, τῆς δὲ φωνῆς μου οὐχ ὑπήκουσας, λέγει Κύριος.

14. Ἐπιστράφητε, υἱοὶ ἀφεστηκότες, λέγει Κύριος, διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς, καὶ εἰσάξω ὑμᾶς εἰς Σιὼν,

35. Et dixisti : Innocens sum, sed avertatur furor ejus a me. Ecce ego judicio contendo tecum, in dicendo te : Non peccavi.

36. Quia contempsisti valde iterando vias tuas. Et ab Ægypto confunderis, sicut confusa es ab Assur,

37. quia et hinc egredieris, et manus tuæ super caput tuum : quoniam repulit Dominus spem tuam, et non prosperaberis in ea.

CAPUT III.

1. Si dimiserit vir uxorem suam, et recesserit ab eo, et facta fuerit viro alteri, numquid revertens revertetur ad eum ultra? nonne inquinata inquinabitur mulier illa? Et tu fornicata es in pastoribus multis, et revertebaris ad me, dicit Dominus.

2. Leva oculos tuos in directum, et vide ubi non fueris permista. In viis sedebas eis quasi cornix deserta, et polluisti terram in fornicationibus tuis et in malis tuis,

3. et habuisti pastores multos in offensionem tibi. Facies tua facta est meretricis, sine rubore facta es ad omnes.

4. Nonne tamquam domum me vocasti et patrem et ducem virginitatis tuæ?

5. Numquid permanebit in perpetuum, aut conservabitur in victoriam? Ecce locuta es, et fecisti mala hæc, et potuisti.

6. Et dixit Dominus ad me in diebus Josiæ regis : Vidisti quæ fecit mihi domus Israel? Iverunt super omnem montem excelsum, et subter omne lignum frondosum, et fornicati sunt ibi.

7. Et dixi, postquam fornicata erat hæc omnia : Ad me revertere. Et non est reversa. Et vidit prævaricationem ejus prævaricatrix Juda. Et viderunt,

8. quia pro omnibus in quibus deprehensa est, in quibus mœchata est domus Israel : et dimisi eam, et dedi ei libellum repudii in manus ejus Et non timuit prævaricatrix Juda, et ivit, et fornicata est etiam ipsa,

9. et facta est in nihilum fornicatio ipsius, et mœchata est lignum et lapidem.

10. Et in omnibus his non est reversa ad me prævaricatrix Juda ex toto corde suo, sed in mendacio.

11. Et dixit Dominus ad me : Justificavit animam suam Israel præ prævaricatrice Juda,

12. Vade, et lege sermones istos contra aquilonem, et dices : Revertere ad me, domus Israel, dicit Dominus : et non firmabo faciem meam super vos, quia misericors ego sum, dicit Dominus, et non irascar vobis in perpetuum.

13. Verumtamen, scito injustitiam tuam : quoniam in Dominum Deum tuum impie egisti, et effudisti vias tuas ad alienos sub omni ligno frondoso, voci autem meæ non obedisti, dicit Dominus.

14. Convertimini, filii qui recessistis, dicit Dominus, quia ego dominabor vestri, et assumam vos unum de civitate et duos ex cognatione, et introducam vos in Sion

15. καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ' ἐπιστήμης.

16. Καὶ ἔσται, ἐὰν πληθυνθῆτε, καὶ αὐξηθῆτε ἐπὶ τῆς γῆς, λέγει Κύριος, ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἐροῦσιν ἔτι, κιβωτὸς διαθήκης Ἁγίου Ἰσραήλ· οὐκ ἀναβήσεται ἐπὶ καρδίαν, οὐκ ὀνομασθήσεται, οὐδὲ ἐπισκεφθήσεται, καὶ οὐ ποιηθήσεται ἔτι.

17. Ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ καλέσουσι τὴν Ἱερουσαλὴμ θρόνον Κυρίου, καὶ συναχθήσονται πάντα τὰ ἔθνη εἰς αὐτήν, καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς.

18. Ἐν ταῖς ἡμέραις ἐκείναις συνελεύσονται ὁ οἶκος Ἰούδα ἐπὶ τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ ἥξουσιν ἐπιτοαυτὸ ἀπὸ γῆς βοῤῥᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν ἐπὶ τὴν γῆν ἣν κατεκληρονόμησα τοὺς πατέρας αὐτῶν.

19. Καὶ ἐγὼ εἶπα· Γένοιτο, Κύριε· ὅτι τάξω σε εἰς τέκνα, καὶ δώσω σοι γῆν ἐκλεκτὴν, κληρονομίαν Θεοῦ παντοκράτορος ἐθνῶν. Καὶ εἶπα· Πατέρα καλέσετέ με, καὶ ἀπ' ἐμοῦ οὐκ ἀποστραφήσεσθε.

20. Πλὴν ὡς ἀθετεῖ γυνὴ εἰς τὸν συνόντα αὐτῇ, οὕτως ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος Ἰσραὴλ, λέγει Κύριος.

21. Φωνὴ ἐκ χειλέων ἠκούσθη κλαυθμοῦ καὶ δεήσεως υἱῶν Ἰσραὴλ, ὅτι ἠδίκησαν ἐν ταῖς ὁδοῖς αὐτῶν, ἐπελάθοντο Θεοῦ ἁγίου αὐτῶν.

22. Ἐπιστράφητε, υἱοὶ, ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. Ἰδοὺ δοῦλοι ἡμεῖς ἐσόμεθά σοι, ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν εἶ.

23. Ὄντως εἰς ψεῦδος ἦσαν οἱ βουνοὶ, καὶ ἡ δύναμις τῶν ὀρέων· πλὴν διὰ Κυρίου Θεοῦ ἡμῶν ἡ σωτηρία τοῦ Ἰσραήλ.

24. Ἡ δὲ αἰσχύνη κατηνάλωσε τοὺς μόχθους τῶν πατέρων ἡμῶν ἀπὸ νεότητος ἡμῶν, τὰ πρόβατα αὐτῶν καὶ τοὺς μόσχους αὐτῶν, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν.

25. Ἐκοιμήθημεν ἐν τῇ αἰσχύνῃ ἡμῶν, καὶ ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν, διότι ἔναντι τοῦ Θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν, ἀπὸ νεότητος ἡμῶν ἕως τῆς ἡμέρας ταύτης· καὶ οὐχ ὑπηκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν.

15. et dabo vobis pastores juxta cor meum, et pascent vos pascentes cum scientia.

16. Et erit, si multiplicati eritis, et creveritis super terram, ait Dominus, in diebus illis non dicent ultra, arca testamenti Sancti Israel : neque ascendet super cor, non nominabitur, neque visitabitur, neque fiet ultra.

17. In diebus illis et in tempore illo vocabunt Jerusalem solium Domini, et congregabuntur omnes gentes ad eam, et non ambulabunt ultra post cogitationes cordis sui pessimi.

18. In diebus illis convenient domus Juda ad domum Israel, et venient simul de terra aquilonis et de omnibus regionibus ad terram quam dedi in hæreditatem patribus vestris.

19. Et ego dixi : Fiat, Domine : quia ponam te in filios, et dabo tibi terram electam, hæreditatem Dei omnipotentis gentium. Et dixi : Patrem vocabitis me, et a me non avertemini.

20. Verumtamen sicut prævaricatur mulier in cohabitantem ei, sic prævaricata est in me domus Israel, dicit Dominus.

21. Vox de labiis audita est ploratus et deprecationis filiorum Israel, quoniam injuste egerunt in viis suis, obliti sunt Dei sancti sui.

22. Revertimini, filii, revertentes, et sanabo contritiones vestras. Ecce servi nos erimus tibi, tu enim es Dominus Deus noster.

23. Vere in mendacium erant colles, et fortitudo montium : tantum per Dominum Deum nostrum salus Israel.

24. Confusio autem consumpsit labores patrum nostrorum ab adolescentia nostra, oves eorum et vitulos eorum, et filios eorum et filias eorum.

25. Dormivimus in confusione nostra, et cooperuit nos ignominia nostra, quoniam coram Deo nostro peccavimus nos, et patres nostri ab adolescentia nostra usque in diem hanc : et non obedivimus voci Domini Dei nostri.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἐὰν ἐπιστραφῇ Ἰσραὴλ, λέγει Κύριος, πρὸς μὲ, ἐπιστραφήσεται· καὶ ἐὰν περιέλῃ τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ, καὶ ἀπὸ τοῦ προσώπου μου εὐλαβηθῇ,

2. καὶ ὀμόσῃ, ζῇ Κύριος, μετὰ ἀληθείας ἐν κρίσει καὶ ἐν δικαιοσύνῃ, καὶ εὐλογήσουσιν ἐν αὐτῷ ἔθνη, καὶ ἐν αὐτῷ αἰνέσουσι τῷ Θεῷ ἐν Ἱερουσαλήμ.

3. Ὅτι τάδε λέγει Κύριος τοῖς ἀνδράσιν Ἰούδα, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλήμ· Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρητε ἐπ' ἀκάνθαις.

4. Περιτμήθητε τῷ Θεῷ ὑμῶν, καὶ περιτέμεσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ· μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμός μου, καὶ ἐκκαυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων, ἀπὸ προσώπου πονηρίας ἐπιτηδευμάτων ὑμῶν.

5. Ἀναγγείλατε ἐν τῷ Ἰούδα, καὶ ἀκουσθήτω ἐν

CAPUT IV.

1. Si conversus fuerit Israel, ait Dominus, ad me, convertetur : et si abstulerit abominationes suas de ore suo, et a facie mea reveritus fuerit,

2. et juraverit, vivit Dominus, cum veritate in judicio et justitia, et benedicent in eo gentes, et in eo laudem dicent Deo in Jerusalem.

3. Hæc enim dicit Dominus viris Juda, et habitatoribus Jerusalem : Novate vobis novalia, et nolite serere super spinas.

4. Circumcidimini Deo vestro, et circumcidite duritiam cordis vestri, viri Juda et habitatores Jerusalem : ne egrediatur ut ignis indignatio mea, et succendetur, et non erit qui exstinguat, a facie nequitiæ adinventionum vestrarum.

5. Annuntiate in Juda, et audiatur in Jerusalem : dicite :

Ἰερουσαλήμ· εἴπατε· Σημάνατε ἐπὶ τῆς γῆς σάλπιγγι, κεκράξατε μέγα, εἴπατε· Συνάχθητε, καὶ εἰςέλθωμεν εἰς τὰς πόλεις τὰς τειχήρεις,

6. ἀναλαβόντες φεύγετε εἰς Σιών· σπεύσατε, μὴ στῆτε, ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ βοῤῥᾶ, καὶ συντριβὴν μεγάλην.

7. Ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ, ἐξολοθρεύων ἔθνη ἐξῆρε, καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ, τοῦ θεῖναι τὴν γῆν εἰς ἐρήμωσιν· καὶ αἱ πόλεις καθαιρεθήσονται, παρὰ τὸ μὴ κατοικεῖσθαι αὐτάς.

8. Ἐπὶ τούτοις περιζώσασθε σάκκους, καὶ κόπτεσθε, καὶ ἀλαλάξατε, διότι οὐκ ἀπεστράφη ὁ θυμὸς Κυρίου ἀφ' ὑμῶν.

9. Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, ἀπολεῖται ἡ καρδία τοῦ βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς ἐκστήσονται, καὶ οἱ προφῆται θαυμάσονται.

10. Καὶ εἶπα· Ὦ δέσποτα Κύριε, ἆρά γε ἀπατῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὴν Ἱερουσαλήμ, λέγων· Εἰρήνη ἔσται, καὶ ἰδοὺ ἥψατο ἡ μάχαιρα ἕως τῆς ψυχῆς αὐτῶν;

11. Ἐν τῷ καιρῷ ἐκείνῳ ἐροῦσι τῷ λαῷ τούτῳ καὶ τῇ Ἱερουσαλήμ· Πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ, ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς καθαρὸν, οὐδ' εἰς ἅγιον·

12. πνεῦμα πληρώσεως ἥξει μοι· νῦν δὲ ἐγὼ λαλῶ κρίματά μου πρὸς αὐτούς.

13. Ἰδοὺ ὡς νεφέλη ἀναβήσεται, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ· κουφότεροι ἀετῶν οἱ ἵπποι αὐτοῦ. Οὐαὶ ἡμῖν, ὅτι ταλαιπωροῦμεν.

14. Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ, ἵνα σωθῇς. Ἕως πότε ὑπάρχουσιν ἐν σοὶ διαλογισμοὶ πόνων σου;

15. Διότι φωνὴ ἀγγέλλοντος ἐκ Δὰν ἥξει, καὶ ἀκουσθήσεται πόνος ἐξ ὄρους Ἐφραίμ.

16. Ἀναμνήσατε ἔθνη, ἰδοὺ ἥκασιν· ἀναγγείλατε ἐν Ἱερουσαλήμ, συστροφαὶ ἔρχονται ἐκ γῆς μακρόθεν, καὶ ἔδωκαν ἐπὶ τὰς πόλεις Ἰούδα φωνὴν αὐτῶν·

17. ὡς φυλάσσοντες ἀγρὸν ἐγένοντο ἐπ' αὐτὴν κύκλῳ, ὅτι ἐμοῦ ἠμέλησας, λέγει Κύριος.

18. Αἱ ὁδοί σου καὶ τὰ ἐπιτηδεύματά σου ἐποίησαν ταῦτά σοι· αὕτη ἡ κακία σου ὅτι πικρὰ, ὅτι ἥψατο ἕως τῆς καρδίας σου.

19. Τὴν κοιλίαν μου, τὴν κοιλίαν μου ἀλγῶ, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου, μαιμάσσει ἡ ψυχή μου, σπαράσσεται ἡ καρδία μου. Οὐ σιωπήσομαι, ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου, κραυγὴν πολέμου

20. καὶ ταλαιπωρίας, συντριμμὸν ἐπικαλεῖται, ὅτι τεταλαιπώρηκε πᾶσα ἡ γῆ, ἄφνω τεταλαιπώρηκεν ἡ σκηνὴ, διεσπάσθησαν αἱ δέῤῥεις μου.

21. Ἕως πότε ὄψομαι φεύγοντας, ἀκούων φωνὴν σαλπίγγων;

22. Διότι οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν. Υἱοὶ ἄφρονές εἰσι καὶ οὐ συνετοὶ, σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἐπέγνωσαν.

23. Ἐπέβλεψα ἐπὶ τὴν γῆν, καὶ ἰδοὺ οὐθὲν, καὶ εἰς τὸν οὐρανὸν, καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ.

24. Εἶδον τὰ ὄρη, καὶ ἦν τρέμοντα, καὶ πάντας τοὺς βουνοὺς ταρασσομένους.

25. Ἐπέβλεψα, καὶ ἰδοὺ οὐκ ἦν ἄνθρωπος, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐπτοεῖτο.

Significate super terram tuba, clamate fortiter, dicite : Congregamini, et ingrediamur in civitates muratas,

6. assumentes fugite in Sion : festinate, nolite stare, quia mala ego adduco ab aquilone, et contritionem magnam.

7. Ascendit leo de cubili suo, exterminans gentes levavit se, et egressus est de loco suo, ut ponat terram in solitudinem : et civitates destruentur, eo quod non habitentur.

8. Super his accingite vos ciliciis, et plangite, et ululate, quia non est aversus furor Domini a vobis.

9. Et erit in die illa, dicit Dominus, peribit cor regis et cor principum, et obstupescent sacerdotes, et prophetæ mirabuntur.

10. Et dixi : O dominator Domine, ergone decipiens decepisti populum istum et Jerusalem, dicens : Pax erit, et ecce tetigit gladius usque ad animam eorum?

11. In tempore illo dicent populo huic et Jerusalem : Spiritus erroris in deserto, via filiæ populi mei non ad purum, neque ad sanctum :

12. spiritus repletionis veniet mihi : nunc autem ego loquor judicia mea adversus eos.

13. Ecce quasi nubes ascendet, et quasi tempestas currus ejus : leviores aquilis equi ejus. Væ nobis, quia miseri vexamur.

14. Lava a malitia cor tuum, Jerusalem, ut salva fias. Usquequo subsistunt in te cogitationes laborum tuorum?

15. Vox enim annuntiantis e Dan veniet, et audietur dolor de monte Ephraim.

16. Commonefacite gentes, ecce venerunt : annuntiate in Jerusalem, catervæ veniunt de terra longinqua, et dederunt super civitates Juda vocem suam :

17. quasi custodes agri facti sunt super eam in circuitu, quia me neglexisti, dicit Dominus.

18. Viæ tuæ et adinventiones tuæ fecerunt hæc tibi : ista malitia tua quia amara, quia tetigit usque ad cor tuum.

19. Ventrem meum, ventrem meum doleo, et sensoria cordis mei, fluctuat anima mea, dilaceratur cor meum. Non tacebo, quoniam vocem tubæ audivit anima mea, clamorem prælii

20. et miseriæ, contritionem advocat, quia vastata est omnis terra, repente vastatum est tabernaculum, dilaceratæ sunt pelles meæ.

21. Usquequo videbo fugientes, audiens vocem tubarum?

22. Quia duces populi mei me non cognoverunt. Filii insipientes sunt et non intelligentes, sapientes sunt ut faciant mala, bene autem facere nescierunt.

23. Aspexi super terram, et ecce nihil, et in cœlum, et non erant lumina ejus.

24. Vidi montes, et erant trementes, et omnes colles turbatos.

25. Inspexi, et ecce non erat homo, et omnia volatilia cœli pavebant.

26. Εἶδον, καὶ ἰδοὺ ὁ Κάρμηλος ἔρημος, καὶ πᾶσαι αἱ πόλεις ἐμπεπυρισμέναι πυρὶ ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ προσώπου ὀργῆς θυμοῦ αὐτοῦ ἠφανίσθησαν.

27. Τάδε λέγει Κύριος· Ἔρημος ἔσται πᾶσα ἡ γῆ, συντέλειαν δὲ οὐ μὴ ποιήσω.

28. Ἐπὶ τούτοις πενθείτω ἡ γῆ, καὶ συσκοτασάτω ὁ οὐρανὸς ἄνωθεν· διότι ἐλάλησα, καὶ οὐ μετανοήσω· ὥρμησα, καὶ οὐκ ἀποστρέψω ἀπ' αὐτῆς.

29. Ἀπὸ φωνῆς ἱππέως, καὶ ἐντεταμένου τόξου, ἀνεχώρησε πᾶσα ἡ χώρα. Εἰσέδυσαν εἰς τὰ σπήλαια, καὶ εἰς τὰ ἄλση ἐκρύβησαν, καὶ ἐπὶ τὰς πέτρας ἀνέβησαν. Πᾶσα πόλις ἐγκατελείφθη, οὐ κατῴκει ἐν αὐταῖς ἄνθρωπος.

30. Καὶ σὺ, τί ποιήσεις; Ἐὰν περιβάλῃ κόκκινον, καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, ἐὰν ἐγχρίσῃ στίβι τοὺς ὀφθαλμούς σου, εἰς μάταιον ὡραϊσμός σου. Ἀπώσαντό σε οἱ ἐρασταί σου, τὴν ψυχήν σου ζητοῦσιν,

31. ὅτι φωνὴν ὡς ὠδινούσης ἤκουσα, τοῦ στεναγμοῦ σου ὡς πρωτοτοκούσης· φωνὴ θυγατρὸς Σιὼν ἐκλυθήσεται, καὶ παρήσει τὰς χεῖρας αὐτῆς· οἴμοι ἐγὼ, ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ τοῖς ἀνῃρημένοις.

26. Vidi, et ecce Carmelus desertus, et omnes civitates inflammatæ igni a facie Domini, et a facie iræ furoris ejus deletæ erant.

27. Hæc dicit Dominus : Deserta erit omnis terra, consummationem autem non faciam.

28. Super his lugeat terra, et contenebrescat cœlum desuper : eo quod locutus sum, et non me pœnitebit : aggressus sum, et non avertam me ab ea.

29. A voce equitis, et intenti arcus, recessit omnis regio. Ingressi sunt in speluncas, et in nemora se absconderunt, et super petras ascenderunt. Omnis civitas derelicta est, non habitabat in eis homo.

30. Et tu, quid facies? Si circumdederis tibi coccinum, et ornaveris te ornatu aureo, si unxeris stibio oculos tuos, in vanum pulchritudo tua. Repulerunt te amatores tui, animam tuam quærunt,

31. quia vocem quasi parturientis audivi, gemitum tuum quasi primo parientis : vox filiæ Sion dissolvetur, et dimittet manus suas : heu mihi, quia deficit anima mea super interfectis.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε, εἰ ἔστι ποιῶν κρῖμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει Κύριος.

2. Ζῇ Κύριος, λέγουσι, διὰ τοῦτο οὐκ ἐν ψεύδεσιν ὀμνύουσι.

3. Κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν· ἐμαστίγωσας αὐτοὺς, καὶ οὐκ ἐπόνεσαν· συνετέλεσας αὐτοὺς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν· ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι.

4. Καὶ ἐγὼ εἶπα· Ἴσως πτωχοί εἰσι, διότι οὐκ ἐδυνάσθησαν, ὅτι οὐκ ἔγνωσαν ὁδὸν Κυρίου καὶ κρίσιν Θεοῦ.

5. Πορεύσομαι πρὸς τοὺς ἁδροὺς, καὶ λαλήσω αὐτοῖς, ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν Κυρίου καὶ κρίσιν Θεοῦ· καὶ ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγὸν, διέῤῥηξαν δεσμούς.

6. Διὰ τοῦτο ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἕως τῶν οἰκιῶν ὠλόθρευσεν αὐτοὺς, καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ τὰς πόλεις αὐτῶν. Πάντες οἱ ἐκπορευόμενοι ἀπ' αὐτῶν θηρευθήσονται, ὅτι ἐπλήθυναν ἀσεβείας αὐτῶν, ἴσχυσαν ἐν ταῖς ἀποστροφαῖς αὐτῶν.

7. Ποία τούτων ἵλεως γένωμαί σοι; Οἱ υἱοί σου ἐγκατέλιπόν με, καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς· καὶ ἐχόρτασα αὐτοὺς, καὶ ἐμοιχῶντο, καὶ ἐν οἴκοις πορνῶν κατέλυον.

8. Ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον.

9. Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει Κύριος; ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

10. Ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς, καὶ κατασκάψατε· συντέλειαν δὲ μὴ ποιήσητε, ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ Κυρίου εἰσίν.

11. Ὅτι ἀθετῶν ἠθέτησεν εἰς ἐμὲ, λέγει Κύριος, οἶκος Ἰσραὴλ, καὶ οἶκος Ἰούδα

CAPUT V.

1. Circumcurrite in viis Jerusalem, et videte, et cognoscite, et quærite in plateis ejus, si inveniatis, si est faciens judicium, et quærens fidem, et propitius ero eis, dicit Dominus.

2. Vivit Dominus, dicunt, nihilominus in mendaciis jurant.

3. Domine, oculi tui ad fidem : flagellasti eos, et non doluerunt : consummasti eos, et noluerunt recipere disciplinam : firmaverunt facies suas super petram, et noluerunt reverti.

4. Et ego dixi : Fortasse inopes sunt, quia non potuerunt, quia non cognoverunt viam Domini et judicium Dei.

5. Ibo ad optimates, et loquar eis, quia ipsi cognoverunt viam Domini et judicium Dei : et ecce unanimiter confregerunt jugum, diruperunt vincula.

6. Ideo percussit eos leo de sylva, et lupus usque ad domos vastavit eos, et pardus vigilavit super civitates eorum. Omnes egredientes ab eis capientur, quia multiplicaverunt impietates suas, confortati sunt in aversionibus suis.

7. Quanam harum propitius fiam tibi? Filii tui dereliquerunt me, et jurabant in diis qui non sunt : et saliavi eos, et mœchabantur, et in domibus meretricum diversabantur.

8. Equi furentes in fœminas facti sunt, unusquisque super uxorem proximi sui hinniebant.

9. Numquid super his non visitabo, dicit Dominus? aut in gentem talem non ulciscetur anima mea?

10. Ascendite super propugnacula vestra, et destruite : consummationem autem ne faciatis, relinquite sustentacula ejus, quia Domini sunt.

11. Prævaricans enim prævaricata est in me, dicit Dominus, domus Israel, et domus Juda

12. ἐψεύσατο τῷ Κυρίῳ αὐτῶν, καὶ εἶπαν· Οὐκ ἔστι ταῦτα, οὐχ ἥξει ἐφ' ἡμᾶς κακὰ, καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα.

13. Οἱ προφῆται ἡμῶν ἦσαν εἰς ἄνεμον, καὶ λόγος Κυρίου οὐχ ὑπῆρχεν ἐν αὐτοῖς.

14. Διὰ τοῦτο τάδε λέγει Κύριος παντοκράτωρ· Ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἐγὼ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα, καὶ καταφάγεται αὐτούς.

15. Ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόῤῥωθεν, οἶκος Ἰσραὴλ, λέγει Κύριος, ἔθνος οὗ οὐκ ἀκούσει τῆς φωνῆς τῆς γλώσσης αὐτοῦ·

(*) 16. πάντες ἰσχυροὶ,

17. καὶ κατέδονται τὸν θερισμὸν ὑμῶν καὶ τοὺς ἄρτους ὑμῶν, καὶ κατέδονται τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν, καὶ κατέδονται τὰ πρόβατα ὑμῶν καὶ τοὺς μόσχους ὑμῶν, καὶ κατέδονται τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς συκῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν· καὶ ἀλοήσουσι τὰς πόλεις τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πεποίθατε ἐπ' αὐταῖς, ἐν ῥομφαίᾳ.

18. Καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος ὁ Θεός σου, οὐ μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν.

19. Καὶ ἔσται, ὅταν εἴπητε· Τίνος ἕνεκεν ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα; Καὶ ἐρεῖς αὐτοῖς· Ἀνθ' ὧν ἐδουλεύσατε θεοῖς ἀλλοτρίοις ἐν τῇ γῇ ὑμῶν, οὕτως δουλεύσετε ἀλλοτρίοις ἐν τῇ γῇ οὐχ' ὑμῶν.

20. Ἀναγγείλατε ταῦτα εἰς τὸν οἶκον Ἰακὼβ, καὶ ἀκουσθήτω ἐν τῷ οἴκῳ Ἰούδα.

21. Ἀκούσατε δὴ ταῦτα, λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσι.

22. Μὴ ἐμὲ οὐ φοβηθήσεσθε, λέγει Κύριος, ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε; Τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερβήσεται αὐτὸ, καὶ ταραχθήσεται, καὶ οὐ δυνήσεται· καὶ ἠχήσουσι τὰ κύματα αὐτῆς καὶ οὐχ ὑπερβήσεται αὐτό.

23. Τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος καὶ ἀπειθὴς, καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν,

24. καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν· Φοβηθῶμεν δὴ Κύριον τὸν Θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, κατὰ καιρὸν πληρώσεως προστάγματος θερισμοῦ, καὶ ἐφύλαξεν ἡμῖν.

25. Αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα, καὶ αἱ ἁμαρτίαι ὑμῶν ἀπέστησαν τὰ ἀγαθὰ ἀφ' ὑμῶν.

26. Ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου ἀσεβεῖς, καὶ παγίδας ἔστησαν τοῦ διαφθεῖραι ἄνδρας, καὶ συνελαμβάνοσαν.

27. Ὡς παγὶς ἐφεσταμένη πλήρης πετεινῶν, οὕτως οἱ οἶκοι αὐτῶν πλήρεις δόλου. Διὰ τοῦτο ἐμεγαλύνθησαν, καὶ ἐπλούτησαν,

28. καὶ παρέβησαν κρίσιν, οὐκ ἔκριναν κρίσιν ὀρφανοῦ, καὶ κρίσιν χήρας οὐκ ἐκρίνοσαν.

29. Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει Κύριος, ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

30. Ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς.

31. Οἱ προφῆται προφητεύουσιν ἄδικα, καὶ οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν, καὶ ὁ λαός μου ἠγάπησεν οὕτως· καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα;

(*) 16. ἡ φάρετρα αὐτοῦ ὡς τάφος ἀνεῳγμένος·... (*Compl.*)

12. mentita est Domino suo, et dixerunt : Non sunt hæc, non venient super nos mala, et gladium et famem non videbimus.

13. Prophetæ nostri fuerunt in ventum, et verbum Domini non fuit in eis.

14. Ideo hæc dicit Dominus omnipotens : Pro eo quod locuti estis verbum istud, ecce ego dedi verba mea in os tuum ignem, et populum istum ligna, et devorabit eos.

15. Ecce ego adduco super vos gentem de longe, domus Israel, dicit Dominus, gentem cujus non audiet vocem linguæ ejus :

16. universi fortes,

17. et devorabunt messem vestram et panes vestros, et devorabunt filios vestros et filias vestras, et devorabunt oves vestras et vitulos vestros, et devorabunt vineas vestras et ficeta vestra et oliveta vestra : et triturabunt civitates munitas vestras, in quibus vos fidistis in eis, in gladio.

18. Et erit in diebus illis, dicit Dominus Deus tuus, non faciam vos in consummationem.

19. Et erit, quando dixeritis : Cur fecit Dominus Deus noster nobis omnia hæc? Et dices eis : Pro eo quod servistis diis alienis in terra vestra, sic servietis alienis in terra non vestra.

20. Annuntiate hæc in domum Jacob : et audiatur in domo Juda.

21. Audite nunc hæc, populus stultus et sine corde : oculi eis et non vident, aures eis et non audiunt.

22. Numquid me non timebitis, dicit Dominus, aut a facie mea non verebimini? Qui posui arenam terminum mari, præceptum æternum, et non supergredietur illud, et turbabitur, et non poterit : et sonabunt fluctus ejus et non supergredientur illud.

23. Populo autem huic factum est cor non audiens et contumax, et declinaverunt et abierunt,

24. et non dixerunt in corde suo : Timeamus nunc Dominum Deum nostrum, qui dat nobis pluviam temporaneam et serotinam, secundum tempus impletionis præcepti messis, et custodivit nobis.

25. Iniquitates vestræ declinaverunt hæc, et peccata vestra repulerunt bona a vobis.

26. Quia inventi sunt in populo meo impii, et laqueos statuerunt ad perdendos viros, et ceperunt.

27. Sicut laqueus superpositus plenus avium, sic domus eorum plenæ dolo. Ideo magnificati sunt, et ditati,

28. et transgressi sunt judicium, non judicaverunt judicium pupilli, et judicium viduæ non judicaverunt.

29. Numquid super his non visitabo, dicit Dominus, aut in gentem talem non ulciscetur anima mea?

30. Stupor et horribilia facta sunt super terram.

31. Prophetæ prophetant iniqua, et sacerdotes applauserunt manibus suis, et populus meus dilexit sic : et quid facietis post hæc?

16. pharetra ejus sicut sepulcrum apertum : ...

ΚΕΦΑΛΑΙΟΝ ς'.

1. Ἐνισχύσατε, υἱοὶ Βενιαμὶν, ἐκ μέσου τῆς Ἱερουσαλὴμ, καὶ ἐν Θεκουὲ σημάνατε σάλπιγγι, καὶ ὑπὲρ Βαιθαχαρμὰ ἄρατε σημεῖον, ὅτι κακὰ ἐκκέκυφεν ἀπὸ βοῤῥᾶ, καὶ συντριβὴ μεγάλη γίνεται,

2. καὶ ἀφαιρεθήσεται τὸ ὕψος, θύγατερ Σιών.

3. Εἰς αὐτὴν ἥξουσι ποιμένες καὶ τὰ ποίμνια αὐτῶν, καὶ πήξουσιν ἐπ' αὐτὴν σκηνὰς κύκλῳ, καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ.

4. Παρασκευάσασθε ἐπ' αὐτὴν εἰς πόλεμον, ἀνάστητε, καὶ ἀναβῶμεν ἐπ' αὐτὴν μεσημβρίας· οὐαὶ ἡμῖν, ὅτι κέκλικεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ σκιαὶ τῆς ἡμέρας.

5. Ἀνάστητε, καὶ ἀναβῶμεν ἐπ' αὐτὴν νυκτὶ, καὶ διαφθείρωμεν τὰ θεμέλια αὐτῆς.

6. Ὅτι τάδε λέγει Κύριος· Ἔκκοψον τὰ ξύλα αὐτῆς, ἔκχεον ἐπὶ Ἱερουσαλὴμ δύναμιν. Ὦ πόλις ψευδὴς, ὅλη καταδυναστεία ἐν αὐτῇ.

7. Ὡς ψύχει λάκκος ὕδωρ, οὕτω ψύχει κακία αὐτῆς. Ἀσέβεια καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς διαπαντός.

8. Πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλὴμ, μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον γῆν, ἥτις οὐ κατοικισθῇ.

9. Ὅτι τάδε λέγει Κύριος· Καλαμᾶσθε, καλαμᾶσθε ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ Ἰσραὴλ, ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ.

10. Πρὸς τίνα λαλήσω, καὶ διαμαρτύρωμαι, καὶ εἰσακούσεται; Ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δυνήσονται ἀκούειν. Ἰδοὺ τὸ ῥῆμα Κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμὸν, οὐ μὴ βουληθῶσιν αὐτό.

11. Καὶ τὸν θυμόν μου ἔπλησα, καὶ ἐπέσχον, καὶ οὐ συνετέλεσα αὐτούς. Ἐκχεῶ ἐπὶ νήπια ἔξωθεν, καὶ ἐπὶ συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ συλληφθήσονται, πρεσβύτερος μετὰ πλήρους ἡμερῶν.

12. Καὶ μεταστραφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ἐπιτοαυτό· ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην, λέγει Κύριος.

13. Ὅτι ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως μεγάλου πάντες συνετελέσαντο ἄνομα, ἀπὸ ἱερέως καὶ ἕως ψευδοπροφήτου πάντες ἐποίησαν ψευδῆ.

14. Καὶ ἰῶντο σύντριμμα τοῦ λαοῦ μου, ἐξουθενοῦντες καὶ λέγοντες· Εἰρήνη, εἰρήνη. Καὶ ποῦ ἐστιν εἰρήνη;

15. Κατῃσχύνθησαν, ὅτι ἐξελίποσαν· καὶ οὐδ' ὡς καταισχυνόμενοι κατῃσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. Διὰ τοῦτο πεσοῦνται ἐν τῇ πτώσει αὐτῶν, καὶ ἐν καιρῷ ἐπισκοπῆς ἀπολοῦνται, εἶπε Κύριος.

16. Τάδε λέγει Κύριος· Στῆτε ἐπὶ ταῖς ὁδοῖς, καὶ ἴδετε, καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους· καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν. Καὶ εἶπαν· Οὐ πορευσόμεθα.

17. Καθέστακα ἐφ' ὑμᾶς σκοπούς· ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος, καὶ εἶπαν· Οὐκ ἀκουσόμεθα.

18. Διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια αὐτῶν.

19. Ἄκουε, γῆ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, τὸν καρπὸν ἀποστροφῆς αὐτῶν, ὅτι τῶν λόγων μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο.

CAPUT VI.

1. Confortamini, filii Benjamin, de medio Jerusalem, et in Thecue significate tuba, et super Bæthacharma levate signum, quia mala incubuerunt ab aquilone, et contritio magna fit,

2. et auferetur celsitudo tua, filia Sion.

3. In eam venient pastores et greges eorum, et figent super eam tabernacula in circuitu, et pascent unusquisque manu sua.

4. Paramini super eam in bellum, consurgite, et ascendamus super eam meridie : væ nobis, quia declinavit dies, quia deficiunt umbræ diei.

5. Surgite, et ascendamus super eam nocte, et dissipemus fundamenta illius.

6. Quia hæc dicit Dominus : Cæde ligna ejus, effunde super Jerusalem virtutem. O civitas mendax ! tota oppressio in ea.

7. Sicut frigidam facit cisterna aquam, sic frigidam facit malitia ejus. Impietas et miseria audietur in ea super faciem ejus semper.

8. Dolore et flagello erudieris, Jerusalem, ne recedat anima mea a te, ne faciam te inviam terram, quæ non habitetur.

9. Quia hæc dicit Dominus : Racemate, racemate quasi vineam reliquias Israel, convertimini quasi vindemiator ad cartallum suum.

10. Ad quem loquar, et contestabor, et exaudiet? Ecce incircumcisæ aures eorum, et non poterunt audire. Ecce verbum Domini factum est eis in opprobrium, non volent illud.

11. Et furorem meum implevi, et sustinui, et non consumpsi eos. Effundam super parvulos deforis, et super congregationem juvenum simul, quia vir et uxor capientur, senior cum pleno dierum.

12. Et transibunt domus eorum ad alteros, agri et uxores eorum pariter : quia extendam manum meam super habitantes terram hanc, dicit Dominus.

13. A parvo enim eorum et usque ad magnum omnes consummaverunt iniqua, a sacerdote et usque ad pseudoprophetam omnes fecerunt mendacia.

14. Et curabant contritionem populi mei, spernentes et dicentes : Pax, pax. Et ubi est pax?

15. Confusi sunt, quia defecerunt : et neque sicut qui confunduntur confusi sunt, et inhonorationem suam non cognoverunt. Quamobrem cadent in ruina sua, et in tempore visitationis peribunt, dicit Dominus.

16. Hæc dicit Dominus : State super vias, et videte, et interrogate semitas Domini quæ a sæculo : et videte qualis est via bona, et ambulate in ea, et invenietis purificationem animabus vestris. Et dixerunt : Non ibimus.

17. Constitui super eos speculatores : audite vocem tubæ, et dixerunt : Non audiemus.

18. Ideo audierunt gentes, et qui pascunt greges suos.

19. Audi, terra : ecce ego adduco super populum hunc mala, fructum aversionis eorum, quia sermonibus meis non attenderunt, et legem meam projecerunt.

20. Ἱνατί μοι λίβανον ἐκ Σαβὰ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; Τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι.

21. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσι πατέρες καὶ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται.

22. Τάδε λέγει Κύριος· Ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βοῤῥᾶ, καὶ ἔθνη ἐξεγερθήσονται ἀπ' ἐσχάτου τῆς γῆς·

23. τόξον καὶ ζιβύνην κρατήσουσιν. Ἰταμός ἐστι, καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ, ὡς θάλασσα κυμαίνουσα· ἐφ' ἵπποις καὶ ἅρμασι παρατάξεται ὡς πῦρ εἰς πόλεμον πρὸς σὲ, θύγατερ Σιών.

24. Ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύθησαν αἱ χεῖρες ἡμῶν, θλίψις κατέσχεν ἡμᾶς, ὠδῖνες ὡς τικτούσης.

25. Μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν.

26. Θύγατερ λαοῦ μου, περίζωσαι σάκκον, κατάπασσε ἐν σποδῷ, πένθος ἀγαπητοῦ ποίησαι σεαυτῇ κοπετὸν οἰκτρὸν, ὅτι ἐξαίφνης ἥξει ταλαιπωρία ἐφ' ὑμᾶς.

27. Δοκιμαστὴν δέδωκά σε ἐν λαοῖς δεδοκιμασμένοις, καὶ γνώσῃ με ἐν τῷ δοκιμάσαι με τὴν ὁδὸν αὐτῶν,

28. πάντες ἀνήκοοι, πορευόμενοι σκολιῶς. Χαλκὸς καὶ σίδηρος πάντες διεφθαρμένοι εἰσίν.

29. Ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβδος. Εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρία αὐτῶν οὐκ ἐτάκη.

30. Ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

(*) 2. Ἀκούσατε λόγον Κυρίου, πᾶσα Ἰουδαία.

3. Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Διορθώσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ.

4. Μὴ πεποίθατε ἐφ' ἑαυτοῖς, ἐπὶ λόγοις ψευδέσιν, ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς, λέγοντες· Ναὸς Κυρίου, ναὸς Κυρίου ἐστίν.

5. Ὅτι ἐὰν διορθοῦντες διορθώσητε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ ποιοῦντες ποιήσητε κρίσιν ἀναμέσον ἀνδρὸς καὶ ἀναμέσον τοῦ πλησίον αὐτοῦ,

6. καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύσητε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ, καὶ ὀπίσω θεῶν ἀλλοτρίων μὴ πορεύησθε εἰς κακὸν ὑμῖν,

7. καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ, ἐν γῇ ᾗ ἔδωκα τοῖς πατράσιν ὑμῶν ἐξ αἰῶνος καὶ ἕως αἰῶνος.

8. Εἰ δὲ ὑμεῖς πεποίθατε ἐπὶ λόγοις ψευδέσιν, ὅθεν οὐκ ὠφεληθήσεσθε,

9. καὶ φονεύετε, καὶ μοιχᾶσθε, καὶ κλέπτετε, καὶ ὀμνύετε ἐπ' ἀδίκῳ, καὶ θυμιᾶτε τῇ Βάαλ καὶ ἐπορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων, ὧν οὐκ οἴδατε, τοῦ κακῶς εἶναι ὑμῖν,

(*) 1. Ῥῆμα ὃ ἐγένετο πρὸς Ἱερεμίαν παρὰ Κυρίου, λέγον·
2. Ἵστα ἐπὶ τὴν πύλην τοῦ οἴκου Κυρίου, καὶ ἀνάγνωθι ἐκεῖ τὸ ῥῆμα τοῦτο, καὶ εἰπέ... (*Compl.*)

20. Ut quid mihi thus de Saba affertis, et cinamomum de terra longinqua? Holocaustomata vestra non sunt accepta, et sacrificia vestra non mihi jucunda fuerunt.

21. Propterea hæc dicit Dominus : Ecce ego do super populum istum infirmitatem, et infirmabuntur patres et filii simul, vicinus et proximus ejus peribunt.

22. Hæc dicit Dominus : Ecce populus venit ab aquilone, et gentes exsurgent ab extremo terræ :

23. arcum et zibynam tenebunt. Impudens est, et non miserebitur : vox ejus, quasi mare fluctuans : in equis et in currubus instruetur quasi ignis ad bellum adversus te, filia Sion.

24. Audivimus famam eorum, dissolutæ sunt manus nostræ, tribulatio apprehendit nos, dolores quasi parturientis.

25. Nolite exire in agrum, et in viis ne ambuletis, quoniam gladius inimicorum accolit in circuitu.

26. Filia populi mei, accingere cilicio, conspergere in cinere, luctum dilecti fac tibi planctum miserabilem, quia repente veniet miseria super vos.

27. Probatorem dedi te in populis probatis, et cognosces me in probando me viam eorum,

28. omnes inobedientes, ambulantes perverse. Æs et ferrum universi corrupti sunt.

29. Defecit sufflatorium ab igne, defecit plumbum. Frustra argentum conflat argenti conflator, malitia eorum non est consumpta.

30. Argentum reprobum vocate eos, quia reprobavit eos Dominus.

CAPUT VII.

2. Audite verbum Domini, omnis Judæa.

3. Hæc dicit Dominus Deus Israel : Dirigite vias vestras et studia vestra, et habitare vos faciam in loco isto.

4. Nolite confidere in vobis ipsis, in verbis mendacibus, quoniam omnino non proderunt vobis, dicentes : Templum Domini, templum Domini est.

5. Quoniam si dirigentes direxeritis vias vestras et studia vestra, et facientes feceritis judicium inter virum et proximum ejus,

6. et advenam et pupillum et viduam non oppresseritis, nec sanguinem innocentem effuderitis in loco hoc, et post deos alienos non ambulaveritis in malum vobis,

7. et habitare vos faciam in loco isto, in terra quam dedi patribus vestris a sæculo et usque in sæculum.

8. Si autem confiditis vos in verbis mendacibus, unde non erit vobis utilitas,

9. et occiditis, et mœchamini, et furamini, et juratis super iniquo, et adolebatis ipsi Baal et ambulabatis post deos alienos, quos non novistis, ut male sit vobis,

1. Verbum quod factum est ad Jeremiam a Domino, dicens :
2. Sta in porta domus Domini, et prædica ibi verbum istud, et dic...

10. καὶ ἤλθετε καὶ ἔστητε ἐνώπιον ἐμοῦ ἐν τῷ οἴκῳ οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, καὶ εἴπατε· Ἀπεσχήμεθα τοῦ μὴ ποιεῖν πάντα τὰ βδελύγματα ταῦτα.

11. Μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου, οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐκεῖ ἐνώπιον ὑμῶν; Καὶ ἰδοὺ ἐγὼ ἑώρακα, λέγει Κύριος,

12. ὅτι πορεύθητε εἰς τὸν τόπον μου τὸν ἐν Σηλὼ, οὗ κατεσκήνωσα τὸ ὄνομά μου ἐκεῖ ἔμπροσθεν, καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κακίας λαοῦ μου Ἰσραήλ.

13. Καὶ νῦν ἀνθ' ὧν ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα, καὶ ἐλάλησα πρὸς ὑμᾶς καὶ οὐκ ἠκούσατέ μου, καὶ ἐκάλεσα ὑμᾶς καὶ οὐκ ἀπεκρίθητε,

14. τοίνυν κἀγὼ ποιήσω τῷ οἴκῳ ᾧ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐφ' ᾧ ὑμεῖς πεποίθατε ἐπ' αὐτῷ, καὶ τῷ τόπῳ ᾧ ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, καθὼς ἐποίησα τῇ Σηλώ·

15. καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ προσώπου μου, καθὼς ἀπέῤῥιψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ σπέρμα Ἐφραίμ.

16. Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξιοῦ τοῦ ἐλεηθῆναι αὐτοὺς, καὶ μὴ εὔχου, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαι.

17. Ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ;

18. Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς, τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με.

19. Μὴ ἐμὲ αὐτοὶ παροργίζουσι, λέγει Κύριος; Οὐχὶ ἑαυτοὺς, ὅπως καταισχυνθῇ τὰ πρόσωπα αὐτῶν;

20. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πᾶν ξύλον τοῦ ἀγροῦ αὐτῶν, καὶ ἐπὶ τὰ γεννήματα τῆς γῆς, καὶ καυθήσεται καὶ οὐ σβεσθήσεται.

21. Τάδε λέγει Κύριος· Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν, καὶ φάγετε κρέα·

22. ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου περὶ ὁλοκαυτωμάτων καὶ θυσίας·

23. ἀλλ' ἢ τὸ ῥῆμα τοῦτο ἐνετειλάμην αὐτοῖς, λέγων· Ἀκούσατε τῆς φωνῆς μου, καὶ ἔσομαι ὑμῖν εἰς Θεὸν, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν· καὶ πορεύεσθε ἐν πάσαις ταῖς ὁδοῖς μου, αἷς ἂν ἐντείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑμῖν.

24. Καὶ οὐκ ἤκουσάν μου, καὶ οὐ προσέσχε τὸ οὖς αὐτῶν, ἀλλ' ἐπορεύθησαν ἐν τοῖς ἐνθυμήμασι τῆς καρδίας αὐτῶν τῆς κακῆς, καὶ ἐγενήθησαν εἰς τὰ ὀπίσθεν, καὶ οὐκ εἰς τὰ ἔμπροσθεν,

25. ἀφ' ἧς ἡμέρας ἐξήλθοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης. Καὶ ἐξαπέστειλα πρὸς ὑμᾶς πάντας τοὺς δούλους μου τοὺς προφήτας, ἡμέρας καὶ ὄρθρου, καὶ ἀπέστειλα,

26. καὶ οὐκ εἰσήκουσάν μου, καὶ οὐ προσέσχε τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν.

10. et venistis et stetistis coram me in domo in qua invocatum est nomen meum in ea, et dixistis : Abstinuimus ne faceremus omnes abominationes has.

11. Numquid spelunca latronum est domus mea, ubi invocatum est nomen meum in ea ibi coram vobis? Et ecce ego vidi, dicit Dominus,

12. quare ite ad locum meum qui in Selo, ubi collocavi nomen meum ibi antea, et videte quæ feci ei a facie malitiæ populi mei Israel.

13. Et nunc pro eo quod fecistis omnia opera hæc, et locutus sum ad vos et non audistis me, et vocavi vos et non respondistis,

14. igitur et ego faciam domui in qua invocatum est nomen meum in ea, in qua vos confidistis in ea, et loco quem dedi vobis et patribus vestris, sicut feci Selo :

15. et projiciam vos a facie mea, sicut projeci fratres vestros, omne semen Ephraim.

16. Et tu noli orare pro populo isto, neque postules ut miserear illorum, et ne ores, et ne accedas ad me pro his, quia non exaudiam.

17. Numquid non vides quid ipsi faciunt in civitatibus Juda et in viis Jerusalem?

18. Filii eorum colligunt ligna, et patres eorum succendunt ignem, et mulieres eorum terunt similam, ut faciant chavonas militiæ cœli, et libaverunt libamina diis alienis, ut me ad iracundiam provocent.

19. Numquid me ipsi ad iracundiam provocant, dicit Dominus? Nonne semetipsos, ut confundantur facies eorum?

20. Ideo hæc dicit Dominus : Ecce ira et furor meus funditur super locum istum, et super homines, et super jumenta, et super omne lignum agri eorum, et super genimina terræ, et accendetur et non exstinguetur.

21. Hæc dicit Dominus : Holocaustomata vestra congregate cum sacrificiis vestris, et comedite carnes :

22. quia non sum locutus ad patres vestros, et non mandavi eis in die qua eduxi eos de terra Ægypti de holocaustis et sacrificio :

23. sed verbum hoc mandavi eis, dicens : Audite vocem meam, et ero vobis in Deum, et vos eritis mihi in populum : et ambulate in omnibus viis meis, quascumque mandavero vobis, ut bene vobis sit.

24. Et non audierunt me, et non attendit auris eorum, sed iverunt in desideriis cordis sui mali, et facti sunt in posteriora, et non in anteriora,

25. ex qua die exierunt patres eorum e terra Ægypti, et usque in diem hanc. Et misi ad vos omnes servos meos prophetas, die et diluculo, et misi,

26. et non exaudierunt me, et non attendit auris eorum, et induraverunt cervicem suam super patres ipsorum.

(*) 27, 28. Καὶ ἐρεῖς αὐτοῖς τοῦτον τὸν λόγον· Τοῦτο τὸ ἔθνος ὃ οὐκ ἤκουσε τῆς φωνῆς Κυρίου, οὐδὲ ἐδέξατο παιδείαν· ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν.

29. Κεῖρε τὴν κεφαλήν σου, καὶ ἀπόῤῥιπτε καὶ ἀνάλαβε ἐπὶ χειλέων θρῆνον, ὅτι ἀπεδοκίμασε Κύριος, καὶ ἀπώσατο τὴν γενεὰν τὴν ποιοῦσαν ταῦτα·

30. ὅτι ἐποίησαν οἱ υἱοὶ Ἰούδα τὸ πονηρὸν ἐναντίον ἐμοῦ, λέγει Κύριος· ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτὸν, τοῦ μιάναι αὐτόν·

31. καὶ ᾠκοδόμησαν τὸν βωμὸν τοῦ Ταφὲθ, ὅς ἐστιν ἐν φάραγγι υἱοῦ Ἐννὸμ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρὶ, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου.

32. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι, βωμὸς τοῦ Ταφὲθ καὶ φάραγξ υἱοῦ Ἐννὸμ, ἀλλ' ἡ φάραγξ τῶν ἀνῃρημένων· καὶ θάψουσιν ἐν τῷ Ταφὲθ, διὰ τὸ μὴ ὑπάρχειν τόπον.

33. Καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται ὁ ἀποσοβῶν.

34. Καὶ καταλύσω ἐκ πόλεων Ἰούδα καὶ ἐκ διόδων Ἱερουσαλὴμ φωνὴν εὐφραινομένων καὶ φωνὴν χαιρόντων, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὅτι εἰς ἐρήμωσιν ἔσται πᾶσα ἡ γῆ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, ἐξοίσουσι τὰ ὀστᾶ τῶν βασιλέων Ἰούδα, καὶ τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτοῦ, καὶ τὰ ὀστᾶ τῶν ἱερέων, καὶ τὰ ὀστᾶ προφητῶν, καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν Ἱερουσαλὴμ ἐκ τῶν τάφων αὐτῶν,

2. καὶ ψύξουσιν αὐτὰ πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ πρὸς πάντας τοὺς ἀστέρας, καὶ πρὸς πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ἃ ἠγάπησαν, καὶ οἷς ἐδούλευσαν, καὶ ὧν ἐπορεύθησαν ὀπίσω αὐτῶν, καὶ ὧν ἀντείχοντο, καὶ οἷς προσεκύνησαν αὐτοῖς. Οὐ κοπήσονται, καὶ οὐ ταφήσονται, καὶ ἔσονται εἰς παράδειγμα ἐπὶ προσώπου τῆς γῆς,

3. ὅτι εἵλοντο τὸν θάνατον ἢ τὴν ζωὴν, καὶ πᾶσιν τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γενεᾶς ἐκείνης, ἐν παντὶ τόπῳ οὗ ἐὰν ἐξώσω αὐτοὺς ἐκεῖ.

4. Ὅτι τάδε λέγει Κύριος· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει;

5. Διατί ἀπέστρεψεν ὁ λαός μου οὗτος ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν, καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι;

6. Ἐνωτίσασθε δὴ, καὶ ἀκούσατε. Οὐχ οὕτω λαλήσουσιν, οὐκ ἔστιν ἄνθρωπος ὁ μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων· Τί ἐποίησα; Διέλιπεν ὁ τρέχων ἀπὸ τοῦ δρόμου αὐτοῦ, ὡς ἵππος κάθιδρος ἐν χρεμετισμῷ αὐτοῦ.

7. Καὶ ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς· τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν· ὁ δὲ λαός μου οὗτος οὐκ ἔγνω τὰ κρίματα Κυρίου.

8. Πῶς ἐρεῖτε, ὅτι σοφοί ἐσμεν ἡμεῖς, καὶ νόμος

(*) 27. Καὶ ἐρεῖς αὐτοῖς τὸν λόγον τοῦτον, καὶ οὐκ ἀκούσονταί σε, καὶ καλέσεις αὐτοὺς, καὶ οὐκ ἀποκρινοῦσί σοι. (*Compl.*)

27, 28. Et dices eis hunc sermonem : Hæc est gens quæ non audivit vocem Domini, neque recepit disciplinam : defecit fides ex ore eorum.

29. Tonde caput tuum, et projice, et assume super labia lamentationem, quia reprobavit Dominus, et repulit generationem facientem hæc :

30. quia fecerunt filii Juda malum coram me, dicit Dominus : posuerunt abominationes suas in domo ubi invocatum est nomen meum super eam, ad polluendam eam :

31. et ædificaverunt aram Tapheth, quæ est in valle filii Ennom, ad comburendum filios et filias suas in igni, quod non mandavi eis, neque cogitavi in corde meo.

32. Idcirco ecce dies veniunt, dicit Dominus, et non dicent amplius, ara Tapheth et vallis filii Ennom, sed vallis interfectorum : et sepelient in Tapheth, eo quod non sit locus.

33. Et erunt mortui de populo hoc in escam volatilibus cœli et bestiis terræ, et non erit qui abigat.

34. Et cessare faciam de civitatibus Juda et de viis Jerusalem vocem lætantium et vocem gaudentium, vocem sponsi et vocem sponsæ, quia in desolationem erit universa terra.

CAPUT VIII.

1. In tempore illo, dicit Dominus, efferent ossa regum Juda, et ossa principum ejus, et ossa sacerdotum, et ossa prophetarum, et ossa habitantium in Jerusalem de sepulcris eorum,

2. et torrebunt ea ad solem et lunam, et ad omnia sidera, et ad omnem militiam cœli, quæ dilexerunt, et quibus servierunt, et post quæ ambulaverunt post ea, et quibus adhæserunt, et quæ adoraverunt ea. Non plangentur, et non sepelientur, et erunt in exemplum super faciem terræ,

3. quia elegerunt mortem quam vitam, etiam de omnibus residuis qui relicti fuerint de generatione illa, in omni loco quocumque expulero eos illuc.

4. Quia hæc dicit Dominus : Numquid qui cadit non resurgit, aut qui avertit se non revertitur?

5. Quare aversus est populus meus hic aversione impudenti, et confirmati sunt in electione sua, et noluerunt reverti?

6. Auribus percipite nunc, et audite. Nonne sic loquentur, non est homo qui pœnitentiam agat a peccato suo, dicens : Quid feci? Defecit currens a cursu suo, quasi equus defessus in hinnitu suo.

7. Et asida in cœlo cognovit tempus suum : turtur et hirundo agri, passeres custodierunt tempora ingressuum suorum : populus autem meus hic non cognovit judicia Domini.

8. Quomodo dicetis, quia sapientes sumus nos, et lex

27. Et dices eis sermonem hunc, et non audient te, et vocabis eos, et non respondebunt tibi.

Κυρίου μεθ' ἡμῶν ἐστι; Εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν.

9. Ἠσχύνθησαν σοφοὶ, καὶ ἐπτοήθησαν, καὶ ἑάλωσαν, ὅτι τὸν νόμον Κυρίου ἀπεδοκίμασαν. Σοφία τίς ἐστιν ἐν αὐτοῖς;

10. Διὰ τοῦτο δώσω τὰς γυναῖκας αὐτῶν ἑτέροις, καὶ τοὺς ἀγροὺς αὐτῶν τοῖς κληρονόμοις, (*)

13. Καὶ συνάξουσι τὰ γεννήματα αὐτῶν, λέγει Κύριος. Οὐκ ἔστι σταφυλὴ ἐν ταῖς ἀμπέλοις, καὶ οὐκ ἔστι σῦκα ἐν ταῖς συκαῖς, καὶ τὰ φύλλα κατερρύηκεν.

14. Ἐπὶ τί ἡμεῖς καθήμεθα; Συνάχθητε, καὶ εἰςέλθωμεν εἰς τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἀποῤῥιφῶμεν ἐκεῖ, ὅτι ὁ Θεὸς ἀπέῤῥιψεν ἡμᾶς, καὶ ἐπότισεν ἡμᾶς ὕδωρ χολῆς, ὅτι ἡμάρτομεν ἐναντίον αὐτοῦ.

15. Συνήχθημεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά· εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ σπουδή.

16. Ἐκ Δὰν ἀκουσόμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ· ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ γῆ, καὶ ἥξει καὶ καταφάγεται τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ.

17. Διότι ἰδοὺ ἐγὼ ἐξαποστέλλω εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς οὐκ ἔστιν ἐπᾷσαι, καὶ δήξονται ὑμᾶς

18. ἀνίατα μετ' ὀδύνης καρδίας ὑμῶν ἀπορουμένης.

19. Ἰδοὺ φωνὴ κραυγῆς θυγατρὸς λαοῦ μου ἀπὸ γῆς μακρόθεν· Μὴ Κύριος οὐκ ἔστιν ἐν Σιών; ἢ βασιλεὺς οὐκ ἔστιν ἐκεῖ; Διότι παρώργισάν με ἐν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐν ματαίοις ἀλλοτρίοις.

20. Διῆλθε θέρος, παρῆλθεν ἀμητὸς, καὶ ἡμεῖς οὐ διεσώθημεν.

21. Ἐπὶ συντρίμματι θυγατρὸς λαοῦ μου ἐσκοτώθην ἐν ἀπορίᾳ· κατίσχυσάν με ὠδῖνες ὡς τικτούσης.

22. Καὶ μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαὰδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; Διατί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Τίς δώσει κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων; Καὶ κλαύσομαι τὸν λαόν μου τοῦτον ἡμέρας καὶ νυκτὸς, τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ μου.

2. Τίς δῴη μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ καταλείψω τὸν λαόν μου, καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν; Ὅτι πάντες μοιχῶνται, σύνοδος ἀθετούντων,

3. καὶ ἐνέτειναν τὴν γλῶσσαν αὐτῶν ὡς τόξον· ψεῦδος, καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ τῆς γῆς, ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξήλθοσαν, καὶ ἐμὲ οὐκ ἔγνωσαν, φησὶ Κύριος.

4. Ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε, καὶ

(*) 10. ... ὅτι ἀπὸ μικροῦ ἕως μεγάλου πάντες φιλαργυρίαν ἀποδιώκουσι, καὶ ἐκ προφήτου ἕως ἱερέως πάντες ποιοῦσι ψεῦδος.

11. Καὶ ἰατρεύοντο σύντριμμα θυγατρὸς τοῦ λαοῦ μου πρὸς ἀτιμίαν, λέγοντες, εἰρήνη. εἰρήνη, καὶ οὐκ ἦν εἰρήνη.

12. Ἠσχύνθησαν, ὅτι βδέλυγμα ἐποίησαν, καὶ αἰσχύνῃ οὐκ ᾐσχύνθησαν, καὶ αἰσχυνθῆναι οὐκ οἴδασι· διὰ τοῦτο πεσοῦνται πίπτοντες, ἐν καιρῷ ἐπισκοπῆς αὐτοῦ πεσοῦνται, λέγει Κύριος. (*Compl.*)

Domini nobiscum est? Frustra factus est juncus mendax scribis.

9. Confusi sunt sapientes, et perterriti, et capti sunt, quia legem Domini reprobaverunt. Sapientia quæ est in eis?

10. Propterea dabo uxores eorum aliis, et agros eorum hæredibus,

13. Et colligent genimina eorum, dicit Dominus. Non est uva in vitibus, et non sunt ficus in ficis, et folia defluxerunt.

14. Quare nos sedemus? Convenite, et ingrediamur in civitates munitas, et projiciamur ibi, quoniam Deus projecit nos, et potum dedit nobis aquam fellis, quia peccavimus coram eo.

15. Congregati sumus ad pacem, et non fuerunt bona: ad tempus medelæ, et ecce trepidatio.

16. E Dan audiemus vocem fremitus equorum ejus: a voce hinnitus equitatus equorum ejus commota est omnis terra, et veniet et devorabit terram et plenitudinem ejus, urbem et habitantes in ea.

17. Quia ecce ego mitto in vos serpentes mortiferos, quibus non est incantatio, et mordebunt vos

18. insanabiliter cum dolore cordis vestri deficientis.

19. Ecce vox clamoris filiæ populi mei de terra longinqua: Numquid Dominus non est in Sion? aut rex non est ibi? Quoniam ad iracundiam concitaverunt me in sculptilibus suis, et in vanitatibus alienis.

20. Transiit æstas, præteriit messis, et nos salvati non sumus.

21. Super contritione filiæ populi mei obtenebratus sum in afflictione: tenuerunt me dolores quasi parientis.

22. Et numquid resina non est in Galaad, aut medicus non est ibi? Quare non ascendit sanatio filiæ populi mei?

CAPUT IX.

1. Quis dabit capiti meo aquam, et oculis meis fontem lacrymarum? Et plorabo populum meum hunc die ac nocte, interfectos filiæ populi mei.

2. Quis det mihi in solitudine mansionem novissimam, et relinquam populum meum, et recedam ab eis? Quia omnes mœchantur, cœtus prævaricatorum,

3. et intenderunt linguam suam quasi arcum: mendacium, et non fides invaluit super terram, quia de malis in mala egressi sunt, et me non cognoverunt, dicit Dominus.

4. Unusquisque a proximo suo vos custodite, et super

---

10. ... quia a parvo usque ad magnum omnes avaritiam sequuntur, et a propheta usque ad sacerdotem cuncti faciunt mendacium.

11. Et sanabant contritionem filiæ populi mei ad ignominiam, dicentes, pax, pax, et non erat pax.

12. Confusi sunt, quoniam abominationem fecerunt, et confusione non sunt confusi, et erubescere nescierunt: propterea cadent cadentes, in tempore visitationis suæ cadent, dicit Dominus

ἐπ' ἀδελφοῖς αὐτῶν μὴ πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύσεται.

5. Ἕκαστος κατὰ τοῦ φίλου αὐτοῦ καταπαίξεται, ἀλήθειαν οὐ μὴ λαλήσωσι. Μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ, ἠδίκησαν, καὶ οὐ διέλιπον τοῦ ἐπιστρέψαι.

6. Τόκος ἐπὶ τόκῳ, καὶ δόλος ἐπὶ δόλῳ· οὐκ ἤθελον εἰδέναι με, φησὶ Κύριος.

7. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ πυρώσω αὐτοὺς, καὶ δοκιμῶ αὐτοὺς, ὅτι ποιήσω ἀπὸ προσώπου πονηρίας θυγατρὸς λαοῦ μου.

8. Βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν.

9. Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει Κύριος, ἢ ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

10. Ἐπὶ τὰ ὄρη λάβετε κοπετὸν, καὶ ἐπὶ τὰς τρίβους τῆς ἐρήμου θρῆνον, ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι ἀνθρώπους. Οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ καὶ ἕως κτηνῶν, ἐξέστησαν, ᾤχοντο.

11. Καὶ δώσω τὴν Ἱερουσαλὴμ εἰς μετοικίαν καὶ εἰς κατοικητήριον δρακόντων, καὶ τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν θήσομαι, παρὰ τὸ μὴ κατοικεῖσθαι.

12. Τίς ὁ ἄνθρωπος ὁ συνετὸς, καὶ συνέτω τοῦτο; Καὶ ᾧ λόγος στόματος Κυρίου πρὸς αὐτὸν, ἀναγγειλάτω ὑμῖν, ἕνεκεν τίνος ἀπώλετο ἡ γῆ, ἀνήφθη ὡς ἔρημος, παρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν;

13. Καὶ εἶπε Κύριος πρός με· Διὰ τὸ ἐγκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου, ὃν ἔδωκα πρὸ προσώπου αὐτῶν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου,

14. ἀλλ' ἐπορεύθησαν ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν τῆς κακῆς, καὶ ὀπίσω τῶν εἰδώλων ἃ ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν.

15. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ἀνάγκας, καὶ ποτιῶ αὐτοὺς ὕδωρ χολῆς,

16. καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν, εἰς οὓς οὐκ ἐγίνωσκον αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, καὶ ἐπαποστελῶ ἐπ' αὐτοὺς τὴν μάχαιραν, ἕως τοῦ ἐξαναλῶσαι αὐτοὺς ἐν αὐτῇ.

17. Τάδε λέγει Κύριος· Καλέσατε τὰς θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε, καὶ φθεγξάσθωσαν,

18. καὶ λαβέτωσαν ἐφ' ὑμᾶς θρῆνον, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα, καὶ τὰ βλέφαρα ὑμῶν ῥείτω ὕδωρ,

19. ὅτι φωνὴ οἴκτρου ἠκούσθη ἐν Σιών· Πῶς ἐταλαιπωρήσαμεν, κατῃσχύνθημεν σφόδρα, ὅτι ἐγκατελίπομεν τὴν γῆν, καὶ ἀπερρίψαμεν τὰ σκηνώματα ἡμῶν;

20. Ἀκούσατε δὴ, γυναῖκες, λόγον Θεοῦ, καὶ δεξάσθω τὰ ὦτα ὑμῶν λόγους στόματος αὐτοῦ, καὶ διδάξατε τὰς θυγατέρας ὑμῶν οἶκτον, καὶ γυνὴ τὴν πλησίον αὐτῆς θρῆνον.

21. Ὅτι ἀνέβη θάνατος διὰ τῶν θυρίδων ὑμῶν, εἰςῆλθεν εἰς τὴν γῆν ὑμῶν, τοῦ ἐκτρίψαι νήπια ἔξωθεν, καὶ νεανίσκους ἀπὸ τῶν πλατειῶν·

22. καὶ ἔσονται οἱ νεκροὶ τῶν ἀνθρώπων εἰς παράδειγμα ἐπὶ προσώπου τοῦ πεδίου τῆς γῆς ὑμῶν, ὡς χόρτος ὀπίσω θερίζοντος, καὶ οὐκ ἔσται ὁ συνάγων.

23. Τάδε λέγει Κύριος·

fratribus suis non habeatis fiduciam, quia omnis frater supplantatione supplantabit, et omnis amicus dolose incedet.

5. Unusquisque contra fratrem suum illudet, veritatem non loquentur. Didicit lingua eorum loqui mendacia, inique egerunt, et non intermiserunt ut converterentur.

6. Usura super usuram, et dolus super dolum: noluerunt scire me, dicit Dominus,

7. Propterea hæc dicit Dominus: Ecce ego igne examinabo eos, et probabo eos, quia faciam a facie malitiæ filiæ populi mei.

8. Sagitta vulnerans lingua eorum, dolosa verba oris eorum: proximo suo loquitur pacifica, et in seipso habet inimicitiam.

9. Numquid super his non visitabo, dicit Dominus, aut in populo hujuscemodi non ulciscetur anima mea?

10. Super montes assumite planctum, et super semitas deserti lamentationem, quoniam defecerunt eo quod non sint homines. Non audierunt vocem substantiæ a volucribus cœli et usque ad pecora, obstupuerunt, recesserunt.

11. Et dabo Jerusalem in transmigrationem et in habitaculum draconum, et civitates Juda ponam in desolationem, eo quod non habitentur.

12. Quis est homo intelligens, et intelligat hoc? Et cui sermo oris Domini ad eum, annuntiet vobis, quare periit terra, exusta est quasi desertum, eo quod non sit qui pertranseat eam?

13. Et dixit Dominus ad me: Quia ipsi dereliquerunt legem meam, quam dedi ante faciem eorum, et non audierunt vocem meam,

14. sed iverunt post placita cordis sui mali, et post idola quæ docuerunt eos patres eorum.

15. Idcirco hæc dicit Dominus Deus Israel: Ecce ego cibabo eos angustiis, et potum dabo eis aquam fellis,

16. et dispergam eos in gentibus, quas non noverunt ipsi et patres eorum, et immittam super eos gladium, donec ipsi consumantur in eo.

17. Hæc dicit Dominus: Vocate lamentatrices, et veniant, et ad eas quæ sapientes sunt mittite, et loquantur,

18. et assumant super vos lamentum, et deducant oculi vestri lacrymas, et palpebræ vestræ fluant aquam,

19. quoniam vox lamentationis audita est in Sion: Quomodo misere vexati sumus, confusi sumus vehementer, quoniam dereliquimus terram, et abjecimus tabernacula nostra?

20. Audite nunc, mulieres, verbum Dei, et assumant aures vestræ sermones oris ejus, et docete filias vestras lamentum, et mulier proximam suam planctum.

21. Quia ascendit mors per fenestras vestras, ingressa est in terram vestram, disperdere parvulos deforis, et juvenes de plateis:

22. et erunt morticina hominum in exemplum super faciem campi terræ vestræ, quasi fœnum post metentem, et non est qui colligat.

23. Hæc dicit Dominus:

23. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ,

24. ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν ὅτι ἐγώ εἰμι Κύριος ὁ ποιῶν ἔλεος καὶ κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει Κύριος.

25. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπισκέψομαι ἐπὶ πάντας περιτετμημένους ἀκροβυστίας αὐτῶν·

26. ἐπ' Αἴγυπτον, καὶ ἐπὶ Ἰδουμαίαν, καὶ ἐπὶ Ἐδὼμ, καὶ ἐπὶ υἱοὺς Ἀμμὼν, καὶ ἐπὶ υἱοὺς Μωὰβ, καὶ ἐπὶ πάντα περικειρόμενον τὰ κατὰ πρόσωπον αὐτοῦ, τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ· ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.

23. Non glorietur sapiens in sapientia sua, et non glorietur fortis in fortitudine sua, et non glorietur dives in divitiis suis,

24. sed in hoc glorietur qui gloriatur, intelligere et nosse quia ego sum Dominus faciens misericordiam et judicium et justitiam super terram, quia in istis est voluntas mea, dicit Dominus.

25. Ecce dies veniunt, dicit Dominus, et visitabo super omnes qui circumcisa habent præputia sua :

26. super Ægyptum, et super Idumæam, et super Edom, et super filios Ammon, et super filios Moab, et super omnem attonsum circa faciem suam, habitantes in deserto: quia omnes gentes incircumcisæ carne, et omnis domus Israel incircumcisi cordibus suis.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Ἀκούσατε τὸν λόγον Κυρίου, ὃν ἐλάλησεν ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ.

2. Τάδε λέγει Κύριος· Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε, ὅτι φοβοῦνται αὐτὰ τοῖς προσώποις αὐτῶν,

3. ὅτι τὰ νόμιμα τῶν ἐθνῶν μάταια· ξύλον ἐστὶν ἐκ τοῦ δρυμοῦ ἐκκεκομμένον, ἔργον τέκτονος,

4. καὶ χώνευμα, ἀργυρίῳ καὶ χρυσίῳ κεκαλλωπισμένα ἐν σφύραις, καὶ ἥλοις ἐστερέωσαν αὐτά.

5. Θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται. (a) (*)

9. Ἀργύριον τορευτόν ἐστιν, οὐ πορεύσονται· ἀργύριον προσβλητόν ἐστι ἀπὸ Θαρσὶς, ἥξει χρυσίον Μωφὰζ, καὶ χεὶρ χρυσοχόων· ἔργα τεχνικῶν πάντα, ὑάκινθον καὶ πορφύραν ἐνδύσουσιν αὐτά. (**)

5. (a) Αἰρόμενα ἀρθήσονται, ὅτι οὐκ ἐπιβήσονται. Μὴ φοβηθῆτε αὐτὰ, ὅτι οὐ μὴ κακοποιήσωσιν, καὶ ἀγαθὸν οὐκ ἔστιν ἐν αὐτοῖς.

11. Οὕτως ἐρεῖτε αὐτοῖς· Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου.

12. Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν,

13. καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ. Καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγε φῶς ἐκ θησαυρῶν αὐτοῦ.

14. Ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἐπὶ τοῖς γλυπτοῖς αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσεν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς.

15. Μάταιά ἐστιν ἔργα, ἐμπεπαιγμένα, ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται.

(*) 6. οὐκ ἔστιν ὅμοιός σοι, Κύριε· μέγας εἶ σὺ, καὶ μέγα τὸ ὄνομά σου ἐν τῇ ἰσχύϊ.

7. Τίς οὐ φοβηθήσεταί σε, βασιλεῦ ἐθνῶν; σοὶ γὰρ πρέπει, ὅτι ἐν πᾶσι τοῖς σοφοῖς τῶν ἐθνῶν καὶ ἐν πάσαις ταῖς βασιλείαις αὐτῶν οὐκ ἔστιν ὅμοιός σοι.

8. Ἅμα ἄφρονες καὶ ἀνόητοί εἰσι· διδασκαλία ματαίων αὐτῶν ξύλον ἐστίν. (*Compl.*)

(**) 10. Ὁ δὲ Κύριος ἀληθινὸς Θεός ἐστιν, Θεὸς ζώντων, καὶ βασιλεὺς αἰώνιος· ἀπὸ παροξυσμοῦ αὐτοῦ σεισθήσεται ἡ γῆ, καὶ οὐχ ὑποίσουσιν ἔθνη ἐμβρίμησιν αὐτοῦ. (*Theodor.*)

CAPUT X.

1. Audite verbum Domini, quod locutus est super vos, domus Israel.

2. Hæc dicit Dominus : Juxta vias gentium nolite discere, et a signis cœli nolite metuere, quia timent ea faciebus suis,

3. quia legitima gentium vana sunt : lignum est de saltu præcisum, opus artificis;

4. et conflatio, argento et auro decorata in malleis, et clavis firmaverunt illas.

5. Collocabunt ea, et non movebuntur.

9. Argentum tornatile est, non ibunt : argentum productum e Tharsis, veniet aurum Mophaz, et manus aurificum: opera artificum omnia, hyacintho et purpura induent ea.

5. Portata tollentur, quia non conscendent. Ne timeatis ea, quia non malefacient, et bonum non est in eis.

11. Sic dicetis eis : Dii qui cœlum et terram non fecerunt, dispereant de terra, et de subter cœlo hoc.

12. Dominus qui fecit terram in fortitudine sua, qui erexit orbem in sapientia sua, et prudentia sua extendit cœlum,

13. et multitudinem aquæ in cœlo. Et eduxit nubes ab extremo terræ, fulgura in pluvias fecit, et eduxit lumen ex thesauris suis.

14. Stultus factus est omnis homo a scientia, confusus est omnis aurifex in sculptilibus suis, quia falsa conflavit, non est spiritus in eis.

15. Vana sunt opera, ridicula, in tempore visitationis suæ peribunt.

6. Non est similis tui, Domine : magnus es tu, et magnum nomen tuum in fortitudine.

7. Quis non timebit te, rex gentium? tuum enim est decus, quoniam in omnibus sapientibus gentium et in omnibus regnis earum non est similis tui.

8. Pariter fatui et insipientes sunt : doctrina vanitatum lignum eorum est.

10. Dominus autem Deus verus est, Deus viventium, et rex sæculi : ab indignatione ejus movebitur terra, et non sustinebunt gentes comminationem ejus.

16. Οὐχ ἔστι τοιαύτη μερὶς τῷ Ἰακὼϐ, ὅτι ὁ πλάσας τὰ πάντα, αὐτὸς κληρονομία αὐτοῦ· Κύριος ὄνομα αὐτῷ.

17. Συνήγαγεν ἔξωθεν τὴν ὑπόστασίν σου, κατοικοῦσαν ἐν ἐκλεκτοῖς.

18. Ὅτι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ σκελίζω τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἐν θλίψει, ὅπως εὑρεθῇ ἡ πληγή σου.

19. Οὐαὶ ἐπὶ συντρίμματί σου, ἀλγηρὰ ἡ πληγή σου. Κἀγὼ εἶπα· Ὄντως τοῦτο τὸ τραῦμά σου, καὶ κατέλαϐέ σε.

20. Ἡ σκηνή σου ἐταλαιπώρησεν, ὤλετο, καὶ πᾶσαι αἱ δέῤῥεις σου διεσπάσθησαν. Οἱ υἱοί μου καὶ τὰ πρόϐατά μου οὐκ εἰσὶν, οὐκ ἔστιν ἔτι τόπος τῆς σκηνῆς μου, τόπος τῶν δέῤῥεών μου.

21. Ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν.

22. Φωνὴ ἀκοῆς ἰδοὺ ἔρχεται, καὶ σεισμὸς μέγας ἐκ γῆς βοῤῥᾶ, τοῦ τάξαι τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν, καὶ κοίτην στρουθῶν.

23. Οἶδα, Κύριε, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἀνὴρ πορεύσεται καὶ κατορθώσει πορείαν αὐτοῦ.

24. Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς.

25. Ἔκχεον τὸν θυμόν σου ἐπὶ ἔθνη τὰ μὴ εἰδότα σε, καὶ ἐπὶ γενεὰς αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο, ὅτι κατέφαγον τὸν Ἰακὼϐ καὶ ἐξανήλωσαν αὐτὸν, καὶ τὴν νομὴν αὐτοῦ ἠρήμωσαν.

16. Non est talis pars Jacob, qui enim formavit omnia, ipse est hæreditas ejus: Dominus nomen illi.

17. Congregavit de foris substantiam tuam, quæ habitat in electis.

18. Quia hæc dicit Dominus: Ecce ego supplantabo habitatores terræ hujus in tribulatione, ut inveniatur plaga tua.

19. Væ super contritione tua, doloris plena est plaga tua. Et ego dixi: Plane hoc est vulnus tuum, et apprehendit te.

20. Tabernaculum tuum vastatum est, periit, et omnes pelles tuæ conscissæ sunt. Filii mei et oves meæ non sunt, non est locus ultra tabernaculi mei, locus pellium mearum.

21. Quia pastores stulte egerunt, et Dominum non quæsierunt: propterea non intellexit omnis grex, et dispersi sunt.

22. Vox auditionis ecce venit, et commotio magna de terra aquilonis, ut ponat civitates Juda in solitudinem, et cubile struthionum.

23. Scio, Domine, quia non est hominis via ejus, neque vir ibit et diriget gressum suum.

24. Corripe nos, Domine, verumtamen in judicio, et non in furore, ut paucos non facias nos.

25. Effunde indignationem tuam super gentes quæ non cognoverunt te, et super generationes quæ nomen tuum non invocaverunt, quia devoraverunt Jacob et consumpserunt eum, et pascuam ejus ad solitudinem redegerunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἱερεμίαν, λέγων·

2. Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ λαλήσεις πρὸς ἄνδρας Ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ,

3. καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς οὐκ ἀκούσεται τῶν λόγων τῆς διαθήκης ταύτης,

4. ἧς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐκ καμίνου τῆς σιδηρᾶς, λέγων· Ἀκούσατε τῆς φωνῆς μου, καὶ ποιήσατε πάντα ὅσα ἐὰν ἐντείλωμαι ὑμῖν, καὶ ἔσεσθέ μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεὸν,

5. ὅπως στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα τοῖς πατράσιν ὑμῶν, τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι, καθὼς ἡ ἡμέρα αὕτη. Καὶ ἀπεκρίθην καὶ εἶπα· Γένοιτο, Κύριε.

6. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἀνάγνωθι τοὺς λόγους τούτους ἐν πόλεσιν Ἰούδα, καὶ ἔξωθεν Ἱερουσαλὴμ, λέγων· Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ ποιήσατε αὐτούς. (*)

CAPUT XI.

1. Verbum quod factum est a Domino ad Jeremiam, dicens:

2. Audite verba testamenti hujus, et loqueris ad viros Juda, et ad habitatores Jerusalem,

3. et dices ad eos: Hæc dicit Dominus Deus Israel: Maledictus homo qui non audiet verba testamenti hujus,

4. quod mandavi patribus vestris in die qua eduxi eos de terra Ægypti, de fornace ferrea, dicens: Audite vocem meam, et facite omnia quæcumque mandavero vobis, et eritis mihi in populum, et ego ero vobis in Deum,

5. ut statuam juramentum meum, quod juravi patribus vestris, daturum me eis terram fluentem lacte et melle, sicut est dies hæc. Et respondi et dixi: Fiat, Domine.

6. Et dixit Dominus ad me: Lege verba hæc in civitatibus Juda, et foris Jerusalem, dicens: Audite verba testamenti hujus, et facite illa.

(*) 7. Ὅτι συμμαρτυρόμενος συνεμαρτυρόμην τοῖς πατράσιν ὑμῶν, ἐν ἡμέρᾳ ᾗ ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἕως τῆς ἡμέρας ταύτης· ὀρθρίζων συνεμαρτυρόμην, λέγων· Ἀκούσατε τῆς φωνῆς μου. (*Compl.*)

7. Quia contestans contestatus sum patribus vertris, in die qua eduxi eos e terra Ægypti usque ad hanc diem: mane consurgens contestatus sum, dicens: Audite vocem meam.

(*) 8. Καὶ οὐκ ἐποίησαν.

9 Καὶ εἶπε Κύριος πρὸς μέ· Εὑρέθη σύνδεσμος ἐν ἀνδράσιν Ἰούδα, καὶ ἐν τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλήμ·

10. ἐπεστράφησαν ἐπὶ τὰς ἀδικίας τῶν πατέρων αὐτῶν τῶν πρότερον, οἳ οὐκ ἠθέλησαν εἰςακοῦσαι τῶν λόγων μου, καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων, τοῦ δουλεύειν αὐτοῖς, καὶ διεσκέδασεν οἶκος Ἰσραὴλ καὶ οἶκος Ἰούδα τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν.

11. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, ἐξ ὧν οὐ δυνήσονται ἐξελθεῖν ἐξ αὐτῶν· καὶ κεκράξονται πρὸς μὲ, καὶ οὐκ εἰςακούσομαι αὐτῶν,

12. καὶ πορεύσονται πόλεις Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ, καὶ κεκράξονται πρὸς τοὺς θεοὺς οἷς αὐτοὶ θυμιῶσιν αὐτοῖς, οἳ μὴ σώσουσιν αὐτοὺς ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν.

13. Ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ κατ' ἀριθμὸν ἐξόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βωμοὺς θυμιᾷν τῇ Βάαλ.

14. Καὶ σὺ μὴ προςεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν ἐν δεήσει καὶ προςευχῇ, ὅτι οὐκ εἰςακούσομαι ἐν τῷ καιρῷ ἐν ᾧ ἐπικαλοῦνταί με, ἐν καιρῷ κακώσεως αὐτῶν.

15. Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; Μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου, ἢ τούτοις διαφεύξῃ;

16. Ἐλαίαν ὡραίαν, εὔσκιον τῷ εἴδει, ἐκάλεσε Κύριος τὸ ὄνομά σου, εἰς φωνὴν περιτομῆς αὐτῆς, ἀνήφθη πῦρ ἐπ' αὐτὴν, μεγάλη ἡ θλῖψις ἐπὶ σὲ, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς,

17. καὶ Κύριος ὁ καταφυτεύσας σε ἐλάλησεν ἐπὶ σὲ κακὰ ἀντὶ τῆς κακίας οἴκου Ἰσραὴλ καὶ οἴκου Ἰούδα, ὅ τι ἐποίησαν ἑαυτοῖς τοῦ παροργίσαι με ἐν τῷ θυμιᾷν αὐτοὺς τῇ Βάαλ.

18. Κύριε, γνώρισόν μοι, καὶ γνώσομαι. Τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν,

19. ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων. Ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι.

20. Κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου.

21. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· Οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνόματι Κυρίου, εἰ δὲ μὴ, ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν.

22. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ' αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ,

23. καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν· ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

8. Et non fecerunt.

9. Et dixit Dominus ad me : Inventa est colligatio in viris Juda, et in habitatoribus Jerusalem :

10. reversi sunt ad iniquitates patrum suorum priores, qui noluerunt exaudire verba mea, et ecce ipsi abeunt post deos alienos, ad serviendum eis, et dissipavit domus Israel et domus Juda testamentum meum, quod disposui ad patres eorum.

11. Propterea hæc dicit Dominus : Ecce ego induco super populum hunc mala, ex quibus exire non poterunt ex eis : et clamabunt ad me, et non exaudiam eos,

12. et ibunt civitates Juda et habitatores Jerusalem, et clamabunt ad deos quibus ipsi adolent eis, qui non salvabunt eos in tempore malorum eorum.

13. Juxta enim numerum civitatum tuarum erant dii tui, Juda, et juxta numerum viarum Jerusalem posuistis aras ad incensum adolendum Baal.

14. Et tu noli orare pro populo hoc, et noli postulare pro eis in oratione et deprecatione, quia non exaudiam in tempore in quo invocabunt me, in tempore afflictionis suæ.

15. Quid dilecta in domo mea fecit abominationem? Numquid vota et carnes sanctæ auferent a te malitias tuas, aut propter ista effugies;

16. Olivam pulchram, bene opacam specie, vocavit Dominus nomen tuum, ad vocem circumcisionis ejus, accensus est ignis super eam, magna tribulatio super te, inutiles facti sunt rami ejus,

16. et Dominus qui plantavit te locutus est super te mala pro malitia domus Israel et domus Juda, quicquid fecerunt sibi ad irritandum me in adolendo ipsos Baal.

18. Domine, notum fac mihi, et cognoscam. Tunc vidi studia eorum,

19. ego autem quasi agnus innocens ductus ad immolandum, non cognoscebam. Super me cogitaverunt cogitationem malam, dicentes : Venite, et mittamus lignum in panem ejus, et exteramus eum de terra viventium, et nomen ejus non memoretur amplius.

20. Domine judicans justa, probans renes et corda, videam eam quæ a te ultionem ex eis, quoniam ad te revelavi justificationem meam.

21. Idcirco hæc dicit Dominus super viros Anathoth qui quærunt animam meam, dicentes : Non prophetabis in nomine Domini, alioqui morieris in manibus nostris.

22. Ecce ego visitabo super eos : juvenes eorum in gladio morientur, et filii eorum et filiæ eorum morientur in fame,

25. et reliquiæ non erunt eorum : inducam enim mala super habitatores Anathoth, in anno visitationis eorum.

(*) 8. Καὶ οὐκ ἤκουσαν, οὐδὲ ἔκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐπορεύοντο ἕκαστος ἐν σκολιότητι τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς· καὶ εἰςήγαγον ἐπ' αὐτοὺς πάντα τὰ ῥήματα τῆς διαθήκης ταύτης, ἣς ἐνετειλάμην τοῦ ποιῆσαι καὶ οὐκ ἐποίησαν. (*Compl.*)

8. Et non audierunt, neque inclinaverunt aurem suam, et abierunt unusquisque in pravitate cordis sui : et induxi super eos omnia verba testamenti hujus quod præcepi ut facerent. et non fecerunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα;

2. Ἐφύτευσας αὐτοὺς, καὶ ἐῤῥιζώθησαν· ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπόν. Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν.

3. Καὶ σὺ, Κύριε, γινώσκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν.

4. Ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; Ἠφανίσθησαν κτήνη καὶ πετεινὰ, ὅτι εἶπαν· Οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν.

5. Σοῦ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε· πῶς παρασκευάσῃ ἐφ' ἵπποις, καὶ ἐν γῇ εἰρήνης σου πέποιθας; Πῶς ποιήσεις ἐν φρυάγματι τοῦ Ἰορδάνου;

6. Ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου, καὶ οὗτοι ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν· μὴ πιστεύσῃς ἐν αὐτοῖς, ὅτι λαλήσουσι πρὸς σὲ καλά.

7. Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς.

8. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν.

9. Μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοὶ, ἢ σπήλαιον κύκλῳ αὐτῆς; Βαδίσατε, συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν.

10. Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον,

11. ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας. Δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ.

12. Ἐπὶ πᾶσαν διεκβολὴν ἐν τῇ ἐρήμῳ ἦλθον ταλαιπωροῦντες, ὅτι μάχαιρα τοῦ Κυρίου καταφάγεται ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς, οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί.

13. Σπείρατε πυροὺς, καὶ ἀκάνθας θερίζετε· οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς· αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν, ἀπὸ ὀνειδισμοῦ ἔναντι Κυρίου,

14. ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου Ἰσραήλ. Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν.

15. Καὶ ἔσται, μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτοὺς, καὶ κατοικιῶ αὐτοὺς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

16. Καὶ ἔσται, ἐὰν μαθόντες μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου, τοῦ ὀμνύειν τῷ ὀνόματί μου, Ζῇ Κύριος, καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ Βάαλ, καὶ οἰκοδομηθήσεται ἐν μέσῳ τοῦ λαοῦ μου.

17. Ἐὰν δὲ μὴ ἐπιστρέψωσι, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο ἐξάρσει καὶ ἀπωλείᾳ.

CAPUT XII.

1. Justus es, Domine, quia satisfaciam tibi: verumtamen judicia loquar ad te. Quid est quod via impiorum prosperatur? abundaverunt omnes qui prævaricantur prævaricationes?

2. Plantasti eos, et radicem miserunt: filios fecerunt, et fecerunt fructum. Prope es tu ori eorum, et longe a renibus eorum.

3. Et tu, Domine, cognoscis me, probasti cor meum coram te: purifica eos in diem occisionis.

4. Usquequo lugebit terra, et omnis herba agri siccabitur a malitia habitantium in ea? Deleta sunt jumenta et volatilia, quia dixerunt: Non videbit Deus vias nostras.

5. Tui pedes currunt, et dissolvunt te: quomodo præparaberis in equis, et in terra pacis confidisti? Quomodo facies in fremitu Jordanis?

6. Nam et fratres tui et domus patris tui, etiam ipsi spreverunt te, et ipsi clamaverunt, ex posterioribus tuis congregati sunt: ne credas in eis, quia loquentur ad te bona.

7. Reliqui domum meam, dimisi hæreditatem meam, dedi dilectam animam meam in manus inimicorum ejus.

8. Facta est hæreditas mea mihi quasi leo in sylva, dedit super me vocem suam, ideo odivi eam.

9. Nonne spelunca hyænæ hæreditas mea mihi, an spelunca in circuitu ejus? Pergite, congregate omnes bestias agri, et veniant ad comedendam eam.

10. Pastores multi disruperunt vineam meam, polluerunt partem meam, dederunt portionem meam desiderabilem in desertum invium,

11. posita est in dissipationem perditionis. Propter me dissipatione dissipata est universa terra, quia non est vir qui ponat in corde.

12. Ad omne diverticulum in deserto venerunt vastatores, quia gladius Domini devorabit ab extremo terræ usque ad extremum terræ, non est pax universæ carni.

13. Seminate frumenta, et spinas metite: cleri eorum non proderunt eis: confundimini a gloriatione vestra, ab opprobrio in conspectu Domini,

14. quia hæc dicit Dominus de omnibus vicinis pessimis, qui tangunt hæreditatem meam, quam distribui populo meo Israel. Ecce ego evello eos de terra sua, et Judam ejiciam de medio eorum.

15. Et erit, postquam ejecero eos, revertar et miserebor eorum, et habitare faciam eos, unumquemque in hæreditate sua, et unumquemque in terra sua.

16. Et erit, si discentes didicerint viam populi mei, ad jurandum in nomine meo, vivit Dominus, sicut docuerunt populum meum jurare in Baal, et ædificabitur in medio populi mei.

17. Si autem non fuerint reversi, et auferam gentem illam ablatione et perditione.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Τάδε λέγει Κύριος· Βάδισον καὶ κτῆσαι σεαυτῷ περίζωμα λινοῦν, καὶ περίθου περὶ τὴν ὀσφύν σου, καὶ ἐν ὕδατι οὐ διελεύσεται.

2. Καὶ ἐκτησάμην τὸ περίζωμα κατὰ τὸν λόγον Κυρίου, καὶ περιέθηκα περὶ τὴν ὀσφύν μου.

3. Καὶ ἐγενήθη λόγος Κυρίου πρὸς μὲ, λέγων·

4. Λάβε τὸ περίζωμα τὸ περὶ τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ βάδισον ἐπὶ τὸν Εὐφράτην, καὶ κατάκρυψον αὐτὸ ἐκεῖ ἐν τῇ τρυμαλιᾷ τῆς πέτρας.

5. Καὶ ἐπορεύθην, καὶ ἔκρυψα αὐτὸ ἐν τῷ Εὐφράτῃ, καθὼς ἐνετείλατό μοι Κύριος.

6. Καὶ ἐγένετο μεθ' ἡμέρας πολλὰς, καὶ εἶπε Κύριος πρὸς μέ· Ἀνάστηθι, βάδισον ἐπὶ τὸν Εὐφράτην, καὶ λάβε ἐκεῖθεν τὸ περίζωμα, ὃ ἐνετειλάμην σοι τοῦ καταχρύψαι ἐκεῖ.

7. Καὶ ἐπορεύθην ἐπὶ τὸν Εὐφράτην ποταμὸν, καὶ ὤρυξα, καὶ ἔλαβον τὸ περίζωμα ἐκ τοῦ τόπου οὗ κατώρυξα αὐτὸ ἐκεῖ· καὶ ἰδοὺ διεφθαρμένον ἦν, ὃ οὐ μὴ χρησθῇ εἰς οὐθέν.

8. Καὶ ἐγενήθη λόγος Κυρίου πρὸς μὲ, λέγων·

9. Τάδε λέγει Κύριος· Οὕτω φθερῶ τὴν ὕβριν Ἰούδα καὶ τὴν ὕβριν Ἱερουσαλὴμ,

10. τὴν πολλὴν ταύτην ὕβριν, τοὺς μὴ βουλομένους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς, καὶ τοῦ προσκυνεῖν αὐτοῖς· καὶ ἔσονται ὥσπερ τὸ περίζωμα τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν.

11. Ὅτι καθάπερ κολλᾶται τὸ περίζωμα περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώπου, οὕτως ἐκόλλησα πρὸς ἐμαυτὸν τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ πάντα οἶκον Ἰούδα, τοῦ γενέσθαι μοι εἰς λαὸν ὀνομαστὸν, καὶ εἰς καύχημα καὶ εἰς δόξαν, καὶ οὐκ εἰσήκουσάν μου.

12. Καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦτον· Πᾶς ἀσκὸς πληρωθήσεται οἴνου. Καὶ ἔσται, ἐὰν εἴπωσι πρὸς σέ· Μὴ γνόντες οὐ γνωσόμεθα ὅτι πᾶς ἀσκὸς πληρωθήσεται οἴνου;

13. Καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ πληρῶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην, καὶ τοὺς βασιλεῖς αὐτῶν τοὺς καθημένους υἱοὺς τοῦ Δαυὶδ ἐπὶ τοῦ θρόνου αὐτῶν, καὶ τοὺς ἱερεῖς καὶ τοὺς προφήτας, καὶ τὸν Ἰούδαν καὶ πάντας τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ μεθύσματι,

14. καὶ διασκορπιῶ αὐτοὺς ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τοὺς πατέρας αὐτῶν καὶ τοὺς υἱοὺς αὐτῶν ἐν τῷ αὐτῷ. Οὐκ ἐπιποθήσω, λέγει Κύριος, καὶ οὐ φείσομαι, καὶ οὐκ οἰκτειρήσω ἀπὸ διαφθορᾶς αὐτῶν.

15. Ἀκούσατε καὶ ἐνωτίσασθε, καὶ μὴ ἐπαίρεσθε, ὅτι Κύριος ἐλάλησε.

16. Δότε τῷ Κυρίῳ Θεῷ ὑμῶν δόξαν πρὸ τοῦ συσκοτάσαι, καὶ πρὸ τοῦ προσκόψαι πόδας ὑμῶν ἐπ' ὄρη σκοτεινά· καὶ ἀναμενεῖτε εἰς φῶς, καὶ ἐκεῖ σκιὰ θανάτου, καὶ τεθήσονται εἰς σκότος.

17. Ἐὰν δὲ μὴ ἀκούσητε, κεκρυμμένως κλαύσεται ἡ ψυχὴ ὑμῶν ἀπὸ προσώπου ὕβρεως, καὶ κατάξουσιν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα, ὅτι συνετρίβη τὸ ποίμνιον Κυρίου.

18. Εἴπατε τῷ βασιλεῖ καὶ τοῖς δυναστεύουσι· Ταπεινώθητε καὶ καθίσατε, ὅτι καθηρέθη ἀπὸ κεφαλῆς ὑμῶν στέφανος δόξης ὑμῶν.

CAPUT XIII.

1. Hæc dicit Dominus : Vade et posside tibi cinctorium lineum, et pone circa lumbum tuum, et per aquam non transibit.

2. Et possedi cinctorium juxta verbum Domini, et posui circa lumbum meum.

3. Et factus est sermo Domini ad me, dicens :

4. Tolle cinctorium quod circa lumbum tuum, et surge, et vade ad Euphratem, et absconde illud ibi in foramine petræ.

5. Et ivi, et abscondi illud in Euphrate, sicut præceperat mihi Dominus.

6. Et factum est post dies multos, et dixit Dominus ad me : Surge, vade ad Euphratem, et tolle inde cinctorium, quod præcepi tibi ut absconderes ibi.

7. Et abii ad Euphratem fluvium, et fodi, et tuli cinctorium de loco ubi defoderam illud ibi : et ecce corruptum erat, ita ut nulli usui aptum esset.

8. Et factum est verbum Domini ad me, dicens :

9. Hæc dicit Dominus : Sic corrumpam contumeliam Juda et contumeliam Jerusalem,

10. multam contumeliam hanc, eos qui nolunt obedire verbis meis, et ambulaverunt post deos alienos ut serviant eis, et adorent eos : et erunt sicut cinctorium istud, quod nulli erit usui.

11. Sicut enim adhæret cinctorium circa lumbum hominis, sic agglutinavi ad me domum Israel et omnem domum Juda, ut esset mihi in populum nominatum, et in gloriationem et in gloriam, et non exaudierunt me.

12. Et dices ad populum istum : Omnis uter implebitur vino. Et erit, si dixerint ad te : Nonne cognoscentes cognoscemus quia omnis uter implebitur vino?

13. Et dices ad eos : Hæc dicit Dominus : Ecce ego impleo habitatores terræ hujus, et reges eorum sedentes filios David super thronum ipsorum, et sacerdotes et prophetas, et Judam et omnes habitatores Jerusalem ebrietate,

14. et dispergam eos virum et fratrem ejus, et patres eorum et filios eorum pariter. Non desiderabo, ait Dominus, et non parcam, et non miserebor a perditione eorum.

15. Audite et auribus percipite, et nolite elevari, quia Dominus locutus est.

16. Date Domino Deo vestro gloriam antequam contenebrescat, et antequam offendant pedes vestri ad montes tenebrosos : et exspectabitis ad lucem, et ibi umbra mortis, et ponentur in tenebris.

17. Quod si non audieritis, in abscondito plorabit anima vestra a facie superbiæ, et deducent oculi vestri lacrymas, quia contritus est grex Domini.

18. Dicite regi et potentibus : Humiliamini et sedete quia sublata est de capite vestro corona gloriæ vestræ.

19. Πόλεις αἱ πρὸς νότον συνεκλείσθησαν, καὶ οὐκ ἦν ὁ ἀνοίγων. Ἀπῳκίσθη Ἰούδας, συνετέλεσαν ἀποικίαν τελείαν.

20. Ἀνάλαβε ὀφθαλμούς σου, Ἱερουσαλήμ, καὶ ἴδε τοὺς ἐρχομένους ἀπὸ βορρᾶ. Ποῦ ἐστι τὸ ποίμνιον ὃ ἐδόθη σοι, πρόβατα δόξης σου;

21. Τί ἐρεῖς ὅταν ἐπισκέπτωνταί σε; Καὶ σὺ ἐδίδαξας αὐτοὺς ἐπὶ σὲ μαθήματα εἰς ἀρχήν. Οὐκ ὠδῖνες καθέξουσί σε καθὼς γυναῖκα τίκτουσαν;

22. Καὶ ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου· Διατί ἀπήντησέ μοι ταῦτα; Διὰ τὸ πλῆθος τῆς ἀδικίας σου ἀνεκαλύφθη τὰ ὀπίσθιά σου, παραδειγματισθῆναι τὰς πτέρνας σου.

23. Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὐποιῆσαι μεμαθηκότες τὰ κακά.

24. Καὶ διέσπειρα αὐτούς, ὡς φρύγανα φερόμενα ὑπὸ ἀνέμου εἰς ἔρημον.

25. Οὕτως ὁ κλῆρός σου, καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοί, λέγει Κύριος. Ὡς ἐπελάθου μου, καὶ ἤλπισας ἐπὶ ψεύδεσι,

26. κἀγὼ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ ὀφθήσεται ἡ ἀτιμία σου,

27. καὶ ἡ μοιχεία σου, καὶ χρεμετισμός σου, καὶ ἡ ἀπαλλοτρίωσις τῆς πορνείας σου. Ἐπὶ τῶν βουνῶν καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά σου. Οὐαί σοι, Ἱερουσαλήμ, ὅτι οὐκ ἐκαθαρίσθης ὀπίσω μου ἕως τίνος ἔτι;

19. Civitates quæ ad austrum conclusæ sunt, et non est qui aperiat. Translatus est Judas, consummaverunt transmigrationem perfectam.

20. Leva oculos tuos, Jerusalem, et vide venientes ab aquilone. Ubi est grex qui datus est tibi, oves gloriæ tuæ?

21. Quid dices cum visitaverint te? Et tu docuisti eos adversum te doctrinas in principatum. Numquid non dolores apprehendent te quasi mulierem parturientem?

22. Quod si dixeris in corde tuo : Quare occurrerunt mihi hæc? Propter multitudinem iniquitatis tuæ revelata sunt posteriora tua, ut dehonestentur calcanei tui.

23. Si mutabit Æthiops pellem suam, et pardus varietates suas, et vos poteritis benefacere cum didiceritis mala.

24. Et disseminavi eos quasi stipulas quæ feruntur a vento in desertum.

25. Sic sors tua, et pars inobedientiæ vestræ adversum me, dicit Dominus. Sicut oblita es mei, et sperasti in mendaciis,

26. et ego nudabo posteriora tua super faciem tuam, et videbitur ignominia tua,

27. et adulterium tuum, et hinnitus tuus, et alienatio fornicationis tuæ. Super colles et in agris vidi abominationes tuas. Væ tibi, Jerusalem, quia non es mundata post me usquequo adhuc?.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

ΚΑΙ ΕΓΕΝΕΤΟ ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΠΕΡΙ ΤΗΣ ΑΒΡΟΧΙΑΣ.

2. Ἐπένθησεν ἡ Ἰουδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκενώθησαν, καὶ ἐσκοτώθησαν ἐπὶ τῆς γῆς, καὶ ἡ κραυγὴ τῆς Ἱερουσαλὴμ ἀνέβη,

3. καὶ οἱ μεγιστᾶνες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ. Ἤλθοσαν ἐπὶ τὰ φρέατα, καὶ οὐχ εὕροσαν ὕδωρ, καὶ ἀπέστρεψαν τὰ ἀγγεῖα αὐτῶν κενά· (*)

4. καὶ τὰ ἔργα τῆς γῆς ἐξέλιπεν, ὅτι οὐκ ἦν ὑετός. Ἠσχύνθησαν οἱ γεωργοί, ἐπεκάλυψαν τὰς κεφαλὰς αὐτῶν.

5. Καὶ ἔλαφοι ἐν ἀγρῷ ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη.

6. Ὄνοι ἄγριοι ἔστησαν ἐπὶ νάπας, καὶ εἵλκυσαν ἄνεμον· ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος.

7. Αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. Κύριε, ποίησον ἡμῖν ἕνεκέν σου, ὅτι πολλαὶ αἱ ἁμαρτίαι ἡμῶν ἐναντίον σου, ὅτι σοὶ ἡμάρτομεν.

8. Ὑπομονὴ Ἰσραήλ, Κύριε, καὶ σώζεις ἐν καιρῷ κακῶν. Ἱνατί ἐγενήθης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς, καὶ ὡς αὐτόχθων ἐκκλίνων εἰς κατάλυμα;

9. Μὴ ἔσῃ ὥσπερ ἄνθρωπος ὑπνῶν, ἢ ὡς ἀνὴρ οὐ δυνάμενος σώζειν; Καὶ σὺ ἐν ἡμῖν εἶ, Κύριε, καὶ τὸ ὄνομά σου ἐπικέκληται ἐφ' ἡμᾶς· μὴ ἐπιλάθῃ ἡμῶν.

10. Οὕτως λέγει Κύριος τῷ λαῷ τούτῳ· Ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο, καὶ ὁ Θεὸς

CAPUT XIV.

ET FACTUM EST VERBUM DOMINI AD JEREMIAM DE SICCITATE.

2. Luxit Judæa, et portæ ejus vacuæ factæ sunt, et contenebratæ sunt super terram, et clamor Jerusalem ascendit,

3. et magnates ejus miserunt juniores suos ad aquam. Venerunt ad puteos, et non invenerunt aquam, et reportaverunt vasa sua vacua :

4. et opera terræ defecerunt, quia non erat pluvia. Confusi sunt agricolæ, operuerunt capita sua.

5. Et cervæ in agro pepererunt, et reliquerunt, quia non erat herba.

6. Onagri steterunt in rupibus, et traxerunt ventum : defecerunt oculi eorum, quia non erat fœnum.

7. Peccata nostra restiterunt nobis. Domine, fac nobis propter te, quoniam multa sunt peccata nostra coram te, quia tibi peccavimus.

8. Expectatio Israel, Domine, et salvabis in tempore malorum. Quare factus es sicut advena in terra, et quasi indigena divertens ad diversorium?

9. Numquid eris quasi homo dormiens, vel quasi vir qui salvare non possit? Et tu in nobis es, Domine, et nomen tuum invocatum est super nos : ne obliviscaris nostri.

10. Sic dicit Dominus populo huic : Dilexerunt movere

(*) 3. ... ᾐσχύνθησαν, καὶ ἠρυθρίασαν, καὶ ἐκάλυψαν τὰς κεφαλὰς αὐτῶν. (*Compl.*)

3. ... confusi sunt, et erubuerunt, et operuerunt capita sua.

οὐχ εὐώδωσεν ἐν αὐτοῖς, νῦν μνησθήσεται τῆς ἀδικίας αὐτῶν. (*)

11. Καὶ εἶπε Κύριος πρὸς μέ· Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου εἰς ἀγαθά,

12. ὅτι, ἐὰν νηστεύσωσιν, οὐκ εἰςακούσομαι τῆς δεήσεως αὐτῶν, καὶ ἐὰν προσενέγκωσιν ὁλοκαυτώματα καὶ θυσίας, οὐκ εὐδοκήσω ἐν αὐτοῖς· ὅτι ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ ἐγὼ συντελέσω αὐτούς.

13. Καὶ εἶπα· Ὁ Ὢν Κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι, καὶ λέγουσιν· Οὐκ ὄψεσθε μάχαιραν, οὐδὲ λιμὸς ἔσται ἐν ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ τόπῳ τούτῳ.

14. Καὶ εἶπε Κύριος πρὸς μέ· Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς· ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν.

15. Διὰ τοῦτο τάδε λέγει Κύριος περὶ τῶν προφητῶν τῶν προφητευόντων ἐπὶ τῷ ὀνόματί μου ψευδῆ, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς, οἳ λέγουσι, μάχαιρα καὶ λιμὸς οὐκ ἔσται ἐπὶ τῆς γῆς ταύτης· ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, καὶ ἐν λιμῷ συντελεσθήσονται οἱ προφῆται.

16. Καὶ ὁ λαὸς οἷς αὐτοὶ προφητεύουσιν αὐτοῖς, καὶ ἔσονται ἐῤῥιμμένοι ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ, καὶ οὐκ ἔσται ὁ θάπτων αὐτοὺς, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες αὐτῶν, καὶ ἐκχεῶ ἐπ' αὐτοὺς τὰ κακὰ αὐτῶν.

17. Καὶ ἐρεῖς πρὸς αὐτοὺς τὸν λόγον τοῦτον· Καταγάγετε ἐπ' ὀφθαλμοὺς ὑμῶν δάκρυα ἡμέρας καὶ νυκτὸς, καὶ μὴ διαλιπέτωσαν, ὅτι συντρίμματι συνετρίβη θυγάτηρ λαοῦ μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα.

18. Ἐὰν ἐξέλθω εἰς τὸ πεδίον, καὶ ἰδοὺ τραυματίαι μαχαίρας· καὶ ἐὰν εἰςέλθω εἰς τὴν πόλιν, καὶ ἰδοὺ πόνος λιμοῦ, ὅτι ἱερεὺς καὶ προφήτης ἐπορεύθησαν εἰς γῆν ἣν οὐκ ᾔδεισαν.

19. Μὴ ἀποδοκιμάζων ἀπεδοκίμασας τὸν Ἰούδαν, καὶ ἀπὸ Σιὼν ἀπέστη ἡ ψυχή σου; Ἱνατί ἔπαισας ἡμᾶς, καὶ οὐκ ἔστιν ἡμῖν ἴασις; Ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθὰ εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ ταραχή.

20. Ἔγνωμεν, Κύριε, ἁμαρτήματα ἡμῶν, ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομεν ἐναντίον σου.

21. Κόπασον διὰ τὸ ὄνομά σου, μὴ ἀπολέσῃς θρόνον δόξης σου· μνήσθητι, μὴ διασκεδάσῃς τὴν διαθήκην σου τὴν μεθ' ἡμῶν.

22. Μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων; Καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ εἶ αὐτός; Καὶ ὑπομενοῦμέν σε, Κύριε, ὅτι σὺ ἐποίησας πάντα ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἐὰν στῇ Μωσῆς καὶ Σαμουὴλ πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς· ἐξαπόστειλον τὸν λαὸν τοῦτον, καὶ ἐξελθέτωσαν.

(*) 10. ... καὶ ἐπεσκέψατο τὰς ἁμαρτίας αὐτῶν. (*Compl.*)

pedes suos, et non pepercerunt, et Deus non prosperavit in eis, nunc recordabitur iniquitatis eorum.

11. Et dixit Dominus ad me : Noli orare pro populo isto in bona,

12. quoniam, si jejunaverint, non exaudiam orationem eorum, et si obtulerint holocaustomata et sacrificia, non placebo mihi in eis : quoniam in gladio et in fame et in morte ego consummabo eos.

13. Et dixi : O On Domine! ecce prophetæ eorum prophetant, et dicunt : Non videbitis gladium, et fames non erit in vobis, quia veritatem et pacem dabo super terram, et in loco isto.

14. Et dixit Dominus ad me : Falsa prophetæ prophetant in nomine meo, non misi eos, et non præcepi eis, et non sum locutus ad eos : visiones enim mendaces, et divinationes et auguria, et electiones cordis sui ipsi prophetant vobis.

15. Ideo hæc dicit Dominus de prophetis qui prophetant in nomine meo falsa, et ego non misi eos, qui dicunt, gladius et fames non erit in terra hac : in morte morbosa morientur, et in fame consumentur prophetæ.

16. Et populus quibus ipsi prophetant eis, et projecti erunt in viis Jerusalem, a facie gladii et famis, et non erit qui sepeliat eos, et uxores eorum, et filii eorum, et filiæ eorum, et effundam super eos mala sua.

17. Et dices ad eos verbum istud : Deducite super oculos vestros lacrymas die ac nocte, et non cessent, quoniam contritione contrita est filia populi mei, et plaga dolorosa valde.

18. Si egressus fuero in campum, et ecce occisi gladio : et si introiero in civitatem, et ecce dolor famis, quia sacerdos et propheta abierunt in terram quam ignorabant.

19. Numquid reprobans reprobasti Judam, et a Sion recessit anima tua? Quare percussisti nos, et non est nobis sanatio? Sustinuimus ad pacem, et non fuerunt bona ad tempus sanationis, et ecce turbatio.

20. Cognovimus, Domine, peccata nostra, iniquitates patrum nostrorum, quia peccavimus coram te.

21. Cessa propter nomen tuum, ne perdas thronum gloriæ tuæ : recordare, ne dissipes testamentum tuum quod nobiscum.

22. Numquid est in idolis gentium qui pluat? Quod si cœlum dabit satietatem suam, nonne tu es ipse? Et sustinebimus te, Domine, quia tu fecisti omnia hæc.

CAPUT XV.

1. Et dixit Dominus ad me : Si steterit Moyses et Samuel ante faciem meam, non est anima mea ad eos : emitte populum istum, et egrediantur.

---

10. ... et visitavit peccata eorum.

2. Καὶ ἔσται, ἐὰν εἴπωσι πρὸς σέ· Ποῦ ἐξελευσόμεθα; καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ὅσοι εἰς θάνατον, εἰς θάνατον· καὶ ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν· καὶ ὅσοι εἰς λιμὸν, εἰς λιμόν· καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν.

3. Καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τέσσαρα εἴδη, λέγει Κύριος· τὴν μάχαιραν εἰς σφαγὴν, καὶ τοὺς κύνας εἰς διασπασμὸν, καὶ τὰ θηρία τῆς γῆς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, εἰς βρῶσιν καὶ διαφθοράν.

4. Καὶ παραδώσω αὐτοὺς εἰς ἀνάγκας πάσαις ταῖς βασιλείαις τῆς γῆς διὰ Μανασσῆ υἱὸν Ἐζεκίου βασιλέως Ἰούδα, περὶ πάντων ὧν ἐποίησεν ἐν Ἱερουσαλήμ.

5. Τίς φείσεται ἐπὶ σοὶ, Ἱερουσαλήμ; καὶ τίς δειλιάσει ἐπὶ σοί; ἢ τίς ἀνακάμψει εἰς εἰρήνην σοι;

6. Σὺ ἀπεστράφης με, λέγει Κύριος, ὀπίσω πορεύσῃ, καὶ ἐκτενῶ τὴν χεῖρά μου, καὶ διαφθερῶ σε, καὶ οὐκέτι ἀνήσω αὐτούς.

7. Καὶ διασπερῶ αὐτοὺς ἐν διασπορᾷ, ἐν πύλαις λαοῦ μου ἠτεκνώθησαν, ἀπώλεσαν τὸν λαόν μου διὰ τὰς κακίας αὐτῶν,

8. ἐπληθύνθησαν αἱ χῆραι αὐτῶν ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης. Ἐπήγαγον ἐπὶ μητέρα νεανίσκους, ταλαιπωρίαν ἐν μεσημβρίᾳ· ἐπέῤῥιψα ἐπ' αὐτὴν ἐξαίφνης τρόμον καὶ σπουδήν.

9. Ἐκενώθη ἡ τίκτουσα ἑπτὰ, ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς, ἐπέδυ ὁ ἥλιος αὐτῇ ἔτι μεσούσης τῆς ἡμέρας, κατῃσχύνθη καὶ ὠνειδίσθη· τοὺς καταλοίπους αὐτῶν εἰς μάχαιραν δώσω ἐναντίον τῶν ἐχθρῶν αὐτῶν.

10. Οἴμοι ἐγὼ, μῆτερ, ὡς τινά με ἔτεκες ἄνδρα δικαζόμενον, καὶ διακρινόμενον πάσῃ τῇ γῇ; Οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς. Ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με.

11. Γένοιτο, Δέσποτα, κατευθυνόντων αὐτῶν· εἰ μὴ παρέστην σοι ἐν καιρῷ τῶν κακῶν αὐτῶν, καὶ ἐν καιρῷ θλίψεως αὐτῶν, εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν.

12. Εἰ γνωσθήσεται σίδηρος, καὶ περιβόλαιον χαλκοῦν ἡ ἰσχύς σου;

13. Καὶ τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω, ἀντάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας σου, καὶ ἐν πᾶσι τοῖς ὁρίοις σου.

14. Καὶ καταδουλώσω σε κύκλῳ τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ ᾗ οὐκ ᾔδεις· ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, ἐφ' ὑμᾶς καυθήσεται.

15. Κύριε, μνήσθητί μου, καὶ ἐπίσκεψαί με, καὶ ἀθώωσόν με ἀπὸ τῶν καταδιωκόντων με, καὶ μὴ εἰς μακροθυμίαν· γνῶθι ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμὸν

16. ὑπὸ τῶν ἀθετούντων τοὺς λόγους σου· συντέλεσον αὐτοὺς, καὶ ἔσται ὁ λόγος σου ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου, ὅτι ἐπικέκληται τὸ ὄνομά σου ἐπ' ἐμοὶ, Κύριε παντοκράτωρ.

17. Οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλὰ εὐλαβούμην ἀπὸ προσώπου χειρός σου· καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην.

18. Ἱνατί οἱ λυποῦντές με κατισχύουσί μου; Ἡ πληγή μου στερεὰ, πόθεν ἰαθήσομαι; Γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδὲς, οὐκ ἔχον πίστιν.

19. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐὰν ἐπιστρέψῃς, καὶ ἀποκαταστήσω σε, καὶ πρὸ προσώπου μου στήσῃ·

2. Et erit, si dixerint ad te : Quo egrediemur? et dices ad eos : Hæc dicit Dominus : Quicumque ad mortem, ad mortem : et quicumque ad gladium, ad gladium : et quicumque ad famem, ad famem : et quicumque ad captivitatem, ad captivitatem.

3. Et ulciscar super eos quatuor species, dicit Dominus : gladium ad occisionem, et canes ad lacerationem, et bestias terræ et volatilia cœli, ad comestionem et corruptionem.

4. Et tradam eos in angustias omnibus regnis terræ propter Manassen filium Ezeciæ regis Juda, pro omnibus quæ fecit in Jerusalem.

5. Quis parcet super te, Jerusalem? et quis contristabitur super te? aut quis curvabit se ad pacem tibi?

6. Tu aversata es me, dicit Dominus, retrorsum ibis, et extendam manum meam, et disperdam te, et nequaquan ultra dimittam eos.

7. Et dispergam eos in dispersionem, in portis popul mei orbati filiis sunt, disperdiderunt populum meum propter malitias suas,

8. multiplicatæ sunt viduæ eorum super arenam maris. Induxi super matrem adolescentes, miseriam in meridie : injeci super eam repente tremorem et trepidationem.

9. Vacua facta est quæ parit septem, afflicta est anima ejus, subiit sol ei cum adhuc medius dies esset, confusa est et maledicta : reliquos eorum in gladium dabo in conspectu inimicorum suorum.

10. Heu me, mater, quare genuisti me virum qui judicer, et discernar omni terræ? Non profui, nec profuit mihi quisquam. Fortitudo mea defecit in iis qui maledicunt mihi.

11. Fiat, Domine, dirigentibus illis : si non astiti tibi in tempore malorum eorum, et in tempore tribulationis eorum, in bona contra inimicum.

12. Si cognoscetur ferrum, et operimentum æneum fortitudo tua?

13. Et thesauros tuos in direptionem dabo, commutationem propter omnia peccata tua, et in cunctis terminis tuis.

14. Et servire te faciam in circuitu inimicis tuis, in terra quam non novisti : quia ignis accensus est e furore meo, super vos ardebit.

15. Domine, recordare mei, et visita me, et tuere me ab his qui persequuntur me, et non in longanimitate : scito quoniam accepi pro te opprobrium

16. ab his qui reprobant sermones tuos : consumma eos, et erit mihi verbum tuum in lætitiam et gaudium cordis mei, quoniam invocatum est nomen tuum super me, Domine omnipotens.

17. Non sedi in consessu ipsorum ludentium, sed metuebam a facie manus tuæ : solus sedebam, quoniam amaritudine repletus sum.

18. Ut quid qui contristant me prævalent adversum me? Plaga mea solida est, unde sanabor? Dum fit facta est mihi quasi aqua mendax, non habens fidem.

19. Ideo hæc dicit Dominus : Si reverteris, et restituam te, et ante faciem meam stabis : et si eduxeris pretiosum a

καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ. Καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σὲ, καὶ σὺ οὐκ ἀναστρέψεις πρὸς αὐτούς.

20. Καὶ δώσω σε τῷ λαῷ τούτῳ ὡς τεῖχος ὀχυρὸν, χαλκοῦν· καὶ πολεμήσουσι πρὸς σὲ, καὶ οὐ μὴ δύνωνται πρὸς σὲ, διότι μετὰ σοῦ εἰμι τοῦ σώζειν σε,

21. καὶ τοῦ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονηρῶν, καὶ λυτρώσομαί σε ἐκ χειρὸς λοιμῶν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

(*) 1. Καὶ σὺ μὴ λάβῃς γυναῖκα, λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ,

2. καὶ οὐ γεννηθήσεταί σοι υἱὸς, οὐδὲ θυγάτηρ ἐν τῷ τόπῳ τούτῳ.

3. Ὅτι τάδε λέγει Κύριος περὶ τῶν υἱῶν καὶ περὶ τῶν θυγατέρων τῶν γεννωμένων ἐν τῷ τόπῳ τούτῳ, καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τετοκυιῶν αὐτοὺς, καὶ περὶ τῶν πατέρων αὐτῶν τῶν γεγεννηκότων αὐτοὺς ἐν τῇ γῇ ταύτῃ.

4. Ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, οὐ κοπήσονται, καὶ οὐ ταφήσονται· εἰς παράδειγμα ἐπὶ προσώπου τῆς γῆς ἔσονται, καὶ τοῖς θηρίοις τῆς γῆς ἔσονται καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· ἐν μαχαίρᾳ πεσοῦνται, καὶ ἐν λιμῷ συντελεσθήσονται.

5. Τάδε λέγει Κύριος· Μὴ εἰσέλθῃς εἰς θίασον αὐτῶν, καὶ μὴ πορευθῇς τοῦ κόψασθαι, καὶ μὴ πενθήσῃς αὐτοὺς, ὅτι ἀφέστακα τὴν εἰρήνην μου ἀπὸ τοῦ λαοῦ τούτου.

(**) 6. Οὐ μὴ κόψονται αὐτοὺς, οὐδὲ ἐντομίδας οὐ μὴ ποιήσουσι, καὶ οὐ ξυρηθήσονται,

7. καὶ οὐ μὴ κλασθῇ ἄρτος ἐν πένθει αὐτῶν εἰς παράκλησιν ἐπὶ τεθνηκότι· οὐ ποτιοῦσιν αὐτὸν ποτήριον εἰς παράκλησιν ἐπὶ πατρὶ καὶ μητρὶ αὐτοῦ.

8. Εἰς οἰκίαν πότου οὐκ εἰσελεύσῃ σὺ, συγκαθίσαι μετ' αὐτῶν τοῦ φαγεῖν καὶ πιεῖν.

9. Διότι τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἰδοὺ ἐγὼ καταλύω ἐκ τοῦ τόπου τούτου ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν, καὶ ἐν ταῖς ἡμέραις ὑμῶν, φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης.

10. Καὶ ἔσται, ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ ῥήματα ταῦτα, καὶ εἴπωσι πρὸς σέ· Διατί ἐλάλησε Κύριος ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα; τίς ἡ ἀδικία ἡμῶν, καὶ τίς ἡ ἁμαρτία ἡμῶν ἣν ἡμάρτομεν ἔναντι Κυρίου τοῦ Θεοῦ ἡμῶν;

11. Καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀνθ' ὧν ἐγκατέλιπόν με οἱ πατέρες ὑμῶν, λέγει Κύριος, καὶ ᾤχοντο ὀπίσω θεῶν ἀλλοτρίων, καὶ ἐδούλευσαν αὐτοῖς καὶ προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον, καὶ τὸν νόμον μου οὐκ ἐφυλάξαντο,

12. καὶ ὑμεῖς ἐπονηρεύσασθε ὑπὲρ τοὺς πατέρας ὑμῶν· καὶ ἰδοὺ ὑμεῖς πορεύεσθε ἕκαστος ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς, τοῦ μὴ ὑπακούειν μου.

13. Καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης εἰς τὴν γῆν ἣν οὐκ ᾔδειτε ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ δουλεύσετε ἐκεῖ θεοῖς ἑτέροις οἳ οὐ δώσουσιν ὑμῖν ἔλεος.

(*) 1. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς μὲ, λέγων·... (*Compl.*)

(**) 6. Καὶ ἀποθανοῦνται μεγάλοι καὶ μικροὶ ἐν τῇ γῇ ταύτῃ, οὐ ταφήσονται, καὶ... (*Compl.*)

vili, quasi os meum eris. Et convertentur ipsi ad te, et tu non converteris ad eos.

20. Et dabo te in populo isto quasi murum munitum, æneum : et bellabunt adversum te, et non poterunt adversum te, quia tecum sum ut salvem te,

21. et eruam te de manu pessimorum, et redimam te de manu pestilentium.

CAPUT XVI.

1. Et tu ne accipias uxorem, dicit Dominus Deus Israel,

2. et non gignetur tibi filius, neque filia in loco isto.

3. Quia hæc dicit Dominus de filiis et de filiabus qui nascuntur in loco isto, et de matribus eorum quæ pepererunt eos, et de patribus eorum qui genuerunt eos in terra ista.

4. In morte morbosa morientur, non plangentur, et non sepelientur : in exemplum super faciem terræ erunt, et bestiis terræ erunt et volatilibus cœli : in gladio cadent, et in fame consummabuntur.

5. Hæc dicit Dominus : Ne ingrediaris in thiasum eorum, et non vadas ad plangendum, neque lugeas eos, quia abstuli pacem meam a populo isto.

6. Non plangent se, neque incisiones facient, neque radentur,

7. neque frangetur panis in luctu eorum in consolationem super mortuum : non dabunt ei potum calicis in consolationem super patrem et matrem ejus.

8. In domum convivii non ingredieris tu, ut sedeas cum eis ad comedendum et bibendum.

9. Quia hæc dicit Dominus Deus Israel : Ecce ego abire facio de loco isto coram oculis vestris, et in diebus vestris, vocem gaudii et vocem lætitiæ, vocem sponsi et vocem sponsæ.

10. Et erit, cum annuntiaveris populo huic omnia verba hæc, et dixerint ad te : Quare locutus est Dominus super nos omnia mala ista? quæ iniquitas nostra, et quod peccatum nostrum quod peccavimus coram Domino Deo nostro?

11. Et dices ad eos : Pro eo quod dereliquerunt me patres vestri, dicit Dominus, et abierunt post deos alienos, et servierunt eis et adoraverunt eos, et me dereliquerunt, et legem meam non custodierunt,

12. et vos male egistis super patres vestros : et ecce vos ambulatis unusquisque post placita cordis vestri pessimi, ad non obediendum mihi.

13. Et abjiciam vos de terra hac in terram quam non novistis vos et patres vestri, et servietis ibi diis aliis qui non dabunt vobis misericordiam.

---

1. Et factum est verbum Domini ad me, dicens :

6. Et morientur magni et parvi in terra ista, non sepelientur, et.

14. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι· Ζῇ Κύριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου,

15. ἀλλὰ ζῇ Κύριος, ὃς ἀνήγαγε τὸν οἶκον Ἰσραὴλ ἀπὸ γῆς βοῤῥᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν.

16. Ἰδοὺ ἐγὼ ἀποστέλλω τοὺς ἁλιεῖς τοὺς πολλοὺς, λέγει Κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα ἀποστέλλω τοὺς πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους, καὶ ἐπάνω παντὸς βουνοῦ, καὶ ἐκ τῶν τρυμαλιῶν τῶν πετρῶν·

17. ὅτι οἱ ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν, καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου.

18. Καὶ ἀνταποδώσω διπλᾶς τὰς κακίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἐφ' αἷς ἐβεβήλωσαν τὴν γῆν μου ἐν τοῖς θνησιμαίοις τῶν βδελυγμάτων αὐτῶν καὶ ἐν ταῖς ἀνομίαις αὐτῶν, ἐν αἷς ἐπλημμέλησαν τὴν κληρονομίαν μου.

19. Κύριε, σὺ ἰσχύς μου, καὶ βοήθειά μου, καὶ καταφυγή μου ἐν ἡμέραις κακῶν. Πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν· Ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλημα.

20. Εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεοὺς, καὶ οὗτοι οὐκ εἰσὶ θεοί;

21. Διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ γνωριῶ αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ὄνομά μοι Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

(*) 5. Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ·

6. καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ, οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθὰ, καὶ κατασκηνώσει ἐν ἁλίμοις, καὶ ἐν ἐρήμῳ, ἐν γῇ ἁλμυρᾷ ἥτις οὐ κατοικεῖται.

7. Καὶ εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ·

8. καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα, καὶ ἐπὶ ἰκμάδα βαλεῖ ῥίζαν αὐτοῦ. Οὐ φοβηθήσεται ὅταν ἔλθῃ καῦμα, καὶ ἔσται ἐπ' αὐτῷ στελέχη ἀλσώδη· ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ διαλείψει ποιῶν καρπόν.

9. Βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστι καὶ τίς γνώσεται αὐτόν;

(*) 1. Ἁμαρτία Ἰούδα γεγραμμένη ἐστὶν ἐν γραφίδι σιδηρᾷ, ἐν ὄνυχι ἀδαμαντίνῳ, γεγλυμμένη ἐπὶ πλακὸς τῆς καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν κεράτων τῶν βωμῶν αὐτῶν.

2. Ἐν τῷ μνημονεύειν τοὺς υἱοὺς αὐτῶν τῶν βωμῶν αὐτῶν, καὶ τῶν ἀλσῶν αὐτῶν ἐπὶ ξύλῳ ἀλσώδει, ἐπὶ τῶν βουνῶν τῶν ὑψηλῶν.

3. Ὦ ὀρεινὲ ἐν τῷ πεδίῳ, τὸν πλοῦτόν σου καὶ πάντας τοὺς θησαυρούς σου τῇ προνομῇ δώσω, τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν πᾶσι τοῖς ὁρίοις σου.

4. Καὶ καταλειφθήσῃ ἀπὸ τῆς κληρονομίας σου, ἣν ἔδωκά σοι, καὶ δουλεύειν σε ποιήσω τοῖς ἐχθροῖς σου ἐν τῇ γῇ ἣν οὐκ οἶδας, ὅτι πῦρ ἀνήψατε ἐν τῷ θυμῷ μου, ἕως τοῦ αἰῶνος φλέξει. (*Compl.*)

14. Propterea ecce dies veniunt, dicit Dominus, et non dicent ultra : Vivit Dominus qui eduxit filios Israel de terra Ægypti,

15. sed vivit Dominus, qui eduxit domum Israel de terra aquilonis, et de universis regionibus quo expulsi sunt illuc, et restituam eos in terram suam quam dedi patribus eorum.

16. Ecce ego mitto piscatores multos, dicit Dominus, et piscabuntur eos : et post hæc mitto multos venatores, et venabuntur eos desuper omni monte, et desuper omni colle, et de cavernis petrarum :

17. quia oculi mei super omnes vias eorum, et non sunt absconditæ iniquitates eorum ab oculis meis.

18. Et reddam duplices malitias eorum, et peccata eorum in quibus contaminaverunt terram meam in morticinis abominationum suarum et in suis iniquitatibus, in quibus delinquere fecerunt hæreditatem meam.

19. Domine, tu fortitudo mea, et auxilium meum, et refugium meum in diebus malorum. Ad te gentes venient ab extremo terræ, et dicent : Quam falsa possederunt patres nostri idola, et non est in eis utilitas.

20. Si faciet sibi homo deos, et ipsi non sunt dii?

21. Idcirco ecce ego ostendam eis in tempore illo manum meam, et notam faciam eis virtutem meam, et scient quia nomen mihi Dominus.

CAPUT XVII.

5. Maledictus homo qui spem habet in homine, et firmabit carnem brachii sui super se, et a Domino discedet cor ejus :

6. Et erit sicut myrica sylvestris quæ in deserto est, non videbit cum venient bona, et habitabit in salsis, et in deserto, in terra salsa quæ non habitabitur.

7. Et benedictus homo qui fidit in Domino, et erit Dominus spes ejus :

8. et erit tamquam lignum fructiferum secus aquas, et ad humorem mittet radicem suam. Non timebit cum venerit æstus, et erunt in eo propagines nemorosæ : in anno siccitatis non timebit, et non deficiet faciens fructum.

9. Profundum est cor super omnia, et homo est, et quis cognoscet eum?

---

1. Peccatum Juda inscriptum est in scriptura ferrea, in ungue adamantino, sculptum in tabula cordis eorum, et in cornibus altarium eorum.

2. Cum recordati fuerint filii eorum altarium suorum, et lucorum suorum super lignum condensum, super colles sublimes.

3. O montane in campo, divitias tuas et omnes thesauros tuos in direptionem dabo, excelsa tua in peccato in omnibus finibus tuis.

4. Et derelinqueris ab hæreditate tua, quam dedi tibi, et servire te faciam inimicis tuis in terra quam ignoras, quoniam ignem accendistis in furore meo, usque in æternum ardebit.

10. Ἐγὼ Κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων νεφροὺς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ.

11. Ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε, ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως· ἐν ἡμίσει ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτὸν, καὶ ἐπ' ἐσχάτων αὐτοῦ ἔσται ἄφρων.

12. Θρόνος δόξης ὑψωμένος, ἁγίασμα ἡμῶν,

13. ὑπομονὴ Ἰσραήλ. Κύριε, πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν, ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς τὸν Κύριον.

14. Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι· σῶσόν με, καὶ σωθήσομαι, ὅτι καύχημά μου σὺ εἶ.

15. Ἰδοὺ αὐτοὶ λέγουσι πρός μέ· Ποῦ ἐστιν ὁ λόγος Κυρίου; Ἐλθέτω.

16. Ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα, σὺ ἐπίστη. Τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου, πρὸ προσώπου σου ἐστί·

17. μὴ γενηθῆς μοι εἰς ἀλλοτρίωσιν, φειδόμενός μου ἐν ἡμέρᾳ πονηρᾷ.

18. Καταισχυνθήτωσαν οἱ διώκοντές με, καὶ μὴ καταισχυνθείην ἐγώ· πτοηθείησαν αὐτοὶ, καὶ μὴ πτοηθείην ἐγώ· ἐπάγαγε ἐπ' αὐτοὺς ἡμέραν πονηρὰν, δισσὸν σύντριμμα σύντριψον αὐτούς.

19. Τάδε λέγει Κύριος· Βάδισον, καὶ στῆθι ἐν ταῖς πύλαις υἱῶν λαοῦ σου, ἐν αἷς εἰςπορεύονται ἐν αὐταῖς βασιλεῖς Ἰούδα, καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν πάσαις ταῖς πύλαις Ἱερουσαλὴμ,

20. καὶ ἐρεῖς αὐτοῖς· Ἀκούσατε τὸν λόγον Κυρίου, βασιλεῖς Ἰούδα, καὶ πᾶσα Ἰουδαία, καὶ πᾶσα Ἱερουσαλὴμ, οἱ εἰςπορευόμενοι ἐν ταῖς πύλαις ταύταις·

21. τάδε λέγει Κύριος· Φυλάσσεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ μὴ ἐκπορεύεσθε ταῖς πύλαις Ἱερουσαλὴμ,

22. καὶ μὴ ἐκφέρετε βαστάγματα ἐξ οἰκιῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε. Ἁγιάσατε τὴν ἡμέραν τῶν σαββάτων, καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν.

23. Καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν, τοῦ μὴ ἀκοῦσαί μου, καὶ τοῦ μὴ δέξασθαι παιδείαν.

24. Καὶ ἔσται, ἐὰν εἰςακούσητέ μου, λέγει Κύριος, τοῦ μὴ εἰςφέρειν βαστάγματα διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ ποιεῖν πᾶν ἔργον,

25. καὶ εἰςελεύσονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης βασιλεῖς καὶ ἄρχοντες καθήμενοι ἐπὶ θρόνου Δαυὶδ, καὶ ἐπιβεβηκότες ἐφ' ἅρμασι καὶ ἵπποις αὐτῶν, αὐτοὶ καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ· καὶ κατοικισθήσεται ἡ πόλις αὕτη εἰς τὸν αἰῶνα.

26. Καὶ ἥξουσιν ἐκ τῶν πόλεων Ἰούδα, καὶ κυκλόθεν Ἱερουσαλὴμ, καὶ ἐκ γῆς Βενιαμὶν, καὶ ἐκ γῆς πεδινῆς, καὶ ἐκ τοῦ ὄρους καὶ ἐκ τῆς πρὸς νότον, φέροντες ὁλοκαυτώματα καὶ θυσίας καὶ θυμιάματα καὶ μάννα καὶ λίβανον, φέροντες αἴνεσιν εἰς οἶκον Κυρίου.

27. Καὶ ἔσται, ἐὰν μὴ ἀκούσητέ μου τοῦ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ αἴρειν βαστάγματα,

10. Ego Dominus scrutans corda et probans renes, ad dandum unicuique juxta vias ejus, et secundum fructus adinventionum ejus.

11. Clamavit perdix, congregavit quæ non peperit, faciens divitias suas non cum judicio : in dimidio dierum ejus relinquent eum, et in novissimis suis erit insipiens.

12. Solium gloriæ elevatum, sanctificatio nostra,

13. exspectatio Israel. Domine, omnes qui te dereliquerint confundantur, qui recesserint in terra scribantur, quoniam dereliquerunt fontem vitæ Dominum.

14. Sana me, Domine, et sanabor : salva me, et salvabor, quoniam gloriatio mea tu es.

15. Ecce ipsi dicunt ad me : Ubi est verbum Domini? Veniat.

16. Ego autem non laboravi sequens post te, et diem hominis non desideravi, tu scis. Quæ egrediuntur per labia mea, ante faciem tuam sunt :

17. non fias mihi in alienationem, parcens mihi in die malo.

18. Confundantur qui persequuntur me, et non confundar ego : paveant illi, et non paveam ego : induc super eos diem pessimum, duplici contritione contere eos.

19. hæc dicit Dominus : Vade, et sta in portis filiorum populi tui, in quibus ingrediuntur in eis reges Juda, et in quibus egrediuntur in eis, et in omnibus portis Jerusalem,

20. et dices eis : Audite verbum Domini, reges Juda, et omnis Judæa, et omnis Jerusalem, qui ingredimini in portis his :

21. Hæc dicit Dominus : Custodite animas vestras, et nolite portare pondera in die sabbatorum neque egrediamini portis Jerusalem,

22. neque efferatis pondera e domibus vestris in die sabbatorum, et omne opus non facietis. Sanctificate diem sabbatorum, sicut præcepi patribus vestris.

23. Et non audierunt, nec inclinaverunt aurem suam, et induraverunt cervicem suam super patres suos, ne audirent me, et ne acciperent disciplinam.

24. Et erit, si exaudieritis me, dicit Dominus, ut non inferatis onera per portas civitatis hujus in die sabbatorum, et sanctificetis diem sabbatorum, non faciendo omne opus,

25. et introibunt per portas civitatis hujus reges et principes sedentes super solium David, et ascendentes in curribus et equis suis, ipsi et principes eorum, viri Juda et habitatores Jerusalem : et habitabitur civitas hæc in sempiternum.

26. Et venient de civitatibus Juda, et de circuitu Jerusalem, et de terra Benjamin, et de terra campestri, et de monte et de ea quæ ad austrum, portantes holocaustomata et sacrificia et thymiamata et manna et thus, afferentes laudem in domum Domini.

27. Et erit, si non audieritis me ut sanctificetis diem sabbatorum, non portando onera, et non ingrediendo por-

καὶ μὴ εἰςπορεύεσθαι ταῖς πύλαις Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἀνάψω πῦρ ἐν ταῖς πύλαις αὐτῆς, καὶ καταφάγεται ἄμφοδα Ἱερουσαλὴμ, καὶ οὐ σβεσθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἱερεμίαν, λέγων·

2. Ἀνάστηθι, καὶ κατάβηθι εἰς οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου.

3. Καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων,

4. καὶ ἔπεσε τὸ ἀγγεῖον ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ ποιῆσαι.

5. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

6. Εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς, οἶκος Ἰσραήλ; Ἰδοὺ ὡς ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστε ἐν χερσίν μου.

7. Πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν, τοῦ ἐξᾶραι αὐτοὺς, καὶ τοῦ ἀπολλύειν,

8. καὶ ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς.

9. Καὶ πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν, τοῦ ἀνοικοδομεῖσθαι καὶ τοῦ καταφυτεύεσθαι,

10. καὶ ποιήσωσι τὰ πονηρὰ ἐναντίον μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου· καὶ μετανοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς.

11. Καὶ νῦν εἰπὸν πρὸς ἄνδρας Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας Ἱερουσαλήμ· Ἰδοὺ ἐγὼ πλάσσω ἐφ' ὑμᾶς κακὰ, καὶ λογίζομαι ἐφ' ὑμᾶς λογισμόν. Ἀποστραφήτω δὴ ἕκαστος ἀπὸ ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ καλλίονα ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν.

12. Καὶ εἶπαν· Ἀνδριούμεθα, ὅτι ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεθα, καὶ ἕκαστος τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν.

13. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐρωτήσατε δὴ ἐν ἔθνεσι, τίς ἤκουσε τοιαῦτα φρικτὰ ἃ ἐποίησε σφόδρα παρθένος Ἰσραήλ;

14. Μὴ ἐκλείψουσιν ἀπὸ πέτρας μαστοὶ, ἢ χιὼν ἀπὸ τοῦ Λιβάνου; μὴ ἐκκλίνῃ ὕδωρ βιαίως ἀνέμῳ φερόμενον;

15. Ὅτι ἐπελάθοντό μου λαός μου, εἰς κενὸν ἐθυμίασαν, καὶ ἀσθενήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν σχοίνους αἰωνίους, τοῦ ἐπιβῆναι τρίβους οὐκ ἔχοντας ὁδὸν εἰς πορείαν,

16. τοῦ τάξαι τὴν γῆν αὐτῶν εἰς ἀφανισμὸν, καὶ σύριγμα αἰώνιον· πάντες οἱ διαπορευόμενοι δι' αὐτῆς ἐκστήσονται, καὶ κινήσουσι τὴν κεφαλὴν αὐτῶν.

17. Ὡς ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν αὐτῶν, δείξω αὐτοῖς ἡμέραν ἀπωλείας αὐτῶν.

18. Καὶ εἶπαν· Δεῦτε καὶ λογισώμεθα ἐπὶ Ἱερεμίαν λογισμὸν, ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ ἱερέως, καὶ βουλὴ ἀπὸ συνετοῦ, καὶ λόγος ἀπὸ προφήτου· δεῦτε, καὶ πατάξωμεν αὐτὸν ἐν γλώσσῃ, καὶ ἀκουσόμεθα πάντας τοὺς λόγους αὐτοῦ.

19. Εἰςάκουσόν μου, Κύριε, καὶ εἰςάκουσον τῆς φωνῆς τοῦ δικαιώματός μου.

tis Jerusalem in die sabbatorum, et accendam ignem in portis ejus, et devorabit bivia Jerusalem, et non exstinguetur.

CAPUT XVIII.

1. Verbum quod factum est a Domino ad Jeremiam, dicens :

2. Surge, et descende in domum figuli, et ibi audies verba mea.

3. Et descendi in domum figuli, et ecce ipse faciebat opus super lapides,

4. et cecidit vas quod ipse faciebat in manibus suis, et rursus ipse fecit illud vas alterum, sicut placuerat in conspectu suo facere.

5. Et factum est verbum Domini ad me, dicens :

6. Si quomodo figulus iste non potero facere vos, domus Israel? Ecce sicut lutum figuli vos estis in manibus meis.

7. Ad summam loquar super gentem aut super regnum, ut auferam illos, et disperdam,

8. et convertetur gens illa ab omnibus malis suis, et agam pœnitentiam de malis quæ cogitaveram facere eis.

9. Et ad summam loquar super gentem et regnum, ad reædificandum et plantandum,

10. et facient mala coram me, non audiendo vocem meam : et pœnitentiam agam de bonis quæ locutus eram facere eis.

11. Et nunc dic ad viros Juda et ad habitatores Jerusalem : Ecce ego fingo super vos mala, et cogito super vos cogitationem. Avertatur nunc unusquisque a via sua mala, et meliora facite studia vestra.

12. Et dixerunt : Confortabimur, quia post aversiones nostras ibimus, et unusquisque placita cordis sui mali faciemus.

13. Ideo hæc dicit Dominus : Interrogate nunc in gentibus, quis audivit talia horribilia quæ fecit nimis virgo Israel?

14. Numquid deficient de petra ubera, aut nix de Libano? numquid declinabit aqua violenter sublata vento?

15. Quia obliti sunt mei populus meus, in vacuum adoluerunt, et infirmabuntur in viis suis funiculos sempiternos, ad conscendendum semitas non habentes viam ad iter,

16. ad ponendum terram suam in desolationem, et sibilum sempiternum : omnes transeuntes per eam obstupescent, et movebunt caput suum.

17. Sicut ventum urentem dispergam eos ad faciem inimicorum suorum, ostendam eis diem perditionis eorum.

18. Et dixerunt : Venite et cogitemus super Jeremiam cogitationem, non enim peribit lex a sacerdote, neque consilium a sapiente, nec sermo a propheta : venite, et percutiamus eum in lingua, et audiemus universos sermones ejus.

19. Exaudi me, Domine, et exaudi vocem justificationis meæ.

20. Εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακὰ, ὅτι συνελάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου, καὶ τὴν κόλασιν αὐτῶν ἔκρυψάν μοι; Μνήσθητι ἑστηκότος μου κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑπὲρ αὐτῶν ἀγαθὰ, τοῦ ἀποστρέψαι τὸν θυμόν σου ἀπ' αὐτῶν.

21. Διὰ τοῦτο δὸς τοὺς υἱοὺς αὐτῶν εἰς λιμὸν, καὶ ἄθροισον αὐτοὺς εἰς χεῖρας μαχαίρας. Γενέσθωσαν αἱ γυναῖκες αὐτῶν ἄτεκνοι καὶ χῆραι, καὶ οἱ ἄνδρες αὐτῶν γενέσθωσαν ἀνῃρημένοι θανάτῳ, καὶ οἱ νεανίσκοι αὐτῶν πεπτωκότες μαχαίρᾳ ἐν πολέμῳ.

22. Γενηθήτω κραυγὴ ἐν ταῖς οἰκίαις αὐτῶν. Ἐπάξεις ἐπ' αὐτοὺς λῃστὰς ἄφνω, ὅτι ἐνεχείρησαν λόγον εἰς σύλληψίν μου, καὶ παγίδας ἔκρυψαν ἐπ' ἐμέ.

23. Καὶ σὺ, Κύριε, ἔγνως ἅπασαν τὴν βουλὴν αὐτῶν ἐπ' ἐμὲ εἰς θάνατον· μὴ ἀθῳώσῃς τὰς ἀδικίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου σου μὴ ἐξαλείψῃς. Γενέσθω ἡ ἀσθένεια αὐτῶν ἐναντίον σου, ἐν καιρῷ θυμοῦ σου ποίησον ἐν αὐτοῖς.

20. Si redduntur pro bonis mala, quia collocuti sunt verba contra animam meam, et punitionem suam occultarunt mihi? Recordare quod steterim ego ad faciem tuam, ut loquerer pro eis bona, ut averterem indignationem tuam ab eis.

21. Propterea da filios eorum in famem, et congrega eos in manus gladii. Fiant uxores eorum absque liberis et viduæ, et viri earum sint sublati morte, et juvenes eorum jacentes gladio in prælio.

22. Fiat clamor in domibus eorum. Adduces super eos repente latrones, quia aggressi sunt verbum in captionem mei, et laqueos absconderunt super me.

23. Et tu, Domine, scis omne consilium eorum super me in mortem: ne mundes iniquitates eorum, et peccata eorum a facie tua ne deleas. Fiat infirmitas eorum coram te, in tempore furoris tui fac in eis.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

1. Τότε εἶπε Κύριος πρὸς μέ· Βάδισον, καὶ κτῆσαι βικὸν πεπλασμένον ὀστράκινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ ἀπὸ τῶν ἱερέων,

2. καὶ ἐξελεύσῃ εἰς τὸ πολυάνδριον υἱῶν τῶν τέκνων αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν προθύρων πύλης τῆς Χαρσείθ· καὶ ἀνάγνωθι ἐκεῖ πάντας τοὺς λόγους τούτους, οὓς ἂν λαλήσω πρὸς σὲ,

3. καὶ ἐρεῖς αὐτοῖς· Ἀκούσατε τὸν λόγον Κυρίου, βασιλεῖς Ἰούδα, καὶ ἄνδρες Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις ταύταις. Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακὰ, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει τὰ ὦτα αὐτοῦ,

4. ἀνθ' ὧν ἐγκατέλιπόν με, καὶ ἀπηλλοτρίωσαν τὸν τόπον τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐτῷ θεοῖς ἀλλοτρίοις, οἷς οὐκ ᾔδεισαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν· καὶ οἱ βασιλεῖς Ἰούδα ἔπλησαν τὸν τόπον τοῦτον αἱμάτων ἀθῴων,

5. καὶ ᾠκοδόμησαν ὑψηλὰ τῇ Βάαλ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ, ἃ οὐκ ἐνετειλάμην, οὐδὲ διενοήθην ἐν τῇ καρδίᾳ μου.

6. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ οὐ κληθήσεται τῷ τόπῳ τούτῳ ἔτι διάπτωσις καὶ πολυάνδριον υἱοῦ Ἐννὼμ, ἀλλ' ἢ πολυάνδριον τῆς σφαγῆς.

7. Καὶ σφάξω τὴν βουλὴν Ἰούδα καὶ τὴν βουλὴν Ἱερουσαλὴμ ἐν τῷ τόπῳ τούτῳ, καὶ καταβαλῶ αὐτοὺς ἐν μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, καὶ ἐν χερσὶ τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν· καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς,

8. καὶ κατάξω τὴν πόλιν ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συρισμόν. Πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτῆς σκυθρωπάσει, καὶ συριεῖ ὑπὲρ πάσης τῆς πληγῆς αὐτῆς.

9. Καὶ ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν καὶ τὰς σάρκας τῶν θυγατέρων αὐτῶν, καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ ἔδονται ἐν τῇ περιοχῇ καὶ ἐν τῇ πολιορκίᾳ ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.

CAPUT XIX.

1. Tunc dixit Dominus ad me: Vade, et posside doliolum fictum testeum, et adduces de senioribus populi et de sacerdotibus,

2. et exibis in polyandrion filiorum filiorum eorum, quod est super vestibula portæ Charsith: et lege ibi omnia verba hæc, quæcumque locutus fuero ad te,

3. et dices eis: Audite verbum Domini, reges Juda, et viri Juda, et habitatores Jerusalem, et qui ingredimini in portis his. Hæc dicit Dominus Deus Israel: Ecce ego induco super locum istum mala, ut omnis qui audivit illa tinniant aures ejus,

4. pro eo quod dereliquerunt me, et alienum fecerunt locum istum, et adoluerunt in eo diis alienis, quos nescierunt ipsi et patres eorum: et reges Juda repleverunt locum istum sanguinibus innocentibus,

5. et ædificaverunt excelsa Baal, ad comburendos filios suos in igne, quæ non præcepi, neque cogitavi in corde meo.

6. Idcirco ecce dies veniunt, dicit Dominus, et non vocabitur locus iste amplius ruina et polyandrion filii Ennom, sed polyandrion occisionis.

7. Et jugulabo consilium Juda et consilium Jerusalem in loco isto, et subvertam eos in gladio in conspectu inimicorum suorum, et in manibus quærentium animam eorum: et dabo mortuos eorum in escam volatilibus cœli et bestiis terræ,

8. et detraham civitatem hanc in desolationem et in sibilum. Omnis qui præterit per eam tristabitur, et sibilabit super universa plaga ejus.

9. Et edent carnes filiorum suorum et carnes filiarum suarum, et unusquisque carnes proximi sui comedent in angustia et in obsidione qua obsidebunt eos inimici eorum.

10. Καὶ συντρίψεις τὸν βικὸν κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν ἐκπορευομένων μετὰ σοῦ,

11. καὶ ἐρεῖς· Τάδε λέγει Κύριος· Οὕτως συντρίψω τὸν λαὸν τοῦτον καὶ τὴν πόλιν ταύτην, καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δυνήσεται ἰαθῆναι ἔτι.

12. Οὕτως ποιήσω, λέγει Κύριος, τῷ τόπῳ τούτῳ καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ δοθῆναι τὴν πόλιν ταύτην, ὡς τὴν διαπίπτουσαν.

13. Καὶ οἶκοι Ἱερουσαλὴμ καὶ οἶκοι βασιλέων Ἰούδα ἔσονται καθὼς ὁ τόπος ὁ διαπίπτων, ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις, ἐν αἷς ἐθυμίασαν ἐπὶ τῶν δωμάτων αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις.

14. Καὶ ἦλθεν Ἱερεμίας ἀπὸ τῆς διαπτώσεως οὗ ἀπέστειλεν αὐτὸν Κύριος ἐκεῖ τοῦ προφητεῦσαι· καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου Κυρίου, καὶ εἶπε πρὸς πάντα τὸν λαόν·

15. Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὴν πόλιν ταύτην, καὶ ἐπὶ πάσας τὰς πόλεις αὐτῆς, καὶ ἐπὶ τὰς κώμας αὐτῆς, ἅπαντα τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτήν, ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, τοῦ μὴ εἰσακούειν τῶν ἐντολῶν μου.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

1. Καὶ ἤκουσε Πασχὼρ ὁ υἱὸς Ἐμμὴρ ὁ ἱερεύς, καὶ οὗτος ἦν καθεσταμένος ἡγούμενος οἴκου Κυρίου, τοῦ Ἱερεμίου προφητεύοντος τοὺς λόγους τούτους.

2. Καὶ ἐπάταξεν αὐτόν, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸν καταράκτην, ὃς ἦν ἐν πύλῃ οἴκου ἀποτεταγμένου τοῦ ὑπερῴου, ὃς ἦν ἐν οἴκῳ Κυρίου.

3. Καὶ ἐξήγαγε Πασχὼρ τὸν Ἱερεμίαν ἐκ τοῦ καταράκτου, καὶ εἶπεν αὐτῷ Ἱερεμίας· Οὐχὶ Πασχὼρ ἐκάλεσε τὸ ὄνομά σου, ἀλλ' ἢ μέτοικον.

4. Διότι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ δίδωμί σε εἰς μετοικίαν σὺν πᾶσι τοῖς φίλοις σου· καὶ πεσοῦνται ἐν μαχαίρᾳ ἐχθρῶν αὐτῶν, καὶ οἱ ὀφθαλμοί σου ὄψονται, καὶ σὲ καὶ πάντα Ἰούδα δώσω εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ μετοικιοῦσιν αὐτούς, καὶ κατακόψουσιν ἐν μαχαίραις.

5. Καὶ δώσω τὴν πᾶσαν ἰσχὺν τῆς πόλεως ταύτης, καὶ πάντας τοὺς πόνους αὐτῆς, καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως Ἰούδα εἰς χεῖρας ἐχθρῶν αὐτοῦ, καὶ ἄξουσιν αὐτοὺς εἰς Βαβυλῶνα.

6. Καὶ σὺ καὶ πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου πορεύσεσθε ἐν αἰχμαλωσίᾳ, καὶ ἐν Βαβυλῶνι ἀποθανῇ, καὶ ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ φίλοι σου, οἷς ἐπροφήτευσας αὐτοῖς ψευδῆ.

7. Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην· ἐκράτησας, καὶ ἠδυνάσθης· ἐγενόμην εἰς γέλωτα, πᾶσαν ἡμέραν διετέλεσα μυκτηριζόμενος·

8. ὅτι πικρῷ λόγῳ μου γελάσομαι ἀθεσίαν, καὶ ταλαιπωρίαν ἐπικαλέσομαι, ὅτι ἐγενήθη λόγος Κυρίου εἰς ὀνειδισμὸν ἐμοὶ καὶ εἰς χλευασμὸν πᾶσαν ἡμέραν μου.

9. Καὶ εἶπα· Οὐ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου, καὶ οὐ μὴ λαλήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. Καὶ ἐγένετο ὡς πῦρ καιόμενον φλέγον ἐν τοῖς ὀστοῖς μου, καὶ παρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν,

10. ὅτι ἤκουσα ψόγον πολλῶν συναθροιζομένων κυκλόθεν· Ἐπισύστητε, καὶ ἐπισυστῶμεν ἐπ' αὐτῷ πάντες

10. Et conteres doliolum ad oculos virorum egredientium tecum,

11. et dices : Hæc dicit Dominus : Sic conteram populum istum et civitatem istam, sicut conteritur vas testaceum, quod non poterit ultra sanari.

12. Sic faciam, ait Dominus, loco huic et habitantibus in eo, ut detur civitas ista, sicut quæ corruit.

13. Et domus Jerusalem et domus regum Juda erunt sicut locus corruens, ab immunditiis eorum in omnibus domibus, in quibus sacrificaverunt super tecta earum omni militiæ cœli, et libaverunt libamina diis alienis.

14. Et venit Jeremias de ruina quo miserat eum Dominus illuc ad prophetandum : et stetit in atrio domus Domini, et dixit ad omnem populum :

15. Hæc dicit Dominus : Ecce ego induco super civitatem hanc, et super omnes urbes ejus, et super pagos ejus, universa mala quæ locutus sum super eam, quoniam induraverunt cervicem suam, ut non exaudirent mandata mea.

CAPUT XX.

1. Et audivit Paschor filius Emmer sacerdos et hic constitutus erat præfectus domus Domini, Jeremiam prophetantem sermones istos.

2. Et percussit eum, et misit eum in cataractam, quæ erat in porta domus assignatæ superioris, quæ erat in domo Domini.

3. Et eduxit Paschor Jeremiam de cataracta, et dixit ei Jeremias : Non Paschor vocavit Dominus nomen tuum, sed migrantem.

4. Quia hæc dicit Dominus : Ecce ego do te in migrationem cum omnibus amicis tuis : et cadent in gladio inimicorum suorum, et oculi tui videbunt, et te et omnem Judam dabo in manus regis Babylonis, et migrare facient eos, et trucidabunt in gladiis.

5. Et dabo omnem fortitudinem civitatis hujus, et omnes labores ejus, et omnes thesauros regis Juda in manus inimicorum ejus, et ducent eos in Babylonem.

6. Et tu et omnes habitantes in domo tua ibitis in captivitatem, et in Babylone morieris, et ibi sepelieris tu et omnes amici tui, quibus prophetasti eis falsa.

7. Decepisti me, Domine, et deceptus sum : obtinuisti, et potuisti : factus sum in derisum, tota die perseveravi subsannatus :

8. quia amaro verbo meo ridebo prævaricationem, et miseriam invocabo, quia factus est sermo Domini in opprobrium mihi et in derisum tota die mea.

9. Et dixi : Non nominabo nomen Domini, nec loquar ultra in nomine ipsius. Et factus est quasi ignis ardens urens in ossibus meis, et dissolutus sum undique, et non possum ferre,

10. quia audivi vituperationem multorum congregatorum undique : Insultate, et insultemus in eum omnes viri amici

ἄνδρες φίλοι αὐτοῦ. Τηρήσατε τὴν ἐπίνοιαν αὐτοῦ, εἰ ἀπατηθήσεται, καὶ δυνησόμεθα αὐτῷ, καὶ ληψόμεθα τὴν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ.

11. Ὁ δὲ Κύριος μετ' ἐμοῦ καθὼς μαχητὴς ἰσχύων· διὰ τοῦτο ἐδίωξαν, καὶ νοῆσαι οὐχ ἠδύναντο· ᾐσχύνθησαν σφόδρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίας αὐτῶν, αἳ δι' αἰῶνος οὐκ ἐπιλησθήσονται.

12. Κύριε δοκιμάζων δίκαια, συνιῶν νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὰ ἀπολογήματά μου.

13. Ἄσατε τῷ Κυρίῳ, αἰνέσατε αὐτῷ, ὅτι ἐξείλατο τὴν ψυχὴν πένητος ἐκ χειρὸς πονηρευομένων.

14. Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην ἐν αὐτῇ· ἡ ἡμέρα ἐν ᾗ ἔτεκέ με ἡ μήτηρ μου μὴ ἔστω ἐπευκτή.

15. Ἐπικατάρατος ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος τῷ πατρί μου, λέγων· Ἐτέχθη σοι ἄρσην.

16. Εὐφραινόμενος ἔστω ὁ ἄνθρωπος ἐκεῖνος ὡς αἱ πόλεις ἃς κατέστρεψε Κύριος ἐν θυμῷ, καὶ οὐ μετεμελήθη· ἀκουσάτω κραυγῆς τῷ πρωῒ, καὶ ἀλαλαγμοῦ μεσημβρίας,

17. ὅτι οὐκ ἀπέκτεινέ με ἐν μήτρᾳ, καὶ ἐγένετό μοι ἡ μήτηρ μου τάφος μου, καὶ ἡ μήτρα συλλήψεως αἰωνίας.

18. Ἱνατί τοῦτο ἐξῆλθον ἐκ μήτρας, τοῦ βλέπειν κόπους καὶ πόνους, καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου;

ejus. Observate mentem ejus, si decipietur, et prævalebimus ei, et sumemus vindictam nostram ex eo.

11. Dominus autem mecum quasi bellator fortis. Idcirco persecuti sunt, et intelligere non potuerunt : confortati sunt valde, quia non intellexerunt ignominias suas, quæ per sæculum non tradentur oblivioni.

12. Domine probans justa, intelligens renes et corda, videam ultionem quæ a te in eis, quia ad te revelavi defensiones meas.

13. Cantate Domino, laudate eum, quia liberavit animam pauperis de manu malignantium.

14. Maledicta dies in qua natus sum in ea : dies in qua peperit me mater mea non sit benedicta.

15. Maledictus homo qui evangelizavit patri meo, dicens : Natus est tibi masculus.

16. Lætans sit homo ille sicut civitates quas subvertit Dominus in furore, et non pœnituit eum : audiat clamorem mane, et ululatum meridie,

17. quia non interfecit me in vulva, et facta est mihi mater mea sepulcrum meum, et vulva conceptionis æternæ.

18. Ut quid ita egressus sum e vulva, ut viderem labores et dolores, et consummati sunt in confusione dies mei?

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

1. Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἱερεμίαν, ὅτε ἀπέστειλε πρὸς αὐτὸν ὁ βασιλεὺς Σεδεκίας τὸν Πασχὼρ υἱὸν Μελχίου, καὶ Σοφονίαν υἱὸν Βασαίου τὸν ἱερέα, λέγων·

2. Ἐπερώτησον περὶ ἡμῶν Κύριον, ὅτι βασιλεὺς Βαβυλῶνος ἐφέστηκεν ἐφ' ἡμᾶς, εἰ ποιήσει Κύριος κατὰ πάντα τὰ θαυμάσια αὐτοῦ, καὶ ἀπελεύσεται ἀφ' ἡμῶν;

3. Καὶ εἶπε πρὸς αὐτοὺς Ἱερεμίας· Οὕτως ἐρεῖτε πρὸς Σεδεκίαν βασιλέα Ἰούδα·

4. Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πολεμικὰ, ἐν οἷς ὑμεῖς πολεμεῖτε ἐν αὐτοῖς πρὸς τοὺς Χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς ἔξωθεν τοῦ τείχους· καὶ συνάξω αὐτοὺς εἰς τὸ μέσον τῆς πόλεως ταύτης,

5. καὶ πολεμήσω ἐγὼ ὑμᾶς ἐν χειρὶ ἐκτεταμένῃ, καὶ ἐν βραχίονι κραταιῷ μετὰ θυμοῦ καὶ ὀργῆς μεγάλης·

6. καὶ πατάξω πάντας τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ, τοὺς ἀνθρώπους καὶ τὰ κτήνη, ἐν θανάτῳ μεγάλῳ, καὶ ἀποθανοῦνται.

7. Καὶ μετὰ ταῦτα οὕτως λέγει Κύριος· Δώσω τὸν Σεδεκίαν βασιλέα Ἰούδα, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τὸν λαὸν καταλειφθέντα ἐν τῇ πόλει ταύτῃ ἀπὸ τοῦ θανάτου καὶ ἀπὸ τοῦ λιμοῦ καὶ ἀπὸ τῆς μαχαίρας, εἰς χεῖρας ἐχθρῶν αὐτῶν, τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν, καὶ κατακόψουσιν αὐτοὺς ἐν στόματι μαχαίρας· οὐ φείσομαι ἐπ' αὐτοῖς, καὶ οὐ μὴ οἰκτειρήσω αὐτούς.

8. Καὶ πρὸς τὸν λαὸν τοῦτον ἐρεῖς· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου.

9. Ὁ καθήμενος ἐν τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν

CAPUT XXI.

1. Verbum quod factum est a Domino ad Jeremiam, quando misit ad eum rex Sedecias Phaschor filium Melchiæ, et Sophoniam filium Basaiæ sacerdotem, dicens :

2. Interroga pro nobis Dominum, quia rex Babylonis insurrexit super nos, si faciet Dominus secundum omnia mirabilia sua, et recedet a nobis?

3. Et dixit ad eos Jeremias : Sic dicetis ad Sedeciam regem Juda :

4. Hæc dicit Dominus : Ecce ego converto arma bellica, in quibus vos pugnatis in eis adversus Chaldæos qui concluserunt vos extra murum : et congregabo eos in medio civitatis hujus,

5. et debellabo ego vos in manu extenta, et in brachio forti cum furore et ira magna :

6. et percutiam omnes habitantes in civitate hac, homines et jumenta, in morte magna, et morientur.

7. Et post hæc sic ait Dominus : Dabo Sedeciam regem Juda, et pueros ejus, et populum derelictum in civitate hac a morte et a fame et a gladio, in manus inimicorum eorum, quærentium animas eorum, et trucidabunt eos in ore gladii : non parcam super eis, et non miserebor eorum.

8. Et ad populum hunc dices : Hæc dicit Dominus : Ecce ego dedi ante faciem vestram viam vitæ et viam mortis.

9. Sedens in urbe hac morietur in gladio et in fame : et

μαχαίρᾳ καὶ ἐν λιμῷ· καὶ ὁ ἐκπορευόμενος προςχωρῆσαι πρὸς τοὺς Χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς σκῦλα, καὶ ζήσεται.

10. Διότι ἐστήριχα τὸ πρόςωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά. Εἰς χεῖρας βασιλέως Βαβυλῶνος παραδοθήσεται, καὶ κατακαύσει αὐτὴν ἐν πυρί.

11. Ὁ οἶκος βασιλέως Ἰούδα, ἀκούσατε λόγον Κυρίου,

12. οἶκος Δαυὶδ, τάδε λέγει Κύριος· Κρίνατε πρωῒ κρίμα, καὶ κατευθύνατε καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν, ὅπως μὴ ἀναφθῇ ὡς πῦρ ἡ ὀργή μου, καὶ καυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων.

13. Ἰδοὺ ἐγὼ πρὸς σὲ τὸν κατοικοῦντα τὴν κοιλάδα Σὸρ, τὴν πεδεινὴν, τοὺς λέγοντας· Τίς πτοήσει ἡμᾶς, ἢ τίς εἰςελεύσεται πρὸς τὸ κατοικητήριον ἡμῶν;

14. Καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ ἔδεται πάντα τὰ κύκλῳ αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

1. Τάδε λέγει Κύριος· Πορεύου καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ βασιλέως Ἰούδα, καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον,

2. καὶ ἐρεῖς· Ἄκουε λόγον Κυρίου, βασιλεῦ Ἰούδα, ὁ καθήμενος ἐπὶ θρόνου Δαυὶδ, σὺ καὶ ὁ οἶκός σου καὶ ὁ λαός σου, καὶ οἱ εἰςπορευόμενοι ταῖς πύλαις ταύταις.

3. Τάδε λέγει Κύριος· Ποιεῖτε κρίσιν καὶ δικαιοσύνην, καὶ ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν, καὶ προςήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύετε, καὶ μὴ ἀσεβεῖτε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ.

4. Διότι ἐὰν ποιοῦντες ποιήσητε τὸν λόγον τοῦτον, καὶ εἰςελεύσονται ἐν ταῖς πύλαις τοῦ οἴκου τούτου βασιλεῖς καθήμενοι ἐπὶ θρόνου Δαυὶδ, καὶ ἐπιβεβηκότες ἐφ' ἁρμάτων καὶ ἵππων, αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν καὶ ὁ λαὸς αὐτῶν.

5. Ἐὰν δὲ μὴ ποιήσητε τοὺς λόγους τούτους, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, ὅτι εἰς ἐρήμωσιν ἔσται ὁ οἶκος οὗτος.

6. Ὅτι τάδε λέγει Κύριος κατὰ τοῦ οἴκου βασιλέως Ἰούδα· Γαλαὰδ, σύ μοι ἀρχὴ τοῦ Λιβάνου, ἐὰν μὴ θῶ σε εἰς ἔρημον, πόλεις μὴ κατοικηθησομένας,

7. καὶ ἐπάξω ἐπὶ σὲ ὀλοθρεύοντα ἄνδρα, καὶ τὸν πέλεκυν αὐτοῦ, καὶ ἐκκόψουσι τὰς ἐκλεκτὰς κέδρους σου, καὶ ἐμβαλοῦσιν εἰς τὸ πῦρ.

8. Καὶ διελεύσονται ἔθνη διὰ τῆς πόλεως ταύτης, καὶ ἐρεῖ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Διατί ἐποίησε Κύριος οὕτως τῇ πόλει ταύτῃ τῇ μεγάλῃ;

9. Καὶ ἐροῦσιν, ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην Κυρίου Θεοῦ αὐτῶν, καὶ προσεκύνησαν θεοῖς ἀλλοτρίοις, καὶ ἐδούλευσαν αὐτοῖς.

10. Μὴ κλαίετε τὸν τεθνηκότα, μηδὲ θρηνεῖτε αὐτόν· κλαύσατε κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι οὐκ ἐπιστρέψει ἔτι, οὐδὲ ὄψεται τὴν γῆν πατρίδος αὐτοῦ.

11. Διότι τάδε λέγει Κύριος ἐπὶ Σελλὴμ υἱὸν Ἰωσία τὸν βασιλεύοντα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ, ὃς ἐξῆλθεν ἐκ τοῦ τόπου τούτου· Οὐκ ἀναστρέψει ἐκεῖ ἔτι,

12. ἀλλ' ἢ ἐν τῷ τόπῳ τούτῳ οὗ μετῴκισα αὐτὸν, ἐκεῖ ἀποθανεῖται, καὶ τὴν γῆν ταύτην οὐκ ὄψεται ἔτι.

egrediens accedere ad Chaldæos qui concluserunt vos vivet, et erit anima ejus in spolia, et vivet.

10. Obfirmavi enim faciem meam super civitatem hanc in mala, et non in bona. In manus regis Babylonis tradetur, et comburet eam in igne.

11. Domus regis Juda, audite verbum Domini,

12. domus David, Hæc dicit Dominus : Judicate mane judicium, et dirigite et liberate direptum de manu opprimentis eum, ut non accendatur quasi ignis ira mea, et ardebit, et non erit qui exstinguat.

13. Ecce ego ad te inhabitantem vallem Sor, campestrem, qui dicitis : Quis terrebit nos, aut quis ingredietur in habitaculum nostrum?

14. Et succendam ignem in saltu ejus, et devorabit omnia quæ in circuitu ejus.

CAPUT XXII.

1. Hæc dicit Dominus : Vade et descende in domum regis Juda, et loqueris ibi verbum hoc,

2. et dices : Audi verbum Domini, rex Juda, qui sedes super solium David, tu et domus tua et populus tuus, et qui ingredimini per portas istas.

3. Hæc dicit Dominus : Facite judicium et justitiam, et liberate direptum de manu injuriantis eum, et advenam et pupillum et viduam non opprimatis, neque impie agatis, et sanguinem innocentem ne effundatis in loco isto.

4. Si enim facientes feceritis verbum istud, et ingredientur in portis domus hujus reges sedentes super thronum David, et ascendentes super currus et equos, ipsi et pueri eorum et populus eorum.

5. Quod si non feceritis verba hæc, per memetipsum juravi, dicit Dominus, quia in solitudinem erit domus hæc.

6. Quia hæc dicit Dominus super domum regis Juda : Galaad, tu mihi principium Libani, si non posuero te in solitudinem, urbes non habitandas,

7. et inducam super te exterminantem virum, et securim ejus, et succident electas cedros tuas, et mittent in ignem.

8. Et pertransibunt gentes per civitatem hanc, et dicet unusquisque ad proximum suum : Quare fecit Dominus sic civitati huic magnæ?

9. Et dicent, pro eo quod dereliquerunt testamentum Domini Dei sui, et adoraverunt deos alienos, et servierunt eis.

10. Nolite flere mortuum, neque lamentemini eum : plorate ploratione eum qui egreditur, quia non revertetur ultra, nec videbit terram patriæ suæ.

11. Quia hæc dicit Dominus ad Sellem filium Josiæ regnantem pro Josia patre ejus, qui egressus est de loco isto : Non revertetur huc amplius,

12. sed in loco isto quo transtuli eum, ibi morietur, et terram hanc non videbit amplius.

13. Ὁ οἰκοδομῶν οἰκίαν αὐτοῦ οὐ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῷα αὐτοῦ οὐκ ἐν κρίματι, παρὰ τῷ πλησίον αὐτοῦ ἐργᾶται δωρεὰν, καὶ τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσει αὐτῷ.

14. Ὠκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῥιπιστὰ διεσταλμένα θυρίσι, καὶ ἐξυλωμένα ἐν κέδρῳ καὶ κεχρισμένα ἐν μίλτῳ.

15. Μὴ βασιλεύσῃς, ὅτι σὺ παροξυνῇ ἐν Ἄχαζ τῷ πατρί σου; οὐ φάγονται, καὶ οὐ πίονται. Βέλτιόν σε ποιεῖν κρῖμα καὶ δικαιοσύνην.

16. Οὐκ ἔγνωσαν, οὐκ ἔκριναν κρίσιν ταπεινῷ, οὐδὲ κρίσιν πένητος. Οὐ τοῦτό ἐστι τὸ μὴ γνῶναί σε ἐμὲ, λέγει Κύριος;

17. Ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλὴ, ἀλλὰ εἰς τὴν πλεονεξίαν σου, καὶ εἰς τὸ αἷμα τὸ ἀθῷον, τοῦ ἐκχέαι αὐτὸ, καὶ εἰς ἀδικήματα καὶ εἰς φόνον, τοῦ ποιεῖν αὐτά.

18. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ Ἰωακεὶμ υἱὸν Ἰωσία βασιλέα Ἰούδα, καὶ ἐπὶ τὸν ἄνδρα τοῦτον· Οὐ κόψονται αὐτὸν, ὦ ἀδελφὲ, οὐδὲ μὴ κλαύσονται αὐτὸν, οἴμοι, Κύριε.

19. Ταφὴν ὄνου ταφήσεται, συμψησθεὶς ῥιφήσεται ἐπέκεινα τῆς πύλης Ἱερουσαλήμ.

20. Ἀνάβηθι εἰς τὸν Λίβανον καὶ κράξον, καὶ εἰς τὴν Βασὰν δὸς τὴν φωνήν σου, καὶ βόησον εἰς τὸ πέρας τῆς θαλάσσης, ὅτι συνετρίβησαν πάντες οἱ ἐρασταί σου.

21. Ἐλάλησα πρὸς σὲ ἐν τῇ παραπτώσει σου, καὶ εἶπας· Οὐκ ἀκούσομαι. Αὕτη ἡ ὁδός σου ἐκ νεότητός σου, οὐκ ἤκουσας τῆς φωνῆς μου.

22. Πάντας τοὺς ποιμένας σου ποιμανεῖ ἄνεμος, καὶ οἱ ἐρασταί σου ἐν αἰχμαλωσίᾳ ἐξελεύσονται, ὅτι τότε αἰσχυνθήσῃ καὶ ἀτιμωθήσῃ ἀπὸ πάντων τῶν φιλούντων σε.

23. Κατοικοῦσα ἐν τῷ Λιβάνῳ, ἐννοσσεύουσα ἐν ταῖς κέδροις, καταστενάξεις ἐν τῷ ἐλθεῖν σοι ὀδύνας ὡς τικτούσης.

24. Ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν γενόμενος γένηται Ἰεχονίας υἱὸς Ἰωακεὶμ βασιλεὺς Ἰούδα ἀποσφράγισμα ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐκεῖθεν ἐκσπάσω σε,

25. καὶ παραδώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου, ὧν σὺ εὐλαβῇ ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν Χαλδαίων,

26. καὶ ἀποῤῥίψω σε καὶ τὴν μητέρα σου τὴν τεκοῦσάν σε, εἰς γῆν ου οὐκ ἐτέχθης ἐκεῖ, καὶ ἐκεῖ ἀποθανεῖσθε.

27. Εἰς δὲ τὴν γῆν ἣν αὐτοὶ εὔχονται ταῖς ψυχαῖς αὐτῶν, οὐ μὴ ἀποστρέψωσιν.

28. Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστι χρεία αὐτοῦ, ὅτι ἐξεῤῥίφη, καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδει.

29. Γῆ, γῆ, ἄκουε λόγον Κυρίου·

30. Γράψον τὸν ἄνδρα τοῦτον, ἐκκήρυκτον ἄνθρωπον, ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαυὶδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδα.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

1. Ὦ ποιμένες οἱ ἀπολλύοντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς αὐτῶν,

2. διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου· Ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά

13. Qui ædificat domum suam non cum justitia, et cœnacula sua non in judicio, apud proximum suum operatur gratis, et mercedem ejus non redet ei.

14. Ædificasti tibi domum commensuratam, cœnacula perflatilia distincta fenestris, et contignata in cedro et linita in sinopide.

15. Numquid regnabis, quia tu contendis in Achaz patre tuo? non comedent, et non bibent. Melius tibi erat facere judicium et justitiam.

16. Non cognoverunt, non judicaverunt judicium humili, neque judicium pauperis. Nonne hoc est te ignorare me, dicit Dominus?

17. Ecce non sunt oculi tui, neque cor tuum bonum, sed ad avaritiam tuam, et ad sanguinem innocentem, ut effundas illum, et ad iniquitates et homicidium, ut facias ea.

18. Propterea hæc dicit Dominus ad Joacim filium Josiæ regem Juda, et super virum istum: Non plangent eum, o frater, neque plorabunt eum, heu mihi, Domine.

19. Sepulcro asini sepelietur, raptatus projicietur ultra portam Jerusalem.

20. Ascende in Libanum et clama, et in Basan da vocem tuam, et clama trans mare, quia contriti sunt omnes amatores tui.

21. Locutus sum ad te in ruina tua, et dixisti: Non audiam. Hæc est via tua ab adolescentia tua, non audisti vocem meam.

22. Omnes pastores tuos pascet ventus, et amatores tui in captivitatem egredientur, quia tunc confunderis et inhonoraberis ab omnibus diligentibus te.

23. Quæ habitas in Libano, quæ nidificas in cedris, ingemisces cum venerint tibi dolores quasi parientis.

24. Vivo ego, dicit Dominus, si factus fuerit Jechonias filius Joacim rex Juda sigillum super manum dexteram meam, inde evellam te,

25. et tradam te in manus quærentium animam tuam, quorum tu formidas a facie eorum, in manus Chaldæorum,

26. et projiciam te et matrem tuam quæ peperit te, in terram ubi non es natus illic, ibique moriemini.

27. In terram autem quam ipsi optant animabus suis, non revertentur.

28. Inhonoratus est Jechonias quasi vas cujus non est utilitas ejus, quia abjectus est, et ejectus in terram quam ignoravit.

29. Terra, terra, audi sermonem Domini:

30. Scribe virum istum, abdicatum hominem, a qui non crescet de semine ejus qui sedeat super thronum David, princeps ultra in Juda.

CAPUT XXIII.

1. O pastores qui disperditis et dissipatis oves pascuæ eorum,

2. ideo hæc dicit Dominus super pascentes populum meum: Vos dispersistis oves meas et expulistis eas, et non

μου καὶ ἐξώσατε αὐτὰ, καὶ οὐκ ἐπεσκέψασθε αὐτά· ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν,

3. καὶ ἐγὼ εἰςδέξομαι τοὺς καταλοίπους τοῦ λαοῦ μου ἐπὶ πάσης τῆς γῆς οὗ ἔξωσα αὐτοὺς ἐκεῖ, καὶ καταστήσω αὐτοὺς εἰς τὴν νομὴν αὐτῶν, καὶ αὐξηθήσονται, καὶ πληθυνθήσονται.

4. Καὶ ἀναστήσω αὐτοῖς ποιμένας οἳ ποιμανοῦσιν αὐτοὺς, καὶ οὐ φοβηθήσονται ἔτι, οὐδὲ πτοηθήσονται, λέγει Κύριος.

5. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυὶδ Ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς.

6. Ἐν ταῖς ἡμέραις αὐτοῦ, καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς· καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος, Ἰωσεδὲκ, ἐν τοῖς προφήταις. (a)

9. Συνετρίβη ἡ καρδία μου ἐν ἐμοὶ, ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθην ὡς ἀνὴρ συντετριμμένος, καὶ ὡς ἄνθρωπος συνεχόμενος ἀπὸ οἴνου ἀπὸ προςώπου Κυρίου καὶ ἀπὸ προςώπου εὐπρεπείας δόξης αὐτοῦ·

10. ὅτι ἀπὸ προςώπου τούτων ἐπένθησεν ἡ γῆ, ἐξηράνθησαν αἱ νομαὶ τῆς ἐρήμου· καὶ ἐγένετο ὁ δρόμος αὐτῶν πονηρὸς, καὶ ἡ ἰσχὺς αὐτῶν οὕτως.

11. Ὅτι ἱερεὺς καὶ προφήτης ἐμολύνθησαν, καὶ ἐν τῷ οἴκῳ μου εἶδον πονηρίας αὐτῶν.

12. Διὰ τοῦτο γενέσθω ἡ ὁδὸς αὐτῶν αὐτοῖς εἰς ὀλίσθημα ἐν γνόφῳ, καὶ ὑποσκελισθήσονται, καὶ πεσοῦνται ἐν αὐτῇ· διότι ἐπάξω ἐπ' αὐτοὺς κακὰ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

13. Καὶ ἐν τοῖς προφήταις Σαμαρείας εἶδον ἀνομήματα. Ἐπροφήτευσαν διὰ τῆς Βάαλ, καὶ ἐπλάνησαν τὸν λαόν μου Ἰσραήλ.

14. Καὶ ἐν τοῖς προφήταις Ἱερουσαλὴμ ἑώρακα φρικτὰ, μοιχωμένους, καὶ πορευομένους ἐν ψεύδεσι, καὶ ἀντιλαμβανομένους χειρῶν πολλῶν, τοῦ μὴ ἀποστραφῆναι ἕκαστον ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. Ἐγενήθησάν μοι πάντες ὡς Σόδομα, καὶ οἱ κατοικοῦντες αὐτὴν ὥσπερ Γόμοῤῥα.

15. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ὀδύνην, καὶ ποτιῶ αὐτοὺς ὕδωρ πικρὸν, ὅτι ἀπὸ τῶν προφητῶν Ἱερουσαλὴμ ἐξῆλθε μολυσμὸς πάσῃ τῇ γῇ.

16. Οὕτως λέγει Κύριος παντοκράτωρ· Μὴ ἀκούετε τοὺς λόγους τῶν προφητῶν, ὅτι ματαιοῦσιν ἑαυτοῖς ὅρασιν, ἀπὸ καρδίας αὐτῶν λαλοῦσι, καὶ οὐκ ἀπὸ στόματος Κυρίου.

17. Λέγουσι τοῖς ἀπωθουμένοις τὸν λόγον Κυρίου· Εἰρήνη ἔσται ὑμῖν, καὶ πᾶσι τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν, καὶ παντὶ τῷ πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ εἶπαν· Οὐχ ἥξει ἐπὶ σὲ κακά.

18. Ὅτι τίς ἔστη ἐν ὑποστήματι Κυρίου, καὶ εἶδε τὸν λόγον αὐτοῦ; τίς ἠνωτίσατο, καὶ ἤκουσεν;

19. Ἰδοὺ σεισμὸς παρὰ Κυρίου, καὶ ὀργὴ ἐκπορεύεται εἰς συσσεισμὸν, συστρεφομένη ἐπὶ τοὺς ἀσεβεῖς ἥξει,

20. καὶ οὐκ ἔτι ἀποστρέψει ὁ θυμὸς Κυρίου, ἕως ποιήσῃ αὐτὸ, καὶ ἕως ἂν στήσῃ αὐτὸ ἀπὸ ἐγχειρήματος καρδίας αὐτοῦ· ἐπ' ἐσχάτου τῶν ἡμερῶν νοήσουσιν αὐτά.

visitastis eas : ecce ego ulciscar super vos juxta pessimas adinventiones vestras,

3. et ego suscipiam residuos populi mei super omnem terram quo expuli eos illuc, et constituam illos in pascua ipsorum, et crescent, et multiplicabuntur.

4. Et suscitabo eis pastores qui pascent eos, et non formidabunt ultra, neque pavebunt, dicit Dominus.

5. Ecce dies veniunt, dicit Dominus, et suscitabo ipsi David Orientem justum, et regnabit rex, et intelliget, et faciet judicium et justitiam super terram.

6. In diebus ejus, et salvabitur Judas, et Israel habitabit confidenter : et hoc est nomen ejus, quod vocabit eum Dominus, Josedec, in prophetis.

9. Contritum est cor meum in me, commota sunt omnia ossa mea, factus sum quasi vir contritus, et quasi homo captus a vino a facie Domini et a facie decoris gloriæ ejus :

10. quia a facie horum luxit terra, arefacta sunt pascua deserti : et factus est cursus eorum malus, et fortitudo eorum sic.

11. Quia sacerdos et propheta polluti sunt, et in domo mea vidi nequitias eorum.

12. Idcirco fiat via eorum ipsis in lubricum in caligine, et supplantabuntur, et cadent in ea : quia inferam super eos mala in anno visitationis eorum.

13. Et in prophetis Samariæ vidi iniquitates. Prophetarunt per Baal, et seduxerunt populum meum Israel.

14. Et in prophetis Jerusalem vidi horribilia, adulterantes, et ambulantes in mendaciis, et suscipientes manus multorum, ut non averteretur unusquisque a via sua pessima. Facti sunt mihi omnes quasi Sodoma, et habitatores ejus quasi Gomorra.

15. Propterea hæc dicit Dominus : Ecce ego cibabo eos dolore, et potabo eos aqua amara, quia a prophetis Jerusalem egressa est pollutio omni terræ.

16. Sic dicit Dominus omnipotens : Nolite audire verba prophetarum, quia vanam faciunt vobis visionem, de corde suo loquuntur, et non ex ore Domini.

17. Dicunt iis qui abjiciunt verbum Domini : Pax erit vobis, et omnibus ambulantibus in voluntatibus suis, et omni ambulanti in errore cordis sui dixerunt : Non venient super te mala.

18. Quoniam quis stetit in subsistentia Domini, et vidit sermonem ejus? quis auribus percepit, et audivit?

19. Ecce commotio a Domino, et ira egreditur in commotionem, conferta super impios veniet,

20. et non ultra avertetur furor Domini, donec fecerit illud, et donec statuerit illud ab aggressione cordis sui : in novissimo dierum intelligent illud.

21. Οὐχ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐδὲ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ ἐπροφήτευον.

22. Καὶ εἰ ἔστησαν ἐν τῇ ὑποστάσει μου, καὶ εἰ ἤκουσαν τῶν λόγων μου, καὶ τὸν λαόν μου ἂν ἀπέστρεφον αὐτοὺς ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν.

23. Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος; καὶ οὐχὶ Θεὸς πόῤῥωθεν.

24. Εἰ κρυβήσεταί τις ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος.

25. Ἤκουσα ἃ λαλοῦσιν οἱ προφῆται, ἃ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, ψευδῆ λέγοντες· Ἠνυπνιασάμην ἐνύπνιον.

26. Ἕως πότε ἔσται ἐν καρδίᾳ τῶν προφητῶν τῶν προφητευόντων ψευδῆ, ἐν τῷ προφητεύειν αὐτοὺς τὰ θελήματα τῆς καρδίας αὐτῶν,

27. τῶν λογιζομένων τοῦ ἐπιλαθέσθαι τοῦ νόμου μου ἐν τοῖς ἐνυπνίοις αὐτῶν, ἃ διηγοῦντο ἕκαστος τῷ πλησίον αὐτοῦ, καθάπερ ἐπελάθοντο οἱ πατέρες αὐτῶν τοῦ ὀνόματός μου ἐν τῇ Βάαλ;

28. Ὁ προφήτης ἐν ᾧ τὸ ἐνύπνιόν ἐστι διηγησάσθω τὸ ἐνύπνιον αὐτοῦ, καὶ ἐν ᾧ ὁ λόγος μου πρὸς αὐτὸν διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας. Τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; Οὕτως οἱ λόγοι μου, λέγει Κύριος.

29. Οὐχ ἰδοὺ οἱ λόγοι μου ὥσπερ πῦρ, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν;

30. Ἰδοὺ ἐγὼ διὰ τοῦτο πρὸς τοὺς προφήτας, λέγει Κύριος ὁ Θεὸς, τοὺς κλέπτοντας τοὺς λόγους μου, ἕκαστον παρὰ τοῦ πλησίον αὐτοῦ.

31. Ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας προφητείας γλώσσης, καὶ νυστάζοντας νυσταγμὸν αὐτῶν.

32. Διὰ τοῦτο ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ, καὶ οὐ διηγοῦντο αὐτὰ, καὶ ἐπλάνησαν τὸν λαόν μου ἐν τοῖς ψεύδεσιν αὐτῶν καὶ ἐν τοῖς πλάνοις αὐτῶν, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ ὠφέλειαν οὐκ ὠφελήσουσι τὸν λαὸν τοῦτον.

33. Καὶ ἐὰν ἐρωτήσωσιν ὁ λαὸς οὗτος, ἢ ἱερεὺς, ἢ προφήτης, τί τὸ λῆμμα Κυρίου; καὶ ἐρεῖς αὐτοῖς· Ὑμεῖς ἐστε τὸ λῆμμα, καὶ ῥάξω ὑμᾶς, λέγει Κύριος.

34. Ὁ προφήτης, καὶ οἱ ἱερεῖς, καὶ ὁ λαὸς, οἳ ἂν εἴπωσι, λῆμμα Κυρίου, καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον καὶ τὸν οἶκον αὐτοῦ.

35. Οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· Τί ἀπεκρίθη Κύριος, καὶ τί ἐλάλησε Κύριος;

36. Καὶ λῆμμα Κυρίου μὴ ὀνομάζετε ἔτι, ὅτι τὸ λῆμμα τῷ ἀνθρώπῳ ἔσται ὁ λόγος αὐτοῦ. (*)

37. Καὶ διὰ τί ἐλάλησε Κύριος ὁ Θεὸς ἡμῖν;

38. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς ἡμῶν· Ἀνθ' ὧν εἴπατε τὸν λόγον τοῦτον, λῆμμα Κυρίου, καὶ ἀπέστειλα πρὸς ὑμᾶς, λέγων· Οὐκ ἐρεῖτε λῆμμα Κυρίου.

39. Διὰ τοῦτο ἰδοὺ ἐγὼ λαμβάνω, καὶ ῥάσσω ὑμᾶς, καὶ τὴν πόλιν ἣν ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν.

40. Καὶ δώσω ἐφ' ὑμᾶς ὀνειδισμὸν αἰώνιον, καὶ ἀτιμίαν αἰώνιον, ἥτις οὐκ ἐπιλησθήσεται.

(*) 36. ... καὶ ἐξεστρέψατε τοὺς λόγους Θεοῦ ζῶντος.
37. Οὕτως ἐρεῖτε πρὸς τὸν προφήτην· ... (*Compl.*)

21. Non mittebam prophetas, et ipsi currebant : neque locutus eram ad eos, et ipsi prophetabant.

22. Quod si stetissent in subsistentia mea, et si audissent verba mea, et populum meum avertissent eos a pessimis studiis eorum.

23. Deus appropinquans ego sum, dicit Dominus, et non Deus de longe.

24. Si abscondetur quis in absconditis, et ego non videbo eum? Numquid non cœlum et terram ego impleo? dicit Dominus.

25. Audivi quæ loquuntur prophetæ, quæ prophetant in nomine meo, mendacia dicentes : Somniavi somnium.

26. Usquequo erit in corde prophetarum prophetantium falsa, dum ipsi prophetant voluntates cordis sui,

27. cogitantium ut oblivio fiat legis meæ in somniis ipsorum, quæ narrant unusquisque proximo suo, sicut obliti sunt patres eorum nominis mei in Baal?

28. Propheta in quo somnium est narret somnium suum, et in quo sermo meus ad eum narret sermonem meum in veritate. Quid palea ad triticum? Sic verba mea, dicit Dominus.

29. Nonne ecce verba mea sicut ignis, dicit Dominus, et sicut securis cædens petram?

30. Ecce ego propterea ad prophetas, dicit Dominus Deus, qui furantur verba mea, unusquisque a proximo suo.

31. Ecce ego ad prophetas qui emittunt prophetias linguæ, et dormitant dormitationem suam.

32. Propterea ecce ego ad prophetas qui prophetant somnia falsa, et non narrant ea, et seduxerunt populum meum in mendaciis suis et in erroribus suis, et ego non miseram eos, et non mandaram eis, et adjumento non adjuvabunt populum hunc.

33. Quod si interrogaverint populus iste, vel sacerdos, vel propheta, quæ est assumptio Domini? et dices eis : Vos estis assumptio, et allidam vos, dicit Dominus.

34. Propheta, et sacerdotes, et populus, quicumque dixerint, assumptio Domini, et ulciscar hominem illum et domum ejus.

35. Sic dicetis unusquisque ad proximum suum, et unusquisque ad fratrem suum : Quid respondit Dominus, et quid locutus est Dominus?

36. Et assumptionem Domini nolite nominare ultra, quia assumptio homini erit sermo ejus.

37. Et quare locutus est Dominus Deus nobis?

38. Propter hoc hæc dicit Dominus Deus noster : Pro eo quod dixistis sermonem istum, assumptio Domini, et misi ad vos, dicens : Non dicetis assumptio Domini.

39. Propterea ecce ego assumo, et allido vos, et civitatem quam dedi vobis et patribus vestris.

40. Et dabo super vos opprobrium sempiternum, et ignominiam sempiternam, quæ oblivioni non tradetur.

---

36. ... Et pervertistis sermones Dei viventis.
37. Sic dicetis ad prophetam : ...

(a) 7. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι· Ζῇ Κύριος, ὃς ἀνήγαγε τὸν οἶκον Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου,

8. ἀλλὰ ζῇ Κύριος ὃς συνήγαγε πᾶν τὸ σπέρμα Ἰσραὴλ ἀπὸ γῆς βοῤῥᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἔξωσεν αὐτοὺς ἐκεῖ, καὶ ἀπεκατέστησεν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν.

7. Idcirco ecce dies veniunt, dicit Dominus, et non dicent ultra : Vivit Dominus, qui eduxit domum Israel de terra Ægypti,

8. sed vivit Dominus qui congregavit omne semen Israel a terra aquilonis, et ab omnibus regionibus quo expulerat eos illuc, et restituit eos in terram ipsorum.

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

1. Ἔδειξέ μοι Κύριος δύο καλάθους σύκων, κειμένους κατὰ πρόσωπον ναοῦ Κυρίου, μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν υἱὸν Ἰωακεὶμ βασιλέα Ἰούδα, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς τεχνίτας, καὶ τοὺς δεσμώτας, καὶ τοὺς πλουσίους ἐξ Ἱερουσαλὴμ, καὶ ἤγαγεν αὐτοὺς εἰς Βαβυλῶνα.

2. Ὁ κάλαθος ὁ εἷς σύκων χρηστῶν σφόδρα, ὡς τὰ σῦκα τὰ πρώϊμα· καὶ ὁ κάλαθος ὁ ἕτερος σύκων πονηρῶν σφόδρα, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν.

3. Καὶ εἶπε Κύριος πρός μέ· Τί σὺ ὁρᾷς, Ἱερεμία; Καὶ εἶπα· Σῦκα· σῦκα τὰ χρηστὰ, χρηστὰ λίαν· καὶ τὰ πονηρὰ, πονηρὰ λίαν, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν.

4. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

5. Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ὡς τὰ σῦκα τὰ χρηστὰ ταῦτα, οὕτως ἐπιγνώσομαι τοὺς ἀποικισθέντας Ἰουδαίους, οὓς ἐξαπέσταλκα ἐκ τοῦ τόπου τούτου εἰς γῆν Χαλδαίων εἰς ἀγαθά.

6. Καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς ἀγαθὰ, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθά· καὶ ἀνοικοδομήσω αὐτοὺς, καὶ οὐ μὴ καθελῶ αὐτοὺς, καὶ καταφυτεύσω αὐτοὺς, καὶ οὐ μὴ ἐκτίλω.

7. Καὶ δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι Κύριος, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν, ὅτι ἐπιστραφήσονται ἐπ' ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐτῶν.

8. Καὶ ὡς τὰ σῦκα τὰ πονηρὰ, ἃ οὐ βρωθήσονται ἀπὸ πονηρίας αὐτῶν, τάδε λέγει Κύριος, οὕτως παραδώσω τὸν Σεδεκίαν βασιλέα Ἰούδα, καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ τὸ κατάλοιπον Ἱερουσαλὴμ τοὺς ὑπολελειμμένους ἐν τῇ γῇ ταύτῃ, καὶ τοὺς κατοικοῦντας ἐν Αἰγύπτῳ.

9. Καὶ δώσω αὐτοὺς εἰς διασκορπισμὸν εἰς πάσας τὰς βασιλείας τῆς γῆς, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς παραβολὴν, καὶ εἰς μῖσος, καὶ εἰς κατάραν ἐν παντὶ τόπῳ οὗ ἔξωσα αὐτοὺς ἐκεῖ.

10. Καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν λιμὸν καὶ τὸν θάνατον, καὶ τὴν μάχαιραν, ἕως ἂν ἐκλείπωσιν ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.

CAPUT XXIV.

1. Ostendit mihi Dominus duos calathos ficuum, positos ad faciem templi Domini, postquam transtulit Nabuchodonosor rex Babylonis Jechoniam filium Joacim regem Juda, et principes, et artifices, et vinctos, et divites ex Jerusalem, et adduxit eos in Babylonem.

2. Calathus unus ficuum bonarum valde, sicut ficus primi temporis : et calathus alter ficuum malarum valde, quæ non comedentur præ malitia sua.

3. Et dixit Dominus ad me : Quid tu vides, Jeremia? Et dixi : Ficus : ficus bonas, bonas nimis : et malas, malas nimis, quæ non comedentur præ malitia sua.

4. Et factum est ad me verbum Domini, dicens :

5. Hæc dicit Dominus Deus Israel : Sicut ficus hæ bonæ, sic cognoscam Judæos qui transmigrarunt, quos emisi de loco isto in terram Chaldæorum in bona.

6. Et firmabo oculos meos super eos in bona, et restituam eos in terram hanc in bona : et reædificabo eos, et non destruam eos, et plantabo eos, et non evellam.

7. Et dabo eis cor ut sciant me, quia ego sum Dominus, et erunt mihi in populum, et ego ero eis in Deum, quia revertentur ad me ex toto corde suo.

8. Et sicut ficus pessimæ, quæ non comedentur præ malitia sua, hæc dicit Dominus, sic tradam Sedeciam regem Juda, et principes ejus, et residuum Jerusalem qui remanserunt in terra hac, et qui habitant in Ægypto.

9. Et dabo eos in dispersionem in omnia regna terræ, et erunt in opprobrium et in parabolam, et in odium, et in maledictionem in omni loco quo ejeci eos illuc.

10. Et mittam in eos famem et mortem, et gladium, donec deficiant de terra quam dedi eis.

ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

(Hebr. c. 25, 1 — 13. c. 49, 34 — 39.)

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν ἐπὶ πάντα τὸν λαὸν Ἰούδα ἐν τῷ ἔτει τῷ τετάρτῳ τοῦ Ἰωακεὶμ υἱοῦ Ἰωσία βασιλέως Ἰούδα,

2. ὃν ἐλάλησε πρὸς πάντα τὸν λαὸν Ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας Ἱερουσαλὴμ, λέγων·

3. Ἐν τρισκαιδεκάτῳ ἔτει Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα, καὶ ἕως τῆς ἡμέρας ταύτης εἴκοσι καὶ τρία ἔτη, καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων, καὶ λέγων·

CAPUT XXV.

(Hebr. c. 25, 1 — 13. c. 49, 34 — 39.)

1. Verbum quod factum est ad Jeremiam super omnem populum Juda in anno quarto Joacim filii Josiæ regis Juda,

2. quod locutus est ad omnem populum Juda, et ad habitatores Jerusalem, dicens :

3. In tertio decimo anno Josiæ filii Amos regis Juda, et usque ad diem hanc viginti et tres anni, et locutus sum ad vos ante lucem surgens, et dicens :

4. Καὶ ἀπέστελλον πρὸς ὑμᾶς τοὺς δούλους μου τοὺς προφήτας, ὄρθρου ἀποστέλλων, καὶ οὐκ εἰσηκούσατε, καὶ οὐ προσέσχετε τοῖς ὠσὶν ὑμῶν, λέγων·

5. Ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος.

6. Μὴ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων, τοῦ δουλεύειν αὐτοῖς, καὶ τοῦ προσκυνεῖν αὐτοῖς, ὅπως μὴ παροργίζητέ με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, τοῦ κακῶσαι ὑμᾶς,

7. καὶ οὐκ ἠκούσατέ μου.

8. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐπειδὴ οὐκ ἐπιστεύσατε τοῖς λόγοις μου,

9. ἰδοὺ ἐγὼ ἀποστέλλω, καὶ λήψομαι πατριὰν ἀπὸ Βοῤῥᾶ, καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην, καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν, καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς, καὶ ἐξερημώσω αὐτοὺς, καὶ δώσω αὐτοὺς εἰς ἀφανισμὸν, καὶ εἰς συριγμὸν, καὶ εἰς ὀνειδισμὸν αἰώνιον·

10. καὶ ἀπολῶ ἀπ' αὐτῶν φωνὴν χαρᾶς, καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὀσμὴν μύρου καὶ φῶς λύχνου.

11. Καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἀφανισμὸν, καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ἑβδομήκοντα ἔτη,

12. καὶ ἐν τῷ πληρωθῆναι τὰ ἑβδομήκοντα ἔτη, ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο, καὶ θήσομαι αὐτοὺς εἰς ἀφανισμὸν αἰώνιον,

13. καὶ ἐπάξω ἐπὶ τὴν γῆν ἐκείνην πάντας τοὺς λόγους μου, οὓς ἐλάλησα κατ' αὐτῆς, πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. (*)

34. Ἃ ἐπροφήτευσεν Ἱερεμίας ἐπὶ τὰ ἔθνη τὰ Αἰλάμ.

35. Τάδε λέγει Κύριος· Συνετρίβη τὸ τόξον Αἰλὰμ, ἀρχὴ δυναστείας αὐτῶν.

36. Καὶ ἐπάξω ἐπὶ Αἰλὰμ τέσσαρας ἀνέμους ἐκ τῶν τεσσάρων ἄκρων τοῦ οὐρανοῦ, καὶ διασπερῶ αὐτοὺς ἐν πᾶσι τοῖς ἀνέμοις τούτοις, καὶ οὐκ ἔσται ἔθνος ὃ οὐχ ἥξει ἐκεῖ, οἱ ἐξωσμένοι Αἰλάμ.

37. Καὶ πτοήσω αὐτοὺς ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, τῶν ζητούντων τὴν ψυχὴν αὐτῶν, καὶ ἐπάξω ἐπ' αὐτοὺς κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, καὶ ἐπαποστελῶ ὀπίσω αὐτῶν τὴν μάχαιράν μου, ἕως τοῦ ἐξαναλῶσαι αὐτούς.

38 Καὶ θήσω τὸν θρόνον μου ἐν Αἰλὰμ, καὶ ἐξαποστελῶ ἐκεῖθεν βασιλέα καὶ μεγιστᾶνας,

39. καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν, καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν Αἰλὰμ, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Κϛ. (Hebr. c. 46.)

1. Ἐν ἀρχῇ βασιλεύοντος Σεδεκίου βασιλέως ἐγένετο ὁ λόγος οὗτος περὶ Αἰλάμ·

2. Τῇ Αἰγύπτῳ ἐπὶ δύναμιν Φαραὼ Νεχαὼ βασιλέως Αἰγύπτου, ὃς ἦν ἐπὶ τῷ ποταμῷ Εὐφράτῃ ἐν

(*) 14. Ὅτι ἐδούλευσαν ἐν αὐτοῖς, καταδουλώσονται γὰρ αὐτοὺς ἔθνη πολλὰ, καὶ βασιλεῖς μεγάλοι· καὶ ἀνταποδώσω αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. (*Compl.*)

4. Et mittebam ad vos servos meos prophetas, diluculo mittens, et non exaudistis, et non attendebatis auribus vestris, dicens :

5. Avertimini unusquisque a via sua pessima, et a pessimis studiis vestris, et habitabitis super terram quam dedi vobis et patribus vestris, a sæculo et usque in sæculum.

6. Nolite ire post deos alienos, ut serviatis eis, adoretisque eos, ne me ad iracundiam provocetis in operibus manuum vestrarum, ad affligendum vos,

7. et non audistis me.

8. Propterea hæc dicit Dominus : Quoniam non credidistis verbis meis,

9. ecce ego mitto, et sumam cognationem ab aquilone, et adducam eos super terram istam, et super habitatores ejus, et super omnes nationes quæ in circuitu illius sunt, et desolabo eos, et dabo eos in perditionem, et in sibilum, et in opprobrium sempiternum :

10. et perdam ex eis vocem gaudii, et vocem lætitiæ, vocem sponsi et vocem sponsæ, odorem unguenti et lumen lucernæ.

11. Et erit universa terra in solitudinem, et servient in gentibus annos septuaginta,

12. cumque impleti fuerint septuaginta anni, ulciscar gentem illam, et ponam eos in perditionem sempiternam,

13. et inducam super terram illam omnia verba mea, quæ locutus sum contra eam, omnia quæ scripta sunt in libro isto.

34. Quæ prophetavit Jeremias super gentes quæ Ælam.

35. Hæc dicit Dominus : Contritus est arcus Ælam, principium potentatus eorum.

36. Et inducam super Ælam quatuor ventos a quatuor extremis cœli, et dispergam eos in omnibus ventis istis, et non erit gens quæ non veniet illuc, expulsi Ælam.

37. Et terrefaciam eos coram inimicis eorum, quærentibus animam eorum, et inducam super eos secundum iram furoris mei, et immittam post eos gladium meum, donec absumpsero eos.

38. Et ponam thronum meum in Ælam, et emittam inde regem et magnates,

39. et erit in novissimo dierum, et reducam captivitatem Ælam, dicit Dominus.

CAPUT XXVI. (Hebr. c. 46.)

1. In principio regnantis Sedeciæ regis factum est verbum hoc de Ælam :

2. Ipsi Ægypto super virtutem Pharaonis Nechao regis Ægypti, qui erat ad flumen Euphratem in Charmis, quem

14. Et servient in eis, redigent enim eos in servitutem gentes multæ, et reges magni : et retribuam eis secundum opera eorum, et secundum malitiam studiorum eorum.

Χαρμεὶς, ὃν ἐπάταξε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, ἐν τῷ ἔτει τῷ τετάρτῳ Ἰωακεὶμ βασιλέως Ἰούδα.

3. Ἀναλάβετε ὅπλα καὶ ἀσπίδας, καὶ προςαγάγετε εἰς πόλεμον,

4. καὶ ἐπισάξατε τοὺς ἵππους, ἐπίβητε, οἱ ἱππεῖς, καὶ κατάστητε ἐν ταῖς περικεφαλαίαις ὑμῶν, προςβάλετε τὰ δόρατα, καὶ ἐνδύσασθε τοὺς θώρακας ὑμῶν.

5. Τί ὅτι αὐτοὶ πτοοῦνται, καὶ ἀποχωροῦσιν εἰς τὸ ὀπίσω; Διότι οἱ ἰσχυροὶ αὐτῶν κοπήσονται, φυγῇ ἔφυγον, καὶ οὐκ ἀνέστρεψαν, περιεχόμενοι κυκλόθεν, λέγει Κύριος.

6. Μὴ φευγέτω ὁ κοῦφος, καὶ μὴ ἀνασωζέσθω ὁ ἰσχυρὸς ἐπὶ βοῤῥᾶν· τὰ παρὰ τὸν Εὐφράτην ἠσθένησε καὶ πεπτώκασι.

7. Τίς οὗτος ὡς ποταμὸς ἀναβήσεται, καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ;

8. Ὕδατα Αἰγύπτου ὡς ποταμὸς ἀναβήσεται. Καὶ εἶπεν· Ἀναβήσομαι, καὶ κατακαλύψω τὴν γῆν καὶ ἀπολῶ τοὺς κατοικοῦντας ἐν αὐτῇ.

9. Ἐπίβητε ἐπὶ τοὺς ἵππους, παρασκευάσατε τὰ ἅρματα, ἐξέλθατε, οἱ μαχηταὶ Αἰθιόπων καὶ Λίβυες καθωπλισμένοι ὅπλοις καὶ Λυδοὶ, ἀνάβητε, ἐντείνατε τόξον·

10. καὶ ἡ ἡμέρα ἐκείνη Κυρίῳ τῷ Θεῷ ἡμῶν ἡμέρα ἐκδικήσεως, τοῦ ἐκδικῆσαι τοὺς ἐχθροὺς αὐτοῦ. Καὶ καταφάγεται ἡ μάχαιρα Κυρίου, καὶ ἐμπλησθήσεται, καὶ μεθυσθήσεται ἀπὸ τοῦ αἵματος αὐτῶν, ὅτι θυσία τῷ Κυρίῳ ἀπὸ γῆς βοῤῥᾶ ἐπὶ ποταμῷ Εὐφράτῃ.

11. Ἀνάβηθι, Γαλαὰδ, καὶ λάβε ῥητίνην τῇ παρθένῳ θυγατρὶ Αἰγύπτου· εἰς τὸ κενὸν ἐπλήθυνας ἰάματά σου, ὠφέλεια οὐκ ἔστιν ἐν σοί.

12. Ἤκουσαν ἔθνη φωνήν σου, καὶ τῆς κραυγῆς σου ἐπλήσθη ἡ γῆ, ὅτι μαχητὴς πρὸς μαχητὴν ἠσθένησαν, ἐπιτοαυτὸ ἔπεσαν ἀμφότεροι.

13. Ἃ ἐλάλησε Κύριος ἐν χειρὶ Ἱερεμίου, τοῦ ἐλθεῖν τὸν βασιλέα Βαβυλῶνος τοῦ κόψαι γῆν Αἰγύπτου.

14. Ἀναγγείλατε εἰς Μαγδωλὸν, καὶ παραγγείλατε εἰς Μέμφιν· εἴπατε· Ἐπίστηθι, καὶ ἑτοίμασον, ὅτι κατέφαγε μάχαιρα τὴν σμίλακά σου.

15. Διατί ἔφυγεν ἀπὸ σοῦ ὁ Ἆπις, ὁ μόσχος ὁ ἐκλεκτός σου; Οὐκ ἔμεινεν, ὅτι Κύριος παρέλυσεν αὐτόν·

16. καὶ τὸ πλῆθός σου ἠσθένησε, καὶ ἔπεσε· καὶ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἐλάλει· Ἀναστῶμεν, καὶ ἀναστρέψωμεν πρὸς τὸν λαὸν ἡμῶν εἰς τὴν πατρίδα ἡμῶν, ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς.

17. Καλέσατε τὸ ὄνομα Φαραὼ Νεχαὼ βασιλέως Αἰγύπτου, Σαὼν Ἐσβεϊὲ Μωήδ.

18. Ζῶ ἐγὼ, λέγει Κύριος ὁ Θεὸς, ὅτι, ὡς τὸ Ἰταβύριον ἐν τοῖς ὄρεσι καὶ ὡς ὁ Κάρμηλος ὁ ἐν τῇ θαλάσσῃ, ἥξει.

19. Σκεύη ἀποικισμοῦ ποίησον σεαυτῇ, κατοικοῦσα θύγατερ Αἰγύπτου, ὅτι Μέμφις εἰς ἀφανισμὸν ἔσται, καὶ κληθήσεται Οὐαὶ, διὰ τὸ μὴ ὑπάρχειν κατοικοῦντας ἐν αὐτῇ.

20. Δάμαλις κεκαλλωπισμένη Αἴγυπτος, ἀπόσπασμα ἀπὸ βοῤῥᾶ ἦλθεν ἐπ' αὐτήν,

21. καὶ οἱ μισθωτοὶ αὐτῆς ἐν αὐτῇ, ὥςπερ μόσχοι σιτευτοὶ τρεφόμενοι ἐν αὐτῇ· διότι καὶ αὐτοὶ ἐπεστρά-

percussit Nabuchodonosor rex Babylonis, in anno quarto Joacim regis Juda.

3. Assumite arma et scuta, et accedite ad bellum,

4. et insternite equos, ascendite, equites, et state in galeis vestris, applicate lanceas, et induimini loricis vestris.

5. Quid quod ipsi pavent, et recedunt in posteriora? Quia fortes eorum cædentur, fuga fugerunt, et non sunt reversi, obsessi undique, dicit Dominus.

6. Non fugiat levis, et non evadat fortis ad aquilonem : quæ ad Euphratem infirmata sunt et ceciderunt.

7. Quis iste quasi flumen ascendet, et velut flumina fluctuant aquam?

8. Aquæ Ægypti quasi flumen ascendent. Et dixit : Ascendam, et operiam terram et perdam habitantes in ea.

9. Ascendite super equos, præparate currus, egredimini, pugnatores Æthiopum et Lybes armati armis et Lydi, ascendite, intendite arcum :

10. et dies illa Domino Deo nostro dies ultionis, ut sumat vindictam de inimicis suis. Et devorabit gladius Domini, et saturabitur, et inebriabitur de sanguine eorum, quia sacrificium Domino de terra aquilonis super flumen Euphratem.

11. Ascende, Galaad, et sume resinam virgini filiæ Ægypti : in vanum multiplicasti medicamina tua, utilitas non est in te.

12. Audierunt gentes vocem tuam, et clamore tuo impleta est terra, quia pugnator adversus pugnatorem infirmatus est, in idipsum ceciderunt utrique.

13. Quæ locutus est Dominus in manu Jeremiæ, cum veniret rex Babylonis ad percutiendam terram Ægypti.

14. Annuntiate in Magdolum, et annuntiate in Memphim : dicite : Sta, et præpara te, quia devoravit gladius similacem tuam.

15. Quare fugit a te Apis, vitulus electus tuus? Non perstitit, quia Dominus dissolvit eum :

16. et multitudo tua infirmata est, et cecidit : et unusquisque ad proximum suum loquebatur : Surgamus, et revertamur ad populum nostrum in patriam nostram, a facie gladii Græci.

17. Vocate nomen Pharaonis Nechao regis Ægypti, Saon Esbie Moed.

18. Vivo ego, dicit Dominus Deus, quia, sicut Itabyrium in montibus et sicut Carmelus in mari, veniet.

19. Vasa transmigrationis fac tibi, habitatrix filia Ægypti, quoniam Memphis in solitudinem erit, et vocabitur Væ, eo quod non sint habitantes in ea.

20. Vitula adornata Ægyptus, excidium ab aquilone venit super eam,

21. et mercenarii ejus in ea, quasi vituli saginati nutriti in ea : nam et ipsi conversi sunt, et fugerunt unanimiter

ψησαν, καὶ ἔφυγον ὁμοθυμαδόν· οὐκ ἔστησαν, ὅτι ἡμέρα ἀπωλείας ἦλθεν ἐπ' αὐτοὺς, καὶ καιρὸς ἐκδικήσεως αὐτῶν.

22. Φωνὴ αὐτῶν ὡς ὄφεως συρίζοντος, ὅτι ἐν ἄμμῳ πορεύονται, ἐν ἀξίναις ἥξουσιν ἐπ' αὐτήν.

23. Ὡς κόπτοντες ξύλα ἐκκόψουσι τὸν δρυμὸν αὐτῆς, λέγει Κύριος, ὅτι οὐ μὴ εἰκασθῇ, ὅτι πληθύνει ὑπὲρ ἀκρίδα, καὶ οὐκ ἔστιν αὐτοῖς ἀριθμός.

24. Κατῃσχύνθη ἡ θυγάτηρ Αἰγύπτου, παρεδόθη εἰς χεῖρας λαοῦ ἀπὸ βορρᾶ.

25. Ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν Ἀμμὼν τὸν υἱὸν αὐτῆς ἐπὶ Φαραὼ, καὶ ἐπὶ τοὺς πεποιθότας ἐπ' αὐτῷ. (*)

27. Σὺ δὲ μὴ φοβηθῇς, δοῦλός μου Ἰακὼβ, μηδὲ πτοηθῇς, Ἰσραήλ· διότι ἐγὼ ἰδοὺ σώζων σε μακρόθεν, καὶ τὸ σπέρμα σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν. Καὶ ἀναστρέψει Ἰακὼβ, καὶ ἡσυχάσει καὶ ὑπνώσει, καὶ οὐκ ἔσται ὁ παρενοχλῶν αὐτόν.

28. Μὴ φοβοῦ, παῖς μου Ἰακὼβ, λέγει Κύριος, ὅτι μετὰ σοῦ ἐγώ εἰμι. Ἡ ἀπτόητος καὶ τρυφερὰ παρεδόθη, ὅτι ποιήσω ἔθνει συντέλειαν ἐν παντὶ ἔθνει εἰς οὓς ἔξωσά σε ἐκεῖ· σὲ δὲ οὐ μὴ ποιήσω ἐκλιπεῖν, καὶ παιδεύσω σε εἰς κρῖμα, καὶ ἀθῷον οὐκ ἀθῳώσω σε.

non steterunt, quia dies perditionis venit super eos, et tempus ultionis eorum.

22. Vox eorum quasi serpentis sibilantis, quia in arena ambulant, in securibus venient super eam.

23. Quasi cædentes ligna excident sylvam ejus, dicit Dominus, quoniam non supputabitur, quoniam multiplicavit super locustam, et non est eis numerus.

24. Confusa est filia Ægypti, tradita est in manus populi ab aquilone.

25. Ecce ego ulciscar Ammon filium ejus super Pharaonem, et super eos qui fiderunt in eo.

27. Tu autem ne timueris, serve meus Jacob, neque paveas, Israel: quia ecce ego salvans te de longe, et semen tuum ex captivitate ipsorum. Et revertet Jacob, et quiescet et dormiet, et non erit qui perturbet eum.

28. Ne timeas, puer meus Jacob, dicit Dominus, quia tecum ego sum. Intrepida et delicata tradita est, quia faciam genti consummationem in omni gente ad quos expuli te illuc: te autem non faciam deficere, et castigabo te in judicio, et innocentem faciens non faciam innocentem te.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄. (Hebr. c. 50.)

1. Λόγος Κυρίου ὃν ἐλάλησε ἐπὶ Βαβυλῶνα.

2. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, καὶ ἀκουστὰ ποιήσατε, καὶ μὴ κρύψητε. Εἴπατε· Ἑάλωκε Βαβυλὼν, κατῃσχύνθη Βῆλος, ἡ ἀπτόητος, ἡ τρυφερὰ παρεδόθη Μαιρωδὰχ,

3. ὅτι ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βορρᾶ. Οὗτος θήσει τὴν γῆν αὐτῆς εἰς ἀφανισμὸν, καὶ οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ ἀπὸ ἀνθρώπου καὶ ἕως κτήνους.

4. Ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ἰσραὴλ, αὐτοὶ καὶ οἱ υἱοὶ Ἰούδα ἐπὶ τὸ αὐτὸ, βαδίζοντες καὶ κλαίοντες πορεύσονται, τὸν Κύριον Θεὸν αὐτῶν ζητοῦντες.

5. Ἕως Σιὼν ἐρωτήσουσι τὴν ὁδὸν, ὧδε γὰρ τὸ πρόσωπον αὐτῶν δώσουσι, καὶ ἥξουσι, καὶ καταφεύξονται πρὸς Κύριον τὸν Θεόν. Διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται.

6. Πρόβατα ἀπολωλότα ἐγενήθη ὁ λαός μου, οἱ ποιμένες αὐτῶν ἔξωσαν αὐτοὺς, ἐπὶ τὰ ὄρη ἀπεπλάνησαν αὐτοὺς, ἐξ ὄρους ἐπὶ βουνὸν ᾤχοντο, ἐπελάθοντο κοίτης αὐτῶν.

7. Πάντες οἱ εὑρίσκοντες αὐτοὺς ἀνήλισκον αὐτούς. Οἱ ἐχθροὶ αὐτῶν εἶπαν· Μὴ ἀνῶμεν αὐτοὺς, ἀνθ' ὧν ἥμαρτον τῷ Κυρίῳ. Νομὴ δικαιοσύνης τῷ συναγαγόντι τοὺς πατέρας αὐτῶν.

8. Ἀπαλλοτριώθητε ἐκ μέσου Βαβυλῶνος καὶ ἀπὸ γῆς Χαλδαίων καὶ ἐξέλθατε, καὶ γένεσθε ὥσπερ δράκοντες κατὰ πρόσωπον προβάτων.

9. Ὅτι ἰδοὺ ἐγὼ ἐγείρω ἐπὶ Βαβυλῶνα συναγωγὰς

CAPUT XXVII. (Hebr. c. 50.)

1. Verbum Domini quod locutus est super Babylonem.

2. Annuntiate in gentibus, et audita facite, et ne abscondatis. Dicite: Capta est Babylon, confusus est Belus, interrita, delicata tradita est Mærodach,

3. quia ascendit super eam gens ab aquilone. Hic ponet terram ejus in desolationem, et non erit qui habitet in ea ab homine et usque ad pecus.

4. In diebus illis et in tempore illo venient filii Israel, ipsi et filii Juda in id ipsum, euntes et plorantes ibunt, Dominum Deum suum quærentes.

5. Usque ad Sion interrogabunt viam, huc enim faciem suam dabunt, et venient, et confugient ad Dominum Deum. Testamentum enim æternum oblivioni non tradetur.

6. Oves perditæ factus est populus meus, pastores eorum expulerunt eos, in montes seduxerunt eos, de monte in collem abierunt, obliti sunt cubilis sui.

7. Omnes invenientes eos absumebant eos. Inimici eorum dixerunt: Ne dimittamus eos, eo quod peccaverunt Domino. Pascua justitiæ ei qui congregavit patres eorum.

8. Abalienamini de medio Babylonis et de terra Chaldæorum et egredimini, et estote velut dracones ante faciem ovium.

9. Quia ecce ego suscito super Babylonem congregationes

(*) 26. Καὶ δώσω αὐτοὺς εἰς χεῖρα τῶν ζητούντων τὴν ψυχὴν αὐτῶν, καὶ εἰς χεῖρα Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ εἰς χεῖρα τῶν δούλων αὐτοῦ· καὶ μετὰ ταῦτα κατοικισθήσεται, ὥσπερ ἐν ταῖς ἡμέραις ταῖς ἀρχαίαις, λέγει Κύριος. (*Compl. et Theodor.*)

26. Et dabo eos in manum quærentium animam eorum, et in manum Nabuchodonosor regis Babylonis, et in manum servorum ejus: et postea habitabitur, sicut in diebus antiquis, dicit Dominus.

ἐθνῶν ἐκ γῆς βοῤῥᾶ, καὶ παρατάξονται αὐτῇ· ἐκεῖθεν ἁλώσεται, ὡς βολὶς μαχητοῦ συνετοῦ οὐκ ἐπιστρέψει κενή.

10. Καὶ ἔσται ἡ Χαλδαία εἰς προνομὴν, πάντες οἱ προνομεύοντες αὐτὴν ἐμπλησθήσονται,

11. ὅτι ηὐφραίνεσθε, καὶ κατεκαυχᾶσθε, διαρπάζοντες τὴν κληρονομίαν μου, διότι ἐσκιρτᾶτε ὡς βοΐδια ἐν βοτάνῃ, καὶ ἐκερατίζετε ὡς ταῦροι.

12. Ἠσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα, ἐνετράπη ἡ τεκοῦσα ὑμᾶς μήτηρ ἐπ' ἀγαθὰ, ἐσχάτη ἐθνῶν, ἔρημος,

13. ἀπὸ ὀργῆς Κυρίου οὐ κατοικηθήσεται. Καὶ ἔσται εἰς ἀφανισμὸν πᾶσα, καὶ πᾶς ὁ διοδεύων διὰ Βαβυλῶνος σκυθρωπάσει, καὶ συριοῦσιν ἐπὶ πᾶσαν τὴν πληγὴν αὐτῆς.

14. Παρατάξασθε ἐπὶ Βαβυλῶνα κύκλῳ, πάντες τείνοντες τόξον, τοξεύσατε ἐπ' αὐτὴν, μὴ φείσησθε ἐπὶ τοῖς τοξεύμασιν ὑμῶν,

15. καὶ κατακρατήσατε αὐτήν. Παρελύθησαν αἱ χεῖρες αὐτῆς, ἔπεσαν αἱ ἐπάλξεις αὐτῆς, καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς· ὅτι ἐκδίκησις παρὰ Θεοῦ ἐστιν, ἐκδικεῖτε ἐπ' αὐτήν· καθὼς ἐποίησε ποιήσατε αὐτῇ.

16. Ἐξολοθρεύσασθε σπέρμα ἐκ Βαβυλῶνος, κατέχοντα δρέπανον ἐν καιρῷ θερισμοῦ ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς, ἕκαστος εἰς τὸν λαὸν αὐτοῦ ἀποστρέψουσι, καὶ ἕκαστος εἰς τὴν γῆν αὐτοῦ φεύξεται.

17. Πρόβατον πλανώμενον Ἰσραὴλ, λέοντες ἔξωσαν αὐτόν. Ὁ πρῶτος ἔφαγεν αὐτὸν βασιλεὺς Ἀσσοὺρ, καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς Βαβυλῶνος.

18. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐπὶ τὴν γῆν αὐτοῦ, καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα Ἀσσούρ.

19. Καὶ ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ, καὶ νεμήσεται ἐν τῷ Καρμήλῳ, καὶ ἐν ὄρει Ἐφραὶμ, καὶ ἐν τῷ Γαλαὰδ, καὶ πλησθήσεται ἡ ψυχὴ αὐτοῦ.

20. Ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ζητήσουσι τὴν ἀδικίαν Ἰσραὴλ, καὶ οὐχ ὑπάρξει, καὶ τὰς ἁμαρτίας Ἰούδα, καὶ οὐ μὴ εὑρεθῶσιν, ὅτι ἵλεως ἔσομαι τοῖς ὑπολελειμμένοις

21. ἐπὶ τῆς γῆς, λέγει Κύριος. Πικρῶς ἐπίβηθι ἐπ' αὐτὴν, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ' αὐτήν· ἐκδίκησον μαχαίρᾳ, καὶ ἀφάνισον, λέγει Κύριος, καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι.

22. Φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων.

23. Πῶς ἐκλάσθη καὶ συνετρίβη ἡ σφυρὰ πάσης τῆς γῆς; πῶς ἐγενήθη εἰς ἀφανισμὸν Βαβυλὼν ἐν ἔθνεσιν;

24. Ἐπιθήσονταί σοι, καὶ οὐ γνώσῃ ὡς Βαβυλὼν, καὶ ἁλώσῃ· εὑρέθης, καὶ ἐλήφθης, ὅτι τῷ Κυρίῳ ἀντέστης·

25. Ἤνοιξε Κύριος τὸν θησαυρὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη ὀργῆς αὐτοῦ, ὅτι ἔργον τῷ Κυρίῳ Θεῷ ἐν γῇ Χαλδαίων,

26. ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. Ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς, ἐρευνήσατε αὐτὴν ὡς σπήλαιον, καὶ ἐξολοθρεύσατε αὐτήν· μὴ γενέσθω αὐτῆς κατάλειμμα.

27. Ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρποὺς, καὶ καταβήτωσαν εἰς σφαγήν. Οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν, καὶ καιρὸς ἐκδικήσεως αὐτῶν.

gentium de terra aquilonis, et aciem opponent ei : inde capietur, quasi jaculum pugnatoris intelligentis non redibit vacuum.

10. Et erit Chaldæa in direptionem, omnes diripientes eam implebuntur,

11. quia lætabamini, et gloriabamini, diripientes hæreditatem meam, quia gestiebatis quasi vituli in herba, et cornupetebatis velut tauri.

12. Confusa est mater vestra valde, pudefacta est mater quæ peperit vos ad bona, novissima gentium, deserta,

13. præ ira Domini non habitabitur. Et erit universa in solitudinem, et omnis qui transibit per Babylonem tristabitur, et sibilabunt super omnem plagam ejus.

14. Instruimini super Babylonem in circuitu, omnes qui tenditis arcum, jaculamini super eam, ne parcatis in jaculis vestris,

15. et subjicite eam. Dissolutæ sunt manus ejus, ceciderunt propugnacula ejus, et suffossus est murus ejus : quia ultio a Deo est, ulciscimini super eam : sicut fecit facite ei.

16. Exterminate semen de Babylone, tenentem falcem in tempore messis a facie gladii Græci, unusquisque ad populum suum revertentur, et unusquisque in terram suam fugiet.

17. Ovis errans Israel, leones expulerunt eum. Primus comedit eum rex Assur, et hic posterius ossa ejus rex Babylonis.

18. Propterea hæc dicit Dominus : Ecce ego ulciscor super regem Babylonis, et super terram ejus, sicut ultus sum super regem Assur.

19. Et restituam Israel in pascuam suam, et pascet in Carmelo, et in monte Ephraim, et in Galaad, et implebitur anima ejus.

20. In diebus illis et in tempore illo quærent iniquitatem Israel, et non erit, et peccata Judæ, et non invenientur, quia propitius ero residuis

21. super terram, dicit Dominus. Amare ascende super eam, et super habitantes in ea : ulciscere gladio, et dele, dicit Dominus, et fac secundum omnia quæ mandavero tibi.

22. Vox belli et contritio magna in terra Chaldæorum.

23. Quomodo fractus et contritus est malleus universæ terræ? quomodo facta est in solitudinem Babylon in gentibus?

24. Ascendent in te, et non cognosces quia Babylon, et capieris : inventa es, et capta, quia Domino restitisti.

25. Aperuit Dominus thesaurum suum, et protulit vasa iræ suæ, quoniam opus Domino Deo in terra Chaldæorum,

26. quoniam venerunt tempora ejus. Aperite apothecas ejus, scrutamini eam velut speluncam, et exterminate eam : non sint ejus reliquiæ.

27. Exsiccate omnes ejus fructus, et descendant in occisionem. Væ eis, quia venit dies ipsorum, et tempus ultionis eorum.

28. Φωνὴ φευγόντων καὶ ἀνασωζομένων ἐκ γῆς Βαβυλῶνος, τοῦ ἀναγγεῖλαι εἰς Σιὼν τὴν ἐκδίκησιν παρὰ Κυρίου Θεοῦ ἡμῶν.

29. Παραγγείλατε ἐπὶ Βαβυλῶνα πολλοῖς, παντὶ ἐντείνοντι τόξον, παρεμβάλλετε ἐπ' αὐτὴν κυκλόθεν· μὴ ἔστω αὐτῆς ἀνασωζόμενος, ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς· κατὰ πάντα ὅσα ἐποίησε, ποιήσατε αὐτῇ, ὅτι πρὸς Κύριον ἀντέστη, Θεὸν ἅγιον τοῦ Ἰσραήλ.

30. Διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς ἐν ταῖς πλατείαις αὐτῆς, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς ῥιφήσονται, εἶπε Κύριος.

31. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, λέγει Κύριος· ὅτι ἥκει ἡ ἡμέρα σου καὶ ὁ καιρὸς ἐκδικήσεώς σου,

32. καὶ ἀσθενήσει ἡ ὕβρις σου, καὶ πεσεῖται, καὶ οὐδεὶς ἔσται ὁ ἀνιστῶν αὐτήν· καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ καταφάγεται πάντα τὰ κύκλῳ αὐτῆς.

33. Τάδε λέγει Κύριος. Καταδεδυνάστευνται οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα, ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτοὺς κατεδυνάστευσαν αὐτούς, ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς.

34. Καὶ ὁ λυτρούμενος αὐτοὺς Ἰσχυρὸς, Κύριος παντοκράτωρ ὄνομα αὐτῷ· κρίσιν κρινεῖ πρὸς τοὺς ἀντιδίκους αὐτοῦ, ὅπως ἐξάρῃ τὴν γῆν· καὶ παροξυνεῖ τοῖς κατοικοῦσι Βαβυλῶνα.

35. Μάχαιραν ἐπὶ τοὺς Χαλδαίους, καὶ ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα, καὶ ἐπὶ τοὺς μεγιστᾶνας αὐτῆς, καὶ ἐπὶ τοὺς συνετοὺς αὐτῆς.

36. Μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῆς, καὶ παραλυθήσονται·

37. μάχαιραν ἐπὶ τοὺς ἵππους αὐτῶν καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν· μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῶν, καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν μέσῳ αὐτῆς, καὶ ἔσονται ὡσεὶ γυναῖκες· μάχαιραν ἐπὶ τοὺς θησαυροὺς, καὶ διασκορπισθήσονται·

38. ἐπὶ τῷ ὕδατι αὐτῆς, καὶ καταισχυνθήσονται, ὅτι γῆ τῶν γλυπτῶν ἐστι, καὶ ἐν ταῖς νήσοις οὗ κατεκαυχῶντο.

39. Διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα ἐν ταῖς νήσοις, καὶ κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες Σειρήνων· οὐ μὴ κατοικηθῇ οὐκέτι εἰς τὸν αἰῶνα.

40. Καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα καὶ τὰς ὁμορούσας αὐταῖς, εἶπε Κύριος, οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ παροικήσει ἐκεῖ υἱὸς ἀνθρώπου.

41. Ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔθνος μέγα, καὶ βασιλεῖς πολλοὶ ἐξεγερθήσονται ἀπ' ἐσχάτου τῆς γῆς,

42. τόξον καὶ ἐγχειρίδιον ἔχοντες· ἰταμός ἐστι, καὶ οὐ μὴ ἐλεήσῃ. Ἡ φωνὴ αὐτῶν ὡς θάλασσα ἠχήσει, ἐφ' ἵπποις ἱππάσονται παρεσκευασμένοι, ὥσπερ πῦρ εἰς πόλεμον, πρὸς σὲ, θύγατερ Βαβυλῶνος.

43. Ἤκουσε βασιλεὺς Βαβυλῶνος τὴν ἀκοὴν αὐτῶν, καὶ παρελύθησαν αἱ χεῖρες αὐτοῦ· θλῖψις κατεκράτησεν αὐτοῦ, ὠδῖνες ὡς τικτούσης.

44. Ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἀπὸ τοῦ Ἰορδάνου εἰς Γαιθὰν, ὅτι ταχέως ἐκδιώξω αὐτοὺς ἀπ' αὐτῆς, καὶ πάντα νεανίσκον ἐπ' αὐτὴν ἐπιστήσω· ὅτι τίς ὥσπερ ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόσωπόν μου;

28. Vox fugientium et evadentium de terra Babylonis, ad annuntiandum in Sion ultionem a Domino Deo nostro.

29. Annuntiate super Babylonem multis, omni intendenti arcum, castrametamini super eam in circuitu : non sit ex ea qui evadat, retribuite ei secundum opera ejus : juxta omnia quæcumque fecit, facite ei, quoniam adversus Dominum stetit, Deum sanctum Israel.

30. Propter hoc cadent adolescentes ejus in plateis ejus, et omnes viri ejus bellatores projicientur, dixit Dominus.

31. Ecce ego super te superbiam contumeliosam, dicit Dominus : quia venit dies tua et tempus ultionis tuæ,

32. et infirmabitur superbia tua, et cadet, et nemo erit qui restituat eam : et accendam ignem in sylva ejus, et devorabit omnia quæ in circuitu ejus.

33. Hæc dicit Dominus. Oppressi fuerunt filii Israel et filii Juda, simul omnes qui captivaverunt eos oppresserunt eos, quia noluerunt emittere eos.

34. Et qui redimit eos Fortis, Dominus omnipotens nomen ei : judicium judicabit contra adversarios ejus, ut liberet terram : et acuet habitantibus Babylonem.

35. Gladium super Chaldæos, et super habitantes Babylonem, et super magnates ejus, et super sapientes ejus.

36. Gladium super pugnatores ejus, et dissolventur :

37. gladium super equos eorum et super currus eorum : gladium super pugnatores eorum, et super commistum qui in medio ejus, et erunt quasi mulieres : gladium super thesauros, et dispergentur :

38. super aquam ejus, et confundentur, quia terra sculptilium est, et in insulis ubi gloriabantur.

39. Propter hoc habitabunt phantasmata in insulis, et habitabunt in ea filiæ Sirenum : non habitabitur ultra in sæculum.

40. Sicut evertit Deus Sodomam et Gomorram et vicinas eis, ait Dominus, non habitabit ibi homo, et non incolet ibi filius hominis.

41. Ecce populus venit ab aquilone, et gens magna, et reges multi excitabuntur ab extremo terræ,

42. arcum et gladium habentes : crudelis est, et non miserebitur. Vox eorum quasi mare sonabit, in equis equitabunt præparati, quasi ignis ad prælium, adversus te, filia Babylonis.

43. Audivit rex Babylonis famam eorum, et dissolutæ sunt manus ejus : tribulatio obtinuit eum, dolores quasi parientis.

44. Ecce sicut leo ascendet de Jordane in Gæthan, quia cito expellam eos ab illa, et omnem adolescentem super eam statuam : quoniam quis sicut ego? et quis resistet mihi? et quis iste pastor qui stabit contra faciem meam?

45. Διὰ τοῦτο ἀκούσατε τὴν βουλὴν Κυρίου ἣν βεβούλευται ἐπὶ Βαβυλῶνα, καὶ λογισμοὺς αὐτοῦ οὓς ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους, ἐὰν μὴ διαφθαρῇ τὰ ἀρνία τῶν προβάτων αὐτῶν, ἐὰν μὴ ἀφανισθῇ νομὴ ἀπ' αὐτῶν.

46. Ὅτι ἀπὸ φωνῆς ἁλώσεως Βαβυλῶνος σεισθήσεται ἡ γῆ, καὶ κραυγὴ ἐν ἔθνεσιν ἀκουσθήσεται.

45. Propter hoc audite consilium Domini quod decrevit super Babylonem, et cogitationes ejus quas cogitavit super habitatores Chaldæos, si non corrumpantur agni ovium eorum, si non disperdantur pascua ab eis.

46. Quia a voce captivitatis Babylonis commovebitur terra, et clamor in gentibus audietur.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'. (Hebr. c. 51.)

1. Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ Βαβυλῶνα καὶ ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους ἄνεμον καύσωνα διαφθείροντα.

2. Καὶ ἐξαποστελῶ εἰς Βαβυλῶνα ὑβριστὰς, καὶ καθυβρίσουσιν αὐτὴν, καὶ λυμανοῦνται τὴν γῆν αὐτῆς. Οὐαὶ ἐπὶ Βαβυλῶνα κυκλόθεν ἐν ἡμέρᾳ κακώσεως αὐτῆς.

3. Τεινέτω ὁ τείνων τὸ τόξον αὐτοῦ, καὶ περιθέσθω ᾧ ἐστιν ὅπλα αὐτοῦ, καὶ μὴ φείσησθε ἐπὶ τοὺς νεανίσκους αὐτῆς, καὶ ἀφανίσατε πᾶσαν τὴν δύναμιν αὐτῆς.

4. Καὶ πεσοῦνται τραυματίαι ἐν γῇ Χαλδαίων, καὶ κατακεκεντημένοι ἔξωθεν αὐτῆς.

5. Διότι οὐκ ἐχήρευσεν Ἰσραὴλ καὶ Ἰούδας ἀπὸ Θεοῦ αὐτῶν, ἀπὸ Κυρίου παντοκράτορος, ὅτι ἡ γῆ αὐτῶν ἐπλήσθη ἀδικίας ἀπὸ τῶν ἁγίων Ἰσραήλ.

6. Φεύγετε ἐκ μέσου Βαβυλῶνος, καὶ ἀνασώζετε ἕκαστος τὴν ψυχὴν αὐτοῦ, καὶ μὴ ἀποῤῥιφῆτε ἐν τῇ ἀδικίᾳ αὐτῆς, ὅτι καιρὸς ἐκδικήσεως αὐτῆς ἐστι παρὰ Κυρίου· ἀνταπόδομα αὐτὸς ἀνταποδίδωσιν αὐτῇ.

7. Ποτήριον χρυσοῦν Βαβυλὼν ἐν χειρὶ Κυρίου, μεθύσκον πᾶσαν τὴν γῆν· ἀπὸ τοῦ οἴνου αὐτῆς ἐπίοσαν ἔθνη, διὰ τοῦτο ἐσαλεύθησαν,

8. καὶ ἄφνω ἔπεσε Βαβυλὼν, καὶ συνετρίβη. Θρηνεῖτε αὐτὴν, λάβετε ῥητίνην τῇ διαφθορᾷ αὐτῆς, εἴ πως ἰαθήσεται.

9. Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη· ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος εἰς τὴν γῆν αὐτοῦ, ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρῖμα αὐτῆς, ἐξῆρεν ἕως τῶν ἄστρων·

10. ἐξήνεγκε Κύριος τὸ κρῖμα αὐτοῦ. Δεῦτε, καὶ ἀναγγείλωμεν ἐν Σιὼν τὰ ἔργα Κυρίου τοῦ Θεοῦ ἡμῶν.

11. Παρασκευάζετε τὰ τοξεύματα, πληροῦτε τὰς φαρέτρας. Ἤγειρε Κύριος τὸ πνεῦμα βασιλέως Μήδων, ὅτι εἰς Βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ, τοῦ ἐξολοθρεῦσαι αὐτὴν, ὅτι ἐκδίκησις Κυρίου ἐστὶν, ἐκδίκησις λαοῦ αὐτοῦ ἐστιν.

12. Ἐπὶ τειχέων Βαβυλῶνος ἄρατε σημεῖον, ἐπιστήσατε φαρέτρας, ἐγείρατε φυλακὰς, ἑτοιμάσατε ὅπλα, ὅτι ἐνεχείρισε, καὶ ποιήσει Κύριος ἃ ἐλάλησεν ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα,

13. κατασκηνοῦντας ἐφ' ὕδασι πολλοῖς, καὶ ἐπὶ πλήθει θησαυρῶν αὐτῆς. Ἥκει τὸ πέρας σου ἀληθῶς εἰς τὰ σπλάγχνα σου,

14. ὅτι ὤμοσε Κύριος κατὰ τοῦ βραχίονος αὐτοῦ, διότι πληρώσω σε ἀνθρώπων ὡσεὶ ἀκρίδων, καὶ φθέγξονται ἐπὶ σὲ οἱ καταβαίνοντες.

15. Κύριος ποιῶν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ἑτοιμάζων οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, ἐν τῇ συνέσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν,

CAPUT XXVIII. (Hebr. c. 51.)

1. Hæc dicit Dominus : Ecce ego suscito super Babylonem et super habitatores Chaldæos ventum urentem corrumpentem.

2. Et emittam in Babylonem contumeliosos, et contumelia afficient eam, et vastabunt terram ejus. Væ super Babylonem in circuitu in die afflictionis ejus.

3. Tendat qui tendit arcum suum, et circumponat cui sunt arma sua, et ne parcatis super adolescentibus ejus, et delete omnem virtutem ejus.

4. Et cadent interfecti in terra Chaldæorum, et confossi deforis ejus.

5. Quia non fuit viduatus Israel et Judas a Deo suo, a Domino omnipotente, quia terra eorum repleta est iniquitate a sanctis Israel.

6. Fugite de medio Babylonis, et salvate unusquisque animam suam, et ne projiciamini in iniquitate ejus, quoniam tempus ultionis ejus est a Domino : retributionem ipse retribuit ei.

7. Calix aureus Babylon in manu Domini, inebrians omnem terram : de vino ejus biberunt gentes, ideo commotæ sunt,

8. et repente cecidit Babylon, et contrita est. Lamentamini eam, sumite resinam corruptioni ejus, si quomodo sanabitur.

9. Curavimus Babylonem, et non est sanata : derelinquamus eam, et abeamus unusquisque in terram suam, quoniam appropinquavit ad cœlum judicium ejus, elevavit se usque ad astra :

10. protulit Dominus judicium suum. Venite, et annuntiemus in Sion opera Domini Dei nostri.

11. Præparate arcus, implete pharetras. Suscitavit Dominus spiritum regis Medorum, quoniam in Babylonem ira ejus, ad disperdendam eam, quia ultio Domini est, ultio populi ejus est.

12. Super muros Babylonis levate signum, statuite pharetras, suscitate custodias, parate arma, quoniam aggressus est, et faciet Dominus quæ locutus est super habitatores Babylonis,

13. habitantes in aquis multis, et in multitudine thesaurorum ejus. Venit finis tuus vere in viscera tua,

14. quia juravit Dominus per brachium suum, quia implebo te hominibus sicut locustis, et loquentur super te descendentes.

15. Dominus faciens terram in fortitudine sua, parans orbem in sapientia sua, in intellectu suo extendit cœlum,

16. εἰς φωνὴν ἔθετο ἦχος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἀπ' ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγε φῶς ἐκ τῶν θησαυρῶν αὐτοῦ.

17. Ἐματαιώθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν γλυπτῶν αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς.

18. Μάταιά ἐστιν ἔργα μεμωκημένα, ἐν καιρῷ ἐπισκέψεως αὐτῶν ἀπολοῦνται.

19. Οὐ τοιαύτη μερὶς τῷ Ἰακὼβ, ὅτι ὁ πλάσας τὰ πάντα αὐτός ἐστι κληρονομία αὐτοῦ, Κύριος ὄνομα αὐτῷ.

20. Διασκορπίζεις σύ μοι σκεύη πολέμου, καὶ διασκορπιῶ ἐν σοὶ ἔθνη, καὶ ἐξαρῶ ἐκ σοῦ βασιλεῖς.

21. Καὶ διασκορπιῶ ἐν σοὶ ἵππον καὶ ἐπιβάτην αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ ἅρματα καὶ ἀναβάτας αὐτῶν.

22. Καὶ διασκορπιῶ ἐν σοὶ νεανίσκον καὶ παρθένον, καὶ διασκορπιῶ ἐν σοὶ ἄνδρα καὶ γυναῖκα,

23. καὶ διασκορπιῶ ἐν σοὶ ποιμένα καὶ τὸ ποίμνιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ γεωργὸν καὶ τὸ γεώργιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ ἡγεμόνας καὶ στρατηγούς σου.

24. Καὶ ἀνταποδώσω τῇ Βαβυλῶνι καὶ πᾶσι τοῖς κατοικοῦσι Χαλδαίοις πάσας τὰς κακίας αὐτῶν, ἃς ἐποίησαν ἐπὶ Σιὼν κατ' ὀφθαλμοὺς ὑμῶν, λέγει Κύριος.

25. Ἰδοὺ ἐγὼ πρὸς σὲ τὸ ὄρος τὸ διεφθαρμένον, τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ κατακυλιῶ σε ἐπὶ τῶν πετρῶν, καὶ δώσω σε ὡς ὄρος ἐμπεπυρισμένον,

26. καὶ οὐ μὴ λάβωσιν ἀπὸ σοῦ λίθον εἰς γωνίαν, καὶ λίθον εἰς θεμέλιον, ὅτι εἰς ἀφανισμὸν ἔσῃ εἰς τὸν αἰῶνα, λέγει Κύριος.

27. Ἄρατε σημεῖον ἐπὶ τῆς γῆς, σαλπίσατε ἐν ἔθνεσι σάλπιγγι, ἁγιάσατε ἐπ' αὐτὴν ἔθνη, παραγγείλατε ἐπ' αὐτὴν, βασιλεῖς ἄρατε παρ' ἐμοῦ, καὶ τοῖς Ἀχαναζέοις· ἐπιστήσατε ἐπ αὐτὴν βελοστάσεις, ἀναβιβάσατε ἐπ' αὐτὴν ἵππον ὡς ἀκρίδων πλῆθος.

28. Ἀναβιβάσατε ἐπ' αὐτὴν ἔθνη, τὸν βασιλέα τῶν Μήδων καὶ πάσης τῆς γῆς, τοὺς ἡγουμένους αὐτοῦ καὶ πάντας τοὺς στρατηγοὺς αὐτοῦ.

29. Ἐσείσθη ἡ γῆ, καὶ ἐπόνεσε, διότι ἐξανέστη ἐπὶ Βαβυλῶνα λογισμὸς Κυρίου, τοῦ θεῖναι τὴν γῆν Βαβυλῶνος εἰς ἀφανισμὸν, καὶ μὴ κατοικεῖσθαι αὐτήν.

30. Ἐξέλιπε μαχητὴς Βαβυλῶνος τοῦ πολεμεῖν, καθήσονται ἐκεῖ ἐν περιοχῇ, ἐθραύσθη ἡ δυναστεία αὐτῶν, ἐγενήθησαν ὡσεὶ γυναῖκες· ἐνεπυρίσθη τὰ σκηνώματα αὐτῆς, συνετρίβησαν οἱ μοχλοὶ αὐτῆς.

31. Διώκων εἰς ἀπάντησιν διώκοντος διώξεται, καὶ ἀναγγέλλων εἰς ἀπάντησιν ἀναγγέλλοντος τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ Βαβυλῶνος ὅτι ἑάλωκεν ἡ πόλις αὐτοῦ.

32. Ἀπ' ἐσχάτου τῶν διαβάσεων αὐτοῦ ἐλήφθησαν, καὶ τὰ συστήματα αὐτῶν ἐνέπρησαν ἐν πυρὶ, καὶ ἄνδρες αὐτοῦ οἱ πολεμισταὶ ἐξέρχονται.

33. Διότι τάδε λέγει Κύριος· Οἶκοι βασιλέως Βαβυλῶνος, ὡς ἅλων ὥριμος ἀλοηθήσονται· ἔτι μικρὸν, καὶ ἥξει ὁ ἀμητὸς αὐτῆς.

34. Κατέφαγέ με, ἐμερίσατό με, κατέλαβέ με σκότος λεπτὸν, Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατέπιέ με, ὡς δράκων ἔπλησε τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῆς τρυφῆς μου.

16. ad vocem posuit sonum aquæ in cœlo, et eduxit nubes ab extremo terræ, fulgura in pluviam fecit, et eduxit lumen de thesauris suis.

17. Stultus factus est omnis homo a scientia, confusus est omnis aurifex a sculptilibus suis, quia falsa conflaverunt, non est spiritus in eis.

18. Vana sunt opera ridicula, in tempore visitationis ipsorum peribunt.

19. Non talis pars ipsi Jacob, quoniam qui plasmavit omnia ipse est hæreditas ejus, Dominus nomen illi.

20. Dispergis tu mihi vasa belli, et dispergam in te gentes, et tollam de te reges.

21. Et dispergam in te equum et ascensorem ejus, et dispergam in te currus et ascensores eorum.

22. Et dispergam in te adolescentem et virginem, et dispergam in te virum et mulierem,

23. et dispergam in te pastorem et gregem ejus, et dispergam in te agricolam et agriculturam ejus, et dispergam in te præfectos et duces militiæ tuos.

24. Et retribuam Babyloni et omnibus habitatoribus Chaldæis omnes malitias eorum, quas fecerunt super Sion ante oculos vestros, dicit Dominus.

25. Ecce ego ad te montem corruptum, qui corrumpis universam terram, et extendam manum meam super te, et devolvam te super petras, et dabo te sicut montem combustum,

26. et non accipient de te lapidem in angulum, et lapidem in fundamentum, quia in desolationem eris in sæculum, dicit Dominus.

27. Levate signum super terram, clangite in gentibus tuba, sanctificate super eam gentes, annuntiate super eam, reges tollite a me, et Achanazæis : statuite super eam machinas, facite ascendere super eam equum quasi locustarum multitudinem.

28. Facite ascendere super eam gentes, regem Medorum et universæ terræ, præfectos ejus et omnes duces ejus.

29. Commota est terra, et laboravit, quia insurrexit super Babylonem cogitatio Domini, ad ponendam terram Babylonis in desolationem, et ut ea non habitetur.

30. Defecit pugnator Babylonis a bellando, sedebunt illic in præsidio, quassata est potentia eorum, facti sunt quasi mulieres : combusta sunt tabernacula ejus, contriti sunt vectes ejus.

31. Persequens in occursum persequentis persequetur, et nuntians in occursum nuntiantis ad nuntiandum regi Babylonis quia capta est civitas ejus.

32. Ab extremo transituum ejus capti sunt, et collectiones eorum incensæ sunt in igni, et viri ejus bellatores egrediuntur.

33. Quia hæc dicit Dominus : Domus regis Babylonis, quasi area matura triturabuntur : adhuc modicum, et veniet messis ejus.

34. Comedit me, divisit me, apprehenderunt me tenebræ tenues, Nabuchodonosor rex Babylonis absorbuit me, quasi draco implevit ventrem suum de teneritudine mea.

35. Ἔξωσάν με οἱ μόχθοι μου καὶ αἱ ταλαιπωρίαι μου εἰς Βαβυλῶνα, ἐρεῖ κατοικοῦσα Σιὼν, καὶ τὸ αἷμά μου ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους, ἐρεῖ Ἱερουσαλήμ.

36. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ κρινῶ τὴν ἀντίδικόν σου, καὶ ἐκδικήσω τὴν ἐκδίκησίν σου, καὶ ἐρημώσω τὴν θάλασσαν αὐτῆς, καὶ ξηρανῶ τὴν πηγὴν αὐτῆς.

37. Καὶ ἔσται Βαβυλὼν εἰς ἀφανισμὸν, καὶ οὐ κατοικηθήσεται.

38. Ὅτι ἅμα ὡς λέοντες ἐξηγέρθησαν, καὶ ὡς σκύμνοι λεόντων.

39. Ἐν τῇ θερμασίᾳ αὐτῶν δώσω πότημα αὐτοῖς, καὶ μεθύσω αὐτοὺς, ὅπως καρωθῶσι, καὶ ὑπνώσωσιν ὕπνον αἰώνιον, καὶ οὐ μὴ ἐξεγερθῶσι, λέγει Κύριος.

40. Καὶ καταβίβασον αὐτοὺς ὡς ἄρνας εἰς σφαγὴν, καὶ ὡς κριοὺς μετ' ἐρίφων.

41. Πῶς ἑάλω καὶ ἐθηρεύθη τὸ καύχημα πάσης τῆς γῆς; πῶς ἐγένετο Βαβυλὼν εἰς ἀφανισμὸν ἐν τοῖς ἔθνεσιν;

42. Ἀνέβη ἐπὶ Βαβυλῶνα ἡ θάλασσα ἐν ἤχῳ κυμάτων αὐτῆς, καὶ κατεκαλύφθη.

43. Ἐγενήθησαν αἱ πόλεις αὐτῆς ὡς γῆ ἄνυδρος καὶ ἄβατος, οὐ κατοικήσει ἐν αὐτῇ οὐδὲ εἷς, οὐδὲ μὴ καταλύσει ἐν αὐτῇ υἱὸς ἀνθρώπου.

44. Καὶ ἐκδικήσω ἐπὶ Βαβυλῶνα, καὶ ἐξοίσω ἃ κατέπιεν ἐκ τοῦ στόματος αὐτῆς, καὶ οὐ μὴ συναχθῶσι πρὸς αὐτὴν ἔτι τὰ ἔθνη, (*)

49. καὶ ἐν Βαβυλῶνι πεσοῦνται τραυματίαι πάσης τῆς γῆς.

50. Ἀνασωζόμενοι ἐκ γῆς, πορεύεσθε, καὶ μὴ ἵστασθε· οἱ μακρόθεν, μνήσθητε τοῦ Κυρίου, καὶ Ἱερουσαλὴμ ἀναβήτω ἐπὶ τὴν καρδίαν ὑμῶν.

51. Ἠσχύνθημεν, ὅτι ἠκούσαμεν ὀνειδισμὸν ἡμῶν, κατεκάλυψεν ἀτιμία τὸ πρόσωπον ἡμῶν, εἰσῆλθον ἀλλογενεῖς εἰς τὰ ἅγια ἡμῶν, εἰς οἶκον Κυρίου.

52. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς, καὶ ἐν πάσῃ τῇ γῇ αὐτῆς πεσοῦνται τραυματίαι·

53. ὅτι ἐὰν ἀναβῇ Βαβυλὼν ὡς ὁ οὐρανὸς, καὶ ὅτι ἐὰν ὀχυρώσῃ τὰ τείχη ἰσχύϊ αὐτῆς, παρ' ἐμοῦ ἥξουσιν ἐξολοθρεύοντες αὐτὴν, λέγει Κύριος.

54. Φωνὴ κραυγῆς ἐν Βαβυλῶνι, καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων,

55. ὅτι ἐξωλόθρευσε Κύριος τὴν Βαβυλῶνα, καὶ ἀπώλεσεν ἀπ' αὐτῆς φωνὴν μεγάλην ἠχοῦσαν ὡς ὕδατα πολλὰ, ἔδωκεν εἰς ὄλεθρον φωνὴν αὐτῆς·

(*) 44. ... καί γε τεῖχος Βαβυλῶνος πεσεῖται.

45. Ἐξέλθετε ἀπὸ μέσου αὐτοῦ, λαὸς ἐμὸς, καὶ σώσατε ἕκαστος τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ ὀργῆς θυμοῦ Κυρίου.

46. Μήποτε ἀπαλωθῇ ἡ καρδία ὑμῶν, καὶ φοβηθῆτε διὰ τὴν ἀκοὴν, ἣ ἀκουσθήσεται ἐν τῇ γῇ, καὶ ἥξει ἐν ἐνιαυτῷ ἡ ἀκοὴ, καὶ μετὰ τὸν ἐνιαυτὸν ἀκοὴ, ταλαιπωρία, καὶ ἀδικία ἐπὶ τῆς γῆς, καὶ κυριεύων ἐπὶ κυριεύοντα.

47. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ Βαβυλῶνος, καὶ πᾶσα ἡ γῆ αὐτῶν αἰσχυνθήσεται, πάντες τραυματίαι αὐτῶν πεσοῦνται ἐν μέσῳ αὐτῆς.

48. Καὶ εὐφρανθήσονται ἐπὶ Βαβυλῶνα οἱ οὐρανοὶ καὶ ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὅτι ἀπὸ βορρᾶ ἔρχονται πρὸς αὐτὸν ἐξολοθρεύοντες, λέγει Κύριος· καί γε Βαβυλὼν πεσεῖν ἐποίησε τοὺς τραυματίας Ἰσραὴλ, (*Compl.*)

35. Expulerunt me labores mei et vexationes meæ in Babylonem, dicet habitatrix Sion, et sanguis meus super habitatores Chaldæos, dicet Jerusalem.

36. Ideo hæc dicit Dominus : Ecce ego judicabo adversariam tuam, et ulciscar ultionem tuam, et desolabo mare ejus, et arefaciam fontem ejus.

37. Et erit Babylon in solitudinem, et non habitabitur.

38. Simul enim ut leones excitati sunt, et sicut catuli leonum.

39. In calore eorum dabo potum eis, et inebriabo eos, ut sopiantur, et dormiant somnum sempiternum, et non consurgant, dicit Dominus.

40. Et deduc eos quasi agnos ad mactationem, et quasi arietes cum hœdis.

41. Quomodo capta est et per venationem occupata gloriatio universæ terræ? quomodo facta est Babylon in desolationem in gentibus?

42. Ascendit super Babylonem mare in sonitu fluctuum ejus, et cooperta est.

43. Factæ sunt civitates ejus quasi terra sine aqua et invia, nemo habitabit in ea, neque divertet in ea filius hominis.

44. Et ulciscar super Babylonem, et extraham quæ absorbuit ex ore ejus, et non congregabuntur ad eam gentes ultra,

49. Et in Babylone cadent interfecti universæ terræ.

50. Qui evaditis de terra, ite, et non subsistatis : qui de longe, recordamini Domini, et Jerusalem ascendat super cor vestrum.

51. Confusi sumus, quia audivimus opprobrium nostrum, cooperuit ignominia faciem nostram, intrarunt alienigenæ in sancta nostra, in domum Domini.

52. Propter hoc ecce dies veniunt, dicit Dominus, et ulciscar super sculptilia ejus, et in omni terra ejus cadent interfecti :

53. quia si ascenderit Babylon tamquam cœlum, et quia si munierit muros fortitudine sua, a me venient qui exterminent eam, dicit Dominus.

54. Vox clamoris in Babylone, et contritio magna in terrà Chaldæorum,

55. quia exterminavit Dominus Babylonem, et disperdidit ex ea vocem magnam sonantem quasi aquas multas, dedit in perditionem vocem ejus :

44. ... etenim murus Babylonis cadet.

45. Egredimini e medio ejus, popule meus, et salvate unusquisque animam suam ab ira furoris Domini.

46. Ne forte mollescat cor vestrum, et timeatis propter auditum, qui audietur in terra, et veniet in anno auditio, et post annum auditio, miseria, et iniquitas in terra, et dominator super dominatorem.

47. Idcirco ecce dies veniunt, et ulciscar super sculptilia Babylonis, et omnis terra eorum confundetur, universi interfecti eorum cadent in medio ejus.

48. Et lætabuntur super Babylonem cœli et terra, et omnia quæ in eis : quia ab aquilone veniunt ad eum exterminantes, dicit Dominus : atqui Babylon cadere fecit interfectos Israel,

56. ὅτι ἦλθεν ἐπὶ Βαβυλῶνα ταλαιπωρία, ἑάλωσαν οἱ μαχηταὶ αὐτῆς, ἐπτόηται τὸ τόξον αὐτῶν, ὅτι ὁ Θεὸς ἀνταποδίδωσιν αὐτοῖς.

57. Κύριος ἀνταποδίδωσι, καὶ μεθύσει μέθῃ τοὺς ἡγεμόνας αὐτῆς, καὶ τοὺς σοφοὺς αὐτῆς καὶ τοὺς στρατηγοὺς αὐτῆς, λέγει ὁ βασιλεὺς, Κύριος παντοκράτωρ ὄνομα αὐτῷ.

58. Τάδε λέγει Κύριος· Τεῖχος Βαβυλῶνος ἐπλατύνθη, κατασκαπτόμενον κατασκαφήσεται, καὶ αἱ πύλαι αὐτῆς αἱ ὑψηλαὶ ἐμπυρισθήσονται, καὶ οὐ κοπιάσουσι λαοὶ εἰς κενὸν, καὶ ἔθνη ἐν ἀρχῇ ἐκλείψουσιν.

59. Ὁ λόγος ὃν ἐνετείλατο Κύριος Ἱερεμίᾳ τῷ προφήτῃ, εἰπεῖν τῷ Σαραίᾳ υἱῷ Νηρείου υἱοῦ Μαασαίου, ὅτε ἐπορεύετο παρὰ Σεδεκίου βασιλέως Ἰούδα εἰς Βαβυλῶνα, ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ, καὶ Σαραίας ἄρχων δώρων.

60. Καὶ ἔγραψεν Ἱερεμίας πάντα τὰ κακὰ ἃ ἥξει ἐπὶ Βαβυλῶνα ἐν βιβλίῳ, πάντας τοὺς λόγους τούτους τοὺς γεγραμμένους ἐπὶ Βαβυλῶνα.

61. Καὶ εἶπεν Ἱερεμίας πρὸς Σαραίαν· Ὅταν ἔλθῃς εἰς Βαβυλῶνα, καὶ ὄψῃ καὶ ἀναγνώσῃ πάντας τοὺς λόγους τούτους,

62. καὶ ἐρεῖς· Κύριε, Κύριε, σὺ ἐλάλησας ἐπὶ τὸν τόπον τοῦτον τοῦ ἐξολοθρεῦσαι αὐτὸν, καὶ τοῦ μὴ εἶναι ἐν αὐτῷ κατοικοῦντας ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅτι ἀφανισμὸς εἰς τὸν αἰῶνα ἔσται.

63. Καὶ ἔσται, ὅταν παύσῃ τοῦ ἀναγινώσκειν τὸ βιβλίον τοῦτο, καὶ ἐπιδήσεις ἐπ' αὐτὸ λίθον, καὶ ῥίψεις αὐτὸ εἰς μέσον τοῦ Εὐφράτου,

64. καὶ ἐρεῖς· Οὕτως καταδύσεται Βαβυλὼν, καὶ οὐ μὴ ἀναστῇ ἀπὸ προσώπου τῶν κακῶν ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτήν.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

(Hebr. c. 47, 1 — 7, et 49, 7 — 22.)

(*) 1. Ἐπὶ τοὺς ἀλλοφύλους τάδε λέγει Κύριος·

2. Ἰδοὺ ὕδατα ἀναβαίνει ἀπὸ βορρᾶ, καὶ ἔσται εἰς χειμάῤῥουν κατακλύζοντα, καὶ κατακλύσει γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. Καὶ κεκράξονται οἱ ἄνθρωποι, καὶ ἀλαλάξουσιν ἅπαντες οἱ κατοικοῦντες τὴν γῆν,

3. ἀπὸ φωνῆς ὁρμῆς αὐτοῦ, ἀπὸ τῶν ὅπλων τῶν ποδῶν αὐτοῦ, καὶ ἀπὸ σεισμοῦ τῶν ἁρμάτων αὐτοῦ, ἤχου τροχῶν αὐτοῦ. Οὐκ ἐπέστρεψαν πατέρες ἐφ' υἱοὺς αὐτῶν ἀπὸ ἐκλύσεως χειρῶν αὐτῶν,

4. ἐν τῇ ἡμέρᾳ τῇ ἐπερχομένῃ τοῦ ἀπολέσαι πάντας τοὺς ἀλλοφύλους. Καὶ ἀφανιῶ τὴν Τύρον καὶ τὴν Σιδῶνα, καὶ πάντας τοὺς καταλοίπους τῆς βοηθείας αὐτῶν, ὅτι ἐξολοθρεύσει Κύριος τοὺς καταλοίπους τῶν νήσων.

5. Ἥκει φαλάκρωμα ἐπὶ Γάζαν, ἀπεῤῥίφη Ἀσκάλων, καὶ οἱ κατάλοιποι Ἐνακίμ.

6. Ἕως τίνος κόψεις, ἡ μάχαιρα τοῦ Κυρίου; ἕως τίνος οὐχ ἡσυχάσεις; Ἀποκατάστηθι εἰς τὸν κολεόν σου, ἀνάπαυσαι, καὶ ἐπάρθητι.

(*) 1. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην ἐπὶ τοὺς ἀλλοφύλους, πρὸ τοῦ πατάξαι Φαραὼ τὴν Γάζαν. *(Compl.)*

56. Quoniam venit super Babylonem calamitas, capti sunt pugnatores ejus, tremuit arcus eorum, quia Deus retribuit eis.

57. Dominus retribuit, et inebriabit ebrietate præfectos ejus, et sapientes ejus et duces ejus, dicit rex, Dominus omnipotens nomen illi.

58. Hæc dicit Dominus : Murus Babylonis dilatus est, effodiendo effodietur, et portæ ejus excelsæ comburentur, et non laborabunt populi in vacuum, et gentes in principio deficient.

59. Verbum quod mandavit Dominus Jeremiæ prophetæ, ut diceret Sarææ filio Neriæ filii Maasiæ, quando ibat a Sedecia rege Juda in Babylonem, in anno quarto regni ejus, et Saræas princeps donorum.

60. Et scripsit Jeremias omnia mala quæ venient super Babylonem in libro, omnia verba hæc scripta super Babylonem.

61. Et dixit Jeremias ad Saræam : Cum veneris in Babylonem, et videris et legeris omnia verba hæc,

62. et dices : Domine, Domine, tu locutus es super locum istum ad disperdendum eum, et ut non sint in eo habitantes ab homine usque ad pecus, quia solitudo in sæculum erit.

63. Et erit, cum cessaveris legere librum hunc, et ligabis lapidem ad eum, et projicies eum in medium Euphratis.

64. et dices : Sic demergetur Babylon, et non resurget a facie malorum quæ ego induco super eam.

CAPUT XXIX.

(Hebr. c. 47, 1 — 7, et 49, 7 — 22.)

1. Super alienigenas hæc dicit Dominus :

2. Ecce aquæ ascendunt ab aquilone, et erunt in torrentem inundantem, et inundabunt terram et plenitudinem ejus, civitatem et habitantes in ea. Et clamabunt homines, et ululabunt omnes habitatores terræ,

3. a voce impetus ejus, ab armis pedum ejus, et a concussione curruum ejus, sonitu rotarum ejus. Non converterunt se patres super filios suos præ dissolutione manuum suarum,

4. in die superveniente ad perdendum omnes alienigenas. Et delebo Tyrum et Sidonem, et omnes reliquos auxilii eorum, quia exterminabit Dominus reliquos insularum.

5. Venit calvitium super Gazam, projecta est Ascalon, et reliqui Enacim.

6. Usquequo concides, gladius Domini? usquequo non quiesces? Regredere in vaginam tuam, requiesce, et tollere.

---

1. Et factum est verbum Domini ad Jeremiam prophetam super alienigenas, antequam percuteret Pharao Gazam.

7. Πῶς ἡσυχάσει; καὶ Κύριος ἐνετείλατο αὐτῇ ἐπὶ τὴν Ἀσκάλωνα, καὶ ἐπὶ τὰς παραθαλασσίους, ἐπὶ τὰς καταλοίπους ἐπεγερθῆναι.

(*Vulg*. XLIX, 7.) Τῇ Ἰδουμαίᾳ τάδε λέγει Κύριος· Οὐκ ἔστιν ἔτι σοφία ἐν Θαιμάν, ἀπώλετο βουλὴ ἐκ συνετῶν, ᾤχετο σοφία αὐτῶν,

8. ἠπατήθη ὁ τόπος αὐτῶν· βαθύνατε εἰς κάθισιν, οἱ κατοικοῦντες ἐν Δαιδάμ· ὅτι δύσκολα ἐποίησεν. Ἤγαγον ἐπ' αὐτὸν ἐν χρόνῳ ᾧ ἐπεσκεψάμην ἐπ' αὐτόν,

9. ὅτι τρυγηταὶ ἦλθον, οἳ οὐ καταλείψουσί σοι κατάλειμμα· ὡς κλέπται ἐν νυκτὶ, ἐπιθήσουσι χεῖρα αὐτῶν,

10. ὅτι ἐγὼ κατέσυρα τὸν Ἡσαῦ, ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν, κρυβῆναι οὐ μὴ δύνωνται· ὄλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ, γείτονός μου, καὶ οὐκ ἔστιν

11. ὑπολείπεσθαι ὀρφανόν σου, ἵνα ζήσηται· καὶ ἐγὼ ζήσομαι, καὶ αἱ χῆραι ἐπ' ἐμὲ πεποίθασιν.

12. Ὅτι τάδε εἶπε Κύριος· Οἷς οὐκ ἦν νόμος πιεῖν τὸ ποτήριον, ἔπιον· καὶ σὺ ἀθῳωμένη οὐ μὴ ἀθῳωθῇς,

13. ὅτι κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, ὅτι εἰς ἄβατον καὶ εἰς ὀνειδισμὸν καὶ εἰς κατάρασιν ἔσῃ ἐν μέσῳ αὐτῆς, καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσονται ἔρημοι εἰς αἰῶνα.

14. Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλε· συνάχθητε, καὶ παραγένεσθε εἰς αὐτὴν, ἀνάστητε εἰς πόλεμον.

15. Μικρὸν ἔδωκά σε ἐν ἔθνεσιν, εὐκαταφρόνητον ἐν ἀνθρώποις.

16. Ἡ παιγνία σου ἐνεχείρησέ σοι, ἰταμία καρδίας σου· κατέλυσε τρυμαλιὰς πετρῶν, συνέλαβεν ἰσχὺν βουνοῦ ὑψηλοῦ· ὅτι ὕψωσεν ὥσπερ ἀετὸς νοσσιὰν αὐτοῦ, ἐκεῖθεν καθελῶ σε.

17. Καὶ ἔσται ἡ Ἰδουμαία εἰς ἄβατον, πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτὴν συριεῖ.

18. Ὥσπερ κατεστράφη Σόδομα καὶ Γόμοῤῥα καὶ αἱ πάροικοι αὐτῆς, εἶπε Κύριος παντοκράτωρ, οὐ μὴ καθίσει ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ κατοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου.

19. Ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἐκ μέσου τοῦ Ἰορδάνου εἰς τόπον Αἰθάμ, ὅτι ταχὺ ἐκδιώξω αὐτοὺς ἀπ' αὐτῆς, καὶ τοὺς νεανίσκους ἐπ' αὐτὴν ἐπιστήσατε. Ὅτι τίς ὥσπερ ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; Καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόσωπόν μου;

20. Διὰ τοῦτο ἀκούσατε βουλὴν Κυρίου, ἣν ἐβουλεύσατο ἐπὶ τὴν Ἰδουμαίαν, καὶ λογισμὸν αὐτοῦ ὃν ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας Θαιμάν, ἐὰν μὴ συμψηθῶσι τὰ ἐλάχιστα τῶν προβάτων, ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτοὺς κατάλυσις αὐτῶν,

21. ὅτι ἀπὸ φωνῆς πτώσεως αὐτῶν ἐφοβήθη ἡ γῆ, καὶ κραυγὴ θαλάσσης οὐκ ἠκούσθη.

22. Ἰδοὺ ὥσπερ ἀετὸς ὄψεται, καὶ ἐκτενεῖ τὰς πτέρυγας ἐπ' ὀχυρώματα αὐτῆς· καὶ ἔσται ἡ καρδία τῶν ἰσχυρῶν τῆς Ἰδουμαίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς καρδία γυναικὸς ὠδινούσης.

7. Quomodo requiescet? et Dominus mandavit ei super Ascalonem, et adversus maritimas, super reliquas ut insurgat.

(*Vulg* XLIX, 7.) Idumææ hæc dicit Dominus : Non est ultra sapientia in Thæman, periit consilium a prudentibus, abiit sapientia eorum,

8. conculcatus est locus eorum : demergite in sessionem, qui habitatis in Dædan : quia dura fecit. Adduxi super eum in tempore quo visitavi super eum,

9. quia vindemiatores venerunt, qui non relinquent tibi reliquias : quasi fures in nocte, imponent manum suam,

10. quia ego detraxi Esau, revelavi abscondita eorum, abscondi non poterunt : perierunt per manum fratris sui, vicini mei, et non est

11. relinqui pupillum tuum, ut vivat : et ego faciam vivere, et viduæ super me confiderunt.

12. Quia hæc dicit Dominus : Quibus non erat lex bibere calicem, biberunt : et tu absoluta non absolveris,

13. quoniam per meipsum juravi, dicit Dominus, quoniam in invium et in opprobrium et in maledictionem eris in medio ejus, et omnes civitates ejus erunt desertæ in sæculum.

14. Auditum audivi a Domino, et angelos ad gentes misit : congregamini, et advenite ad eam, exsurgite in bellum.

15. Parvulum dedi te in gentibus, contemptibilem in hominibus.

16. Lusio tua molita est tibi, impudentia cordis tui : habitavit cavernas petrarum, apprehendit fortitudinem collis excelsi : quoniam exaltavit quasi aquila nidum suum, inde detraham te.

17. Et erit Idumæa in invium, omnis præteriens super eam sibilabit.

18. Sicut subversa est Sodoma et Gomorra et vicinæ ejus, dixit Dominus omnipotens, non sedebit ibi homo, et non habitabit ibi filius hominis.

19. Ecce quasi leo ascendet de medio Jordanis in locum Ætham, quia cito expellam eos ab ea, et juvenes super eam state. Nam quis sicut ego? et quis resistet mihi? Et quis iste pastor qui stabit ante faciem meam?

20. Propterea audite consilium Domini, quod deliberavit super Idumæam, et cogitationem ejus quam cogitavit super habitantes Thæman, si non abripiantur minima ovium, si non invia fiet super eos habitatio ipsorum,

21. quoniam a voce ruinæ eorum timuit terra, et clamor maris non est auditus.

22. Ecce sicut aquila videbit, et extendet alas super munitiones ejus : et erit cor fortium Idumææ in die illa quasi cor mulieris parturientis.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

(Hebr. c. 49, v. 1 — 5, v. 28 — 33, v. 23 — 27.)

1. Τοῖς υἱοῖς Ἀμμὼν οὕτως εἶπε Κύριος· Μὴ υἱοὶ οὐκ εἰσὶν ἐν Ἰσραὴλ, ἢ παραληψόμενος οὐκ ἔστιν αὐ-

CAPUT XXX.

(Hebr. c. 49, v. 1 — 5, v. 28 — 33, v. 23 — 27.)

1. Filiis Ammon sic dixit Dominus : Numquid filii non sunt in Israel, vel qui accipiat hæreditatem non est eis?

τοῖς; Διατί παρέλαβε Μελχὸλ τὴν Γαλαὰδ, καὶ ὁ λαὸς αὐτῶν ἐν πόλεσιν αὐτῶν ἐνοικήσει;

2. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ ἀκουτιῶ ἐπὶ Ῥαββὰθ θόρυβον πολέμων, καὶ ἔσονται εἰς ἄβατον καὶ εἰς ἀπώλειαν, καὶ βωμοὶ αὐτῆς ἐν πυρὶ κατακαυθήσονται, καὶ παραλήψεται Ἰσραὴλ τὴν ἀρχὴν αὐτοῦ.

3. Ἀλάλαξον, Ἐσεβὼν, ὅτι ὤλετο Γαΐ. Κεκράξατε, θυγατέρες Ῥαββὰθ, περιζώσασθε σάκκους καὶ κόψασθε, ὅτι Μελχὸλ βαδιεῖται ἐν ἀποικίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα.

4. Τί ἀγαλλιᾶσθε ἐν τοῖς πεδίοις Ἐνακεὶμ, θύγατερ ἰταμίας, ἡ πεποιθυῖα ἐπὶ θησαυροῖς, ἡ λέγουσα· Τίς εἰσελεύσεται ἐπ' ἐμέ;

5. Ἰδοὺ ἐγὼ φέρω φόβον ἐπὶ σὲ, εἶπε Κύριος, ἀπὸ πάσης τῆς περιοίκου σου, καὶ διασπαρήσεσθε ἕκαστος εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ συνάγων.

28. Τῇ Κηδὰρ τῇ βασιλίσσῃ τῆς αὐλῆς, ἣν ἐπάταξε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, οὕτως εἶπε Κύριος· Ἀνάστητε, καὶ ἀνάβητε ἐπὶ Κηδὰρ, καὶ πλήσατε τοὺς υἱοὺς Κεδέμ.

29. Σκηνὰς αὐτῶν καὶ τὰ πρόβατα αὐτῶν λήψονται· ἱμάτια αὐτῶν καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ καμήλους αὐτῶν λήψονται ἑαυτοῖς· καὶ καλέσατε ἐπ' αὐτοὺς ἀπώλειαν κυκλόθεν.

30. Φεύγετε, λίαν ἐμβαθύνατε εἰς κάθισιν, καθήμενοι ἐν τῇ αὐλῇ, ὅτι ἐβουλεύσατο ἐφ' ὑμᾶς βασιλεὺς Βαβυλῶνος βουλὴν, καὶ ἐλογίσατο λογισμόν.

31. Ἀνάστηθι καὶ ἀνάβηθι ἐπ' ἔθνος εὐσταθοῦν, καθήμενον εἰς ἀναψυχὴν, οἷς οὐκ εἰσὶ θύραι, οὐ βάλανοι, οὐ μοχλοὶ, μόνοι καταλύουσι.

32. Καὶ ἔσονται κάμηλοι αὐτῶν εἰς προνομὴν, καὶ πλῆθος κτηνῶν αὐτῶν εἰς ἀπώλειαν, καὶ λικμήσω αὐτοὺς παντὶ πνεύματι κεκαρμένους πρὸ προσώπου αὐτῶν· ἐκ παντὸς πέραν αὐτῶν οἴσω τὴν τροπὴν αὐτῶν, εἶπε Κύριος.

33. Καὶ ἔσται ἡ αὐλὴ διατριβὴ στρουθῶν, καὶ ἄβατος ἕως αἰῶνος· οὐ μὴ καθίσῃ ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ κατοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου.

23. Τῇ Δαμασκῷ. Κατῃσχύνθη Ἡμὰθ, καὶ Ἀρφὰθ, ὅτι ἤκουσαν ἀκοὴν πονηρὰν, ἐξέστησαν, ἐθυμώθησαν, ἀναπαύσασθαι οὐ μὴ δύνωνται.

24. Ἐξελύθη Δαμασκὸς, ἀπεστράφη εἰς φυγὴν, τρόμος ἐπελάβετο αὐτῆς.

25. Πῶς οὐχὶ ἐγκατέλιπε πόλιν ἐμὴν, κώμην ἠγάπησαν;

26. Διὰ τοῦτο πεσοῦνται νεανίσκοι ἐν πλατείαις σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου πεσοῦνται, φησὶ Κύριος,

27. καὶ καύσω πῦρ ἐν τείχει Δαμασκοῦ, καὶ καταφάγεται ἄμφοδα υἱοῦ Ἄδερ.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'. (Hebr. c. 48.)

1. Τῇ Μωὰβ οὕτως εἶπε Κύριος· Οὐαὶ ἐπὶ Ναβαῦ, ὅτι ὤλετο· ἐλήφθη Καριαθὲμ, ᾐσχύνθη Ἀμὰθ καὶ Ἀγάθ.

2. Οὐκ ἔστιν ἰατρεία ἔτι Μωὰβ, γαυρίαμα ἐν Ἐσεβὼν, ἐλογίσατο ἐπ' αὐτὴν κακά· ἐκόψαμεν αὐτὴν ἀπὸ ἔθνους, καὶ παῦσιν παύσεται. Ὄπισθέν σου βαδιεῖται μάχαιρα,

3. ὅτι φωνὴ κεκραγότων ἐξ Ὡρωναὶμ, ὄλεθρον καὶ σύντριμμα μέγα.

Cur hæreditate accepit Melchol ipsam Galaad, et populus eorum in civitatibus eorum inhabitabit?

2. Propterea ecce dies veniunt, ait Dominus, et auditum faciam super Rabbath tumultum bellorum, et erunt in invium et in perditionem, et aræ ejus in igne comburentur, et assumet Israel principatum suum.

3. Ulula, Esebon, quia periit Gai. Clamate, filiæ Rabbath, accingimini saccis et plangite, quia Melchol ibit in transmigrationem, sacerdotes ejus et principes ejus simul.

4. Quid exsultatis in campis Enacim, filia impudentiæ, quæ confidisti in thesauris, quæ dicebas : Quis ingredietur super me?

5. Ecce ego porto timorem super te, ait Dominus, ab omni circuitu tuo, et dispergemini unusquisque in faciem suam, et non est qui congreget.

28. Ipsi Cedar reginæ aulæ, quam percussit Nabuchodonosor rex Babylonis, sic dixit Dominus : Surgite, et ascendite super Cedar, et implete filios Cedem.

29. Tabernacula eorum et oves eorum tollent : vestimenta eorum et omnia vasa eorum et camelos eorum tollent sibi : et vocate super eos perditionem undique.

30. Fugite, valde demergite vos in sessionem, qui sedetis in aula, quoniam consultavit super vos rex Babylonis consilium, et cogitavit cogitationem.

31. Surge, et ascende super gentem tranquillam, sedentem in refrigerio, quibus non sunt portæ, non seræ, non vectes, soli habitant.

32. Et erunt cameli eorum in direptionem, et multitudo pecorum eorum in perditionem, et ventilabo eos omni spiritu attonsos ante faciem ipsorum : ex omni termino eorum afferam eversionem eorum, ait Dominus.

33. Et erit aula commoratio struthionum, et invia in sæculum : non sedebit ibi homo, et non habitabit ibi filius hominis.

23. Damasco. Confusa est Emath, et Arphath, quia audierunt auditum pessimum, obstupuerunt, indignati sunt, requiescere non poterunt.

24. Dissoluta est Damascus, aversa est in fugam, tremor apprehendit eam.

25. Quomodo non reliquit civitatem meam, pagum dilexerunt?

26. Propter hoc cadent juvenes in plateis tuis, et omnes viri bellatores tui cadent, ait Dominus,

27. et succendam ignem in muro Damasci, et devorabit bivia filii Ader.

CAPUT XXXI. (Hebr. c. 48.)

1. Ad Moab sic dixit Dominus : Væ super Nabau, quia periit : capta est Cariathem, confusa est Amath et Agath.

2. Non est ultra medicamen Moab, exsultatio in Esebon, cogitavit super eam mala : excidimus eam de gente, et quiete quiescet. Post te vadet gladius,

3. quia vox clamantium ex Oronæm, perditio et contritio magna.

4. Συνετρίβη Μωὰβ, ἀναγγείλατε εἰς Ζογόρα,

5. ὅτι ἐπλήσθη Ἀλὼθ ἐν κλαυθμῷ. Ἀναβήσεται κλαίων ἐν ὁδῷ Ὀρωναΐμ, κραυγὴν συντρίμματος ἠκούσατε,

6. φεύγετε καὶ σώσατε τὰς ψυχὰς ὑμῶν, καὶ ἔσεσθε ὥςπερ ὄνος ἄγριος ἐν ἐρήμῳ,

7. ἐπειδὴ ἐπεποίθεις ἐν ὀχυρώματί σου, καὶ σὺ συλληφθήσῃ· καὶ ἐξελεύσεται Χαμὼς ἐν ἀποικίᾳ, καὶ οἱ ἱερεῖς αὐτοῦ, καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα.

8. Καὶ ἥξει ὄλεθρος ἐπὶ πᾶσαν πόλιν, οὐ μὴ σωθῇ, καὶ ἀπολεῖται ὁ αὐλὼν, καὶ ἐξολοθρευθήσεται ἡ πεδινὴ, καθὼς εἶπε Κύριος.

9. Δότε σημεῖα τῇ Μωὰβ, ὅτι ἀφῇ ἀφθήσεται, καὶ πᾶσαι αἱ πόλεις αὐτῆς εἰς ἄβατον ἔσονται. Πόθεν ἔνοικος αὐτῇ;

10. Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς, ἐξαίρων μάχαιραν αὐτοῦ ἀφ' αἵματος.

11. Ἀνεπαύσατο Μωὰβ ἐκ παιδαρίου, καὶ πεποιθὼς ἦν ἐπὶ τῇ δόξῃ αὐτοῦ, οὐκ ἐνέχεεν ἐξ ἀγγείου εἰς ἀγγεῖον, καὶ εἰς ἀποικισμὸν οὐκ ᾤχετο· διὰ τοῦτο ἔστη γεῦμα αὐτοῦ ἐν αὐτῷ, καὶ ὀσμὴ αὐτοῦ οὐκ ἐξέλιπε.

12. Διὰ τοῦτο ἰδοὺ ἡμέραι αὐτοῦ ἔρχονται, φησὶ Κύριος, καὶ ἀποστελῶ αὐτῷ κλίνοντας, καὶ κλινοῦσιν αὐτὸν, καὶ τὰ σκεύη αὐτοῦ λεπτυνοῦσι, καὶ τὰ κέρατα αὐτοῦ συγκόψουσι,

13. καὶ καταισχυνθήσεται Μωὰβ ἀπὸ Χαμὼς, ὥςπερ κατῃσχύνθη οἶκος Ἰσραὴλ ἀπὸ Βαιθὴλ ἐλπίδος αὐτῶν, πεποιθότες ἐπ' αὐτοῖς.

14. Πῶς ἐρεῖτε· Ἰσχυροί ἐσμεν, καὶ ἄνθρωπος ἰσχύων εἰς τὰ πολεμικά;

15. Ὤλετο Μωὰβ πόλις αὐτοῦ, καὶ ἐκλεκτοὶ νεανίσκοι αὐτοῦ κατέβησαν εἰς σφαγήν.

16. Ἐγγὺς ἡμέρα Μωὰβ ἐλθεῖν, καὶ πονηρία αὐτοῦ ταχεῖα σφόδρα.

17. Κινήσατε αὐτῷ, πάντες κυκλόθεν αὐτοῦ, πάντες ἔκδοτε ὄνομα αὐτοῦ, εἴπατε· Πῶς συνετρίβη βακτηρία εὐκλεὴς, ῥάβδος μεγαλώματος;

18. Κατάβηθι ἀπὸ δόξης, καὶ κάθισον ἐν ὑγρασίᾳ καθημένη· Δαιβὼν ἐκτριβήσεται, ὅτι ὤλετο Μωὰβ, ἀνέβη εἰς σὲ λυμαινόμενος ὀχύρωμά σου.

19. Ἐφ' ὁδοῦ στῆθι, καὶ ἔπιδε καθημένη ἐν Ἀρὴρ, καὶ ἐρώτησον φεύγοντα, καὶ σωζόμενον, καὶ εἶπον· Τί ἐγένετο;

20. Κατῃσχύνθη Μωὰβ, ὅτι συνετρίβη. Ὀλόλυξον καὶ κέκραξον, ἀνάγγειλον ἐν Ἀρνὼν ὅτι ὤλετο Μωὰβ,

21. καὶ κρίσις ἔρχεται εἰς τὴν γῆν Μεισὼρ ἐπὶ Χελὼν, καὶ Ῥεφὰς, καὶ Μωφὰς,

22. καὶ ἐπὶ Δαιβὼν, καὶ ἐπὶ Ναβαῦ, καὶ ἐπ' οἶκον Δαιθλαθαΐμ,

23. καὶ ἐπὶ Καριαθαΐμ, καὶ ἐπ' οἶκον Γαιμὼλ, καὶ ἐπ' οἶκον Μαὼν,

24. καὶ ἐπὶ Καριὼθ, καὶ ἐπὶ Βοσὸρ, καὶ ἐπὶ πάσας τὰς πόλεις Μωὰβ τὰς πόῤῥω καὶ τὰς ἐγγύς.

25. Κατεάχθη κέρας Μωὰβ, καὶ τὸ ἐπίχειρον αὐτοῦ συνετρίβη.

26. Μεθύσατε αὐτὸν, ὅτι ἐπὶ Κύριον ἐμεγαλύνθη. Καὶ ἐπικρούσει Μωὰβ ἐν χειρὶ αὐτοῦ, καὶ ἔσται εἰς γέλωτα καὶ αὐτός·

27. καὶ εἰ μὴ εἰς γελοιασμὸν ἦν σοι Ἰσραὴλ, καὶ ἐν κλοπαῖς σου εὑρέθη, ὅτι ἐπολέμεις αὐτόν.

4. Contrita est Moab, annuntiate in Zogoram,

5. quia repleta est Aloth in ploratu. Ascendet plorans in via Oronæm, clamorem contritionis audistis,

6. fugite et salvate animas vestras, et eritis quasi asinus agrestis in deserto,

7. quoniam confidisti in munitione tua, et tu capieris: et egredietur Chamos in transmigrationem, et sacerdotes ejus, et principes ejus simul.

8. Et veniet vastatio super universam civitatem, non salvabitur, et peribit vallis, et exterminabitur campestris, sicut dixit Dominus.

9. Date signa Moab, quia tactu tangetur, et omnes civitates ejus in invium erunt. Unde habitator ei?

10. Maledictus qui facit opera Domini negligenter, qui subtrahit gladium suum a sanguine.

11. Quievit Moab a parvulo, et fidens erat super gloria sua, non effundebat de vase in vas, et in transmigrationem non abiit: ideo mansit gustus ejus in ipso, et odor ejus non defecit.

12. Propterea ecce dies ejus veniunt, ait Dominus, et mittam ei sternentes, et sternent eum, et vasa ejus comminuent, et cornua ejus concident,

13. et confundetur Moab a Chamos, sicut confusa est domus Israel a Bæthel spe sua, fidentes in ipsis.

14. Quomodo dicetis: Fortes sumus, et homo validus ad bellica?

15. Periit Moab civitas ejus, et electi juvenes ejus descenderunt in occisionem.

16. Prope est dies Moab ad veniendum, et malitia ejus velox valde.

17. Movete ei, omnes qui in circuitu ejus, omnes edite nomen ejus, dicite: Quomodo contritus est baculus gloriosus, virga magnificentiæ?

18. Descende de gloria, et sede in humilitate sedens: Dæbon exteretur, quia periit Moab, ascendit ad te vastans munitionem tuam.

19. In via sta, et prospice sedens in Arer, et interroga fugientem, et evadentem, et dic: Quid factum est?

20. Confusus est Moab, quoniam contritus est. Ulula et clama, annuntia in Arnon quia periit Moab,

21. et judicium venit in terram Misor super Chelom, et Rephas, et Mophas.

22. et super Dæbon, et super Nabau, et super domum Dæthlathem,

23. et super Cariathem, et super domum Gæmol, et super domum Maon,

24. et super Carioth, et super Bosor, et super omnes civitates Moab quæ procul et quæ prope.

25. Confractum est cornu Moab, et brachium ejus contritum est.

26. Inebriate eum, quia super Dominum se magnificavit. Et pulsabit Moab in manu sua, et erit in risum etiam ipse:

27. et quidem in derisum erat tibi Israel, et in furtis tuis inventus est, quia oppugnabas eum.

28. Κατέλιπον τὰς πόλεις, καὶ ᾤκησαν ἐν πέτραις οἱ κατοικοῦντες Μωάβ· ἐγενήθησαν ὥσπερ περιστεραὶ νοσσεύουσαι ἐν πέτραις, στόματι βοθύνου.

29. Καὶ ἤκουσα ὕβριν Μωὰβ, ὕβρισε λίαν, ὕβριν αὐτοῦ καὶ ὑπερηφανίαν αὐτοῦ· καὶ ὑψώθη ἡ καρδία αὐτοῦ,

30. ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ· οὐχὶ τὸ ἱκανὸν αὐτῷ, οὐχ οὕτως ἐποίησε;

31. Διὰ τοῦτο ἐπὶ Μωὰβ ὀλολύζετε πάντοθεν· βοήσατε ἐπ' ἄνδρας κειράδας αὐχμοῦ·

32. ὡς κλαυθμὸν Ἰαζὴρ ἀποκλαύσομαί σοι, ἄμπελος Ἀσερημά· κλήματά σου διῆλθε θάλασσαν, πόλεις Ἰαζὴρ ἥψαντο, ἐπὶ ὀπώραν σου, ἐπὶ τρυγηταῖς σου ὄλεθρος ἐπέπεσε.

33. Συνεψήσθη χαρμοσύνη καὶ εὐφροσύνη ἐκ τῆς Μωαβίτιδος, καὶ οἶνος ἦν ἐπὶ ληνοῖς σου· πρωῒ οὐκ ἐπάτησαν, οὐδὲ δείλης οὐκ ἐποίησαν αἰδέ.

34. Ἀπὸ κραυγῆς Ἐσεβὼν ἕως Αἰθὰμ αἱ πόλεις αὐτῶν ἔδωκαν φωνὴν αὐτῶν, ἀπὸ Ζογὸρ ἕως Ὡρωναΐμ, καὶ ἀγγελίαν Σαλασία, ὅτι καὶ τὸ ὕδωρ Νεβρεὶν εἰς κατάκαυμα ἔσται.

35. Καὶ ἀπολῶ τὸν Μωὰβ, φησὶ Κύριος, ἀναβαίνοντα ἐπὶ τὸν βωμὸν, καὶ θυμιῶντα θεοῖς αὐτοῦ.

36. Διὰ τοῦτο καρδία τοῦ Μωὰβ, ὥσπερ αὐλοὶ βομβήσουσι, καρδία μου ἐπ' ἀνθρώπους κειράδας ὥσπερ αὐλὸς βομβήσει· διὰ τοῦτο ἃ περιεποιήσατο ἀπώλετο ἀπὸ ἀνθρώπου.

37. Πᾶσαν κεφαλὴν ἐν παντὶ τόπῳ ξυρηθήσονται, καὶ πᾶς πώγων ξυρηθήσεται, καὶ πᾶσαι χεῖρες κόψονται, καὶ ἐπὶ πάσης ὀσφύος σάκκος,

38. καὶ ἐπὶ πάντων τῶν δωμάτων Μωὰβ, καὶ ἐπὶ ταῖς πλατείαις αὐτῆς, ὅτι συνέτριψα, φησὶ Κύριος, ὡς ἀγγεῖον οὗ οὐκ ἔστι χρεία αὐτοῦ.

39 Πῶς κατήλλαξε; πῶς ἔστρεψε νῶτον Μωάβ; Ἠσχύνθη, καὶ ἐγένετο Μωὰβ εἰς γέλωτα, καὶ ἐγκότημα πᾶσι τοῖς κύκλῳ αὐτῆς.

40. Ὅτι οὕτως εἶπε Κύριος· (*)

41. Ἐλήφθη Καριὼθ, καὶ τὰ ὀχυρώματα συνελήφθη,

42. καὶ ἀπολεῖται Μωὰβ ἀπὸ ὄχλου, ὅτι ἐπὶ τὸν Κύριον ἐμεγαλύνθη.

43. Παγὶς καὶ φόβος καὶ βόθυνος ἐπὶ σὲ, καθήμενος Μωάβ.

44. Ὁ φεύγων ἀπὸ προσώπου τοῦ φόβου, ἐμπεσεῖται εἰς τὸν βόθυνον, καὶ ὁ ἀναβαίνων ἐκ τοῦ βοθύνου, καὶ συλληφθήσεται ἐν τῇ παγίδι, ὅτι ἐπάξω ταῦτα ἐπὶ Μωὰβ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν. (**)

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'. (Hebr. c. 25, 15 — 38.)

15. Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Λάβε τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου, καὶ ποτιεῖς πάντα τὰ ἔθνη πρὸς ἃ ἐγὼ ἀποστέλλω σε πρὸς αὐτοὺς,

28. Reliquerunt civitates, et habitaverunt in petris habitatores Moab : facti sunt quasi columbæ nidificantes in petris, ore foveæ.

29. Et audivi contumeliam Moab, contumeliosus est valde, contumeliam ejus et superbiam ejus : et exaltatum est cor ejus,

30. ego autem cognovi opera ejus : non quod satis ei erat, non sic fecit?

31. Ideo super Moab ululate undique. Clamate super viros tonsos squaloris :

32. quasi plorationem Jazer plorabo tibi, vitis Aserema : propagines tuæ transierunt mare, civitates Jazer attigerunt, super tempus fructuum tuorum, super vindemias tuas pernicies irruit.

33. Corrasum est gaudium et lætitia de Moabitide, et vinum erat in torcularibus tuis : mane non calcarunt, et vespere non fecerunt hæde.

34. A clamore Esebon usque Ætham civitates ipsorum dederunt vocem suam, a Zogor usque Oronæm, et angeliam Salasia, quoniam et aqua Nebrin in combustionem erit.

35. Et disperdam Moab, ait Dominus, ascendentem super aram, et adolentem diis ejus.

36. Idcirco cor Moab, quasi tibiæ bombos edent, cor meum super viros tonsos quasi tibia sonabit : ideo quæ acquisivit perierunt ab homine.

37. Omne caput in omni loco radent, et omnis barba radetur, et omnes manus incidentur, et super omnem lumbum cilicium,

38. et super omnia tecta Moab, et in plateis ejus, quia contrivi, ait Dominus, tamquam vas cujus non est usus ejus.

39. Quomodo commutavit? quomodo vertit dorsum Moab? Confusus est, et factus est Moab in risum, et odium omnibus qui in circuitu ejus.

40. Quia sic dixit Dominus :

41. Capta est Carioth, et munitiones occupatæ sunt,

42. et peribit Moab a turba, quia super Dominum se magnificavit.

43. Laqueus et timor et fovea super te, qui sedes Moab.

44. Qui fugit a facie timoris, incidet in foveam, et qui ascendit de fovea, et capietur in laqueo, quoniam inducam hæc super Moab in anno visitationis ejus.

CAPUT. XXXII. (Hebr. c. 25, 15 — 38.)

15. Sic dixit Dominus Deus Israel : Sume calicem vini meri hujus de manu mea, et potare facies omnes gentes ad quas ego mitto te ad eos,

---

(*) 40. ... ἰδοὺ ὡς ἀετὸς πετάσεται, καὶ ἐκτενεῖ τὰς πτέρυγας αὐτοῦ ἐπὶ Μωάβ. (*Compl.*)

(**) 45. Ἐν σκιᾷ Ἐσεβὼν ἐστάθησαν ἀπὸ δυνάμεως φυγόντες, ὅτι πῦρ ἐξῆλθεν ἀπὸ Ἐσεβὼν, καὶ φλὸξ ἀπὸ μέσου Σεὼν, καὶ κατέφαγε τὸ κλίτος Μωὰβ καὶ τὴν κορυφὴν υἱῶν Σαών.

46. Οὐαί σοι, Μωὰβ, ἀπώλετο ὁ λαὸς Καμὼς, ὅτι ἔλαβον τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου εἰς αἰχμαλωσίαν.

47. Καὶ ἐπιστρέψω αἰχμαλωσίαν τοῦ Μωὰβ ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος. Ἕως τούτου τὸ κρῖμα τοῦ Μωάβ. (*C.*)

40. ... ecce quasi aquila volabit, et extendet alas suas super Moab.

45. In umbra Esebon steterunt ab exercitu fugientes, quia ignis egressus est ab Esebon, et flamma de medio Seon, et devoravit latus Moab et verticem filiorum Saon.

46. Væ tibi, Moab, periit populus Camos, quia comprehenderunt filios tuos et filias tuas in captivitatem.

47. Et convertam captivitatem Moab in novissimis diebus, ait Dominus. Hucusque judicium Moab.

16. καὶ πίονται, καὶ ἐξεμοῦνται, καὶ ἐκμανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀναμέσον αὐτῶν.

17. Καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς Κυρίου, καὶ ἐπότισα τὰ ἔθνη πρὸς ἃ ἀπέστειλέ με Κύριος πρὸς αὐτὰ,

18. τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, καὶ βασιλεῖς Ἰούδα καὶ ἄρχοντας αὐτοῦ, τοῦ θεῖναι αὐτὰς εἰς ἐρήμωσιν, καὶ εἰς ἄβατον, καὶ εἰς συριγμόν·

19. καὶ τὸν Φαραὼ βασιλέα Αἰγύπτου, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ,

20. καὶ πάντας τοὺς συμμίκτους, καὶ πάντας τοὺς βασιλεῖς ἀλλοφύλων, καὶ τὴν Ἀσκάλωνα, καὶ τὴν Γάζαν, καὶ τὴν Ἀκκάρων, καὶ τὸ ἐπίλοιπον Ἀζώτου,

21. καὶ τὴν Ἰδουμαίαν, καὶ τὴν Μωαβίτιν, καὶ τοὺς υἱοὺς Ἀμμὼν,

22. καὶ βασιλεῖς Τύρου, καὶ βασιλεῖς Σιδῶνος, καὶ βασιλεῖς τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης,

23. καὶ τὴν Δαιδὰν, καὶ τὴν Θαιμὰν, καὶ τὴν Ῥῶς, καὶ πᾶν περικεκαρμένον κατὰ πρόσωπον αὐτοῦ,

24. καὶ πάντας τοὺς συμμίκτους τοὺς καταλύοντας ἐν τῇ ἐρήμῳ,

25. καὶ πάντας βασιλεῖς Αἰλὰμ, καὶ πάντας βασιλεῖς Περσῶν,

26. καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς πόῤῥω καὶ τοὺς ἐγγὺς, ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ πάσας βασιλείας τὰς ἐπὶ προσώπου τῆς γῆς.

27. Καὶ ἐρεῖς αὐτοῖς· Οὕτως εἶπε Κύριος παντοκράτωρ· Πίετε, μεθύσθητε, καὶ ἐξεμέσετε, καὶ πεσεῖσθε, καὶ οὐ μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀναμέσον ὑμῶν·

28. Καὶ ἔσται, ὅταν μὴ βούλωνται δέξασθαι τὸ ποτήριον ἐκ τῆς χειρός σου, ὥστε πιεῖν, καὶ ἐρεῖς· Οὕτως εἶπε Κύριος· Πιόντες πίεσθε,

29. ὅτι ἐν πόλει ἐν ᾗ ὠνομάσθη τὸ ὄνομά μου ἐπ' αὐτὴν ἐγὼ ἄρχομαι κακῶσαι, καὶ ὑμεῖς καθάρσει οὐ μὴ καθαρισθῆτε, ὅτι μάχαιραν ἐγὼ καλῶ ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ τῆς γῆς.

30. Καὶ σὺ προφητεύσεις ἐπ' αὐτοὺς τοὺς λόγους τούτους, καὶ ἐρεῖς· Κύριος ἀφ' ὑψηλοῦ χρηματιεῖ, ἀπὸ τοῦ ἁγίου αὐτοῦ δώσει φωνὴν αὐτοῦ, λόγον χρηματιεῖ ἐπὶ τοῦ τόπου αὐτοῦ, καὶ οἵδε ὥσπερ τρυγῶντες ἀποκριθήσονται, καὶ ἐπὶ καθημένους τὴν γῆν ἥκει ὄλεθρος·

31. ἐπὶ μέρος τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ ἐν τοῖς ἔθνεσι· κρίνεται αὐτὸς πρὸς πᾶσαν σάρκα, οἱ δὲ ἀσεβεῖς ἐδόθησαν εἰς μάχαιραν, λέγει Κύριος.

32. Οὕτως εἶπε Κύριος· Ἰδοὺ κακὰ ἔρχεται ἀπὸ ἔθνους ἐπὶ ἔθνος, καὶ λαῖλαψ μεγάλη ἐκπορεύεται ἀπ' ἐσχάτου τῆς γῆς,

33. καὶ ἔσονται τραυματίαι ὑπὸ Κυρίου ἐν ἡμέρᾳ Κυρίου, ἐκ μέρους τῆς γῆς, καὶ ἕως εἰς μέρος τῆς γῆς. Οὐ μὴ κατορυγῶσιν, εἰς κόπρια ἐπὶ προσώπου τῆς γῆς ἔσονται.

34. Ἀλαλάξατε, ποιμένες, καὶ κεκράξατε, καὶ κόπτεσθε, οἱ κριοὶ τῶν προβάτων, ὅτι ἐπληρώθησαν αἱ ἡμέραι ὑμῶν εἰς σφαγὴν, καὶ πεσεῖσθε ὥσπερ οἱ κριοὶ οἱ ἐκλεκτοὶ,

35. καὶ ἀπολεῖται φυγὴ ἀπὸ τῶν ποιμένων, καὶ σωτηρία ἀπὸ τῶν κριῶν τῶν προβάτων.

16. et bibent, et evoment, et insanient a facie gladii quem ego mitto inter eos.

17. Et accepi calicem de manu Domini, et propinavi gentibus ad quas misit me Dominus ad eas,

18. Jerusalem et civitatibus Juda, et regibus Juda et principibus ejus, ad ponendum eas in desolationem, et in invium, et in sibilum :

19. et Pharaoni regi Ægypti, et pueris ejus, et principibus ejus, et omni populo ejus,

20. et omnibus mistitiis, et omnibus regibus alienigenarum, et Ascaloni, et Gazæ, et Accaron, et reliquiis Azoti,

21. et Idumææ, et Moabitidi, et filiis Ammon,

22. et regibus Tyri, et regibus Sidonis, et regibus qui trans mare,

23. et Dædan, et Thæman, et Rhos, et omni circumtonso secundum faciem suam,

24. et omnibus mistitiis habitantibus in deserto,

25. et omnibus regibus Ælam, et omnibus regibus Persarum,

26. et omnibus regibus a subsolano qui longe et qui prope, unicuique adversus proximum suum, et omnibus regnis quæ super faciem terræ.

27. Et dices eis : Sic dixit Dominus omnipotens : Bibite, inebriamini, et vometis, et cadetis, et non resurgatis a facie gladii quem ego mitto inter vos.

28. Et erit, cum noluerint accipere calicem de manu tua, ut bibant, et dices : Sic dixit Dominus : Bibentes bibetis,

29. quia in civitate in qua nominatum est nomen meum super eam ego incipio affligere, et vos munditia non mundabimini, gladium enim ego voco super omnes sedentes super terram.

30. Et tu prophetabis ad eos verba hæc, et dices : Dominus de excelso responsum dabit, de sancto suo dabit vocem suam, verbum respondebit super locum suum, illi autem quasi vindemiantes respondebunt, et super habitatores terræ venit interitus :

31. super partem terræ, quoniam judicium Domino in gentibus : judicatur ipse cum omni carne, impii autem dati sunt in gladium, dicit Dominus.

32. Sic dixit Dominus : Ecce mala veniunt de gente in gentem, et tempestas magna egreditur ab extremo terræ,

33. et erunt vulnerati a Domino in die Domini, de parte terræ, et usque ad partem terræ. Non defodientur, in sterquilinia super faciem terræ erunt.

34. Ululate, pastores, et clamate, et plangite, arietes ovium, quia completi sunt dies vestri ad interfectionem, et cadetis quasi arietes electi,

35. et peribit fuga a pastoribus, et salus ab arietibus ovium.

36. Φωνὴ κραυγῆς τῶν ποιμένων, καὶ ἀλαλαγμὸς τῶν προβάτων καὶ τῶν κριῶν, ὅτι ὠλόθρευσε Κύριος τὰ βοσκήματα αὐτῶν,

37. καὶ παύσεται τὰ κατάλοιπα τῆς εἰρήνης ἀπὸ προςώπου ὀργῆς θυμοῦ μου.

38. Ἐγκατέλιπεν ὥςπερ λέων κατάλυμα αὐτοῦ, ὅτι ἐγενήθη ἡ γῆ αὐτῶν εἰς ἄβατον ἀπὸ προςώπου τῆς μαχαίρας τῆς μεγάλης.

36. Vox clamoris pastorum, et ululatus ovium et arietum, quia vastavit Dominus pascua eorum,

37. et cessabunt residua pacis a facie iræ furoris mei.

38. Dereliquit quasi leo diversorium suum, quia facta est terra eorum in invium a facie gladii magni.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'. (Hebr. c. 26.)

1. Ἐν ἀρχῇ βασιλέως Ἰωακεὶμ υἱοῦ Ἰωσία ἐγενήθη ὁ λόγος οὗτος παρὰ Κυρίου·

2. Οὕτως εἶπε Κύριος· Στῆθι ἐν αὐλῇ οἴκου Κυρίου, καὶ χρηματιεῖς ἅπασι τοῖς Ἰουδαίοις, καὶ πᾶσι τοῖς ἐρχομένοις προςκυνεῖν ἐν οἴκῳ Κυρίου, ἅπαντας τοὺς λόγους οὓς συνέταξά σοι χρηματίσαι αὐτοῖς· μὴ ἀφέλῃς ῥῆμα.

3. Ἴσως ἀκούσονται, καὶ ἀποστραφήσονται ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ παύσομαι ἀπὸ τῶν κακῶν ὧν ἐγὼ λογίζομαι τοῦ ποιῆσαι αὐτοῖς ἕνεκεν τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν,

4. καὶ ἐρεῖς· Οὕτως εἶπε Κύριος· Ἐὰν μὴ ἀκούσητέ μου, τοῦ πορεύεσθαι ἐν τοῖς νομίμοις μου οἷς ἔδωκα κατὰ πρόςωπον ὑμῶν,

5. εἰςακούειν τῶν λόγων τῶν παίδων μου τῶν προφητῶν, οὓς ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς ὄρθρου, καὶ ἀπέστειλα, καὶ οὐκ ἠκούσατέ μου,

6. καὶ δώσω τὸν οἶκον τοῦτον ὥςπερ Σηλὼ, καὶ τὴν πόλιν δώσω εἰς κατάραν πᾶσι τοῖς ἔθνεσι πάσης τῆς γῆς.

7. Καὶ ἤκουσαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς τοῦ Ἱερεμίου λαλοῦντος τοὺς λόγους τούτους ἐν οἴκῳ Κυρίου.

8. Καὶ ἐγένετο, Ἱερεμίου παυσαμένου λαλοῦντος πάντα ἃ συνέταξε Κύριος αὐτῷ λαλῆσαι παντὶ τῷ λαῷ, καὶ συνελάβοσαν αὐτὸν οἱ ἱερεῖς, καὶ οἱ ψευδοπροφῆται, καὶ πᾶς ὁ λαὸς λέγων· Θανάτῳ ἀποθανῇ,

9. ὅτι ἐπροφήτευσας τῷ ὀνόματι Κυρίου, λέγων· Ὥςπερ Σηλὼ ἔσται ὁ οἶκος οὗτος, καὶ ἡ πόλις αὕτη ἐρημωθήσεται ἀπὸ κατοικούντων. Καὶ ἐξεκκλησιάσθη πᾶς ὁ λαὸς ἐπὶ Ἱερεμίαν ἐν οἴκῳ Κυρίου.

10. Καὶ ἤκουσαν οἱ ἄρχοντες Ἰούδα τὸν λόγον τοῦτον, καὶ ἀνέβησαν ἐξ οἴκου τοῦ βασιλέως εἰς οἶκον Κυρίου, καὶ ἐκάθισαν ἐν προθύροις πύλης τῆς καινῆς.

11. Καὶ εἶπαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται πρὸς τοὺς ἄρχοντας καὶ παντὶ τῷ λαῷ· Κρίσις θανάτου τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ἐπροφήτευσε κατὰ τῆς πόλεως ταύτης, καθὼς ἠκούσατε ἐν τοῖς ὠσὶν ὑμῶν.

12. Καὶ εἶπεν Ἱερεμίας πρὸς τοὺς ἄρχοντας καὶ παντὶ τῷ λαῷ, λέγων· Κύριος ἀπέστειλέ με προφητεῦσαι ἐπὶ τὸν οἶκον τοῦτον καὶ ἐπὶ τὴν πόλιν ταύτην πάντας τοὺς λόγους οὓς ἠκούσατε.

13. Καὶ νῦν βελτίους ποιήσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν, καὶ ἀκούσατε τῆς φωνῆς Κυρίου, καὶ παύσεται Κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς.

14. Καὶ ἰδοὺ ἐγὼ ἐν χερσὶν ὑμῶν, ποιήσατέ μοι ὡς συμφέρει, καὶ ὡς βέλτιον ὑμῖν.

15. Ἀλλ' ἢ γνόντες γνώσεσθε, ὅτι εἰ ἀναιρεῖτέ με, αἷμα ἀθῷον δίδοτε ἐφ' ὑμᾶς, καὶ ἐπὶ τὴν πόλιν ταύτην, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· ὅτι ἐν ἀληθείᾳ ἀπέσταλκέ με Κύριος πρὸς ὑμᾶς λαλῆσαι εἰς τὰ ὦτα ὑμῶν πάντας τοὺς λόγους τούτους.

CAPUT XXXIII. (Hebr. c. 26.)

1. In principio regis Joacim filii Josiæ factum est verbum istud a Domino :

2. Sic dixit Dominus : Sta in atrio domus Domini, et respondebis omnibus Judæis, et omnibus venientibus adorare in domo Domini, universos sermones quos mandavi tibi respondere eis : noli subtrahere verbum.

3. Fortasse audient, et avertentur unusquisque a via sua mala, et cessabo a malis quæ ego cogito facere eis propter pessima studia eorum.

4. et dices : Sic dixit Dominus : Si non audieritis me, ambulando in legitimis meis quæ dedi ante faciem vestram,

5. exaudiendo verba puerorum meorum prophetarum, quos ego mitto ad vos diluculo, et misi, et non audistis me,

6. et dabo domum hanc sicut Selo, et civitatem dabo in maledictionem cunctis gentibus universæ terræ.

7. Et audierunt sacerdotes et pseudoprophetæ et universus populus Jeremiam loquentem verba hæc in domo Domini.

8. Et factum est, cum Jeremias consummasset loquens omnia quæ præceperat ei Dominus loqui universo populo, et apprehenderunt eum sacerdotes, et pseudoprophetæ, et omnis populus dicens : Morte moriaris,

9. quia prophetasti nomine Domini, dicens : Sicut Selo erit domus hæc, et urbs ista desolabitur ab habitantibus. Et convenit ecclesia universi populi super Jeremiam in domo Domini.

10. Et audierunt principes Juda verbum hoc, et ascenderunt de domo regis in domum Domini, et sederunt in vestibulis portæ novæ.

11. Et dixerunt sacerdotes et pseudoprophetæ ad principes et omni populo : Judicium mortis homini huic, quia prophetavit adversus civitatem istam, sicut audistis in auribus vestris.

12. Et dixit Jeremias ad principes et omni populo, dicens : Dominus misit me prophetare super domum istam et super civitatem hanc omnia verba quæ audistis.

13. Et nunc meliores facite vias vestras et opera vestra, et audite vocem Domini, et cessabit Dominus a malis quæ locutus est super vos.

14. Et ecce ego in manibus vestris, facite mihi sicut expedit, et sicut melius vobis.

15. Verumtamen cognoscentes cognoscetis, quod si occideritis me, sanguinem innocentem datis super vos et super civitatem hanc, et super habitatores ejus . quia in veritate misit me Dominus ad vos loqui in aures vestras omnia verba hæc

16. Καὶ εἶπον οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς πρὸς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας· Οὐκ ἔστι τῷ ἀνθρώπῳ τούτῳ κρίσις θανάτου, ὅτι ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐλάλησε πρὸς ἡμᾶς.

17. Καὶ ἀνέστησαν ἄνδρες τῶν πρεσβυτέρων τῆς γῆς, καὶ εἶπαν πάσῃ τῇ συναγωγῇ τοῦ λαοῦ·

18. Μιχαίας ὁ Μωραθίτης ἦν ἐν ταῖς ἡμέραις Ἐζεκίου βασιλέως Ἰούδα, καὶ εἶπε παντὶ τῷ λαῷ Ἰούδα· Οὕτως εἶπε Κύριος· Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ εἰς ἄβατον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.

19. Μὴ ἀνελὼν ἀνεῖλεν αὐτὸν Ἐζεκίας καὶ πᾶς Ἰούδα; Οὐχ ὅτι ἐφοβήθησαν τὸν Κύριον, καὶ ὅτι ἐδεήθησαν τοῦ προσώπου Κυρίου, καὶ ἐπαύσατο Κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐπ' αὐτούς; Καὶ ἡμεῖς ἐποιήσαμεν κακὰ μεγάλα ἐπὶ ψυχὰς ἡμῶν.

20. Καὶ ἄνθρωπος ἦν προφητεύων τῷ ὀνόματι Κυρίου, Οὐρίας υἱὸς Σαμαίου ἐκ Καριαθιαρὶμ, καὶ ἐπροφήτευσε περὶ τῆς γῆς ταύτης κατὰ πάντας τοὺς λόγους Ἱερεμίου·

21. καὶ ἤκουσεν ὁ βασιλεὺς Ἰωακεὶμ καὶ πάντες οἱ ἄρχοντες πάντας τοὺς λόγους αὐτοῦ, καὶ ἐζήτουν ἀποκτεῖναι αὐτὸν, καὶ ἤκουσεν Οὐρίας, καὶ εἰσῆλθεν εἰς Αἴγυπτον.

22. Καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς ἄνδρας εἰς Αἴγυπτον,

23. καὶ ἐξηγάγοσαν αὐτὸν ἐκεῖθεν, καὶ εἰσηγάγοσαν αὐτὸν πρὸς τὸν βασιλέα, καὶ ἐπάταξεν αὐτὸν ἐν μαχαίρᾳ, καὶ ἔρριψεν αὐτὸν εἰς τὸ μνῆμα υἱῶν λαοῦ αὐτοῦ.

24. Πλὴν χεὶρ Ἀχεικὰμ υἱοῦ Σαφὰν ἦν μετὰ Ἱερεμίου, τοῦ μὴ παραδοῦναι αὐτὸν εἰς χεῖρας τοῦ λαοῦ μὴ ἀνελεῖν αὐτόν

16. Et dixerunt principes et omnis populus ad sacerdotes et ad pseudoprophetas : Non est homini huic judicium mortis, quia in nomine Domini Dei nostri locutus est ad nos.

17. Et surrexerunt viri de senioribus terræ, et dixerunt omni synagogæ populi :

18. Michæas Morathites fuit in diebus Ezeciæ regis Juda, et dixit omni populo Juda : Sic dixit Dominus : Sion quasi ager arabitur, et Jerusalem in inviam erit, et mons domus in lucum sylvæ.

19. Numquid interficiens interfecit eum Ezecias et omnis Juda? Nonne quia timuerunt Dominum, et quia deprecati sunt faciem Domini, et cessavit Dominus a malis quæ locutus fuerat super eos? Et nos fecimus mala magna super animas nostras.

20. Et homo fuit prophetans nomine Domini, Urias filius Samææ de Cariathiarim, et prophetavit de terra hac juxta omnia verba Jeremiæ :

21. et audivit rex Joacim et omnes principes omnia verba ejus, et quærebant interficere eum, et audivit Urias, et ingressus est in Ægyptum.

22. Et emisit rex viros in Ægyptum,

23. et eduxerunt eum inde, et adduxerunt eum ad regem, et percussit eum in gladio, et projecit eum in monumentum filiorum populi sui.

24. Verumtamen manus Achicam filii Saphan erat cum Jeremia, ut non traderetur in manus populi ne interficerent eum.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

(Hebr. c. 27, 2 — 22.)

(*) 2. Οὕτως εἶπε Κύριος· Ποίησον σεαυτῷ δεσμοὺς καὶ κλοιοὺς, καὶ περίθου περὶ τὸν τράχηλόν σου,

3. καὶ ἀποστελεῖς αὐτοὺς πρὸς βασιλέα Ἰδουμαίας, καὶ πρὸς βασιλέα Μωὰβ, καὶ πρὸς βασιλέα υἱῶν Ἀμμὼν, καὶ πρὸς τὸν βασιλέα Τύρου, καὶ πρὸς βασιλέα Σιδῶνος, ἐν χερσὶν ἀγγέλων αὐτῶν τῶν ἐρχομένων εἰς ἀπάντησιν αὐτῶν εἰς Ἱερουσαλὴμ πρὸς Σεδεκίαν βασιλέα Ἰούδα.

4. Καὶ συντάξεις αὐτοῖς πρὸς τοὺς κυρίους αὐτῶν εἰπεῖν· Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Οὕτως ἐρεῖτε πρὸς τοὺς κυρίους ὑμῶν,

5. ὅτι ἐγὼ ἐποίησα τὴν γῆν ἐν τῇ ἰσχύϊ μου τῇ μεγάλῃ, καὶ ἐν τῷ ἐπιχείρῳ μου τῷ ὑψηλῷ, καὶ δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου.

6. Ἔδωκα τὴν γῆν τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος δουλεύειν αὐτῷ, καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ. (**)

8. Καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία, ὅσοι ἐὰν μὴ ἐμβάλωσι τὸν τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν βασιλέως Βα-

CAPUT XXXIV.

(Hebr. c. 27, 2 — 22.)

2. Sic dixit Dominus : Fac tibi vincula et catenas, et circumpone circa collum tuum,

3. et mittes ea ad regem Idumææ, et ad regem Moab, et ad regem filiorum Ammon, et ad regem Tyri, et ad regem Sidonis, in manibus nuntiorum eorum venientium in occursu suo in Jerusalem ad Sedeciam regem Juda.

4. Et præcipies eis ad dominos suos dicere : Sic dixit Dominus Deus Israel : Sic dicetis ad dominos vestros,

5. quia ego feci terram in fortitudine mea magna, et in brachio meo excelso, et dabo eam cuicumque visum fuerit in oculis meis.

6. Dedi terram Nabuchodonosor regi Babylonis ad serviendum ei, et bestias agri ad operandum ei.

8. Et gens et regnum, quicumque non injecerint collum

(*) 1. Ἐν ἀρχῇ τῆς βασιλείας Ἰωακὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, ἐγένετο τὸ ῥῆμα τοῦτο πρὸς Ἱερεμίαν παρὰ Κυρίου, λέγων· (*Compl. et Theodor.*)

(**) 7. Καὶ δουλεύσουσιν αὐτῷ πάντα τὰ ἔθνη, καὶ τῷ υἱῷ τοῦ υἱοῦ αὐτοῦ, ἕως ἔλθῃ ὁ καιρὸς τῆς γῆς αὐτοῦ, καὶ δουλεύσει αὐτῷ ἔθνη πολλὰ καὶ βασιλεῖς μεγάλοι. (*Grab. ex cod. reg.*)

1. In principio regni Joacim filii Josiæ regis Juda, factum est verbum hoc ad Jeremiam a Domino, dicens :

7. Et servient ei omnes gentes, et filio filii ejus, donec veniat tempus terræ ejus, et servient ei gentes multæ et reges magni.

βυλῶνος, ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ ἐπισκέψομαι αὐτοὺς, εἶπε Κύριος, ἕως ἐκλίπωσιν ἐν χειρὶ αὐτοῦ.

9. Καὶ ὑμεῖς μὴ ἀκούετε τῶν ψευδοπροφητῶν ὑμῶν, καὶ τῶν μαντευομένων ὑμῖν, καὶ τῶν ἐνυπνιαζομένων ὑμῖν, καὶ τῶν οἰωνισμάτων ὑμῶν, καὶ τῶν φαρμακῶν ὑμῶν, τῶν λεγόντων· Οὐ μὴ ἐργάσησθε τῷ βασιλεῖ Βαβυλῶνος.

10. Ὅτι ψευδῆ αὐτοὶ προφητεύουσιν ὑμῖν, πρὸς τὸ μακρῦναι ὑμᾶς ἀπὸ τῆς γῆς ὑμῶν.

11. Καὶ τὸ ἔθνος ὃ ἐὰν εἰςαγάγῃ τὸν τράχηλον αὐτοῦ ὑπὸ τὸν ζυγὸν βασιλέως Βαβυλῶνος, καὶ ἐργάσηται αὐτῷ, καὶ καταλείψω αὐτὸν ἐπὶ τῆς γῆς αὐτοῦ, καὶ ἐργᾶται αὐτῷ, καὶ ἐνοικήσει ἐν αὐτῇ.

12. Καὶ πρὸς Σεδεκίαν βασιλέα Ἰούδα ἐλάλησα κατὰ πάντας τοὺς λόγους τούτους, λέγων· Εἰςαγάγετε τὸν τράχηλον ὑμῶν, καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, (*)

14. ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν,

15. ὅτι οὐκ ἀπέστειλα αὐτοὺς, φησὶ Κύριος, καὶ προφητεύουσι τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ, πρὸς τὸ ἀπολέσαι ὑμᾶς· καὶ ἀπολεῖσθε ὑμεῖς, καὶ οἱ προφῆται ὑμῶν, οἱ προφητεύοντες ὑμῖν ἐπ' ἀδίκῳ ψευδῆ.

16. Ὑμῖν καὶ παντὶ τῷ λαῷ τούτῳ καὶ τοῖς ἱερεῦσιν ἐλάλησα, λέγων· Οὕτως εἶπε Κύριος· Μὴ ἀκούετε τῶν λόγων τῶν προφητῶν τῶν προφητευόντων ὑμῖν, λεγόντων· Ἰδοὺ σκεύη οἴκου Κυρίου ἐπιστρέψει ἐκ Βαβυλῶνος, ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν·

17. οὐκ ἀπέστειλα αὐτούς. (**)

18. Εἰ προφῆταί εἰσι, καὶ εἰ ἔστι λόγος Κυρίου ἐν αὐτοῖς, ἀπαντησάτωσάν μοι, (***)

19. ὅτι οὕτως εἶπε Κύριος· Καὶ τῶν ἐπιλοίπων σκευῶν,

20. ὧν οὐκ ἔλαβε βασιλεὺς Βαβυλῶνος, ὅτε ἀπῴκισε τὸν Ἰεχονίαν ἐξ Ἱερουσαλὴμ,

22. εἰς Βαβυλῶνα εἰςελεύσεται, λέγει Κύριος.

(*) 12. ... καὶ τῷ λαῷ αὐτοῦ, καὶ ζῆτε.

13. Ἱνατί ἀποθνήξεσθε σὺ καὶ ὁ λαός σου ἐν μαχαίρᾳ, καὶ ἐν λιμῷ, καὶ ἐν λοιμῷ, ὡς ἐλάλησε Κύριος κατὰ ἔθνους ὃ οὐκ ἐδούλευσε τῷ βασιλεῖ Βαβυλῶνος;

14. Μὴ ἀκούσητε τὰ ῥήματα τῶν προφητῶν, λεγόντων ὑμῖν· Μὴ δουλεύητε τῷ βασιλεῖ Βαβυλῶνος,... (*Compl.*)

(**) 17. Μὴ ἀκούετε αὐτῶν, ἀλλὰ δουλεύετε τῷ βασιλεῖ τῆς Βαβυλῶνος, καὶ ζῆτε· ἱνατί ἔσται ἡ πόλις εἰς ἐρήμωσιν; (*Compl.*)

(***) 18. ... ἵνα μὴ εἰςενεχθήσωνται τὰ σκεύη τὰ καταλειφθέντα ἐν οἴκῳ Κυρίου, καὶ ἐν οἴκῳ τοῦ βασιλέως Ἰούδα καὶ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα.

19. Ὅτι οὕτως εἶπε Κύριος περὶ τῶν στύλων, καὶ περὶ τῆς θαλάσσης, καὶ περὶ τῶν μεχωνὼθ, καὶ πρὸς τὰ ἐπίλοιπα σκευῶν τὰ καταλειφθέντα ἐν τῇ πόλει ταύτῃ,

20. ὧν οὐκ ἔλαβε βασιλεὺς Βαβυλῶνος, ὅτε ἀπῴκισε τὸν Ἰεχονίαν υἱὸν Ἰωακὶμ βασιλέως Ἰούδα ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, καὶ πάντας τοὺς ἄρχοντας Ἰούδα καὶ Ἱερουσαλήμ.

21. Ὅτι τάδε λέγει Κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ περὶ τῶν σκευῶν τῶν καταλειφθέντων ἐν οἴκῳ Κυρίου, καὶ ἐν οἴκῳ βασιλέως Ἰούδα καὶ Ἱερουσαλήμ·

22. Εἰς Βαβυλῶνα εἰςελεύσονται, καὶ ἐκεῖ ἔσονται ἕως τῆς ἡμέρας τῆς ἐπισκέψεως αὐτῶν, καὶ ἀνάξω αὐτὰ, καὶ ἀναστρέψω αὐτὰ εἰς τὸν τόπον τοῦτον. (*Compl.*)

suum sub jugum regis Babylonis, in gladio et in fame visitabo eos, dixit Dominus, donec deficiant in manu ejus.

9. Et vos nolite audire pseudoprophetas vestros, et qui divinant vobis, et qui somniant vobis, et auguria vestra, et maleficos vestros, qui dicunt : Non operabimini regi Babylonis.

10. Quia mendacia ipsi prophetant vobis, ad elongandos vos a terra vestra.

11. Et gens quæ injecerit cervicem suam sub jugo regis Babylonis, et operata fuerit ei, et relinquam eam in terra sua, et operabitur ei, et inhabitabit in ea.

12. Et ad Sedeciam regem Juda locutus sum juxta omnia verba hæc, dicens : Injicite collum vestrum, et operamini regi Babylonis,

14. quia iniqua ipsi prophetant vobis,

15. quia non misi eos, ait Dominus, et prophetant nomine meo super iniquo, ad perdendos vos : et peribitis vos, et prophetæ vestri, qui prophetant vobis super iniquo mendacia.

16. Vobis et omni populo huic et sacerdotibus locutus sum, dicens : Sic ait Dominus : Nolite audire verba prophetarum qui prophetant vobis, dicentes : Ecce vasa domus Domini revertentur de Babylone, quia iniqua ipsi prophetant vobis :

17. non misi eos.

18. Si prophetæ sunt, et si est verbum Domini in eis, occurrant mihi,

19. quia sic dixit Dominus : Et reliqua vasa,

20. quæ non tulit rex Babylonis, quando transtulit Jechoniam de Jerusalem,

22. in Babylonem intrabunt, dicit Dominus.

---

12. ... et populo ejus, et vivite.

13. Quare moriemini tu et populus tuus in gladio, et in fame, et in peste, sicut locutus est Dominus contra gentem quæ non servierit regi Babylonis?

14. Nolite audire verba prophetarum, dicentium vobis : Nolite servire regi Babylonis,...

17. Nolite audire eos, sed servite regi Babylonis, et vivite quare erit civitas in solitudinem ?

18. ... ut non inferantur vasa quæ derelicta fuerant in domo Domini, et in domo regis Juda et Jerusalem in Babylonem.

19. Quia sic dixit Dominus de columnis, et de mari, et de mechonoth, et ad reliqua vasorum quæ remanserunt in civitate hac,

20. quæ non tulit rex Babylonis, quando transtulit Jechoniam filium Joacim regem Juda a Jerusalem in Babylonem, et omnes principes Juda et Jerusalem.

21. Quia hæc dicit Dominus exercituum Deus Israel de vasis quæ derelicta sunt in domo Domini, et in domo regis Juda et Jerusalem :

22. In Babylonem intrabunt, et ibi erunt usque ad diem visitationis eorum, et reducam ea, et redire faciam ea in locum istum.

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ. (Hebr. c. 28.)

1. Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Σεδεκία βασιλέως Ἰούδα, ἐν μηνὶ τῷ πέμπτῳ, εἶπέ μοι Ἀνανίας υἱὸς Ἀζὼρ ὁ ψευδοπροφήτης ἀπὸ Γαβαὼν ἐν οἴκῳ Κυρίου, κατ' ὀφθαλμοὺς τῶν ἱερέων καὶ παντὸς τοῦ λαοῦ, λέγων·

2. Οὕτως εἶπε Κύριος· Συνέτριψα τὸν ζυγὸν τοῦ βασιλέως Βαβυλῶνος.

3. Ἔτι δύο ἔτη ἡμερῶν, καὶ ἐγὼ ἀποστρέψω εἰς τὸν τόπον τοῦτον τὰ σκεύη οἴκου Κυρίου,

4. Καὶ Ἰεχονίαν, καὶ τὴν ἀποικίαν Ἰούδα, ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος.

5. Καὶ εἶπεν Ἱερεμίας πρὸς Ἀνανίαν κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ καὶ κατ' ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ Κυρίου,

6. καὶ εἶπεν Ἱερεμίας· Ἀληθῶς οὕτω ποιήσαι Κύριος, στήσαι τὸν λόγον σου ὃν σὺ προφητεύεις, τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου Κυρίου καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ Βαβυλῶνος εἰς τὸν τόπον τοῦτον.

7. Πλὴν ἀκούσατε τὸν λόγον Κυρίου, ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα ὑμῶν καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ.

8. Οἱ προφῆται οἱ γεγονότες πρότεροί μου καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἐπροφήτευσαν ἐπὶ γῆς πολλῆς, καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον.

9. Ὁ προφήτης ὁ προφητεύσας εἰς εἰρήνην, ἐλθόντος τοῦ λόγου, γνώσονται τὸν προφήτην ὃν ἀπέστειλεν αὐτοῖς Κύριος ἐν πίστει.

10. Καὶ ἔλαβεν Ἀνανίας ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου Ἱερεμίου, καὶ συνέτριψεν αὐτούς.

11. Καὶ εἶπεν Ἀνανίας κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ, λέγων· Οὕτως εἶπε Κύριος· Οὕτως συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν.

12. Καὶ ᾤχετο Ἱερεμίας εἰς τὴν ὁδὸν αὐτοῦ. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν μετὰ τὸ συντρίψαι Ἀνανίαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου αὐτοῦ, λέγων·

13. Βάδιζε, καὶ εἰπὸν πρὸς Ἀνανίαν, λέγων· Οὕτως εἶπε Κύριος· Κλοιοὺς ξυλίνους συνέτριψας, καὶ ποιήσω ἀντ' αὐτῶν κλοιοὺς σιδηροῦς,

14. ὅτι οὕτως εἶπε Κύριος· Ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν, ἐργάζεσθαι τῷ βασιλεῖ Βαβυλῶνος.

15. Καὶ εἶπεν Ἱερεμίας τῷ Ἀνανίᾳ· Οὐκ ἀπέσταλκέ σε Κύριος, καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ.

16. Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς γῆς, τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ.

17. Καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ.

ΚΕΦΑΛΑΙΟΝ Λςʹ. (Hebr. c. 29.)

1. Καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου οὓς ἀπέστειλεν Ἱερεμίας ἐξ Ἱερουσαλὴμ πρὸς τοὺς πρεσβυτέρους τῆς ἀποικίας, καὶ πρὸς τοὺς ἱερεῖς, καὶ πρὸς τοὺς ψευδοπροφήτας, ἐπιστολὴν εἰς Βαβυλῶνα τῇ ἀποικίᾳ, καὶ πρὸς ἅπαντα τὸν λαόν,

CAPUT XXXV. (Hebr. c. 28.)

1. Et factum est in quarto anno Sedeciæ regis Juda, in mense quinto, dixit mihi Ananias filius Azor pseudopropheta de Gabaon in domo Domini, ante oculos sacerdotum et omnis populi, dicens :

2. Sic dixit Dominus : Contrivi jugum regis Babylonis.

3. Adhuc duo anni dierum, et ego redire faciam ad locum istum vasa dŏmus Domini,

4. et Jechoniam, et transmigrationem Juda, quia conteram jugum regis Babylonis.

5. Et dixit Jeremias ad Ananiam ante oculos omnis populi et ante oculos sacerdotum stantium in domo Domini,

6. et dixit Jeremias : Vere sic faciat Dominus, statuat verbum tuum quod tu prophetas, ut revertantur vasa domus Domini et omnis transmigratio de Babylone ad locum istum.

7. Verumtamen audite verbum Domini, quod ego dico in auribus vestris et in auribus universi populi.

8. Prophetæ qui fuerunt priores me et priores vobis a sæculo, et prophetaverunt super terram multam, et super regna magna in bellum.

9. Propheta qui prophetavit in pacem, veniente verbo, cognoscent prophetam quem misit eis Dominus in fide.

10. Et tulit Ananias in oculis universi populi catenas de collo Jeremiæ, et contrivit eas.

11. Et dixit Ananias ante oculos omnis populi, dicens : Sic dixit Dominus : Sic conteram jugum regis Babylonis de collis omnium gentium.

12. Et abiit Jeremias in viam suam. Et factum est verbum Domini ad Jeremiam postquam contrivit Ananias catenas de collo ejus, dicens :

13. Vade, et dic ad Ananiam, dicens : Sic dixit Dominus : Catenas ligneas contrivisti, et faciam pro eis catenas ferreas,

14. quia sic ait Dominus : Jugum ferreum posui super collum cunctarum gentium, ad operandum regi Babylonis.

15. Et dixit Jeremias Ananiæ : Non misit te Dominus, et confidere fecisti populum istum super iniquo.

16. Idcirco sic dixit Dominus : Ecce ego emitto te a facie terræ, hoc anno morieris.

17. Et mortuus est in mense septimo.

CAPUT XXXVI. (Hebr. c. 29.)

1. Et hæc sunt verba libri quæ misit Jeremias de Jerusalem ad seniores transmigrationis, et ad sacerdotes, et ad pseudoprophetas, epistolam in Babylonem transmigrationi, et ad omnem populum,

2. ὕστερον ἐξελθόντος Ἰεχονίου τοῦ βασιλέως, καὶ τῆς βασιλίσσης, καὶ τῶν εὐνούχων, καὶ παντὸς ἐλευθέρου, καὶ δεσμώτου, καὶ τεχνίτου ἐξ Ἱερουσαλὴμ,

3. ἐν χειρὶ Ἐλεασὰν υἱοῦ Σαφὰν, καὶ Γαμαρίου υἱοῦ Χελκίου, ὃν ἀπέστειλε Σεδεκίας βασιλεὺς Ἰούδα πρὸς βασιλέα Βαβυλῶνος εἰς Βαβυλῶνα, λέγων·

4. Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐπὶ τὴν ἀποικίαν ἣν ἀπῴκισα ἀπὸ Ἱερουσαλήμ·

5. Οἰκοδομήσατε οἴκους, καὶ κατοικήσατε, καὶ φυτεύσατε παραδείσους, καὶ φάγετε τοὺς καρποὺς αὐτῶν,

6. καὶ λάβετε γυναῖκας, καὶ τεκνοποιήσατε υἱοὺς καὶ θυγατέρας, καὶ λάβετε τοῖς υἱοῖς ὑμῶν γυναῖκας, καὶ τὰς θυγατέρας ὑμῶν δότε ἀνδράσι, καὶ πληθύνεσθε, καὶ μὴ σμικρυνθῆτε,

7. καὶ ζητήσατε εἰς εἰρήνην τῆς γῆς εἰς ἣν ἀπῴκισα ὑμᾶς ἐκεῖ, καὶ προσεύξεσθε περὶ αὐτῶν πρὸς Κύριον, ὅτι ἐν εἰρήνῃ αὐτῆς εἰρήνη ὑμῖν.

8. Ὅτι οὕτως εἶπε Κύριος· Μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ ψευδοπροφῆται οἱ ἐν ὑμῖν, καὶ μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ μάντεις ὑμῶν, καὶ μὴ ἀκούετε εἰς τὰ ἐνύπνια ὑμῶν ἃ ὑμεῖς ἐνυπνιάζεσθε,

9. ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν ἐπὶ τῷ ὀνόματί μου, καὶ οὐκ ἀπέστειλα αὐτούς.

10. Ὅτι οὕτως εἶπε Κύριος· Ὅταν μέλλῃ πληροῦσθαι Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς, καὶ ἐπιστήσω τοὺς λόγους μου ἐφ' ὑμᾶς, τοῦ ἀποστρέψαι τὸν λαὸν ὑμῶν εἰς τὸν τόπον τοῦτον.

11. Καὶ λογιοῦμαι ἐφ' ὑμᾶς λογισμὸν εἰρήνης, καὶ οὐ κακὰ, τοῦ δοῦναι ὑμῖν ταῦτα.

12. Καὶ προσεύξασθε πρὸς μὲ, καὶ εἰσακούσομαι ὑμῶν·

13. Καὶ ἐκζητήσατέ με, καὶ εὑρήσετέ με. Ὅτι ζητήσετέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν,

14. καὶ ἐπιφανοῦμαι ὑμῖν, (*)

15. Ὅτι εἴπατε· Κατέστησεν ἡμῖν Κύριος προφήτας ἐν Βαβυλῶνι. (**)

21. Οὕτως εἶπε Κύριος ἐπὶ Ἀχιὰβ καὶ ἐπὶ Σεδεκίαν· Ἰδοὺ ἐγὼ δίδωμι αὐτοὺς εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ πατάξει αὐτοὺς κατ' ὀφθαλμοὺς ὑμῶν.

2. postquam egressus est Jechonias rex, et regina, et eunuchi, et omnis liber, et vinctus, et artifex de Jerusalem,

3. in manu Eleasan filii Saphan, et Gamariæ filii Chelciæ, quem misit Sedecias rex Juda ad regem Babylonis in Babylonem, dicens :

4. Sic dixit Dominus Deus Israel super transmigrationem quam transtuli de Jerusalem :

5. Ædificate domos, et habitate, et plantate pomaria, et comedite fructus eorum,

6. Et accipite uxores, et generate filios et filias, et accipite filiis vestris uxores, et filias vestras date viris, et multiplicamini, et nolite minui,

7. et quærite ad pacem terræ ad quam transmigrare vos feci illuc, et orate pro eis ad Dominum, quia in pace ejus pax vobis.

8. Sic enim dixit Dominus : Non seducant vos pseudoprophetæ qui in vobis, et non seducant vos divini vestri, et nolite audire ad somnia vestra quæ vos somniatis,

9. quia iniqua ipsi prophetant vobis in nomine meo, et non misi eos.

10. Quia sic dixit Dominus : Cum cœperint impleri Babyloni septuaginta anni, visitabo vos, et suscitabo verba mea super vos, ad reducendum populum vestrum in locum istum.

11. Et cogitabo super vos cogitationem pacis, et non mala, ad dandum vobis hæc.

12. Et orate ad me, et exaudiam vos :

13. et quærite me, et invenietis me. Quia quæretis me in toto corde vestro,

14. et apparebo vobis.

15. Quia dixistis : Constituit nobis Dominus prophetas in Babylone.

21. Sic dixit Dominus super Achiab et super Sedeciam : Ecce ego do eos in manus regis Babylonis, et percutiet eos ante oculos vestros.

(*) 14. ... φησὶ Κύριος, καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, καὶ ἐκ πάντων τῶν τόπων, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος· καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖ. (*Grab. ex cod. reg.*)

(**) 16. Οὕτω λέγει Κύριος πρὸς τὸν βασιλέα τὸν καθήμενον ἐπὶ θρόνου Δαυὶδ, καὶ πρὸς πάντα τὸν λαὸν τὸν κατοικοῦντα ἐν τῇ πόλει ταύτῃ, καὶ πρὸς τοὺς ἀδελφοὺς ὑμῶν, οἳ οὐκ ἐξεπορεύθησαν μεθ' ὑμῶν εἰς αἰχμαλωσίαν.

17. Οὕτω λέγει Κύριος τῶν δυνάμεων· Ἰδοὺ ἐγὼ ἀποστελῶ εἰς αὐτοὺς μάχαιραν, καὶ λιμὸν, καὶ λοιμὸν, καὶ θήσω αὐτοὺς ὡς σῦκα πονηρὰ, ἃ οὐκ ἔδεσθαι δύνανται ὑπὸ τῆς πονηρίας.

18. Καὶ διώξω αὐτοὺς ἐν μαχαίρᾳ, καὶ λιμῷ, καὶ λοιμῷ, καὶ δώσω αὐτοὺς εἰς κίνησιν ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς, καὶ εἰς κατάραν, καὶ εἰς ἀπορίαν, καὶ εἰς συρισμὸν, καὶ εἰς ὀνειδισμὸν πᾶσι τοῖς ἔθνεσι, πρὸς οὓς ἐγὼ ἐκβάλλω αὐτούς.

19. Διότι οὐκ ἤκουσαν τὰ ῥήματά μου, λέγει Κύριος, ἃ ἀπέσταλκα πρὸς αὐτοὺς διὰ τοὺς δούλους μου τοὺς προφήτας, ὀρθρίζων καὶ ἀποστέλλων· καὶ οὐκ ἠκούσατε, λέγει Κύριος.

20. Ὑμεῖς οὖν ἀκούσατε τῶν λόγων Κυρίου, πᾶσα ἡ μετοικεσία, ἣν ἀπέσταλκα ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα. (*Compl.*)

14. ... dicit Dominus, et convertam captivitatem vestram, et congregabo vos ex omnibus gentibus, et ex omnibus locis, in quibus dispersi vos illuc, dicit Dominus : et convertam vos in locum unde migrare feci vos illuc

16. Sic dicit Dominus ad regem sedentem super solium David, et ad omnem populum habitantem in hac civitate, et ad fratres vestros, qui non sunt egressi vobiscum in captivitatem.

17. Sic dicit Dominus exercituum : Ecce ego mittam in eos gladium, et famem, et pestem, et ponam eos ut ficus malas, quæ comedi non possunt propter malitiam.

18. Et persequar eos in gladio, et fame, et peste, et dabo eos in vexationem in omnibus regnis terræ, et in maledictionem, et in penuriam, et in sibilum, et in opprobrium cunctis gentibus, ad quas ego ejicio eos.

19. Eo quod non audierint verba mea, dicit Dominus, quæ misi ad eos per servos meos prophetas, diluculo consurgens et mittens : et non audistis, dicit Dominus.

20. Vos ergo audite sermones Domini, omnis transmigratio, quam emisi de Jerusalem in Babylonem.

22. Καὶ λήψονται ἀπ' αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ Ἰούδα, ἐν Βαβυλῶνι, λέγοντες· Ποιήσαι σε Κύριος ὡς Σεδεκίαν ἐποίησε, καὶ ὡς Ἀχιὰβ, οὓς ἀπετηγάνισε βασιλεὺς Βαβυλῶνος ἐν πυρὶ,

23. δι' ἣν ἐποίησαν ἀνομίαν ἐν Ἰσραὴλ, καὶ ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν, καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί μου ὃν οὐ συνέταξα αὐτοῖς, καὶ ἐγὼ μάρτυς, φησὶ Κύριος.

24. Καὶ πρὸς Σαμαίαν τὸν Αἰλαμίτην ἐρεῖς·

(*) 25. Οὐκ ἀπέστειλά σε τῷ ὀνόματί μου. Καὶ πρὸς Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα εἰπέ·

26. Κύριος ἔδωκέ σε ἱερέα ἀντὶ Ἰωδαὲ τοῦ ἱερέως, γενέσθαι ἐπιστάτην ἐν τῷ οἴκῳ Κυρίου παντὶ ἀνθρώπῳ προφητεύοντι, καὶ παντὶ ἀνθρώπῳ μαινομένῳ, καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν καταράκτην.

27. Καὶ νῦν διατί συνελοιδορήσατε Ἱερεμίαν τὸν ἐξ Ἀναθὼθ, τὸν προφητεύσαντα ὑμῖν;

28. Οὐ διὰ τοῦτο ἀπέστειλε, ὅτι διὰ τοῦ μηνὸς τούτου ἀπέστειλε πρὸς ὑμᾶς εἰς Βαβυλῶνα, λέγων· Μακράν ἐστιν, οἰκοδομήσατε οἰκίας, καὶ κατοικήσατε, καὶ φυτεύσατε κήπους καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.

29. Καὶ ἀνέγνω Σοφονίας τὸ βιβλίον εἰς τὰ ὦτα Ἱερεμίου.

30. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν, λέγων·

31. Ἀπόστειλον πρὸς τὴν ἀποικίαν, λέγων· Οὕτως εἶπε Κύριος ἐπὶ Σαμαίαν τὸν Αἰλαμίτην· Ἐπειδὴ ἐπροφήτευσεν ὑμῖν Σαμαίας, καὶ ἐγὼ οὐκ ὑπέστειλα αὐτὸν, καὶ πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ' ἀδίκοις,

32. διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ Σαμαίαν, καὶ ἐπὶ τὸ γένος αὐτοῦ, καὶ οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν, τοῦ ἰδεῖν, τὰ ἀγαθὰ ἃ ἐγὼ ποιήσω ὑμῖν· οὐκ ὄψονται.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'. (Hebr. c. 30.)

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ Κυρίου, εἰπεῖν·

2. Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ, λέγων· Γράψον πάντας τοὺς λόγους οὓς ἐχρημάτισα πρὸς σὲ ἐπὶ βιβλίου·

3. ὅτι ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου Ἰσραὴλ καὶ Ἰούδα, εἶπε Κύριος, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν, καὶ κυριεύσουσιν αὐτῆς.

4. Καὶ οὗτοι οἱ λόγοι οὓς ἐλάλησε Κύριος ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα.

5. Οὕτως εἶπε Κύριος· Φωνὴν φόβου ἀκούσεσθε· φόβος, καὶ οὐκ ἔστιν εἰρήνη.

6. Ἐρωτήσατε, καὶ ἴδετε, εἰ ἔτεκεν ἄρσεν; καὶ περὶ φόβου ἐν ᾧ καθέξουσιν ὀσφὺν καὶ σωτηρίαν; διότι ἑώρακα πάντα ἄνθρωπον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ; Ἐστράφησαν πρόσωπα εἰς ἴκτερον.

(*) 25. Τάδε λέγει Κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ, λέγων· Ἀνθ' ὧν σὺ ἀπέστειλας ἐν τῷ ὀνόματί μου τὰ βιβλία πρὸς πάντα τὸν λαόν μου τὸν ἐν Ἱερουσαλὴμ, καὶ πρὸς Σοφονίαν υἱὸν Μαασίου τὸν ἱερέα, καὶ πρὸς πάντας τοὺς ἱερεῖς, λέγων· (*Ex Schol. rom.*)

22. Et assument de eis maledictionem in omni transmigratione Juda, in Babylone, dicentes : Faciat te Dominus sicut Sedeciam fecit, et sicut Achiab, quos frixit rex Babylonis in igne,

23. pro eo quod fecerunt iniquitatem in Israel, et mœchabantur uxores civium suorum, et verbum responderunt in nomine meo quod non præcepi eis, et ego testis, ait Dominus.

24. Et ad Samæam Ælamitem dices :

25. Non misi te nomine meo. Et ad Sophoniam filium Maasiæ sacerdotem dic :

26. Dominus dedit te sacerdotem pro Jodae sacerdote, ut esses præfectus in domo Domini omni homini prophetanti, et omni homini insanienti, et dabis eum in custodiam et in cataractam.

27. Et nunc quare simul contumeliis affecistis Jeremiam qui ex Anathoth, qui prophetavit vobis?

28. Non propter hoc misit, quia per mensem hunc misit ad vos in Babylonem, dicens : Longe est, ædificate domos et habitate, et plantate hortos et comedite fructum eorum.

29. Et legit Sophonias librum in auribus Jeremiæ.

30. Et factum est verbum Domini ad Jeremiam, dicens :

31. Mitte ad transmigrationem, dicens : Sic dixit Dominus super Samæam Ælamitem : Quoniam prophetavit vobis Samæas, et ego non misi eum, et confidere vos fecit super iniquis,

32. propter hoc sic dixit Dominus : Ecce ego visitabo super Samæam, et super genus ejus, et non erit de eis homo in medio vestri, ad videndum bona quæ ego faciam vobis : non videbunt.

CAPUT XXXVII. (Hebr. c. 30.)

1. Verbum quod factum est ad Jeremiam a Domino, dicendo :

2. Sic dixit Dominus Deus Israel, dicens : Scribe omnia verba quæ respondi ad te super librum :

3. quia ecce dies veniunt, dicit Dominus, et redire faciam transmigrationem populi mei Israel et Juda, ait Dominus, et reducam eos in terram quam dedi patribus eorum, et dominabuntur ejus.

4. Et hæc sunt verba quæ locutus est Dominus super Israel et Judam.

5. Sic ait Dominus : Vocem timoris audietis : timor, et non est pax.

6. Interrogate, et videte, si generat masculus? et de timore in quo detinebunt lumbum et salutem? quare vidi omnem hominem, et manus ejus super lumbum ejus? Versæ sunt facies in auruginem.

25. Hæc dicit Dominus exercituum Deus Israel, dicens : Pro eo quod tu misisti in nomine meo libellos ad omnem populum meum qui in Jerusalem, et ad Sophoniam filium Maasiæ sacerdotem, et ad omnes sacerdotes, dicens :

7. Ὅτι ἐγενήθη μεγάλη ἡ ἡμέρα ἐκείνη, καὶ οὐκ ἔστι τοιαύτη, καὶ χρόνος στενός ἐστι τῷ Ἰακὼβ, καὶ ἀπὸ τούτου σωθήσεται.

8. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε Κύριος, συντρίψω τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαῤῥήξω· καὶ οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλοτρίοις,

9. καὶ ἐργῶνται τῷ Κυρίῳ Θεῷ αὐτῶν, καὶ τὸν Δαυὶδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς. (*)

12. Οὕτως εἶπε Κύριος. Ἀνέστησα σύντριμμα, ἀλγηρὰ ἡ πληγή σου,

13. οὐκ ἔστι κρίνων κρίσιν σου, εἰς ἀλγηρὸν ἰατρεύθης, ὠφέλειά σοι οὐκ ἔστι.

14. Πάντες οἱ φίλοι σου ἐπελάθοντό σου, οὐ μὴ ἐπερωτήσωσιν· ὅτι πληγὴν ἐχθροῦ ἔπαισά σε, παιδείαν στερεάν· ἐπὶ πᾶσαν ἀδικίαν σου ἐπλήθυναν αἱ ἁμαρτίαι σου. (**)

16. Διὰ τοῦτο πάντες οἱ ἔσθοντές σε βρωθήσονται, καὶ πάντες οἱ ἐχθροί σου κρέας αὐτῶν πᾶν ἔδονται· ἐπὶ πλῆθος ἀδικιῶν σου ἐπληθύνθησαν αἱ ἁμαρτίαι σου, ἐποίησαν ταῦτά σοι· καὶ ἔσονται οἱ διαφοροῦντές σε εἰς διαφόρημα, καὶ πάντας τοὺς προνομεύσαντάς σε δώσω εἰς προνομήν·

17. ὅτι ἀνάξω τὸ ἴαμά σου, ἀπὸ πληγῆς ὀδυνηρᾶς ἰατρεύσω σε, φησὶ Κύριος· ὅτι ἐσπαρμένη ἐκλήθης, θήρευμα ὑμῶν ἐστιν, ὅτι ζητῶν οὐκ ἔστιν αὐτήν.

18. Οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἀποστρέψω τὴν ἀποικίαν Ἰακὼβ, καὶ τὴν αἰχμαλωσίαν αὐτοῦ ἐλεήσω. Καὶ οἰκοδομηθήσεται πόλις ἐπὶ τὸ ὕψος αὐτῆς, καὶ ὁ λαὸς κατὰ τὸ κρῖμα αὐτοῦ καθεδεῖται.

19. Καὶ ἐξελεύσονται ἀπ' αὐτῶν ᾄδοντες, φωνὴ παιζόντων. Καὶ πλεονάσω αὐτοὺς, καὶ οὐ μὴ ἐλαττωθῶσι.

20. Καὶ εἰσελεύσονται οἱ υἱοὶ αὐτῶν ὡς τὸ πρότερον, καὶ τὰ μαρτύρια αὐτῶν κατὰ πρόσωπόν μου ὀρθωθήσεται· καὶ ἐπισκέψομαι τοὺς θλίβοντας αὐτοὺς,

21. καὶ ἔσονται ἰσχυρότεροι αὐτοῦ ἐπ' αὐτοὺς, καὶ ὁ ἄρχων αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. Καὶ συνάξω αὐτοὺς, καὶ ἀποστρέψουσι πρὸς μὲ, ὅτι τίς ἐστιν οὗτος ὃς ἔδωκε τὴν καρδίαν αὐτοῦ ἀποστρέψαι πρὸς μέ; φησὶ Κύριος. (***)

23. Ὅτι ὀργὴ Κυρίου ἐξῆλθε θυμώδης, ἐξῆλθεν ὀργὴ στρεφομένη, ἐπ' ἀσεβεῖς ἥξει.

24. Οὐ μὴ ἀποστραφῇ ὀργὴ θυμοῦ Κυρίου, ἕως ποιήσει, καὶ ἕως καταστήσῃ ἐγχείρημα καρδίας αὐτοῦ. Ἐπ' ἐσχάτων τῶν ἡμερῶν γνώσεσθε αὐτά.

7. Quia facta est magna dies illa, et non est talis, et tempus angustum est Jacob, et ex isto salvabitur.

8. In die illa, dixit Dominus, conteram jugum de collo eorum, et vincula eorum dirumpam: et non operabuntur ipsi ultra alienis,

9. et operabuntur Domino Deo suo, et David regem eorum suscitabo eis.

12. Sic ait Dominus. Suscitavi contritionem, dolorosa est plaga tua,

13. non est qui judicet judicium tuum, in dolore curata es, utilitas tibi non est.

14. Omnes amici tui obliti sunt tui, non interrogabunt: quia plaga inimici percussi te, disciplina forti: super omnem iniquitatem tuam multiplicata sunt peccata tua.

16. Propterea omnes qui comedunt te devorabuntur, et omnes inimici tui carnem suam omnem comedent: propter multitudinem iniquitatum tuarum multiplicata sunt peccata tua, fecerunt hæc tibi: et erunt qui vastant te in vastationem, et omnes qui diripuerunt te dabo in direptionem:

17. quia obducam curationem tuam, a plaga dolorosa curabo te, ait Dominus: quia dispersa vocata es, venatio vestra est, quia non est qui quærat eam.

18. Sic dixit Dominus: Ecce ego reducam transmigrationem Jacob, et captivitati ejus miserebor. Et ædificabitur civitas super altitudinem suam, et populus juxta judicium suum sedebit.

19. Et egredientur ex eis canentes, vox ludentium. Et multiplicabo eos, et non minuentur.

20. Et ingredientur filii eorum ut antea, et testimonia eorum ante faciem meam dirigentur: et visitabo tribulantes eos,

21. et erunt fortiores ejus super eos, et princeps ejus ex ipso egredietur. Et congregabo eos, et revertentur ad me, quoniam quis est iste qui dedit cor suum reverti ad me? dicit Dominus.

23. Quoniam ira Domini egressa est furoris plena, egressa est ira ruens, super impios veniet.

24. Non avertetur ira furoris Domini, donec faciet, et donec constituet incœptum cordis sui. In novissimis diebus cognoscetis ea.

(*) 10. Σὺ δὲ μὴ φοβοῦ, δοῦλέ μου Ἰακὼβ, λέγει Κύριος, οὐδὲ μὴ πτοηθῇς, Ἰσραήλ· ὅτι ἰδοὺ ἐγὼ σώσω σε ἐκ γῆς μακρόθεν, καὶ τὸ σπέρμα σου ἐκ γῆς τῆς αἰχμαλωσίας αὐτῶν· καὶ ἀποστραφήσεται Ἰακὼβ, καὶ ἀναπαύσει, καὶ περισσεύσει πᾶσι τοῖς ἀγαθοῖς, καὶ οὐκ ἔσται ὁ φοβούμενος.

11. Ὅτι μετὰ σοῦ εἰμι, λέγει Κύριος, τοῦ σώζειν σε· ποιήσω γὰρ συντέλειαν ἐν πᾶσι τοῖς ἔθνεσι, ἐν οἷς διέσπειρά σε· σὲ δὲ οὐ μὴ ποιήσω εἰς συντέλειαν, ἀλλὰ παιδεύσω σε ἐν κρίσει, καὶ καθαρίζων οὐ καθαριῶ σε. (*Compl. et Theodor.*)

(**) 15. Τί βοᾷς ἐπὶ συντρίμματί σου; Ἀνίατος ὁ πόνος σου· διὰ τοῦ πλήθους τῆς ἀδικίας σου, καὶ διὰ τῶν ἁμαρτιῶν σου τῶν σκληρῶν ἐποίησά σοι ταῦτα. (*Compl. et Theodor.*)

(***) 22. Καὶ ἔσεσθέ μοι εἰς λαὸν, κἀγὼ ἔσομαι ὑμῖν εἰς Κύριον. (*Compl.*)

10. Tu autem ne timeas, serve meus Jacob, ait Dominus, neque paveas, Israel: quia ecce ego salvabo te de terra longinqua, et semen tuum de terra captivitatis eorum: et revertetur Jacob, et quiescet, et cunctis affluet bonis, et non erit quem formidet.

11. Quoniam tecum sum, ait Dominus, ut salvem te: faciam enim consummationem in cunctis gentibus, in quibus dispersi te: te autem non faciam in consummationem, sed castigabo te in judicio, et mundans non mundabo te.

15. Quid clamas super contritione tua? Insanabilis est dolor tuus; propter multitudinem iniquitatis tuæ, et propter dura peccata tua feci hæc tibi.

22. Et eritis mihi in populum, et ego ero vobis in Dominum

ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ. (Hebr. c. 31.)

1. Ἐν τῷ χρόνῳ ἐκείνῳ, εἶπε Κύριος, ἔσομαι εἰς Θεὸν τῷ γένει Ἰσραὴλ, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

2. Οὕτως εἶπε Κύριος· Εὗρον θερμὸν ἐν ἐρήμῳ μετὰ ὀλωλότων ἐν μαχαίρᾳ. Βαδίσατε, καὶ μὴ ὀλέσητε τὸν Ἰσραὴλ,

3. Κύριος πόῤῥωθεν ὤφθη αὐτῷ. Ἀγάπησιν αἰώνιον ἠγάπησά σε, διὰ τοῦτο εἵλκυσά σε εἰς οἰκτείρημα.

4. Ὅτι οἰκοδομήσω σε, καὶ οἰκοδομηθήσῃ παρθένος Ἰσραήλ· ἔτι λήψῃ τύμπανόν σου, καὶ ἐξελεύσῃ μετὰ συναγωγῆς παιζόντων.

5. Ὅτι ἐφυτεύσατε ἀμπελῶνας ἐν ὄρεσι Σαμαρείας, φυτεύσατε καὶ αἰνέσατε,

6. ὅτι ἔστιν ἡμέρα κλήσεως ἀπολογουμένων ἐν ὄρεσιν Ἐφραίμ. Ἀνάστητε, καὶ ἀνάβητε εἰς Σιὼν πρὸς Κύριον τὸν Θεὸν ὑμῶν,

7. ὅτι οὕτως εἶπε Κύριος τῷ Ἰακώβ· Εὐφράνθητε, καὶ χρεμετίσατε ἐπὶ κεφαλὴν ἐθνῶν· ἀκουστὰ ποιήσατε, καὶ αἰνέσατε· εἴπατε· Ἔσωσε Κύριος τὸν λαὸν αὐτοῦ, τὸ κατάλοιπον τοῦ Ἰσραήλ.

8. Ἰδοὺ ἐγὼ ἄγω αὐτοὺς ἀπὸ βοῤῥᾶ, καὶ συνάξω αὐτοὺς ἀπ' ἐσχάτου τῆς γῆς ἐν ἑορτῇ φασέκ. Καὶ τεκνοποιήσει ὄχλον πολὺν, καὶ ἀποστρέψουσιν ὧδε.

9. Ἐν κλαυθμῷ ἐξῆλθον, καὶ ἐν παρακλήσει ἀνάξω αὐτοὺς, αὐλίζων ἐπὶ διώρυγας ὑδάτων ἐν ὁδῷ ὀρθῇ, καὶ οὐ μὴ πλανηθῶσιν ἐν αὐτῇ· ὅτι ἐγενόμην τῷ Ἰσραὴλ εἰς πατέρα, καὶ Ἐφραὶμ πρωτότοκός μου ἐστίν.

10. Ἀκούσατε λόγους Κυρίου, ἔθνη, καὶ ἀναγγείλατε εἰς νήσους τὰς μακρόθεν· εἴπατε· Ὁ λικμήσας τὸν Ἰσραὴλ καὶ συνάξει αὐτὸν, καὶ φυλάξει αὐτὸν, ὡς ὁ βόσκων ποίμνιον αὐτοῦ.

11. Ὅτι ἐλυτρώσατο Κύριος τὸν Ἰακὼβ, ἐξείλατο αὐτὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ.

12. Καὶ ἥξουσι, καὶ εὐφρανθήσονται ἐν τῷ ὄρει Σιὼν, καὶ ἥξουσιν ἐπ' ἀγαθὰ Κυρίου, ἐπὶ γῆν σίτου καὶ οἴνου καὶ καρπῶν, καὶ κτηνῶν καὶ προβάτων. Καὶ ἔσται ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον ἔγκαρπον, καὶ οὐ πεινάσουσιν ἔτι.

13. Τότε χαρήσονται παρθένοι ἐν συναγωγῇ νεανίσκων, καὶ πρεσβῦται χαρήσονται, καὶ στρέψω τὸ πένθος αὐτῶν εἰς χαρμονὴν, καὶ ποιήσω αὐτοὺς εὐφραινομένους.

14. Μεγαλυνῶ καὶ μεθύσω τὴν ψυχὴν τῶν ἱερέων υἱῶν Λευῒ, καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθήσεται.

15. Οὕτως εἶπε Κύριος· Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη θρήνου καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ, Ῥαχὴλ ἀποκλαιομένη οὐκ ἤθελε παύσασθαι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ εἰσίν.

16. Οὕτως εἶπε Κύριος· Διαλειπέτω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δακρύων σου, ὅτι ἔστι μισθὸς τοῖς σοῖς ἔργοις, καὶ ἐπιστρέψουσιν ἐκ γῆς ἐχθρῶν,

(*) 17. μόνιμον τοῖς σοῖς τέκνοις.

18. Ἀκοὴν ἤκουσα Ἐφραὶμ ὀδυρομένου· Ἐπαίδευ-

CAPUT XXXVIII. (Hebr. c. 31.)

1. In tempore illo, dixit Dominus, ero in Deum generi Israel, et ipsi erunt mihi in populum.

2. Sic dixit Dominus : Inveni calidum in deserto cum iis qui perierant gladio. Ite, et nolite interficere Israel,

3. Dominus de longe apparuit ei. Dilectione perpetua dilexi te, ideo attraxi te in miseratione.

4. Quoniam ædificabo te, et ædificaberis virgo Israel : adhuc assumes tympanum tuum, et egredieris cum synagoga ludentium.

5. Quia plantastis vineas in montibus Samariæ, plantate et laudate,

6. quia est dies vocationis respondentium in montibus Ephraim. Surgite, et ascendite in Sion ad Dominum Deum vestrum,

7. quia sic dixit Dominus ad Jacob : Lætamini, et hinnite super caput gentium : audita facite, et laudate : dicite : Salvavit Dominus populum suum, residuum Israel.

8. Ecce ego adduco eos ab aquilone, et congregabo eos ab extremo terræ in solemnitate phasec. Et generabit filiorum turbam multam, et revertentur huc.

9. In ploratu exierunt, et in consolatione adducam eos, divertere faciens super fossas aquarum in via recta, et non errabunt in ea : quoniam factus sum Israeli in patrem, et Ephraim primogenitus meus est.

10. Audite verba Domini, gentes, et annuntiate in insulas longinquas : dicite : Qui ventilabit Israel et congregabit eum, et custodiet eum, quasi pastor gregem suum.

11. Redemit enim Dominus Jacob, liberavit eum de manu validiorum eo.

12. Et venient, et lætabuntur in monte Sion, et venient ad bona Domini, ad terram frumenti et vini et fructuum, et jumentorum et ovium. Et erit anima eorum quasi lignum fructiferum, et non esurient ultra.

13. Tunc gaudebunt virgines in synagoga juvenum, et senes gaudebunt, et vertam luctum eorum in gaudium, et faciam eos lætantes.

14. Magnificabo et inebriabo animam sacerdotum filiorum Levi, et populus meus bonis meis implebitur.

15. Sic dixit Dominus : Vox in Rhama audita est lamentationis et plorationis et fletus, Rachel deplorans noluit conquiescere super filiis suis, quia non sunt.

16. Sic dixit Dominus : Desinat vox tua a ploratu, et oculi tui a lacrymis tuis, quia est merces operibus tuis, et revertentur de terra inimicorum,

17. stabile filiis tuis.

18. Auditu audivi Ephraim lamentantem : Castigasti

(*) 17. Καὶ ἔσται ἐλπὶς τοῖς ἐσχάτοις σου, λέγει Κύριος, καὶ ἐπιστρέψονται οἱ υἱοὶ εἰς τὰ ὅρια αὐτῶν. (*Compl.*)

17. Et erit spes novissimis tuis, ait Dominus, et revertentur filii ad terminos suos.

σάς με, καὶ ἐπαιδεύθην· ἐγὼ ὥςπερ μόσχος οὐκ ἐδιδάχθην. Ἐπίστρεψόν με, καὶ ἐπιστρέψω, ὅτι σὺ Κύριος ὁ Θεός μου.

19. Ὅτι ὕστερον αἰχμαλωσίας μου μετενόησα, καὶ ὕστερον τοῦ γνῶναί με, ἐστέναξα ἐφ' ἡμέρας αἰσχύνης, καὶ ὑπέδειξά σοι, ὅτι ἔλαβον ὀνειδισμὸν ἐκ νεότητός μου.

20. Υἱὸς ἀγαπητὸς Ἐφραὶμ ἐμοὶ, παιδίον ἐντρυφῶν, ὅτι ἀνθ' ὧν οἱ λόγοι μου ἐν αὐτῷ, μνείᾳ μνησθήσομαι αὐτοῦ, διὰ τοῦτο ἔσπευσα ἐπ' αὐτῷ, ἐλεῶν ἐλεήσω αὐτὸν, φησὶ Κύριος.

21. Στῆσον σεαυτὴν Σιὼν, ποίησον τιμωρίαν, δὸς καρδίαν σου εἰς τοὺς ὤμους· ὁδὸν ᾗ ἐπορεύθης, ἀποστράφηθι, παρθένος Ἰσραὴλ, ἀποστράφηθι εἰς τὰς πόλεις σου πενθοῦσα.

22. Ἕως πότε ἀποστρέψεις, θυγάτηρ ἠτιμωμένη; ὅτι ἔκτισε Κύριος σωτηρίαν εἰς καταφύτευσιν καινὴν, ἐν σωτηρίᾳ περιελεύσονται ἄνθρωποι·

23. ὅτι οὕτως εἶπε Κύριος· ἔτι ἐροῦσι τὸν λόγον τοῦτον ἐν γῇ Ἰούδα καὶ ἐν πόλεσιν αὐτοῦ, ὅταν ἀποστρέψω τὴν αἰχμαλωσίαν αὐτοῦ· Εὐλογημένος Κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ·

24. καὶ ἐνοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν πάσῃ τῇ γῇ αὐτοῦ, ἅμα γεωργῷ, καὶ ἀρθήσεται ἐν ποιμνίῳ.

25. Ὅτι ἐμέθυσα πᾶσαν ψυχὴν διψῶσαν, καὶ πᾶσαν ψυχὴν πεινῶσαν ἐνέπλησα.

26. Διὰ τοῦτο ἐξηγέρθην, καὶ εἶδον, καὶ ὁ ὕπνος μου ἡδύς μοι ἐγενήθη.

27. Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ σπερῶ τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν, σπέρμα ἀνθρώπου καὶ σπέρμα κτήνους.

28. Καὶ ἔσται, ὥςπερ ἐγρηγόρουν ἐπ' αὐτοὺς καθαιρεῖν καὶ κακοῦν, οὕτως γρηγορήσω ἐπ' αὐτοὺς τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν, φησὶ Κύριος.

29. Ἐν ταῖς ἡμέραις ἐκείναις οὐ μὴ εἴπωσιν· Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν.

30. Ἀλλ' ἢ ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται, καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες αὐτοῦ.

31. Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινὴν,

32. οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ Κύριος.

33. Ὅτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος· διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

34. Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

37. Ἐὰν ὑψωθῇ ὁ οὐρανὸς εἰς τὸ μετέωρον, φησὶ

me, et sum castigatus : ego tamquam vitulus non didici Converte me, et convertar, quia tu Dominus Deus meus.

19. Quia post captivitatem meam egi pœnitentiam, et postquam cognovi, ingemui super diem confusionis, et ostendi tibi, quoniam accepi opprobrium ab adolescentia mea.

20. Filius dilectus Ephraim mihi, parvulus delicatus, quia ex quo verba mea in eo, memoria memorabor ejus, idcirco sollicitus fui super eo, miserans miserebor ejus, ait Dominus.

21. Statue teipsam Sion, fac pœnam, da cor tuum in vias : via in qua ambulasti, revertere, virgo Israel, revertere in civitates tuas lugens.

22. Usquequo converteris, filia despecta? quoniam creavit Dominus salutem in plantatione nova, in salute circuibunt homines :

23. quia sic dixit Dominus : Adhuc dicent sermonem istum in terra Juda et in urbibus ejus, quando reduxero captivitatem ejus : Benedictus Dominus super justum montem sanctum ejus :

24. et qui habitant in urbibus Juda, et in omni terra ejus, simul cum agricola, et elevabitur in grege.

25. Quia inebriavi omnem animam sitientem, et omnem animam esurientem saturavi.

26. Ideo expergefactus sum, et vidi, et somnus meus jucundus mihi factus est.

27. Idcirco ecce dies veniunt, ait Dominus, et seminabo Israel et Judam, semine hominis et semine jumenti.

28. Et erit, sicut vigilabam super eos ad destruendum et affligendum, sic vigilabo super eos ad ædificandum et plantandum, ait Dominus.

29. In diebus illis non dicent : Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt.

30. Sed unusquisque in peccato suo morietur, et comedentis uvam acerbam obstupescent dentes ejus.

31. Ecce dies veniunt, ait Dominus, et disponam domui Israel et domui Juda testamentum novum,

32. non juxta testamentum quod disposui patribus eorum, in die cum apprehendi ego manum eorum ad educendum eos de terra Ægypti, quia ipsi non manserunt in testamento meo, et ego neglexi eos, ait Dominus.

33. Hoc enim est testamentum meum quod disponam domui Israel post dies illos, ait Dominus : dans dabo leges meas in mentem eorum, et in corde eorum scribam eas, et ero eis in Deum, et ipsi erunt mihi in populum.

34. Et non docebunt unusquisque civem suum, et unusquisque fratrem suum, dicens : Nosce Dominum : quia omnes intelligent me a parvo eorum usque ad magnum eorum, quoniam propitius ero iniquitatibus eorum, et peccatorum eorum non recordabor amplius.

37. Si elevatum fuerit cœlum in sublime, ait Dominus,

Κύριος, καὶ ἐὰν ταπεινωθῇ τὸ ἔδαφος τῆς γῆς κάτω, καὶ ἐγὼ οὐκ ἀποδοκιμῶ τὸ γένος Ἰσραὴλ, φησὶ Κύριος, περὶ πάντων ὧν ἐποίησαν.

35. Οὕτως εἶπε Κύριος· Ὁ δοὺς τὸν ἥλιον εἰς φῶς τῆς ἡμέρας, σελήνην καὶ ἀστέρας εἰς φῶς τῆς νυκτὸς, καὶ κραυγὴν ἐν θαλάσσῃ, καὶ ἐβόμβησε τὰ κύματα αὐτῆς, Κύριος παντοκράτωρ ὄνομα αὐτῷ·

36. ἐὰν παύσωνται οἱ νόμοι οὗτοι ἀπὸ προσώπου μου, φησὶ Κύριος, καὶ τὸ γένος Ἰσραὴλ παύσεται γενέσθαι ἔθνος κατὰ πρόσωπόν μου πάσας τὰς ἡμέρας.

38. Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ οἰκοδομηθήσεται πόλις τῷ Κυρίῳ ἀπὸ πύργου Ἀναμεὴλ ἕως πύλης τῆς γωνίας,

39. καὶ ἐξελεύσεται ἡ διαμέτρησις αὐτῆς ἀπέναντι αὐτῶν ἕως βουνῶν Γαρὴβ, καὶ περικυκλωθήσεται κύκλῳ ἐξ ἐκλεκτῶν λίθων,

40. καὶ πάντες Ἀσαρημὼθ ἕως Νάχαλ Κέδρων, ἕως γωνίας πύλης ἵππων ἀνατολῆς, ἁγίασμα τῷ Κυρίῳ, καὶ οὐκέτι οὐ μὴ ἐκλίπῃ, καὶ οὐ μὴ καθαιρεθῇ ἕως τοῦ αἰῶνος.

et si humiliatum fuerit pavimentum terræ deorsum, et ego non reprobabo genus Israel, dicit Dominus, pro omnibus quæ fecerunt.

35. Sic dixit Dominus : Qui dat solem in lumen diei, lunam et stellas in lumen noctis, et clamorem in mari, et sonuerunt fluctus ejus, Dominus omnipotens nomen illi :

36. si cessaverint leges hæ a facie mea, dicit Dominus, et genus Israel cessabit esse gens ante faciem meam cunctis diebus.

38. Ecce dies veniunt, dicit Dominus, et ædificabitur civitas Domino a turri Anameel usque ad portam anguli,

39. et exibit dimensio ejus contra eos usque ad colles Gareb, et circumdabitur in circuitu ex electis lapidibus,

40. et omnes Asaremoth usque ad Nachal Cedron, usque ad angulum portæ equorum orientis, sanctificium Domino, et nequaquam ultra deficiet, et non destruetur usque in sæculum.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'. (Hebr. c. 32.)

1. Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἱερεμίαν ἐν τῷ ἐνιαυτῷ δεκάτῳ βασιλεῖ Σεδεκίᾳ· οὗτος ἐνιαυτὸς ὀκτωκαιδέκατος τῷ βασιλεῖ Ναβουχοδονόσορ, βασιλεῖ Βαβυλῶνος.

2. Καὶ δύναμις βασιλέως Βαβυλῶνος ἐχαράκωσεν ἐπὶ Ἱερουσαλὴμ, καὶ Ἱερεμίας ἐφυλάσσετο ἐν αὐλῇ τῆς φυλακῆς ἥ ἐστιν ἐν οἴκῳ βασιλέως,

3. ἐν ᾗ κατέκλεισεν αὐτὸν ὁ βασιλεὺς Σεδεκίας, λέγων· Διατί σὺ προφητεύεις; λέγων· Οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ δίδωμι τὴν πόλιν ταύτην ἐν χερσὶ βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτὴν,

4. καὶ Σεδεκίας οὐ μὴ σωθῇ ἐκ χειρὸς τῶν Χαλδαίων, ὅτι παραδόσει παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λαλήσει στόμα αὐτοῦ πρὸς στόμα αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται,

5. καὶ εἰσελεύσεται Σεδεκίας εἰς Βαβυλῶνα, καὶ ἐκεῖ καθιεῖται. (*)

6. Καὶ ὁ λόγος Κυρίου ἐγενήθη πρὸς Ἱερεμίαν, λέγων·

7. Ἰδοὺ Ἀναμεὴλ υἱὸς Σαλὼμ ἀδελφοῦ πατρός σου ἔρχεται πρὸς σὲ, λέγων· Κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν Ἀναθὼθ, ὅτι σοὶ κρίσις παραλαβεῖν εἰς κτῆσιν.

8. Καὶ ἦλθε πρός με Ἀναμεὴλ υἱὸς Σαλὼμ ἀδελφοῦ πατρός μου εἰς τὴν αὐλὴν τῆς φυλακῆς, καὶ εἶπε· Κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν γῇ Βενιαμὶν τὸν ἐν Ἀναθὼθ, ὅτι σοὶ κρῖμα κτήσασθαι αὐτὸν, καὶ σὺ πρεσβύτερος. Καὶ ἔγνων ὅτι λόγος Κυρίου ἐστὶ,

9. καὶ ἐκτησάμην τὸν ἀγρὸν Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου, καὶ ἔστησα αὐτῷ ἑπτὰ σίκλους καὶ δέκα ἀργυρίου,

10. καὶ ἔγραψα εἰς βιβλίον, καὶ ἐσφραγισάμην, καὶ διεμαρτυράμην μάρτυρας, καὶ ἔστησα τὸ ἀργύριον ἐν ζυγῷ.

CAPUT XXXIX. (Hebr. c. 32.)

1. Verbum quod factum est a Domino ad Jeremiam in anno decimo regi Sedeciæ : hic est annus octavus decimus regi Nabuchodonosor, regi Babylonis.

2. Et virtus regis Babylonis vallum fecit super Jerusalem, et Jeremias custodiebatur in atrio carceris qui est in domo regis,

3. in quo clauserat eum rex Sedecias, dicens : Quare tu prophetas? dicens : Sic dixit Dominus : Ecce ego do civitatem istam in manibus regis Babylonis, et capiet eam,

4. et Sedecias non salvabitur de manu Chaldæorum, quia traditione tradetur in manus regis Babylonis, et loquetur os ipsius ad os ejus, et oculi ipsius oculos illius videbunt,

5. et intrabit Sedecias in Babylonem, et ibi demittet se.

6. Et verbum Domini factum est ad Jeremiam, dicens :

7. Ecce Anameel filius Salom fratris patris tui venit ad te, dicens : Posside tibi agrum meum qui in Anathoth, quia tibi judicium est accipere in possessionem.

8. Et venit ad me Anameel filius Salom fratris patris mei in atrium carceris, et dixit : Posside tibi agrum meum qui in terra Benjamin qui in Anathoth, quia tibi judicium est possidere eum, et tu es senior. Et cognovi quia verbum Domini est,

9. et possedi agrum Anameel filii fratris patris mei, et appendi ei septem siclos et decem argenti,

10. et scripsi in libello, et sigillavi, et contestatus sum testes, et appendi argentum in statera.

(*) 5. ... καθιεῖται ἕως οὗ σκέψωμαι αὐτὸν, λέγει Κύριος· ἐὰν δὲ πολεμήσητε κατὰ τῶν Χαλδαίων, οὐκ εὐοδωθήσεσθε. (*Compl.*)

5. ... sedebit donec visitem eum, ait Dominus : quod si pugnaveritis adversus Chaldæos, nihil prosperum habebitis.

11. Καὶ ἔλαβον τὸ βιβλίον τῆς κτήσεως τὸ ἐσφραγισμένον,

12. καὶ ἔδωκα αὐτὸ τῷ Βαροὺχ υἱῷ Νηρίου υἱῷ Μαασαιου, κατ' ὀφθαλμοὺς Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου, καὶ κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν παρεστηκότων καὶ γραφόντων ἐν τῷ βιβλίῳ τῆς κτήσεως, καὶ κατ' ὀφθαλμοὺς τῶν Ἰουδαίων τῶν ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

13. Καὶ συνέταξα τῷ Βαροὺχ κατ' ὀφθαλμοὺς αὐτῶν, λέγων·

14. Οὕτως εἶπε Κύριος παντοκράτωρ· Λάβε τὸ βιβλίον τῆς κτήσεως τοῦτο, καὶ τὸ βιβλίον τὸ ἀνεγνωσμένον, καὶ θήσεις αὐτὸ εἰς ἀγγεῖον ὀστράκινον, ἵνα διαμείνῃ ἡμέρας πλείους.

15. Ὅτι οὕτως εἶπε Κύριος· Ἔτι κτισθήσονται ἀγροὶ καὶ οἰκίαι καὶ ἀμπελῶνες ἐν τῇ γῇ ταύτῃ.

16. Καὶ προσευξάμην πρὸς Κύριον μετὰ τὸ δοῦναί με τὸ βιβλίον τῆς κτήσεως πρὸς Βαροὺχ υἱὸν Νηρίου, λέγων·

17. Ὁ ὢν, Κύριε, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν τῇ ἰσχύει σου τῇ μεγάλῃ, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ· οὐ μὴ ἀποκρυβῇ ἀπὸ σοῦ οὐθὲν,

18. ποιῶν ἔλεος εἰς χιλιάδας, καὶ ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπους τέκνων αὐτῶν μετ' αὐτούς· ὁ Θεὸς ὁ μέγας, ὁ ἰσχυρὸς,

19. Κύριος μεγάλης βουλῆς, καὶ δυνατὸς τοῖς ἔργοις, ὁ Θεὸς ὁ μέγας, ὁ παντοκράτωρ, καὶ μεγαλώνυμος Κύριος· οἱ ὀφθαλμοί σου εἰς τὰς ὁδοὺς τῶν υἱῶν τῶν ἀνθρώπων, δοῦναι ἑκάστῳ κατὰ τὴν ὁδὸν αὐτοῦ.

20. Ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν γῇ Αἰγύπτῳ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐν Ἰσραὴλ, καὶ ἐν τοῖς γηγενέσι· καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡμέρα αὕτη,

21. καὶ ἐξήγαγες τὸν λαόν σου Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἐν σημείοις καὶ ἐν τέρασιν, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐν ὁράμασι μεγάλοις,

22. καὶ ἔδωκας αὐτοῖς τὴν γῆν ταύτην, ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι·

23. καὶ εἰσήλθοσαν καὶ ἔλαβον αὐτὴν, καὶ οὐχ ἤκουσαν τῆς φωνῆς σου, καὶ ἐν τοῖς προστάγμασί σου οὐκ ἐπορεύθησαν· ἅπαντα ἃ ἐνετείλω αὐτοῖς οὐκ ἐποίησαν, καὶ ἐποίησαν συμβῆναι αὐτοῖς πάντα τὰ κακὰ ταῦτα.

24. Ἰδοὺ ὄχλος ἥκει εἰς τὴν πόλιν συλλαβεῖν αὐτὴν, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων τῶν πολεμούντων αὐτὴν ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ· ὡς ἐλάλησας, οὕτως ἐγένετο.

25. Καὶ σὺ λέγεις πρὸς μέ· Κτῆσαι σαυτῷ τὸν ἀγρὸν ἀργυρίου· καὶ ἔγραψα βιβλίον, καὶ ἐσφραγισάμην, καὶ ἐπεμαρτυράμην μάρτυρας, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων.

26. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

27. Ἐγὼ Κύριος ὁ Θεὸς πάσης σαρκός· μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;

28. Διὰ τοῦτο οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Δοθεῖσα παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτὴν,

29. καὶ ἥξουσιν οἱ Χαλδαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην, καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρὶ, καὶ κατακαύσουσι τὰς οἰκίας ἐν αἷς ἐθυμιῶσαν ἐπὶ τῶν δωμάτων αὐτῶν τῇ Βάαλ, καὶ ἔσπενδον σπονδὰς θεοῖς ἑτέροις, πρὸς τὸ παραπικρᾶναι με.

11. Et sumpsi libellum possessionis obsignatum,

12. et dedi illum Baruch filio Neriæ filio Maasiæ, ante oculos Anameel filii fratris patris mei, et ante oculos virorum qui adstiterant et scripserant in libello possessionis, et ante oculos Judæorum qui in atrio carceris.

13. Et præcepi Baruch ante oculos eorum, dicens:

14. Sic dixit Dominus omnipotens: Sume librum possessionis istum, et librum qui lectus est, et pones illum in vase testaceo, ut permaneat dies plures.

15. Quia sic dixit Dominus: Adhuc possidebuntur agri et domus et vineæ in terra hac.

16. Et oravi ad Dominum postquam dedi librum possessionis ad Baruch filium Neriæ, dicens:

17. O qui es, Domine, tu fecisti cœlum et terram fortitudine tua magna, et brachio tuo excelso et sublimi: non abscondetur a te quicquam,

18. qui facis misericordiam in millia, et reddis peccata patrum in sinus filiorum eorum post eos: deus magnus, fortis,

19. Dominus magni consilii, et potens operibus, Deus magnus, omnipotens, et magni nominis Dominus: oculi tui ad vias filiorum hominum, ut des unicuique juxta viam ejus.

20. Qui fecisti signa et prodigia in terra Ægypto usque in diem hanc, et in Israel, et in terrigenis: et fecisti tibi nomen sicut dies hæc,

21. et eduxisti populum tuum Israel de terra Ægypti in signis et in prodigiis, in manu valida et in brachio excelso, et in visionibus magnis,

22. et dedisti eis terram hanc, quam jurasti patribus eorum, terram fluentem lac et mel:

23. et intraverunt et acceperunt eam, et non audierunt vocem tuam, et in præceptis tuis non ambularunt: omnia, quæ mandabas eis non fecerunt, et fecerunt ut evenirent sibi omnia mala hæc.

24. Ecce turba venit ad civitatem ad capiendam eam, et urbs data est in manus Chaldæorum qui oppugnant eam a facie gladii et famis: sicut locutus es, ita factum est.

25. Et tu dicis ad me: Acquire tibi agrum argento: et scripsi librum, et obsignavi, et contestatus sum testes, et urbs data est in manus Chaldæorum.

26. Et factum est verbum Domini ad me, dicens:

27. Ego Dominus Deus universæ carnis: numquid a me abscondetur quicquam?

28. Propterea sic dixit Dominus Deus Israel: Data tradetur civitas ista in manus regis Babylonis, et capiet eam,

29. et venient Chaldæi oppugnantes super civitatem istam, et succendent urbem hanc igne, et comburent domos in quibus adolebant super tecta earum Baal, et libabant libamina diis alienis, ad exacerbandum me.

30. Ὅτι ἦσαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα μόνοι ποιοῦντες τὸ πονηρὸν κατ' ὀφθαλμούς μου ἐκ νεότητος αὐτῶν,

31. ὅτι ἐπὶ τὴν ὀργήν μου, καὶ ἐπὶ τὸν θυμόν μου ἦν ἡ πόλις αὕτη, ἀφ' ἧς ἡμέρας ᾠκοδόμησαν αὐτὴν καὶ ἕως τῆς ἡμέρας ταύτης, ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου μου,

32. διὰ πάσας τὰς πονηρίας τῶν υἱῶν Ἰσραὴλ καὶ Ἰούδα, ὧν ἐποίησαν πικρᾶναί με, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ,

33. καὶ ἀπέστρεψαν πρός με νῶτον, καὶ οὐ πρόσωπον. Καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου, καὶ οὐκ ἤκουσαν ἔτι λαβεῖν παιδείαν·

34. καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐν ἀκαθαρσίαις αὐτῶν·

35. καὶ ᾠκοδόμησαν τοὺς βωμοὺς τῇ Βάαλ τοὺς ἐν φάραγγι υἱοῦ Ἐννὸμ, τοῦ ἀναφέρειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τῷ Μολὸχ βασιλεῖ, ἃ οὐ συνέταξα αὐτοῖς, καὶ οὐκ ἀνέβη ἐπὶ καρδίαν μου τοῦ ποιῆσαι τὸ βδέλυγμα τοῦτο, πρὸς τὸ ἐφαμαρτεῖν τὸν Ἰούδαν.

36. Καὶ νῦν οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐπὶ τὴν πόλιν ἣν σὺ λέγεις· Παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος ἐν μαχαίρᾳ, καὶ ἐν λιμῷ, καὶ ἐν ἀποστολῇ.

37. Ἰδοὺ ἐγὼ συνάγω αὐτοὺς ἐκ πάσης τῆς γῆς, οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου καὶ τῷ θυμῷ μου καὶ ἐν παροξυσμῷ μεγάλῳ· καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὸν τόπον τοῦτον, καὶ καθιῶ αὐτοὺς πεποιθότας,

38. καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.

39. Καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν, φοβηθῆναί με πάσας τὰς ἡμέρας, καὶ εἰς ἀγαθὸν αὐτοῖς καὶ τοῖς τέκνοις αὐτῶν μετ' αὐτούς.

40. Καὶ διαθήσομαι αὐτοῖς διαθήκην αἰωνίαν, ἣν οὐ μὴ ἀποστρέψω ὄπισθεν αὐτῶν· καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν, πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ' ἐμοῦ·

41. καὶ ἐπισκέψομαι τοῦ ἀγαθῶσαι αὐτοὺς, καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει, καὶ ἐν πάσῃ καρδίᾳ μου, καὶ ἐν πάσῃ ψυχῇ.

42. Ὅτι οὕτως εἶπε Κύριος· Καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ μεγάλα ταῦτα, οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθὰ ἃ ἐλάλησα ἐπ' αὐτούς.

43. Καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ ἣ σὺ λέγεις· Ἄβατος ἔσται ἀπὸ ἀνθρώπων καὶ κτήνους, καὶ παρεδόθησαν εἰς χεῖρας Χαλδαίων.

44. Καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ. Καὶ γράψεις βιβλίον καὶ σφραγιῇ, καὶ διαμαρτύρῃ μάρτυρας ἐν γῇ Βενιαμὶν, καὶ κύκλῳ τῆς Ἱερουσαλὴμ, καὶ ἐν πόλεσιν Ἰούδα, καὶ ἐν πόλεσι τοῦ ὄρους, καὶ ἐν πόλεσι τῆς Σεφηλὰ, καὶ ἐν πόλεσι τῆς Ναγέβ· ὅτι ἀποστρέψω τὰς ἀποικίας αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Μ'. (Hebr. c. 33.)

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν δεύτερον, καὶ αὐτὸς ἦν ἔτι δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων·

30. Quia fuerunt filii Israel et filii Juda soli facientes malum ante oculos meos ab adolescentia sua,

31. quia super iram meam, et super furorem meum fuit civitas hæc, ex qua die ædificaverunt eam et usque ad diem hanc, ad amovendam eam a facie mea,

32. propter omnes nequitias filiorum Israel et Juda, quæ fecerunt ad exacerbandum me, ipsi et reges eorum, et principes eorum, et sacerdotes eorum, et prophetæ eorum viri Juda et habitatores Jerusalem,

33. et averterunt ad me dorsum, et non faciem. Et docui eos diluculo, et non audierunt ultra accipere disciplinam :

34. et posuerunt inquinamenta sua in domo in qua invocatum est nomen meum in ea, in immunditiis suis :

35. et ædificaverunt aras Baal quæ in valle filii Ennom, ad offerendos filios suos et filias suas Moloch regi, quæ non præcepi eis, nec ascendit in cor meum ad faciendum abominationem istam, ad faciendum peccare Judam.

36. Et nunc sic dixit Dominus Deus Israel super civitatem quam tu dicis : Tradetur in manus regis Babylonis in gladio, et in fame, et amissione.

37. Ecce ego congrego eos ex universa terra, quo dispersi eos illuc in ira mea et furore meo et in irritatione magna : Et convertam eos in locum istum, et sedere eos faciam confidentes,

38. et erunt mihi in populum, et ego ero eis in Deum.

39. Et dabo eis viam aliam et cor aliud, ut timeant me omnibus diebus, et in bonum ipsis et filiis eorum post eos.

40. Et disponam eis testamentum æternum, quod non avertam a post eos : et timorem meum dabo in cor eorum, ut non recedant ipsi a me :

41. et visitabo ad bene faciendum eis, et plantabo eos in terra ista in fide, et in omni corde meo, et in omni anima.

42. Quia sic dixit Dominus : Sicut induxi super populum istum omnia mala magna hæc, sic ego inducam super eos omnia bona quæ locutus sum super eos.

43. Et possidebuntur adhuc agri in terra de qua tu dicis : Invia erit ab hominibus et a pecore, et traditi sunt in manibus Chaldæorum.

44. Et ement agros in argento. Et scribes librum et obsignabis, et contestaberis testes in terra Benjamin, et in circuitu Jerusalem, et in civitatibus Juda, et in civitatibus montis, et in civitatibus ipsius Sephela, et in civitatibus Nageb : quia redire faciam transmigrationes eorum.

CAPUT XL. (Hebr. c. 33.)

1. Et factum est verbum Domini ad Jeremiam secundo, et ipse erat adhuc ligatus in atrio carceris, dicens :

2. Οὕτως εἶπε Κύριος ποιῶν γῆν, καὶ πλάσσων αὐτὴν, τοῦ ἀνορθῶσαι αὐτὴν, Κύριος ὄνομα αὐτῷ.

3. Κέκραξον πρός με, καὶ ἀποκριθήσομαί σοι, καὶ ἀπαγγελῶ σοι μεγάλα καὶ ἰσχυρὰ, ἃ οὐκ ἔγνως αὐτά.

4. Ὅτι οὕτως εἶπε Κύριος περὶ οἴκων τῆς πόλεως ταύτης, καὶ περὶ οἴκων βασιλέως Ἰούδα τῶν καθῃρημένων εἰς χάρακας καὶ προμαχῶνας,

5. τοῦ μάχεσθαι πρὸς τοὺς Χαλδαίους, καὶ πληρῶσαι αὐτὴν τῶν νεκρῶν τῶν ἀνθρώπων, οὓς ἐπάταξα ἐν ὀργῇ μου καὶ ἐν θυμῷ μου· καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, περὶ πασῶν τῶν πονηριῶν αὐτῶν.

6. Ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν καὶ ἴαμα, καὶ φανερώσω αὐτοῖς, καὶ ἰατρεύσω αὐτὴν, καὶ ποιήσω καὶ εἰρήνην καὶ πίστιν,

7. καὶ ἀποστρέψω τὴν ἀποικίαν Ἰούδα καὶ ἀποικίαν Ἰσραὴλ, καὶ οἰκοδομήσω αὐτοὺς καθὼς καὶ τοπρότερον,

8. καὶ καθαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐτῶν ὧν ἡμάρτοσάν μοι, καὶ οὐ μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν ἥμαρτόν μοι καὶ ἀπέστησαν ἀπ' ἐμοῦ.

9. Καὶ ἔσται εἰς εὐφροσύνην καὶ αἴνεσιν καὶ εἰς μεγαλειότητα παντὶ τῷ λαῷ τῆς γῆς, οἵτινες ἀκούσονται πάντα τὰ ἀγαθὰ ἃ ἐγὼ ποιήσω, καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων τῶν ἀγαθῶν, καὶ περὶ πάσης τῆς εἰρήνης ἧς ἐγὼ ποιήσω αὐτοῖς.

10. Οὕτως εἶπε Κύριος· Ἔτι ἀκουσθήσεται ἐν τῷ τόπῳ τούτῳ, ᾧ ὑμεῖς λέγετε· Ἔρημός ἐστιν ἀπὸ ἀνθρώπων καὶ κτηνῶν, ἐν πόλεσιν Ἰούδα, καὶ ἔξωθεν Ἱερουσαλὴμ, ταῖς ἠρημωμέναις, παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη·

11. φωνὴ εὐφροσύνης καὶ φωνὴ χαρμοσύνης, φωνὴ νυμφίου καὶ φωνὴ νύμφης, φωνὴ λεγόντων· Ἐξομολογεῖσθε Κυρίῳ παντοκράτορι, ὅτι χρηστὸς Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ εἰσοίσουσι δῶρα εἰς οἶκον Κυρίου, ὅτι ἀποστρέψω πᾶσαν τὴν ἀποικίαν τῆς γῆς ἐκείνης κατὰ τοπρότερον, εἶπε Κύριος.

12. Οὕτως εἶπε Κύριος τῶν δυνάμεων· Ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ, παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτῆνος, ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ καταλύματα ποιμένων κοιταζόντων πρόβατα,

13. ἐν πόλεσιν τῆς ὀρεινῆς, καὶ ἐν πόλεσι τῆς Σεφηλὰ, καὶ ἐν πόλεσι τῆς Ναγέβ, καὶ ἐν γῇ Βενιαμὶν, καὶ ἐν ταῖς κύκλῳ Ἱερουσαλὴμ, καὶ ἐν πόλεσιν Ἰούδα, ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος, εἶπε Κύριος. (*)

(*) 14. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τὸ ῥῆμα τὸ ἀγαθὸν ὃ ἐλάλησα ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα.

15. Ἐν ἐκείναις ταῖς ἡμέραις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, βλαστῆσαι ποιήσω τῷ Δαυὶδ βλαστὸν δικαιοσύνης, καὶ βασιλεύσει βασιλεὺς, καὶ συνήσεται, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐν τῇ γῇ.

16. Ἐν ταῖς ἡμέραις ἐκείναις σωθήσεται Ἰούδας, καὶ Ἱερουσαλὴμ κατοικήσει πεποιθότως. Καὶ τοῦτό ἐστι τὸ ὄνομα ὃ καλέσουσιν αὐτῷ· Κύριος δίκαιος ἡμῶν.

17. Ὅτι οὕτω λέγει Κύριος· Οὐκ ἐπιλείψει τῷ Δαυὶδ ἀνὴρ καθήμενος ἐπὶ τοῦ θρόνου Ἰσραήλ.

18. Καὶ ἐκ τῶν ἱερέων καὶ Λευιτῶν οὐκ ἐπιλείψει ἀνὴρ ἐνώπιόν μου προσφέρων ὁλοκαύτωμα, καὶ θυμιῶν δῶρον, καὶ ποιῶν θυσίαν πάσας τὰς ἡμέρας.

2. Sic dixit Dominus faciens terram, et formans eam, ad erigendam eam, Dominus nomen illi :

3. Clama ad me, et respondebo tibi, et annuntiabo tibi magna et fortia, quæ non nosti ea.

4. Quia sic dixit Dominus de domibus urbis hujus, et de domibus regis Juda quæ destructæ sunt in valla et propugnacula,

5. ad pugnandum adversus Chaldæos, et impleudam eam cadaveribus hominum, quos percussi in ira mea et in furore meo : et averti faciem meam ab eis, pro omnibus malitiis eorum.

6. Ecce ego adduco ei cicatricem et sanitatem, et demonstrabo eis, et curabo eam, et faciam etiam pacem et fidem,

7. et reducam transmigrationem Juda et transmigrationem Israel, et ædificabo eos sicut et antea,

8. et mundabo eos ab omnibus iniquitatibus eorum quibus peccaverunt mihi, et non recordabor peccatorum eorum quibus peccaverunt mihi et recesserunt a me.

9. Et erit in lætitiam et laudem et in magnificentiam omni populo terræ, qui quidem audient omnia bona quæ ego faciam, et timebunt et inamarescent pro omnibus bonis, et pro omni pace quam ego faciam eis.

10. Sic dixit Dominus : Adhuc audietur in loco isto, de quo vos dicitis : Desertus est ab hominibus et jumentis, in civitatibus Juda, et foris Jerusalem, quæ desolatæ sunt, eo quod non sit homo et pecus :

11. vox lætitiæ et vox gaudii, vox sponsi et vox sponsæ, vox dicentium : Confitemini Domino omnipotenti, quoniam bonus est Dominus, quia in sæculum misericordia ejus. Et inferent dona in domum Domini, quia reducam omnem transmigrationem terræ illius juxta id quod antea, dixit Dominus.

12. Sic dixit Dominus virtutum : Adhuc erunt in loco hoc deserto, eo quod non sint homo et pecus, in omnibus civitatibus ejus habitacula pastorum accubare facientium oves,

13. in civitatibus montanæ, et in civitatibus Sephela, et in civitatibus Nageb, et in terra Benjamin, et in iis quæ in circuitu Jerusalem, et in civitatibus Juda, adhuc transibunt oves ad manum numerantis, ait Dominus.

---

14. Ecce dies veniunt, dicit Dominus, et suscitabo verbum bonum quod locutus sum ad domum Israel, et ad domum Juda.

15. In illis diebus et in tempore illo, germinare faciam David germen justitiæ, et regnabit rex, et intelliget, et faciet judicium et justitiam in terra.

16. In diebus illis salvabitur Judas, et Jerusalem habitabit confidenter. Et hoc est nomen quod vocabunt ei : Dominus justus noster.

17. Quoniam sic dicit Dominus : Non deficiet ipsi David vir sedens super thronum Israel.

18. Et de sacerdotibus et Levitis non deficiet vir coram me offerens holocaustoma, et adolens donum, et faciens sacrificium omnibus diebus.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'. (Hebr. c. 34.)

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ Κυρίου, καὶ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ, καὶ πᾶσα ἡ γῆ ἀρχῆς αὐτοῦ ἐπολέμουν ἐπὶ Ἱερουσαλὴμ, καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα, λέγων·

2. Οὕτως εἶπε Κύριος· Βάδισον πρὸς Σεδεκίαν βασιλέα Ἰούδα, καὶ ἐρεῖς αὐτῷ· Οὕτως εἶπε Κύριος· Παραδόσει παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ συλλήψεται αὐτὴν, καὶ καύσει αὐτὴν ἐν πυρί.

3. Καὶ σὺ οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐτοῦ, καὶ συλλήψει συλληφθήσῃ, καὶ εἰς χεῖρας αὐτοῦ δοθήσῃ, καὶ ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται, καὶ εἰς Βαβυλῶνα εἰσελεύσῃ.

4. Ἀλλὰ ἄκουσον τὸν λόγον Κυρίου, Σεδεκία βασιλεῦ Ἰούδα. Οὕτω λέγει Κύριος·

5. Ἐν εἰρήνῃ ἀποθανῇ, καὶ ὡς ἔκλαυσαν τοὺς πατέρας σου τοὺς βασιλεύσαντας πρότερόν σου, κλαύσονται καὶ σὲ, Οὐαὶ, Κύριε, καὶ ἕως ᾅδου κόψονταί σε, ὅτι λόγον ἐγὼ ἐλάλησα, εἶπε Κύριος.

6. Καὶ ἐλάλησεν Ἱερεμίας πρὸς τὸν βασιλέα Σεδεκίαν πάντας τοὺς λόγους τούτους ἐν Ἱερουσαλήμ.

7. Καὶ ἡ δύναμις βασιλέως Βαβυλῶνος ἐπολέμει ἐπὶ Ἱερουσαλὴμ, καὶ ἐπὶ τὰς πόλεις Ἰούδα, καὶ ἐπὶ Λαχὶς, καὶ ἐπὶ Ἄζηκα, ὅτι αὗται κατελείφθησαν ἐν πόλεσιν Ἰούδα πόλεις ὀχυραί.

8. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ Κυρίου, μετὰ τὸ συντελέσαι τὸν βασιλέα Σεδεκίαν διαθήκην πρὸς τὸν λαὸν, τοῦ καλέσαι ἄφεσιν,

9. τοῦ ἐξαποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ, τὸν Ἑβραῖον καὶ τὴν Ἑβραίαν ἐλευθέρους, πρὸς τὸ μὴ δουλεύειν ἄνδρα ἐξ Ἰούδα.

---

19. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἱερεμίαν, λέγον·

20. Οὕτω λέγει Κύριος· Ἐὰν ἠθετημένην ποιήσητε τὴν διαθήκην μου τὴν μετὰ τῆς ἡμέρας, καὶ τὴν διαθήκην μου τὴν μετὰ τῆς νυκτὸς, ὥστε μὴ εἶναι ἡμέραν καὶ νύκτα ἐν τῷ καιρῷ αὐτῶν,

21. καὶ ἡ διαθήκη μου ἠθετημένη ἔσται μετὰ τοῦ Δαυὶδ τοῦ δούλου μου, ὥστε μὴ εἶναι ἐξ αὐτοῦ υἱὸς βασιλεύων ἐπὶ τὸν θρόνον αὐτοῦ, καὶ μετὰ τῶν Λευιτῶν καὶ ἱερέων τῶν λειτουργῶν μου.

22. Ὥσπερ οὐκ ἀριθμηθήσεται ἡ στρατιὰ τοῦ οὐρανοῦ, καὶ οὐ μετρηθήσεται ἡ ἄμμος τῆς θαλάσσης, οὕτως πληθύνω τὸ σπέρμα τοῦ Δαυὶδ τοῦ δούλου μου, καὶ τοὺς Λευίτας τοὺς λειτουργούς μου.

23. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἱερεμίαν, λέγον·

24. Οὐκ εἶδες τί ὁ λαὸς οὗτος ἐλάλησε, λέγων· Δύο συγγενείας, ἃς ἐξελέξατο ὁ Κύριος, ἔξωσεν αὐτάς· καὶ τὸν λαόν μου παρώξυναν, ἵνα μὴ ᾖ ἔθνος ἐνώπιον αὐτῶν.

25. Οὕτω λέγει Κύριος· Ἐὰν μὴ εἶεν ἡ διαθήκη μου τῇ ἡμέρᾳ καὶ τῇ νυκτὶ, καὶ νόμους τοῦ οὐρανοῦ καὶ τῆς γῆς μὴ ἔθέμην,

26. οὕτως τὸ σπέρμα τοῦ Ἰακὼβ καὶ Δαυὶδ τοῦ δούλου μου ἔξωσα ἄν, ὥστε μὴ λαβεῖν ἐμὲ ἀπὸ τοῦ σπέρματος αὐτοῦ ἄρχοντας ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ· ὅτι ἀναστρέψω τὴν αἰχμαλωσίαν αὐτῶν, καὶ ἐλεήσω αὐτούς. (*Compl. et Theodor.*)

CAPUT XLI. (Hebr. c. 34.)

1. Verbum, quod factum est ad Jeremiam a Domino, et Nabuchodonosor rex Babylonis, et omnis exercitus ejus, et universa terra principatus ejus bellabant super Jerusalem, et super omnes civitates Juda, dicens :

2. Sic dixit Dominus : Vade ad Sedeciam regem Juda, et dices ei : Sic dixit Dominus : Traditione tradetur civitas hæc in manus regis Babylonis, et capiet eam, et incendet eam in igne.

3. Et tu non salvaberis de manu ejus, et comprehensione capieris, et in manus ejus daberis, et oculi tui oculos ejus videbunt, et in Babylonem ingredieris.

4. Sed audi verbum Domini, Sedecia rex Juda. Sic dicit Dominus :

5. In pace morieris, et sicut ploraverunt patres tuos qui regnarunt ante te, plorabunt et te, Væ, Domine, et usque ad infernum plangent te, quia verbum ego locutus sum, dixit Dominus.

6. Et locutus est Jeremias ad regem Sedeciam omnia verba hæc in Jerusalem.

7. Et virtus regis Babylonis bellabat super Jerusalem, et super civitates Juda, et super Lachis, et super Azeca, quia hæ remanserant in civitatibus Juda civitates munitæ.

8. Verbum quod factum est ad Jeremiam a Domino, postquam rex Sedecias consummavit testamentum erga populum, vocando dimissionem,

9. ut dimitteret unusquisque puerum suum, et unusquisque ancillam suam, Hebræum et Hebræam liberos, ut non serviret vir e Juda.

---

19. Et factum est verbum Domini ad Jeremiam, dicens :

20. Sic dicit Dominus : Si irritum feceritis testamentum meum quod cum die, et testamentum meum quod cum nocte, ut non sit dies et nox in tempore suo,

21. et testamentum meum irritum erit cum David servo meo ut non sit ex eo filius regnans super thronum ejus, et cum Levitis et sacerdotibus ministris meis.

22. Sicut non numerabitur militia cœli, et non mensurabitur arena maris, sic multiplicabo semen David servi mei, et Levitas ministros meos.

23. Et factum est verbum Domini ad Jeremiam, dicens :

24. Numquid non vidisti quid populus hic locutus sit, dicens : Duas cognationes, quas elegerat Dominus, expulit eas : et populum meum irritaverunt, ut non sit gens coram eis.

25. Sic dicit Dominus : Si non esset testamentum meum diei et nocti, et leges cœli et terræ non posuissem,

26. sic semen Jacob et David servi mei expulissem utique, ut non acciperem de semine ejus principes in semine Abraam et Isaac et Jacob : reducam enim captivitatem eorum, et miserebor eis.

10. Καὶ ἐπεστράφησαν πάντες οἱ μεγιστᾶνες, καὶ πᾶς ὁ λαὸς οἱ εἰςελθόντες ἐν τῇ διαθήκῃ, τοῦ ἀποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ, (*) καὶ ἐῶσαν

11. αὐτοὺς εἰς παῖδας καὶ παιδίσκας.

12. Καὶ ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν, λέγων·

13. Οὕτως εἶπε Κύριος· Ἐγὼ διεθέμην διαθήκην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐξειλάμην αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας, λέγων·

14. Ὅταν πληρωθῇ ἓξ ἔτη, ἀποστελεῖς τὸν ἀδελφόν σου τὸν Ἑβραῖον, ὃς πραθήσεταί σοι, καὶ ἐργᾶταί σοι ἓξ ἔτη, καὶ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον. Καὶ οὐκ ἤκουσάν μου καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν.

15. Καὶ ἐπέστρεψαν σήμερον ποιῆσαι τὸ εὐθὲς πρὸ ὀφθαλμῶν μου, τοῦ καλέσαι ἄφεσιν ἕκαστον τοῦ πλησίον αὐτοῦ· καὶ συνετέλεσαν διαθήκην κατὰ πρόσωπόν μου, ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ.

16. Καὶ ἐπεστρέψατε, καὶ ἐβεβηλώσατε τὸ ὄνομά μου, τοῦ ἐπιστρέψαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ, οὓς ἐξαπεστείλατε ἐλευθέρους τῇ ψυχῇ αὐτῶν, τοῦ εἶναι ὑμῖν εἰς παῖδας καὶ παιδίσκας.

17. Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ὑμεῖς οὐκ ἠκούσατέ μου, τοῦ καλέσαι ἄφεσιν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ἰδοὺ ἐγὼ καλῶ ἄφεσιν ὑμῖν εἰς μάχαιραν, καὶ εἰς τὸν θάνατον, καὶ εἰς τὸν λιμὸν, καὶ δώσω ὑμᾶς εἰς διασπορὰν πάσαις ταῖς βασιλείαις τῆς γῆς.

18. Καὶ δώσω τοὺς ἄνδρας τοὺς παρεληλυθότας τὴν διαθήκην μου, τοὺς μὴ στήσαντας τὴν διαθήκην μου ἣν ἐποίησαν κατὰ πρόσωπόν μου, τὸν μόσχον ὃν ἐποίησαν ἐργάζεσθαι αὐτῷ,

19. τοὺς ἄρχοντας Ἰούδα, καὶ τοὺς δυνάστας, καὶ τοὺς ἱερεῖς, καὶ τὸν λαὸν,

20. καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἔσται τὰ θνησιμαῖα αὐτῶν βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς.

21. Καὶ τὸν Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας, καὶ τοὺς ἄρχοντας αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δύναμις βασιλέως Βαβυλῶνος τοῖς ἀποτρέχουσιν ἀπ' αὐτῶν.

22. Ἰδοὺ ἐγὼ συντάσσω, φησὶ Κύριος, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὴν γῆν ταύτην, καὶ πολεμήσουσιν ἐπ' αὐτὴν, καὶ λήψονται αὐτὴν, καὶ κατακαύσουσιν αὐτὴν ἐν πυρί· καὶ τὰς πόλεις Ἰούδα, καὶ δώσω αὐτὰς ἐρήμους ἀπὸ τῶν κατοικούντων.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ΄. (Hebr. c. 35.)

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ Κυρίου ἐν ἡμέραις Ἰωακεὶμ βασιλέως Ἰούδα, λέγων·

2. Βάδισον εἰς οἶκον Ἀρχαβεὶν, καὶ ἄξεις αὐτοὺς εἰς οἶκον Κυρίου, εἰς μίαν τῶν αὐλῶν, καὶ ποτιεῖς αὐτοὺς οἶνον.

---

10. Et conversi sunt omnes magnates, et omnis populus qui ingressi erant in testamentum, ut dimitteret unusquisque puerum suum, et unusquisque ancillam suam, et dimiserunt....

11. eos in pueros et ancillas.

12. Et factum est verbum Domini ad Jeremiam, dicens:

13. Sic dixit Dominus : Ego disposui testamentum ad patres vestros in die qua erui eos de terra Ægypti, e domo servitutis, dicens :

14. Cum impleti fuerint sex anni, mittes fratrem tuum Hebræum, qui emptus erit tibi, et operabitur tibi sex annos, et dimittes eum liberum. Et non audierunt me et non inclinaverunt aurem suam.

15. Et conversi sunt hodie ad faciendum rectum ante oculos meos, cum vocaret unusquisque dimissionem proximi sui : et consummaverunt testamentum ante faciem meam, in domo in qua invocatum est nomen meum in ea.

16. Et revertistis, et polluistis nomen meum, cum reduceret unusquisque puerum suum et unusquisque ancillam suam, quos dimiseratis liberos animæ suæ, ut sint vobis in pueros et ancillas.

17. Propterea sic dixit Dominus : Vos non audistis me, ut vocaret dimissionem unusquisque ad proximum suum. Ecce ego voco dimissionem vobis in gladium, et in mortem, et in famem, et dabo vos in dispersionem omnibus regnis terræ.

18. Et dabo viros qui transgressi sunt testamentum meum, qui non stabilierunt testamentum meum quod fecerant ad faciem meam, vitulum quem fecerant ad operandum eo,

19. principes Juda, et potentes, et sacerdotes, et populum,

20. et dabo eos inimicis eorum, et erunt morticina eorum esca volatilibus cœli et bestiis terræ.

21. Et Sedeciam regem Judææ, et principes eorum dabo in manus inimicorum eorum, et virtus regis Babylonis recedentibus ab eis.

22. Ecce ego præcipio, dicit Dominus, et reducam eos in terram hanc, et bellabunt super eam, et capient eam, et comburent eam in igne : et civitates Juda, et dabo eas desertas ab habitatoribus.

CAPUT XLII. (Hebr. c. 35.)

1. Verbum quod factum est ad Jeremiam a Domino in diebus Joacim regis Juda, dicens :

2. Vade in domum Archabin, et duces eos in domum Domini, in unum atriorum, et potabis eos vino.

(*) 10. ... ἐλευθέρους, τοῦ μὴ δουλεύειν ἔτι ἐν αὐτοῖς, καὶ ἤκουσαν, καὶ ἀφῆκαν,

11. καὶ ἐπεστράφησαν μετὰ ταῦτα, καὶ ἀνήγαγον τοὺς δούλους καὶ τὰς παιδίσκας, οὓς ἀπέστειλαν ἐλευθέρους, καὶ ὑπέταξαν αὐτοὺς εἰς δούλους καὶ παιδίσκας. (*Compl.*)

10. ... liberos, ut non servirent amplius in eis, et audierunt; et dimiserunt,

11. et conversi sunt deinceps, et retraxerunt servos et ancillas, quos dimiserant liberos, et subjugaverunt eos in servos et ancillas.

3. Καὶ ἐξήγαγον τὸν Ἰεχονίαν υἱὸν Ἱερεμὶν υἱοῦ Χαβασὶν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ πᾶσαν τὴν οἰκίαν Ἀρχαβεὶν,

4. καὶ εἰσήγαγον αὐτοὺς εἰς οἶκον Κυρίου, εἰς τὸ παστοφόριον υἱῶν Ἰωνὰν υἱοῦ Ἀνανίου υἱοῦ Γοδολίου, ἀνθρώπου τοῦ Θεοῦ, ὅς ἐστιν ἐγγὺς τοῦ οἴκου τῶν ἀρχόντων τῶν ἐπάνω τοῦ οἴκου Μαασαίου υἱοῦ Σελώμ, τοῦ φυλάσσοντος τὴν αὐλήν.

5. Καὶ ἔδωκα κατὰ πρόσωπον αὐτῶν κεράμιον οἴνου, καὶ ποτήρια, καὶ εἶπα· Πίετε οἶνον.

6. Καὶ εἶπον· Οὐ μὴ πίωμεν οἶνον, ὅτι Ἰωναδὰβ υἱὸς Ῥηχὰβ ὁ πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν, λέγων· Οὐ μὴ πίητε οἶνον ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν ἕως αἰῶνος,

7. καὶ οἰκίας οὐ μὴ οἰκοδομήσητε, καὶ σπέρμα οὐ μὴ σπείρητε, καὶ ἀμπελὼν οὐκ ἔσται ὑμῖν, ὅτι ἐν σκηναῖς οἰκήσετε πάσας τὰς ἡμέρας ὑμῶν, ὅπως ἂν ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς γῆς ἐφ' ἧς διατρίβετε ὑμεῖς ἐπ' αὐτῆς.

8. Καὶ ἠκούσαμεν τῆς φωνῆς Ἰωναδὰβ τοῦ πατρὸς ἡμῶν, πρὸς τὸ μὴ πιεῖν οἶνον πάσας τὰς ἡμέρας ἡμῶν, ἡμεῖς καὶ αἱ γυναῖκες ἡμῶν, καὶ οἱ υἱοὶ ἡμῶν, καὶ αἱ θυγατέρες ἡμῶν,

9. καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν οἰκίας τοῦ κατοικεῖν ἐκεῖ, καὶ ἀμπελὼν καὶ ἀγρὸς καὶ σπέρμα οὐκ ἐγένετο ἡμῖν·

10. καὶ ᾠκήσαμεν ἐν σκηναῖς, καὶ ἠκούσαμεν, καὶ ἐποιήσαμεν κατὰ πάντα ἃ ἐνετείλατο ἡμῖν Ἰωναδὰβ ὁ πατὴρ ἡμῶν.

11. Καὶ ἐγενήθη, ὅτε ἀνέβη Ναβουχοδονόσορ ἐπὶ τὴν γῆν, καὶ εἴπαμεν εἰσελθεῖν, καὶ εἰσήλθομεν εἰς Ἱερουσαλὴμ, ἀπὸ προσώπου τῆς δυνάμεως τῶν Χαλδαίων, καὶ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν Ἀσσυρίων, καὶ ᾠκοῦμεν ἐκεῖ.

12. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

13. Οὕτως λέγει Κύριος· Πορεύου, καὶ εἶπον ἀνθρώπῳ Ἰούδα, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ· Οὐ μὴ λάβητε παιδείαν τοῦ ἀκούειν τοὺς λόγους μου;

14. Ἔστησαν ῥῆμα υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ, ὃ ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ, πρὸς τὸ μὴ πιεῖν οἶνον, καὶ οὐκ ἐπίοσαν. Καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς ὄρθρου, καὶ οὐκ ἠκούσατε.

15. Καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας, λέγων· Ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ βελτίω ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ οὐ πορεύεσθε ὀπίσω θεῶν ἑτέρων τοῦ δουλεύειν αὐτοῖς, καὶ οἰκήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν· καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν, καὶ οὐκ εἰσηκούσατε.

16. Καὶ ἔστησαν υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ὁ δὲ λαὸς οὗτος οὐκ ἤκουσέ μου.

17. Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ φέρω ἐπὶ Ἰούδαν καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πάντα τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτούς.

18. Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἐπειδὴ ἤκουσαν υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ποιεῖν καθότι ἐνετείλατο αὐτοῖς ὁ πατὴρ αὐτῶν,

19. οὐ μὴ ἐκλείπῃ ἀνὴρ τῶν υἱῶν Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ παρεστηκὼς κατὰ πρόσωπόν μου πάσας τὰς ἡμέρας τῆς γῆς.

3. Et eduxi Jeconiam filium Jeremin filii Chabasin, et fratres ejus, et filios ejus, et omnem domum Archabin,

4. et introduxi eos in domum Domini, in pastophorium filiorum Jonam filii Ananiæ filii Godoliæ, hominis Dei, qui est prope domum principum eorum qui supra domum Maasiæ filii Selom, custodientis atrium.

5. Et dedi ante faciem eorum lagunculam vini, et pocula, et dixi : Bibite vinum.

6. Et dixerunt : Non bibemus vinum, quia Jonadab filius Rechab pater noster mandavit nobis, dicens : Non bibetis vinum vos et filii vestri usque in sæculum,

7. et domos ne ædificetis, et semen ne seminetis, et vinea non erit vobis, quia in tabernaculis habitabitis cunctis diebus vestris, ut vivatis diebus multis super terram super quam incolitis vos super eam.

8. Et audivimus vocem Jonadab patris nostri, non bibendi vinum cunctis diebus nostris, nos et uxores nostræ, et filii nostri, et filiæ notræ,

9. et non ædificandi domos ad habitandum ibi, et vinea et ager et semen non fuit nobis :

10. et habitavimus in tabernaculis, et audivimus, et fecimus secundum omnia quæ mandavit nobis Jonadab pater noster.

11. Et factum est, quando ascendit Nabuchodonosor super terram, et diximus ingredi, et ingressi sumus in Jerusalem, a facie virtutis Chaldæorum, et a facie virtutis Assyriorum, et habitavimus ibi.

12. Et factum est verbum Domini ad me, dicens :

13. Sic dicit Dominus : Vade, et dic homini Juda, et habitatoribus Jerusalem : Non accipietis disciplinam audiendi verba mea ?

14. Firmaverunt verbum filii Jonadab filii Rechab, quod mandavit filiis suis, non bibendi vinum, et non biberunt. Et ego locutus sum ad vos diluculo, et non audistis.

15. Et misi ad vos pueros meos prophetas, dicens : Avertimini unusquisque a via sua pessima, et meliora facite studia vestra, et non ambulate post deos alios serviendo eis, et habitabitis super terram quam dedi vobis et patribus vestris : et non inclinastis aurem vestram, et non exaudistis.

16. Et firmaverunt filii Jonadab filii Rechab mandatum patris sui, populus autem iste non audivit me.

17. Idcirco sic dixit Dominus : Ecce ego affero super dam et super habitatores Jerusalem omnia mala quæ locutus sum super eos.

18. Propterea sic dixit Dominus : Quoniam audierunt filii Jonadab filii Rechab mandatum patris sui, faciendo sicut mandavit eis pater eorum,

19. non deficiet vir filiorum Jonadab filii Rechab stans ante faciem meam cunctis diebus terræ.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'. (Hebr. c. 36.)

1. Ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακεὶμ υἱοῦ Ἰωσία βασιλέως Ἰούδα, ἐγενήθη λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Λάβε σεαυτῷ χαρτίον βιβλίου, καὶ γράψον ἐπ' αὐτοῦ πάντας τοὺς λόγους οὓς ἐλάλησα πρὸς σὲ ἐπὶ Ἱερουσαλὴμ, καὶ ἐπὶ Ἰούδα, καὶ ἐπὶ πάντα τὰ ἔθνη, ἀφ' ἧς ἡμέρας λαλήσαντός μου πρὸς σὲ, ἀφ' ἡμερῶν Ἰωσία βασιλέως Ἰούδα, καὶ ἕως τῆς ἡμέρας ταύτης.

3. Ἴσως ἀκούσεται ὁ οἶκος Ἰούδα πάντα τὰ κακὰ ἃ ἐγὼ λογίζομαι ποιῆσαι αὐτοῖς, ἵνα ἀποστρέψωσιν ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ ταῖς ἁμαρτίαις αὐτῶν.

4. Καὶ ἐκάλεσεν Ἱερεμίας τὸν Βαροὺχ υἱὸν Νηρίου, καὶ ἔγραψεν ἀπὸ στόματος Ἱερεμίου πάντας τοὺς λόγους Κυρίου, οὓς ἐλάλησε πρὸς αὐτὸν, εἰς χαρτίον βιβλίου.

5. Καὶ ἐνετείλατο Ἱερεμίας τῷ Βαροὺχ, λέγων· Ἐγὼ φυλάσσομαι, οὐ μὴ δύνωμαι εἰσελθεῖν εἰς οἶκον Κυρίου.

6. Καὶ ἀναγνώσῃ ἐν τῷ χαρτίῳ τούτῳ εἰς τὰ ὦτα τοῦ λαοῦ ἐν οἴκῳ Κυρίου, ἐν ἡμέρᾳ νηστείας, καὶ ἐν ὠσὶ παντὸς Ἰούδα τῶν ἐρχομένων ἐκ πόλεων αὐτῶν, ἀναγνώσῃ αὐτοῖς.

7. Ἴσως πεσεῖται ἔλεος αὐτῶν κατὰ πρόσωπον Κυρίου, καὶ ἀποστρέψουσιν ἐκ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ Κυρίου, ἣν ἐλάλησεν ἐπὶ τὸν λαὸν τοῦτον.

8. Καὶ ἐποίησε Βαροὺχ κατὰ πάντα ἃ ἐνετείλατο αὐτῷ Ἱερεμίας, τοῦ ἀναγνῶναι ἐν τῷ βιβλίῳ τοὺς λόγους Κυρίου ἐν οἴκῳ Κυρίου.

9. Καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ὀγδόῳ τῷ βασιλεῖ Ἰωακεὶμ ἐν τῷ μηνὶ τῷ ἐννάτῳ, ἐξεκκλησίασαν νηστείαν κατὰ πρόσωπον Κυρίου πᾶς ὁ λαὸς ἐν Ἱερουσαλὴμ, καὶ οἶκος Ἰούδα.

10. Καὶ ἀνεγίνωσκε Βαροὺχ ἐν τῷ βιβλίῳ τοὺς λόγους Ἱερεμίου ἐν οἴκῳ Κυρίου, ἐν οἴκῳ Γαμαρίου, υἱοῦ Σαφὰν τοῦ γραμματέως, ἐν τῇ αὐλῇ τῇ ἐπάνω, ἐν προθύροις πύλης τοῦ οἴκου Κυρίου τῆς καινῆς, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ.

11. Καὶ ἤκουσε Μιχαίας υἱὸς Γαμαρίου υἱοῦ Σαφὰν ἅπαντας τοὺς λόγους Κυρίου ἐκ τοῦ βιβλίου,

12. καὶ κατέβη εἰς οἰκίαν τοῦ βασιλέως, εἰς τὸν οἶκον τοῦ γραμματέως, καὶ ἰδοὺ ἐκεῖ πάντες οἱ ἄρχοντες ἐκάθηντο, Ἐλισαμὰ ὁ γραμματεὺς, καὶ Δαλαίας υἱὸς Σελεμίου, καὶ Ἰωνάθαν υἱὸς Ἀχχοβὼρ, καὶ Γαμαρίας υἱὸς Σαφὰν, καὶ Σεδεκίας υἱὸς Ἀνανίου, καὶ πάντες οἱ ἄρχοντες.

13. Καὶ ἀνήγγειλεν αὐτοῖς Μιχαίας πάντας τοὺς λόγους οὓς ἤκουσεν ἀναγινώσκοντος Βαροὺχ εἰς τὰ ὦτα τοῦ λαοῦ.

14. Καὶ ἀπέστειλαν πάντες οἱ ἄρχοντες πρὸς Βαροὺχ υἱὸν Νηρίου τὸν Ἰουδὶν υἱὸν Ναθανίου υἱοῦ Σελεμίου υἱοῦ Χουσὶ, λέγοντες· Τὸ χαρτίον ἐν ᾧ σὺ ἀναγινώσκεις ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λάβε αὐτὸ εἰς τὴν χεῖρά σου, καὶ ἧκε. Καὶ ἔλαβε Βαροὺχ τὸ χαρτίον, καὶ κατέβη πρὸς αὐτούς.

15. Καὶ εἶπον αὐτῷ· Πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ἡμῶν. Καὶ ἀνέγνω Βαρούχ.

CAPUT XLIII. (Hebr. c. 36.)

1. In anno quarto Joacim filii Josiæ regis Juda, factum est verbum Domini ad me, dicens :

2. Sume tibi volumen libri, et scribe super illud omnia verba quæ locutus sum ad te super Jerusalem, et super Judam, et super omnes gentes, ex qua die loquente me ad te, a diebus Josiæ regis Juda, et usque ad diem hanc.

3. Fortasse audiet domus Juda omnia mala quæ ego cogito facere eis, ut avertantur a via sua pessima, et propitius ero iniquitatibus eorum et peccatis eorum.

4. Et vocavit Jeremias Baruch filium Neriæ, et scripsit ex ore Jeremiæ omnia verba Domini, quæ locutus est ad eum, in volumine libri.

5. Et mandavit Jeremias Baruch, dicens : Ego custodior, non potero ingredi in domum Domini.

6. Et leges in volumine isto in auribus populi in domo Domini, in die jejunii, et in auribus universi Juda venientium de civitatibus suis, leges eis.

7. Fortasse cadet misericordia eorum ante faciem Domini, et avertent se a via sua pessima, quia magnus est furor et ira Domini, quam locutus est super populum istum.

8. Et fecit Baruch secundum omnia quæ mandavit ei Jeremias, legendo in libro verba Domini in domo Domini.

9. Et factum est in anno octavo regi Joacim in mense nono, convocaverunt jejunium ad faciem Domini omnis populus in Jerusalem, et domus Juda.

10. Et legit Baruch in libro verba Jeremiæ in domo Domini, in domo Gamariæ, filii Saphan scribæ, in atrio superiore, in vestibulis portæ domus Domini novæ, et in auribus universi populi.

11. Et audivit Michæas filius Gamariæ filii Saphan omnia verba Domini ex libro,

12. et descendit in domum regis, in domum scribæ, et ecce ibi omnes principes sedebant, Elisama scriba, et Dalæas filius Selemiæ, et Jonathan filius Acchobor, et Gamarias filius Saphan, et Sedecias filius Ananiæ, et omnes principes.

13. Et annuntiavit eis Michæas omnia verba quæ audiverat legentem Baruch in auribus populi.

14. Et miserunt omnes principes ad Baruch filium Neriæ Judin filium Nathaniæ filii Selemiæ filii Chusi, dicentes : Volumen in quo tu legis in eo in auribus populi, sume illud in manu tua, et veni. Et sumpsit Baruch volumen, et descendit ad eos.

15. Et dixerunt ei : Iterum lege in auribus nostris. Et legit Baruch.

16. Καὶ ἐγενήθη, ὡς ἤκουσαν πάντας τοὺς λόγους, συνεβουλεύσαντο ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ εἶπον· Ἀναγγέλλοντες ἀναγγείλωμεν τῷ βασιλεῖ ἅπαντας τοὺς λόγους τούτους.

16. Et factum est, ut audierunt omnia verba, consultaverunt unusquisque ad proximum suum, et dixerunt: Annuntiantes annuntiemus regi omnia verba hæc.

17. Καὶ τὸν Βαροὺχ ἠρώτησαν, λέγοντες· Ποῦ ἔγραψας πάντας τοὺς λόγους τούτους;

17. Et interrogaverunt Baruch, dicentes: Ubi scripsisti omnes sermones istos?

18. Καὶ εἶπε Βαρούχ· Ἀπὸ στόματος αὐτοῦ ἀνήγγειλέ μοι Ἱερεμίας πάντας τοὺς λόγους τούτους, καὶ ἔγραφον ἐν βιβλίῳ.

18. Et dixit Baruch: Ex ore suo annuntiabat mihi Jeremias omnia verba hæc, et scribebam in libro.

19. Καὶ εἶπον τῷ Βαρούχ· Βάδισον, καὶ κατακρύβηθι σὺ καὶ Ἱερεμίας, ἄνθρωπος μὴ γνώτω ποῦ ὑμεῖς.

19. Et dixerunt ad Baruch: Vade, et abscondere tu et Jeremias, homo non sciat ubi vos.

20. Καὶ εἰςῆλθον πρὸς τὸν βασιλέα εἰς τὴν αὐλήν, καὶ τὸ χαρτίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ Ἐλισαμά· καὶ ἀνήγγειλαν τῷ βασιλεῖ πάντας τοὺς λόγους τούτους.

20. Et ingressi sunt ad regem in atrium, et volumen dederunt ad custodiendum in domo Elisama: et annuntiaverunt regi omnia verba ista.

21. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν Ἰουδὶν λαβεῖν τὸ χαρτίον. Καὶ ἔλαβεν αὐτὸ ἐξ οἴκου Ἐλισαμά· καὶ ἀνέγνω Ἰουδὶν εἰς τὰ ὦτα τοῦ βασιλέως, καὶ εἰς τὰ ὦτα πάντων τῶν ἀρχόντων τῶν ἑστηκότων περὶ τὸν βασιλέα.

21. Et misit rex Judin ad sumendum volumen. Et sumpsit illud e domo Elisama: et legit Judin in aures regis, et in aures omnium principum stantium circa regem.

22. Καὶ ὁ βασιλεὺς ἐκάθητο ἐν οἴκῳ χειμερινῷ, καὶ ἐσχάρα πυρὸς κατὰ πρόσωπον αὐτοῦ.

22. Et rex sedebat in domo hyemali, et focus ad faciem ejus.

23. Καὶ ἐγενήθη, ἀναγινώσκοντος Ἰουδὶν τρεῖς σελίδας καὶ τέσσαρας, ἀπέτεμεν αὐτὰς τῷ ξυρῷ τοῦ γραμματέως, καὶ ἔῤῥιπτεν εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως ἐξέλιπε πᾶς ὁ χάρτης εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας.

23. Et factum est, legente Judin tres pagellas et quatuor, abscidebat illas novacula scribæ, et jaciebat in ignem qui super arulam, donec defecit totum volumen in igne qui super arulam.

24. Καὶ οὐκ ἐζήτησαν, καὶ οὐ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας τοὺς λόγους τούτους.

24. Et non quæsierunt, neque sciderunt vestimenta sua rex et pueri ejus audientes omnia verba hæc.

25. Καὶ Ἐλνάθαν καὶ Γοδολίας ὑπέθεντο τῷ βασιλεῖ, πρὸς τὸ κατακαῦσαι τὸ χαρτίον.

25. Et Elnathan et Godolias suggesserunt regi, de comburendo volumine.

26. Καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἱερεμεὴλ υἱῷ τοῦ βασιλέως, καὶ τῷ Σαραίᾳ υἱῷ Ἐσριὴλ, συλλαβεῖν τὸν Βαροὺχ καὶ τὸν Ἱερεμίαν, καὶ κατεκρύβησαν.

26. Et mandavit rex Jeremeel filio regis, et Saraæ filio Esriel, ut comprehenderent Baruch et Jeremiam, et occultati sunt.

27. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν, μετὰ τὸ κατακαῦσαι τὸν βασιλέα τὸ χαρτίον, πάντας τοὺς λόγους οὓς ἔγραψε Βαροὺχ ἀπὸ στόματος Ἱερεμίου, λέγων·

27. Et factum est verbum Domini ad Jeremiam, postquam rex combusserat volumen, omnes sermones quos scripserat Baruch ex ore Jeremiæ, dicens:

28. Πάλιν λάβε σὺ χαρτίον ἕτερον, καὶ γράψον πάντας τοὺς λόγους τοὺς ὄντας ἐπὶ τοῦ χαρτίου, οὓς κατέκαυσεν ὁ βασιλεὺς Ἰωακεὶμ,

28. Rursus sume tu volumen aliud, et scribe omnia verba quæ erant super volumen, quæ combussit rex Joacim.

29. καὶ ἐρεῖς· Οὕτως εἶπε Κύριος· Σὺ κατέκαυσας τὸ χαρτίον τοῦτο, λέγων· Διατί ἔγραψας ἐπ' αὐτῷ, λέγων· Εἰςπορευόμενος εἰςπορεύσεται βασιλεὺς Βαβυλῶνος, καὶ ἐξολοθρεύσει τὴν γῆν ταύτην, καὶ ἐκλείψει ἀπ' αὐτῆς ἄνθρωπος καὶ κτήνη;

29. et dices: Sic dixit Dominus: Tu combussisti volumen istud, dicens: Quare scripsisti in eo, dicens: Ingrediens ingredietur rex Babylonis, et exterminabit terram istam, et deficient ab ea homo et jumenta?

30. Διὰ τοῦτο οὕτως εἶπε Κύριος ἐπὶ Ἰωακεὶμ βασιλέα Ἰούδα· Οὐκ ἔσται αὐτῷ καθήμενος ἐπὶ θρόνου Δαυὶδ, καὶ τὸ θνησιμαῖον αὐτοῦ ἔσται ἐῤῥιμμένον ἐν τῷ καύματι τῆς ἡμέρας, καὶ ἐν τῷ παγετῷ τῆς νυκτός.

30. Propterea sic dixit Dominus super Joacim regem Juda: Non erit ei sedens super thronum David, et morticinum ejus erit projectum in æstu diei, et in gelu noctis.

31. Καὶ ἐπισκέψομαι ἐπ' αὐτὸν, καὶ ἐπὶ τὸ γένος αὐτοῦ, καὶ ἐπὶ τοὺς παῖδας αὐτοῦ, καὶ ἐπάξω ἐπ' αὐτὸν, καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ, καὶ ἐπὶ γῆν Ἰούδα πάντα τὰ κακὰ ἃ ἐλάλησα πρὸς αὐτοὺς, καὶ οὐκ ἤκουσαν.

31. Et visitabo super eum, et super genus ejus, et super pueros ejus, et inducam super eum, et super habitantes Jerusalem, et super terram Juda omnia mala quæ locutus sum ad eos, et non audierunt.

32. Καὶ ἔλαβε Βαροὺχ χαρτίον ἕτερον, καὶ ἔγραψεν ἐπ' αὐτῷ ἀπὸ στόματος Ἱερεμίου ἅπαντας τοὺς λόγους τοῦ βιβλίου οὓς κατέκαυσεν Ἰωακεὶμ, καὶ ἔτι προςετέθησαν αὐτῷ λόγοι πλείονες, ὡς οὗτοι.

32. Et sumpsit Baruch volumen aliud, et scripsit in eo ex ore Jeremiæ omnes sermones libri quos combusserat Joacim, et præterea additi sunt ei sermones plures, sicut isti.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'. (Hebr. c. 37.)

1. Καὶ ἐβασίλευσε Σεδεκίας υἱὸς Ἰωσία ἀντὶ Ἰωακεὶμ, ὃν ἐβασίλευσε Ναβουχοδονόσορ βασιλεύειν τοῦ Ἰούδα,

2. καὶ οὐκ ἤκουσαν αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ὁ λαὸς τῆς γῆς τοὺς λόγους Κυρίου, οὓς ἐλάλησεν ἐν χειρὶ Ἱερεμίου.

3. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σεδεκίας τὸν Ἰωάχαλ υἱὸν Σελεμίου, καὶ τὸν Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα, πρὸς Ἱερεμίαν, λέγων· Πρόσευξαι δὴ περὶ ἡμῶν πρὸς Κύριον.

4. Καὶ Ἱερεμίας ἦλθε, καὶ διῆλθε διὰ μέσου τῆς πόλεως, καὶ οὐκ ἔδωκαν αὐτὸν εἰς τὸν οἶκον τῆς φυλακῆς. Καὶ δύναμις Φαραὼ ἐξῆλθεν ἐξ Αἰγύπτου, καὶ ἤκουσαν οἱ Χαλδαῖοι τὴν ἀκοὴν αὐτῶν, καὶ ἀνέβησαν ἀπὸ Ἱερουσαλήμ.

5. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν, λέγων·

6. Οὕτως εἶπε Κύριος· Οὕτως ἐρεῖς πρὸς βασιλέα Ἰούδα τὸν ἀποστείλαντα πρὸς σὲ, τοῦ ἐκζητῆσαί με· Ἰδοὺ δύναμις Φαραὼ ἡ ἐξελθοῦσα ὑμῖν εἰς βοήθειαν, ἀποστρέψουσιν εἰς γῆν Αἰγύπτου,

7. καὶ ἀναστρέψουσιν αὐτοὶ οἱ Χαλδαῖοι, καὶ πολεμήσουσιν ἐπὶ τὴν πόλιν ταύτην, καὶ συλλήψονται αὐτὴν, καὶ καύσουσιν αὐτὴν ἐν πυρί.

8. Ὅτι οὕτως εἶπε Κύριος· Μὴ ὑπολάβητε ταῖς ψυχαῖς ὑμῶν, λέγοντες· Ἀποτρέχοντες ἀπελεύσονται ἀφ' ἡμῶν οἱ Χαλδαῖοι, ὅτι οὐ μὴ ἀπέλθωσι.

9. Καὶ ἐὰν πατάξητε πᾶσαν δύναμιν τῶν Χαλδαίων, τοὺς πολεμοῦντας ὑμᾶς, καὶ καταλειφθῶσί τινες ἐκκεκεντημένοι, ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ, οὗτοι ἀναστήσονται, καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρί.

10. Καὶ ἐγένετο, ὅτε ἀνέβη ἡ δύναμις τῶν Χαλδαίων ἀπὸ Ἱερουσαλὴμ ἀπὸ προσώπου τῆς δυνάμεως Φαραὼ,

11. ἐξῆλθεν Ἱερεμίας ἀπὸ Ἱερουσαλὴμ, τοῦ πορευθῆναι εἰς γῆν Βενιαμὶν, τοῦ ἀγοράσαι ἐκεῖθεν ἐν μέσῳ τοῦ λαοῦ.

12. Καὶ ἐγένετο αὐτὸς ἐν πύλῃ Βενιαμὶν, καὶ ἐκεῖ ἄνθρωπος παρ' ᾧ κατέλυε, Σαρουΐα υἱὸς Σελεμίου υἱοῦ Ἀνανίου, καὶ συνέλαβε τὸν Ἱερεμίαν, λέγων· Πρὸς τοὺς Χαλδαίους σὺ φεύγεις;

13. Καὶ εἶπε· Ψεῦδος, οὐκ εἰς τοὺς Χαλδαίους ἐγὼ φεύγω. Καὶ οὐκ εἰσήκουσεν αὐτοῦ, καὶ συνέλαβε Σαρουΐα τὸν Ἱερεμίαν, καὶ εἰσήγαγεν αὐτὸν πρὸς τοὺς ἄρχοντας.

14. Καὶ ἐπικράνθησαν οἱ ἄρχοντες ἐπὶ Ἱερεμίαν, καὶ ἐπάταξαν αὐτὸν, καὶ ἀπέστειλαν αὐτὸν εἰς τὴν οἰκίαν Ἰωνάθαν τοῦ γραμματέως, ὅτι ταύτην ἐποίησαν εἰς οἰκίαν φυλακῆς.

15. Καὶ ἦλθεν Ἱερεμίας εἰς οἰκίαν τοῦ λάκκου, καὶ εἰς τὴν Χερὲθ, καὶ ἐκάθισεν ἐκεῖ ἡμέρας πολλάς.

16. Καὶ ἀπέστειλε Σεδεκίας, καὶ ἐκάλεσεν αὐτὸν, καὶ ἠρώτα αὐτὸν ὁ βασιλεὺς κρυφαίως, εἰπεῖν· Εἰ ἔστιν ὁ λόγος παρὰ Κυρίου; Καὶ εἶπεν· Ἔστιν· εἰς χεῖρας βασιλέως Βαβυλῶνος παραδοθήσῃ.

17. Καὶ εἶπεν Ἱερεμίας τῷ βασιλεῖ· Τί ἠδίκησά σε, καὶ τοὺς παῖδάς σου, καὶ τὸν λαὸν τοῦτον, ὅτι σὺ δίδως με εἰς οἰκίαν φυλακῆς;

CAPUT XLIV. (Hebr. c. 37.)

1. Et regnavit Sedecias filius Josiæ pro Joacim, quem constituit regem Nabuchodonosor ut regnaret in Juda,

2. et non audierunt ipse et pueri ejus et populus terræ verba Domini, quæ locutus est in manu Jeremiæ.

3. Et misit rex Sedecias Joachal filium Selemiæ, et Sophoniam filium Maasiæ sacerdotem, ad Jeremiam, dicens: Ora nunc pro nobis ad Dominum.

4. Et Jeremias venit, et transiit per medium civitatis, et non dederunt eum in domum carceris. Et virtus Pharaonis exiit ex Ægypto, et audierunt Chaldæi famam eorum, et ascenderunt a Jerusalem.

5. Et factum est verbum Domini ad Jeremiam, dicens:

6. Sic dixit Dominus: Sic dices ad regem Juda qui misit ad te, ad exquirendum me: Ecce virtus Pharaonis quæ egressa est vobis in auxilium, revertent in terram Ægypti,

7. et revertent ipsi Chaldæi, et bellabunt super civitatem hanc, et capient eam, et succendent eam in igne.

8. Quoniam sic dixit Dominus: Non existimetis animabus vestris, dicentes: Recurrentes abibunt a nobis Chaldæi, quia non abibunt.

9. Et si percusseritis omnem virtutem Chaldæorum, eos qui oppugnant vos, et remanserint quidam transfixi, unusquisque in loco suo, isti consurgent, et incendent civitatem hanc in igne.

10. Et factum est, quando ascendit virtus Chaldæorum a Jerusalem a facie virtutis Pharaonis,

11. egressus est Jeremias de Jerusalem, ut iret in terram Benjamin, ut emeret inde in medio populi.

12. Et fuit ipse in porta Benjamin, et ibi homo apud quem divertebat, Sarvia filius Selemiæ filii Ananiæ, et comprehendit Jeremiam, dicens: Ad Chaldæos tu fugis?

13. Et dixit: Mendacium, non ad Chaldæos ego fugio. Et non exaudivit eum, et comprehendit Sarvia Jeremiam, et introduxit eum ad principes.

14. Et exacerbati sunt principes super Jeremiam, et percusserunt eum, et miserunt eum in domum Jonathan scribæ, quia hanc fecerant in domum carceris.

15. Et venit Jeremias in domum laci, et in Chereth, et sedit ibi diebus multis.

16. Et misit Sedecias, et vocavit eum, et interrogabat eum rex abscondite, dicendo: Si est verbum a Domino? Et dixit: Est: in manus regis Babylonis traderis.

17. Et dixit Jeremias regi: Quid læsi te, et pueros tuos, et populum istum, quia tu das me in domum carceris?

18. Καὶ ποῦ εἰσιν οἱ προφῆται ὑμῶν οἱ προφητεύσαντες ὑμῖν, λέγοντες, ὅτι οὐ μὴ ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην;

19. Καὶ νῦν, κύριε βασιλεῦ, πεσέτω τὸ ἔλεός μου κατὰ πρόσωπόν σου. Καὶ τί ἀποστρέφεις με εἰς οἰκίαν Ἰωνάθαν τοῦ γραμματέως; καὶ οὐ μὴ ἀποθάνω ἐκεῖ.

20. Καὶ συνέταξεν ὁ βασιλεὺς, καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς φυλακῆς, καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας, ἔξωθεν οὗ πέσσουσιν, ἕως ἐξέλιπον οἱ ἄρτοι ἐκ τῆς πόλεως· καὶ ἐκάθισεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

18. Et ubi sunt prophetæ vestri qui prophetabant vobis, dicentes, quia non veniet rex Babylonis super terram hanc,

19. Et nunc, domine rex, procidat misericordia mea ad faciem tuam. Et quid redire me facis in domum Jonathan scribæ? et non moriar ibi.

20. Et præcepit rex, et miserunt eum in domum carceris, et dederunt ei panem unum die, deforis ubi panem faciebant, donec defecerunt panes de civitate: et sedit Jeremias in atrio carceris.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'. (Hebr. c. 38.)

1. Καὶ ἤκουσε Σαφανίας υἱὸς Νάθαν, καὶ Γοδολίας υἱὸς Πασχὼρ, καὶ Ἰωάχαλ υἱὸς Σελεμίου, τοὺς λόγους οὓς Ἱερεμίας ἐλάλει ἐπὶ τὸν λαὸν, λέγων·

2. Οὕτως εἶπε Κύριος· Ὁ κατοικῶν ἐν τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς Χαλδαίους ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρημα, καὶ ζήσεται.

3. Ὅτι οὕτως εἶπε Κύριος· Παραδιδομένη παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας δυνάμεως βασιλέως Βαβυλῶνος, καὶ συλλήψεται αὐτήν.

4. Καὶ εἶπον τῷ βασιλεῖ· Ἀναιρεθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμούντων τῶν καταλειπομένων ἐν τῇ πόλει, καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ, λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους· ὅτι ὁ ἄνθρωπος οὗτος οὐ χρησμολογεῖ εἰρήνην τῷ λαῷ τούτῳ, ἀλλ' ἢ πονηρά.

5. Καὶ εἶπεν ὁ βασιλεύς· Ἰδοὺ αὐτὸς ἐν χερσὶν ὑμῶν. Ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς.

6. Καὶ ἔρριψαν αὐτὸν εἰς λάκκον Μελχίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ οὐκ ἦν ὕδωρ, ἀλλ' ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ.

7. Καὶ ἤκουσεν Ἀβδεμέλεχ ὁ Αἰθίοψ, καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βασιλέως, ὅτι ἔδωκαν Ἱερεμίαν εἰς τὸν λάκκον· καὶ ὁ βασιλεὺς ἦν ἐν τῇ πύλῃ Βενιαμὶν,

8. καὶ ἐξῆλθε πρὸς αὐτὸν, καὶ ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ εἶπεν·

9. Ἐπονηρεύσω ἃ ἐποίησας, τοῦ ἀποκτεῖναι τὸν ἄνθρωπον τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν ἔτι ἄρτοι ἐν τῇ πόλει.

10. Καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἀβδεμέλεχ, λέγων· Λάβε εἰς τὰς χεῖράς σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους, καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου, ἵνα μὴ ἀποθάνῃ.

11. Καὶ ἔλαβεν Ἀβδεμέλεχ τοὺς ἀνθρώπους, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ βασιλέως τὴν ὑπόγαιον, καὶ ἔλαβεν ἐκεῖθεν παλαιὰ ῥάκη καὶ παλαιὰ σχοινία, καὶ ἔρριψεν αὐτὰ πρὸς Ἱερεμίαν εἰς τὸν λάκκον,

12. καὶ εἶπε· Ταῦτα θὲς ὑποκάτω τῶν σχοινίων. Καὶ ἐποίησεν Ἱερεμίας οὕτως.

13. Καὶ εἵλκυσαν αὐτὸν τοῖς σχοινίοις, καὶ ἀνήγαγον αὐτὸν ἐκ τοῦ λάκκου· καὶ ἐκάθισεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

14. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς, καὶ ἐκάλεσεν αὐτὸν πρὸς ἑαυτὸν εἰς οἰκίαν Ἀσελεισηλ, τὴν ἐν οἴκῳ Κυρίου. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Ἐρωτήσω σε λόγον καὶ μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα.

CAPUT XLV. (Hebr. c. 38.)

1. Et audivit Saphanias filius Nathan, et Godolias filius Paschor, et Joachal filius Semeliæ, verba quæ Jeremias loquebatur ad populum, dicens:

2. Sic dixit Dominus: Habitans in civitate ista morietur in gladio et in fame, et qui egreditur ad Chaldæos vivet, et erit anima ejus in rem inventam, et vivet.

3. Quoniam sic dixit Dominus: Tradendo tradetur civitas hæc in manus virtutis regis Babylonis, et capiet eam.

4. Et dixerunt regi: Occidatur nunc homo iste, quia ipse dissolvit manus hominum bellantium qui remanserunt in civitate, et manus universi populi, loquens ad eos juxta verba hæc: homo enim iste non vaticinatur pacem populo huic, sed mala.

5. Et dixit rex: Ecce ipse in manibus vestris. Non enim poterat rex adversus eos.

6. Et projecerunt eum in lacum Melchiæ filii regis, qui erat in atrio carceris, et demiserunt eum in lacum, et in lacu non erat aqua, sed lutum, et fuit in luto.

7. Et audivit Abdemelech Æthiops, et ipse in domo regis, quia dederant Jeremiam in lacum: et rex erat in porta Benjamin,

8. et egressus est ad eum, et locutus est ad regem, et dixit:

9. Malefecisti quæ fecisti, interficiendo hominem istum a facie famis, quoniam non sunt amplius panes in civitate.

10. Et mandavit rex Abdemelech, dicens: Tolle in manus tuas hinc triginta homines, et educ eum e lacu, ut non moriatur.

11. Et assumpsit Abdemelech homines, et ingressus est in domum regis subterraneam, et sumpsit inde veteres pannos et veteres funiculos, et projecit ea ad Jeremiam in lacum,

12. et dixit: Ista pone sub funiculis. Et fecit Jeremias ita.

13. Et traxerunt eum funiculis, et eduxerunt eum e lacu: et sedit Jeremias in atrio carceris.

14. Et misit rex, et vocavit eum ad se in domum Aselisel, quæ in domo Domini. Et dixit ei rex: Interrogabo te sermonem, et ne abscondas, quæso, a me verbum.

15. Καὶ εἶπεν Ἱερεμίας τῷ βασιλεῖ· Ἐὰν ἀναγγείλω σοι, οὐχὶ θανάτῳ με θανατώσεις; καὶ ἐὰν συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς μου;

16. Καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεὺς, λέγων· Ζῇ Κύριος, ὃς ἐποίησεν ἡμῖν τὴν ψυχὴν ταύτην, εἰ ἀποκτενῶ σε, καὶ εἰ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων τούτων.

17. Καὶ εἶπεν αὐτῷ Ἱερεμίας· Οὕτως εἶπε Κύριος· Ἐὰν ἐξελθὼν ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως Βαβυλῶνος, ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρὶ, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου.

18. Καὶ ἐὰν μὴ ἐξέλθῃς, δοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ καύσουσιν αὐτὴν ἐν πυρὶ, καὶ σὺ οὐ μὴ σωθῇς.

19. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἱερεμίᾳ· Ἐγὼ λόγον ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώσειν με εἰς χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου.

20. Καὶ εἶπεν Ἱερεμίας· Οὐ μὴ παραδῶσί σε. Ἄκουσον τὸν λόγον Κυρίου, ὃν ἐγὼ λέγω πρὸς σὲ, καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου.

21. Καὶ εἰ μὴ θέλῃς σὺ ἐξελθεῖν, οὗτος ὁ λόγος ὃν ἔδειξέ μοι Κύριος.

22. Καὶ ἰδοὺ πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἰκίᾳ βασιλέως Ἰούδα, ἐξήγοντο πρὸς ἄρχοντας βασιλέως Βαβυλῶνος, καὶ αὗται ἔλεγον· Ἠπάτησάν σε, καὶ δυνήσονταί σοι ἄνδρες εἰρηνικοί σου, καὶ καταλύσουσιν ἐν ὀλισθήμασι πόδα σου, ἀπέστρεψαν ἀπὸ σοῦ,

23. καὶ τὰς γυναῖκάς σου, καὶ τὰ τέκνα σου ἐξάξουσι πρὸς τοὺς Χαλδαίους. Καὶ σὺ οὐ μὴ σωθῇς, ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαυθήσεται.

24. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Ἄνθρωπος μὴ γνώτω ἐκ τῶν λόγων τούτων, καὶ σὺ οὐ μὴ ἀποθάνῃς.

25. Καὶ ἐὰν οἱ ἄρχοντες ἀκούσωσιν ὅτι ἐλάλησά σοι, καὶ ἔλθωσι πρὸς σὲ, καὶ εἴπωσί σοι· Ἀνάγγειλον ἡμῖν τί ἐλάλησέ σοι ὁ βασιλεὺς, μὴ κρύψῃς ἀφ' ἡμῶν, καὶ οὐ μὴ ἀνέλωμέν σε· καὶ τί ἐλάλησε πρὸς σὲ ὁ βασιλεύς;

26. Καὶ ἐρεῖς αὐτοῖς· Ῥίπτω ἐγὼ τὸ ἔλεός μου κατ' ὀφθαλμοὺς τοῦ βασιλέως πρὸς τὸ μὴ ἀποστρέψαι με εἰς οἰκίαν Ἰωνάθαν, ἀποθανεῖν με ἐκεῖ.

27. Καὶ ἦλθοσαν πάντες οἱ ἄρχοντες πρὸς Ἱερεμίαν, καὶ ἠρώτησαν αὐτόν. Καὶ ἀνήγγειλεν αὐτοῖς κατὰ πάντας τοὺς λόγους τούτους οὓς ἐνετείλατο αὐτῷ ὁ βασιλεύς. Καὶ ἀπεσιώπησαν, ὅτι οὐκ ἠκούσθη ὁ λόγος Κυρίου.

28. Καὶ ἐκάθισεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς, ἕως χρόνου οὗ συνελήφθη Ἱερουσαλήμ.

ΚΕΦΑΛΑΙΟΝ Μϛʹ. (Hebr. c. 39.)

1. Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἐννάτῳ τοῦ Σεδεκία βασιλέως Ἰούδα, παρεγένετο Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλὴμ, καὶ ἐπολιόρκουν αὐτήν.

2. Καὶ ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκία, ἐν τῷ μηνὶ τῷ τετάρτῳ, ἐννάτῃ τοῦ μηνὸς, ἐῤῥάγη ἡ πόλις,

3. καὶ εἰσῆλθον πάντες οἱ ἡγούμενοι βασιλέως Βαβυλῶνος, καὶ ἐκάθισαν ἐν πύλῃ τῇ μέσῃ Μαργανασὰρ, καὶ Σαμαγὼθ, καὶ Ναβουσάχαρ, καὶ Ναβουσαρεὶς, Ναγαργᾶς, Νασεῤῥαβαμὰθ, καὶ οἱ κατάλοιποι ἡγεμόνες βασιλέως Βαβυλῶνος.

15. Et dixit Jeremias regi : Si annuntiavero tibi, numquid morte me mortificabis? et si consilium dedero tibi, numquid audies me?

16. Et juravit ei rex, dicens : Vivit Dominus, qui fecit nobis animam hanc, si interficiam te, et si dabo te in manus hominum istorum.

17. Et dixit ei Jeremias : Sic dixit Dominus : Si exiens exiveris ad duces regis Babylonis, vivet anima tua, et civitas hæc non comburetur in igni, et vives tu et domus tua.

18. Quod si non exieris, dabitur civitas hæc in manus Chaldæorum, et incendent eam in igne, et tu non salvaberis.

19. Et dixit rex Jeremiæ : Ego rationem habeo Judæorum qui fugerunt ad Chaldæos, ne daturi sint me in manus eorum, et illudent mihi.

20. Et dixit Jeremias : Non tradent te. Audi verbum Domini, quod ego dico ad te, et melius erit tibi, et vivet anima tua.

21. Quod si nolueris tu exire, iste est sermo quem ostendit mihi Dominus.

22. Et ecce omnes mulieres quæ remanserunt in domo regis Juda, eductæ sunt ad principes regis Babylonis, et hæ dicebant : Seduxerunt te, et prævalebunt tibi viri pacifici tui, et deponent in lubricis pedem tuum, recesserunt a te,

23. et uxores tuas, et filios tuos educent ad Chaldæos. Et tu non salvaberis, quia in manu regis Babylonis capieris, et civitas hæc comburetur.

24. Et dixit ei rex : Homo non sciat de verbis his, et tu non morieris.

25. Quod si principes audierint quia locutus sum tibi, et venerint ad te, et dixerint tibi : Annuntia nobis quid locutus est tibi rex, ne celes a nobis, et non interficiemus te : et quid locutus est ad te rex?

26. Et dices eis : Projicio ego misericordiam meam ante oculos regis ad hoc ut redire me non faciat in domum Jonathan, ad moriendum me ibi.

27. Et venerunt omnes principes ad Jeremiam, et interrogaverunt eum. Et annuntiavit eis juxta omnia verba hæc quæ præceperat ei rex. Et tacuerunt, quia non erat auditum verbum Domini.

28. Et sedit Jeremias in atrio carceris, usque ad tempus quo capta est Jerusalem.

CAPUT XLVI. (Hebr. c. 39.)

1. Et factum est mense nono Sedeciæ regis Juda, advenit Nabuchodonosor rex Babylonis, et omnis virtus ejus super Jerusalem, et obsidebant eam.

2. Et in undecimo anno Sedeciæ, in mense quarto, nona mensis, diffissa est civitas,

3. et ingressi sunt omnes duces regis Babylonis, et sederunt in porta media Marganasar, et Samagoth, et Nabusachar, et Nabusaris, Nagargas, Naserrabamath, et reliqui duces regis Babylonis.

(*) 14. Καὶ ἀπέστειλαν, καὶ ἔλαβον τὸν Ἱερεμίαν ἐξ αὐλῆς τῆς φυλακῆς, καὶ ἔδωκαν αὐτὸν πρὸς τὸν Γοδολίαν υἱὸν Ἀχεικὰν υἱοῦ Σαφὰν, καὶ ἐξήγαγον αὐτὸν, καὶ ἐκάθισεν ἐν μέσῳ τοῦ λαοῦ.

15. Καὶ πρὸς Ἱερεμίαν ἐγένετο λόγος Κυρίου ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων·

16. Πορεύου καὶ εἰπὲ πρὸς Ἀβδεμέλεχ τὸν Αἰθίοπα· Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἰδοὺ ἐγὼ φέρω τοὺς λόγους μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθὰ,

17. καὶ σώσω σε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐ μὴ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων ὧν σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν,

18. ὅτι σώζων σώσω σε, καὶ ἐν ῥομφαίᾳ οὐ μὴ πέσῃς· καὶ ἔσται ἡ ψυχή σου εἰς εὕρημα, ὅτι ἐπεποίθεις ἐπ' ἐμοὶ, φησὶ Κύριος.

14. Et miserunt, et tulerunt Jeremiam de atrio carceris, et dederunt eum ad Godoliam filium Achican filii Saphan, et eduxerunt eum, et sedit in medio populi.

15. Et ad Jeremiam factum est verbum Domini in atrio carceris, dicens:

16. Vade et dic ad Abdemelech Æthiopem: Sic dixit Dominus Deus Israel: Ecce ego affero verba mea super civitatem hanc in mala et non in bona,

17. et salvabo te in die illa, et non dabo te in manus hominum quos tu times a facie eorum,

18. salvans enim salvabo te, et in gladio non cades: et erit anima tua in rem inventam, quoniam fidisti super me, ait Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'. (Hebr. c. 40.)

1. Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἱερεμίαν, μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Ναβουζαρδὰν τὸν ἀρχιμάγειρον τὸν ἐκ Ῥαμὰ, ἐν τῷ λαβεῖν αὐτὸν ἐν χειροπέδαις, ἐν μέσῳ ἀποικίας Ἰούδα τῶν ἠγμένων εἰς Βαβυλῶνα.

2. Καὶ ἔλαβεν αὐτὸν ὁ ἀρχιμάγειρος, καὶ εἶπεν αὐτῷ· Κύριος ὁ Θεός σου ἐλάλησε τὰ κακὰ ταῦτα ἐπὶ τὸν τόπον τοῦτον,

3. καὶ ἐποίησε Κύριος, ὅτι ἡμάρτετε αὐτῷ, καὶ οὐκ ἠκούσατε τῆς φωνῆς αὐτοῦ.

CAPUT XLVII. (Hebr. c. 40.)

1. Verbum quod factum est a Domino ad Jeremiam, postquam dimisit eum Nabuzardan princeps coquorum ex Rama, quando tulit eum in manicis, in medio transmigrationis Juda eorum qui ducebantur in Babylonem.

2. Et tulit eum princeps coquorum, et dixit ei: Dominus Deus tuus locutus est mala hæc super locum istum,

3. et fecit Dominus, quia peccastis ei, et non audistis vocem ejus.

(*) 4. Ἐγένετο δὲ, ἡνίκα εἶδεν αὐτοὺς Σεδεκίας ὁ βασιλεὺς Ἰούδα, καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου, ἔφυγον καὶ ἐξῆλθον νυκτὸς ἐκ τῆς πόλεως ὁδὸν κήπου τοῦ βασιλέως, διὰ τῆς πύλης τῆς ἀναμέσον τῶν δύο τειχῶν, καὶ ἐξῆλθον καθ' ὁδὸν τῆς ἐρήμου.

5. Καὶ κατεδίωξε δύναμις Χαλδαίων κατόπισθεν αὐτῶν, καὶ κατέλαβον τὸν Σεδεκίαν ἐν ἀραβὼθ Ἱεριχώ. Καὶ ἔλαβον αὐτὸν, καὶ ἀνήγαγον πρὸς Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος ἐν Δεβλαθᾶ, ἐν γῇ Ἐμὰθ, καὶ ἐλάλησε μετ' αὐτοῦ κρίματα.

6. Καὶ ἔσφαξε βασιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκίου ἐν Δεβλαθᾶ κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἐλευθέρους Ἰούδα ἔσφαξε βασιλεὺς Βαβυλῶνος.

7. Καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις χαλκαῖς, τοῦ ἀγαγεῖν αὐτὸν εἰς Βαβυλῶνα.

8. Καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ τοὺς οἴκους τοῦ λαοῦ ἐνέπρησαν οἱ Χαλδαῖοι ἐν πυρὶ, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ καθεῖλον.

9. Καὶ τὸ λοιπὸν τοῦ λαοῦ, τοὺς ὑπολειφθέντας ἐν τῇ πόλει, καὶ τοὺς ἐμπεσόντας οἳ ἐνέπεσον αὐτῷ, καὶ τὸ λοιπὸν τοῦ λαοῦ τῶν καταλελειμμένων ἀπῴκισε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος εἰς Βαβυλῶνα.

10. Ἀπὸ τοῦ λαοῦ τῶν πενήτων, οἷς ὑπῆρχεν οὐδὲν, κατέλιπε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ἐν τῇ γῇ Ἰούδα, καὶ ἔδωκεν αὐτοῖς ἀμπελῶνας καὶ ὑδρεύματα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

11. Καὶ ἐνετείλατο Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος περὶ Ἱερεμίου Ναβουζαρδὰν τῷ ἀρχιμαγείρῳ, λέγων·

12. Λάβε αὐτὸν, καὶ τοὺς ὀφθαλμούς σου θὲς ἐπ' αὐτὸν, καὶ μὴ ποιήσῃς αὐτῷ μηδὲν κακὸν, ὅτι ἀλλ' ἢ καθὼς ἐὰν λαλήσῃ πρὸς σὲ, οὕτως ποίησον μετ' αὐτοῦ.

13. Ἀπέστειλε δὲ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, καὶ Ναβουσὰρ Σελχὶμ Ῥαβσάρης, Νηργὲλ Σαρασὰρ, Ῥαβαμὰχ, καὶ πάντες οἱ μεγιστᾶνες βασιλέως Βαβυλῶνος. (*Ex Cod. regio Angl.*)

4. Et factum est, ut vidit eos Sedecias rex Juda, et omnes viri bellatores, fugerunt et egressi sunt nocte de civitate per viam horti regis, per portam quæ erat inter duos muros, et egressi sunt per viam deserti.

5. Et persecutus est exercitus Chaldæorum post eos, et comprehenderunt Sedeciam in araboth Jericho. Et ceperunt eum, et adduxerunt ad Nabuchodonosor regem Babylonis in Deblatha, quæ est in terra Emath, et locutus est cum eo judicia.

6. Et jugulavit rex Babylonis filios Sedeciæ in Deblatha ante oculos ejus, et omnes liberos Juda jugulavit rex Babylonis.

7. Et oculos Sedeciæ excæcavit, et vinxit eum in compedibus æneis, ut duceretur in Babylonem.

8. Et domum regis, et domos populi succenderunt Chaldæi in igne, et murum Jerusalem subverterunt

9. Et residuum populi, eos qui remanserant in civitate, et transfugas qui transfugerant ad eum, et residuum populi, eos qui derelicti fuerant transtulit Nabuzardan princeps coquorum in Babylonem.

10. De pauperibus populi, quibus non erat quicquam, reliquit Nabuzardan princeps coquorum in terra Juda, et dedit eis vineas et cisternas in die illa.

11. Et præcepit Nabuchodonosor rex Babylonis de Jeremia Nabuzardan principi coquorum, dicens:

12. Tolle illum, et oculos tuos pone super eum, nihilque ei mali facias, sed sicut locutus fuerit ad te, sic fac cum eo.

13. Misit ergo Nabuzardan princeps coquorum, et Nabusar Selchim Rabsares, Nergel Sarasar, Rabamach, et omnes magnates regis Babylonis.

4. Ἰδοὺ ἔλυσά σε ἀπὸ τῶν χειροπέδων τῶν ἐπὶ τὰς χεῖράς σου. Εἰ καλὸν ἐναντίον σου ἐλθεῖν μετ' ἐμοῦ εἰς Βαβυλῶνα, καὶ θήσω τοὺς ὀφθαλμούς μου ἐπὶ σέ·

5. εἰ δὲ μὴ, ἀπότρεχε, ἀνάστρεψον πρὸς τὸν Γοδολίαν υἱὸν Ἀχεικὰμ υἱοῦ Σαφὰν, ὃν κατέστησε βασιλεὺς Βαβυλῶνος ἐν γῇ Ἰούδα, καὶ οἴκησον μετ' αὐτοῦ ἐν μέσῳ τοῦ λαοῦ ἐν γῇ Ἰούδα, εἰς ἅπαντα τὰ ἀγαθὰ ἐν ὀφθαλμοῖς σου τοῦ πορευθῆναι ἐκεῖ, καὶ πορεύου. Καὶ ἔδωκεν αὐτῷ ὁ ἀρχιμάγειρος δῶρα, καὶ ἀπέστειλεν αὐτόν.

6. Καὶ ἦλθε πρὸς Γοδολίαν εἰς Μασσηφὰ, καὶ ἐκάθισεν ἐν μέσῳ τοῦ λαοῦ αὐτοῦ τοῦ καταλειφθέντος ἐν τῇ γῇ.

7. Καὶ ἤκουσαν πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως τῆς ἐν ἀγρῷ, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν, ὅτι κατέστησε βασιλεὺς Βαβυλῶνος τὸν Γοδολίαν ἐν τῇ γῇ, καὶ παρακατέθεντο αὐτῷ ἄνδρας καὶ γυναῖκας αὐτῶν, οὓς οὐ κατῴκισεν εἰς Βαβυλῶνα.

8. Καὶ ἦλθε πρὸς Γοδολίαν εἰς Μασσηφὰ Ἰσμαὴλ υἱὸς Ναθανίου, καὶ Ἰωάναν υἱὸς Κάρηε, καὶ Σαραίας υἱὸς Θαναεμὲθ, καὶ υἱοὶ Ἰωφὲ τοῦ Νετωφαθὶ, καὶ Ἐζονίας υἱὸς τοῦ Μωχαθὶ, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν.

9. Καὶ ὤμοσεν αὐτοῖς Γοδολίας καὶ τοῖς ἀνδράσιν αὐτῶν, λέγων· Μὴ φοβηθῆτε ἀπὸ προσώπου τῶν παίδων τῶν Χαλδαίων· κατοικήσατε ἐν τῇ γῇ, καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ βέλτιον ἔσται ὑμῖν.

10. Καὶ ἰδοὺ ἐγὼ κάθημαι ἐναντίον ὑμῶν εἰς Μασσηφὰ, στῆναι κατὰ πρόσωπον τῶν Χαλδαίων, οἳ ἂν ἔλθωσιν ἐφ' ὑμᾶς· καὶ ὑμεῖς συνάγετε οἶνον καὶ ὀπώραν καὶ ἔλαιον, καὶ βάλετε εἰς τὰ ἀγγεῖα ὑμῶν, καὶ οἰκήσατε ἐν ταῖς πόλεσιν αἷς κατεκρατήσατε.

11. Καὶ πάντες οἱ Ἰουδαῖοι οἱ ἐν Μωὰβ, καὶ ἐν υἱοῖς Ἀμμὼν, καὶ οἱ ἐν τῇ Ἰδουμαίᾳ, καὶ οἱ ἐν πάσῃ τῇ γῇ, ἤκουσαν ὅτι ἔδωκε βασιλεὺς Βαβυλῶνος κατάλειμμα τῷ Ἰούδᾳ, καὶ ὅτι κατέστησεν ἐπ' αὐτοὺς τὸν Γοδολίαν υἱὸν Ἀχεικάμ.

12. Καὶ ἦλθον πρὸς Γοδολίαν εἰς γῆν Ἰούδα εἰς Μασσηφὰ, καὶ συνήγαγον οἶνον καὶ ὀπώραν πολλὴν σφόδρα, καὶ ἔλαιον.

13. Καὶ Ἰωάναν υἱὸς Κάρηε, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ ἐν τοῖς ἀγροῖς, ἦλθον πρὸς τὸν Γοδολίαν εἰς Μασσηφὰ,

14. καὶ εἶπον αὐτῷ· Εἰ γνώσει γινώσκεις ὅτι Βελεισσὰ βασιλεὺς υἱὸς Ἀμμὼν ἀπέστειλε πρὸς σὲ τὸν Ἰσμαὴλ πατάξαι σου ψυχήν; Καὶ οὐκ ἐπίστευσεν αὐτοῖς Γοδολίας.

15. Καὶ εἶπε Ἰωάναν τῷ Γοδολίᾳ κρυφαίως ἐν Μασσηφᾷ· Πορεύσομαι δὴ καὶ πατάξω τὸν Ἰσμαὴλ, καὶ μηδεὶς γνώτω, μὴ πατάξῃ σου ψυχὴν, καὶ διασπαρῇ πᾶς Ἰούδα οἱ συνηγμένοι πρὸς σὲ, καὶ ἀπολοῦνται οἱ κατάλοιποι Ἰούδα.

16. Καὶ εἶπε Γοδολίας πρὸς Ἰωάναν· Μὴ ποιήσῃς τὸ πρᾶγμα, ὅτι ψευδῆ σὺ λέγεις ὑπὲρ Ἰσμαήλ.

4. Ecce solvi te a manicis quæ super manus tuas. Si bonum coram te venire mecum in Babylonem, et ponam oculos meos super te :

5. sin minus, recurre, redi ad Godoliam filium Achicam filii Saphan, quem constituit rex Babylonis in terra Juda, et habita cum eo in medio populi in terra Juda, ad omnia quæ bona in oculis tuis ad eundum illuc, et vade. Et dedit ei magister coquorum dona, et dimisit eum.

6. Et venit ad Godoliam in Massepha, et sedit in medio populi sui qui remanserat in terra.

7. Et audierunt omnes duces virtutis quæ in agro, ipsi et viri eorum, quia constituit rex Babylonis Godoliam in terra, et commendarunt ei viros et uxores eorum, quos non transtulerat in Babylonem.

8. Et venit ad Godoliam in Massepha Ismael filius Nathaniæ, et Joanam filius Caree, et Saræas filius Thanaemeth, et filii Jophe Netophathitæ, et Ezonias filius Mochathi, ipsi et viri eorum.

9. Et juravit eis Godolias et viris eorum, dicens : Ne timeatis a facie puerorum Chaldæorum : habitate in terra, et operamini regi Babylonis, et melius erit vobis.

10. Et ecce ego sedeo coram vobis in Massepha, ad standum ante faciem Chaldæorum, quicumque venerint super vos : et vos colligite vinum et fructus et oleum, et mittite in vasa vestra, et habitate in urbibus quas tenuistis.

11. Et omnes Judæi qui in Moab, et in filiis Ammon, et qui in Idumæa, et qui in omni terra, audierunt quia dedit rex Babylonis reliquias Juda, et quia constituit super eos Godoliam filium Achicam.

12. Et venerunt ad Godoliam in terram Juda in Massepha, et collegerunt vinum et fructus multos valde, et oleum.

13. Et Joanan filius Caree, et omnes duces virtutis qui in agris, venerunt ad Godoliam in Massepha,

14. et dixerunt ei : Si cognitione cognoscis quia Belissa rex filius Ammon misit ad te Ismael ad percutiendum animam tuam? Et non credidit eis Godolias.

15. Et dixit Joanam Godoliæ occulte in Massepha : Ibo nunc et percutiam Ismael, et nemo sciat, ne percutiat animam tuam, et dispergatur omnis Juda qui convenerunt ad te, et peribunt residui Juda.

16. Et dixit Godolias ad Joanan : Ne facias rem, quia falsa tu dicis super Ismael.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'. (Hebr. c. 41.)

1 Καὶ ἐγένετο, τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθανίου υἱοῦ Ἐλεασὰ, ἀπὸ γένους τοῦ βασιλέως, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ, πρὸς Γοδολίαν εἰς Μασσηφὰ, καὶ ἔφαγον ἐκεῖ ἄρτον ἅμα.

CAPUT XLVIII. (Hebr. c. 41.)

1. Et factum est, mense septimo venit Ismael filius Nathaniæ filii Eleasa, de genere regis, et decem viri cum eo, ad Godoliam in Massepha, et comederunt ibi panem simul.

2. Καὶ ἀνέστη Ἰσμαὴλ, καὶ οἱ δέκα ἄνδρες οἳ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπάταξαν τὸν Γοδολίαν, ὃν κατέστησε βασιλεὺς Βαβυλῶνος ἐπὶ τῆς γῆς,

3. καὶ πάντας τοὺς Ἰουδαίους τοὺς ὄντας μετ' αὐτοῦ ἐν Μασσηφὰ, καὶ πάντας τοὺς Χαλδαίους τοὺς εὑρεθέντας ἐκεῖ.

4. Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, πατάξαντος αὐτοῦ τὸν Γοδολίαν, καὶ ἄνθρωπος οὐκ ἔγνω.

5. Καὶ ἦλθοσαν ἄνδρες ἀπὸ Συχὲμ καὶ ἀπὸ Σαλὴμ καὶ ἀπὸ Σαμαρείας, ὀγδοήκοντα ἄνδρες, ἐξυρημένοι πώγωνας καὶ διεῤῥηγμένοι τὰ ἱμάτια καὶ κοπτόμενοι, καὶ μάννα καὶ λίβανος ἐν χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς οἶκον Κυρίου.

6. Καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς Ἰσμαὴλ, αὐτοὶ ἐπορεύοντο καὶ ἔκλαιον. Καὶ εἶπεν αὐτοῖς· Εἰσέλθετε πρὸς Γοδολίαν.

7. Καὶ ἐγένετο, εἰσελθόντων αὐτῶν εἰς τὸ μέσον τῆς πόλεως, ἔσφαξεν αὐτοὺς εἰς τὸ φρέαρ.

8. Καὶ δέκα ἄνδρες εὑρέθησαν ἐκεῖ, καὶ εἶπον τῷ Ἰσμαήλ· Μὴ ἀνέλῃς ἡμᾶς, ὅτι εἰσὶν ἡμῖν θησαυροὶ ἐν ἀγρῷ, πυροὶ καὶ κριθαὶ, μέλι καὶ ἔλαιον. Καὶ παρῆλθε, καὶ οὐκ ἀνεῖλεν αὐτοὺς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν.

9. Καὶ τὸ φρέαρ εἰς ὃ ἔῤῥιψεν ἐκεῖ Ἰσμαὴλ πάντας οὓς ἐπάταξε, φρέαρ μέγα τοῦτό ἐστιν, ὃ ἐποίησεν ὁ βασιλεὺς Ἀσὰ ἀπὸ προσώπου Βαασὰ βασιλέως Ἰσραὴλ, τοῦτο ἐνέπλησεν Ἰσμαὴλ τραυματιῶν.

10. Καὶ ἀπέστρεψεν Ἰσμαὴλ πάντα τὸν λαὸν τὸν καταλειφθέντα εἰς Μασσηφὰ, καὶ τὰς θυγατέρας τοῦ βασιλέως, ἃς παρακατέθετο ὁ ἀρχιμάγειρος τῷ Γοδολίᾳ υἱῷ Ἀχεικὰμ, καὶ ᾤχετο εἰς τὸ πέραν υἱῶν Ἀμμών.

11. Καὶ ἤκουσεν Ἰωάναν υἱὸς Κάρηε, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ, πάντα τὰ κακὰ ἃ ἐποίησεν Ἰσμαὴλ,

12. καὶ ἤγαγον ἅπαν τὸ στρατόπεδον αὐτῶν, καὶ ᾤχοντο πολεμεῖν αὐτὸν, καὶ εὗρον αὐτὸν ἐπὶ ὕδατος πολλοῦ ἐν Γαβαών.

13. Καὶ ἐγένετο, ὅτε εἶδε πᾶς ὁ λαὸς ὁ μετὰ Ἰσμαὴλ τὸν Ἰωάναν καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως τῆς μετ' αὐτοῦ,

14. καὶ ἀνέστρεψαν πρὸς Ἰωάναν.

15. Καὶ Ἰσμαὴλ ἐσώθη σὺν ὀκτὼ ἀνθρώποις, καὶ ᾤχετο πρὸς τοὺς υἱοὺς Ἀμμών.

16. Καὶ ἔλαβεν Ἰωάναν, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ, πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, οὓς ἀπέστρεψεν ἀπὸ Ἰσμαὴλ, δυνατοὺς ἄνδρας ἐν πολέμῳ, καὶ τὰς γυναῖκας, καὶ τὰ λοιπὰ, καὶ τοὺς εὐνούχους, οὓς ἀπέστρεψαν ἀπὸ Γαβαὼν,

17. καὶ ᾤχοντο, καὶ ἐκάθισαν ἐν Γαβηρωχαμαὰ, τῇ πρὸς Βηθλεὲμ, τοῦ πορευθῆναι εἰς Αἴγυπτον

18. ἀπὸ προσώπου τῶν Χαλδαίων, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου αὐτῶν· ὅτι ἐπάταξεν Ἰσμαὴλ τὸν Γοδολίαν, ὃν κατέστησεν ὁ βασιλεὺς Βαβυλῶνος ἐν τῇ γῇ.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'. (Hebr. c. 42.)

1. Καὶ προσῆλθον πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, καὶ Ἰωάναν, καὶ Ἀζαρίας υἱὸς Μαασαίου, καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου, πρὸς Ἱερεμίαν τὸν προφήτην, καὶ εἶπαν αὐτῷ·

2. Et surrexit Ismael, et decem viri qui erant cum eo, et percusserunt Godoliam, quem constituerat rex Babylonis super terram,

3. et omnes Judæos qui erant cum eo in Massepha, et omnes Chaldæos qui reperti sunt ibi.

4. Et factum est die secunda, cum ipse percussisset Godoliam, et homo non cognovit.

5. Et venerunt viri de Sychem et de Salem et de Samaria, octuaginta viri, rasi barbas et scissis vestibus et plangentes, et manna et thus in manibus eorum, ad inferendum in domum Domini.

6. Et egressus est in occursum illis Ismael, ipsi ibant et flebant. Et dixit eis : Ingredimini ad Godoliam.

7. Et factum est, ingressis illis in medium civitatis, jugulavit eos in puteo.

8. Et decem viri reperti sunt ibi, et dixerunt ad Ismael : Noli occidere nos, quia sunt nobis thesauri in agro, frumenta et hordea, mel et oleum. Et præteriit, et non interfecit eos in medio fratrum eorum.

9. Et puteus in quem projecit illuc Ismael omnes quos percusserat, puteus magnus hic est, quem fecit rex Asa a facie Baasa regis Israel, hunc implevit Ismael occisis.

10. Et abduxit Ismael omnem populum qui remanserat in Massepha, et filias regis, quas commendaverat magister coquorum Godoliæ filio Achicam, et abiit ut transiret ad filios Ammon.

11. Et audivit Joanan filius Caree, et omnes duces virtutis qui cum eo, omnia mala quæ fecerat Ismael,

12. et adduxerunt omnem exercitum suum, et abierunt impugnare eum, et invenerunt eum super aquam multam in Gabaon.

13. Et factum est, quando vidit omnis populus qui cum Ismael Joanam et duces virtutis quæ cum eo,

14. et redierunt ad Joanam.

15. Et Ismael evasit cum octo hominibus, et abiit ad filios Ammon.

16 Et tulit Joanan, et omnes duces virtutis qui cum eo, omnes residuos populi, quos reduxerat ab Ismael, potentes viros in bello, et mulieres, et reliqua, et eunuchos, quos reduxerant de Gabaon,

17. et abierunt, et sederunt in Gaberochamaa, quæ ad Bethleem, ut irent in Ægyptum

18. a facie Chaldæorum, quia timuerunt a facie eorum : quia percusserat Ismael Godoliam, quem constituerat rex Babylonis in terra.

CAPUT XLIX. (Hebr. c. 42.)

1. Et accesserunt omnes duces virtutis, et Joanan, et Azarias filius Maasiæ, et omnis populus a parvo et usque ad magnum, ad Jeremiam prophetam, et dixerunt ei :

2. Πεσέτω δὴ τὸ ἔλεος ἡμῶν κατὰ πρόσωπόν σου, καὶ πρόσευξαι πρὸς Κύριον τὸν Θεόν σου περὶ τῶν καταλοίπων τούτων· ὅτι κατελείφθημεν ὀλίγοι ἀπὸ πολλῶν, καθὼς οἱ ὀφθαλμοί σου βλέπουσι.

3. Καὶ ἀναγγειλάτω ἡμῖν Κύριος ὁ Θεός σου τὴν ὁδὸν ᾗ πορευσόμεθα ἐν αὐτῇ, καὶ λόγον ὃν ποιήσομεν.

4. Καὶ εἶπεν αὐτοῖς Ἱερεμίας· Ἤκουσα, ἰδοὺ ἐγὼ προσεύξομαι ὑπὲρ ὑμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, κατὰ τοὺς λόγους ὑμῶν· καὶ ἔσται, ὁ λόγος ὃν ἂν ἀποκριθήσεται Κύριος ὁ Θεὸς, ἀναγγελῶ ὑμῖν, οὐ μὴ κρύψω ἀφ' ὑμῶν ῥῆμα.

5. Καὶ αὐτοὶ εἶπαν τῷ Ἱερεμίᾳ· Ἔστω Κύριος ἐν ἡμῖν εἰς μάρτυρα δίκαιον καὶ πιστὸν, εἰ μὴ κατὰ πάντα τὸν λόγον ὃν ἐὰν ἀποστείλῃ Κύριος πρὸς ἡμᾶς, οὕτως ποιήσωμεν·

6. καὶ ἐὰν ἀγαθὸν καὶ ἐὰν κακὸν, τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ ἡμῶν, οὗ ἡμεῖς ἀποστέλλομέν σε πρὸς αὐτὸν, ἀκουσόμεθα, ἵνα βέλτιον ἡμῖν γένηται, ὅτι ἀκουσόμεθα τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν.

7. Καὶ ἐγενήθη μεθ' ἡμέρας δέκα, ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν.

8. Καὶ ἐκάλεσε τὸν Ἰωάναν, καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως, καὶ πάντα τὸν λαὸν ἀπὸ μικροῦ καὶ ἕως μεγάλου,

9. καὶ εἶπεν αὐτοῖς· Οὕτως εἶπε Κύριος·

10. Ἐὰν καθίσαντες καθίσητε ἐν τῇ γῇ ταύτῃ, οἰκοδομήσω ὑμᾶς, καὶ οὐ μὴ καθελῶ, καὶ φυτεύσω ὑμᾶς, καὶ οὐ μὴ ἐκτίλω, ὅτι ἀναπέπαυμαι ἐπὶ τοῖς κακοῖς οἷς ἐποίησα ὑμῖν.

11. Μὴ φοβηθῆτε ἀπὸ προσώπου βασιλέως Βαβυλῶνος, οὗ ὑμεῖς φοβεῖσθε· ἀπὸ προσώπου αὐτοῦ μὴ φοβηθῆτε, φησὶ Κύριος, ὅτι μεθ' ὑμῶν ἐγὼ, ἐξαιρεῖσθαι ὑμᾶς, καὶ σώζειν ὑμᾶς ἐκ χειρὸς αὐτῶν.

12. Καὶ δώσω ὑμῖν ἔλεος, καὶ ἐλεήσω ὑμᾶς, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν.

13. Καὶ εἰ λέγετε ὑμεῖς· Οὐ μὴ καθίσωμεν ἐν τῇ γῇ ταύτῃ, πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς Κυρίου,

14. ὅτι εἰς γῆν Αἰγύπτου εἰσελευσόμεθα, καὶ οὐ μὴ ἴδωμεν πόλεμον, καὶ φωνὴν σάλπιγγος οὐ μὴ ἀκούσωμεν, καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν, καὶ ἐκεῖ οἰκήσομεν·

15. διὰ τοῦτο ἀκούσατε λόγον Κυρίου· Οὕτως εἶπε Κύριος· Ἐὰν ὑμεῖς δῶτε τὸ πρόσωπον ὑμῶν εἰς Αἴγυπτον, καὶ εἰσέλθητε ἐκεῖ κατοικεῖν,

16. καὶ ἔσται, ἡ ῥομφαία ἣν ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτῆς, εὑρήσει ὑμᾶς ἐν γῇ Αἰγύπτου, καὶ ὁ λιμὸς, οὗ ὑμεῖς λόγον ἔχετε ἀπὸ προσώπου αὐτοῦ, καταλήψεται ὑμᾶς ὀπίσω ὑμῶν ἐν Αἰγύπτῳ, καὶ ἐκεῖ ἀποθανεῖσθε.

17. Καὶ ἔσονται πάντες οἱ ἄνθρωποι, καὶ πάντες οἱ ἀλλογενεῖς οἱ θέντες τὸ πρόσωπον αὐτῶν εἰς γῆν Αἰγύπτου ἐνοικεῖν ἐκεῖ, ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ καὶ ἐν τῷ λιμῷ, καὶ οὐκ ἔσται αὐτῶν οὐδεὶς σωζόμενος ἀπὸ τῶν κακῶν ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτούς.

18. Ὅτι οὕτως εἶπε Κύριος· Καθὼς ἔσταξεν ὁ θυμός μου ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ, οὕτως στάξει ὁ θυμός μου ἐφ' ὑμᾶς, εἰσελθόντων ὑμῶν εἰς Αἴγυπτον· καὶ ἔσεσθε εἰς ἄβατον, καὶ ὑποχείριοι, καὶ εἰς ἀρὰν, καὶ εἰς ὀνειδισμὸν, καὶ οὐ μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον.

19. Ἃ ἐλάλησε Κύριος ἐφ' ὑμᾶς τοὺς καταλοίπους Ἰούδα, μὴ εἰσέλθητε εἰς Αἴγυπτον. Καὶ νῦν γνόντες γνώσεσθε

2. Cadat nunc misericordia nostra ante faciem tuam, et ora ad Dominum Deum tuum pro residuis his : quia relicti sumus pauci e multis, sicut oculi tui vident.

3. Et annuntiet nobis Dominus Deus tuus viam qua ibimus in ea, et verbum quod faciemus.

4. Et dixit eis Jeremias : Audivi, ecce ego orabo pro vobis ad Dominum Deum nostrum, secundum verba vestra : et erit, verbum quodcumque respondebit Dominus Deus, annuntiabo vobis, non celabo a vobis verbum.

5. Et ipsi dixerunt Jeremiæ : Sit Dominus in nobis in testem justum et fidelem, si non juxta omne verbum quod miserit Dominus ad nos, sic fecerimus :

6. et sive bonum et sive malum, vocem Domini Dei nostri, ad quem nos mittimus te ad eum, audiemus, ut melius nobis fiat, quia audiemus vocem Domini Dei nostri.

7. Et factum est post dies decem, factum est verbum Domini ad Jeremiam.

8. Et vocavit Joanan, et duces virtutis, et universum populum a parvo et usque ad magnum,

9. et dixit eis : Sic dixit Dominus :

10. Si sedentes sederitis in terra hac, ædificabo vos, et non destruam, et plantabo vos, et non evellam, quia requievi super malis quæ feci vobis.

11. Nolite timere a facie regis Babylonis, quem vos timetis : a facie ejus ne timeatis, dicit Dominus, quia vobiscum ego, ut eruam vos, et salvem vos de manu eorum.

12. Et dabo vobis misericordiam, et miserebor vestri, et reducam vos in terram vestram.

13. Quod si dicitis vos : Non sedebimus in terra hac, ut non audiamus vocem Domini,

14. quia in terram Ægypti ingrediemur, et non videbimus bellum, et vocem tubæ non audiemus, et in panibus non esuriemus, et ibi habitabimus :

15. propter hoc audite verbum Domini : Sic dixit Dominus : Si vos dederitis faciem vestram in Ægyptum, et intraveritis illuc ad habitandum,

16. et erit, gladius quem vos timetis a facie ejus, inveniet vos in terra Ægypti, et fames, cujus vos rationem habetis a facie ejus, comprehendet vos post vos in Ægypto, et ibi moriemini.

17. Et erunt omnes homines, et omnes alienigenæ qui posuerint faciem suam ad terram Ægypti ad inhabitandum ibi, deficient in gladio et in fame, et non erit eorum quisquam salvus a malis quæ ego induco super eos :

18. Quia sic dixit Dominus : Sicut stillavit furor meus super habitatores Jerusalem, sic stillabit furor meus super vos, ingressis vobis in Ægyptum : et eritis in invium, et subjecti, et in maledictionem, et in opprobrium, et non videbitis ultra locum istum.

19. Quæ locutus est Dominus super vos residuos Judæ, nolite intrare in Ægyptum. Et nunc cognoscentes cognoscetis

20. ὅτι ἐπονηρεύσασθε ἐν ψυχαῖς ὑμῶν ἀποστείλαντές με, λέγοντες· Πρόσευξαι περὶ ἡμῶν πρὸς Κύριον, καὶ κατὰ πάντα ἃ ἐὰν λαλήσει σοι Κύριος, ποιήσομεν·

21. καὶ οὐχ ἠκούσατε τῆς φωνῆς Κυρίου, ἧς ἀπέστειλέ με πρὸς ὑμᾶς·

22. καὶ νῦν ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε ἐν τῷ τόπῳ ᾧ ὑμεῖς βούλεσθε εἰςελθεῖν κατοικεῖν ἐκεῖ.

20. quia maligne egistis in animas vestras mittentes me, dicentes : Ora pro nobis ad Dominum, et juxta omnia quæcumque loquetur tibi Dominus, faciemus :

21. et non audistis vocem Domini, qua misit me ad vos :

22. et nunc in gladio et in fame deficietis in loco quo vos vultis intrare ad habitandum ibi.

ΚΕΦΑΛΑΙΟΝ Ν'. (Hebr. c. 43.)

1. Καὶ ἐγενήθη, ὡς ἐπαύσατο Ἱερεμίας λέγων πρὸς τὸν λαὸν πάντας τοὺς λόγους Κυρίου, οὓς ἀπέστειλεν αὐτὸν Κύριος πρὸς αὐτούς, πάντας τοὺς λόγους τούτους,

2. καὶ εἶπεν Ἀζαρίας υἱὸς Μαασαίου, καὶ Ἰωάναν υἱὸς Κάρηὲ, καὶ πάντες οἱ ἄνδρες οἱ εἰπόντες τῷ Ἱερεμίᾳ, λέγοντες· Ψεύδη, οὐχ ἀπέστειλέ σε Κύριος πρὸς ἡμᾶς, λέγων· Μὴ εἰςέλθητε εἰς Αἴγυπτον οἰκεῖν ἐκεῖ,

3. ἀλλ' ἢ Βαροὺχ υἱὸς Νηρίου συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας τῶν Χαλδαίων, τοῦ θανατῶσαι ἡμᾶς καὶ ἀποικισθῆναι ἡμᾶς εἰς Βαβυλῶνα.

4. Καὶ οὐκ ἤκουσεν Ἰωάναν, καὶ πάντες ἡγεμόνες τῆς δυνάμεως, καὶ πᾶς ὁ λαὸς, τῆς φωνῆς Κυρίου, κατοικῆσαι ἐν γῇ Ἰούδα.

5. Καὶ ἔλαβεν Ἰωάναν, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, πάντας τοὺς καταλοίπους Ἰούδα, τοὺς ἀποστρέψαντας κατοικεῖν ἐν τῇ γῇ,

6. τοὺς δυνατοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ νήπια τὰ λοιπὰ, καὶ τὰς θυγατέρας τοῦ βασιλέως, καὶ τὰς ψυχὰς ἃς κατέλιπε Ναβουζαρδὰν μετὰ Γοδολίου υἱοῦ Ἀχεικὰμ, καὶ Ἱερεμίαν τὸν προφήτην, καὶ Βαροὺχ υἱὸν Νηρίου,

7. καὶ εἰςῆλθον εἰς Αἴγυπτον, ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς Κυρίου, καὶ εἰςῆλθον εἰς Τάφνας.

8. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν ἐν Τάφνας, λέγων·

9. Λάβε σεαυτῷ λίθους μεγάλους, καὶ κατάκρυψον αὐτοὺς ἐν προθύροις ἐν πύλῃ τῆς οἰκίας Φαραὼ ἐν Τάφνας, κατ' ὀφθαλμοὺς ἀνδρῶν Ἰούδα,

10. καὶ ἐρεῖς· Οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἀποστέλλω, καὶ ἄξω Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος, καὶ θήσει αὐτοῦ τὸν θρόνον ἐπάνω τῶν λίθων τούτων ὧν κατέκρυψας, καὶ ἀρεῖ τὰ ὅπλα ἐπ' αὐτούς,

11. καὶ εἰςελεύσεται, καὶ πατάξει γῆν Αἰγύπτου, οὓς εἰς θάνατον εἰς θάνατον, καὶ οὓς εἰς ἀποικισμὸν εἰς ἀποικισμὸν, καὶ οὓς εἰς ῥομφαίαν εἰς ῥομφαίαν.

12. Καὶ καύσει πῦρ ἐν οἰκίαις τῶν θεῶν αὐτῶν, καὶ ἐμπυριεῖ αὐτὰς, καὶ ἀποικιεῖ αὐτοὺς, καὶ φθειριεῖ γῆν Αἰγύπτου, ὥςπερ φθειρίζει ποιμὴν τὸ ἱμάτιον αὐτοῦ. Καὶ ἐξελεύσεται ἐν εἰρήνῃ,

13. καὶ συντρίψει τοὺς στύλους Ἡλιουπόλεως τοὺς ἐν Ὢν, καὶ τὰς οἰκίας αὐτῶν κατακαύσει ἐν πυρί.

CAPUT L. (Hebr. c. 43.)

1. Et factum est, ut cessavit Jeremias dicens ad populum omnes sermones Domini, quibus miserat eum Dominus ad eos, omnia verba hæc,

2. et dixit Azarias filius Maasiæ, et Joanan filius Caree, et omnes viri qui dixerunt Jeremiæ, dicentes : Mendacia, non misit te Dominus ad nos, dicens : Ne ingrediamini in Ægyptum ad habitandum illic,

3. sed Baruch filius Neriæ concitat te adversus nos, ut des nos in manus Chaldæorum, ad occidendum nos et transferendum nos in Babylonem.

4. Et non audivit Joanan, et omnes duces virtutis, et omnis populus, vocem Domini, ut habitarent in terra Juda.

5. Et assumpsit Joanan, et universi duces virtutis, omnes residuos Juda, qui reverterant habitare in terra,

6. potentes viros, et mulieres, et parvulos reliquos, et filias regis, et animas quas reliquerat Nabuzardan cum Godolia filio Achicam, et Jeremiam prophetam, et Baruch filium Neriæ,

7. et ingressi sunt in Ægyptum, quia non audierunt vocem Domini, et intrarunt in Taphnas.

8. Et factum est verbum Domini ad Jeremiam in Taphnas, dicens :

9. Sume tibi lapides grandes, et absconde eos in vestibulis in porta domus Pharaonis in Taphnas, ante oculos virorum Juda,

10. et dices : Sic dixit Dominus : Ecce ego mitto, et adducam Nabuchodonosor regem Babylonis, et ponet suum thronum super lapides istos quos abscondisti, et elevabit arma super eos,

11. et ingredietur, et percutiet terram Ægypti, quos in mortem in mortem, et quos in transmigrationem in transmigrationem, et quos in gladium in gladium.

12. Et succendet ignem in domibus deorum eorum, et comburet eos, et transferet eos, et pediculis excutiet terram Ægypti, sicut excutit pastor vestimentum suum. Et egredietur in pace,

13. et conteret titulos Heliopolis qui in On, et domos eorum comburet in igni.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'. (Hebr. c. 44 et 45.)

1. Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν ἅπασι τοῖς Ἰουδαίοις τοῖς κατοικοῦσιν ἐν γῇ Αἰγύπτου, καὶ τοῖς καθημένοις ἐν Μαγδωλῷ καὶ ἐν Τάφνας καὶ ἐν γῇ Παθούρης, λέγων·

2. Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Ὑμεῖς ἑωράκατε πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ τὰς πόλεις Ἰούδα· καὶ ἰδού εἰσιν ἔρημοι ἀπὸ ἐνοίκων

CAPUT LI. (Hebr. c. 44 et 45.)

1. Verbum quod factum est ad Jeremiam omnibus Judæis habitantibus in terra Ægypti, et sedentibus in Magdolo et in Taphnas et in terra Pathures, dicens :

2. Sic dixit Dominus Deus Israel : Vos vidistis omnia mala quæ induxi super Jerusalem et super civitates Juda : et ecce sunt desertæ ab habitatoribus

3. ἀπὸ προσώπου πονηρίας αὐτῶν, ἧς ἐποίησαν παραπικρᾶναι με, πορευθέντες θυμιᾷν θεοῖς ἑτέροις οἷς οὐκ ἔγνωτε.

4. Καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρθρου, καὶ ἀπέστειλα, λέγων· Μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μολύνσεως ταύτης, ἧς ἐμίσησα.

5. Καὶ οὐκ ἤκουσάν μου, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν ἀποστρέψαι ἀπὸ τῶν κακῶν αὐτῶν, πρὸς τὸ μὴ θυμιᾷν θεοῖς ἑτέροις.

6. Καὶ ἔσταξεν ἡ ὀργή μου καὶ ὁ θυμός μου, καὶ ἐξεκαύθη ἐν πύλαις Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλήμ· καὶ ἐγενήθησαν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον ὡς ἡ ἡμέρα αὕτη.

7. Καὶ νῦν οὕτως εἶπε Κύριος παντοκράτωρ· Ἱνατί ὑμεῖς ποιεῖτε κακὰ μεγάλα ἐπὶ ψυχαῖς ὑμῶν; ἐκκόψαι ὑμῶν ἄνθρωπον καὶ γυναῖκα, νήπιον καὶ θηλάζοντα ἐκ μέσου Ἰούδα, πρὸς τὸ μὴ καταλειφθῆναι ὑμῶν μηδένα,

8. παραπικρᾶναί με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, θυμιᾷν θεοῖς ἑτέροις ἐν γῇ Αἰγύπτῳ, εἰς ἣν ἤλθετε κατοικεῖν ἐκεῖ, ἵνα κοπῆτε, καὶ ἵνα γένησθε εἰς κατάραν καὶ εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς ἔθνεσι τῆς γῆς.

9. Μὴ ἐπιλέλησθε ὑμεῖς τῶν κακῶν τῶν πατέρων ὑμῶν, καὶ τῶν κακῶν τῶν βασιλέων Ἰούδα, καὶ τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν, καὶ τῶν κακῶν τῶν γυναικῶν ὑμῶν, ὧν ἐποίησαν ἐν γῇ Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλήμ;

10. Καὶ οὐκ ἐπαύσαντο ἕως τῆς ἡμέρας ταύτης, καὶ οὐκ ἀντείχοντο τῶν προσταγμάτων μου, ὧν ἔδωκα κατὰ πρόσωπον τῶν πατέρων αὐτῶν.

11. Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἐφίστημι τὸ πρόσωπόν μου, (*)

12. τοῦ ἀπολέσαι πάντας τοὺς καταλοίπους τοὺς ἐν Αἰγύπτῳ· καὶ πεσοῦνται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ἐκλείψουσιν ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς ἀπώλειαν καὶ εἰς κατάραν.

13. Καὶ ἐπισκέψομαι ἐπὶ τοὺς καθημένους ἐν γῇ Αἰγύπτῳ, ὡς ἐπεσκεψάμην ἐπὶ Ἱερουσαλὴμ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ,

14. καὶ οὐκ ἔσται σεσωσμένος οὐδεὶς τῶν ἐπιλοίπων Ἰούδα τῶν παροικούντων ἐν γῇ Αἰγύπτῳ, τοῦ ἐπιστρέψαι εἰς γῆν Ἰούδα, ἐφ' ἣν αὐτοὶ ἐλπίζουσιν ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπιστρέψαι ἐκεῖ· οὐ μὴ ἐπιστρέψωσιν, ἀλλ' ἢ οἱ ἀνασεσωσμένοι.

15. Καὶ ἀπεκρίθησαν τῷ Ἱερεμίᾳ πάντες οἱ ἄνδρες οἱ γνόντες ὅτι θυμιῶσιν αἱ γυναῖκες αὐτῶν, καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ λαὸς οἱ καθήμενοι ἐν γῇ Αἰγύπτῳ ἐν Παθουρῇ, λέγοντες·

16. Ὁ λόγος ὃν ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι Κυρίου, οὐκ ἀκούσομέν σου,

17. ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾷν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλήμ· καὶ ἐπλήσθημεν ἄρτων, καὶ ἐγενόμεθα χρηστοὶ, καὶ κακὰ οὐκ εἴδομεν.

(*) 11. ... ἐφ' ὑμᾶς εἰς κακὸν τοῦ ἀπολέσαι πάντα Ἰούδα.
12. Καὶ λήψομαι τοὺς καταλοίπους Ἰούδα, οἳ ἔθεντο τὸ πρόσωπον αὐτῶν τοῦ εἰσελθεῖν εἰς γῆν Αἰγύπτου, τοῦ κατοικῆσαι ἐκεῖ, ... (*Compl.*)

3. a facie malitiæ ipsorum, quam fecerunt ad exacerbandum me, euntes adolere diis aliis quos nesciebatis.

4. Et misi ad vos pueros meos prophetas diluculo, et misi, dicens : Nolite facere rem contaminationis hujus, quam odi.

5. Et non audierunt me, et non inclinaverunt aurem suam ut averterent se a malis suis, ad non adolendum diis alienis.

6. Et stillavit ira mea et furor meus, et succensus est in portis Juda et extra Jerusalem : et facti sunt in desolationem et in invium sicut dies hæc.

7. Et nunc sic dixit Dominus omnipotens : Ut quid vos facitis mala magna in animas vestras? ad succidendum vobis hominem et mulierem, parvulum et lactentem de medio Juda, ut non relinquatur ex vobis ullus,

8. exacerbando me in operibus manuum vestrarum, adolendo diis alienis in terra Ægypto, ad quam venistis habitare illic, ut excidamini, et ut fiatis in maledictionem et in opprobrium in omnibus gentibus terræ.

9. Numquid obliti estis vos malorum patrum vestrorum, et malorum regum Juda, et malorum principum vestrorum, et malorum mulierum vestrarum, quæ fecerunt in terra Juda et extra Jerusalem?

10. Et non cessaverunt usque ad diem hanc, et non adhæserunt præceptis meis, quæ dedi ante faciem patrum eorum.

11. Idcirco sic dixit Dominus : Ecce ego statuo faciem meam

12. ad disperdendum omnes residuos qui in Ægypto : et cadent in gladio et in fame, et deficient a parvo usque ad magnum, et erunt in opprobrium et in perditionem et in maledictionem.

13. Et visitabo super sedentes in terra Ægypto, sicut visitavi super Jerusalem in gladio et in fame,

14. et non erit salvus quisquam de residuis Juda qui incolunt in terra Ægypto, ad revertendum in terram Juda, ad quam ipsi sperant animabus suis reverti illuc : non revertentur, nisi qui evaserint.

15. Et responderunt Jeremiæ omnes viri qui sciebant quia adolent uxores suæ, et omnes mulieres, synagoga magna, et omnis populus sedentes in terra Ægypto in Pathure, dicentes :

16. Verbum quod locutus es ad nos nomine Domini, non audiemus te,

17. quia facientes faciemus omne verbum quod egredietur ex ore nostro, adolendo reginæ cœli, et libando ei libamina, sicut fecimus nos et patres nostri, et reges nostri, et principes nostri in civitatibus Juda et extra Jerusalem : et impleti sumus panibus, et fuimus jucundi, et mala non vidimus.

11.... super vos in mala ad disperdendum omnem Judam.
12. Et assumam reliquias Judæ, qui posuerunt faciem suam ut ingrederentur terram Ægypti, ad habitandum ibi...

18. Καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἠλαττώθημεν πάντες, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν.

19. Καὶ ὅτι ἡμεῖς ἐθυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ ἐσπείσαμεν αὐτῇ σπονδὰς, μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν αὐτῇ χαυῶνας καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς;

20. Καὶ εἶπεν Ἱερεμίας παντὶ τῷ λαῷ, τοῖς δυνατοῖς καὶ ταῖς γυναιξὶ, καὶ παντὶ τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους, λέγων·

21. Οὐχὶ τοῦ θυμιάματος οὗ ἐθυμιάσατε ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλὴμ, ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ οἱ βασιλεῖς ὑμῶν καὶ οἱ ἄρχοντες ὑμῶν, καὶ ὁ λαὸς τῆς γῆς, ἐμνήσθη Κύριος, καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ;

22. Καὶ οὐκ ἠδύνατο Κύριος ἔτι φέρειν ἀπὸ προσώπου πονηρίας πραγμάτων ὑμῶν, καὶ ἀπὸ τῶν βδελυγμάτων ὑμῶν ὧν ἐποιήσατε. Καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν, καὶ εἰς ἄβατον, καὶ εἰς ἀρὰν, ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ,

23. ἀπὸ προσώπου ὧν ἐθυμιᾶτε καὶ ὧν ἡμάρτετε τῷ Κυρίῳ. Καὶ οὐκ ἠκούσατε τῆς φωνῆς Κυρίου, καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ, καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς μαρτυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε, καὶ ἐπελάβετο ὑμῶν τὰ κακὰ ταῦτα.

24. Καὶ εἶπεν Ἱερεμίας τῷ λαῷ καὶ ταῖς γυναιξίν· Ἀκούσατε λόγον Κυρίου.

25. Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· Ὑμεῖς γυναῖκες τῷ στόματι ὑμῶν ἐλαλήσατε, καὶ ταῖς χερσὶν ὑμῶν ἐπληρώσατε, λέγουσαι· Ποιοῦσαι ποιήσομεν τὰς ὁμολογίας ἡμῶν ἃς ὡμολογήκαμεν, θυμιᾷν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ σπονδάς· ἐμμείνασαι ἐνεμείνατε ταῖς ὁμολογίαις ὑμῶν, καὶ ποιοῦσαι ἐποιήσατε.

26. Διὰ τοῦτο ἀκούσατε λόγον Κυρίου, πᾶς Ἰούδα, οἱ καθήμενοι ἐν γῇ Αἰγύπτῳ· Ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ, εἶπε Κύριος, ἐὰν γένηται ἔτι ὄνομά μου ἐν τῷ στόματι παντὸς Ἰούδα εἰπεῖν· Ζῇ Κύριος ἐπὶ πάσῃ γῇ Αἰγύπτῳ·

27. ὅτι ἐγὼ ἐγρήγορα ἐπ' αὐτοὺς, τοῦ κακῶσαι αὐτοὺς, καὶ οὐκ ἀγαθῶσαι· καὶ ἐκλείψουσι πᾶς Ἰούδα, οἱ κατοικοῦντες ἐν γῇ Αἰγύπτῳ, ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, ἕως ἂν ἐκλείπωσιν.

28. Καὶ οἱ σεσωσμένοι ἀπὸ ῥομφαίας ἐπιστρέψουσιν εἰς γῆν Ἰούδα ὀλίγοι ἀριθμῷ, καὶ γνώσονται οἱ κατάλοιποι Ἰούδα οἱ καταστάντες ἐν γῇ Αἰγύπτῳ κατοικῆσαι ἐκεῖ, λόγος τίνος ἐμμενεῖ.

29. Καὶ τοῦτο τὸ σημεῖον ὑμῖν, ὅτι ἐπισκέψομαι ἐγὼ ἐφ' ὑμᾶς εἰς πονηρά.

30. Οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ δίδωμι τὸν Οὐαφρῆ βασιλέα Αἰγύπτου εἰς χεῖρας ἐχθροῦ αὐτοῦ, καὶ εἰς χεῖρας ζητοῦντος τὴν ψυχὴν αὐτοῦ, καθὰ ἔδωκα τὸν Σεδεκίαν βασιλέα Ἰούδα εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος ἐχθροῦ αὐτοῦ, καὶ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ.

(*Vulg.* XLV,) 1. Ὁ λόγος ὃν ἐλάλησε Ἱερεμίας ὁ προφήτης πρὸς Βαροὺχ υἱὸν Νηρίου, ὅτε ἔγραφε τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στόματος Ἱερεμίου, ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακεὶμ υἱῷ Ἰωσία βασιλέως Ἰούδα·

18. Et ut omisimus adolentes reginæ cœli, imminuti sumus omnes, et in gladio et in fame defecimus.

19. Et quia nos adolebamus reginæ cœli, et libavimus ei libamina, numquid sine viris nostris fecimus ei placentas et libavimus ei libamina?

20. Et dixit Jeremias omni populo, potentibus et mulieribus, et omni populo iis qui responderant ei verba, dicens :

21. Nonne incensi quod adolebatis in civitatibus Juda et extra Jerusalem, vos et patres vestri, et reges vestri et principes vestri, et populus terræ, meminit Dominus, et ascendit super cor ipsius?

22. Et non potuit Dominus ultra ferre a facie malitiæ rerum vestrarum, et a vestris abominationibus quas fecistis. Et facta est terra vestra in desolationem, et in invium, et in maledictum, sicut in die hac,

23. a facie eorum quæ adolebatis et quæ peccabatis Domino. Et non audistis vocem Domini, et in præceptis ejus, et in lege et in testimoniis ejus non ambulastis, et apprehenderunt vos mala hæc.

24. Et dixit Jeremias populo et mulieribus : Audite verbum Domini.

25. Sic dixit Dominus Deus Israel : Vos mulieres ore vestro locutæ estis, et manibus vestris implestis, dicentes : Facientes faciemus confessiones nostras quas confessæ sumus, adolendo reginæ cœli et libando ei libamina : perseverantes perseverastis in confessionibus vestris, et facientes fecistis.

26. Ideo audite verbum Domini, omnis Juda, qui sedetis in terra Ægypto : Ecce juravi nomine meo magno, ait Dominus, si erit ultra nomen meum in ore universi Juda ad dicendum : Vivit Dominus in omni terra Ægypti :

27. quia ego vigilavi super eos, ad affligendum eos, et non benefaciendum : et deficient omnis Juda, habitantes in terra Ægypto, in gladio et in fame, donec defecerint.

28. Et qui evaserint a gladio revertentur in terram Juda pauci numero, et agnoscent residui Juda qui steterunt in terra Ægypto ad habitandum ibi, verbum cujus permaneat.

29. Et hoc signum vobis, quia visitabo ego super vos in mala.

30. Sic dixit Dominus : Ecce ego do Vaphre regem Ægypti in manus inimici ejus, et in manus quærentis animam ejus, sicut dedi Sedeciam regem Juda in manus Nabuchodonosor regis Babylonis inimici ejus, et quærentis animam ejus.

(*Vulg.* XLV, 1.) Verbum quod locutus est Jeremias propheta ad Baruch filium Neriæ, quando scripsi verba hæc in libro ex ore Jeremiæ, in anno quarto Joacim filio Josiæ regis Juda :

2. Οὕτως εἶπε Κύριος ἐπὶ σοὶ Βαρούχ,

3. ὅτι εἶπας· Οἴμοι, οἴμοι, ὅτι προσέθηκε Κύριος κόπον ἐπὶ πόνον μοι· ἐκοιμήθην ἐν στεναγμοῖς, ἀνάπαυσιν οὐχ εὗρον.

4. Εἶπον αὐτῷ· Οὕτως εἶπε Κύριος· Ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ καθαιρῶ, καὶ οὓς ἐγὼ ἐφύτευσα, ἐγὼ ἐκτίλλω.

5. Καὶ σὺ ζητήσεις σεαυτῷ μεγάλα; Μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα, λέγει Κύριος· καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρημα ἐν παντὶ τόπῳ, οὗ ἐὰν βαδίσῃς ἐκεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

1. Ὄντος εἰκοστοῦ καὶ ἑνὸς ἔτους Σεδεκίου ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμειτάαλ, θυγάτηρ Ἱερεμίου ἐκ Λοβενά. (*)

4. Καὶ ἐγένετο τῷ ἔτει τῷ ἐννάτῳ τῆς βασιλείας αὐτοῦ, ἐν μηνὶ τῷ ἐνάτῳ, δεκάτῃ τοῦ μηνὸς, ἦλθε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλὴμ, καὶ περιεχαράκωσαν αὐτὴν, καὶ περιῳκοδόμησαν αὐτὴν τετραπέδοις λίθοις κύκλῳ.

5. Καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ Σεδεκίᾳ,

6. ἐν τῇ ἐννάτῃ τοῦ μηνὸς, καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς.

7. Καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πύλης, ἀναμέσον τοῦ τείχους καὶ τοῦ προτειχίσματος ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ, καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Ἄραβα.

8. Καὶ κατεδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτὸν ἐν τῷ πέραν Ἱεριχὼ, καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ' αὐτοῦ.

9. Καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος εἰς Δεβλαθὰ, καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως.

10. Καὶ ἔσφαξε βασιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκίου κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἄρχοντας Ἰούδα ἔσφαξεν ἐν Δεβλαθά.

11. Καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις. Καὶ ἤγαγεν αὐτὸν βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα, καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος ἕως ἡμέρας ἧς ἀπέθανε.

12. Καὶ ἐν μηνὶ πέμπτῳ, δεκάτῃ τοῦ μηνὸς, ἦλθε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, ἑστηκὼς κατὰ πρόσωπον οὗ βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλὴμ,

13. Καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάσας τὰς οἰκίας τῆς πόλεως· καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρί·

14. καὶ πᾶν τεῖχος Ἱερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων ἡ μετὰ τοῦ ἀρχιμαγείρου.

(*) 2. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου κατὰ πάντα ὅσα ἐποίησε Ἰωακείμ·

3 ὅτι ὀργὴ Κυρίου ἦν ἐν Ἱερουσαλὴμ καὶ ἐν Ἰούδα, ἕως οὗ τοῦ ἀποβαλεῖν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ, καὶ ἀφέστησε Σεδεκίας ἐπὶ τὸν βασιλέα Βαβυλῶνος. (*Compl. et Theodor.*)

2. Sic dixit Dominus super te Baruch,

3. quia dixisti : Heu mihi, heu mihi, quia addidit Dominus laborem super dolorem meum : dormivi in gemitibus, requiem non inveni.

4. Dic ei : Sic dixit Dominus : Ecce quos ego ædificavi, ego destruam, et quos ego plantavi, ego evello.

5. Et tu quæres tibi grandia? Noli quærere, quia ecce ego induco mala super omnem carnem, ait Dominus : et dabo animam tuam in rem inventam in omni loco, quocumque iveris illuc.

CAPUT LII.

1. Cum viginti unius annorum esset Sedecias in regnando ipsum, et undecim annis regnavit in Jerusalem : et nomen matri ejus Amitaal, filia Jeremiæ de Lobena.

4. Et factum est anno nono regni ipsius, in mense nono, decima mensis, venit Nabuchodonosor rex Babylonis, et omnis virtus ejus super Jerusalem, et circumvallarunt eam, et circumædificarunt eam quadratis lapidibus in circuitu.

5. Et venit civitas in obsidionem usque ad annum undecimum regi Sedeciæ,

6. in nona mensis, et invaluit fames in civitate, et non erant panes populo terræ.

7. Et dirupta est civitas, et omnes viri bellatores exierunt nocte per viam portæ, inter murum et antemurale quod erat ad hortum regis, et Chaldæi super civitatem in circuitu, et iverunt viam quæ ad Araba.

8. Et persecuta est virtus Chaldæorum post regem, et apprehenderunt eum trans Jericho, et omnes pueri ejus dispersi sunt ab eo.

9. Et ceperunt regem, et duxerunt eum ad regem Babylonis in Deblatha, et locutus est ei cum judicio.

10. Et jugulavit rex Babylonis filios Sedeciæ ante oculos ejus, et omnes principes Juda jugulavit in Deblatha.

11. Et oculos Sedeciæ excæcavit, et ligavit eum in compedibus. Et duxit eum rex Babylonis in Babylonem, et dedit eum in domum pistrini usque in diem qua mortuus est.

12. Et in mense quinto, decima mensis, venit Nabuzardan princeps coquorum, qui stabat ante faciem regis Babylonis in Jerusalem,

13. et incendit domum Domini, et domum regis et omnes domos civitatis : et omnem domum magnam incendit in igne :

14. et omnem murum Jerusalem in circuitu destruxit virtus Chaldæorum quæ cum principe coquorum.

---

2. Et fecit malum coram Domino juxta omnia quæ fecerat Joacim.

3. Quoniam ira Domini erat in Jerusalem et in Juda, usquequo projiceret eos a facie sua, et recessit Sedecias a rege Babylonis.

(*) 16. Καὶ τοὺς καταλοίπους τοῦ λαοῦ κατέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς.

17. Καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου, καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου, συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν, καὶ ἀπήνεγκαν εἰς Βαβυλῶνα.

18. Καὶ τὴν στεφάνην, καὶ τὰς φιάλας καὶ τὰς κρεάγρας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς,

19. καὶ τὰς ἀπφὼθ, καὶ τὰς μασμαρὼθ, καὶ τοὺς ὑποχυτῆρας, καὶ τὰς λυχνίας, καὶ τὰς θυΐσκας, καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ χρυσᾶ, καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγειρος.

20. Καὶ οἱ στύλοι δύο, καὶ ἡ θάλασσα μία, καὶ οἱ μόσχοι δώδεκα χαλκοῖ ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν εἰς οἶκον Κυρίου, οὗ οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν·

21. καὶ οἱ στύλοι τριακονταπέντε, πηχῶν ὕψος τοῦ στύλου τοῦ ἑνός· καὶ σπαρτίον δώδεκα πήχεων περιεκύκλου αὐτὸν, καὶ τὸ πάχος αὐτοῦ δακτύλων τεσσάρων κύκλῳ,

22. καὶ γεῖσος ἐπ' αὐτοῖς χαλκοῦν, καὶ πέντε πήχεων τὸ μῆκος, ὑπεροχὴ τοῦ γείσους τοῦ ἑνὸς, καὶ δίκτυον καὶ ῥοαὶ ἐπὶ τοῦ γείσους κύκλῳ, τὰ πάντα χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ, ὀκτὼ ῥοαὶ τῷ πήχει, τοῖς δώδεκα πήχεσι.

23. Καὶ ἦσαν αἱ ῥοαὶ ἐνενηκονταὲξ τὸ ἓν μέρος, καὶ ἦσαν αἱ πᾶσαι ῥοαὶ ἑκατὸν ἐπὶ τοῦ δικτύου κύκλῳ.

24. Καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν ἱερέα τὸν πρῶτον, καὶ τὸν ἱερέα τὸν δευτεροῦντα, καὶ τοὺς τρεῖς τοὺς φυλάττοντας τὴν ὁδὸν,

25. καὶ εὐνοῦχον ἕνα ὃς ἦν ἐπιστάτης τῶν ἀνδρῶν τῶν πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς, τοὺς ἐν προσώπῳ τοῦ βασιλέως, τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν γραμματέα τῶν δυνάμεων τὸν γραμματεύοντα τῷ λαῷ τῆς γῆς, καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς, τοὺς εὑρεθέντας ἐν μέσῳ τῆς πόλεως.

26. Καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος τοῦ βασιλέως, καὶ ἤγαγεν αὐτοὺς πρὸς βασιλέα Βαβυλῶνος εἰς Δεβλαθὰ,

27. καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν Δεβλαθὰ, ἐν γῇ Αἱμάθ. (**)

31. Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει, ἀποικισθέντος τοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ, ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς,

---

(*) 15. Καὶ ἀπὸ τῶν πενήτων τοῦ λαοῦ, καὶ τὸ λοιπὸν τοῦ λαοῦ, καὶ τοὺς καταλειφθέντας ἐν τῇ πόλει, καὶ τοὺς ἐμπεπτωκότας οἳ ἐνέπεσαν πρὸς τὸν βασιλέα τῆς Βαβυλῶνος, καὶ τὸ περισσὸν τοῦ ὄχλου μεθῆκεν ὁ ἀρχιμάγειρος. (*Compl.*)

(**) 27. ... καὶ ἀπῳκίσθη Ἰούδας ἀπὸ ἐπάνωθεν τῆς γῆς αὐτοῦ.

28. Καὶ οὗτος ὁ λαὸς ὃν ἀπῴκισε Ναβουχοδονόσορ· ἐν τῷ ἔτει τῷ ἑβδόμῳ Ἰουδαίους τρισχιλίους καὶ εἴκοσι τρεῖς.

29. Ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ Ναβουχοδονόσορ, ἐξ Ἱερουσαλὴμ ψυχὰς ὀκτακοσίας τριάκοντα δύο.

30. Ἐν τῷ ἔτει τῷ τρίτῳ καὶ εἰκοστῷ τοῦ Ναβουχοδονόσορ, ἀπῴκισε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος Ἰουδαίων ψυχὰς ἑπτακοσίας τεσσαράκοντα πέντε· πᾶσαι αἱ ψυχαὶ τετρακισχίλιαι καὶ ἑξακόσιαι. (*Ex Cod. regio Angl.*)

16. Et reliquos de populo reliquit princeps coquorum in vinearum et agrorum cultores.

17. Et columnas æneas quæ in domo Domini, et bases et mare æneum quæ in domo Domini, contriverunt Chaldæi, et tulerunt æs eorum, et asportarunt in Babylonem.

18. Et coronam, et phialas et creagras et omnia vasa ænea, in quibus ministrabant in eis,

19. et ipsas applioth, et ipsas masmaroth, et pelves, et candelabra, et mortariola, et cyathos, quæ erant aurea aurea, et quæ erant argentea argentea, tulit princeps coquorum.

20. Et columnæ duæ, et mare unum, et vituli duodecim ænei subter mare, quæ fecerat rex Salomon in domo Domini, cujus non erat pondus æris eorum :

21. et columnæ triginta quinque, cubitorum altitudo columnæ unius : et funiculus duodecim cubitorum circumdabat eam, et crassities ejus digitorum quatuor in circuitu,

22. et gisum super eas æneum, et quinque cubitorum longitudo, excessus gisi unius, et rete et malogranata super gisum in circuitu, omnia ænea : et juxta hæc columnæ secundæ, octo malogranata cubito, duodecim cubitis.

23. Et erant malogranata nonaginta sex latus unum, et erant omnia malogranata centum super rete in circuitu.

24. Et tulit princeps coquorum sacerdotem primum, et sacerdotem secundum, et tres illos qui custodiebant viam,

25. et eunuchum unum qui erat præfectus virorum bellatorum, et septem viros nominatos, qui in facie regis, inventos in civitate, et scribam virtutum scribentem populo terræ, et sexaginta homines de populo terræ, inventos in medio civitatis.

26. Et tulit eos Nabuzardan princeps coquorum regis, et duxit eos ad regem Babylonis in Deblatha,

27. et percussit eos rex Babylonis in Deblatha, in terra Æmath.

31. Et factum est in trigesimo et septimo anno transmigrationis Joachim regis Juda, in duodecimo mense, in vigesima quarta mensis, accepit Ulæmadachar rex Babylonis,

---

15. Et de pauperibus populi, et reliquum vulgi, et eos qui remanserant in civitate, et profugos qui transfugerant ad regem Babylonis, et reliquum multitudinis transtulit princeps coquorum.

27... et translatus est Judas de desuper terram suam.

28. Et iste est populus quem transtulit Nabuchodonosor : in anno septimo Judæos tria millia et viginti tres.

29. In anno octavo decimo Nabuchodonosor, de Jerusalem animas octingentas triginta duas.

30. In anno tertio et vigesimo Nabuchodonosor, transtulit Nabuzardan princeps coquorum Judæorum animas septingentas quadraginta quinque : omnes animæ quatuor millia sexcentæ.

ἔλαβεν Οὐλαιμαδάχαρ βασιλεὺς Βαβυλῶνος, ἐν τῷ ἐνιαυτῷ ᾧ ἐβασίλευσε, τὴν κεφαλὴν Ἰωακεὶμ βασιλέως Ἰούδα, καὶ ἔκειρεν αὐτὸν, καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας ἧς ἐφυλάσσετο,

32. καὶ ἐλάλησεν αὐτῷ χρηστὰ, καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βαβυλῶνι,

33. καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διαπαντὸς κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησε.

34. Καὶ ἡ σύνταξις αὐτῷ ἐδίδοτο διαπαντὸς παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν, ἕως ἡμέρας ἧς ἀπέθανεν.

in anno quo regnum adiit, caput Joacim regis Juda, et totondit eum, et eduxit eum de domo in qua custodiebatur,

32. et locutus est ei bona, et dedit thronum ejus super reges qui secum in Babylone,

33. et mutavit stolam carceris ejus, et comedebat panem semper ante faciem ejus cunctis diebus quibus vixit.

34. Et demensum ei dabatur perpetuo a rege Babylonis de die in diem, usque ad diem qua mortuus est.

ΒΑΡΟΥΧ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Καὶ οὗτοι οἱ λόγοι τοῦ βιβλίου, οὓς ἔγραψε Βαροὺχ υἱὸς Νηρίου υἱοῦ Μαασαίου υἱοῦ Σεδεκίου υἱοῦ Ἀσαδίου υἱοῦ Χελκίου, ἐν Βαβυλῶνι,

2. ἐν τῷ ἔτει τῷ πέμπτῳ, ἐν ἑβδόμῃ τοῦ μηνὸς, ἐν τῷ καιρῷ ᾧ ἔλαβον οἱ Χαλδαῖοι τὴν Ἱερουσαλὴμ, καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρί.

3. Καὶ ἀνέγνω Βαροὺχ τοὺς λόγους τοῦ βιβλίου τούτου ἐν ὠσὶν Ἰεχονίου υἱοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ τῶν ἐρχομένων πρὸς τὴν βίβλον,

4. καὶ ἐν ὠσὶ τῶν δυνατῶν καὶ υἱῶν τῶν βασιλέων, καὶ ἐν ὠσὶ τῶν πρεσβυτέρων, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου, πάντων τῶν κατοικούντων ἐν Βαβυλῶνι ἐπὶ ποταμοῦ Σούδ.

5. Καὶ ἔκλαιον, καὶ ἐνήστευον, καὶ ηὔχοντο ἐναντίον Κυρίου,

6. καὶ συνήγαγον ἀργύριον, καθὸ ἑκάστου ἠδύνατο ἡ χείρ.

7. Καὶ ἀπέστειλαν εἰς Ἱερουσαλὴμ πρὸς Ἰωακεὶμ υἱὸν Χελκίου υἱοῦ Σαλὼμ, τὸν ἱερέα, καὶ πρὸς τοὺς ἱερεῖς, καὶ πρὸς πάντα τὸν λαὸν τοὺς εὑρεθέντας μετ' αὐτοῦ ἐν Ἱερουσαλὴμ,

8. ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη οἴκου Κυρίου, τὰ ἐξενεχθέντα ἐκ τοῦ ναοῦ, ἀποστρέψαι εἰς γῆν Ἰούδα, τῇ δεκάτῃ τοῦ Σειουὰλ, σκεύη ἀργυρᾶ, ἃ ἐποίησε Σεδεκίας υἱὸς Ἰωσία βασιλεὺς Ἰούδα,

9. μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς δεσμώτας, καὶ τοὺς δυνατοὺς, καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ Ἱερουσαλὴμ, καὶ ἤγαγεν αὐτὸν εἰς Βαβυλῶνα.

10. Καὶ εἶπαν· Ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀργύριον, καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας, καὶ λίβανον, καὶ ποιήσατε μάννα, καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ ἡμῶν,

11. καὶ προσεύξασθε περὶ τῆς ζωῆς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ εἰς ζωὴν Βαλτάσαρ υἱοῦ αὐτοῦ, ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.

BARUCH.

CAPUT I.

1. Et hæc verba libri, quæ scripsit Baruch filius Neriæ filii Maasææ filii Sedeciæ filii Asa liæ filii Chelciæ, in Babylone,

2. in anno quinto, in septima mensis, in tempore quo ceperant Chaldæi Jerusalem, et incenderant eam in igne.

3. Et legit Baruch verba libri hujus in auribus Jechoniæ filii Joacim regis Juda, et in auribus universi populi venientium ad librum,

4. et in auribus potentum et filiorum regum, et in auribus seniorum, et in auribus universi populi, a parvo usque ad magnum, omnium habitantium in Babylone super flumen Sud.

5. Et plorabant, et jejunabant, et orabant ante Dominum,

6. et collegerunt argentum, secundum quod cujusque potuit manus,

7. et miserunt in Jerusalem ad Joacim filium Chelciæ filii Salom, sacerdotem, et ad sacerdotes, et ad omnem populum qui sunt inventi cum eo in Jerusalem,

8. in accipiendo ipsum vasa domus Domini, quæ fuerant exportata e templo, ad reducendum in terram Juda, decima Sival, vasa argentea, quæ fecerat Sedecias filius Josiæ regis Juda,

9. postquam Nabuchodonosor rex Babylonis transtulit Jechoniam, et principes, et vinctos, et potentes, et populum terræ a Jerusalem, et duxit eum in Babylonem.

10. Et dixerunt : Ecce misimus ad vos argentum, et emite argento holocaustomata et pro peccato, et thus, et facite manna, et offerte super altare Domini Dei nostri,

11. et orate pro vita Nabuchodonosor regis Babylonis, et ad vitam Baltasar filii ejus, ut sint dies eorum sicut dies cœli super terram.

12. Καὶ δώσει Κύριος ἰσχὺν ἡμῖν, καὶ φωτίσει τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ζησόμεθα ὑπὸ τὴν σκιὰν Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, καὶ ὑπὸ τὴν σκιὰν Βαλτάσαρ υἱοῦ αὐτοῦ, καὶ δουλεύσομεν αὐτοῖς ἡμέρας πολλὰς, καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν.

13. Καὶ προσεύξασθε περὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι ἡμάρτομεν τῷ Κυρίῳ Θεῷ ἡμῶν, καὶ οὐκ ἀπέστρεψεν ὁ θυμὸς Κυρίου καὶ ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν ἕως τῆς ἡμέρας ταύτης.

14. Καὶ ἀναγνώσεσθε τὸ βιβλίον τοῦτο ὃ ἀπεστείλαμεν πρὸς ὑμᾶς, ἐξαγορεῦσαι ἐν οἴκῳ Κυρίου, ἐν ἡμέρᾳ ἑορτῆς καὶ ἐν ἡμέραις καιροῦ,

15. καὶ ἐρεῖτε· Τῷ Κυρίῳ Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ αἰσχύνη τῶν προσώπων, ὡς ἡ ἡμέρα αὕτη, ἀνθρώπῳ Ἰούδα, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ,

16. καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ τοῖς ἄρχουσιν ἡμῶν, καὶ τοῖς ἱερεῦσιν ἡμῶν, καὶ τοῖς προφήταις ἡμῶν, καὶ τοῖς πατράσιν ἡμῶν,

17. ὧν ἡμάρτομεν ἔναντι Κυρίου,

18. καὶ ἠπειθήσαμεν αὐτῷ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου Θεοῦ ἡμῶν, πορεύεσθαι τοῖς προστάγμασι Κυρίου, οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν,

19. ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγε Κύριος τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης ἤμεθα ἀπειθοῦντες πρὸς Κύριον Θεὸν ἡμῶν, καὶ ἐσχεδιάζομεν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ.

20. Καὶ ἐκολλήθη εἰς ἡμᾶς τὰ κακὰ καὶ ἡ ἀρὰ, ἣν συνέταξε Κύριος τῷ Μωϋσῇ παιδὶ αὐτοῦ ἐν ἡμέρᾳ ᾗ ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι, ὡς ἡ ἡμέρα αὕτη.

21. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, κατὰ πάντας τοὺς λόγους τῶν προφητῶν ὧν ἀπέστειλε πρὸς ἡμᾶς.

22. Καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ καρδίας αὐτοῦ τῆς πονηρᾶς, ἐργάζεσθαι θεοῖς ἑτέροις, ποιῆσαι τὰ κακὰ κατ' ὀφθαλμοὺς Κυρίου Θεοῦ ἡμῶν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Καὶ ἔστησε Κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς δικαστὰς ἡμῶν τοὺς δικάσαντας τὸν Ἰσραὴλ, καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν, καὶ ἐπὶ τοὺς ἄρχοντας ἡμῶν, καὶ ἐπὶ ἄνθρωπον Ἰσραὴλ καὶ Ἰούδα,

2. τοῦ ἀγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, ἃ οὐκ ἐποιήθη ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, καθὰ ἐποίησεν ἐν Ἱερουσαλὴμ, κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσῆ,

3. τοῦ φαγεῖν ἡμᾶς, ἄνθρωπον σάρκας υἱοῦ αὐτοῦ, καὶ ἄνθρωπον σάρκας θυγατρὸς αὐτοῦ.

4. Καὶ ἔδωκεν αὐτοὺς ὑποχειρίους πάσαις ταῖς βασιλείαις ταῖς κύκλῳ ἡμῶν, εἰς ὀνειδισμὸν καὶ ἄβατον ἐν πᾶσι τοῖς λαοῖς τοῖς κύκλῳ οὗ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖ.

5. Καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐπάνω, ὅτι ἡμάρτομεν Κυρίῳ Θεῷ ἡμῶν, πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ.

6. Τῷ Κυρίῳ Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ καὶ τοῖς πατράσιν ἡμῶν ἡ αἰσχύνη τῶν προσώπων, ὡς ἡ ἡμέρα αὕτη.

12. Et dabit Dominus fortitudinem nobis, et illuminabit oculos nostros, et vivemus sub umbra Nabuchodonosor regis Babylonis, et sub umbra Baltasar filii ejus, et serviemus eis dies multos, et inveniemus gratiam coram eis.

13. Et orate pro nobis ad Dominum Deum nostrum, quia peccavimus Domino Deo nostro, et non avertit se furor Domini et ira ejus a nobis usque ad diem hanc.

14. Et legetis librum hunc quem misimus ad vos, recitari in domo Domini, in die solemnitatis et in diebus temporis,

15. et dicetis : Domino Deo nostro justitia, nobis autem confusio facierum, sicut dies hæc, homini Juda, et inhabitantibus Jerusalem,

16. et regibus nostris, et principibus nostris, et sacerdotibus nostris, et prophetis nostris, et patribus nostris,

17. quæ peccavimus ante Dominum,

18. et non credidimus ei, et non audivimus vocem Domini Dei nostri, ut ambularemus in mandatis Domini, quæ dedit ante faciem nostram,

19. a die qua eduxit Dominus patres nostros de terra Ægypti, et usque ad diem hanc fuimus increduli erga Dominum Deum nostrum, et vagabamur ne audiremus vocem ipsius.

20. Et adhæserunt in nos mala et maledictio, quam constituit Dominus Moysi puero suo in die qua eduxit patres nostros de terra Ægypti, ad dandam nobis terram fluentem lac et mel, sicut dies hæc.

21. Et non audivimus vocem Domini Dei nostri, secundum omnia verba prophetarum quos misit ad nos.

22. Et abivimus unusquisque in sensu cordis nostri maligni, operari diis alienis, facere mala ante oculos Domini Dei nostri.

CAPUT II.

1. Et statuit Dominus verbum suum, quod locutus est super nos, et super judices nostros judicantes Israel, et super reges nostros, et super principes nostros, et super hominem Israel et Juda,

2. ut adduceret super nos mala magna, quæ non facta sunt sub omni cœlo, quemadmodum fecit in Jerusalem, secundum quæ scripta sunt in lege Moysi,

3. ut manducaremus nos, homo carnes filii sui, et homo carnes filiæ suæ.

4. Et dedit eos subjectos omnibus regnis quæ in circuitu nostro, in improperium et invium in omnibus populis in circuitu quo dispersit eos Dominus illuc.

5. Et facti sunt subtus et non supra, quia peccavimus Domino Deo nostro, non audiendo vocem ipsius.

6. Domino Deo nostro justitia, nobis autem et patribus nostris confusio facierum, sicut est dies hæc.

7. Ἃ ἐλάλησε Κύριος ἐφ' ἡμᾶς, πάντα τὰ κακὰ ταῦτα ἃ ἦλθεν ἐφ' ἡμᾶς.

8. Καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου Κυρίου, τοῦ ἀποστρέψαι ἕκαστον ἀπὸ τῶν νοημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς.

9. Καὶ ἐγρηγόρησε Κύριος ἐπὶ τοῖς κακοῖς, καὶ ἐπήγαγε Κύριος ἐφ' ἡμᾶς, ὅτι δίκαιος ὁ Κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ ἃ ἐνετείλατο ἡμῖν.

10. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ, πορεύεσθαι τοῖς προστάγμασι Κυρίου οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν.

11. Καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραὴλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ, καὶ ἐν σημείοις καὶ ἐν τέρασι καὶ ἐν δυνάμει μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη,

12. ἡμάρτομεν, ἠσεβήσαμεν, ἠδικήσαμεν, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσι τοῖς δικαιώμασί σου.

13. Ἀποστραφήτω ὁ θυμός σου ἀφ' ἡμῶν, ὅτι κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν οὗ διέσπειρας ἡμᾶς ἐκεῖ.

14. Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν καὶ τῆς δεήσεως ἡμῶν, καὶ ἐξελοῦ ἡμᾶς ἕνεκέν σου, καὶ δὸς ἡμῖν χάριν κατὰ πρόσωπον τῶν ἀποικισάντων ἡμᾶς,

15. ἵνα γνῷ πᾶσα ἡ γῆ ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ Ἰσραὴλ καὶ ἐπὶ τὸ γένος αὐτοῦ.

16. Κύριε, κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, καὶ ἐννόησον εἰς ἡμᾶς, καὶ κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἄκουσον.

17. Ἄνοιξον ὀφθαλμούς σου, καὶ ἴδε ὅτι οὐχ οἱ τεθνηκότες ἐν τῷ ᾅδῃ, ὧν ἐλήφθη τὸ πνεῦμα αὐτῶν ἀπὸ τῶν σπλάγχνων αὐτῶν, δώσουσι δόξαν καὶ δικαίωμα τῷ Κυρίῳ·

18. ἀλλὰ ἡ ψυχὴ ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν, καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες, καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσί σοι δόξαν καὶ δικαιοσύνην, Κύριε.

19. Ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν πατέρων ἡμῶν καὶ τῶν βασιλέων ἡμῶν ἡμεῖς καταβάλλομεν τὸν ἔλεον κατὰ πρόσωπόν σου, Κύριε ὁ Θεὸς ἡμῶν,

20. ὅτι ἐνῆκας τὸν θυμόν σου καὶ τὴν ὀργήν σου εἰς ἡμᾶς, καθάπερ ἐλάλησας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν.

21. Οὕτως εἶπε Κύριος· Κλίνατε τὸν ὦμον ὑμῶν ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος, καὶ καθίσατε ἐπὶ τὴν γῆν ἣν δέδωκα τοῖς πατράσιν ὑμῶν.

22. Καὶ ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς Κυρίου, ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος,

23. ἐκλείψειν ποιήσω ἐκ πόλεων Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλὴμ φωνὴν εὐφροσύνης καὶ φωνὴν χαρμοσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἄβατον ἀπὸ ἐνοικούντων.

24. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς σου, ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος. Καὶ ἔστησας τοὺς λόγους σου, οὓς ἐλάλησας ἐν χερσὶ τῶν παίδων σου τῶν προφητῶν, τοῦ ἐξενεχθῆναι τὰ ὀστᾶ βασιλέων ἡμῶν καὶ τὰ ὀστᾶ τῶν πατέρων ἡμῶν ἐκ τοῦ τόπου αὐτῶν.

25. Καὶ ἰδού ἐστιν ἐξεῤῥιμμένα τῷ καύματι τῆς ἡμέ-

7. Quæ locutus est Dominus super nos, omnia mala hæc quæ venerunt super nos,

8. Et non sumus deprecati faciem Domini, ut reverteretur unusquisque a cogitationibus cordis sui pessimi.

9. Et vigilavit Dominus in malis, et adduxit Dominus super nos, quia justus est Dominus in omnibus operibus suis quæ mandavit nobis.

10. Et non audivimus vocem ipsius, ut iremus in præceptis Domini quæ dedit ante faciem nostram.

11. Et nunc, Domine Deus Israel, qui eduxisti populum tuum de terra Ægypti in manu valida, et in signis et in prodigiis et in virtute magna et in brachio excelso, et fecisti tibi nomen, sicut est dies ista,

12. peccavimus, impie egimus, inique gessimus, Domine Deus noster, in omnibus justificationibus tuis.

13. Avertatur ira tua a nobis, quia derelicti sumus pauci inter gentes quo dispersisti nos illuc.

14. Exaudi, Domine, preces nostras et orationem nostram, et erue nos propter te, et da nobis gratiam ante faciem eorum qui nos abduxerunt,

15. ut sciat omnis terra quia tu es Dominus Deus noster, quia nomen tuum invocatum est super Israel et super genus ipsius.

16. Respice, Domine, de domo sancta tua, et intende in nos, et inclina, Domine, aurem tuam, et audi.

17. Aperi oculos tuos, et vide quia non mortui qui sunt in inferno, quorum assumptus est spiritus eorum a visceribus suis, dabunt honorem et justificationem Domino:

18. sed anima quæ tristatur in magnitudinem, qui incedit curvus et infirmus, et oculi deficientes, et anima esuriens dabunt tibi gloriam et justitiam, Domine.

19. Quia non super justificationibus patrum nostrorum et regum nostrorum nos fundimus misericordiam ante faciem tuam, Domine Deus noster,

20. quia immisisti furorem tuum et iram tuam in nos, sicut locutus es in manu puerorum tuorum prophetarum.

21. Sic dixit Dominus: Inclinate humerum vestrum et opera facite regi Babylonis, et sedete super terram quam dedi patribus vestris.

22. Quod si non audieritis vocem Domini, operari regi Babylonis,

23. deficere faciam de civitatibus Juda et a foris Jerusalem vocem lætitiæ et vocem gaudii, vocem sponsi et vocem sponsæ, et erit omnis terra sine vestigio ab inhabitantibus.

24. Et non audivimus vocem tuam, ut operaremur regi Babylonis. Et statuisti verba tua, quæ locutus es in manibus puerorum tuorum prophetarum, ut transferrentur ossa regum nostrorum et ossa patrum nostrorum de loco suo.

25. Et ecce projecta sunt æstui diei, et gelu noctis, et

ρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀπεθάνοσαν ἐν πόνοις πονηροῖς, ἐν λιμῷ καὶ ἐν ῥομφαίᾳ, καὶ ἐν ἀποστολῇ.

26. Καὶ ἔθηκας τὸν οἶκον οὗ ἐπεκλήθη τὸ ὄνομά σου ἐπ' αὐτῷ, ὡς ἡ ἡμέρα αὕτη, διὰ πονηρίαν οἴκου Ἰσραὴλ καὶ οἴκου Ἰούδα.

27. Καὶ ἐποίησας εἰς ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, κατὰ πᾶσαν ἐπιείκειάν σου καὶ κατὰ πάντα οἰκτιρμόν σου τὸν μέγαν,

28. καθὰ ἐλάλησας ἐν χειρὶ παιδός σου Μωϋσῆ, ἐν ἡμέρᾳ ἐντειλαμένου σου αὐτῷ γράψαι τὸν νόμον σου ἐναντίον υἱῶν Ἰσραὴλ, λέγων·

29. Ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, εἰ μὴν ἡ βόμβησις ἡ μεγάλη ἡ πολλὴ αὕτη ἀποστρέψει εἰς μικρὰν ἐν τοῖς ἔθνεσιν οὗ διασπερῶ αὐτοὺς ἐκεῖ·

30. ὅτι ἔγνων ὅτι οὐ μὴ ἀκούσωσί μου, ὅτι λαὸς σκληροτράχηλός ἐστι. Καὶ ἐπιστρέψουσιν ἐπὶ καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν,

31. καὶ γνώσονται ὅτι ἐγὼ Κύριος ὁ Θεὸς αὐτῶν. Καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα ἀκούοντα,

32. καὶ αἰνέσουσί με ἐν γῇ ἀποικισμοῦ αὐτῶν, καὶ μνησθήσονται τοῦ ὀνόματός μου,

33. καὶ ἀποστρέψουσιν ἀπὸ τοῦ νώτου αὐτῶν τοῦ σκληροῦ, καὶ ἀπὸ πονηρῶν προσταγμάτων αὐτῶν, ὅτι μνησθήσονται τῆς ὁδοῦ πατέρων αὐτῶν τῶν ἁμαρτόντων ἔναντι Κυρίου.

34. Καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ, καὶ κυριεύσουσιν αὐτῆς· καὶ πληθυνῶ αὐτοὺς, καὶ οὐ μὴ σμικρυνθῶσι.

35. Καὶ στήσω αὐτοῖς διαθήκην αἰώνιον, τοῦ εἶναί με αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ κινήσω ἔτι τὸν λαόν μου Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.

mortui sunt in doloribus pessimis, in fame et in gladio, et in emissione.

26. Et posuisti domum in qua invocatum est nomen tuum in ipsa, sicut hæc dies, propter iniquitatem domus Israel et domus Juda.

27. Et fecisti in nos, Domine Deus noster, secundum omnem bonitatem tuam et secundum omnem miserationem tuam illam magnam,

28. sicut locutus es in manu pueri tui Moysi, in die qua præcepisti ei scribere legem tuam coram filiis Israel, dicens :

29. Si non audieritis vocem meam, profecto turba magna multa hæc convertetur in parvam in gentibus quo dispergam eos illuc :

30. quia scio quod non audient me, quia populus est dura cervice. Et convertentur ad cor suum in terra transmigrationis suæ,

31. et scient quia ego sum Dominus Deus eorum. Et dabo eis cor et aures audientes,

32. et laudabunt me in terra captivitatis suæ, et memores erunt nominis mei,

33. et avertent se a dorso suo duro, et a malignis negotiis suis, quia reminiscentur viæ patrum suorum peccantium ante Dominum.

34. Et revocabo illos in terram quam juravi patribus eorum, Abraam et Isaac et Jacob, et dominabuntur ejus : et multiplicabo eos, et non minorabuntur.

35. Et statuam illis testamentum sempiternum, ut sim illis in Deum, et ipsi erunt mihi in populum. Et non movebo amplius populum meum Israel a terra quam dedi eis.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Κύριε παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ, ψυχὴ ἐν στενοῖς καὶ πνεῦμα ἀκηδιῶν κέκραγε πρὸς σέ.

2. Ἄκουσον, Κύριε, καὶ ἐλέησον, (*) ὅτι ἡμάρτομεν ἐναντίον σου.

3. Ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα.

4. Κύριε παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκότων Ἰσραὴλ, καὶ υἱῶν τῶν ἁμαρτανόντων ἐναντίον σου, οἳ οὐκ ἤκουσαν τῆς φωνῆς σου Θεοῦ αὐτῶν, καὶ ἐκολλήθη ἡμῖν τὰ κακά.

5. Μὴ μνησθῇς ἀδικιῶν πατέρων ἡμῶν, ἀλλὰ μνήσθητι χειρός σου καὶ ὀνόματός σου ἐν τῷ καιρῷ τούτῳ,

6. ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ αἰνέσομέν σε, Κύριε·

7. ὅτι διὰ τοῦτο ἔδωκας τὸν φόβον σου ἐπὶ καρδίαν ἡμῶν, καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου. Καὶ αἰνέσομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν, ὅτι ἀπεστρέψαμεν ἀπὸ καρδίας ἡμῶν πᾶσαν ἀδικίαν πατέρων ἡμῶν, τῶν ἡμαρτηκότων ἐναντίον σου.

8. Ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν, οὗ διέσπειρας ἡμᾶς ἐκεῖ εἰς ὀνειδισμὸν, καὶ εἰς ἀρὰν, καὶ εἰς

CAPUT III.

1. Domine omnipotens Deus Israel, anima in angustiis et spiritus anxiatus clamat ad te.

2. Audi, Domine, et miserere, quia peccavimus ante te.

3. Quia tu sedes in sempiternum, et nos perimus in ævum.

4. Domine omnipotens Deus Israel, audi nunc orationem mortuorum Israel, et filiorum eorum qui peccaverunt ante te, qui non audierunt vocem tuam Dei sui, et agglutinata sunt nobis mala.

5. Noli meminisse iniquitatum patrum nostrorum, sed memento manus tuæ et nominis tui in tempore isto,

6. quia tu es Dominus Deus noster, et laudabimus te, Domine :

7. quia propter hoc dedisti timorem tuum in cor nostrum, et ut invocemus nomen tuum. Et laudabimus te in captivitate nostra, quia avertimus a corde nostro omnem iniquitatem patrum nostrorum, qui peccaverunt ante te.

8. Ecce nos hodie in transmigratione nostra, quo nos dispersisti illuc in improperium, et in maledictum, et in

---

(*) 2... ὅτι Θεὸς ἐλεήμων εἶ· καὶ ἐλέησον, ὅτι.... (*Alex.*)

2.... quia Deus misericors es : et miserere, quia....

ὄφλησιν κατὰ πάσας τὰς ἀδικίας πατέρων ἡμῶν οἳ ἀπέστησαν ἀπὸ Κυρίου Θεοῦ ἡμῶν.

9. Ἄκουε, Ἰσραὴλ, ἐντολὰς ζωῆς· ἐνωτίσασθε, γνῶναι φρόνησιν.

10. Τί ἐστιν, Ἰσραὴλ, τί ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ;

11. Ἐπαλαιώθης ἐν γῇ ἀλλοτρίᾳ, συνεμιάνθης τοῖς νεκροῖς, προσελογίσθης μετὰ τῶν εἰς ᾅδου,

12. ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας.

13. Τῇ ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα.

14. Μάθε ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχὺς, ποῦ ἐστι σύνεσις, τοῦ γνῶναι ἅμα ποῦ ἐστι μακροβίωσις καὶ ζωὴ, ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ εἰρήνη.

15. Τίς εὗρε τὸν τόπον αὐτῆς, καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῆς;

16. Ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς,

17. οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, καὶ τὸ ἀργύριον θησαυρίζοντες, καὶ τὸ χρυσίον ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν;

18. Ὅτι οἱ τὸ ἀργύριον τεκταίνοντες καὶ μεριμνῶντες, καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν.

19. Ἠφανίσθησαν καὶ εἰς ᾅδου κατέβησαν, καὶ ἄλλοι ἀνέστησαν ἀντ' αὐτῶν.

20. Νεώτεροι εἶδον φῶς, καὶ κατῴκησαν ἐπὶ τῆς γῆς, ὁδὸν δὲ ἐπιστήμης οὐκ ἔγνωσαν,

21. οὐδὲ συνῆκαν τρίβους αὐτῆς, οὐδὲ ἀντελάβοντο αὐτῆς οἱ υἱοὶ αὐτῶν· ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόῤῥω ἐγενήθησαν,

22. οὐδὲ ἠκούσθη ἐν Χαναὰν, οὐδὲ ὤφθη ἐν Θαιμάν.

23. Οὔτε υἱοὶ Ἄγαρ οἱ ἐκζητοῦντες τὴν σύνεσιν οἱ ἐπὶ τῆς γῆς, οἱ ἔμποροι τῆς Μεῤῥὰν, καὶ Θαιμὰν, καὶ οἱ μυθολόγοι καὶ οἱ ἐκζητηταὶ τῆς συνέσεως, ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν, οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς.

24. Ὦ Ἰσραὴλ, ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ, καὶ ἐπιμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ.

25. Μέγας, καὶ οὐκ ἔχει τελευτὴν, ὑψηλὸς καὶ ἀμέτρητος.

26. Ἐκεῖ ἐγεννήθησαν οἱ γίγαντες οἱ ὀνομαστοὶ ἀπ' ἀρχῆς γενόμενοι εὐμεγέθεις, ἐπιστάμενοι πόλεμον.

27. Οὐ τούτους ἐξελέξατο ὁ Θεὸς, οὐδὲ ὁδὸν ἐπιστήμης ἔδωκεν αὐτοῖς,

28. καὶ ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν φρόνησιν, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν.

29. Τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ ἔλαβεν αὐτὴν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν;

30. Τίς διέβη πέραν τῆς θαλάσσης, καὶ εὗρεν αὐτὴν, καὶ οἴσει αὐτὴν χρυσίου ἐκλεκτοῦ;

31. Οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς.

32. Ἀλλ' ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτὴν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων.

33. Ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ.

34. Οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ εὐφράνθησαν·

35. ἐκάλεσεν αὐτοὺς, καὶ εἶπον· Πάρεσμεν· ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς.

debitum secundum omnes iniquitates patrum nostrorum qui discesserunt a Domino Deo nostro.

9. Audi, Israel, mandata vitæ : auribus percipite, ut sciatis prudentiam.

10. Quid est, Israel, quid quod in terra inimicorum es?

11. Inveterasti in terra aliena, coinquinatus es cum mortuis, deputatus es cum iis qui in infernum,

12. dereliquisti fontem sapientiæ.

13. In via Dei si ambulasses, habitasses utique in pace in sæculum.

14. Disce ubi sit prudentia, ubi sit virtus, ubi sit intellectus, ut scias simul ubi sit longiturnitas vitæ et victus, ubi sit lumen oculorum et pax.

15. Quis invenit locum ejus, et quis intravit in thesauros ejus?

16. Ubi sunt principes gentium, et qui dominantur bestiis quæ sunt super terram,

17. qui in avibus cœli ludunt, et argentum thesaurizant, et aurum in quo confidunt homines, et non est finis acquisitionis eorum?

18. Qui enim argentum fabricant et solliciti sunt, nec est inventio operum illorum.

19. Exterminati sunt et ad inferos descenderunt, et alii loco eorum exsurrexerunt.

20. Juvenes viderunt lumen, et habitaverunt super terram, viam autem scientiæ ignoraverunt,

21. neque intellexerunt semitas ejus, neque susceperunt eam filii eorum : a via ipsorum longe facti sunt,

22. neque audita est in Chanaan, neque visa est Theman.

23. Filii quoque Agar exquirentes prudentiam qui super terram, negotiatores Merran, et Theman, et fabulatores et exquisitores intelligentiæ, viam autem sapientiæ nescierunt, neque commemorati sunt semitas ejus.

24. O Israel, quam magna est domus Dei, et ingens locus possessionis ejus!

25. Magnus est, et non habet finem, excelsus et immensus.

26. Ibi fuerunt gigantes nominati qui ab initio fuerunt statura magna, scientes bellum.

27. Non hos elegit Deus, neque viam scientiæ dedit eis,

28. et perierunt eo quod non haberent prudentiam, perierunt propter temeritatem suam.

29. Quis ascendit in cœlum, et accepit eam, et deduxit eam de nubibus?

30. Quis transfretavit mare, et invenit illam, et attulit eam auro electo?

31. Non est qui sciat viam ejus, nec qui excogitet semitam ejus.

32. Sed qui scit universa novit eam, adinvenit eam intellectu suo : qui præparavit terram in æternum tempus, replevit eam jumentis quadrupedibus.

33. Qui mittit lumen et vadit, vocavit illud, et obedivit illi in tremore.

34. Stellæ autem fulserunt in custodiis suis, et lætatæ sunt :

35. vocavit eas, et dixerunt : Adsumus : luxerunt cum jucunditate ei qui fecit illas.

36. Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.

37. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼϐ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ.

38. Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Αὕτη ἡ βίϐλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα· πάντες οἱ κρατοῦντες αὐτὴν, εἰς ζωήν· οἱ δὲ καταλείποντες αὐτὴν ἀποθανοῦνται.

2. Ἐπιστρέφου, Ἰακὼϐ, καὶ ἐπιλαβοῦ αὐτῆς· διόδευσον πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς.

3. Μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι, ἔθνει ἀλλοτρίῳ.

4. Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ τοῦ Θεοῦ ἡμῖν γνωστά ἐστιν.

5. Θαρσεῖτε, λαός μου, μνημόσυνον Ἰσραήλ.

6. Ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν, διὰ τὸ παροργίσαι ὑμᾶς τὸν Θεὸν, παρεδόθητε τοῖς ὑπεναντίοις.

7. Παρωξύνατε γὰρ τὸν ποιήσαντα ὑμᾶς, θύσαντες δαιμονίοις, καὶ οὐ Θεῷ.

8. Ἐπελάθεσθε τὸν τροφεύσαντα ὑμᾶς, Θεὸν αἰώνιον, ἐλυπήσατε δὲ καὶ τὴν ἐκθρέψασαν ὑμᾶς Ἱερουσαλήμ.

9. Εἶδε γὰρ τὴν ἐπελθοῦσαν ὑμῖν ὀργὴν παρὰ τοῦ Θεοῦ, καὶ εἶπεν· Ἀκούσατε, αἱ πάροικοι Σιών· ἐπήγαγέ μοι ὁ Θεὸς πένθος μέγα.

10. Εἶδον γὰρ τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ τῶν θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ Αἰώνιος.

11. Ἔθρεψα γὰρ αὐτοὺς μετ' εὐφροσύνης, ἐξαπέστειλα δὲ μετὰ κλαυθμοῦ καὶ πένθους.

12. Μηδεὶς ἐπιχαιρέτω μοι τῇ χήρᾳ καὶ καταλειφθείσῃ ὑπὸ πολλῶν, ἠρημώθην διὰ τὰς ἁμαρτίας τῶν τέκνων μου, διότι ἐξέκλιναν ἐκ νόμου Θεοῦ,

13. καὶ δικαιώματα αὐτοῦ οὐκ ἔγνωσαν, οὐδὲ ἐπορεύθησαν ὁδοῖς ἐντολῶν Θεοῦ, οὐδὲ τρίϐους παιδείας ἐν δικαιοσύνῃ αὐτοῦ ἐπέϐησαν.

14. Ἐλθέτωσαν αἱ πάροικοι Σιὼν, καὶ μνήσθητε τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ Αἰώνιος.

15. Ἐπήγαγε γὰρ ἐπ' αὐτοὺς ἔθνος μακρόθεν, ἔθνος ἀναιδὲς καὶ ἀλλόγλωσσον· ὅτι οὐκ ᾐσχύνθησαν πρεσβύτην οὐδὲ παιδίον ἠλέησαν,

16. καὶ ἀπήγαγον τοὺς ἀγαπητοὺς τῆς χήρας, καὶ ἀπὸ τῶν θυγατέρων τὴν μόνην ἠρήμωσαν.

17. Ἐγὼ δὲ τί δυνατὴ βοηθῆσαι ὑμῖν;

18. Ὁ γὰρ ἐπαγαγὼν τὰ κακὰ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν.

19. Βαδίζετε, τέκνα, βαδίζετε, ἐγὼ γὰρ κατελείφθην ἔρημος.

20. Ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης, ἐνεδυσάμην δὲ σάκκον τῆς δεήσεώς μου· κεκράξομαι πρὸς τὸν αἰώνιον ἐν ταῖς ἡμέραις μου.

21. Θαῤῥεῖτε, τέκνα, βοήσατε πρὸς τὸν Θεὸν, καὶ ἐξελεῖται ὑμᾶς ἐκ δυναστείας, ἐκ χειρὸς ἐχθρῶν.

36. Hic est Deus noster, non æstimabitur alius ad eum.

37. Adinvenit omnem viam scientiæ, et dedit eam Jacob puero suo et Israel dilecto suo.

38. Post hoc in terra visus est, et cum hominibus conversatus est.

CAPUT IV.

1. Hic liber mandatorum Dei, et lex quæ est in æternum: Omnes qui tenent eam, ad vitam: qui autem dereliquerint eam morientur.

2. Convertere, Jacob, et apprehende eam: ambula per viam ad splendorem contra lumen ejus.

3. Ne tradas alteri gloriam tuam, et quæ conferunt tibi, genti alienæ.

4. Beati sumus, Israel, quia quæ Deo placent manifesta sunt nobis.

5. Confidite, populus meus, memoriale Israel.

6. Venumdati estis gentibus non in perditionem, eo quod ad iracundiam provocastis Deum, traditi estis adversariis.

7. Exacerbastis enim eum qui fecit vos, immolantes dæmoniis, et non Deo.

8. Obliti estis eum qui nutrivit vos, Deum æternum, contristastis autem et nutricem vestram Jerusalem.

9. Vidit enim supervenientem vobis iram a Deo, et dixit: Audite, confines Sion: adduxit mihi Deus luctum magnum.

10. Vidi enim captivitatem filiorum meorum et filiarum, quam superduxit illis Æternus.

11. Nutrivi enim illos cum jucunditate, dimisi autem cum fletu et luctu.

12. Nemo gaudeat super me viduam et relictam a multis, desolata sum propter peccata filiorum meorum, quia declinaverunt a lege Dei,

13. et justificationes ejus nescierunt, nec ambulaverunt per vias mandatorum Dei, neque per semitas disciplinæ in justitia ejus ascenderunt.

14. Veniant confines Sion, et memoremini captivitatem filiorum meorum et filiarum, quam superduxit illis Æternus.

15. Adduxit enim super illos gentem de longinquo, gentem impudentem et alterius linguæ: quia non reveriti sunt senem neque parvuli miserti sunt,

16. et abduxerunt dilectos viduæ, et a filiabus solam desolaverunt.

17. Ego autem quid possum adjuvare vos?

18. Qui enim adduxit mala eripiet vos de manu inimicorum vestrorum.

19. Ambulate, filii, ambulate, ego enim derelicta sum deserta.

20. Exui me stola pacis, indui autem me sacco obsecrationis meæ: clamabo ad Æternum in diebus meis.

21. Confidite, filii, clamate ad Deum, et eripiet vos de dominatione de manu inimicorum.

22. Ἐγὼ γὰρ ἤλπισα ἐπὶ τῷ Αἰωνίῳ τὴν σωτηρίαν ὑμῶν· καὶ ἦλθέ μοι χαρὰ παρὰ τοῦ ἁγίου ἐπὶ τῇ ἐλεημοσύνῃ, ᾗ ἥξει ὑμῖν ἐν τάχει παρὰ τοῦ Αἰωνίου σωτῆρος ἡμῶν.

23. Ἐξέπεμψα γὰρ ὑμᾶς μετὰ κλαυθμοῦ καὶ πένθους, ἀποδώσει δέ μοι ὁ Θεὸς ὑμᾶς μετὰ χαρμοσύνης καὶ εὐφροσύνης εἰς τὸν αἰῶνα.

24. Ὥσπερ γὰρ νῦν ἑωράκασιν αἱ πάροικοι Σιὼν τὴν ὑμετέραν αἰχμαλωσίαν, οὕτως ὄψονται ἐν τάχει τὴν παρὰ τοῦ Θεοῦ ὑμῶν σωτηρίαν, ἣ ἐπελεύσεται ὑμῖν μετὰ δόξης μεγάλης καὶ λαμπρότητος τοῦ Αἰωνίου.

25. Τέκνα, μακροθυμήσατε τὴν παρὰ τοῦ Θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν, κατεδίωξέ σε ὁ ἐχθρὸς, καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ.

26. Οἱ τρυφεροί μου ἐπορεύθησαν ὁδοὺς τραχείας, ἤρθησαν ὡς ποίμνιον ἡρπασμένον ὑπὸ ἐχθρῶν.

27. Θαρσήσατε, τέκνα, καὶ βοήσατε πρὸς τὸν Θεόν· ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία.

28. Ὥσπερ γὰρ ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ἀπὸ τοῦ Θεοῦ, δεκαπλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν.

29. Ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν.

30. Θάρσει, Ἱερουσαλὴμ, παρακαλέσει σε ὁ ὀνομάσας σε.

31. Δείλαιοι οἱ σὲ κακώσαντες καὶ ἐπιχαρέντες τῇ σῇ πτώσει,

32. δείλαιαι αἱ πόλεις αἷς ἐδούλευσαν τὰ τέκνα σου, δειλαία ἡ δεξαμένη τοὺς υἱούς σου.

33. Ὥσπερ γὰρ ἐχάρη ἐπὶ τῇ σῇ πτώσει καὶ εὐφράνθη ἐπὶ τῷ πτώματί σου, οὕτως λυπηθήσεται ἐπὶ τῇ ἑαυτῆς ἐρημίᾳ.

34. Καὶ περιελῶ αὐτῆς τὸ ἀγαλλίαμα τῆς πολυοχλίας, καὶ τὸ ἀγαυρίαμα αὐτῆς εἰς πένθος.

35. Πῦρ γὰρ ἐπελεύσεται αὐτῇ παρὰ τοῦ Αἰωνίου εἰς ἡμέρας μακρὰς, καὶ κατοικηθήσεται ὑπὸ δαιμονίων τὸν πλείονα χρόνον.

36. Περίβλεψον πρὸς ἀνατολὰς Ἱερουσαλὴμ, καὶ ἴδε τὴν εὐφροσύνην τὴν παρὰ τοῦ Θεοῦ σοι ἐρχομένην.

37. Ἰδοὺ ἔρχονται οἱ υἱοί σου οὓς ἐξαπέστειλας, ἔρχονται συνηγμένοι ἀπὸ ἀνατολῶν ἕως δυσμῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντες τῇ τοῦ Θεοῦ δόξῃ.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

1. Ἔκδυσαι, Ἱερουσαλὴμ, τὴν στολὴν τοῦ πένθους καὶ τῆς κακώσεώς σου, καὶ ἔνδυσαι τὴν εὐπρέπειαν τῆς παρὰ τοῦ Θεοῦ δόξης εἰς τὸν αἰῶνα.

2. Περιβαλοῦ τὴν διπλοΐδα τῆς παρὰ τοῦ Θεοῦ δικαιοσύνης, ἐπίθου τὴν μίτραν ἐπὶ τὴν κεφαλήν σου τῆς δόξης τοῦ Αἰωνίου.

3. Ὁ γὰρ Θεὸς δείξει τῇ ὑπ' οὐρανὸν πάσῃ τὴν σὴν λαμπρότητα.

4. Κληθήσεται γάρ σου τὸ ὄνομα παρὰ τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, εἰρήνη δικαιοσύνης καὶ δόξα θεοσεβείας.

5. Ἀνάστηθι, Ἱερουσαλὴμ, καὶ στῆθι ἐπὶ τοῦ ὑψηλοῦ, καὶ περίβλεψαι πρὸς ἀνατολὰς, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου ἀπὸ ἡλίου δυσμῶν ἕως ἀνατολῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντας τῇ τοῦ Θεοῦ μνείᾳ.

22. Ego enim speravi in Æterno salutem vestram : et venit mihi gaudium a sancto super misericordia, quæ veniet vobis velociter ab Æterno salvatore nostro.

23. Emisi enim vos cum ploratu et luctu, reddet autem vos mihi Deus cum gaudio et jucunditate in sempiternum.

24. Sicut enim nunc viderunt vicinæ Sion captivitatem vestram, sic videbunt in celeritate vestram quæ a Deo salutem, quæ superveniet vobis cum gloria magna et splendore ipsius Æterni.

25. Filii, patienter sustinete supervenientem vobis a Deo iram, persecutus est te inimicus, et videbis ipsius perditionem cito, et super cervices eorum ascendes.

26. Delicati mei ambulaverunt vias asperas, ablati sunt ut grex direptus ab inimicis.

27. Confidite, filii, et clamate ad Deum : erit enim vestri memoria ab eo qui induxit.

28. Sicut enim fuit sensus vester ut erraretis a Deo, decies tantum conversi quæretis eum.

29. Qui enim induxit vobis mala, inducet vobis sempiternam jucunditatem cum salute vestra.

30. Confide, Jerusalem, consolabitur te qui te nominavit.

31. Miseri qui te vexaverunt et qui gratulati sunt in ruina tua,

32. miseræ civitates quibus servierunt filii tui, misera quæ accepit filios tuos.

33. Sicut enim gavisa est in tua ruina et læta est in casu tuo, sic contristabitur in sua desolatione.

34. Et amputabo ab ea exsultationem multitudinis, et exsultatio ejus in luctum.

35. Ignis enim superveniet ei ab Æterno in dies longos, et habitabitur a dæmoniis multo tempore.

36. Circumspice Jerusalem ad orientem, et vide jucunditatem a Deo tibi venientem.

37. Ecce veniunt filii tui quos dimisisti, veniunt collecti ab oriente usque ad occidentem in verbo sancti, gaudentes Dei gloria.

CAPUT V.

1. Exue te, Jerusalem, stola luctus et vexationis tuæ, et indue te decore gloriæ quæ a Deo in sempiternum.

2. Circumda te diploide justitiæ quæ a Deo, impone mitram super caput tuum gloriæ Æterni.

3. Deus enim ostendet universæ quæ sub cœlo splendorem tuum.

4. Vocabitur enim nomen tuum a Deo in sempiternum, pax justitiæ et gloria pietatis.

5. Exsurge, Jerusalem, et sta in excelso, et circumspice ad orientem, et vide collectos filios tuos ab occasu solis usque ad ortum verbo sancti, gaudentes Dei memoria.

6. Ἐξῆλθον γὰρ παρὰ σοῦ πεζοὶ ἀγόμενοι ὑπὸ ἐχθρῶν, εἰςάγει δὲ αὐτοὺς ὁ Θεὸς πρὸς σὲ αἰρομένους μετὰ δόξης ὡς θρόνον βασιλείας.

7. Συνέταξε γὰρ ὁ Θεὸς ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλὸν, καὶ θῖνας ἀεννάους, καὶ φάραγγας πληροῦσθαι εἰς ὁμαλισμὸν τῆς γῆς, ἵνα βαδίσῃ Ἰσραὴλ ἀσφαλῶς τῇ τοῦ Θεοῦ δόξῃ.

8. Ἐσκίασαν δὲ καὶ οἱ δρυμοὶ καὶ πᾶν ξύλον εὐωδίας τῷ Ἰσραὴλ προστάγματι τοῦ Θεοῦ.

9. Ἡγήσεται γὰρ ὁ Θεὸς Ἰσραὴλ μετ' εὐφροσύνης τῷ φωτὶ τῆς δόξης αὐτοῦ σὺν ἐλεημοσύνῃ καὶ δικαιοσύνῃ τῇ παρ' αὐτοῦ.

6. Exierunt enim abs te pedibus ducti ab inimicis, adducit autem illos Deus ad te portatos cum gloria sicut solium regni.

7. Constituit enim Deus humiliare omnem montem excelsum, et cumulos perennes, et valles replere in æqualitatem terræ, ut ambulet Israel secure in Dei gloria.

8. Obumbraverunt autem etiam sylvæ et omne lignum suavitatis ipsi Israel mandato Dei.

9. Adducet enim Deus Israel cum jucunditate lumine majestatis suæ cum justitia et misericordia quæ ex ipso est.

ΘΡΗΝΟΙ

ΙΕΡΕΜΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Καὶ ἐγένετο, μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραὴλ, καὶ Ἱερουσαλὴμ ἐρημωθῆναι, ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ Ἱερουσαλὴμ, καὶ εἶπε·

ΑΛΕΦ. 1. Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν; Ἐγενήθη ὡς χήρα πεπληθυμμένη ἐν ἔθνεσιν, ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον.

ΒΗΘ. 2. Κλαίουσα ἔκλαυσεν ἐν νυκτὶ, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν· πάντες οἱ φιλοῦντες αὐτὴν ἠθέτησαν ἐν αὐτῇ, ἐγένοντο αὐτῇ εἰς ἐχθρούς.

ΓΙΜΕΛ. 3. Μετῳκίσθη Ἰουδαία ἀπὸ ταπεινώσεως αὐτῆς, καὶ ἀπὸ πλήθους δουλείας αὐτῆς· ἐκάθισεν ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν· πάντες οἱ καταδιώκοντες αὐτὴν κατέλαβον αὐτὴν ἀναμέσον τῶν θλιβόντων.

ΔΑΛΕΘ. 4. Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ· πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι, οἱ ἱερεῖς αὐτῆς ἀναστενάζουσιν, αἱ παρθένοι αὐτῆς ἀγόμεναι, καὶ αὐτὴ πικραινομένη ἐν ἑαυτῇ.

Η. 5. Ἐγένοντο οἱ θλίβοντες αὐτὴν εἰς κεφαλὴν, καὶ οἱ ἐχθροὶ αὐτῆς εὐθηνοῦσαν, ὅτι Κύριος ἐταπείνωσεν αὐτὴν ἐπὶ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῆς· τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ κατὰ πρόσωπον θλίβοντος.

ΟΥΑΥ. 6. Καὶ ἐξῄρθη ἐκ θυγατρὸς Σιὼν πᾶσα ἡ εὐπρέπεια αὐτῆς· ἐγένοντο οἱ ἄρχοντες αὐτῆς ὡς κριοὶ οὐχ εὑρίσκοντες νομὴν, καὶ ἐπορεύοντο ἐν οὐκ ἰσχύϊ κατὰ πρόσωπον διώκοντος.

ΖΑΙΝ. 7. Ἐμνήσθη Ἱερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς, καὶ ἀπωσμῶν αὐτῆς, πάντα τὰ ἐπιθυμήματα αὐτῆς ὅσα ἦν ἐξ ἡμερῶν ἀρχαίων, ἐν τῷ πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλίβοντος, καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ· ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐγέλασαν ἐπὶ κατοικεσίᾳ αὐτῆς.

LAMENTATIONES

JEREMIÆ.

CAPUT I.

Et factum est, postquam in captivitatem redactus est Israel, et Jerusalem deserta est, sedit Jeremias flens, et lamentatus est lamentationem hanc super Jerusalem, et dixit :

ALEPH. 1. Quomodo sedit sola civitas quæ repleta fuit populis? Facta est quasi vidua plena in gentibus, princeps in provinciis facta est in tributum.

BETH. 2. Plorans ploravit in nocte, et lacrymæ ejus in maxillis ejus, et non est qui consoletur eam ex omnibus diligentibus eam : omnes amici ejus spreverunt eam, facti sunt ei in inimicos.

GIMEL. 3. Migravit Judæa propter humiliationem suam, et propter multitudinem servitutis suæ : sedit in gentibus, non invenit requiem : omnes persecutores ejus apprehenderunt eam in medio tribulantium.

DALETH. 4. Viæ Sion lugent eo quod non sint qui veniant ad solemnitatem : omnes portæ ejus destructæ, sacerdotes ejus gemunt, virgines ejus abductæ, et ipsa oppressa amaritudine in se.

HE. 5. Facti sunt tribulantes eam in caput, et inimici ejus locupletati sunt, quia Dominus humiliavit eam propter multitudinem impietatum ejus : parvuli ejus abierunt in captivitatem ante faciem tribulantis.

VAU. 6. Et ablatus est a filia Sion omnis decor ejus : facti sunt principes ejus velut arietes non invenientes pascuam, et abibant absque fortitudine ante faciem persequentis.

ZAIN. 7. Recordata est Jerusalem dierum humiliationis suæ, et rebellionum suarum, omnium desiderabilium suorum quæ fuerunt a diebus antiquis, cum caderet populus ejus in manus tribulantis, et non esset qui auxiliaretur ei : videntes inimici ejus riserunt super habitatione ejus.

ΗΘ. 8. Ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλὴμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο. Πάντες οἱ δοξάζοντες αὐτὴν ἐταπείνωσαν αὐτήν· εἶδον γὰρ τὴν ἀσχημοσύνην αὐτῆς, καί γε αὐτὴ στενάζουσα καὶ ἀπεστράφη ὀπίσω.

ΤΗΘ. 9. Ἀκαθαρσία αὐτῆς πρὸ ποδῶν αὐτῆς, οὐκ ἐμνήσθη ἔσχατα αὐτῆς, καὶ κατεβίβασεν ὑπέρογκα· οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. Ἴδε, Κύριε, τὴν ταπείνωσίν μου, ὅτι ἐμεγαλύνθη ὁ ἐχθρός.

ΙΩΔ. 10. Χεῖρα αὐτοῦ ἐξεπέτασε θλίβων ἐπὶ πάντα τὰ ἐπιθυμήματα αὐτῆς, εἶδε γὰρ ἔθνη εἰςελθόντα εἰς τὸ ἁγίασμα αὐτῆς ἃ ἐνετείλω μὴ εἰςελθεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.

ΧΑΦ. 11. Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες, ζητοῦντες ἄρτον· ἔδωκαν τὰ ἐπιθυμήματα αὐτῆς ἐν βρώσει τοῦ ἐπιστρέψαι ψυχήν. Ἴδε, Κύριε, καὶ ἐπίβλεψον, ὅτι ἐγενήθη ἠτιμωμένη.

ΛΑΜΕΔ. 12. Οἱ πρὸς ὑμᾶς, πάντες παραπορευόμενοι ὁδὸν, ἐπιστρέψατε καὶ ἴδετε εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου, ὃ ἐγενήθη. Φθεγξάμενος ἐν ἐμοὶ ἐταπείνωσέ με Κύριος ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ.

ΜΗΜ. 13. Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγαγεν αὐτό. Διεπέτασε δίκτυον τοῖς ποσί μου, ἀπέστρεψέ με εἰς τὰ ὀπίσω, ἔδωκέ με ἠφανισμένην, ὅλην τὴν ἡμέραν ὠδυνωμένην.

ΝΟΥΝ. 14. Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου, ἐν χερσί μου συνεπλάκησαν· ἀνέβησαν ἐπὶ τὸν τράχηλόν μου, ἠσθένησεν ἡ ἰσχύς μου, ὅτι ἔδωκε Κύριος ἐν χερσί μου ὀδύνας, οὐ δυνήσομαι στῆναι.

ΣΑΜΕΧ. 15. Ἐξῆρε πάντας τοὺς ἰσχυρούς μου ὁ Κύριος ἐκ μέσου μου, ἐκάλεσεν ἐπ' ἐμὲ καιρὸν τοῦ συντρίψαι ἐκλεκτούς μου. Ληνὸν ἐπάτησε Κύριος παρθένῳ θυγατρὶ Ἰούδα, ἐπὶ τούτοις ἐγὼ κλαίω.

ΑΙΝ. 16. Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ, ὅτι ἐμακρύνθη ἀπ' ἐμοῦ ὁ παρακαλῶν με, ὁ ἐπιστρέφων ψυχήν μου· ἐγένοντο οἱ υἱοί μου ἠφανισμένοι, ὅτι ἐκραταιώθη ὁ ἐχθρός.

ΦΗ. 17. Διεπέτασε Σιὼν χεῖρα αὐτῆς, οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. Ἐνετείλατο Κύριος τῷ Ἰακὼβ, κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν· ἐγενήθη Ἱερουσαλὴμ εἰς ἀποκαθημένην ἀναμέσον αὐτῶν.

ΤΣΑΔΗ. 18. Δίκαιός ἐστι Κύριος, ὅτι στόμα αὐτοῦ παρεπίκρανα. Ἀκούσατε δὴ, πάντες οἱ λαοὶ, καὶ ἴδετε τὸ ἄλγος μου. Παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.

ΚΩΦ. 19. Ἐκάλεσα τοὺς ἐραστάς μου, αὐτοὶ δὲ παρελογίσαντό με. Οἱ ἱερεῖς μου καὶ οἱ πρεσβύτεροί μου ἐν τῇ πόλει ἐξέλιπον, ὅτι ἐζήτησαν βρῶσιν αὐτοῖς ἵνα ἐπιστρέψωσι ψυχὰς αὐτῶν, καὶ οὐχ εὗρον.

ΡΗΧΣ. 20. Ἴδε, Κύριε, ὅτι θλίβομαι, ἡ κοιλία μου ἐταράχθη, καὶ ἡ καρδία μου ἐστράφη ἐν ἐμοὶ, ὅτι παραπικραίνουσα παρεπικράνθην· ἔξωθεν ἠτέκνωσέ με μάχαιρα, ὥςπερ θάνατος ἐν οἴκῳ.

ΧΣΕΝ. 21. Ἀκούσατε δὴ, ὅτι στενάζω ἐγὼ, οὐκ ἔστιν ὁ παρακαλῶν με. Πάντες οἱ ἐχθροί μου ἤκουσαν τὰ κακά μου, καὶ ἐχάρησαν, ὅτι σὺ ἐποίησας, ἐπήγαγες ἡμέραν, ἐκάλεσας καιρὸν, ἐγένοντο ὅμοιοι ἐμοί.

ΘΑΥ. 22. Εἰςέλθοι πᾶσα ἡ κακία αὐτῶν κατὰ πρόςωπόν σου, καὶ ἐπιφύλλισον αὐτοῖς, ὃν τρόπον ἐποίησαν ἐπιφυλλίδα περὶ πάντων τῶν ἁμαρτημάτων μου· ὅτι πολλοὶ οἱ στεναγμοί μου, καὶ ἡ καρδία μου λυπεῖται.

HETH. 8. Peccatum peccavit Jerusalem, propterea in fluctuationem facta est. Omnes qui glorificabant eam humiliaverunt illam : viderunt enim ignominiam ejus, atque ipsa gemens et conversa est retrorsum.

TETH. 9. Immunditia ejus ante pedes ejus, non est recordata novissimorum suorum, et fecit se descendere immense : non est qui consoletur eam. Vide, Domine, humiliationem meam, quoniam magnificatus est inimicus.

IOD. 10. Manum suam extendit tribulans ad omnia desiderabilia ejus, vidit enim gentes ingressas in sanctuarium ejus quas præceperas non intrare eas in ecclesiam tuam.

CHAPH. 11. Omnis populus ejus gementes, quærentes panem : dederunt desiderabilia ejus in cibum ad revocandam animam. Vide, Domine, et considera, quoniam facta est vilis.

LAMED. 12. Qui ad vos, omnes qui transitis per viam, convertite vos et videte si est dolor juxta dolorem meum, qui factus est. Locutus in me humiliavit me Dominus in die iræ furoris sui.

MEM. 13. De excelso suo misit ignem, in ossa mea deduxit eum. Expandit rete pedibus meis, convertit me retrorsum, dedit me desolatam, tota die mœrore confectam.

NUN. 14. Vigilavit super impietates meas, in manibus meis complicatæ sunt : ascenderunt super collum meum, infirmata est virtus mea, quia dedit Dominus in manibus meis dolores, non potero stare.

SAMECH. 15. Abstulit omnes fortes meos Dominus de medio mei, vocavit super me tempus conterendi electos meos. Torcular calcavit Dominus virgini filiæ Juda, super his ego ploro.

AIN. 16. Oculus meus deduxit aquam, quia longe factus est a me qui consoletur me, qui reducat animam meam : facti sunt filii mei perditi, quoniam invaluit inimicus.

PHE. 17. Expandit Sion manum suam, non est qui consoletur eam. Mandavit Dominus ipsi Jacob, in circuitu ejus tribulantes eum : facta est Jerusalem in pollutam menstruis inter eos.

TSADE. 18. Justus est Dominus, quia os ejus ad iracundiam provocavi. Audite, obsecro, universi populi, et videte dolorem meum. Virgines meæ et juvenes mei abierunt in captivitatem.

COPH. 19. Vocavi amatores meos, ipsi autem deceperunt me. Sacerdotes mei et seniores mei in urbe defecerunt, quia quæsierunt cibum sibi ut refocillarent animas suas, et non invenerunt.

RECHS. 20. Vide, Domine, quoniam tribulor, conturbatus est venter meus, et cor meum versum est in me, quoniam exacerbans exacerbata sum : foris orbavit me filiis gladius, sicut mors in domo.

CHSEN. 21. Audite obsecro, quia ingemisco ego, non est qui consoletur me. Omnes inimici mei audierunt mala mea, et lætati sunt, quoniam tu fecisti, adduxisti diem, vocasti tempus, facti sunt similes mihi.

THAU. 22. Ingrediatur omnis malitia eorum ante faciem tuam, et vindemia eos, sicut vindemiam fecerunt pro omnibus peccatis meis : multi enim gemitus mei, et cor meum

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΑΛΕΦ. 1. Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ Κύριος τὴν θυγατέρα Σιὼν, κατέῤῥιψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ἰσραὴλ, καὶ οὐκ ἐμνήσθη ὑποποδίου ποδῶν αὐτοῦ;

ΒΗΘ. 2. Ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ κατεπόντισε Κύριος, οὐ φεισάμενος· πάντα τὰ ὡραῖα Ἰακὼβ καθεῖλεν ἐν θυμῷ αὐτοῦ, τὰ ὀχυρώματα τῆς θυγατρὸς Ἰούδα ἐκόλλησεν εἰς τὴν γῆν, ἐβεβήλωσε βασιλέα αὐτῆς καὶ ἄρχοντας αὐτῆς.

ΓΙΜΕΛ. 3. Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας Ἰσραὴλ, ἀπέστρεψεν ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προςώπου ἐχθροῦ, καὶ ἀνῆψεν ἐν Ἰακὼβ ὡς πῦρ φλόγα, καὶ κατέφαγε πάντα τὰ κύκλῳ.

ΔΑΛΕΘ. 4. Ἐνέτεινε τόξον αὐτοῦ ὡς ἐχθρὸς ὑπεναντίος, ἐστερέωσε δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος, καὶ ἀπέκτεινε πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς Σιὼν, ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.

Η. 5. Ἐγενήθη Κύριος ὡς ἐχθρὸς, κατεπόντισεν Ἰσραὴλ, κατεπόντισε τὰς βάρεις αὐτῆς, διέφθειρε τὰ ὀχυρώματα αὐτοῦ, καὶ ἐπλήθυνε τῇ θυγατρὶ Ἰούδα ταπεινουμένην καὶ τεταπεινωμένην.

ΟΥΑΥ. 6. Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ, διέφθειρεν ἑορτὴν αὐτοῦ. Ἐπελάθετο Κύριος ἃ ἐποίησεν ἐν Σιὼν ἑορτῆς καὶ σαββάτου, καὶ παρώξυνεν ἐμβριμήματι ὀργῆς αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ ἄρχοντα.

ΖΑΙΝ. 7. Ἀπώσατο Κύριος θυσιαστήριον αὐτοῦ, ἀπετίναξεν ἁγίασμα αὐτοῦ, συνέτριψεν ἐν χειρὶ ἐχθροῦ τεῖχος βάρεων αὐτῆς· φωνὴν ἔδωκαν ἐν οἴκῳ Κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

ΗΘ. 8. Καὶ ἐπέστρεψε διαφθεῖραι τεῖχος θυγατρὸς Σιὼν, ἐξέτεινε μέτρον, οὐκ ἀπέστρεψε χεῖρα αὐτοῦ ἀπὸ καταπατήματος· καὶ ἐπένθησε τὸ προτείχισμα, καὶ τεῖχος ὁμοθυμαδὸν ἠσθένησε.

ΤΗΘ. 9. Ἐνεπάγησαν εἰς γῆν πύλαι αὐτῆς, ἀπώλεσε καὶ συνέτριψε μοχλοὺς αὐτῆς, βασιλέα αὐτῆς καὶ ἄρχοντα αὐτῆς ἐν τοῖς ἔθνεσιν. Οὐκ ἔστι νόμος, καί γε προφῆται αὐτῆς οὐκ εἶδον ὅρασιν παρὰ Κυρίου.

ΙΩΔ. 10. Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώπησαν πρεσβύτεροι θυγατρὸς Σιὼν, ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, περιεζώσαντο σάκκους, κατήγαγον εἰς γῆν ἀρχηγοὺς παρθένους ἐν Ἱερουσαλήμ.

ΧΑΦ. 11. Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου, ἐταράχθη ἡ καρδία μου, ἐξεχύθη εἰς τὴν γῆν ἡ δόξα μου, ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς λαοῦ μου, ἐν τῷ ἐκλείπειν νήπιον καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.

ΛΑΜΕΔ. 12. Ταῖς μητράσιν αὐτῶν εἶπαν· Ποῦ σῖτος καὶ οἶνος; ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡς τραυματίας ἐν πλατείαις πόλεως, ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.

ΜΗΜ. 13. Τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι, θύγατερ Ἱερουσαλήμ; Τίς σώσει καὶ παρακαλέσει σε, παρθένος θύγατερ Σιών; Ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, τίς ἰάσεταί σε;

ΝΟΥΝ. 14. Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην, καὶ οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου, τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν σου, καὶ εἴδοσάν σοι λήμματα μάταια καὶ ἐξώσματα.

CAPUT II.

ALEPH. 1. Quomodo obtexit caligine in ira sua Dominus filiam Sion, projecit de cœlo in terram gloriationem Israel, et non est recordatus scabelli pedum suorum?

BETH. 2. In die iræ suæ absorbuit Dominus, non parcens : omnia speciosa Jacob destruxit in furore suo, munitiones filiæ Juda adhærere fecit ad terram, polluit regem ejus et principes ejus.

GIMEL. 3. Confregit in ira furoris sui omne cornu Israel, avertit retrorsum dexteram suam à facie inimici, et accendit in Jacob quasi ignem flammam, et devoravit omnia quæ in gyro.

DALETH. 4. Tetendit arcum suum quasi inimicus adversarius, firmavit dexteram suam quasi adversarius, et occidit omnia desiderabilia oculorum meorum in tabernaculo filiæ Sion, effudit quasi ignem indignationem suam.

HE. 5. Factus est Dominus velut inimicus, absorbuit Israel, absorbuit palatia ejus, dissipavit munitiones ejus, et multiplicavit filiæ Juda humiliatam et humiliatam.

VAU. 6. Et fecit avolare quasi vitem tabernaculum suum, corrupit festivitatem suam. Oblitus est Dominus quæ fecit in Sion festivitatis et sabbati, et irritavit fremitu iræ suæ regem et sacerdotem et principem.

ZAIN. 7. Repulit Dominus altare suum, excussit sanctificationem suam, contrivit in manu inimici murum turrium ejus : vocem dederunt in domo Domini sicut in die festivitatis.

HETH. 8. Et convertit se ad dissipandum murum filiæ Sion, tetendit mensuram, non avertit manum suam a conculcatione : luxitque antemurale, et murus pariter infirmatus est.

TETH. 9. Defixæ sunt in terram portæ ejus, perdidit et contrivit vectes ejus, regem ejus et principem ejus in gentibus. Non est lex, et etiam prophetæ ejus non viderunt visionem a Domino.

IOD. 10. Sederunt in terra, conticuerunt senes filiæ Sion, imposuerunt cinerem super caput suum, accincti sunt ciliciis, deduxerunt in terram principes virgines in Jerusalem.

CHAPH. 11. Defecerunt in lacrymis oculi mei, conturbatum est cor meum, effusa est in terram gloria mea, super contritionem filiæ populi mei, cum deficeret parvulus et lactens in plateis civitatis.

LAMED. 12. Matribus suis dixerunt : Ubi est triticum et vinum? cum dissolverentur quasi vulnerati in plateis civitatis, cum effunderent animas suas in sinum matrum suarum.

MEM. 13. Quid testificabor tibi aut quid assimilabo tibi, filia Jerusalem? Quis salvabit et consolabitur te, virgo filia Sion? Quoniam magnificatum est poculum contritionis tuæ, quis medebitur tui?

NUN. 14. Prophetæ tui viderunt tibi vana et stultitiam, et non revelarunt super iniquitatem tuam, ad reducendam captivitatem tuam, et viderunt tibi assumptiones falsas et ejectiones.

ΣΑΜΕΧ. 15. Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδὸν, ἐσύρισαν καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν θυγατέρα Ἱερουσαλήμ· Αὕτη ἡ πόλις, ἐροῦσι, στέφανος εὐφροσύνης πάσης τῆς γῆς;

ΑΙΝ. 16. Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου, ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπαν· Κατεπίομεν αὐτήν· πλὴν αὕτη ἡ ἡμέρα ἣν προσεδοκῶμεν· εὕρομεν αὐτὴν, εἴδομεν.

ΦΗ. 17. Ἐποίησε Κύριος ἃ ἐνεθυμήθη, συνετέλεσε ῥῆμα αὐτοῦ, ἃ ἐνετείλατο ἐξ ἡμερῶν ἀρχαίων· καθεῖλε, καὶ οὐκ ἐφείσατο, καὶ ηὔφρανεν ἐπὶ σὲ ἐχθρὸν, ὕψωσε κέρας θλίβοντός σε.

ΤΣΑΔΗ. 18. Ἐβόησε καρδία αὐτῶν πρὸς Κύριον· Τείχη Σιὼν, καταγάγετε ὡς χειμάῤῥους δάκρυα ἡμέρας καὶ νυκτός· μὴ δῷς ἔκνηψιν σεαυτῇ, μὴ σιωπήσαιτο θυγάτηρ ὀφθαλμῶν σου.

ΚΩΦ. 19. Ἀνάστα, ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου, ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου Κυρίου, ἆρον πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῆς νηπίων σου, τῶν ἐκλυομένων λιμῷ ἐπ' ἀρχῆς πασῶν ἐξόδων.

ΡΗΧΣ. 20. Ἴδε, Κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως. Εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν; Ἐπιφυλλίδα ἐποίησε μάγειρος, φονευθήσονται νήπια θηλάζοντα μαστούς; Ἀποκτενεῖς ἐν ἁγιάσματι Κυρίου ἱερέα καὶ προφήτην;

ΧΣΕΝ. 21. Ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης, παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ· ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας, οὐκ ἐφείσω.

ΘΑΥ. 22. Ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν, καὶ οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς Κυρίου ἀνασωζόμενος καὶ καταλελειμμένος, ὡς ἐπεκράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΑΛΕΦ. 1. Ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν, ἐν ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ' ἐμέ.

2. Παρέλαβέ με καὶ ἀπήγαγέ με εἰς σκότος, καὶ οὐ φῶς.

3. Πλὴν ἐν ἐμοὶ ἐπέστρεψε χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν,

4. ἐπαλαίωσε σάρκα μου καὶ δέρμα μου, ὀστέα μου συνέτριψεν.

ΒΗΘ. 5. Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ ἐκύκλωσε κεφαλήν μου, καὶ ἐμόχθησεν·

6. ἐν σκοτεινοῖς ἐκάθισέ με ὡς νεκροὺς αἰῶνος.

7. Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνε χαλκόν μου.

ΓΙΜΕΛ. 8. Καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξε προσευχήν μου.

ΔΑΛΕΘ. 9. Ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξε τρίβους μου, ἐτάραξεν.

10. Ἄρκος ἐνεδρεύουσα, αὐτός μοι λέων ἐν κρυφαίοις,

11. κατεδίωξεν ἀφεστηκότα, καὶ κατέπαυσέ με, ἔθετό με ἠφανισμένην.

Η. 12. Ἐνέτεινε τόξον αὐτοῦ, καὶ ἐστήλωσέ με ὡς σκοπὸν εἰς βέλος·

SAMECH. 15. Plauserunt super te manibus omnes transeuntes per viam, sibilaverunt et moverunt caput suum super filiam Jerusalem. Hæccine est urbs, dicent, corona lætitiæ universæ terræ?

AIN. 16. Aperuerunt super te os suum omnes inimici tui, sibilaverunt et fremuerunt dentibus, et dixerunt · Absorbuimus eam : profecto hæc est dies quam exspectabamus : invenimus eam, vidimus.

PHE. 17. Fecit Dominus quæ cogitavit, complevit sermonem suum, quæ præceperat a diebus antiquis : destruxit, et non pepercit, et lætificavit super te inimicum, exaltavit cornu tribulantis te.

TSADE. 18. Clamavit cor eorum ad Dominum : Muri Sion, deducite quasi torrentes lacrymas per diem et noctem : non des requiem tibi, non taceat filia oculorum tuorum.

COPH. 19. Surge, exsulta in nocte in principiis custodiæ tuæ, effunde sicut aquam cor tuum ante faciem Domini, leva ad eum manus tuas pro anima parvulorum tuorum, qui dissolvuntur fame in principio omnium compitorum.

RECHS. 20. Vide, Domine, et considera quem vindemiaris ita. Si comedent mulieres fructum ventris sui? Vindemiam fecit coquus, occidentur parvuli sugentes ubera? Occides in sanctuario Domini sacerdotem et prophetam?

CHSEN. 21. Dormierunt in via parvulus et senex, virgines meæ et juvenes mei abierunt in captivitatem : in gladio et in fame occidisti, in die iræ tuæ mactasti, non pepercisti.

THAU. 22. Vocavit diem solemnitatis parœcias meas de circuitu, et non fuerunt in die iræ Domini qui effugeret salvus et qui relinqueretur, sicut invalescere feci et multiplicavi inimicos meos omnes.

CAPUT III.

ALEPH. 1. Ego vir videns paupertatem, in virga furoris ejus super me.

2. Minavit me et abduxit me in tenebras, et non lucem.

3. Tantum in me convertit manum suam tota die,

4. vetustam fecit carnem meam et pellem meam, ossa mea contrivit.

BETH. 5. Ædificavit contra me, et circumdedit caput meum, et laborare fecit :

6. in tenebrosis collocavit me quasi mortuos sæculi.

7. Ædificavit contra me, et non egrediar, aggravavit æs meum.

GIMEL. 8. Etiam vociferabor et clamabo, obstruxit orationem meam.

DALETH. 9. Circumædificavit vias meas, obstruxit semitas meas, conturbavit.

10. Ursus insidians, ipse mihi leo in absconditis,

11. persecutus est recedentem, et cessare me fecit, posuit me desolatam.

HE. 12. Tetendit arcum suum, et statuit me quasi signum ad sagittam :

13. εἰςήγαγεν ἐν τοῖς νεφροῖς μου ἰοὺς φαρέτρας αὐτοῦ.

14. Ἐγενήθην γέλως παντὶ λαῷ μου, ψαλμὸς αὐτῶν ὅλην τὴν ἡμέραν.

ΟΥΑΥ. 15. Ἐχόρτασέ με πικρίας, ἐμέθυσέ με χολῆς,

16. καὶ ἐξέβαλε ψήφῳ ὀδόντας μου· ἐψώμισέ με σποδὸν,

17. καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου, ἐπελαθόμην ἀγαθά·

18. καὶ ἀπώλετο νῖκός μου καὶ ἡ ἐλπίς μου ἀπὸ Κυρίου.

ΖΑΙΝ. 19. Ἐμνήσθην ἀπὸ πτωχείας μου, καὶ ἐκ διωγμοῦ πικρία, καὶ χολή μου

20. μνησθήσεται, καὶ καταδολεσχήσει ἐπ' ἐμὲ ἡ ψυχή μου.

21. Ταύτην τάξω εἰς τὴν καρδίαν μου, διὰ τοῦτο ὑπομενῶ.

ΗΘ. 22. Τὰ ἐλέη Κυρίου, ὅτι οὐκ ἐξέλιπέ με, ὅτι οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ. Μῆνας εἰς τὰς πρωΐας ἐλέησον, Κύριε, ὅτι οὐ συνετελέσθημεν, ὅτι οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ.

23. Καινὰ εἰς τὰς πρωΐας, πολλὴ ἡ πίστις σου.

24. Μερίς μου Κύριος, εἶπεν ἡ ψυχή μου· διὰ τοῦτο ὑπομενῶ αὐτῷ.

ΤΗΘ. 25. Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν,

26. ψυχῇ ἣ ζητήσει αὐτὸν, ἀγαθὸν· καὶ ὑπομενεῖ, καὶ ἡσυχάσει εἰς τὸ σωτήριον Κυρίου.

ΤΗΘ. 27. Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ,

28. καθήσεται κατὰ μόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ. (*)

ΙΩΔ. 30. Δώσει τῷ παίοντι αὐτὸν σιαγόνα, χορτασθήσεται ὀνειδισμῶν,

31. ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται Κύριος.

ΧΑΦ. 32. Ὅτι ὁ ταπεινώσας οἰκτηρήσει, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ,

33. οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ, καὶ ἐταπείνωσεν υἱοὺς ἀνδρός.

ΛΑΜΕΔ. 34. Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμίους γῆς,

35. τοῦ ἐκκλῖναι κρίσιν ἀνδρὸς κατέναντι προσώπου Ὑψίστου,

36. καταδικάσαι ἄνθρωπον ἐν τῷ κρίνεσθαι αὐτὸν, Κύριος οὐκ εἶπε.

37. Τίς οὕτως εἶπε, καὶ ἐγενήθη; Κύριος οὐκ ἐνετείλατο.

38. Ἐκ στόματος Ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.

ΜΗΜ. 39. Τί γογγύσει ἄνθρωπος ζῶν, ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ;

ΝΟΥΝ. 40. Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ ἠτάσθη, καὶ ἐπιστρέψομεν ἕως Κυρίου.

41. Ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν πρὸς Ὑψηλὸν ἐν οὐρανῷ.

42. Ἡμαρτήσαμεν, ἠσεβήσαμεν, καὶ οὐχ ἱλάσθης.

ΣΑΜΕΧ. 43. Ἐπεσκέπασας ἐν θυμῷ, καὶ ἀπεδίωξας ἡμᾶς· ἀπέκτεινας, οὐκ ἐφείσω.

(*) 29. Θήσει ἐν κονιορτῷ τὸ στόμα αὐτοῦ, εἴποτε ἡ ἐλπίς. (*Compl.*)

13. immisit in renes meos sagittas pharetræ suæ.

14. Factus sum risus omni populo meo, psalmus eorum tota die.

VAU. 15. Saturavit me amaritudine, inebriavit me felle,

16. et ejecit calculo dentes meos : cibavit me cinere,

17. et repulit a pace animam meam, oblitus sum bonorum :

18. et periit victoria mea et spes mea a Domino.

ZAIN. 19. Recordatus sum a paupertate mea, et de persecutione amaritudo, et fel meum

20. in memoria erit, et recolet super me anima mea.

21. Hanc ponam in cor meum, propter hoc sustinebo.

HETH. 22. Misericordiæ Domini, quia non fecit deficere me, quia non sunt consumptæ miserationes ejus. Menses in matutinis miserere, Domine, quia consumpti non sumus, quia non sunt consummatæ miserationes ejus.

23. Novæ in matutinis, multa est fides tua.

24. Pars mea Dominus, dixit anima mea : propterea expectabo eum.

TETH. 25. Bonus est Dominus sustinentibus eum,

26. anima quæ quæret illum, bonum : et sustinebit, et silebit in salutare Domini.

TETH. 27. Bonum est viro cum portaverit jugum in juventute sua,

28. sedebit singulariter, et silebit, quia tulit super se.

IOD. 30. Dabit percutienti se maxillam, saturabitur opprobriis,

31. quia non repellet in sempiternum Dominus.

CHAPH. 32. Quoniam qui humiliavit miserebitur, et secundum multitudinem misericordiæ suæ,

33. non reprobavit ex corde suo, et humiliavit filios viri.

LAMED. 34. Ad humiliandum sub pedibus ejus omnes vinctos terræ,

35. ad declinare faciendum judicium viri coram facie Altissimi,

36. ad condemnandum hominem cum ipse judicatur, Dominus non dixit.

37. Quis ita dixit, et factum est? Dominus non mandavit.

38. Ex ore Altissimi non egredientur mala et bonum.

MEM. 39. Quid murmurabit homo vivens, vir pro peccatis suis?

NUN. 40. Investigata est via nostra et examinata, et revertemur usque ad Dominum.

41. Levemus corda nostra cum manibus ad Excelsum in cœlo.

42. Peccavimus, impie egimus, et non es placatus.

SAMECH. 43. Operuisti in furore, et persecutus es nos : occidisti, non pepercisti.

---

29. Ponet in pulvere os suum, si forte sit spes.

44. Ἐπεσκέπασας νεφέλην σεαυτῷ ἕνεκεν προσευχῆς, καμμύσαι με
45. καὶ ἀπωσθῆναι,
ΑΙΝ. Ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν,
46. διήνοιξαν ἐφ' ἡμᾶς τὸ στόμα αὐτῶν πάντες οἱ ἐχθροὶ ἡμῶν·
47. φόβος καὶ θυμὸς ἐγενήθη ἡμῖν, ἔπαρσις καὶ συντριβή.
48. Ἀφέσεις ὑδάτων κατάξει ὁ ὀφθαλμός μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου.
ΦΗ. 49. Ὁ ὀφθαλμός μου κατεπόθη, καὶ οὐ σιγήσομαι, τοῦ μὴ εἶναι ἔκνηψιν,
50. ἕως οὗ διακύψῃ καὶ ἴδῃ Κύριος ἐξ οὐρανοῦ.
51. Ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν ψυχήν μου παρὰ πάσας θυγατέρας πόλεως.
ΤΣΑΔΗ. 52. Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον, πάντες οἱ ἐχθροί μου δωρεὰν
53. ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου, καὶ ἐπέθηκαν λίθον ἐπ' ἐμοί.
54. Ὑπερεχύθη ὕδωρ ἐπὶ τὴν κεφαλήν μου, εἶπα· Ἀπῶσμαι.
ΚΩΦ. 55. Ἐπεκαλεσάμην τὸ ὄνομά σου, Κύριε, ἐκ λάκκου κατωτάτου,
56. φωνήν μου ἤκουσας· μὴ κρύψῃς τὰ ὦτά σου εἰς τὴν δέησίν μου,
57. εἰς τὴν βοήθειάν μου ἤγγισας, ἐν ἡμέρᾳ ᾗ ἐπεκαλεσάμην σε εἶπάς μοι· Μὴ φοβοῦ.
ΡΗΧΣ. 58. Ἐδίκασας, Κύριε, τὰς δίκας τῆς ψυχῆς μου, ἐλυτρώσω τὴν ζωήν μου.
59. Ἴδες, Κύριε, τὰς ταραχάς μου, ἔκρινας τὴν κρίσιν μου.
60. Εἶδες πᾶσαν τὴν ἐκδίκησιν αὐτῶν, εἰς πάντας διαλογισμοὺς αὐτῶν ἐν ἐμοί.
ΧΕΝ. 61. Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν, πάντας τοὺς διαλογισμοὺς αὐτῶν κατ' ἐμοῦ,
62. χείλη ἐπανισταμένων μοι καὶ μελέτας αὐτῶν κατ' ἐμοῦ ὅλην τὴν ἡμέραν,
63. καθέδραν αὐτῶν καὶ ἀνάστασιν αὐτῶν. Ἐπίβλεψον ἐπὶ ὀφθαλμοὺς αὐτῶν,
64. ἀποδώσεις αὐτοῖς ἀνταπόδομα, Κύριε, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν.
ΘΑΥ. 65. Ἀποδώσεις αὐτοῖς ὑπερασπισμὸν, καρδίας μου μόχθον.
66. Σὺ αὐτοὺς καταδιώξεις ἐν ὀργῇ, καὶ ἐξαναλώσεις αὐτοὺς ὑποκάτωθεν τοῦ οὐρανοῦ, Κύριε.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΑΛΕΦ. 1. Πῶς ἀμαυρωθήσεται χρυσίον, ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ ἀγαθόν; Ἐξεχύθησαν λίθοι ἅγιοι ἐπ' ἀρχῆς πασῶν ἐξόδων.
ΒΗΘ. 2. Οἱ υἱοὶ Σιὼν οἱ τίμιοι, οἱ ἐπηρμένοι ἐν χρυσίῳ, πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως;
ΓΙΜΕΛ. 3. Καί γε δράκοντες ἐξέδυσαν μαστοὺς, ἐθήλασαν σκύμνοι αὐτῶν θυγατέρας λαοῦ μου εἰς ἀνίατον, ὡς στρουθίον ἐν ἐρήμῳ.
ΔΑΛΕΘ. 4. Ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν δίψει· νήπια ᾔτησαν ἄρτον, ὁ διακλῶν οὐκ ἔστιν αὐτοῖς.

44. Opposuisti nubem tibi propter orationem, ad claudendum mihi oculos
45. et abjiciendum,
AIN. Posuisti nos in medio populorum,
46. aperuerunt super nos os suum omnes inimici nostri:
47. timor et furor factus est nobis, timor et contritio.
48. Emissiones aquarum deducet oculus meus super contritionem filiæ populi mei.
PHE. 49. Oculus meus absorptus est, et non tacebo, eo quod non sit requies,
50. donec respiciat et videat Dominus de cœlo.
51. Oculus meus racemabit super animam meam præ cunctis filiabus urbis.
TSADE. 52. Venantes venati sunt me quasi avem, omnes inimici mei gratis
53. occiderunt in lacu vitam meam, et imposuerunt lapidem super me.
54. Supereffusa est aqua super caput meum, dixi: Repulsus sum.
COPH. 55. Invocavi nomen tuum, Domine, de lacu infimo,
56. vocem meam audisti: ne abscondas aures tuas ad deprecationem meam,
57. in auxilium meum appropinquasti, in die qua invocavi te dixisti mihi: Ne timeas.
RECHS. 58. Judicasti, Domine, judicia animæ meæ, redemisti vitam meam.
59. Vidisti, Domine, turbationes meas, judicasti judicium meum.
60. Vidisti omnem ultionem eorum, in omnes cogitationes eorum in me.
CHSEN. 61. Audisti opprobrium eorum, omnes cogitationes eorum adversum me,
62. labia insurgentium mihi et meditationes eorum adversum me tota die,
63. sessionem eorum et resurrectionem eorum. Inspice in oculos eorum,
64. retribues eis retributionem, Domine, juxta opera manuum suarum.
THAU. 65. Reddes eis tegumentum, cordis mei laborem.
66. Tu persequeris eos in ira, et absumes eos de sub cœlo, Domine.

CAPUT IV.

ALEPH. 1. Quomodo obscurabitur aurum, mutabitur argentum bonum? Effusi sunt lapides sancti in principio omnium viarum.
BETH. 2. Filii Sion inclyti, elevati in auro, quomodo reputati sunt in vasa testea, opera manuum figuli?
GIMEL. 3. Etiam dracones nudaverunt mammas, lactaverunt catuli eorum filias populi mei in incurabile, quasi struthio in deserto.
DALETH. 4. Adhæsit lingua lactentis ad palatum ejus in siti; parvuli petierunt panem, qui frangat non est eis.

Η. 5. Οἱ ἔσθοντες τὰς τρυφὰς ἠφανίσθησαν ἐν ταῖς ἐξόδοις, οἱ τιθηνούμενοι ἐπὶ κόκκων περιεβάλλοντο κοπρίας.

ΟΥΑΥ. 6. Καὶ ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου ὑπὲρ ἀνομίας Σοδόμων τῆς κατεστραμμένης ὥςπερ σπουδῇ, καὶ οὐκ ἐπόνεσαν ἐν αὐτῇ χεῖρας.

ΖΑΙΝ. 7. Ἐκαθαριώθησαν Ναζιραῖοι αὐτῆς ὑπὲρ χιόνα, ἔλαμψαν ὑπὲρ γάλα, ἐπυρώθησαν, ὑπὲρ λίθους σαπφείρου τὸ ἀπόσπασμα αὐτῶν.

ΗΘ. 8. Ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν, οὐκ ἐπεγνώσθησαν ἐν ταῖς ἐξόδοις· ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν, ἐξηράνθησαν, ἐγενήθησαν ὥςπερ ξύλον.

ΤΗΘ. 9. Καλοὶ ἦσαν οἱ τραυματίαι ῥομφαίας ἢ οἱ τραυματίαι λιμοῦ, ἐπορεύθησαν ἐκκεκεντημένοι ἀπὸ γεννημάτων ἀγρῶν.

ΙΩΔ. 10. Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν, ἐγενήθησαν εἰς βρῶσιν αὐταῖς, ἐν τῷ συντρίμματι τῆς θυγατρὸς τοῦ λαοῦ μου.

ΧΑΦ. 11. Συνετέλεσε Κύριος θυμὸν αὐτοῦ, ἐξέχεε θυμὸν ὀργῆς αὐτοῦ, καὶ ἀνῆψε πῦρ ἐν Σιών, καὶ κατέφαγε τὰ θεμέλια αὐτῆς.

ΛΑΜΕΔ. 12. Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, ὅτι εἰςελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων διὰ τῶν πυλῶν Ἱερουσαλήμ.

ΜΗΜ. 13. Ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς, ἀδικιῶν ἱερέων αὐτῆς, τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.

ΝΟΥΝ. 14. Ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις, ἐμολύνθησαν ἐν αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτοὺς, ἥψαντο ἐνδυμάτων αὐτῶν.

ΣΑΜΕΧ. 15. Ἀπόστητε ἀκαθάρτων, καλέσατε αὐτούς, ἀπόστητε, ἀπόστητε, μὴ ἅπτεσθε· ὅτι ἀνήφθησαν, καί γε ἐσαλεύθησαν· εἴπατε ἐν τοῖς ἔθνεσιν· Οὐ μὴ προσθῶσι τοῦ παροικεῖν.

ΑΙΝ. 16. Πρόςωπον Κυρίου μερὶς αὐτῶν, οὐ προσθήσει ἐπιβλέψαι αὐτοῖς. Πρόςωπον ἱερέων οὐκ ἔλαβον, προφήτας οὐκ ἠλέησαν.

ΦΗ. 17. Ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ ἡμῶν, εἰς τὴν βοήθειαν ἡμῶν μάταια ἀποσκοπευόντων ἡμῶν.

ΤΣΑΔΗ. 18. Ἀπεσκοπεύσαμεν εἰς ἔθνος οὐ σῶζον, ἐθηρεύσαμεν μικροὺς ἡμῶν, τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν.

ΚΩΦ. 19. Ἤγγικεν ὁ καιρὸς ἡμῶν, ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν, πάρεστιν ὁ καιρὸς ἡμῶν. Κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ, ἐπὶ τῶν ὀρέων ἐξέπτησαν, ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς.

ΡΗΧΣ. 20. Πνεῦμα προςώπου ἡμῶν Χριστὸς Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπαμεν· Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι.

ΧΣΕΝ. 21. Χαῖρε καὶ εὐφραίνου, θύγατερ Ἰδουμαίας, ἡ κατοικοῦσα ἐπὶ γῆς· καί γε ἐπὶ σὲ διελεύσεται τὸ ποτήριον Κυρίου, μεθυσθήσῃ καὶ ἀποχέεις.

ΘΑΥ. 22. Ἐξέλιπεν ἡ ἀνομία σου, θύγατερ Σιών, οὐ προσθήσει τοῦ ἀποικίσαι σε. Ἐπεσκέψατο ἀνομίας σου, θύγατερ Ἐδώμ, ἀπεκάλυψεν ἐπὶ τὰ ἀσεβήματά σου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Μνήσθητι, Κύριε, ὅ τι ἐγενήθη ἡμῖν· ἐπίβλεψον, καὶ ἴδε τὸν ὀνειδισμὸν ἡμῶν.

HE. 5. Qui vescebantur deliciis perierunt in viis, qui nutriebantur super coccinea amplexati sunt stercora.

VAU. 6. Et magnificata est iniquitas filiæ populi mei super iniquitatem Sodomorum quæ subversa est quasi repente, et non laboraverunt in ea manibus.

ZAIN. 7. Mundati sunt Nazeræi ejus super nivem, splenduerunt super lac, rubuerunt, super lapides sapphiri excisio eorum.

HETH. 8. Obtenebrata est super fuliginem species eorum, non sunt cogniti in plateis : adhæsit pellis eorum super ossa eorum, aruerunt, facti sunt quasi lignum.

TETH. 9. Boni fuerunt occisi gladio quam occisi peste, abierunt perfossi a frugibus agrorum.

IOD. 10. Manus mulierum misericordium coxerunt filios suos, facti sunt in escam illis, in contritione filiæ populi mei.

CHAPH. 11. Complevit Dominus furorem suum, effudit indignationem iræ suæ, et succendit ignem in Sion, et devoravit fundamenta ejus.

LAMED. 12. Non crediderunt reges terræ, universi habitatores orbis, quoniam ingredietur inimicus et tribulans per portas Jerusalem.

MEM. 13. Propter peccata prophetarum ejus, iniquitates sacerdotum ejus, effundentium sanguinem justum in medio ejus.

NUN. 14. Commoti sunt vigiles ejus in plateis, polluti sunt in sanguine cum ipsi non possent, tetigerunt vestimenta eorum.

SAMECH. 15. Recedite ab immundis, vocate eos, recedite, recedite, nolite tangere : quia succensi sunt, atque etiam, commoti sunt : dicite in gentibus : Non addent habitare.

AIN. 16. Facies Domini pars eorum, non addet respicere eos. Faciem sacerdotum non acceperunt, prophetarum miserti non sunt.

PHE. 17. Cum adhuc subsisteremus defecerunt oculi nostri, ad auxilium nostrum vana speculantibus nobis.

TSADE. 18. Respeximus in gentem non salvantem, venati sumus parvulos nostros, ne irent in plateis nostris.

COPH. 19. Appropinquavit tempus nostrum, completi sunt dies nostri, adest tempus nostrum. Leves facti sunt persecutores nostri super aquilas cœli, super montes evolaverunt, in deserto insidiati sunt nobis.

RECHS. 20. Spiritus faciei nostræ Christus Dominus captus est in corruptionibus ipsorum, de quo diximus : In umbra ejus vivemus in gentibus.

CHSEN. 21. Gaude et lætare, filia Idumææ, quæ habitas super terram : etiam super te transibit calix Domini, inebriaberis et effundes.

THAU. 22. Defecit iniquitas tua, filia Sion, non adjiciet transmigrare te. Visitavit iniquitates tuas, filia Edom, revelavit super impietates tuas.

CAPUT V.

1. Recordare, Domine, quod factum est nobis : respice, et vide opprobrium nostrum.

2. Κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις, οἱ οἶκοι ἡμῶν ξένοις.
3. Ὀρφανοὶ ἐγενήθημεν, οὐχ ὑπάρχει πατὴρ, μητέρες ἡμῶν ὡς αἱ χῆραι.
4. Ὕδωρ ἡμῶν ἐν ἀργυρίῳ ἐπίομεν, ξύλα ἡμῶν ἐν ἀλλάγματι ἦλθεν ἐπὶ τὸν τράχηλον ἡμῶν.
5. Ἐδιώχθημεν, ἐκοπιάσαμεν, οὐκ ἀνεπαύθημεν.
6. Αἴγυπτος ἔδωκε χεῖρα, Ἀσσοὺρ εἰς πλησμονὴν αὐτῶν.
7. Οἱ πατέρες ἡμῶν ἥμαρτον, οὐχ ὑπάρχουσιν, ἡμεῖς τὰ ἀνομήματα αὐτῶν ὑπέσχομεν.
8. Δοῦλοι ἐκυρίευσαν ἡμῶν, λυτρούμενος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν.
9. Ἐν ταῖς ψυχαῖς ἡμῶν εἰσοίσομεν ἄρτον ἡμῶν, ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου.
10. Τὸ δέρμα ἡμῶν ὡς κλίβανος ἐπελιώθη, συνεσπάσθησαν ἀπὸ προσώπου καταιγίδων λιμοῦ.
11. Γυναῖκας ἐν Σιὼν ἐταπείνωσαν, παρθένους ἐν πόλεσιν Ἰούδα.
12. Ἄρχοντες ἐν χερσὶν αὐτῶν ἐκρεμάσθησαν, πρεσβύτεροι οὐκ ἐδοξάσθησαν.
13. Ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον, καὶ νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν.
14. Καὶ πρεσβύται ἀπὸ πύλης κατέπαυσαν, ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν.
15. Κατέλυσε χαρὰ καρδίας ἡμῶν, ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν,
16. ἔπεσεν ὁ στέφανος ἡμῶν τῆς κεφαλῆς. Οὐαὶ δὲ ἡμῖν, ὅτι ἡμάρτομεν.
17. Περὶ τούτου ἐγενήθη ὀδύνη, ὀδυνηρὰ ἡ καρδία ἡμῶν, περὶ τούτου ἐσκότασαν οἱ ὀφθαλμοὶ ἡμῶν.
18. Ἐπ' ὄρος Σιὼν, ὅτι ἠφανίσθη, ἀλώπεκες διῆλθον ἐν αὐτῇ.
19. Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα κατοικήσεις, ὁ θρόνος σου εἰς γενεὰν καὶ γενεάν.
20. Ἱνατί εἰς νῖκος ἐπιλήσῃ ἡμῶν, καταλείψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν;
21. Ἐπίστρεψον ἡμᾶς, Κύριε, πρὸς σὲ, καὶ ἐπιστραφησόμεθα· καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς ἔμπροσθεν.
22. Ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς, ὠργίσθης ἐφ' ἡμᾶς ἕως σφόδρα.

2. Hæreditas nostra versa est ad alienos, domus nostræ ad extraneos.
3. Pupilli facti sumus, non est pater, matres nostræ quasi viduæ.
4. Aquam nostram in argento bibimus, ligna nostra in commutatione venerunt super collum nostrum.
5. Passi sumus persecutionem, laboravimus, non habuimus requiem.
6. Ægyptus dedit manum, Assur ad satietatem ipsorum.
7. Patres nostri peccaverunt, non sunt, nos iniquitates eorum portavimus.
8. Servi dominati sunt nostri, qui redimat non est de manu eorum.
9. In animabus nostris afferemus panem nostrum, a facie gladii deserti.
10. Pellis nostra quasi clibanus exusta est, convulsæ sunt a facie tempestatum famis.
11. Mulieres in Sion humiliaverunt, virgines in civitatibus Juda.
12. Principes in manibus ipsorum suspensi fuerunt, seniores non sunt glorificati.
13. Electi ploratum assumpserunt, et adolescentes in ligno infirmati sunt.
14. Et senes a porta cessaverunt, electi a psalmis suis cessaverunt.
15. Defecit gaudium cordis nostri, versus est in luctum chorus noster,
16. cecidit corona capitis nostri. Væ autem nobis, quia peccavimus.
17. Propterea fuit mœror, mœstum cor nostrum, ideo contenebrati sunt oculi nostri.
18. Super montem Sion, quia disperiit, vulpes ambulaverunt in ea.
19. Tu autem, Domine, in æternum habitabis, solium tuum in generationem et generationem.
20. Quare in finem obliivisceris nostri, derelinques nos in longitudinem dierum?
21. Converte nos, Domine, ad te, et convertemur: et innova dies nostros sicut a principio.
22. Repellens enim repulisti nos, iratus es super nos usque valde.

ΕΠΙΣΤΟΛΗ

ΙΕΡΕΜΙΟΥ.

1. Ἀντίγραφον ἐπιστολῆς ἧς ἀπέστειλεν Ἱερεμίας πρὸς τοὺς ἀχθησομένους αἰχμαλώτους εἰς Βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων, ἀναγγεῖλαι αὐτοῖς καθότι ἐπετάγη αὐτῷ ὑπὸ τοῦ Θεοῦ. Διὰ τὰς ἁμαρτίας ἃς ἡμαρτήκατε ἐναντίον τοῦ Θεοῦ, ἀχθήσεσθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονόσορ βασιλέως τῶν Βαβυλωνίων.

EPISTOLA

JEREMIÆ.

1. Exemplum epistolæ quam misit Jeremias ad abducendos captivos in Babylonem a rege Babyloniorum, ut annuntiaret illis secundum quod præceptum est illi a Deo. Propter peccata quæ peccastis ante Deum, abducemini in Babylonem captivi a Nabuchodonosor rege Babyloniorum.

2. Εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλείονα καὶ χρόνον μακρὸν, ἕως γενεῶν ἑπτά. Μετὰ τοῦτο δὲ ἐξάξω ὑμᾶς ἐκεῖθεν μετ' εἰρήνης.

3. Νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ' ὤμοις αἰρομένους, δεικνύντας φόβον τοῖς ἔθνεσιν.

4. Εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωθέντες τοῖς ἀλλοφύλοις ἀφομοιωθῆτε, καὶ φόβος ὑμᾶς λάβῃ ἐπ' αὐτοῖς,

5. ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦντας αὐτά. Εἴπατε δὲ τῇ διανοίᾳ· Σοὶ δεῖ προσκυνεῖν, Δέσποτα·

6. ὁ γὰρ ἄγγελός μου μεθ' ὑμῶν ἐστιν, αὐτός τε ἐκζητῶν τὰς ψυχὰς ὑμῶν.

7. Γλῶσσα γὰρ αὐτῶν ἐστι κατεξυσμένη ὑπὸ τέκτονος, αὐτά τε περίχρυσα καὶ περιάργυρα, ψευδῆ δ' ἐστὶ καὶ οὐ δύνανται λαλεῖν.

8. Καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες χρυσίον,

9. κατασκευάζουσι στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν αὐτῶν. Ἔστι δὲ, καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ ἀργύριον, εἰς ἑαυτοὺς καταναλοῦσι,

10. δώσουσι δὲ ἀπ' αὐτῶν καὶ ταῖς ἐπὶ τοῦ στέγους πόρναις. Κοσμοῦσί τε αὐτοὺς ὡς ἀνθρώπους τοῖς ἐνδύμασι, θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς καὶ ξυλίνους.

11. Οὗτοι δὲ οὐ διασώζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων, περιβεβλημένων αὐτῶν ἱματισμὸν πορφυροῦν.

12. Ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτὸν, ὅς ἐστι πλείω ἐπ' αὐτοῖς.

13. Καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας, ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖ.

14. Ἔχει δὲ ἐγχειρίδιον δεξιᾷ καὶ πέλεκυν, ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. Ὅθεν γνώριμοί εἰσιν οὐκ ὄντες θεοί. Μὴ οὖν φοβηθῆτε αὐτούς.

15. Ὥςπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται,

16. τοιοῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν, κατιδρυμένων αὐτῶν ἐν τοῖς οἴκοις. Οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶ κονιορτοῦ ἀπὸ τῶν ποδῶν τῶν εἰςπορευομένων·

17. καὶ ὥςπερ τινὶ ἠδικηκότι βασιλέα, περιπεφραγμέναι εἰσὶν αἱ αὐλαί· ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ τοὺς οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασί τε καὶ κλείθροις καὶ μοχλοῖς, ὅπως ὑπὸ τῶν λῃστῶν μὴ συληθῶσιν.

18. Λύχνους καίουσι, καὶ πλείους ἢ ἑαυτοῖς, ὧν οὐδένα δύνανται ἰδεῖν.

19. Ἔστι μὲν ὥςπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ καρδίας αὐτῶν φασιν ἐκλείχεσθαι τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν· κατεσθόντων αὐτούς τε καὶ τὸν ἱματισμὸν αὐτῶν, οὐκ αἰσθάνονται.

20. Μεμελανωμένοι τὸ πρόσωπον αὐτῶν ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας.

21. Ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐφίπτανται νυκτερίδες, χελιδόνες, καὶ τὰ ὄρνεα, ὡσαύτως δὲ καὶ οἱ αἴλουροι,

22. ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσὶ θεοί. Μὴ οὖν φοβεῖσθε αὐτά.

23. Τὸ γὰρ χρυσίον ὃ περίκεινται εἰς κάλλος, ἐὰν μή τις ἐκμάξῃ τὸν ἰὸν, οὐ μὴ στίλψωσιν, οὐδὲ γὰρ, ὅτε ἐχωνεύοντο, ᾐσθάνοντο.

2. Ingressi itaque in Babylonem eritis ibi annis plurimis et tempore longo, usque ad generationes septem. Post hoc autem educam vos inde in pace.

3. Nunc autem videbitis in Babylonia deos argenteos et aureos et ligneos in humeris portari, ostentantes metum gentibus.

4. Cavete ergo ne et vos assimilati assimilemini alienigenis, et metus vos capiat in ipsis,

5. videntes turbam ab ante et de retro eorum adorantes eos. Dicite autem mente : Te oportet adorare, Domine :

6. angelus enim meus vobiscum est, et ipse exquirens animas vestras.

7. Nam lingua ipsorum est polita a fabro, ipsaque inaurata et inargentata, falsa autem sunt et non possunt loqui.

8. Et sicut virgini amanti ornamenta accipientes aurum,

9. fabricant coronas super capita deorum suorum. Est autem, et quando subtrahentes sacerdotes a diis suis aurum et argentum, in semetipsos insumunt,

10. dabunt autem de eis etiam meretricibus quæ sub tecto. Ornantque eos quasi homines vestimentis, deos argenteos et deos aureos et ligneos.

11. Hi autem non liberantur ab ærugine et tineis, opertis ipsis veste purpurea.

12. Extergent faciem ipsorum propter pulverem qui ex domo, qui est plurimus super eos.

13. Et sceptrum habet ut homo judex regionis, qui in se peccantem non interficiet.

14. Habet autem gladiolum dextera et securim, se autem de bello et de latronibus non liberabit. Unde manifesti sunt non esse dii. Non ergo timeatis eos.

15. Sicut enim vas hominis contritum efficitur inutile,

16. tales sunt dii illorum, constitutis illis in domibus. Oculi eorum pleni sunt pulvere a pedibus introeuntium :

17. et sicut alicui qui regem offendit, circumsepta sunt atria : sicut ad mortem abducto domos eorum muniunt sacerdotes et ostiis et claustris et seris, ne a latronibus exspolientur.

18. Lucernas accendunt, et plures quam sibi ipsis, ex quibus nullam videre possunt.

19. Est quidem sicut trabs earum quæ e domo, corda vero eorum dicunt elingi ab iis qui de terra sunt serpentibus : dum comedunt et eos et vestimentum eorum, non sentiunt.

20. Nigri facti faciem suam a fumo qui e domo fit.

21. Supra corpus eorum et supra caput eorum volant noctuæ, hirundines, et aves, similiter autem et cati,

22. unde scietis quia non sunt dii. Ne ergo timueritis ea.

23. Aurum enim quo circumdati sunt ad specimen, nisi aliquis exterserit æruginem, non fulgebunt, neque enim dum conflarentur, sentiebant.

24. Ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστὶν, ἐν οἷς οὐκ ἔστι πνεῦμα.

25. Ἄνευ ποδῶν ἐπ' ὤμοις φέρονται, ἐνδεικνύμενοι τὴν ἑαυτῶν ἀτιμίαν τοῖς ἀνθρώποις, αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες αὐτὰ,

26. διὰ τὸ, εἴποτε ἐπὶ τὴν γῆν πέσῃ, μὴ δι' αὐτῶν ἀνίστασθαι· μήτε ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ, δι' ἑαυτοῦ κινηθήσεται, μήτε ἐὰν κλιθῇ, οὐ μὴ ὀρθωθῇ, ἀλλ' ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται·

27. τὰς δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται. Ὡσαύτως δὲ καὶ αἱ γυναῖκες ἀπ' αὐτῶν ταριχεύουσαι, οὔτε πτωχῷ οὔτε ἀδυνάτῳ μὴ μεταδῶσι.

28. Τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ λεχὼ ἅπτονται. Γνόντες οὖν ἀπὸ τούτων ὅτι οὐκ εἰσὶ θεοὶ, μὴ φοβηθῆτε αὐτούς.

29. Πόθεν γὰρ κληθείησαν θεοί; ὅτι γυναῖκες παρατιθέασι θεοῖς ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυλίνοις.

30. Καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς διφρεύουσιν, ἔχοντες τοὺς χιτῶνας διεῤῥωγότας καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους· ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν,

31. ὠρύονται δὲ βοῶντες ἐναντίον τῶν θεῶν αὐτῶν ὥςπερ τινὲς ἐν περιδείπνῳ νεκροῦ.

32. Ἀπὸ τοῦ ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς ἐνδύσουσι τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία, οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος,

33. οὔτε ἐὰν ἀγαθὸν, δυνήσονται ἀνταποδοῦναι· οὔτε καταστῆσαι βασιλέα δύνανται, οὔτε ἀφελέσθαι.

34. Ὡσαύτως οὔτε πλοῦτον, οὔτε χαλκὸν οὐ μὴ δύνωνται διδόναι. Ἐάν τις εὐχὴν αὐτοῖς εὐξάμενος μὴ ἀποδῷ, οὐ μὴ ἐπιζητήσωσιν.

35. Ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται, οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ μὴ ἐξέλωνται.

36. Ἄνθρωπον τυφλὸν εἰς ὅρασιν οὐ μὴ περιστήσωσιν, ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ ἐξέλωνται.

37. Χήραν οὐ μὴ ἐλεήσωσιν, οὔτε ὀρφανὸν εὖ ποιήσωσι.

38. Τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμένοι εἰσὶ τὰ ξύλινα καὶ τὰ περίχρυσα καὶ τὰ περιάργυρα· οἱ δὲ θεραπεύοντες αὐτὰ καταισχυνθήσονται.

39. Πῶς οὖν νομιστέον ἢ κλητέον ὑπάρχειν αὐτοὺς θεούς;

40. Ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων αὐτὰ, οἳ ὅταν ἴδωσιν ἐνεὸν μὴ δυνάμενον λαλῆσαι, προςενεγκάμενοι τὸν Βῆλον ἀξιοῦσι φωνῆσαι, ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι,

41. καὶ οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτὰ, αἴσθησιν γὰρ οὐκ ἔχουσιν.

42. Αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγκάθηνται, θυμιῶσαι τὰ πίτυρα.

43. Ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος τῶν παραπορευομένων κοιμηθῇ, τὴν πλησίον ὀνειδίζει, ὅτι οὐκ ἠξίωται ὥςπερ καὶ αὐτὴ, οὔτε τὸ σχοινίον αὐτῆς διεῤῥάγη.

44. Πάντα τὰ γενόμενα ἐν αὐτοῖς ἐστὶ ψευδῆ. Πῶς οὖν νομιστέον ἢ κλητέον ὡς θεοὺς αὐτοὺς ὑπάρχειν;

45. Ὑπὸ τεκτόνων καὶ χρυσοχόων κατεσκευασμένα εἰσίν. Οὐθὲν ἄλλο μὴ γένηται ἢ ὃ βούλονται οἱ τεχνῖται αὐτὰ γενέσθαι.

46. Αὐτοί τε οἱ κατασκευάζοντες αὐτὰ οὐ μὴ γένωνται πολυχρόνιοι· πῶς τε δὴ μέλλει τὰ ὑπ' αὐτῶν κατασκευασθέντα;

24. Ex omni pretio empta sunt, in quibus non est spiritus:

25. Sine pedibus in humeris portantur, ostentantes ignobilitatem suam hominibus, confunduntnrque etiam qui colunt ea,

26. propterea quod, si forte ceciderint in terram, a semetipsis non consurgunt: neque si quis illud statuerit rectum, per seipsum movebitur, neque si inclinatum fuerit, dirigetur, sed sicut mortuis munera ipsis apponuntur:

27. Hostias autem illorum vendentes sacerdotes ipsis abutuntur. Similiter autem et mulieres de eis condientes, neque mendicanti neque infirmo impartiunt.

28. Sacrificia eorum menstruata et puerpera tangunt. Scientes itaque ex his quia non sunt dii, ne timeatis eos.

29. Unde enim vocentur dii? quia mulieres apponunt diis argenteis et aureis et ligneis.

30. Et in domibus eorum sacerdotes sedent, habentes tunicas scissas et capita et barbas rasas: quorum capita nuda sunt,

31. rugiunt autem clamantes ante deos suos sicut aliqui in cœna mortui.

32. De vestimento eorum auferentes sacerdotes vestient uxores suas et filios, neque si quid mali patiantur ab aliquo,

33. neque si quid boni, poterunt retribuere: neque constituere regem possunt, neque auferre.

34. Similiter neque divitias, neque æs dare possunt. Si quis illis votum voverit et non reddiderit, non requirent.

35. A morte hominem non liberabunt, neque infirmiorem a potenti eripient.

36. Hominem cæcum ad visum non restituent, de necessitate hominem non liberabunt.

37. Viduæ non miserebuntur, neque orphano benefacient.

38. Lapidibus de monte similes sunt lignea et inaurata et inargentata: qui autem colunt ea confundentur.

39. Quomodo ergo æstimandum est aut dicendum illos esse deos?

40. Adhuc autem et ipsis Chaldæis inhonorantibus ea, qui cum viderint mutum non posse loqui, offerentes Belum postulant loqui, quasi potens ipse sit sentire,

41. et non possunt ipsi intelligentes relinquere ea, sensum enim non habent.

42. Mulieres autem circumdatæ funibus in viis sedent, adolentes furfura.

43. Cum autem aliqua ex ipsis attracta ab aliquo transeuntium dormierit, proximæ suæ exprobrat, quod non sit digna habita sicut et ipsa, neque funis ejus diruptus sit.

44. Omnia quæ fiunt in illis falsa sunt. Quomodo ergo æstimandum est aut dicendum illos esse ut deos?

45. A fabris et aurificibus facta sunt. Nihil aliud erunt nisi id quod volunt artifices ea esse.

46. Et ipsi qui fabricant ea non erunt longi temporis: quomodo igitur futura sunt quæ ab illis sunt fabricata?

47. Κατέλιπον γὰρ ψεύδη καὶ ὄνειδος τοῖς ἐπιγινομένοις.

48. Ὅταν γὰρ ἐπέλθῃ ἐπ' αὐτὰ πόλεμος καὶ κακὰ, βουλεύονται πρὸς ἑαυτοὺς οἱ ἱερεῖς ποῦ συναποκρυβῶσι μετ' αὐτῶν.

49. Πῶς οὖν οὐκ ἔστιν αἰσθέσθαι ὅτι οὐκ εἰσὶ θεοί; οἳ οὔτε σώζουσιν ἑαυτοὺς ἐκ πολέμου, οὔτε ἐκ κακῶν;

50. Ὑπάρχοντα γὰρ ξύλινα καὶ περίχρυσα καὶ περιάργυρα, γνωσθήσεται μετὰ ταῦτα ὅτι ἐστὶ ψευδῆ· τοῖς ἔθνεσι πᾶσι τοῖς τε βασιλεῦσι φανερὸν ἔσται ὅτι οὐκ εἰσὶ θεοὶ, ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, καὶ οὐδὲν Θεοῦ ἔργον ἐν αὐτοῖς ἐστι.

51. Τίνι οὖν γνωστέον ἐστὶν ὅτι οὐκ εἰσὶ θεοί;

52. Βασιλέα γὰρ χώρας οὐ μὴ ἀναστήσωσιν, οὔτε ὑετὸν ἀνθρώποις οὐ μὴ δῶσι,

53. κρίσιν τε οὐ μὴ διακρίνωσιν ἑαυτῶν, οὐδὲ μὴ ῥύσωνται ἀδίκημα, ἀδύνατοι ὄντες·

54. ὥσπερ γὰρ κορῶναι ἀναμέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν ξυλίνων ἢ περιχρύσων ἢ περιαργύρων πῦρ, οἱ μὲν ἱερεῖς αὐτῶν φεύξονται καὶ διασωθήσονται, αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι κατακαυθήσονται,

55. βασιλεῖ δὲ καὶ πολεμίοις οὐ μὴ ἀντιστῶσι.

56. Πῶς οὖν ἐκδεκτέον ἢ νομιστέον ὅτι εἰσὶ θεοί; Οὔτε ἀπὸ κλεπτῶν οὔτε ἀπὸ λῃστῶν οὐ μὴ διασωθῶσι θεοὶ ξύλινοι καὶ περιάργυροι καὶ περίχρυσοι·

57. ὧν οἱ ἰσχύοντες περιελοῦνται τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν ἱματισμὸν τὸν περικείμενον αὐτοῖς, ἀπελεύσονται ἔχοντες, οὔτε ἑαυτοῖς οὐ μὴ βοηθήσωσιν.

58. Ὥστε κρεῖσσον εἶναι βασιλέα ἐπιδεικνύμενον τὴν ἑαυτοῦ ἀνδρείαν, ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον, ἐφ' ᾧ κεχρήσεται ὁ κεκτημένος, ἢ οἱ ψευδεῖς θεοί· ἢ καὶ θύρα ἐν οἰκίᾳ, διασώζουσα τὰ ἐν αὐτῇ ὄντα, ἢ οἱ ψευδεῖς θεοί· καὶ ξύλινος στῦλος ἐν βασιλείοις, ἢ οἱ ψευδεῖς θεοί.

59. Ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ, καὶ ἀποστελλόμενα ἐπὶ χρείας, εὐήκοά εἰσιν.

60. Ὡσαύτως καὶ ἀστραπὴ ὅταν ἐπιφανῇ, εὐόπτός ἐστι. Τὸ δ' αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ χώρᾳ πνεῖ.

61. Καὶ νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ Θεοῦ ἐπιπορεύεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην, συντελοῦσι τὸ ταχθέν.

62. Τό τε πῦρ ἐξαποσταλὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυμοὺς, ποιεῖ τὸ συνταχθέν. Ταῦτα δὲ οὔτε ταῖς εἰδέαις, οὔτε ταῖς δυνάμεσιν αὐτῶν ἀφωμοιωμένα ἐστίν.

63. Ὅθεν οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν αὐτοὺς θεοὺς, οὐ δυνατῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι, οὔτε εὖ ποιῆσαι ἀνθρώποις.

64. Γνόντες οὖν ὅτι οὐκ εἰσὶ θεοὶ, μὴ φοβηθῆτε αὐτούς·

65. οὔτε γὰρ βασιλεῦσιν οὐ μὴ καταράσωνται, οὔτε μὴ εὐλογήσωσιν.

66. Σημεῖά τε ἐν ἔθνεσιν ἐν οὐρανῷ οὐ μὴ δείξωσιν, οὐδὲ ὡς ὁ ἥλιος λάμψουσιν, οὔτε φωτιοῦσιν ὡς ἡ σελήνη.

67. Τὰ θηρία αὐτῶν ἐστὶ κρείττω, ἃ δύνανται ἐκφυγόντα εἰς σκέπην ἑαυτὰ ὠφελῆσαι.

68. Κατ' οὐδένα οὖν τρόπον ἡμῖν ἐστι φανερὸν ὅτι εἰσὶ θεοί· διὸ μὴ φοβηθῆτε αὐτούς.

69. Ὥσπερ γὰρ ἐν σικυηράτῳ προβασκάνιον οὐδὲν φυλάσσον, οὕτως οἱ θεοὶ αὐτῶν εἰσι ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι.

47. Reliquerunt enim falsa et opprobrium postea futuris.

48. Nam cum supervenerit illis bellum et mala, cogitant secum ipsi sacerdotes ubi se abscondant cum illis.

49. Quomodo ergo non est sentire quia non sunt dii? qui nec de bello salvant semetipsos, neque de malis?

50. Nam cum sint lignea et inaurata et inargentata, scietur postea quia falsa sunt: gentibus universis et regibus manifestum erit quia non sunt dii, sed opera manuum hominum, et nullum Dei opus in ipsis est.

51. Quo ergo cognoscendum est quia non sunt dii?

52. Regem enim regionis non suscitabunt, neque pluviam hominibus dabunt,

53. judicium quoque non discernent suiipsorum, neque eripient injuriam, quia impotentes sunt:

54. sicut enim corniculæ inter medium cœli et terræ. Etenim si inciderit ignis in domum deorum ligneorum aut inauratorum aut inargentatorum, sacerdotes quidem ipsorum fugient et salvabuntur, ipsi vero sicut trabes medii comburentur,

55. regi autem et hostibus non resistent.

56. Quomodo ergo recipiendum est aut æstimandum quia dii sunt? Neque a furibus, neque a latronibus se liberabunt dii lignei et inargentati et inaurati:

57. quorum fortes circumauferent aurum et argentum et vestimentum circumpositum illis, abibunt habentes, nec sibiipsis auxilium ferent.

58. Itaque melius est esse regem ostentantem virtutem suam, aut vas in domo utile, in quo usum habebit qui possidet illud, quam falsi dii, vel etiam ostium in domo, quod salvat ea quæ in ipsa sunt, quam falsi dii: et lignea columna in regiis, quam falsi dii.

59. Nam sol quidem et luna ac sidera, cum sint splendida et emissa ad utilitates, obedientia sunt.

60. Similiter et fulgur cum apparuerit, perspicuum est. Idipsum autem et spiritus in omni regione spirat.

61. Et nubibus cum imperatum fuerit a Deo perambulare in universum orbem, perficiunt quod imperatum est.

62. Ignis etiam missus desuper ut consumat montes et sylvas, facit quod præceptum est. Hæc autem neque speciebus, neque virtutibus ipsorum assimilia sunt.

63. Unde neque æstimandum est neque dicendum illos esse deos, quando non possunt neque judicium judicare, neque benefacere hominibus.

64. Scientes itaque quia non sunt dii, ne timueritis eos:

65. neque enim regibus maledicent, neque benedicent.

66. Signaque in gentibus in cœlo non ostendent, neque ut sol lucebunt, neque illuminabunt ut luna.

67. Bestiæ meliores sunt illis, quæ possunt fugientes sub tectum prodesse sibi.

68. Nullo itaque modo nobis est manifestum quia sunt dii: propter quod ne timeatis eos.

69. Nam sicut in cucumerario formido nihil custodiens, ita sunt dii illorum lignei et inaurati et inargentati.

70. Τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ' ἧς πᾶν ὄρνεον ἐπικάθηται, ὡςαύτως δὲ καὶ νεκρῷ ἐῤῥιμμένῳ ἐν σκότει ἀφωμοίωνται οἱ θεοὶ αὐτῶν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι.

71. Ἀπό τε τῆς πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ' αὐτοὺς σηπομένης, γνωσθήσονται ὅτι οὐκ εἰσὶ θεοί. Αὐτά τε ἐξ ὑστέρου βρωθήσονται, καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ.

72. Κρεῖσσον οὖν ἄνθρωπος δίκαιος οὐκ ἔχων εἴδωλα, ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

70. Eodem modo et spinæ quæ in horto, supra quam omnis avis sedet, similiter autem et mortuo projecto in tenebris similes sunt dii illorum lignei et inaurati et inargentati.

71. A purpura quoque et murice quæ super eos putrefit, cognoscentur quia non sunt dii. Et ipsa postremo comedentur, et erit opprobrium in regione.

72. Melior igitur homo justus qui non habet idola, nam erit longe ab opprobrio.

ΙΕΖΕΚΙΗΛ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνὶ, πέμπτῃ τοῦ μηνὸς, καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἠνοίχθησαν οἱ οὐρανοὶ, καὶ ἴδον ὁράσεις Θεοῦ.

2. Πέμπτῃ τοῦ μηνὸς, τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως Ἰωακεὶμ,

3. καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζεὶ, τὸν ἱερέα, ἐν γῇ Χαλδαίων, ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου,

4. καὶ ἴδον, καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ βοῤῥᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον· καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου ἐν μέσῳ τοῦ πυρὸς, καὶ φέγγος ἐν αὐτῷ.

5. Καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα τεσσάρων ζώων· καὶ αὕτη ἡ ὅρασις αὐτῶν. Ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς·

6. καὶ τέσσαρα πρόσωπα τῷ ἑνὶ, καὶ τέσσαρες πτέρυγες τῷ ἑνὶ,

7. καὶ τὰ σκέλη αὐτῶν ὀρθὰ, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκός. Καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν,

8. καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν,

9. καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά· ἕκαστον ἀπέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύοντο.

10. Καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώπου, καὶ πρόσωπον τοῦ λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι.

11. Καὶ αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν· ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν,

12. καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο· οὗ ἂν ἦν τὸ πνεῦμα πορευόμενον ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον.

13. Καὶ ἐν μέσῳ τῶν ζώων ὅρασις ὡς ἀνθράκων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων

EZECHIEL.

CAPUT I.

1. Et factum est in tricesimo anno, in quarto mense, quinta mensis, et ego eram in medio captivitatis super fluvium Chobar : et aperti sunt cœli, et vidi visiones Dei.

2. Quinta mensis, hic est annus quintus captivitatis regis Joacim,

3. et factum est verbum Domini ad Ezechiel filium Buzi, sacerdotem, in terra Chaldæorum, super fluvium Chobar. Et facta est super me manus Domini,

4. et vidi, et ecce spiritus auferens veniebat ab aquilone, et nubes magna in eo, et splendor in circuitu ejus et ignis fulgurans : et in medio ejus quasi visio electri in medio ignis, et splendor in eo.

5. Et in medio quasi similitudo quatuor animalium : et hæc visio eorum. Similitudo hominis in eis :

6. et quatuor facies uni, et quatuor alæ uni,

7. et crura eorum recta, et pedes eorum pennati, et scintillæ quasi fulgurans æs. Et leves pennæ eorum,

8. et manus hominis sub pennis eorum in quatuor partibus ipsorum,

9. et facies eorum quatuor non revertebantur cum incederent ipsa : unumquodque ante faciem suam gradiebantur.

10. Et similitudo facierum eorum, facies hominis, et facies leonis a dextris ipsis quatuor, et facies vituli a sinistris ipsis quatuor, et facies aquilæ ipsis quatuor.

11. Et alæ eorum extentæ desuper ipsis quatuor : unicuique duæ conjunctæ ad se invicem, et duæ cooperiebant desuper corpus ipsorum,

12. et unumquodque coram facie sua ambulabat : quocumque ambulabat spiritus ibant, et non revertebantur.

13. Et in medio animalium visio quasi carbonum ignis ardentium, quasi visio lampadarum discurrentium inter

ἀναμέσον τῶν ζώων, καὶ φέγγος τοῦ πυρὸς, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή. (*)

15. Καὶ ἴδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζώων τοῖς τέσσαρσι·

16. καὶ τὸ εἶδος τῶν τροχῶν ὡς εἶδος Θαρσεὶς, καὶ ὁμοίωμα ἓν τοῖς τέσσαρσι. Καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ.

17. Ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο· οὐχ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτὰ,

18. οὐδ' οἱ νῶτοι αὐτῶν, καὶ ὕψος ἦν αὐτοῖς. Καὶ ἴδον αὐτὰ, καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσιν.

19. Καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῶα, ἐπορεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῶα ἀπὸ τῆς γῆς, ἐξῄροντο οἱ τροχοί.

20. Οὗ ἂν ἦν ἡ νεφέλη, ἐκεῖ τὸ πνεῦμα τοῦ πορεύεσθαι· ἐπορεύοντο οἱ τροχοὶ καὶ ἐξῄροντο σὺν αὐτοῖς, διότι πνεῦμα ζωῆς ἐν τοῖς τροχοῖς.

21. Ἐν τῷ πορεύεσθαι αὐτὰ ἐπορεύοντο, καὶ ἐν τῷ ἑστάναι αὐτὰ εἱστήκεισαν· καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς, ἐξῄροντο σὺν αὐτοῖς, ὅτι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς.

22. Καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτῶν τῶν ζώων ὡσεὶ στερέωμα, ὡς ὅρασις κρυστάλλου, ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν,

23. καὶ ὑποκάτωθεν τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο ἐπικαλύπτουσαι τὰ σώματα αὐτῶν.

(**) 24. Καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν, ἐν τῷ πορεύεσθαι αὐτὰ, ὡς φωνὴν ὕδατος πολλοῦ· καὶ ἐν τῷ ἑστάναι αὐτὰ, κατέπαυον αἱ πτέρυγες αὐτῶν.

25. Καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν,

26. ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν.

27. Καὶ ἴδον ὡς ὄψιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁράσεως ὀσφύος καὶ ἕως κάτω ἴδον ὅρασιν πυρὸς, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ

28. ὡς ὅρασις τόξου ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέραις ὑετοῦ· οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου. Καὶ

(*) 14. Καὶ τὰ ζῶα ἔτρεχον καὶ ἀνέκαμπτον, ὡς εἶδος τοῦ βεζέκ. (*Alex. et Theodot.*)

(**) 24. Καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ πορεύεσθαι αὐτὰ, ὡς φωνὴν ὕδατος πολλοῦ, ὡς φωνὴν Ἱκανοῦ· ἐν τῷ πορεύεσθαι αὐτὰ, φωνὴ τοῦ λόγου ὡς φωνὴ παρεμβολῆς, καὶ ἐν τῷ ἑστάναι αὐτὰ, κατέπαυον αἱ πτέρυγες αὐτῶν.

25. Καὶ ἰδοὺ φωνὴ ὑπεράνω τοῦ στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐν τῷ ἑστάναι αὐτὰ, ἀνίεντο αἱ πτέρυγες αὐτῶν.

26. Καὶ ὑπεράνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς αὐτῶν, ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτῷ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν.

27. Καὶ εἶδον ὡς ὄψιν ἠλέκτρου, ὡς ὅρασιν πυρὸς ἔσωθεν αὐτοῦ κύκλῳ, ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁράσεως ὀσφύος καὶ ἕως κάτω, εἶδον ὡς ὅρασιν πυρὸς, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ. (*Alex.*)

medium animalium, et splendor ignis, et de igne egrediebatur fulgur.

15. Et vidi, et ecce rota una super terram juxta animalia ipsis quatuor :

16. et species rotarum quasi species Tharsis, et similitudo una ipsis quatuor. Et opus earum erat quasi si esset rota in rota.

17. In quatuor partes earum ambulabant : non revertebantur cum ambularent,

18. neque dorsa earum, et altitudo erat eis. Et vidi ea, et dorsa earum plena oculis in circuitu ipsis quatuor.

19. Et cum ambularent animalia, ambulabant rotæ juxta ea : et cum elevarentur animalia de terra, elevabantur rotæ.

20. Ubicumque erat nubes, illic et spiritus ad eundum : ibant rotæ et elevabantur cum eis, spiritus enim vitæ erat in rotis.

21. Cum illa irent ibant, et cum illa starent stabant : et cum illa elevarentur a terra, elevabantur cum eis, quia spiritus vitæ erat in rotis.

22. Et similitudo super caput ipsorum animalium quasi firmamentum, quasi aspectus crystalli, extentum super alas eorum desuper,

23. et sub firmamento alæ eorum extentæ, volantes altera alteri, unicuique duæ tegentes corpora ipsorum.

24. Et audivi vocem alarum ipsorum, dum ipsa irent, quasi vocem aquæ multæ : cumque ipsa starent, cessabant alæ eorum.

25. Et ecce vox desuper firmamento quod erat super caput eorum,

26. quasi aspectus lapidis sapphiri, similitudo throni super illud, et super similitudinem throni similitudo quasi species hominis desuper.

27. Et vidi quasi aspectum electri a visione lumbi et supra, et a visione lumbi et usque deorsum vidi visionem ignis, et splendor ejus in circuitu

28. velut visio arcus cum fuerit in nube in diebus pluviæ : sic statio splendoris per gyrum.

CAPUT II.

1. Hæc visio similitudinis gloriæ Domini. Et vidi, et

---

14. Et animalia currebant et revertebantur, quasi species bezec (*fulguris*).

24. Et audiebam vocem alarum eorum quando ibant, ut vocem aquæ multæ, ut vocem Potentis : cum irent ea, vox sermonis quasi vox castrorum, cumque starent, cessabant alæ eorum.

25. Et ecce vox super firmamentum quod erat super caput eorum : cum starent ea, demittebantur alæ eorum.

26. Et super firmamentum quod erat super caput eorum, quasi aspectus lapidis sapphiri, similitudo throni in eo, et super similitudinem throni similitudo quasi forma hominis desuper

27. Et vidi quasi speciem electri, velut aspectum ignis intrinsecus ejus per circuitum, ab aspectu lumbi et desuper, et ab aspectu lumbi et usque deorsum, vidi quasi visionem ignis, et splendorem ejus in circuitu.

ἴδον, καὶ πίπτω ἐπὶ πρόςωπόν μου, καὶ ἤκουσα φωνὴν λαλοῦντος, καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, στῆθι ἐπὶ τοὺς πόδας σου, καὶ λαλήσω πρὸς σέ.

2. Καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα, καὶ ἀνέλαβέ με, καὶ ἐξῆρέ με, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου, καὶ ἤκουον αὐτοῦ λαλοῦντος πρὸς μὲ,

(*) 3. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, ἐξαποστέλλω ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν με, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, ἕως τῆς σήμερον ἡμέρας,

4. καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος·

5. Ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσι, διότι οἶκος παραπικραίνων ἐστὶ, καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν.

6. Καὶ σὺ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτοὺς, μηδὲ ἐκστῇς ἀπὸ προςώπου αὐτῶν· διότι παροιστρήσουσι, καὶ ἐπισυστήσονται ἐπὶ σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς. Τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς, καὶ ἀπὸ προςώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος παραπικραίνων ἐστί.

7. Καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτοὺς, ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, ὅτι οἶκος παραπικραίνων ἐστί.

8. Καὶ σὺ, υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σὲ, μὴ γίνου παραπικραίνων, καθὼς ὁ οἶκος ὁ παραπικραίνων. Χάνε τὸ στόμα σου, καὶ φάγε ὃ ἐγὼ δίδωμί σοι.

9. Καὶ ἴδον, καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρὸς μὲ, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου, καὶ ἀνείλησεν αὐτὴν ἐνώπιόν μου, καὶ ἦν ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν καὶ τὰ ὀπίσω, καὶ ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην, καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ.

2. Καὶ διήνοιξε τὸ στόμα μου, καὶ ἐψώμισέ με τὴν κεφαλίδα.

3. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθήσεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ. Καὶ ἔφαγον αὐτὴν, καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον.

4. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, βάδιζε καὶ εἴςελθε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτοὺς,

5. διότι οὐ πρὸς λαὸν βαθύγλωσσον σὺ ἐξαποστέλλῃ πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ,

6. οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους ἢ ἀλλογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους· καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰςήκουσάν σου.

cado in faciem meam, et audivi vocem loquentis, et dixit ad me : Fili hominis, sta super pedes tuos, et loquar ad te.

2. Et venit ad me spiritus, et assumpsit me, et elevavit me, et statuit me super pedes meos, et audiebam eum loquentem ad me,

3. et dixit ad me : Fili hominis, mitto ego te ad domum Israel, exacerbantes me, qui quidem exacerbaverunt me, ipsi et patres eorum, usque ad hodiernam diem,

4. et dices ad eos : Hæc dicit Dominus :

5. Si forte audiant aut paveant, quia domus exacerbans est, et scient quia propheta es tu in medio eorum.

6. Et tu, fili hominis, non timeas eos, nec formides a facie eorum : quoniam insanient, et congregabuntur contra te in circuitu, et in medio scorpionum tu habitas. Verba eorum ne timeas, et a facie eorum ne formides, quia domus exasperans est.

7. Et loqueris verba mea ad eos, si forte audiant aut timeant, quia domus exacerbans est.

8. Et tu, fili hominis, audi loquentem ad te, noli esse exasperans, sicut domus exasperatrix est. Aperi os tuum, et comede quod ego do tibi.

9. Et vidi, et ecce manus extenta ad me, et in ea capitulum libri, et expandit illud coram me, et erant in eo scripta anteriora et posteriora, et inscripta erat lamentatio et carmen et væ.

CAPUT III.

1. Et dixit ad me : Fili hominis, comede capitulum istud, et vade et loquere filiis Israel.

2. Et aperuit os meum, et cibavit me capitulo.

3. Et dixit ad me : Fili hominis, os tuum comedet, et venter tuus implebitur capitulo isto tibi dato. Et comedi illud, et factum est in ore meo sicut mel dulcescens.

4. Et dixit ad me : Fili hominis, vade et ingredere ad domum Israel, et loquere verba mea ad eos,

5. non enim ad populum profundæ linguæ tu mitteris ad domum Israel,

6. neque ad populos multos alterius vocis aut alterius linguæ, neque qui graves lingua sint, quorum non audias sermones : et si ad tales misissem te, hi utique exaudissent te.

(*) 3. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, ἐξαποστελῶ ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν με, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἠθέτησαν ἐν ἐμοὶ, ἕως τῆς σήμερον ἡμέρας.

4. Καὶ υἱοὶ σκληροπρόςωποι καὶ στερεοκάρδιοι· ἐγὼ ἀποστέλλω σε πρὸς αὐτοὺς, Καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος Κύριος· (*Alex.*)

3. Et dixit ad me : Fili hominis, emittam ego te ad domum Israel, ad exacerbantes me, qui exacerbaverunt me, ipsi et patres eorum prævaricati sunt in me, usque in hodiernum diem.

4. Et filii dura facie et solido corde : ego emitto te ad eos. Et dices ad eos : Hæc dicit Dominus Dominus :

7. Ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰςακοῦσαί σου, διότι οὐ βούλονται εἰςακούειν μου, ὅτι πᾶς ὁ οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσι καὶ σκληροκάρδιοι.

8. Καὶ ἰδοὺ δέδωκα τὸ πρόςωπόν σου δυνατὸν κατέναντι τῶν προςώπων αὐτῶν, καὶ τὸ νῖκός σου κατισχύσω κατέναντι τοῦ νίκους αὐτῶν,

9. καὶ ἔσται διαπαντὸς κραταιότερον πέτρας. Μὴ φοβηθῇς ἀπ' αὐτῶν, μηδὲ πτοηθῇς ἀπὸ προςώπου αὐτῶν, διότι οἶκος παραπικραίνων ἐστί.

10. Καὶ εἶπε πρός μέ· Υἱὲ ἀνθρώπου, πάντας τοὺς λόγους οὓς λελάληκα μετὰ σοῦ, λάβε εἰς τὴν καρδίαν σου, καὶ τοῖς ὠσί σου ἄκουε,

11. καὶ βάδιζε, εἴςελθε εἰς τὴν αἰχμαλωσίαν, πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου, καὶ λαλήσεις πρὸς αὐτοὺς, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσι.

12. Καὶ ἀνέλαβέ με πνεῦμα, καὶ ἤκουσα κατόπισθέν μου φωνὴν σεισμοῦ μεγάλου, εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ.

13. Καὶ ἴδον φωνὴν τῶν πτερύγων τῶν ζώων πτερυσσομένων ἑτέρα πρὸς τὴν ἑτέραν, καὶ φωνὴ τῶν τροχῶν ἐχομένη αὐτῶν, καὶ φωνὴ τοῦ σεισμοῦ.

14. Καὶ τὸ πνεῦμα ἐξῆρέ με, καὶ ἀνέλαβέ με, καὶ ἐπορεύθην ἐν ὁρμῇ τοῦ πνεύματός μου, καὶ χεὶρ Κυρίου ἐγένετο ἐπ' ἐμὲ κραταιὰ,

15. καὶ εἰςῆλθον εἰς τὴν αἰχμαλωσίαν μετέωρος, καὶ περιῆλθον τοὺς κατοικοῦντας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβὰρ τοὺς ὄντας ἐκεῖ. Καὶ ἐκάθισα ἐκεῖ ἑπτὰ ἡμέρας, ἀναστρεφόμενος ἐν μέσῳ αὐτῶν.

16. Καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας λόγος Κυρίου πρὸς μὲ, λέγων·

17. Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον, καὶ διαπειλήσῃ αὐτοῖς παρ' ἐμοῦ·

18. ἐν τῷ λέγειν με τῷ ἀνόμῳ· Θανάτῳ θανατωθήσῃ, καὶ οὐ διεστειλω αὐτῷ τοῦ διαστείλασθαι τῷ ἀνόμῳ, ἀποστρέψαι ἀπὸ τῶν ὁδῶν αὐτοῦ, τοῦ ζῆσαι αὐτόν· ὁ ἄνομος ἐκεῖνος τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω.

19. Καὶ σὺ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, ὁ ἄνομος ἐκεῖνος ἐν τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ.

20. Καὶ ἐν τῷ ἀποστρέφειν δίκαιον ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ, καὶ ποιήσει παράπτωμα, καὶ δώσω τὴν βάσανον εἰς πρόσωπον αὐτοῦ, αὐτὸς ἀποθανεῖται, ὅτι οὐ διεστειλω αὐτῷ· καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται, διότι οὐ μὴ μνησθῶσιν αἱ δικαιοσύναι αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω.

21. Σὺ δὲ ἐὰν διαστείλῃ τῷ δικαίῳ τοῦ μὴ ἁμαρτεῖν, καὶ αὐτὸς μὴ ἁμάρτῃ, ὁ δίκαιος ζωῇ ζήσεται, ὅτι διεστειλω αὐτῷ, καὶ σὺ τὴν σεαυτοῦ ψυχὴν ῥύσῃ.

22. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ εἶπε πρὸς μέ· Ἀνάστηθι, καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ ἐκεῖ λαληθήσεται πρὸς σέ.

23. Καὶ ἀνέστην καὶ ἐξῆλθον πρὸς τὸ πεδίον, καὶ ἰδοὺ ἐκεῖ δόξα Κυρίου εἱστήκει, καθὼς ἡ ὅρασις καὶ καθὼς ἡ δόξα Κυρίου ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ. Καὶ πίπτω ἐπὶ πρόσωπόν μου,

7. Domus autem Israel nolent exaudire te, quia nolunt exaudire me, omnis quippe domus Israel contentiosi sunt et duri corde.

8. Et ecce dedi faciem tuam potentem contra facies eorum, et pervicaciam tuam confortabo contra pervicaciam eorum,

9. et erit semper firmior petra. Ne timeas ab eis, neque metuas a facie eorum, quia domus exasperans est.

10. Et dixit ad me : Fili hominis, omnes sermones quos locutus sum tecum, assume in cor tuum, et auribus tuis audi,

11. et vade, ingredere ad captivitatem, ad filios populi tui, et loqueris ad eos, et dices ad eos : Hæc dicit Dominus : Si forte audiant, si forte remittant se.

12. Et assumpsit me spiritus, et audivi post me vocem commotionis magnæ, benedicta gloria Domini de loco suo.

13. Et vidi vocem alarum animalium percutientium altera ad alteram, et vox rotarum juxta ea, et vox commotionis.

14. Et spiritus elevavit me, et suscepit me, et abii in impetu spiritus mei, et manus Domini facta est super me fortis,

15. et intravi ad captivitatem sublimis, et circuivi habitantes super fluvium Chobar qui erant ibi. Et sedi ibi septem diebus, conversans in medio eorum.

16. Et factum est post septem dies verbum Domini ad me, dicens :

17. Fili hominis, speculatorem dedi te domui Israel, et audies de ore meo verbum, et comminaberis eis ex me :

18. in dicendo me iniquo : Morte morieris, et non distinxisti ei ad distinguendum iniquo, ut avertat se a viis suis, ut vivat : iniquus ille in sua iniquitate morietur, et sanguinem ejus de manu tua requiram.

19. Et tu si distinxeris iniquo, et non se averterit ab iniquitate sua et a via sua, iniquus ille in sua injustitia morietur, et tu animam tuam liberabis.

20. Et in avertendo se justum a justitiis suis, et faciet delictum, et dabo tormentum in faciem ejus, ipse morietur, quia non distinxisti ei : et in peccatis suis morietur, quia non erunt in memoria justitiæ ejus, et sanguinem ejus de manu tua requiram.

21. Tu autem si distinxeris justo ut non peccet, et ipse non peccaverit, justus vita vivet, quia distinxisti ei, et tu animam tuam liberabis.

22. Et facta est super me manus Domini, et dixit ad me : Surge, et egredere in campum, et ibi allocutio fiet ad te.

23. Et surrexi et egressus sum ad campum, et ecce ibi gloria Domini stabat, sicut aspectus et sicut gloria Domini quam vidi super fluvium Chobar. Et cado in faciem meam,

24. καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου, καὶ ἐλάλησε πρὸς μὲ, καὶ εἶπέ μοι· Εἴσελθε, καὶ ἐγκλείσθητι ἐν μέσῳ τοῦ οἴκου σου.

25. Καὶ σὺ, υἱὲ ἀνθρώπου, ἰδοὺ δέδονται ἐπὶ σὲ δεσμοὶ, καὶ δήσουσί σε ἐν αὐτοῖς, καὶ οὐ μὴ ἐξέλθῃς ἐκ μέσου αὐτῶν·

26. καὶ τὴν γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα ἐλέγχοντα, διότι οἶκος παραπικραίνων ἐστί.

27. Καὶ ἐν τῷ λαλεῖν με πρὸς σὲ, ἀνοίξω τὸ στόμα σου, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ὁ ἀκούων ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω, διότι οἶκος παραπικραίνων ἐστί.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Καὶ σὺ, υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον, καὶ θήσεις αὐτὴν πρὸ προσώπου σου, καὶ διαγράψεις ἐπ' αὐτὴν πόλιν τὴν Ἱερουσαλὴμ,

2. καὶ δώσεις ἐπ' αὐτὴν περιοχὴν, καὶ οἰκοδομήσεις ἐπ' αὐτὴν προμαχῶνας, καὶ περιβαλεῖς ἐπ' αὐτὴν χάρακα, καὶ δώσεις ἐπ' αὐτὴν παρεμβολὰς, καὶ τάξεις τὰς βελοστάσεις κύκλῳ.

3. Καὶ σὺ λάβε σεαυτῷ τήγανον σιδηροῦν, καὶ θήσεις αὐτὸ τοῖχον σιδηροῦν ἀναμέσον σου καὶ ἀναμέσον τῆς πόλεως, καὶ ἑτοιμάσεις τὸ πρόσωπόν σου ἐπ' αὐτὴν, καὶ ἔσται ἐν συγκλεισμῷ, καὶ συγκλείσεις αὐτήν· σημεῖόν ἐστι τοῦτο τοῖς υἱοῖς Ἰσραήλ.

4. Καὶ σὺ κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου τὸ ἀριστερὸν, καὶ θήσεις τὰς ἀδικίας τοῦ οἴκου Ἰσραὴλ ἐπ' αὐτοῦ, κατὰ ἀριθμὸν τῶν ἡμερῶν πεντήκοντα καὶ ἑκατὸν, ἃς κοιμηθήσῃ ἐπ' αὐτοῦ, καὶ λήψῃ τὰς ἀδικίας αὐτῶν.

5. Καὶ ἐγὼ δέδωκά σοι τὰς ἀδικίας αὐτῶν εἰς ἀριθμὸν ἡμερῶν ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας, καὶ λήψῃ τὰς ἀδικίας τοῦ οἴκου Ἰσραήλ.

6. Καὶ συντελέσεις ταῦτα, καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου τὸ δεξιὸν, καὶ λήψῃ τὰς ἀδικίας τοῦ οἴκου Ἰούδα τεσσαράκοντα ἡμέρας· ἡμέραν εἰς ἐνιαυτὸν τέθεικά σοι.

7. Καὶ εἰς τὸν συγκλεισμὸν Ἱερουσαλὴμ ἑτοιμάσεις τὸ πρόσωπόν σου, καὶ τὸν βραχίονά σου στερεώσεις, καὶ προφητεύσεις ἐπ' αὐτήν.

8. Καὶ ἐγὼ ἰδοὺ δέδωκα ἐπὶ σὲ δεσμοὺς, καὶ μὴ στραφῇς ἀπὸ τοῦ πλευροῦ σου ἐπὶ τὸ πλευρόν σου, ἕως οὗ συντελεσθῶσιν ἡμέραι τοῦ συγκλεισμοῦ σου.

9. Καὶ σὺ λάβε σεαυτῷ πυροὺς καὶ κριθὰς καὶ κύαμον καὶ φακὸν καὶ κέγχρον καὶ ὀλύραν, καὶ ἐμβαλεῖς αὐτὰ εἰς ἄγγος ἓν ὀστράκινον· καὶ ποιήσεις αὐτὰ σεαυτῷ εἰς ἄρτους, καὶ κατὰ ἀριθμὸν τῶν ἡμερῶν ἃς σὺ καθεύδεις ἐπὶ τοῦ πλευροῦ σου, ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας φάγεσαι αὐτά.

10. Καὶ τὸ βρῶμά σου φάγεσαι ἐν σταθμῷ, εἴκοσι σίκλους τὴν ἡμέραν, ἀπὸ καιροῦ ἕως καιροῦ φάγεσαι αὐτά.

11. Καὶ ὕδωρ ἐν μέτρῳ πίεσαι, καὶ τὸ ἕκτον τοῦ εἶν ἀπὸ καιροῦ ἕως καιροῦ πίεσαι.

12. Καὶ ἐγκρυφίαν κρίθινον φάγεσαι αὐτὰ, ἐν βολβίτοις κόπρου ἀνθρωπίνης ἐγκρύψεις αὐτὰ κατ' ὀφθαλμοὺς αὐτῶν,

24. et venit in me spiritus, et statuit me super pedes meos, et locutus est ad me, et dixit mihi : Ingredere, et includere in medio domus tuæ.

25. Et tu, fili hominis, ecce data sunt super te vincula, et ligabunt te in eis, et non egredieris de medio eorum :

26. et linguam tuam colligabo, et eris mutus, et non eris eis in virum objurgantem, quia domus exasperans est.

27. Et in loquendo me ad te, aperiam os tuum, et dices ad eos : Hæc dicit Dominus : Qui audit audiat, et qui est inobediens non obediat, quia domus exasperans est.

CAPUT IV.

1. Et tu, fili hominis, sume tibi laterem, et pones eum ante faciem tuam, et describes in eo civitatem Jerusalem,

2. et dabis super eam obsidionem, et ædificabis super eam propugnacula, et circumjacies super eam vallum, et dabis super eam castra, et ordinabis machinas missilium in gyro.

3. Et tu sume tibi sartaginem ferream, et pones eam murum ferreum inter te et civitatem, et parabis faciem tuam super eam, et erit in conclusione, et concludes eam : signum est hoc filiis Israel.

4. Et tu dormies super latus tuum sinistrum, et pones iniquitates domus Israel super eo, juxta numerum dierum quinquaginta et centum, quos dormies super illud, et assumes iniquitates eorum.

5. Et ego dedi tibi iniquitates eorum in numero dierum nonaginta et centum dies, et sumes iniquitates domus Israel.

6. Et consummabis hæc, et dormies super latus tuum dextrum, et assumes iniquitates domus Juda quadraginta diebus : diem in annum posui tibi.

7. Et ad conclusionem Jerusalem parabis faciem tuam, et brachium tuum roborabis, et prophetabis super eam.

8. Et ego ecce dedi super te vincula, et non te convertas de latere tuo in latus tuum, donec completi fuerint dies conclusionis tuæ.

9. Et tu sume tibi triticum et hordeum et fabam et lentem et milium et olyram, et mittes ea in vas unum testeum : et facies ea tibi in panes, et juxta numerum dierum quibus tu dormis super latus tuum, nonaginta et centum diebus comedes ea.

10. Et cibum tuum comedes in pondere, viginti siclos die, a tempore usque ad tempus comedes ea.

11. Et aquam in mensura bibes, et sextam partem In a tempore usque ad tempus bibes.

12. Et subcinericium hordeaceum comedes ea, in fimo stercoris humani abscondes ea ante oculos eorum,

13. καὶ ἐρεῖς· Τάδε λέγει Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ· Οὕτως φάγονται οἱ υἱοὶ τοῦ Ἰσραὴλ ἀκάθαρτα ἐν τοῖς ἔθνεσιν.

14. Καὶ εἶπα· Μηδαμῶς, Κύριε Θεὲ Ἰσραήλ· εἰ ἡ ψυχή μου οὐ μεμίανται ἐν ἀκαθαρσίᾳ, καὶ θνησιμαῖον καὶ θηριάλωτον οὐ βέβρωκα ἀπὸ γενέσεώς μου ἕως τοῦ νῦν, οὐδὲ εἰςελήλυθεν εἰς τὸ στόμα μου πᾶν κρέας ἕωλον.

15. Καὶ εἶπε πρός μέ· Ἰδοὺ δέδωκά σοι βόλβιτα βοῶν ἀντὶ τῶν ἀνθρωπίνων, καὶ ποιήσεις τοὺς ἄρτους σου ἐπ' αὐτῶν.

16. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ συντρίβω στήριγμα ἄρτου ἐν Ἱερουσαλὴμ, καὶ φάγονται ἄρτον ἐν σταθμῷ καὶ ἐν ἐνδείᾳ, καὶ ὕδωρ ἐν μέτρῳ καὶ ἐν ἀφανισμῷ πίονται,

17. ὅπως ἐνδεεῖς γένωνται ἄρτου καὶ ὕδατος· καὶ ἀφανισθήσεται ἄνθρωπος καὶ ἀδελφὸς αὐτοῦ, καὶ ἐντακήσονται ἐν ταῖς ἀδικίαις αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Καὶ σὺ, υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ ῥομφαίαν ὀξεῖαν ὑπὲρ ξυρὸν κουρέως, κτήσῃ αὐτὴν σεαυτῷ, καὶ ἐπάξεις αὐτὴν ἐπὶ τὴν κεφαλήν σου καὶ ἐπὶ τὸν πώγωνά σου. Καὶ λήψῃ ζυγὸν σταθμίων, καὶ διαστήσεις αὐτούς·

2. τὸ τέταρτον ἐν πυρὶ ἀνακαύσεις ἐν μέσῃ τῇ πόλει κατὰ τὴν πλήρωσιν τῶν ἡμερῶν τοῦ συγκλεισμοῦ, καὶ λήψῃ τὸ τέταρτον, καὶ κατακαύσεις αὐτὸ ἐν μέσῳ αὐτῆς, καὶ τὸ τέταρτον κατακόψεις ἐν ῥομφαίᾳ κύκλῳ αὐτῆς, καὶ τὸ τέταρτον διασκορπιεῖς τῷ πνεύματι· καὶ μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν.

3. Καὶ λήψῃ ἐκεῖθεν ὀλίγους ἐν ἀριθμῷ, καὶ συμπεριλήψῃ αὐτοὺς τῇ ἀναβολῇ σου.

4. Καὶ ἐκ τούτων λήψῃ ἔτι, καὶ ῥίψεις αὐτοὺς εἰς μέσον τοῦ πυρὸς, καὶ κατακαύσεις αὐτοὺς ἐν πυρί. Ἐξ αὐτῆς ἐξελεύσεται πῦρ. Καὶ ἐρεῖς παντὶ οἴκῳ Ἰσραήλ·

5. Τάδε λέγει Κύριος· Αὕτη ἡ Ἱερουσαλὴμ, ἐν μέσῳ τῶν ἐθνῶν τέθεικα αὐτὴν, καὶ τὰς κύκλῳ αὐτῆς χώρας.

6. Καὶ ἐρεῖς τὰ δικαιώματά μου τῇ ἀνόμῳ ἐκ τῶν ἐθνῶν, καὶ τὰ νόμιμά μου τῶν χωρῶν τῶν κύκλῳ αὐτῆς· διότι τὰ δικαιώματά μου ἀπώσαντο, καὶ ἐν τοῖς νομίμοις μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς.

7. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἡ ἀφορμὴ ὑμῶν ἐκ τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν, καὶ ἐν τοῖς νομίμοις μου οὐκ ἐπορεύθητε, καὶ τὰ δικαιώματά μου οὐκ ἐποιήσατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν οὐ πεποιήκατε·

8. διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, καὶ ποιήσω ἐν μέσῳ σου κρῖμα ἐνώπιον τῶν ἐθνῶν,

9. καὶ ποιήσω ἐν σοὶ ἃ οὐ πεποίηκα, καὶ ἃ οὐ ποιήσω ὅμοια αὐτοῖς ἔτι κατὰ πάντα τὰ βδελύγματά σου.

10. Διὰ τοῦτο πατέρες φάγονται τέκνα ἐν μέσῳ σου, καὶ τέκνα φάγονται πατέρας. Καὶ ποιήσω ἐν σοὶ κρίματα, καὶ διασκορπιῶ πάντας τοὺς καταλοίπους σου εἰς πάντα ἄνεμον.

(*) 11. Διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει Κύριος, ἦ μὴν ἀνθ'

(*) 11. Διὰ τοῦτο ζῶ ἐγὼ, λέγει Ἀδωναὶ Κύριος, εἰ μὴ ἀνθ' ὧν τὰ ἁγιά μου ἐμίανας ἐν πᾶσι τοῖς προσοχθίσμασί σου, καὶ ἐν πᾶσι τοῖς βδελύγμασί σου, καὶ ἐγὼ ἀπώσομαί σε, καὶ οὐ φείσεταί μου ὁ ὀφθαλμὸς, καὶ ἐγὼ οὐκ ἐλεήσω σε. (*Alex.*)

13. et dices : Hæc dicit Dominus Deus Israel : Sic comedent filii Israel immunda in gentibus.

14. Et dixi : Nequaquam, Domine Dee Israel : si anima mea non est polluta in immunditia, et morticinum et a bestiis laceratum non comedi a nativitate mea usque nunc, et non est ingressa in os meum omnis caro rancida.

15. Et dixit ad me : Ecce dedi tibi stercora boum pro stercoribus humanis, et facies panes tuos super ea.

16. Et dixit ad me : Fili hominis, ecce ego contero fulcimentum panis in Jerusalem, et comedent panem in pondere et in penuria, et aquam in mensura et in interitu bibent,

17. ut egentes fiant panis et aquæ; et delebitur homo et frater ejus, et contabescent in iniquitatibus suis.

CAPUT V.

1. Et tu, fili hominis, sume tibi gladium acutum super novaculam tonsoris, posside eam tibi, et duces eam super caput tuum et super barbam tuam. Et assumes stateram ponderum, et divides eos :

2. quartam partem in igni combures in media civitate juxta completionem dierum conclusionis, et assumes quartam, et combures eam in medio ejus, et quartam concides in gladio in circuitu ejus, et quartam disperges vento : et gladium nudabo post eos.

3. Et assumes inde paucos in numero, et circumligabis eos indumento tuo.

4. Et ex his sumes adhuc, et projicies eos in medium ignis, et combures eos in igni. Ex ea egredietur ignis. Et dices omni domui Israel :

5. Hæc dicit Dominus : Ista est Jerusalem, in medio gentium posui eam, et quæ sunt in circuitu ejus terras.

6. Et dices justificationes meas ipsi iniquæ ex gentibus, et legitima mea de regionibus quæ sunt in circuitu ejus : justificationes enim meas projecerunt, et in legitimis meis non ambulaverunt in eis.

7. Idcirco hæc dicit Dominus : Quia occasio vestra de gentibus quæ in circuitu vestro sunt, et in legitimis meis non ambulastis, et justificationes meas non fecistis, sed neque juxta justificationes gentium quæ in circuitu vestro sunt fecistis :

8. ideo hæc dicit Dominus : Ecce ego super te, et faciam in medio tui judicium coram gentibus,

9. et faciam in te quæ non feci, et quæ non faciam similia eis ultra secundum omnes abominationes tuas.

10. Idcirco patres comedent filios in medio tui, et filii comedent patres. Et faciam in te judicia, et dispergam omnes residuos tuos in omnem ventum.

11. Idcirco vivo ego, dicit Dominus, profecto pro eo quod

11. Idcirco vivo ego, dicit Dominus Dominus, nisi pro eo quod sancta mea violasti in omnibus offensionibus tuis, et in omnibus abominationibus tuis, et ego repellam te; et non parcet oculus meus, et ego non miserebor tui.

ὧν τὰ ἅγιά μου ἐμίανας ἐν πᾶσι τοῖς βδελύγμασί σου, κἀγὼ ἀπώσομαί σε· οὐ φείσεταί μου ὁ ὀφθαλμὸς, κἀγὼ οὐκ ἐλεήσω.

12. Τὸ τέταρτόν σου ἐν θανάτῳ ἀναλωθήσεται, καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται ἐν μέσῳ σου, καὶ τὸ τέταρτόν σου εἰς πάντα ἄνεμον σκορπιῶ αὐτοὺς, καὶ τὸ τέταρτόν σου ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου, καὶ μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν.

13. Καὶ συντελεσθήσεται ὁ θυμός μου καὶ ἡ ὀργή μου ἐπ' αὐτοὺς, καὶ ἐπιγνώσῃ διότι ἐγὼ Κύριος λελάληκα ἐν ζήλῳ μου, ἐν τῷ συντελέσαι με τὴν ὀργήν μου ἐπ' αὐτούς.

14. Καὶ θήσομαί σε εἰς ἔρημον, καὶ τὰς θυγατέρας σου κύκλῳ σου ἐνώπιον παντὸς διοδεύοντος·

15. καὶ ἔσῃ στενακτὴ καὶ δηλαϊστὴ ἐν τοῖς ἔθνεσι τοῖς κύκλῳ σου, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα ἐν ἐκδικήσει θυμοῦ μου.

16. Ἐγὼ Κύριος λελάληκα. Καὶ ἐν τῷ ἀποστεῖλαί με βολίδας τοῦ λιμοῦ ἐπ' αὐτοὺς, καὶ ἔσονται εἰς ἔκλειψιν, καὶ συντρίψω στήριγμα ἄρτου σου·

17. καὶ ἐξαποστελῶ ἐπὶ σὲ λιμὸν καὶ θηρία πονηρὰ, καὶ τιμωρήσομαί σε, καὶ θάνατος καὶ αἷμα διελεύσονται ἐπὶ σὲ, καὶ ῥομφαίαν ἐπάξω ἐπὶ σὲ κυκλόθεν. Ἐγὼ Κύριος λελάληκα.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ τὰ ὄρη Ἰσραὴλ, καὶ προφήτευσον ἐπ' αὐτὰ,

3. καὶ ἐρεῖς· Τὰ ὄρη Ἰσραὴλ, ἀκούσατε λόγον Κυρίου. Τάδε λέγει Κύριος τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξι καὶ ταῖς νάπαις· Ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ῥομφαίαν, καὶ ἐξολοθρευθήσεται τὰ ὑψηλὰ ὑμῶν,

4. καὶ συντριβήσονται τὰ θυσιαστήρια ὑμῶν καὶ τὰ τεμένη ὑμῶν, καὶ καταβαλῶ τραυματίας ὑμῶν ἐνώπιον τῶν εἰδώλων ὑμῶν.

(*) 5. Καὶ διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν

6. καὶ ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν. Αἱ πόλεις ἐξερημωθήσονται καὶ τὰ ὑψηλὰ ἀφανισθήσεται, ὅπως ἐξολοθρευθῇ τὰ θυσιαστήρια ὑμῶν, καὶ συντριβήσονται τὰ εἴδωλα ὑμῶν καὶ ἐξαρθῇ τὰ τεμένη ὑμῶν.

7. Καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος.

8. Ἐν τῷ γενέσθαι ἐξ ὑμῶν ἀνασωζομένους ἐκ ῥομφαίας ἐν τοῖς ἔθνεσι, καὶ ἐν τῷ διασκορπισμῷ ὑμῶν ἐν ταῖς χώραις,

9. καὶ μνησθήσονταί μου οἱ ἀνασωζόμενοι ἐξ ὑμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ᾐχμαλωτεύθησαν ἐκεῖ. Ὀμώμοκα τῇ καρδίᾳ αὐτῶν τῇ ἐκπορνευούσῃ ἀπ' ἐμοῦ, καὶ τοῖς

(*) 5. Καὶ δώσω τὰ πτώματα τῶν υἱῶν Ἰσραὴλ κατὰ πρόσωπον τῶν εἰδώλων αὐτῶν, καὶ διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν.

6. Ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν αἱ πόλεις ἐξερημωθήσονται, καὶ τὰ ὑψηλὰ ἀφανισθήσονται, ὅπως ἐξολεθρευθῇ τὰ θυσιαστήρια ὑμῶν· καὶ συντριβήσονται τὰ εἴδωλα ὑμῶν, καὶ ἐξαρθήσεται τὰ τεμένη ὑμῶν, καὶ ἐξαλειφθῶσι τὰ ἔργα ὑμῶν. (*Alex.*)

sancta mea polluisti in omnibus abominationibus tuis, et ego abjiciam te : non parcet oculus meus, et ego non miserebor.

12. Quarta tui pars in morte consumetur, et quarta tui pars in fame consumetur in medio tui, et quartam tui partem in omnem ventum dispergam eos, et quarta pars tui in gladio cadent in circuitu tuo, et gladium nudabo post eos.

13. Et complebitur furor meus et ira mea super eos, et scies quia ego Dominus locutus sum in zelo meo, in complendo me iram meam super eos.

14. Et ponam te in desertum, et filias tuas in circuitu tuo in conspectu omnis præterenntis :

15. et eris gemibilis et misera in gentibus quæ in circuitu tuo, in faciendo me judicia in te in ultione furoris mei.

16. Ego Dominus locutus sum. Et in emittendo me sagittas famis super eos, et erunt in defectionem, et conteram firmamentum panis tui :

17. et emittam super te famem et bestias pessimas, et puniam te, et mors et sanguis transibunt super te, et gladium inducam super te in circuitu. Ego Dominus locutus sum.

CAPUT VI.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, firma faciem tuam ad montes Israel, et propheta ad eos,

3. et dices : Montes Israel, audite verbum Domini. Hæc dicit Dominus montibus et collibus et vallibus et rupibus : Ecce ego induco super vos gladium, et disperdentur excelsa vestra,

4. et conterentur altaria vestra et delubra vestra, et dejiciam interfectos vestros ante idola vestra.

5. Et dispergam ossa vestra in circuitu altarium vestrorum

6. et in omni habitatione vestra. Urbes desertæ erunt et excelsa delebuntur, ut exterminentur altaria vestra, et conterentur idola vestra et auferentur delubra vestra.

7. Et cadent interfecti in medio vestri, et scietis quia ego Dominus.

8. Dum fuerint ex vobis evadentes a gladio in gentibus, et in dispersione vestra in regionibus,

9. et recordabuntur mei qui evaserint ex vobis in gentibus, quo captivi ducti fuerint illuc. Juravi cordi eorum fornicanti a me, et oculis eorum fornicantibus post adin-

5. Et dabo cadavera filiorum Israel ante faciem simulacrorum suorum, et dispergam ossa vestra circum aras vestras.

6. In omni habitatione vestra urbes desertæ erunt, et excelsa evanescent, ut disperdantur aræ vestræ : et conterentur idola vestra, et tollentur delubra vestra, et delebuntur opera vestra.

ὀφθαλμοῖς αὐτῶν τοῖς ἐκπορνεύουσιν ὀπίσω τῶν ἐπιτηδευμάτων αὐτῶν. Καὶ κόψονται πρόσωπα αὐτῶν ἐν πᾶσι τοῖς βδελύγμασιν αὐτῶν,

(*) 10. καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος λελάληκα.

11. Τάδε λέγει Κύριος· Κρότησον τῇ χειρὶ καὶ ψόφησον τῷ ποδὶ, καὶ εἰπόν· Εὖγε, εὖγε, ἐπὶ πᾶσι τοῖς βδελύγμασιν οἴκου Ἰσραήλ. Ἐν ῥομφαίᾳ καὶ ἐν θανάτῳ καὶ ἐν λιμῷ πεσοῦνται·

12. ὁ ἐγγὺς ἐν ῥομφαίᾳ πεσεῖται, ὁ δὲ μακρὰν ἐν θανάτῳ τελευτήσει, καὶ ὁ περιεχόμενος ἐν λιμῷ συντελεσθήσεται. Καὶ συντελέσω τὴν ὀργήν μου ἐπ' αὐτοὺς,

(**) 13. καὶ γνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ εἶναι τοὺς τραυματίας ὑμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν, ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ὑποκάτω δένδρου συσκίου, οὗ ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας πᾶσι τοῖς εἰδώλοις αὐτῶν.

14. Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ θήσομαι τὴν γῆν εἰς ἀφανισμὸν καὶ εἰς ὄλεθρον ἀπὸ τῆς ἐρήμου Δεβλαθὰ ἐκ πάσης τῆς κατοικεσίας αὐτῶν· ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰπόν· Τάδε λέγει Κύριος· Τῇ γῇ τοῦ Ἰσραὴλ πέρας ἥκει, τὸ πέρας ἥκει ἐπὶ τὰς τέσσαρας πτέρυγας τῆς γῆς. (a)

7. Ἥκει τὸ πέρας ἐπὶ σὲ, τὸν κατοικοῦντα τὴν γῆν· ἥκει ὁ καιρὸς, ἤγγικεν ἡ ἡμέρα, οὐ μετὰ θορύβων, οὐδὲ μετὰ ὠδίνων.

8. Νῦν ἐγγύθεν ἐκχεῶ τὴν ὀργήν μου ἐπὶ σὲ, καὶ συντελέσω τὸν θυμόν μου ἐν σοὶ, καὶ κρινῶ σε ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου·

9. οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω· διότι τὰς ὁδούς σου ἐπὶ σὲ δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσονται, καὶ ἐπιγνώσῃ διότι ἐγώ εἰμι Κύριος ὁ τύπτων.

(***) (a) 3. Νῦν τὸ πέρας πρὸς σὲ, καὶ ἀποστελῶ ἐγὼ ἐπὶ σὲ, καὶ ἐκδικήσω ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου,

4. οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω, διότι τὴν ὁδόν σου ἐπὶ σὲ δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσται, καὶ ἐπιγνώσῃ διότι ἐγὼ Κύριος.

5. Διότι τάδε λέγει Κύριος· (****)

10. Ἰδοὺ τὸ πέρας ἥκει, ἰδοὺ ἡ ἡμέρα Κυρίου· εἰ καὶ ἡ ῥάβδος ἤνθηκεν, ἡ ὕβρις ἐξανέστηκε.

11. Καὶ συντρίψει στήριγμα ἀνόμου, καὶ οὐ μετὰ θορύβου, οὐδὲ μετὰ σπουδῆς.

(*) 10. Καὶ ἐπιγνώσονται ὅτι ἐγὼ Κύριος οὐκ εἰς δωρεὰν λελάληκα τοῦ ποιῆσαι αὐτοῖς ἅπαντα τὰ κακὰ ταῦτα. (*Alex.*)

(**) 13. Καὶ γνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ εἶναι τοὺς τραυματίας ὑμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν, κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν· ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ἐν πάσαις κορυφαῖς τῶν ὀρέων, καὶ ὑποκάτω δένδρου συσκίου, καὶ ὑποκάτω πάσης δρυὸς δασείας, οὗ ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας πᾶσι τοῖς εἰδώλοις αὐτῶν. (*Alex.*)

(***) 3. Ἥκει τὸ πέρας, νῦν τὸ πέρας πρός σε, καὶ ἀποστελῶ ἐγὼ ἐπὶ σὲ, καὶ ἐκδικήσω σε ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου. (*Alex.*)

(****) 6. Τὸ πέρας ἥκει, ἥκει τὸ πέρας, ἐξηγέρθη πρὸς σὲ, ἰδοὺ ἥκει τὸ πέρας. (*Grab. ex Cod. reg.*)

ventiones suas. Et percutient facies suas in omnibus abominationibus suis,

10. et scient quia ego Dominus locutus sum.

11. Hæc dicit Dominus : Plaude manu et obstrepe pede, et dic : Euge, euge, super omnibus abominationibus domus Israel. In gladio et in morte et in fame cadent :

12. qui prope in gladio cadet, qui vero longe in morte peribit, et qui circumdatus fuerit in fame consumetur. Et implebo iram meam super eos,

13. et scietis quia ego Dominus, cum fuerint interfecti vestri in medio idolorum vestrorum in circuitu altarium vestrorum, super omnem collem excelsum, et subter arborem umbrosam, ubi dederunt illic odorem suavitatis universis idolis suis.

14. Et extendam manum meam super eos, et ponam terram in desolationem et in perditionem a deserto Deblatha ex omni habitatione eorum : scietis quia ego Dominus.

CAPUT VII.

1. Et factum est verbum Domini ad me, dicens :

2. Et tu, fili hominis, dic : Hæc dicit Dominus : Terræ Israel finis venit, finis venit super quatuor alas terræ.

7. Venit finis super te, qui habitas terram : venit tempus, appropinquavit dies, non cum perturbationibus, neque cum doloribus.

8. Nunc de propinquo effundam iram meam super te, et complebo furorem meum in te, et judicabo te in viis tuis, et dabo super te omnes abominationes tuas :

9. non parcet oculus meus, neque miserebor : quia vias tuas super te dabo, et abominationes tuæ in medio tui erunt, et scies quia ego Dominus qui percutio.

3. Nunc finis ad te, et mittam ego super te, et ulciscar in vias tuas, et dabo super te omnes abominationes tuas,

4. non parcet oculus meus, neque miserebor, quia viam tuam super te dabo, et abominationes tuæ in medio tui erunt, et scies quia ego Dominus.

5. Hæc enim dicit Dominus :

10. Ecce finis venit, ecce dies Domini : si et virga floruit, contumelia surrexit.

11. Et conteret firmamentum iniqui, et non cum perturbatione, neque cum festinatione.

---

10. Et cognoscent, quia ego Dominus non frustra locutus sum, ut facerem eis omnia mala hæc.

13. Et cognoscetis quia ego Dominus, cum fuerint interfecti vestri in medio idolorum vestrorum, in circuitu ararum vestrarum : in omni colle excelso et in omnibus summitatibus montium, et subtus omne lignum umbrosum, et subtus omnem quercum frondosam, ubi dederunt odorem suaveolentiæ omnibus idolis suis.

3. Venit finis, nunc finis ad te, et emittam ego super te, et vindicabo te in omnibus viis tuis, et dabo super te omnes abominationes tuas.

6. Finis venit, venit finis, evigilavit adversum te, ecce venit finis.

12. Ἥκει ὁ καιρὸς, ἰδοὺ ἡ ἡμέρα. Ὁ κτώμενος μὴ χαιρέτω, καὶ ὁ πωλῶν μὴ θρηνείτω· (*)

13. διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα οὐκέτι μὴ ἐπιστρέψει, καὶ ἄνθρωπος ἐν ὀφθαλμῷ ζωῆς αὐτοῦ οὐ κρατήσει.

14. Σαλπίσατε ἐν σάλπιγγι, καὶ κρίνατε τὰ σύμπαντα.

15. Ὁ πόλεμος ἐν ῥομφαίᾳ ἔξωθεν, καὶ ὁ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν. Ὁ ἐν τῷ πεδίῳ ἐν ῥομφαίᾳ τελευτήσει, τοὺς δ' ἐν τῇ πόλει λιμὸς καὶ θάνατος συντελέσει.

(**) 16. Καὶ ἀνασωθήσονται οἱ ἀνασωζόμενοι ἐξ αὐτῶν, καὶ ἔσονται ἐπὶ τῶν ὀρέων. Καὶ πάντας ἀποκτενῶ, ἕκαστον ἐν ταῖς ἀδικίαις αὐτοῦ.

17. Πᾶσαι χεῖρες ἐκλυθήσονται, καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ,

18. καὶ περιζώσονται σάκκους, καὶ καλύψει αὐτοὺς θάμβος· καὶ ἐπὶ πᾶν πρόσωπον αἰσχύνη ἐπ' αὐτοὺς, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα.

(***) 19. Τὸ ἀργύριον αὐτῶν ῥιφήσεται ἐν ταῖς πλατείαις, καὶ τὸ χρυσίον αὐτῶν ὑπεροφθήσεται. Αἱ ψυχαὶ αὐτῶν οὐ μὴ ἐμπλησθῶσι, καὶ αἱ κοιλίαι αὐτῶν οὐ μὴ πληρωθῶσι, διότι βάσανος τῶν ἀδικιῶν αὐτῶν ἐγένετο.

20. Ἐκλεκτὰ κόσμου εἰς ὑπερηφανίαν ἔθεντο αὐτὰ, καὶ εἰκόνας τῶν βδελυγμάτων αὐτῶν ἐποίησαν ἐξ αὐτῶν. Ἕνεκεν τούτου δέδωκα αὐτὰ αὐτοῖς εἰς ἀκαθαρσίαν,

21. καὶ παραδώσω αὐτὰ εἰς χεῖρας ἀλλοτρίων, τοῦ διαρπάσαι αὐτὰ, καὶ τοῖς λοιμοῖς τῆς γῆς εἰς σκῦλα, καὶ βεβηλώσουσιν αὐτά.

22. Καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ μιανοῦσι τὴν ἐπισκοπήν μου, καὶ εἰσελεύσονται εἰς αὐτὰ ἀφυλάκτως, καὶ βεβηλώσουσιν αὐτὰ,

23. καὶ ποιήσουσι φυρμόν· διότι ἡ γῆ πλήρης λαῶν, καὶ ἡ πόλις πλήρης ἀνομίας.

(****) 24. Καὶ ἀποστρέψω τὸ φρύαγμα τῆς ἰσχύος αὐτῶν, καὶ μιανθήσεται τὰ ἅγια αὐτῶν.

25. Καὶ ἐξιλασμὸς ἥξει, καὶ ζητήσει εἰρήνην, καὶ οὐκ ἔσται.

26. Οὐαὶ ἐπὶ οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν ἔσται, καὶ ζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως, καὶ βουλὴ ἐκ πρεσβυτέρων.

(*) 12. ... ὅτι ὀργὴ εἰς πᾶν τὸ πλῆθος αὐτῆς.

13. Διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα οὐκέτι οὐ μὴ ἐπιστρέψῃ, καὶ ἔτι ἐν ζωῇ τὸ ζῆν αὐτῶν, ὅτι ὅρασις εἰς πᾶν τὸ πλῆθος αὐτῆς οὐκ ἀνακάμψει, καὶ ἄνθρωπος ἐν ὀφθαλμῷ ζωῆς αὐτοῦ οὐ κρατήσει.

14. Σαλπίσατε ἐν σάλπιγγι, κρίνατε τὰ σύμπαντα, καὶ οὐκ ἔστι πορευόμενος εἰς τὸν πόλεμον, ὅτι ἡ ὀργή μου εἰς πᾶν τὸ πλῆθος αὐτῆς. (*Alex.*)

(**) 16. Καὶ ἀνασωθήσονται οἱ ἀνασωζόμενοι ἐξ αὐτῶν, καὶ ἔσονται ἐπὶ τῶν ὀρέων ὡς περιστεραὶ μηλετητικαί· πάντας ἀποκτενῶ, ἕκαστον ἐν ταῖς ἀδικίαις αὐτοῦ. (*Alex.*)

(***) 19. Τὸ ἀργύριον αὐτῶν ῥιφήσεται ἐν ταῖς πλατείαις, καὶ τὸ χρυσίον αὐτῶν ὑπεροφθήσεται. Τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ δυνηθήσεται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς Κυρίου· αἱ ψυχαὶ αὐτῶν οὐ μὴ ἐμπλησθῶσι, καὶ αἱ κοιλίαι αὐτῶν οὐ μὴ πληρωθῶσι, διότι βάσανος τῶν ἀδικιῶν αὐτῶν ἐγένετο. (*Alex.*)

(****) 24. Καὶ ἄξω πονηροὺς ἐθνῶν, καὶ κληρονομήσουσι τοὺς οἴκους αὐτῶν· καὶ ἀποστρέψω τὸ φρύαγμα τῆς ἰσχύος αὐτῶν, καὶ μιανθήσεται τὰ ἅγια αὐτῶν. (*Alex.*)

12. Venit tempus, ecce dies. Qui emit non lætetur, et qui vendit non lugeat :

13. quia emens ad vendentem non ultra revertetur, et homo in oculo vitæ suæ non obtinebit.

14. Clangite in tuba, et judicate omnia.

15. Bellum in gladio foris, et fames et mors intrinsecus. Qui in campo est in gladio morietur, eos autem qui in civitate fames et mors consumet.

16. Et salvi evadent qui evadunt ex eis, et erunt super montes. Et omnes occidam, unumquemque in iniquitatibus suis.

17. Omnes manus dissolventur, et omnia femora polluentur humore,

18. et accingent se ciliciis, et operiet eos formido : et super omnem faciem confusio super eos, et super omne caput calvitium.

19. Argentum eorum in plateis projicietur, et aurum eorum erit contemptui. Animæ eorum non saturabuntur, et ventres eorum non implebuntur, quia cruciatus iniquitatum eorum fuit.

20. Electa mundi in superbiam posuerunt ea, et imagines abominationum suarum fecerunt ex eis. Propter hoc dedi ea illis in immunditiam,

21. et tradam ea in manus alienorum, ut diripiant ea, et pestilentibus terræ in spolia, et polluent ea.

22. Et avertam faciem meam ab eis, et violabunt visitationem meam, et ingredientur in ea temere, et contaminabunt ea,

23. et facient perturbationem : quia terra plena populorum, et civitas plena iniquitatis.

24. Et avertam fremitum fortitudinis eorum, et polluentur sancta eorum.

25. Et propitiatio veniet, et quæret pacem, et non erit.

26. Væ super væ erit, et nuntius super nuntium erit, et quæretur visio de propheta, et lex peribit a sacerdote, et consilium a senioribus.

12... quia ira in omnem multitudinem ejus.

13. Quia emens ad vendentem non amplius revertetur, et adhuc in viventibus vita eorum, quia visio in omnem multitudinem ejus non revertetur, et homo in oculo vitæ suæ non confortatibur.

14. Canite in tuba, judicate universa, et non est vadens in bellum, quia ira mea in omnem multitudinem ejus.

16. Et salvabuntur qui fugerint ex eis, et erunt in montibus quasi columbæ (*Vulg.* convallium) : omnes interficiam, unumquemque in iniquitatibus suis.

19. Argentum eorum projicietur in plateis, et aurum eorum despicietur. Argentum eorum et aurum eorum non poterit eripere eos in die iræ Domini : animæ eorum non saturabuntur, et ventres eorum non implebuntur, quia exploratio iniquitatum eorum facta est.

24. Et adducam pessimos de gentibus, et hæreditabunt domos eorum : et avertam fremitum fortitudinis eorum, et polluentur sancta eorum.

(**) 27. Ἄρχων ἐνδύσεται ἀφανισμὸν, καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς γῆς παραλυθήσονται. Κατὰ τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς, καὶ ἐν τοῖς κρίμασιν αὐτῶν ἐκδικήσω αὐτοὺς, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ ἐγένετο ἐν τῷ ἕκτῳ ἔτει, ἐν τῷ πέμπτῳ μηνὶ, πέμπτῃ τοῦ μηνὸς, ἐγὼ ἐκαθήμην ἐν τῷ οἴκῳ, καὶ οἱ πρεσβύτεροι Ἰούδα ἐκάθηντο ἐνώπιόν μου. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου,

2. καὶ ἴδον, καὶ ἰδοὺ ὁμοίωμα ἀνδρός· ἀπὸ τῆς ὀσφύος αὐτοῦ καὶ ἕως κάτω πῦρ, καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ ὑπεράνω αὐτοῦ ὡς ὅρασις ἠλέκτρου.

3. Καὶ ἐξέτεινεν ὁμοίωμα χειρὸς, καὶ ἀνέλαβέ με τῆς κορυφῆς μου, καὶ ἀνέλαβέ με πνεῦμα ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ, καὶ ἤγαγέ με εἰς Ἱερουσαλὴμ ἐν ὁράσει Θεοῦ ἐπὶ τὰ πρόθυρα τῆς πύλης τῆς βλεπούσης εἰς βοῤῥᾶν, οὗ ἦν ἡ στήλη τοῦ κτωμένου.

4. Καὶ ἰδοὺ ἦν ἐκεῖ δόξα Κυρίου Θεοῦ Ἰσραὴλ κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐν τῷ πεδίῳ.

5. Καὶ εἶπε πρός μέ· Υἱὲ ἀνθρώπου, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου πρὸς βοῤῥᾶν. Καὶ ἀνέβλεψα τοῖς ὀφθαλμοῖς μου πρὸς βοῤῥᾶν, καὶ ἰδοὺ ἀπὸ βοῤῥᾶ ἐπὶ τὴν πύλην (*) τὴν πρὸς ἀνατολάς.

6. Καὶ εἶπε πρός μέ· Υἱὲ ἀνθρώπου, ἑώρακας τί οὗτοι ποιοῦσιν; Ἀνομίας μεγάλας ποιοῦσιν ὧδε, τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων μου, καὶ ἔτι ὄψει ἀνομίας μείζονας.

(***) 7. Καὶ εἰςήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς,

8. καὶ εἶπε πρός μέ· Υἱὲ ἀνθρώπου, ὄρυξον. Καὶ ὤρυξα, καὶ ἰδοὺ θύρα.

9. Καὶ εἶπε πρός μέ· Εἴςελθε, καὶ ἴδε τὰς ἀνομίας ἃς οὗτοι ποιοῦσιν ὧδε.

10. Καὶ εἰςῆλθον, καὶ ἴδον, καὶ ἰδοὺ μάταια, βδελύγματα, καὶ πάντα τὰ εἴδωλα οἴκου Ἰσραὴλ διαγεγραμμένα ἐπ' αὐτοὺς κύκλῳ.

11. Καὶ ἑβδομήκοντα ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ἰσραὴλ, καὶ Ἰεχονίας ὁ τοῦ Σαφὰν ἐν μέσῳ αὐτῶν εἱστήκει πρὸ προςώπου αὐτῶν, καὶ ἕκαστος θυμιατήριον αὐτοῦ εἶχεν ἐν τῇ χειρὶ, καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἀνέβαινε.

12. Καὶ εἶπε πρός μέ· Ἑώρακας, υἱὲ ἀνθρώπου, ἃ οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ποιοῦσιν, ἕκαστος αὐτῶν ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν· διότι εἶπαν· Οὐχ ὁρᾷ ὁ Κύριος, ἐγκαταλέλοιπε Κύριος τὴν γῆν.

13. Καὶ εἶπε πρός μέ· Ἔτι ὄψει ἀνομίας μείζονας ἃς οὗτοι ποιοῦσι.

14. Καὶ εἰςήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου Κυρίου τῆς βλεπούσης πρὸς βοῤῥᾶν· καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι θρηνοῦσαι τὸν Θαμμούζ.

(*) 5. ... τοῦ θυσιαστηρίου ἡ εἰκὼν τοῦ ζήλου τούτου ἐν τῷ εἰσπορεύεσθαι αὐτήν... (*Alex.*)

(**) 27. Ὁ βασιλεὺς πενθήσει, καὶ ὁ ἄρχων ἐνδύσεται ἀφανισμὸν, καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς γῆς παραλυθήσονται· κατὰ τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς, καὶ ἐν τοῖς κρίμασιν αὐτῶν ἐκδικήσω αὐτοὺς, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος. (*Alex.*)

(***) 7 Καὶ εἰςήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς, καὶ ἴδον, καὶ ἰδοὺ ὀπὴ μία ἐν τῷ τοίχῳ. (*Alex.*)

27. Princeps induetur interitu, et manus populi terræ dissolventur. Secundum vias eorum faciam eis, et in judiciis eorum ulciscar eos, et scient quia ego Dominus.

CAPUT VII

1. Et factum est in sexto anno, in quinto mense, quinta mensis, ego sedebam in domo, et seniores Juda sedebant coram me. Et facta est super me manus Domini,

2. et vidi, et ecce similitudo viri : a lumbo ejus et usque deorsum ignis, et a lumbo ejus et supra eum quasi visio electri.

3. Et extendit similitudinem manus, et assumpsit me vertice meo, et assumpsit me spiritus inter terram et cœlum, et adduxit me in Jerusalem in visione Dei ad vestibula portæ quæ respicit ad aquilonem, ubi erat statua possidentis.

4. Et ecce erat ibi gloria Domini Dei Israel secundum visionem quam vidi in campo.

5. Et dixit ad me : Fili hominis, respice oculis tuis ad aquilonem. Et respexi oculis meis ad aquilonem, et ecce ab aquilone ad portam orientalem.

6. Et dixit ad me : Fili hominis, vidisti quid hi faciunt? Iniquitates magnas faciunt hic, ut abstineant a sanctis meis, et adhuc videbis iniquitates majores.

7. Et introduxit me ad vestibula atrii,

8. et dixit ad me : Fili hominis, fode. Et fodi, et ecce ostium.

9. Et dixit ad me : Ingredere, et vide iniquitates quas isti faciunt hic.

10. Et introivi, et vidi, et ecce vana, abominationes, et universa idola domus Israel descripta super eos in circuitu.

11. Et septuaginta viri de senioribus domus Israel, et Jechonias filius Saphan in medio eorum stabat ante faciem eorum, et unusquisque thuribulum suum habebat in manu, et vapor incensi ascendebat.

12. Et dixit ad me : Vidisti, fili hominis, quæ seniores domus Israel faciunt, unusquisque ipsorum in cubiculo abscondito suo : quia dixerunt : Non videt Dominus, dereliquit Dominus terram.

13. Et dixit ad me : Adhuc videbis iniquitates majores quas isti faciunt.

14. Et introduxit me in vestibula portæ domus Domini quæ respicit ad aquilonem : et ecce ibi mulieres sedentes plangentes Thammuz.

---

5. ... altaris idolum zeli hujus in ipso introitu...

27. Rex lugebit, et princeps induetur mœrore, et manus populi terræ dissolventur : secundum vias eorum faciam eis, et in judiciis eorum vindicabo eos, et cognoscent quia ego Dominus.

7. Et introduxit me ad ostium atrii, et vidi, et ecce foramen unum in pariete.

15. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, ἑώρακας, καὶ ἔτι ὄψει ἐπιτηδεύματα μείζονα τούτων.

16. Καὶ εἰςήγαγέ με εἰς τὴν αὐλὴν οἴκου Κυρίου τὴν ἐσωτέραν, καὶ ἐπὶ τῶν προθύρων τοῦ ναοῦ Κυρίου ἀναμέσον τῶν αἰλὰμ καὶ ἀναμέσον τοῦ θυσιαστηρίου, ὡς εἴκοσιν ἄνδρες τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν τοῦ Κυρίου, καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι, καὶ οὗτοι προσκυνοῦσι τῷ ἡλίῳ.

17. Καὶ εἶπε πρὸς μέ· Ἑώρακας, υἱὲ ἀνθρώπου· μὴ μικρὰ τῷ οἴκῳ Ἰούδα τοῦ ποιεῖν τὰς ἀνομίας ἃς πεποιήκασιν ὧδε, διότι ἔπλησαν τὴν γῆν ἀνομίας; Καὶ ἰδοὺ αὐτοὶ ὡς μυκτηρίζοντες.

(*) 18. Καὶ ἐγὼ ποιήσω αὐτοῖς μετὰ θυμοῦ· οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω.

15. Et dixit ad me: Fili hominis, vidisti, et adhuc videbis adinventiones majores his.

16. Et introduxit me in atrium domus Domini interius, et super vestibula templi Domini inter ælam et altare, quasi viginti viri posteriora sua ad templum Domini, et facies suas contra, et hi adorant solem.

17. Et dixit ad me: Vidisti, fili hominis: numquid parva domui Juda ut facerent iniquitates quas fecerunt hic, quia repleverunt terrram iniquitate? Et ecce ipsi quasi subsannantes.

18. Et ego faciam eis cum furore: non parcet oculus meus, nec miserebor.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Καὶ ἀνέκραγεν εἰς τὰ ὦτά μου φωνῇ μεγάλῃ, λέγων· Ἤγγικεν ἡ ἐκδίκησις τῆς πόλεως. Καὶ ἕκαστος εἶχε τὰ σκεύη τῆς ἐξολοθρεύσεως ἐν χειρὶ αὐτοῦ.

2. Καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς τῆς βλεπούσης πρὸς βοῤῥᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ, καὶ εἰςῆλθοσαν καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ.

3. Καὶ δόξα Θεοῦ τοῦ Ἰσραὴλ ἀνέβη ἀπὸ τῶν Χερουβὶμ, ἡ οὖσα ἐπ' αὐτῶν εἰς τὸ αἴθριον τοῦ οἴκου. Καὶ ἐκάλεσε τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη, ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος αὐτοῦ τὴν ζώνην,

4. καὶ εἶπε πρὸς αὐτόν· Δίελθε μέσην Ἱερουσαλὴμ, καὶ δὸς σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ τῶν κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν.

5. Καὶ τούτοις εἶπεν ἀκούοντός μου· Πορεύεσθε ὀπίσω αὐτοῦ εἰς τὴν πόλιν, καὶ κόπτετε, καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε·

6. πρεσβύτερον καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. Ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον μὴ ἐγγίσητε· ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. Καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν πρεσβυτέρων οἳ ἦσαν ἔσω ἐν τῷ οἴκῳ.

7. Καὶ εἶπε πρὸς αὐτούς· Μιάνατε τὸν οἶκον, καὶ πλήσατε τὰς ὁδοὺς νεκρῶν ἐκπορευόμενοι, καὶ κόπτετε.

8. Καὶ ἐγένετο ἐν τῷ κόπτειν αὐτοὺς, καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα, καὶ εἶπα· Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραὴλ, ἐν τῷ ἐκχέαι σε τὸν θυμόν σου ἐπὶ Ἱερουσαλήμ;

9. Καὶ εἶπε πρὸς μέ· Ἀδικία τοῦ οἴκου Ἰσραὴλ καὶ Ἰούδα μεμεγάλυνται σφόδρα σφόδρα, ὅτι ἐπλήσθη ἡ γῆ λαῶν πολλῶν, καὶ ἡ πόλις ἐπλήσθη ἀδικίας καὶ ἀκαθαρσίας. Ὅτι εἶπαν· Ἐγκατέλιπε Κύριος τὴν γῆν, οὐχ ἐφορᾷ ὁ Κύριος.

10. Καὶ οὐ φείσεταί μου ὁ ὀφθαλμὸς, οὐδὲ μὴ ἐλεήσω, τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν δέδωκα.

CAPUT IX.

1. Et clamavit in aures meas voce magna, dicens: Appropinquavit ultio urbis. Et unusquisque habebat vasa exterminationis in manu sua.

2. Et ecce sex viri veniebant de via portæ excelsæ quæ respicit ad aquilonem, et uniuscujusque securis in manu ejus. Et unus vir in medio eorum indutus podere, et zona sapphiri super lumbum ejus, ingressique sunt et steterunt juxta altare æneum.

3. Et gloria Dei Israel ascendit de Cherubim, quæ erat super ipsa in sub dio domus. Et vocavit virum indutum podere, qui habebat super lumbum suum zonam,

4. et dixit ad eum: Transi mediam Jerusalem, et da signum super frontes virorum gementium et dolentium super cunctis iniquitatibus quæ fiunt in medio ipsorum.

5. Et illis dixit audiente me: Ite post eum in civitatem, et percutite, et non parcite oculis vestris, et non misereamini:

6. senem et adolescentem et virginem et parvulos et mulieres interficite ad internecionem. Super omnes autem super quos est signum ne appropinquetis: a sanctis meis incipite. Et cœperunt a viris senioribus qui erant intus in domo.

7. Et dixit ad eos: Contaminate domum, et implete vias interfectis exeuntes, et percutite.

8. Et factum est dum ipsi percuterent, et cado in faciem meam, et exclamavi, et dixi: Heu mihi, Domini, deles tu residuos Israel, in effundendo te furorem tuum super Jerusalem?

9. Et dixit ad me: Iniquitas domus Israel et Juda magnificata est valde valde, quia repleta est terra populis multis, et civitas repleta est iniquitate et immunditia. Quia dixerunt: Dereliquit Dominus terram, non inspicit Dominus.

10. Et non parcet oculus meus, neque miserebor, vias eorum super caput eorum dedi.

(*) 18. Καὶ ἐγὼ ποιήσω αὐτοῖς μετὰ θυμοῦ· οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω· καὶ καλέσουσιν ἐν τοῖς ὠσί μου, καὶ οὐ μὴ εἰσακούσω αὐτῶν. (*Alex.*)

18. Et ego faciam eis cum furore: non parcet oculus meus, nec miserebor: et vocabunt in auribus meis, et non exaudiam eos.

11. Καὶ ἰδοὺ ὁ ἀνὴρ ὁ ἐνδεδυκὼς τὸν ποδήρη καὶ ἐζωσμένος τῇ ζώνῃ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀπεκρίνατο λέγων· Πεποίηκα καθὼς ἐνετείλω μοι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Καὶ ἴδον, καὶ ἰδοὺ ἐπάνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς τῶν Χερουβὶμ, ὡς λίθος σαπφείρου ὁμοίωμα θρόνου ἐπ' αὐτῶν.

2. Καὶ εἶπε πρὸς τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὴν στολήν· Εἴσελθε εἰς τὸ μέσον τῶν τροχῶν τῶν ὑποκάτω τῶν Χερουβὶμ, καὶ πλῆσον τὰς δράκας σου ἀνθράκων πυρὸς ἐκ μέσου τῶν Χερουβὶμ, καὶ διασκόρπισον ἐπὶ τὴν πόλιν. Καὶ εἰσῆλθεν ἐνώπιον ἐμοῦ·

3. καὶ τὰ Χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα, καὶ ἡ νεφέλη ἔπλησε τὴν αὐλὴν τὴν ἐσωτέραν.

4. Καὶ ἀπῆρεν ἡ δόξα Κυρίου ἀπὸ τῶν Χερουβὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου, καὶ ἔπλησε τὸν οἶκον ἡ νεφέλη· καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης Κυρίου.

5. Καὶ φωνὴ τῶν πτερύγων τῶν Χερουβὶμ ἠκούετο ἕως τῆς αὐλῆς τῆς ἐξωτέρας, ὡς φωνὴ Θεοῦ σαδδαῒ λαλοῦντος.

6. Καὶ ἐγένετο ἐν τῷ ἐντέλλεσθαι αὐτὸν τῷ ἀνδρὶ τῷ ἐνδεδυκότι τὴν στολὴν τὴν ἁγίαν, λέγων· Λάβε πῦρ ἐκ μέσου τῶν τροχῶν ἐκ μέσου τῶν Χερουβὶμ, καὶ εἰσῆλθε καὶ ἔστη ἐχόμενος τῶν τροχῶν.

7. Καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ εἰς μέσον τοῦ πυρὸς τοῦ ὄντος εἰς μέσον τῶν Χερουβὶμ, καὶ ἔλαβε καὶ ἔδωκεν εἰς τὰς χεῖρας τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν ἁγίαν, καὶ ἔλαβε καὶ ἐξῆλθε.

8. Καὶ ἴδον τὰ Χερουβὶμ ὁμοίωμα χειρῶν ἀνθρώπων ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν.

9. Καὶ ἴδον, καὶ ἰδοὺ τροχοὶ τέσσαρες εἱστήκεισαν ἐχόμενοι τῶν Χερουβίμ· τροχὸς εἷς ἐχόμενος Χερουβ ἑνὸς, καὶ ἡ ὄψις τῶν τροχῶν ὡς ὄψις λίθου ἄνθρακος·

10. καὶ ὄψις αὐτῶν ὁμοίωμα ἓν τοῖς τέσσαρσιν, ὃν τρόπον ὅταν ᾖ τροχὸς ἐν μέσῳ τροχοῦ.

11. Ἐν τῷ πορεύεσθαι αὐτὰ, εἰς τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο, οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά· ὅτι εἰς ὃν ἂν τόπον ἐπέβλεψεν ἡ ἀρχὴ ἡ μία, ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά.

12. Καὶ οἱ νῶτοι αὐτῶν, καὶ αἱ χεῖρες αὐτῶν, καὶ αἱ πτέρυγες αὐτῶν, καὶ οἱ τροχοὶ πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι τροχοῖς.

13. Τοῖς δὲ τροχοῖς τούτοις ἐπεκλήθη Γελγὲλ ἀκούοντός μου. (*)

15. Καὶ τὰ Χερουβὶμ ἦσαν τοῦτο τὸ ζῶον ὃ ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ.

16. Καὶ ἐν τῷ πορεύεσθαι τὰ Χερουβὶμ, ἐπορεύοντο οἱ τροχοὶ, καὶ οὗτοι ἐχόμενοι αὐτῶν. Καὶ ἐν τῷ ἐξαίρειν τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν τοῦ μετεωρίζεσθαι ἀπὸ τῆς γῆς, οὐκ ἐπέστρεφον οἱ τροχοὶ αὐτῶν·

17. ἐν τῷ ἑστᾶναι αὐτὰ, εἱστήκεισαν, καὶ ἐν τῷ μετεωρίζεσθαι αὐτὰ, μετεωρίζοντο μετ' αὐτῶν· διότι πνεῦμα ζωῆς ἐν αὐτοῖς ἦν.

(*) 14. Καὶ τέσσαρα πρόσωπα τῷ ἑνί· τὸ πρόσωπον τοῦ ἑνὸς πρόσωπον Χερούβ, καὶ τὸ πρόσωπον τοῦ δευτέρου πρόσωπον ἀνθρώπου, καὶ τὸ πρόσωπον τοῦ τρίτου πρόσωπον λέοντος, καὶ τὸ τέταρτον πρόσωπον ἀετοῦ. (*Alex.*)

11. Et ecce vir qui indutus erat podere et accinctus zona lumbum suum, et respondit dicens : Feci sicut mandasti mihi.

CAPUT X

1. Et vidi, et ecce super firmamentum quod supra caput ipsorum Cherubim, quasi lapis sapphiri similitudo throni super ea.

2. Et dixit ad virum indutum stola : Ingredere in medio rotarum quæ sunt subtus Cherubim, et imple pugnos tuos carbonibus ignis de medio Cherubim, et disperge super civitatem. Ingressusque est in conspectu meo :

3. et Cherubim stabant a dextris domus cum ingrederetur vir, et nubes implevit atrium interius.

4. Et elevata est gloria Domini ab ipsis Cherubim in subdio domus, et implevit domum nubes : et atrium repletum est splendore gloriæ Domini.

5. Et vox alarum Cherubim audiebatur usque ad atrium exterius, quasi vox Dei saddai loquentis.

6. Et factum est in mandando ipsum viro induto stola sancta, dicens : Sume ignem de medio rotarum de medio Cherubim, et intravit et stetit juxta rotas.

7. Et extendit manum suam in medium ignis qui erat inter Cherubim, et sumpsit et dedit in manus ejus qui indutus erat stola sancta, et accepit et egressus est.

8. Et vidi ipsa Cherubim similitudinem manus hominum subtus alas eorum.

9. Et vidi, et ecce rotæ quatuor stabant juxta Cherubim : rota una juxta Cherub unum, et aspectus rotarum quasi aspectus lapidis carbunculi :

10. et aspectus earum similitndo una ipsis quatuor, quemadmodum cum fuerit rota in medio rotæ.

11. In eundo ipsa, in quatuor suas partes ibant, non revertebantur in eundo ipsa : quoniam in quemcumque locum respiciebat principium unum, ibant, et non revertebantur in eundo ipsa.

12. Et dorsa eorum, et manus eorum, et alæ eorum, et rotæ plenæ erant oculis in circuitu in quatuor rotis.

13. Rotis autem istis acclamatum est Gelgel audiente me.

15. Et ipsa Cherubim erant idipsum animal quod videram super fluvium Chobar.

16. Cumque ambularent Cherubim, ibant rotæ, et hæc juxta ea. Et cum elevarent Cherubim alas suas ut exaltarentur de terra, non revertebantur rotæ eorum :

17. stantibus illis stabant, et cum illa elevarentur elevabantur cum eis : spiritus enim vitæ erat in eis.

---

14. Et quatuor facies uni : facies unius facies Cherub, et facies secundi facies hominis, et facies tertii facies leonis, et quarta facies aquilæ.

18. Καὶ ἐξῆλθε δόξα Κυρίου ἀπὸ τοῦ οἴκου καὶ ἐπέβη ἐπὶ τὰ Χερουβὶμ,

19. καὶ ἀνέλαβον τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ ἐμετεωρίσθησαν ἀπὸ τῆς γῆς ἐνώπιον ἐμοῦ· ἐν τῷ ἐξελθεῖν αὐτὰ, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν. Καὶ ἔστησαν ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου Κυρίου τῆς ἀπέναντι, καὶ δόξα Θεοῦ Ἰσραὴλ ἦν ἐπ᾽ αὐτῶν ὑπεράνω.

20. Τοῦτο τὸ ζῶον ἐστὶν ὃ ἴδον ὑποκάτω Θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβὰρ, καὶ ἔγνων ὅτι Χερουβὶμ ἐστι.

21. Τέσσαρα πρόσωπα τῷ ἑνὶ, καὶ ὀκτὼ πτέρυγες τῷ ἑνὶ, καὶ ὁμοίωμα χειρῶν ἀνθρώπων ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν.

22. Καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, ταῦτα τὰ πρόσωπα ἐστὶν ἃ ἴδον ὑποκάτω τῆς δόξης τοῦ Θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβὰρ, καὶ αὐτὰ ἕκαστον κατὰ πρόσωπον αὐτῶν ἐπορεύοντο.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

1. Καὶ ἀνέλαβέ με πνεῦμα, καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τοῦ οἴκου Κυρίου τὴν κατέναντι, τὴν βλέπουσαν κατὰ ἀνατολάς. Καὶ ἰδοὺ ἐπὶ τῶν προθύρων τῆς πύλης ὡς εἴκοσι καὶ πέντε ἄνδρες, καὶ ἴδον ἐν μέσῳ αὐτῶν τὸν Ἰεχονίαν τὸν τοῦ Ἔζερ, καὶ Φαλτίαν τὸν τοῦ Βαναίου, τοὺς ἀφηγουμένους τοῦ λαοῦ.

2. Καὶ εἶπε Κύριος πρός μέ· Υἱὲ ἀνθρώπου, οὗτοι οἱ ἄνδρες οἱ λογιζόμενοι μάταια καὶ βουλευόμενοι βουλὴν πονηρὰν ἐν τῇ πόλει ταύτῃ,

3. οἱ λέγοντες· Οὐχὶ προσφάτως ᾠκοδόμηνται αἱ οἰκίαι; Αὕτη ἐστὶν ὁ λέβης, ἡμεῖς δὲ τὰ κρέα.

4. Διὰ τοῦτο προφήτευσον ἐπ᾽ αὐτοὺς, προφήτευσον, υἱὲ ἀνθρώπου.

5. Καὶ ἔπεσεν ἐπ᾽ ἐμὲ πνεῦμα Κυρίου, καὶ εἶπε πρός μέ· Λέγε· Τάδε λέγει Κύριος· Οὕτως εἴπατε, οἶκος Ἰσραὴλ, καὶ τὰ διαβούλια τοῦ πνεύματος ὑμῶν ἐγὼ ἐπίσταμαι·

6. ἐπληθύνατε νεκροὺς ὑμῶν ἐν τῇ πόλει ταύτῃ, καὶ ἐνεπλήσατε τὰς ὁδοὺς αὐτῶν τραυματιῶν.

7. Διὰ τοῦτο τάδε λέγει Κύριος· Τοὺς νεκροὺς ὑμῶν οὓς ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσι τὰ κρέα, αὐτὴ δὲ ὁ λέβης ἐστὶ, καὶ ὑμᾶς ἐξάξω ἐκ μέσου αὐτῆς.

8. Ῥομφαίαν φοβεῖσθε, καὶ ῥομφαίαν ἐπάξω ἐφ᾽ ὑμᾶς, λέγει Κύριος.

9. Καὶ ἐξάξω ὑμᾶς ἐκ μέσου αὐτῆς, καὶ παραδώσω ὑμᾶς εἰς χεῖρας ἀλλοτρίων, καὶ ποιήσω ἐν ὑμῖν κρίματα.

10. Ἐν ῥομφαίᾳ πεσεῖσθε, ἐπὶ τῶν ὀρέων τοῦ Ἰσραὴλ κρινῶ ὑμᾶς, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος. (*)

13. Καὶ ἐγένετο ἐν τῷ προφητεύειν με, καὶ Φαλτίας ὁ τοῦ Βαναίου ἀπέθανε, καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα φωνῇ μεγάλῃ, καὶ εἶπα· Οἴμοι, οἴμοι, Κύριε, εἰς συντέλειαν ποιεῖς σὺ τοὺς καταλοίπους τοῦ Ἰσραήλ;

(*) 11. Αὕτη ὑμῖν οὐκ ἔσται εἰς λέβητα, καὶ ὑμεῖς οὐ μὴ γένησθε ἐν μέσῳ αὐτῆς εἰς κρέα· ἐπὶ τῶν ὁρίων τοῦ Ἰσραὴλ κρινῶ ὑμᾶς. (*Alex.*)

12. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος· ὅτι ἐν τοῖς δικαιώμασί μου οὐκ ἐπορεύθητε, καὶ τὰ κρίματά μου οὐκ ἐποιήσατε, καὶ κατὰ τὰ κρίματα τῶν ἐθνῶν τῶν περικύκλῳ ὑμῶν ἐποιήσατε. (*Compl.*)

18. Et egressa est gloria Domini de domo et conscendit super Cherubim,

19. et assumpserunt Cherubim alas suas, et elevati sunt de terra coram me : illis egredientibus, etiam rotæ juxta illa. Et steterunt super vestibula portæ domus Domini quæ e regione, et gloria Dei Israel erat super ea desuper.

20. Ipsum est animal quod vidi subter Deum Israel super fluvium Chobar, et intellexi quia Cherubim essent.

21. Quatuor facies uni, et octo alæ uni, et similitudo manuum hominum sub alis eorum.

22. Et similitudo facierum eorum, ipsi vultus erant quos videram subtus gloriam Dei Israel super fluvium Chobar, et hæc unumquodque ante faciem suam ibant.

CAPUT XI.

1. Et assumpsit me spiritus, et duxit me ad portam domus Domini quæ e regione, quæ respicit ad orientem. Et ecce super vestibula portæ quasi viginti et quinque viri, et vidi in medio eorum Jechoniam filium Ezer, et Phaltiam filium Banææ, principes populi.

2. Et dixit Dominus ad me : Fili hominis, hi viri qui cogitant vana et tractant consilium pessimum in urbe ista,

3. dicentes : Nonne recenter ædificatæ sunt domus? Hæc est lebes, nos autem carnes.

4. Idcirco propheta super eos, propheta, fili hominis.

5. Et irruit in me spiritus Domini, et dixit ad me : Dic : Hæc dicit Dominus : Sic dixistis, domus Israel, et cogitationes spiritus vestri ego novi :

6. multiplicastis mortuos vestros in urbe hac, et implestis vias earum interfectis.

7. Propterea hæc dicit Dominus : Mortuos vestros quos percussistis in medio ejus, hi sunt carnes, hæc autem lebes est, et vos educam de medio ejus.

8. Gladium timetis, et gladium inducam super vos, ait Dominus.

9. Et educam vos de medio ejus, et tradam vos in manus alienorum, et faciam in vobis judicia.

10. In gladio cadetis, in montibus Israel judicabo vos, et scietis quia ego Dominus.

13. Et factum est cum prophetarem, et Phaltias filius Banææ mortuus est, et cado in faciem meam, et exclamavi voce magna, et dixi : Heu, heu, Domine, in consummationem tu facis residuos Israel?

11. Hæc vobis non erit in lebetem, et vos non eritis in medio ejus in carnem : in finibus Israel judicabo vos.

12. Et cognoscetis quia ego Dominus : quia in justificationibus meis non ambulastis, et judicia mea non fecistis, et juxta judicia gentium quæ in circuitu vestro sunt fecistis.

14. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

15. Υἱὲ ἀνθρώπου, οἱ ἀδελφοί σου καὶ οἱ ἄνδρες τῆς αἰχμαλωσίας σου καὶ πᾶς ὁ οἶκος τοῦ Ἰσραὴλ συντετέλεσται, οἷς εἶπαν αὐτοῖς οἱ κατοικοῦντες Ἱερουσαλήμ· Μακρὰν ἀπέχετε ἀπὸ τοῦ Κυρίου, ἡμῖν δέδοται ἡ γῆ εἰς κληρονομίαν.

16. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Ὅτι ἀπώσομαι αὐτοὺς εἰς τὰ ἔθνη, καὶ διασκορπιῶ αὐτοὺς εἰς πᾶσαν γῆν, καὶ ἔσομαι αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώραις οὗ ἐὰν εἰσέλθωσιν ἐκεῖ.

17. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Καὶ εἰσδέξομαι αὐτοὺς ἐκ τῶν ἐθνῶν, καὶ συνάξω αὐτοὺς ἐκ τῶν χωρῶν οὗ διέσπειρα αὐτοὺς ἐν αὐταῖς, καὶ δώσω αὐτοῖς τὴν γῆν τοῦ Ἰσραήλ,

18. καὶ εἰσελεύσονται ἐκεῖ, καὶ ἐξαροῦσι πάντα τὰ βδελύγματα αὐτῆς καὶ πάσας τὰς ἀνομίας αὐτῆς ἐξ αὐτῆς.

19. Καὶ δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς, καὶ ἐκσπάσω τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην,

20. ὅπως ἐν τοῖς προστάγμασί μου πορεύωνται, καὶ τὰ δικαιώματά μου φυλάσσωνται καὶ ποιῶσιν αὐτά, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.

21. Καὶ εἰς τὴν καρδίαν τῶν βδελυγμάτων αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν, ὡς ἡ καρδία αὐτῶν ἐπορεύετο, τὰς ὁδοὺς αὐτῶν εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει Κύριος.

22. Καὶ ἐξῆραν τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἡ δόξα Θεοῦ Ἰσραὴλ ἐπ' αὐτὰ ὑπεράνω αὐτῶν.

23. Καὶ ἀνέβη ἡ δόξα Κυρίου ἐκ μέσης τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς πόλεως.

24. Καὶ ἀνέλαβέ με πνεῦμα, καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων εἰς τὴν αἰχμαλωσίαν ἐν ὁράσει ἐν πνεύματι Θεοῦ. Καὶ ἀνέβην ἀπὸ τῆς ὁράσεως ἧς ἴδον,

25. καὶ ἐλάλησα πρὸς τὴν αἰχμαλωσίαν πάντας τοὺς λόγους τοῦ Κυρίου οὓς ἔδειξέ μοι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, ἐν μέσῳ τῶν ἀδικιῶν αὐτῶν σὺ κατοικεῖς, οἳ ἔχουσιν ὀφθαλμοὺς τοῦ βλέπειν καὶ οὐ βλέπουσι, καὶ ὦτα ἔχουσι τοῦ ἀκούειν καὶ οὐκ ἀκούουσι, διότι οἶκος παραπικραίνων ἐστί.

3. Καὶ σὺ, υἱὲ ἀνθρώπου, ποίησον σεαυτῷ σκεύη αἰχμαλωσίας ἡμέρας ἐνώπιον αὐτῶν, καὶ αἰχμαλωτευθήσῃ ἐκ τοῦ τόπου σου εἰς ἕτερον τόπον ἐνώπιον αὐτῶν, ὅπως ἴδωσι, διότι οἶκος παραπικραίνων ἐστί.

4. Καὶ ἐξοίσεις τὰ σκεύη σου σκεύη αἰχμαλωσίας ἡμέρας κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ σὺ ἐξελεύσῃ ἑσπέρας, ὡς ἐκπορεύεται αἰχμάλωτος, ἐνώπιον αὐτῶν.

5. Διόρυξον σεαυτῷ εἰς τὸν τοῖχον, καὶ διεξελεύσῃ δι' αὐτοῦ

6. ἐνώπιον αὐτῶν. Ἐπ' ὤμων ἀναληφθήσῃ, καὶ κεκρυμμένος ἐξελεύσῃ, τὸ πρόσωπόν σου συγκαλύψεις, καὶ οὐ μὴ ἴδῃς τὴν γῆν, διότι τέρας δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ.

7. Καὶ ἐποίησα οὕτω κατὰ πάντα ὅσα ἐνετείλατό

14. Et factus est sermo Domini ad me, dicens :

15. Fili hominis, fratres tui et viri captivitatis tuæ et omnis domus Israel consummata est, quibus dixerunt eis habitatores Jerusalem : Longe abestis a Domino, nobis data est terra in hæreditatem.

16. Propterea dic : Hæc dicit Dominus : Quia repellam eos in gentes, et dispergam eos in omnem terram, et ero eis in sanctificationem parvulam in regionibus quocumque ingressi fuerint illuc.

17. Propterea dic : Hæc dicit Dominus : Et suscipiam eos de gentibus, et congregabo eos de regionibus quo disseminavi eos in illas, et dabo eis terram Israel,

18. et ingredientur illuc, et auferent omnes abominationes ejus cunctasque iniquitates ejus de illa.

19. Et dabo eis cor alterum, et spiritum novum dabo in eis, et extraham cor lapideum de carne eorum, et dabo eis cor carneum,

20. ut in præceptis meis ambulent, et justificationes meas custodiant faciantque eas, et erunt mihi in populum, et ego ero eis in Deum.

21. Et ad cor abominationum suarum et iniquitatum suarum, quomodo cor eorum ibat, vias eorum in capita eorum dedi, dicit Dominus.

22. Et sustulerunt Cherubim alas suas, et rotæ juxta ea, et gloria Dei Israel super ea desuper est.

23. Et ascendit gloria Domini de medio civitatis, stetitque super montem qui est e regione civitatis.

24. Et assumpsit me spiritus, et duxit me in terram Chaldæorum ad captivitatem in visione in spiritu Dei. Et ascendi a visione quam vidi,

25. et locutus sum ad captivitatem omnia verba Domini quæ ostenderat mihi.

CAPUT XII.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, in medio iniquitatum eorum tu habitas, qui oculos habent ad videndum et non vident, et aures habent ad audiendum et non audiunt, quia domus exasperans est.

3. Et tu, fili hominis, fac tibi vasa captivitatis per diem coram eis, et captivaberis de loco tuo in locum alterum in conspectu eorum, ut videant, quia domus exasperans est.

4. Et proferes vasa tua vasa captivitatis per diem in oculis eorum, et tu egredieris vespere, sicut egreditur captivus, in conspectu eorum.

5. Perfode tibi parietem, et transibis per eum

6. in conspectu eorum. Super humeros assumeris, et absconditus egredieris, faciem tuam cooperies, et non videbis terram, quia portentum dedi te domui Israel.

7. Et feci sic juxta omnia quæ mandaverat mihi, vasaque

μοι, καὶ σκεύη ἐξήνεγκα αἰχμαλωσίας ἡμέρας, καὶ ἑσπέρας διώρυξα ἐμαυτῷ τὸν τοῖχον, καὶ κεκρυμμένος ἐξῆλθον, ἐπ' ὤμων ἀνελήφθην ἐνώπιον αὐτῶν.

8. Καὶ ἐγένετο λόγος Κυρίου τοπρωῒ πρὸς μὲ, λέγων·

9. Υἱὲ ἀνθρώπου, οὐχ εἶπαν πρὸς σὲ ὁ οἶκος τοῦ Ἰσραὴλ, οἶκος ὁ παραπικραίνων· Τί σὺ ποιεῖς;

10. Εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Κύριος Κύριος· Ὁ ἄρχων καὶ ὁ ἀφηγούμενος ἐν Ἱερουσαλὴμ καὶ παντὶ οἴκῳ Ἰσραὴλ, οἵ εἰσιν ἐν μέσῳ αὐτῶν,

11. εἰπὸν, ὅτι ἐγὼ τέρατα ποιῶ· ὃν τρόπον πεποίηκα, οὕτως ἔσται αὐτῷ. Ἐν μετοικεσίᾳ καὶ ἐν αἰχμαλωσίᾳ πορεύσονται,

12. καὶ ὁ ἄρχων ἐν μέσῳ αὐτῶν ἐπ' ὤμων ἀρθήσεται, καὶ κεκρυμμένος ἐξελεύσεται διὰ τοῦ τοίχου, καὶ διορύξει τοῦ ἐξελθεῖν αὐτὸν δι' αὐτοῦ· τὸ πρόσωπον αὐτοῦ συγκαλύψει, ὅπως μὴ ὁραθῇ ὀφθαλμῷ, καὶ αὐτὸς τὴν γῆν οὐχ ὄψεται.

13. Καὶ ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐτὸν, καὶ συλληφθήσεται ἐν τῇ περιοχῇ μου, καὶ ἄξω αὐτὸν εἰς Βαβυλῶνα εἰς γῆν Χαλδαίων, καὶ αὐτὴν οὐχ ὄψεται, καὶ ἐκεῖ τελευτήσει.

14. Καὶ πάντας τοὺς κύκλῳ αὐτοῦ τοὺς βοηθοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἀντιλαμβανομένους αὐτοῦ διασπερῶ εἰς πάντα ἄνεμον, καὶ ῥομφαίαν ἐκκενώσω ὀπίσω αὐτῶν,

15. καὶ γνώσονται διότι ἐγὼ Κύριος, ἐν τῷ διασκορπίσαι με αὐτοὺς ἐν τοῖς ἔθνεσι, καὶ διασπερῶ αὐτοὺς ἐν ταῖς χώραις.

16. Καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἄνδρας ἀριθμῷ ἐκ ῥομφαίας καὶ ἐκ λιμοῦ καὶ ἐκ θανάτου, ὅπως ἐκδιηγῶνται πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

17. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

18. Υἱὲ ἀνθρώπου, τὸν ἄρτον σου μετὰ ὀδύνης φάγεσαι, καὶ τὸ ὕδωρ μετὰ βασάνου καὶ θλίψεως πίεσαι.

19. Καὶ ἐρεῖς πρὸς τὸν λαὸν τῆς γῆς· Τάδε λέγει Κύριος τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ· Τοὺς ἄρτους αὐτῶν μετὰ ἐνδείας φάγονται, καὶ τὸ ὕδωρ αὐτῶν μετὰ ἀφανισμοῦ πίονται, ὅπως ἀφανισθῇ ἡ γῆ σὺν πληρώματι αὐτῆς· ἐν ἀσεβείᾳ γὰρ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

20. Καὶ αἱ πόλεις αὐτῶν αἱ κατοικούμεναι ἐξερημωθήσονται, καὶ ἡ γῆ εἰς ἀφανισμὸν ἔσται, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριός.

21. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

22. Υἱὲ ἀνθρώπου, τίς ἡ παραβολὴ ὑμῖν ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ, λέγοντες· Μακραὶ αἱ ἡμέραι, ἀπόλωλεν ὅρασις;

23. Διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Καὶ ἀποστρέψω τὴν παραβολὴν ταύτην, καὶ οὐκέτι μὴ εἴπωσι τὴν παραβολὴν ταύτην οἶκος τοῦ Ἰσραὴλ, ὅτι λαλήσεις πρὸς αὐτούς· Ἠγγίκασιν αἱ ἡμέραι, καὶ λόγος πάσης ὁράσεως.

24. Ὅτι οὐκ ἔσται ἔτι πᾶσα ὅρασις ψευδὴς, καὶ μαντευόμενος τὰ πρὸς χάριν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.

25. Διότι ἐγὼ Κύριος λαλήσω τοὺς λόγους μου, λαλήσω καὶ ποιήσω, καὶ οὐ μὴ μηκυνῶ ἔτι· ὅτι ἐν ταῖς ἡμέραις ὑμῶν οἶκος ὁ παραπικραίνων. Λαλήσω λόγον καὶ ποιήσω, λέγει Κύριος.

protuli captivitatis per diem, et ad vesperam perfodi mihi parietem, et absconditus egressus sum, super humeros assumptus sum in conspectu eorum.

8. Et factus est sermo Domini mane ad me, dicens:

9. Fili hominis, non dixerunt ad te domus Israel, domus exasperans: Quid tu facis?

10. Dic ad eos: Hæc dicit Dominus Dominus: Princeps et dux in Jerusalem et omni domui Israel, qui sunt in medio eorum,

11. dic, quia ego portenta facio: quomodo feci, sic erit ei. In transmigrationem et in captivitatem ibunt,

12. et princeps in medio eorum in humeris portabitur, et absconditus egredietur per parietem, et perfodiet ut exeat ipse per eum: faciem suam cooperiet, ut non aspiciatur oculo, et ipse terram non videbit.

13. Et expandam rete meum super eum, et capietur in septo meo, et ducam eum in Babylonem, in terram Chaldæorum, et ipsam non videbit, et ibi morietur.

14. Et omnes qui circa eum sunt auxiliatores ejus, et omnes suscipientes eum disseminabo in omnem ventum, et gladium effundam post eos,

15. et scient quia ego Dominus, in dispergendo me eos in gentibus, et disseminabo eos in regionibus

16. Et relinquam ex eis viros numero a gladio et a fame et a morte, ut narrent omnes iniquitates suas in gentibus quo ingressi fuerint illuc, et scient quia ego Dominus.

17. Et factus est sermo Domini ad me, dicens:

18. Fili hominis, panem tuum cum dolore comedes, et aquam cum tormento et tribulatione bibes.

19. Et dices ad populum terræ: Hæc dicit Dominus habitatoribus Jerusalem super terram Israel: Panes suos cum egestate comedent, et aquam suam cum dissipatione bibent, ut dissipetur terra cum plenitudine ejus: in impietate enim omnes qui habitant in ea.

20. Et civitates eorum quæ habitantur in desolationem erunt, et terra in dissipationem erit, et cognoscetis quia ego Dominus.

21. Et factus est sermo Domini ad me, dicens:

22. Fili hominis, quæ est parabola vobis super terram Israel, dicentes: Longi dies, periit visio?

23. Ideo dic ad eos: Hæc dicit Dominus: Et avertam parabolam istam, et non dicent ultra parabolam istam domus Israel, quia loqueris ad eos: Appropinquaverunt dies, et verbum omnis visionis.

24. Non enim erit ultra omnis visio falsa, et divinans quæ ad gratiam in medio filiorum Israel.

25. Quia ego Dominus loquar verba mea, loquar et faciam, et non prolongabo amplius: quia in diebus vestris domus exasperans. Loquar verbum et faciam, dicit Dominus.

26. Καὶ ἐγένετο λόγος Κυρίου πρός μὲ, λέγων·
27. Υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν· Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει.
28. Διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Οὐ μὴ μηκύνωσιν οὐκέτι πάντες οἱ λόγοι μου οὓς ἂν λαλήσω· λαλήσω καὶ ποιήσω, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·
2. Υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραὴλ, καὶ προφητεύσεις, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀκούσατε λόγον Κυρίου.
3. Τάδε λέγει Κύριος· Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσιν.
4. Ὡς ἀλώπεκες ἐν ταῖς ἐρήμοις, οἱ προφῆταί σου, Ἰσραὴλ,
5. οὐκ ἔστησαν ἐν στερεώματι, καὶ συνήγαγον ποίμνια ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ. Οὐκ ἀνέστησαν οἱ λέγοντες ἐν ἡμέρᾳ Κυρίου,
6. βλέποντες ψευδῆ, μαντευόμενοι μάταια, οἱ λέγοντες· Λέγει Κύριος, καὶ Κύριος οὐκ ἀπέσταλκεν αὐτοὺς, καὶ ἤρξαντο τοῦ ἀναστῆσαι λόγον.
7. Οὐχὶ ὅρασιν ψευδῆ ἑωράκατε, καὶ μαντείας ματαίας εἰρήκατε;
8. Καὶ διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Ἀνθ' ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς καὶ αἱ μαντεῖαι ὑμῶν μάταιαι, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, λέγει Κύριος,
9. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ καὶ τοὺς ἀποφθεγγομένους μάταια. Ἐν παιδείᾳ τοῦ λαοῦ μου οὐκ ἔσονται, οὐδὲ ἐν γραφῇ οἴκου Ἰσραὴλ οὐ γραφήσονται, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται, καὶ γνώσονται διότι ἐγὼ Κύριος.
10. Ἀνθ' ὧν ἐπλάνησαν τὸν λαόν μου, λέγοντες· Εἰρήνη, καὶ οὐκ ἔστιν εἰρήνη· καὶ οὗτος οἰκοδομεῖ τοῖχον, καὶ αὐτοὶ ἀλείφουσιν αὐτὸν, πεσεῖται.
11. Εἰπὸν πρὸς τοὺς ἀλείφοντας· Πεσεῖται, καὶ ἔσται ὑετὸς κατακλύζων, καὶ δώσω λίθους πετροβόλους εἰς τοὺς ἐνδέσμους αὐτῶν, καὶ πεσοῦνται, καὶ πνεῦμα ἐξαῖρον, καὶ ῥαγήσεται.
12. Καὶ ἰδοὺ πέπτωκεν ὁ τοῖχος, καὶ οὐκ ἐροῦσι πρὸς ὑμᾶς· Ποῦ ἐστιν ἡ ἀλοιφὴ ὑμῶν ἣν ἠλείψατε;
13. Διὰ τοῦτο τάδε λέγει Κύριος· Καὶ ῥήξω πνοὴν ἐξαίρουσαν μετὰ θυμοῦ, καὶ ὑετὸς κατακλύζων ἐν ὀργῇ μου ἔσται· καὶ τοὺς λίθους τοὺς πετροβόλους ἐν θυμῷ ἐπάξω εἰς συντέλειαν·
14. καὶ κατασκάψω τὸν τοῖχον ὃν ἠλείψατε, καὶ πεσεῖται. Καὶ θήσω αὐτὸν ἐπὶ τὴν γῆν, καὶ ἀποκαλυφθήσεται τὰ θεμέλια αὐτοῦ, καὶ πεσεῖται, καὶ συντελεσθήσεσθε μετ' ἐλέγχων, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος.
15. Καὶ συντελέσω τὸν θυμόν μου ἐπὶ τὸν τοῖχον, καὶ ἐπὶ τοὺς ἀλείφοντας αὐτὸν, πεσεῖται. Καὶ εἶπα πρὸς ὑμᾶς· Οὐκ ἔστιν ὁ τοῖχος, οὐδὲ οἱ ἀλείφοντες αὐτὸν
16. προφῆται τοῦ Ἰσραὴλ, οἱ προφητεύοντες ἐπὶ Ἱερουσαλὴμ, καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ οὐκ ἔστιν εἰρήνη, λέγει Κύριος.

26. Et factus est sermo Domini ad me, dicens:
27. Fili hominis, ecce domus Israel exasperans, dicentes dicunt: Visio quam hic videt, in dies multos, et in tempora longa iste prophetat.
28. Propterea dic ad eos: Hæc dicit Dominus: Non prolongabuntur ultra omnia verba mea quæcumque locutus fuero: loquar et faciam, dicit Dominus.

CAPUT XIII.

1. Et factus est sermo Domini ad me, dicens:
2. Fili hominis, vaticinare super prophetas Israel, et prophetabis, et dices ad eos: Audite verbum Domini.
3. Hæc dicit Dominus: Væ his qui prophetant de corde suo, et omnino non vident.
4. Sicut vulpes in desertis, prophetæ tui, Israel,
5. non steterunt in firmamento, et congregaverunt greges super domum Israel. Non resurrexerunt qui dicunt in die Domini,
6. videntes mendacia, divinantes vana, qui dicunt: Dicit Dominus, et Dominus non misit eos, et cœperunt suscitare sermonem.
7. Nonne visionem falsam vidistis, et divinationes vanas locuti estis?
8. Et ideo dic: Hæc dicit Dominus: Quoniam verba vestra mendacia et divinationes vestræ vanæ, idcirco ecce ego super vos, dicit Dominus,
9. et extendam manum meam super prophetas qui vident mendacia et qui loquuntur vana. In disciplina populi mei non erunt, nec in scriptura domus Israel scribentur, et in terram Israel non intrabunt, et scient quia ego Dominus.
10. Quoniam deceperunt populum meum, dicentes: Pax, et non est pax: et iste ædificat parietem, et isti linunt eum, cadet.
11. Dic ad eos qui linunt: Cadet, et erit pluvia inundans, et dabo lapides magnos in juncturas eorum, et cadent, et ventum auferentem, et disrumpetur.
12. Et ecce cecidit paries, et non dicent ad vos: Ubi est litura vestra quam linivistis?
13. Propterea hæc dicit Dominus: Et disrumpam spiritum auferentem in furore, et pluvia inundans in ira mea erit: et lapides magnos in furore inducam in consummationem:
14. et suffodiam parietem quem linivistis, et cadet. Et ponam eum super terram, et revelabuntur fundamenta ejus, et cadet, et consumemini cum increpationibus, et cognoscetis quia ego Dominus.
15. Et complebo furorem meum super parietem, et super eos qui linunt eum, cadet. Dixique ad vos: Non est paries, neque qui linunt eum
16. prophetæ Israel, qui prophetant super Jerusalem, et qui vident illi pacem, et non est pax, dicit Dominus.

17. Καὶ σὺ, υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ τὰς θυγατέρας τοῦ λαοῦ σου, τὰς προφητευούσας ἀπὸ καρδίας αὐτῶν, καὶ προφήτευσον ἐπ' αὐτὰς,

18. καὶ ἐρεῖς· Τάδε λέγει Κύριος· Οὐαὶ ταῖς συῤῥαπτούσαις προςκεφάλαια ὑπὸ πάντα ἀγκῶνα χειρὸς, καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας, τοῦ διαστρέφειν ψυχάς. Αἱ ψυχαὶ διεστράφησαν τοῦ λαοῦ μου, καὶ ψυχὰς περιεποιοῦντο,

19. καὶ ἐβεβήλουν με πρὸς τὸν λαόν μου ἕνεκεν δραχὸς κριθῶν καὶ ἕνεκεν κλασμάτων ἄρτων, τοῦ ἀποκτεῖναι ψυχὰς ἃς οὐκ ἔδει ἀποθανεῖν, καὶ τοῦ περιποιήσασθαι ψυχὰς ἃς οὐκ ἔδει ζῆσαι, ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς λαῷ εἰςακούοντι μάταια ἀποφθέγματα.

20. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ τὰ προςκεφάλαια ὑμῶν ἐφ' ἃ ὑμεῖς ἐκεῖ συστρέφετε ψυχάς· καὶ διαῤῥήξω αὐτὰ ἀπὸ τῶν βραχιόνων ὑμῶν, καὶ ἐξαποστελῶ τὰς ψυχὰς ἃς ὑμεῖς ἐκστρέφετε τὰς ψυχὰς αὐτῶν εἰς διασκορπισμὸν,

21. καὶ διαῤῥήξω τὰ ἐπιβόλαια ὑμῶν, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσονται ἐν χερσὶν ὑμῶν εἰς συστροφὴν, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος.

22. Ἀνθ' ὧν διεστρέφετε καρδίαν δικαίου, καὶ ἐγὼ οὐ διέστρεφον αὐτὸν, καὶ τοῦ κατισχῦσαι χεῖρας ἀνόμου, τὸ καθόλου μὴ ἀποστρέψαι ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆσαι αὐτόν·

23. διὰ τοῦτο ψευδῆ οὐ μὴ ἴδητε, καὶ μαντείας οὐ μὴ μαντεύσησθε ἔτι, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ ἦλθον πρός με ἐκ τῶν πρεσβυτέρων ἄνδρες τοῦ λαοῦ Ἰσραὴλ, καὶ ἐκάθισαν πρὸ προσώπου μου.

2. Καὶ ἐγένετο πρός με λόγος Κυρίου, λέγων·

3. Υἱὲ ἀνθρώπου, οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα αὐτῶν ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ τὴν κόλασιν τῶν ἀδικιῶν αὐτῶν ἔθηκαν πρὸ προσώπου αὐτῶν· εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς;

4. Διὰ τοῦτο λάλησον αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἄνθρωπος, ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ, ὃς ἂν θῇ τὰ διανοήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν κόλασιν τῆς ἀδικίας αὐτοῦ τάξῃ πρὸ προσώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν προφήτην, ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ ἐν οἷς ἐνέχεται ἡ διάνοια αὐτοῦ,

5. ὅπως πλαγιάσῃ τὸν οἶκον τοῦ Ἰσραὴλ κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλλοτριωμένας ἀπ' ἐμοῦ ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν.

6. Διὰ τοῦτο εἰπὸν εἰς τὸν οἶκον τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος Κύριος· Ἐπιστράφητε καὶ ἀποστρέψατε ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ ἐπιστρέψατε τὰ πρόσωπα ὑμῶν.

7. Διότι ἄνθρωπος, ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ καὶ ἐκ τῶν προςηλύτων τῶν προςηλυτευόντων ἐν τῷ Ἰσραὴλ, ὃς ἂν ἀπαλλοτριωθῇ ἀπ' ἐμοῦ, καὶ θῆται τὰ ἐνθυμήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν κόλασιν τῆς ἀδικίας αὐτοῦ τάξῃ πρὸ προσώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν προφήτην τοῦ ἐπερωτῆσαι αὐτὸν ἐν ἐμοὶ, ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ ἐν ᾧ ἐνέχεται ἐν αὐτῷ·

17. Et tu, fili hominis, obfirma faciem tuam super filias populi tui, quæ prophetant de corde suo, et propheta super eas,

18. et dices : Hæc dicit Dominus : Væ his quæ consuunt cervicalia sub omni cubito manus, et quæ faciunt velamina super omne caput universæ ætatis, ut pervertant animas. Animæ subversæ sunt populi mei, et animas salvabant,

19. et contaminabant me ad populum meum propter pugillum hordei et propter fragmenta panum, ut occiderent animas quas non oportuit mori, et salvarent animas quas non oportuit vivere, dum loquimini vos populo audienti vanos sermones.

20. Propterea hæc dicit Dominus Dominus : Ecce ego super cervicalia vestra super quæ vos illic colligitis animas: et disrumpam ea de brachiis vestris, et emittam animas quas vos pervertitis animas eorum in dispersionem,

21. et disrumpam velamina vestra, et liberabo populum meum de manu vestra, et non erunt ultra in manibus vestris in congregationem, et cognoscetis quia ego Dominus.

22. Pro eo quod pervertebatis cor justi, et ego non pervertebam eum, et confortabatis manus iniqui, ut penitus non converteretur a via sua pessima, et viveret ipse :

23. propterea mendacia non videbitis, et divinationes nequaquam divinabitis amplius, et liberabo populum meum de manu vestra, et scietis quia ego Dominus.

CAPUT XIV.

1. Et venerunt ad me de senioribus viri populi Israel, et sederunt ante faciem meam.

2. Et factus est ad me sermo Domini, dicens :

3. Fili hominis, viri isti posuerunt cogitationes suas in cordibus suis, et tormentum iniquitatum suarum posuerunt ante faciem suam : si respondens respondebo eis?

4. Propterea loqueris eis, et dices ad eos : Hæc dicit Dominus : Homo, homo de domo Israel, qui posuerit cogitationes suas in corde suo, et tormentum iniquitatis suæ posuerit ante faciem suam, et venerit ad prophetam, ego Dominus respondebo ei in his quibus tenetur mens ejus,

5. ut averteret domum Israel secundum corda eorum quæ abalienata sunt a me in cogitationibus ipsorum.

6. Propterea dic ad domum Israel : Hæc dicit Dominus Dominus : Convertimini et recedite ab adinventionibus vestris, et ab omnibus impietatibus vestris, et convertite facies vestras.

7. Quia homo, homo de domo Israel et de advenis qui peregrinantur in Israel, qui abalienatus fuerit a me, et posuerit cogitationes suas in corde suo, et tormentum iniquitatis suæ posuerit ante faciem suam, et venerit ad prophetam ut interroget eum in me, ego Dominus respondebo ei in eo quo tenetur :

8. καὶ στηριῶ τὸ πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς ἔρημον καὶ εἰς ἀφανισμὸν, καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος.

9. Καὶ ὁ προφήτης ἐὰν πλανήσῃ καὶ λαλήσῃ, ἐγὼ Κύριος πεπλάνηκα τὸν προφήτην ἐκεῖνον, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὸν, καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου Ἰσραήλ.

10. Καὶ λήψονται τὴν ἀδικίαν αὐτῶν κατὰ τὸ ἀδίκημα τοῦ ἐπερωτῶντος, καὶ κατὰ τὸ ἀδίκημα ὁμοίως τῷ προφήτῃ ἔσται,

11. ὅπως μὴ πλανᾶται ἔτι ὁ οἶκος τοῦ Ἰσραὴλ ἀπ' ἐμοῦ, καὶ ἵνα μὴ μιαίνωνται ἔτι ἐν πᾶσι τοῖς παραπτώμασιν αὐτῶν, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν, λέγει Κύριος.

12. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

13. Υἱὲ ἀνθρώπου, γῆ ἢ ἐὰν ἁμάρτῃ μοι τοῦ παραπεσεῖν παράπτωμα, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὴν, καὶ συντρίψω αὐτῆς στήριγμα ἄρτου, καὶ ἐξαποστελῶ ἐπ' αὐτὴν λιμὸν, καὶ ἐξαρῶ ἐξ αὐτῆς ἄνθρωπον καὶ κτήνη.

14. Καὶ ἐὰν ὦσιν οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται, λέγει Κύριος.

15. Ἐὰν καὶ θηρία πονηρὰ ἐπάγω ἐπὶ τὴν γῆν, καὶ τιμωρήσομαι αὐτὴν, καὶ ἔσται εἰς ἀφανισμὸν, οὐκ ἔσται ὁ διοδεύων ἀπὸ προσώπου τῶν θηρίων,

16. καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς ὦσι, ζῶ ἐγὼ, λέγει Κύριος, εἰ υἱοὶ ἢ θυγατέρες σωθήσονται, ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται, ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον.

17. Ἢ καὶ ῥομφαίαν ἐὰν ἐπάγω ἐπὶ τὴν γῆν ἐκείνην, καὶ εἴπω· Ῥομφαία διελθάτω διὰ τῆς γῆς, καὶ ἐξαρῶ ἐξ αὐτῶν ἄνθρωπον καὶ κτῆνος,

18. καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, ζῶ ἐγὼ, λέγει Κύριος, οὐ μὴ ῥύσονται υἱοὺς οὐδὲ θυγατέρας, ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται.

19. Ἢ καὶ θάνατον ἐπαποστέλλω ἐπὶ τὴν γῆν ἐκείνην, καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπ' αὐτὴν ἐν αἵματι τοῦ ἐξολοθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος,

20. καὶ Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ ἐν μέσῳ αὐτῆς, ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν υἱοὶ ἢ θυγατέρες ὑπολειφθῶσιν, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν ῥύσονται τὰς ψυχὰς αὐτῶν.

21. Τάδε λέγει Κύριος· Ἐὰν δὲ καὶ τὰς τέσσαρας ἐκδικήσεις μου τὰς πονηρὰς, ῥομφαίαν καὶ λιμὸν καὶ θηρία πονηρὰ καὶ θάνατον, ἐξαποστείλω ἐπὶ Ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος,

22. καὶ ἰδοὺ ὑπολελειμμένοι ἐν αὐτῇ οἱ ἀνασεσωσμένοι αὐτῆς, οἱ ἐξάγουσιν ἐξ αὐτῆς υἱοὺς καὶ θυγατέρας, ἰδοὺ ἐκπορεύονται πρὸς ὑμᾶς, καὶ ὄψεσθε τὰς ὁδοὺς αὐτῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ μεταμεληθήσεσθε ἐπὶ τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ Ἱερουσαλὴμ, πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπ' αὐτὴν,

23. καὶ παρακαλέσουσιν ὑμᾶς, διότι ὄψεσθε τὰς ὁδοὺς αὐτῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ ἐπιγνώσεσθε διότι οὐ μάτην πεποίηκα πάντα ὅσα ἐποίησα ἐν αὐτῇ, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

8. et obfirmabo faciem meam super hominem illum, et ponam eum in desertum et in exterminium, et auferam eum de medio populi mei, et cognoscetis quia ego Dominus.

9. Et propheta si errare fecerit et locutus fuerit, ego Dominus errare feci prophetam illum, et extendam manum meam super eum, et exterminabo illum de medio populi mei Israel.

10. Et accipient iniquitatem suam secundum iniquitatem interrogantis, et juxta iniquitatem similiter prophetæ erit,

11. ut nequaquam erret ultra domus Israel a me, et ut non polluantur adhuc in cunctis delictis suis, et erunt mihi in populum, et ego ero eis in Deum, dicit Dominus.

12. Et factus est sermo Domini ad me, dicens :

13. Fili hominis, terra quæcumque peccaverit mihi delinquendo delictum, et extendam manum meam super eam, et conteram fulcimentum panis ejus, et immittam in eam famem, et auferam de ea hominem et jumenta.

14. Et si fuerint tres viri isti in medio ejus, Noe et Daniel et Job, ipsi in sua justitia salvabuntur, ait Dominus.

15. Quod si bestias pessimas inducam super terram, et puniam eam, et erit in dissipationem, non erit pertransiens a facie bestiarum,

16. et tres viri isti in medio ejus fuerint, vivo ego, dicit Dominus, si filii aut filiæ salvabuntur, sed ipsi soli salvabuntur, terra autem erit in exterminium.

17. Vel etiam gladium si inducam super terram illam, et dicam : Gladius transeat per terram, et auferam ex eis hominem et jumentum,

18. et tres viri isti in medio ejus, vivo ego, dicit Dominus, non liberabunt filios neque filias, sed ipsi soli salvabuntur.

19. Vel etiam mortem immittam super terram illam, et effundam furorem meum super eam in sanguine ad exterminandum ex ea hominem et jumentum,

20. et Noe et Daniel et Job in medio ejus, vivo ego, dicit Dominus, si filii aut filiæ relinquentur, ipsi in sua justitia liberabunt animas suas.

21. Hæc dicit Dominus : Quod si et quatuor ultiones meas pessimas, gladium et famem et bestias pessimas et mortem, emisero super Jerusalem ad exterminandum ex ea hominem et jumentum,

22. et ecce residui in ea salvati ejus, qui educunt ex ea filios et filias, ecce egredientur ad vos, et videbitis vias eorum et cogitationes eorum, et pœnitebit vos super malis quæ induxi super Jerusalem, omnibus malis quæ induxi super eam,

23. et consolabuntur vos, quia videbitis vias eorum et cogitationes eorum, et cognoscetis quod non frustra feci omnia quæ feci in ea, dicit Dominus.

CAPUT XV.

1. Et factus est sermo Domini ad me, dicens :

2. Καὶ σὺ, υἱὲ ἀνθρώπου, τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου ἐκ πάντων τῶν ξύλων τῶν κλημάτων τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ;

3. Εἰ λήψονται ἐξ αὐτῆς ξύλον τοῦ ποιῆσαι εἰς ἐργασίαν; εἰ λήψονται ἐξ αὐτῆς πάσσαλον τοῦ κρεμάσαι ἐπ' αὐτὸν πᾶν σκεῦος;

4. Πάρεξ ὃ πυρὶ δέδοται εἰς ἀνάλωσιν, τὴν κατ' ἐνιαυτὸν κάθαρσιν ἀπ' αὐτῆς ἀναλίσκει τὸ πῦρ, καὶ ἐκλείπει εἰς τέλος. Μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν;

5. Οὐδὲ ἔτι αὐτοῦ ὄντος ὁλοκλήρου, οὐκ ἔσται εἰς ἐργασίαν. Μὴ ὅτι ἐὰν καὶ πῦρ αὐτὸ ἀναλώσῃ εἰς τέλος, εἰ ἔτι ἔσται εἰς ἐργασίαν;

6. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, ὃ δέδωκα αὐτὸ πυρὶ εἰς ἀνάλωσιν, οὕτω δέδωκα τοὺς κατοικοῦντας Ἱερουσαλήμ.

7. Καὶ δώσω τὸ πρόσωπόν μου ἐπ' αὐτούς· ἐκ τοῦ πυρὸς ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ ἐπιγνώσονται ὅτι ἐγὼ Κύριος ἐν τῷ στηρίσαι με τὸ πρόσωπόν μου ἐπ' αὐτούς.

8. Καὶ δώσω τὴν γῆν εἰς ἀφανισμὸν, ἀνθ' ὧν παρέπεσον παραπτώματι, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, διαμάρτυραι τῇ Ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς,

3. καὶ ἐρεῖς· Τάδε λέγει Κύριος τῇ Ἱερουσαλήμ· Ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς Χαναάν· ὁ πατήρ σου Ἀμοῤῥαῖος, καὶ ἡ μήτηρ σου Χετταία.

4. Καὶ ἡ γένεσίς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης, οὐκ ἔδησας τοὺς μαστούς σου, καὶ ἐν ὕδατι οὐκ ἐλούσθης, οὐδὲ ἁλὶ ἡλίσθης, καὶ ἐν σπαργάνοις οὐκ ἐσπαργανώθης,

5. οὐδὲ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπὶ σοὶ, τοῦ ποιῆσαί σοι ἓν ἐκ πάντων τούτων, τοῦ παθεῖν τι ἐπὶ σοί. Καὶ ἀπεῤῥίφης ἐπὶ πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν ἡμέρᾳ ᾗ ἐτέχθης.

6. Καὶ διῆλθον ἐπὶ σὲ, καὶ ἴδον σε πεφυρμένην ἐν τῷ αἵματί σου, καὶ εἶπά σοι· Ἐκ τοῦ αἵματός σου ζωὴ,

7. πληθύνου· καθὼς ἡ ἀνατολὴ τοῦ ἀγροῦ δέδωκά σε, καὶ ἐπληθύνθης καὶ ἐμεγαλύνθης, καὶ εἰσῆλθες εἰς πόλεις πόλεων. Οἱ μαστοί σου ἀνωρθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλε· σὺ δὲ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα.

8. Καὶ διῆλθον διὰ σοῦ, καὶ ἴδον σε, καὶ ἰδοὺ καιρός σου, καὶ καιρὸς καταλυόντων. Καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σὲ, καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι, καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει Κύριος. Καὶ ἐγένου μοι,

9. καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἀπέπλυνα τὸ αἷμά σου ἀπὸ σοῦ, καὶ ἔχρισά σε ἐν ἐλαίῳ.

10. Καὶ ἐνέδυσά σε ποικίλα, καὶ ὑπέδυσά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ, καὶ περιέβαλόν σε τριχαπτῷ.

11. Καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλια περὶ τὰς χεῖράς σου, καὶ κάθεμα περὶ τὸν τράχηλόν σου.

12. Καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου, καὶ τροχίσκους ἐπὶ τὰ ὦτά σου, καὶ στέφανον καυχήσεως ἐπὶ τὴν κεφαλήν σου,

13. καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀργυρίῳ, καὶ τὰ πε-

2. Et tu, fili hominis, quid lignum vitis ex omnibus lignis sarmentorum quæ sunt inter ligna sylvæ?

3. Si tollent de illa lignum ad faciendum in opus? si tollent de ea paxillum ad suspendendum super eum omne vas;

4. Tantum data est igni in consumptionem, annuam purgationem ex ea consumit ignis, et demittit in finem. Numquid utile erit ad opus?

5. Neque etiam dum adhuc est integrum, erit ad opus. Numquid quandocumque etiam ignis illud consumpserit in finem, si erit adhuc ad opus?

6. Propterea dic : Hæc dicit Dominus : Quomodo lignum vitis inter ligna sylvæ, quod dedi illud igni in consumptionem, sic dedi habitatores Jerusalem.

7. Et dabo faciem meam super eos : de igne egredientur, et ignis devorabit eos, et scient quia ego Dominus cum obfirmavero faciem meam in eos.

8. Et dabo terram in desolationem, eo quod deliquerunt delicto, dicit Dominus.

CAPUT XVI.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, testificare Jerusalem iniquitates suas,

3. et dices : Hæc dicit Dominus ad Jerusalem : Radix tua et generatio tua de terra Chanaan : pater tuus Amorrhæus, et mater tua Chettæa.

4. Et generatio tua in die qua nata es, non ligavisti mammillas tuas, et in aqua non es lota, nec sale salita, nec fasciis es fasciata,

5. nec pepercit super te oculus meus, ut facerem tibi unum ex omnibus istis, ad patiendum quippiam super te. Et projecta es super faciem campi pravitate animæ tuæ in die qua nata es.

6. Et transivi super te, et vidi te mixtam in sanguine tuo, et dixi tibi : De sanguine tuo vita,

7. multiplicare : sicut ortus agri dedi te, et multiplicata es et magnificata es, et ingressa es in civitates civitatum. Ubera tua recta sunt, et pilus tuus ortus est : tu autem eras nuda et plena ignominiæ.

8. Et transivi per te, et vidi te, et ecce tempus tuum, et tempus divertentium. Et expandi alas meas super te, et operui ignominiam tuam, et juravi tibi, et ingressus sum in testamentum tecum, dicit Dominus. Et facta es mihi,

9. et lavi te in aqua, et ablui sanguinem tuum a te, et unxi te in oleo.

10. Et indui te variis, et calceavi te hyacintho, et cinxi te bysso, et circumdedi te trichapto.

11. Et ornavi te ornamento, et circumdedi armillis manus tuas, et torquem circa collum tuum.

12. Et dedi inaurem circa nares tuas, et rotulas super aures tuas, et coronam gloriationis super caput tuum,

13. et ornata es auro et argento, et amictus tui byssini,

ριβόλαιά σου βύσσινα, καὶ τρίχαπτα καὶ ποικίλα. Σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ ἐγένου καλὴ σφόδρα.

14. Καὶ ἐξῆλθέ σου ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν εὐπρεπείᾳ, ἐν τῇ ὡραιότητι ᾗ ἔταξα ἐπὶ σὲ, λέγει Κύριος.

15. Κατεπεποίθεις ἐν τῷ κάλλει σου, καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον.

16. Καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτὰ, καὶ ἐξεπόρνευσας ἐπ' αὐτὰ, καὶ οὐ μὴ εἰςέλθῃς οὐδὲ μὴ γένηται.

17. Καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ χρυσίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρσενικὰς, καὶ ἐξεπόρνευσας ἐν αὐταῖς,

18. καὶ ἔλαβες τὸν ἱματισμὸν τὸν ποικίλον σου, καὶ περιέβαλες αὐτάς· καὶ τὸ ἔλαιόν μου καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προςώπου αὐτῶν,

19. καὶ τοὺς ἄρτους μου οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἐψώμισά σε, καὶ ἔθηκας αὐτὰ πρὸ προςώπου αὐτῶν εἰς ὀσμὴν εὐωδίας. Καὶ ἐγένετο, λέγει Κύριος,

20. καὶ ἔλαβες τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου ἃς ἐγέννησας, καὶ ἔθυσας αὐτοῖς εἰς ἀνάλωσιν. Ὡς μικρὰ ἐξεπόρνευσας,

21. καὶ ἔσφαξας τὰ τέκνα σου, καὶ ἔδωκας αὐτὰ ἐν τῷ ἀποτροπιάζεσθαί σε αὐτὰ αὐτοῖς.

22. Τοῦτο παρὰ πᾶσαν τὴν πορνείαν σου, καὶ οὐκ ἐμνήσθης τῆς νηπιότητός σου, ὅτε ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα, πεφυρμένη ἐν τῷ αἵματί σου ἔζησας.

23. Καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου, λέγει Κύριος,

24. καὶ ᾠκοδόμησας σεαυτῇ οἴκημα πορνικὸν, καὶ ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλατείᾳ·

25. καὶ ἐπ' ἀρχῆς πάσης ὁδοῦ ᾠκοδόμησας τὰ πορνεῖά σου, καὶ ἐλυμήνω τὸ κάλλος σου, καὶ διήγαγες τὰ σκέλη σου παντὶ παρόδῳ, καὶ ἐπλήθυνας τὴν πορνείαν σου,

26. καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου τοὺς ὁμοροῦντάς σοι τοὺς μεγαλοσάρκους, καὶ πολλαχῶς ἐξεπόρνευσας τοῦ παροργίσαι με.

27. Ἐὰν δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ ἐξάρω τὰ νόμιμά σου, καὶ παραδώσω εἰς ψυχὰς μισούντων σε, θυγατέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἐκ τῆς ὁδοῦ σου ἧς ἠσέβησας.

28. Καὶ ἐξεπόρνευσας ἐπὶ τὰς θυγατέρας Ἀσσοὺρ, καὶ οὐδ' οὕτως ἐνεπλήσθης, καὶ ἐξεπόρνευσας καὶ οὐκ ἐνεπίπλω.

29. Καὶ ἐπλήθυνας τὰς διαθήκας σου πρὸς γῆν Χαλδαίων, καὶ οὐδὲ ἐν τούτοις ἐνεπλήσθης.

30. Τί διαθῶ τὴν θυγατέρα σου, λέγει Κύριος, ἐν τῷ ποιῆσαί σε πάντα ταῦτα ἔργα γυναικὸς πόρνης; Καὶ ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγατράσι σου.

31. Τὸ πορνεῖον ᾠκοδόμησας ἐν πάσῃ ἀρχῇ ὁδοῦ, καὶ τὴν βάσιν σου ἐποίησας ἐν πάσῃ πλατείᾳ. Καὶ ἐγένου ὡς πόρνη συνάγουσα μισθώματα,

32. ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σοι, παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβάνουσα μισθώματα,

33. πᾶσι τοῖς ἐκπορνεύσασιν αὐτὴν προςεδίδου μι-

et trichapta et versicoloria. Similam et oleum et mel comedisti, et facta es pulchra valde.

14. Et exivit nomen tuum in gentes in specie tua, quia completum erat in decore, in pulchritudine quam posui super te, dicit Dominus.

15. Confidisti in pulchritudine tua, et fornicata es in nomine tuo, et effudisti fornicationem tuam ad omnem transeuntem.

16. Et tulisti de vestibus tuis, et fecisti tibi idola consuta, et fornicata es super eis, et non ingredieris neque fiet.

17. Et tulisti vasa gloriationis tuæ de auro meo et de argento meo, de iis quæ dederam tibi, et fecisti tibi imagines masculinas, et fornicata es in eis,

18. et sumpsisti vestimentum varium tuum, et operuisti illas : et oleum meum et thymiama meum posuisti ante faciem eorum,

19. et panes meos quos dedi tibi, similam et oleum et mel cibavi te, et posuisti ea ante faciem eorum in odorem suavitatis. Et factum est, dicit Dominus,

20. et tulisti filios tuos et filias tuas quas genuisti, et immolasti eis in consumptionem. Quasi parum fornicata sis,

21. et interfecisti filios tuos, et dedisti eis in expiando te ipsos eis.

22. Hoc est super omnem fornicationem tuam, et non es recordata infantiæ tuæ, quando eras nuda et ignominiosa, mixta in sanguine tuo vixisti.

23. Et factum est post omnes malitias tuas, ait Dominus,

24. et ædificasti tibi habitaculum fornicationis, et fecisti tibi prostitutionem in omni platea :

25. et in principio omnis viæ ædificasti lupanaria tua, et corrupisti decorem tuum, et divaricasti crura tua omni transeunti, et multiplicasti fornicationem tuam,

26. et fornicata es cum filiis Ægypti vicinis tuis qui sunt magnarum carnium, et multipliciter fornicata es ut me ad iracundiam provocares.

27. Si autem extendero manum meam super te, et auferam legitima tua, et tradam in animas odientium te, filias alienigenarum declinantes te de via tua qua impie egisti.

28. Et fornicata es super filias Assur, et nec sic satiata es, et fornicata es et non es repleta.

29. Et multiplicasti testamenta tua ad terram Chaldæorum, et neque in istis expleta es.

30. Quomodo disponam filiam tuam, dicit Dominus, cum facias tu omnia hæc opera mulieris fornicariæ? Et fornicata es tripliciter in filiabus tuis.

31. Lupanar ædificasti in omni principio viæ, et basim tuam fecisti in omni platea. Et facta es quasi meretrix congregans mercedes,

32. mulier adultera similis tui, a viro suo accipiens mercedes,

33. omnibus qui fornicabuntur cum ea dabat mercedes.

37.

σθώματα. Καὶ σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου, καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐν τῇ πορνείᾳ σου.

34. Καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας ἐν τῇ πορνείᾳ σου, καὶ μετὰ σοῦ πεπορνεύκασιν, ἐν τῷ προςδιδόναι σε μισθώματα, καὶ σοὶ μισθώματα οὐκ ἐδόθη, καὶ ἐγένετο ἐν σοὶ διεστραμμένα.

35. Διὰ τοῦτο, πόρνη, ἄκουε λόγον Κυρίου.

36. Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐξέχεας τὸν χαλκόν σου, καὶ ἀποκαλυφθήσεται ἡ αἰσχύνη σου ἐν τῇ πορνείᾳ σου πρὸς τοὺς ἐραστάς σου, καὶ εἰς πάντα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου, καὶ ἐν τοῖς αἵμασι τῶν τέκνων σου ὧν ἔδωκας αὐτοῖς.

37. Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπισυνάγω πάντας τοὺς ἐραστάς σου ἐν οἷς ἐπεμίγης ἐν αὐτοῖς, καὶ πάντας οὓς ἠγάπησας, σὺν πᾶσιν οἷς ἐμίσεις. Καὶ συνάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν, καὶ ἀποκαλύψω τὰς κακίας σου πρὸς αὐτούς, καὶ ὄψονται πᾶσαν τὴν αἰσχύνην σου,

38. καὶ ἐκδικήσω σε ἐκδικήσει μοιχαλίδος, καὶ θήσω σε ἐν αἵματι θυμοῦ καὶ ζήλου.

39. Καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ κατασκάψουσι τὸ πορνεῖόν σου, καὶ καθελοῦσι τὴν βάσιν σου, καὶ ἐκδύσουσί σε τὰ ἱμάτιά σου, καὶ λήψονται τὰ σκεύη τῆς καυχήσεώς σου, καὶ ἀφήσουσί σε γυμνὴν καὶ ἀσχημονοῦσαν.

40. Καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους, καὶ λιθοβολήσουσί σε ἐν λίθοις, καὶ κατασφάξουσί σε ἐν τοῖς ξίφεσιν αὐτῶν·

41. καὶ ἐμπρήσουσι τοὺς οἴκους σου πυρὶ, καὶ ποιήσουσιν ἐν σοὶ ἐκδικήσεις ἐνώπιον γυναικῶν πολλῶν. Καὶ ἀποστρέψω σε ἐκ πορνείας, καὶ μισθώματα οὐ μὴ δώσω οὐκέτι·

42. καὶ ἐπαφήσω τὸν θυμόν μου ἐπὶ σὲ, καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ, καὶ ἀναπαύσομαι, καὶ οὐ μὴ μεριμνήσω οὐκέτι.

43. Ἀνθ' ὧν οὐκ ἐμνήσθης τῆς νηπιότητός σου, καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις. Καὶ ἰδοὺ ἐγὼ τὰς ὁδούς σου εἰς κεφαλήν σου δέδωκα, λέγει Κύριος· καὶ οὕτως ἐποίησας τὴν ἀσέβειαν ἐπὶ πάσαις ταῖς ἀνομίαις σου.

44. Ταῦτά ἐστι πάντα ὅσα εἶπαν κατὰ σοῦ ἐν παραβολῇ, λέγοντες· Καθὼς ἡ μήτηρ,

45. καὶ ἡ θυγάτηρ τῆς μητρός σου σὺ εἶ, ἡ ἀπωσαμένη τὸν ἄνδρα αὐτῆς καὶ τὰ τέκνα αὐτῆς, καὶ ἀδελφαὶ τῶν ἀδελφῶν σου αἱ ἀπωσάμεναι τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν. Ἡ μήτηρ ὑμῶν Χετταία καὶ ὁ πατὴρ Ἀμοῤῥαῖος,

46. ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσβυτέρα Σαμάρεια, αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ εὐωνύμων σου· καὶ ἡ ἀδελφή σου ἡ νεωτέρα σου, ἡ κατοικοῦσα ἐκ δεξιῶν σου, Σόδομα καὶ αἱ θυγατέρες αὐτῆς.

47. Καὶ οὐδ' ὧς ἐν ταῖς ὁδοῖς αὐτῶν ἐπορεύθης, οὐδὲ κατὰ τὰς ἀνομίας αὐτῶν ἐποίησας παρὰ μικρὸν, καὶ ὑπέρκεισαι αὐτὰς ἐν πάσαις ταῖς ὁδοῖς σου.

48. Ζῶ ἐγὼ, λέγει Κύριος, εἰ πεποίηκε Σόδομα, αὕτη καὶ αἱ θυγατέρες αὐτῆς, ὃν τρόπον ἐποίησας σὺ καὶ αἱ θυγατέρες σου.

49. Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων τῆς ἀδελφῆς σου ὑπερηφανία, ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίᾳ ἐσπατάλων αὕτη καὶ αἱ θυγατέρες αὐτῆς· τοῦτο ὑπῆρ-

Et tu dedisti mercedes cunctis amatoribus tuis, et onerabas illos ut venirent ad te per circuitum in fornicatione tua.

34. Et factum est in te perversum præter mulieres in fornicatione tua, et tecum sunt fornicatæ, in eo quod dares mercedes, et mercedes non sunt datæ tibi, et facta sunt in te perversa.

35. Propterea, meretrix, audi verbum Domini.

36. Hæc dicit Dominus : Quia effudisti æs tuum, et revelabitur ignominia tua in fornicatione tua ad amatores tuos, et in omnes cogitationes iniquitatum tuarum, et in sanguinibus filiorum tuorum quos dedisti eis.

37. Ideo ecce ego supercongrego omnes amatores tuos in quibus commista es in eis, et omnes quos dilexisti, cum universis quos oderas. Et congregabo eos super te per circuitum, et revelabo malitias tuas ad eos, et videbunt cunctam ignominiam tuam,

38. et ulciscar te ultione adulteræ, et ponam te in sanguine furoris et zeli.

39. Et tradam te in manus eorum, et suffodient lupanar tuum, et destruent basim tuam, et nudabunt te vestimentis tuis, et tollent vasa gloriationis tuæ, et dimittent te nudam et plenam ignominiæ.

40. Et adducent super te turbas, et lapidabunt te in lapidibus, et jugulabunt te in gladiis suis :

41. et succendent domos tuas igni, et facient in te ultiones coram mulieribus plurimis. Et avertam te a fornicatione, et mercedes ultra non dabo :

42. et immittam furorem meum super te, et auferetur zelus meus a te, et requiescam, et non ero ultra sollicitus.

43. Quia non es recordata infantiæ tuæ, et contristabas me in his omnibus. Et ecce ego vias tuas in caput tuum dedi, dicit Dominus : et sic fecisti impietatem super cunctis iniquitatibus tuis.

44. Hæc sunt omnia quæ dixerunt contra te in parabola, dicentes : Sicut mater,

45. et filia matris tuæ tu es, quæ repulit virum suum et filios suos, et sorores sororum tuarum quæ repulerunt viros suos et filios suos. Mater vestra Chettæa et pater Amorrhæus,

46. soror vestra senior Samaria, hæc et filiæ ejus, quæ habitat a sinistris tuis : et soror tua junior te, quæ habitat a dextris tuis, Sodoma et filiæ ejus.

47. Sed ne sic quidem in viis earum ambulasti, neque secundum iniquitates illarum egisti paulominus, et supergressa es eas in omnibus viis tuis.

48. Vivo ego, dicit Dominus, si fecit Sodoma, hæc et filiæ ejus, sicut fecisti tu et filiæ tuæ.

49. Verumtamen hæc fuit iniquitas Sodomæ sororis tuæ superbia, in saturitate panum et in abundantia deliciis di-

χεν αὐτῇ καὶ ταῖς θυγατράσιν αὐτῆς, καὶ χεῖρα πτωχοῦ καὶ πένητος οὐκ ἀντελαμβάνοντο,

50. καὶ ἐμεγαλαύχουν, καὶ ἐποίησαν ἀνομήματα ἐνώπιον ἐμοῦ, καὶ ἐξῆρα αὐτὰς καθὼς ἴδον.

51. Καὶ Σαμάρεια κατὰ τὰς ἡμίσεις τῶν ἁμαρτιῶν σου οὐχ ἥμαρτε, καὶ ἐπλήθυνας τὰς ἀνομίας σου ὑπὲρ αὐτὰς, καὶ ἐδικαίωσας τὰς ἀδελφάς σου ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐποίησας.

52. Καὶ σὺ κόμισαι βάσανόν σου ἐν ᾗ ἔφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου αἷς ἠνόμησας ὑπὲρ αὐτὰς, καὶ ἐδικαίωσας αὐτὰς ὑπὲρ σεαυτήν. Καὶ σὺ αἰσχύνθητι, καὶ λάβε τὴν ἀτιμίαν σου, ἐν τῷ δικαιῶσαί σε τὰς ἀδελφάς σου.

53. Καὶ ἀποστρέψω τὰς ἀποστροφὰς αὐτῶν, τὴν ἀποστροφὴν Σοδόμων καὶ τῶν θυγατέρων αὐτῆς. Καὶ ἀποστρέψω τὴν ἀποστροφὴν Σαμαρείας καὶ τῶν θυγατέρων αὐτῆς, καὶ ἀποστρέψω τὴν ἀποστροφήν σου ἐν μέσῳ αὐτῶν,

54. ὅπως κομίσῃ τὴν βάσανόν σου, καὶ ἀτιμωθήσῃ ἐκ πάντων ὧν ἐποίησας ἐν τῷ παροργίσαι με.

55. Καὶ ἡ ἀδελφή σου Σόδομα καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθήσονται καθὼς ἦσαν ἀπ' ἀρχῆς, καὶ σὺ καὶ αἱ θυγατέρες σου ἀποκατασταθήσεσθε καθὼς ἀπ' ἀρχῆς ἦτε.

56. Καὶ εἰ μὴ ἦν Σόδομα ἡ ἀδελφή σου εἰς ἀκοὴν ἐν τῷ στόματί σου ἐν ταῖς ἡμέραις ὑπερηφανίας σου,

57. πρὸ τοῦ ἀποκαλυφθῆναι τὰς κακίας σου, ὃν τρόπον νῦν ὄνειδος εἶ θυγατέρων Συρίας καὶ πάντων τῶν κύκλῳ αὐτῆς θυγατέρων ἀλλοφύλων τῶν περιεχουσῶν σε κύκλῳ·

58. τὰς ἀσεβείας σου καὶ τὰς ἀνομίας σου σὺ κεκόμισαι αὐτὰς, λέγει Κύριος.

59. Τάδε λέγει Κύριος· Καὶ ποιήσω ἐν σοὶ καθὼς ἐποίησας, ὡς ἠτίμωσας ταῦτα, τοῦ παραβῆναι τὴν διαθήκην μου.

60. Καὶ μνησθήσομαι ἐγὼ τῆς διαθήκης μου τῆς μετὰ σοῦ ἐν ἡμέραις νηπιότητός σου, καὶ ἀναστήσω σοι διαθήκην αἰώνιον.

61. Καὶ μνησθήσῃ τὴν ὁδόν σου, καὶ ἐξατιμωθήσῃ ἐν τῷ ἀναλαβεῖν σε τὰς ἀδελφάς σου τὰς πρεσβυτέρας σου σὺν ταῖς νεωτέραις σου, καὶ δώσω αὐτάς σοι εἰς οἰκοδομὴν, καὶ οὐκ ἐκ διαθήκης σου.

62. Καὶ ἀναστήσω ἐγὼ τὴν διαθήκην μου μετὰ σοῦ, καὶ ἐπιγνώσῃ ὅτι ἐγὼ Κύριος·

63. ὅπως μνησθῇς καὶ αἰσχυνθῇς, καὶ μὴ ᾖ σοι ἔτι ἀνοῖξαι τὸ στόμα σου ἀπὸ προσώπου τῆς ἀτιμίας σου, ἐν τῷ ἐξιλάσκεσθαί με σοὶ κατὰ πάντα ὅσα ἐποίησας, λέγει Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων·

2. Υἱὲ ἀνθρώπου, διήγησαι διήγημα καὶ εἰπὸν παραβολὴν πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ,

3. καὶ ἐρεῖς· Τάδε λέγει Κύριος· Ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς κέδρου,

4. τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέκνισε, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Χαναὰν, εἰς πόλιν τετειχισμένην ἔθετο αὐτά.

fluebant ipsa et filiæ ejus, hæc habebat ipsa et filiæ ejus, et manum pauperis et egeni non assumebant,

50. et gloriabantur magnifice, et fecerunt iniquitates in conspectu meo, et abstuli eas sicut vidi.

51. Et Samaria secundum dimidia peccatorum tuorum non peccavit, et multiplicasti iniquitates tuas super eas, et justificasti sorores tuas in omnibus iniquitatibus tuis quas operata es.

52. Et tu sustine tormentum tuum in eo quod corruperis sorores tuas in peccatis tuis quibus inique egisti super eas, et justificasti illas super te. Et tu confundere, et suscipe ignominiam tuam, eo quod justificaveris sorores tuas.

53. Et convertam conversiones earum, conversionem Sodomæ et filiarum ejus. Et convertam conversionem Samariæ et filiarum ejus, et convertam conversionem tuam in medio earum,

54. ut portes tormentum tuum, et habeas ignominiam ex omnibus quæ fecisti ut me ad iracundiam provocares.

55. Et soror tua Sodoma et filiæ ejus restituentur sicut fuerunt a principio, et tu et filiæ tuæ restituemini sicut fuistis a principio.

56. Et nisi fuisset Sodoma soror tua in auditum in ore tuo in diebus superbiæ tuæ,

57. antequam revelarentur malitiæ tuæ, sicut nunc opprobrium es filiarum Syriæ et omnium quæ in circuitu ejus filiarum alienigenarum quæ circumdant te per gyrum :

58. impietates tuas et iniquitates tuas tu portasti eas, dicit Dominus.

59. Hæc dicit Dominus : Et faciam in te sicut fecisti, sicut despexisti hæc, ut præterires testamentum meum.

60. Et recordabor ego testamenti mei quod feci tecum in diebus adolescentiæ tuæ, et suscitabo tibi testamentum sempiternum.

61. Et recordaberis viæ tuæ, et despicieris cum receperis sorores tuas te majores cum junioribus tuis, et dabo eas tibi in ædificationem, et non ex testamento tuo.

62. Et suscitabo ego testamentum meum tecum, et cognosces quia ego Dominus :

63. ut recorderis et confundaris, et non sit tibi ultra aperire os tuum a facie ignominiæ tuæ, cum propitius fuero tibi juxta omnia quæ fecisti, dicit Dominus.

CAPUT XVII.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, narra narrationem et dic parabolam ad domum Israel,

3. et dices : Hæc dicit Dominus : Aquila magna magnarum alarum, longa extensione, plena unguium, quæ habet ductum intrandi in Libanum, et tulit electa cedri,

4. summitates teneritudinis avellit, et attulit eas in terram Chanaan, in civitate murata posuit illas.

5. Καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν αὐτὸ εἰς τὸ πεδίον φυτὸν ἐφ' ὕδατι πολλῷ, ἐπιβλεπόμενον ἔταξεν αὐτό.

6. Καὶ ἀνέτειλε καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν καὶ μικρὰν, τοῦ ἐπιφαίνεσθαι αὐτὴν τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸ, καὶ ῥίζαι αὐτῆς ὑποκάτω αὐτῆς ἦσαν. Καὶ ἐγένετο εἰς ἄμπελον, καὶ ἐποίησεν ἀπώρυγας, καὶ ἐξέτεινε τὴν ἀναδενδράδα αὐτῆς.

7. Καὶ ἐγένετο ἀετὸς ἕτερος μέγας, μεγαλοπτέρυγος, πολὺς ὄνυξι· καὶ ἰδοὺ ἡ ἄμπελος αὕτη περιπεπλεγμένη πρὸς αὐτὸν, καὶ ῥίζαι αὐτῆς πρὸς αὐτὸν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλεν αὐτῷ, τοῦ ποτίσαι αὐτὴν σὺν τῷ βόλῳ τῆς φυτείας αὐτῆς.

8. Εἰς πεδίον καλὸν ἐφ' ὕδατι πολλῷ αὕτη πιαίνεται, τοῦ ποιεῖν βλαστοὺς καὶ φέρειν καρπὸν, τοῦ εἶναι εἰς ἄμπελον μεγάλην.

9. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Εἰ κατευθυνεῖ; Οὐχὶ αἱ ῥίζαι τῆς ἁπαλότητος αὐτῆς καὶ ὁ καρπὸς σαπήσεται, καὶ ξηρανθήσεται πάντα τὰ προανατέλλοντα αὐτῆς, καὶ οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ, τοῦ ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς;

10. Καὶ ἰδοὺ πιαίνεται. Μὴ κατευθυνεῖ; Οὐχὶ ἅμα τῷ ἅψεσθαι αὐτῆς ἄνεμον τὸν καύσωνα ξηρανθήσεται; σὺν τῷ βόλῳ ἀνατολῆς αὐτῆς ξηρανθήσεται.

11. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

12. Υἱὲ ἀνθρώπου, εἰπὸν δὴ πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα· Οὐκ ἐπίστασθε τί ἦν ταῦτα; Εἰπόν· Ὅταν ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλὴμ, καὶ λήψηται τὸν βασιλέα αὐτῆς καὶ τοὺς ἄρχοντας αὐτῆς, καὶ ἄξῃ αὐτοὺς πρὸς ἑαυτὸν εἰς Βαβυλῶνα.

13. Καὶ λήψεται ἐκ τοῦ σπέρματος τῆς βασιλείας, καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην, καὶ εἰσάξει αὐτὸν ἐν ἀρᾷ, καὶ τοὺς ἡγεμόνας τῆς γῆς λήψεται,

14. τοῦ γενέσθαι εἰς βασιλείαν ἀσθενῆ, τὸ καθόλου μὴ ἐπαίρεσθαι τοῦ φυλάσσειν τὴν διαθήκην αὐτοῦ, καὶ ἱστάνειν αὐτήν.

15. Καὶ ἀποστήσεται ἀπ' αὐτοῦ, τοῦ ἐξαποστέλλειν ἀγγέλους ἑαυτοῦ εἰς Αἴγυπτον, τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. Εἰ κατευθυνεῖ, εἰ διασωθήσεται ὁ ποιῶν ἐναντία; Καὶ παραβαίνων διαθήκην εἰ διασωθήσεται;

16. Ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν μὴ ἐν τόπῳ ὁ βασιλεὺς ὁ βασιλεύσας αὐτὸν, ὃς ἠτίμωσε τὴν ἀράν μου, καὶ ὃς παρέβη τὴν διαθήκην μου, μετ' αὐτοῦ ἐν μέσῳ Βαβυλῶνος τελευτήσει.

17. Καὶ οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ὄχλῳ πολλῷ ποιήσει πρὸς αὐτὸν Φαραὼ πόλεμον, ἐν χαρακοβολίᾳ καὶ ἐν οἰκοδομῇ βελοστάσεων, τοῦ ἐξᾶραι ψυχάς.

18. Καὶ ἠτίμωσεν ὁρκωμοσίαν τοῦ παραβῆναι διαθήκην. Καὶ ἰδοὺ δέδωκα τὴν χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ, μὴ σωθήσεται.

19. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος· Ζῶ ἐγὼ, ἐὰν μὴ τὴν ὁρκωμοσίαν μου ἣν ἠτίμωσε, καὶ τὴν διαθήκην μου ἣν παρέβη, καὶ δώσω αὐτὴν εἰς κεφαλὴν αὐτοῦ.

20. Καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυον, καὶ ἁλώσεται ἐν τῇ περιοχῇ αὐτοῦ. (*)

(*) 20... Καὶ ἄξω αὐτὸν εἰς Βαβυλῶνα, καὶ διακριθήσομαι μετ' αὐτοῦ ἐκεῖ τὴν ἀδικίαν αὐτοῦ ἣν ἠδίκησεν ἐν ἐμοί. (*Alex.*)

5. Et tulit de semine terræ, et dedit illud in campo plantationem super aquam multam, ut respiceretur posuit illud.

6. Ortumque est et factum in vitem infirmam et parvulam, ut ipsa extare faceret ramos suos super illum, et radices illius subter illam erant. Et facta est in vitem, et fecit propagines, et extendit ramos suos.

7. Et facta est aquila altera grandis, magnarum alarum, multa unguibus : et ecce vitis hæc implicata erat ad eam, et radices ejus ad illam, et ramos suos extendit ad illam, ut irrigaretur ab illa cum gleba plantationis suæ.

8. In campo bono super aquam multam ipsa impinguatur, ut faciat germina et afferat fructum, ut sit in vitem grandem.

9. Propterea dic : Hæc dicit Dominus : Si dirigetur? Nonne radices teneritudinis ejus et fructus putrescent, et arescent omnia quæ ex ea progerminant, et non in brachio magno, neque in populo multo, ut evellat eam a radicibus suis?

10. Et ecce impinguatur. Numquid dirigetur? Nonne statim ut tetigerit eam ventus urens arescet? cum gleba germinis sui arescet.

11. Et factum est verbum Domini ad me, dicens :

12. Fili hominis, dic nunc ad domum exasperantem : Nescitis quid sint ista? Dic : Cum venerit rex Babylonis super Jerusalem, et capiet regem ejus et principes ejus, et ducet eos ad se in Babylonem.

13. Et tollet de semine regni, et disponet ad eum testamentum, et introducet eum in maledictione, et principes terræ tollet,

14. ut sit in regnum infirmum, omninoque non elevetur custodiendo testamentum ipsius, et statuat illud.

15. Et recedet ab eo, mittendo nuntios suos in Ægyptum, ut sibi daret equos et populum multum. Si dirigetur, si salvabitur qui facit contraria? Et qui transgreditur testamentum si salvabitur?

16. Vivo ego, dicit Dominus, nisi in loco ubi rex qui regnare fecit eum, qui sprevit maledictionem meam, et qui transgressus est testamentum meum, cum eo in medio Babylonis morietur.

17. Et non in virtute magna neque in turba multa faciet adversus eum Pharao prœlium, in jactu aggeris et in ædificatione vallorum, ut auferat animas.

18. Et vilipendit juramentum transgrediendo testamentum. Et ecce dedi manum ejus, et hæc omnia fecit ei, non salvabitur.

19. Propterea dic : Hæc dicit Dominus : Vivo ego, nisi juramentum meum quod sprevit, et testamentum meum quod transgressus est, et dabo illud in caput ejus.

20. Et extendam super eum rete, et capietur in circonstrictione ejus.

20... Et adducam eum in Babylonem, et disceptabo cum eo ibi de injustitia ejus, qua injuste egit in me.

21. Ἐν πάσῃ παρατάξει αὐτοῦ ἐν ῥομφαίᾳ πεσοῦνται· καὶ τοὺς καταλοίπους εἰς πάντα ἄνεμον διασπερῶ, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος λελάληκα.
22. Διότι τάδε λέγει Κύριος· Καὶ λήψομαι ἐγὼ ἐκ τῶν ἐκλεκτῶν τῆς κέδρου ἐκ κορυφῆς, καρδίας αὐτῶν ἀποκνιῶ, καὶ καταφυτεύσω ἐγὼ ἐπ' ὄρος ὑψηλὸν,
23. καὶ κρεμάσω αὐτὸν ἐν ὄρει μετεώρῳ Ἰσραὴλ, καὶ καταφυτεύσω, καὶ ἐξοίσει βλαστὸν, καὶ ποιήσει καρπὸν, καὶ ἔσται εἰς κέδρον μεγάλην. Καὶ ἀναπαύσεται ὑποκάτω αὐτοῦ πᾶν ὄρνεον, καὶ πᾶν πετεινὸν ὑπὸ τὴν σκιὰν αὐτοῦ ἀναπαύσεται· τὰ κλήματα αὐτοῦ ἀποκατασταθήσεται,
24. καὶ γνώσονται πάντα τὰ ξύλα τοῦ πεδίου διότι ἐγὼ Κύριος ὁ ταπεινῶν ξύλον ὑψηλὸν, καὶ ὑψῶν ξύλον ταπεινὸν, καὶ ξηραίνων ξύλον χλωρὸν, καὶ ἀναθάλλων ξύλον ξηρόν. Ἐγὼ Κύριος λελάληκα, καὶ ποιήσω.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·
2. Υἱὲ ἀνθρώπου, τί ὑμῖν ἡ παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς Ἰσραὴλ, λέγοντες· Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν;
3. Ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν γένηται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ·
4. ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ ἐμαί εἰσιν. Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται.
5. Ὁ δὲ ἄνθρωπος ὃς ἔσται δίκαιος, ὁ ποιῶν κρῖμα καὶ δικαιοσύνην,
6. ἐπὶ τῶν ὀρέων οὐ φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ ἐπάρῃ πρὸς τὰ ἐνθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖ,
7. καὶ ἄνθρωπον οὐ μὴ καταδυναστεύσῃ, ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει, καὶ ἅρπαγμα οὐχ ἁρπᾶται, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει, καὶ γυμνὸν περιβαλεῖ,
8. καὶ τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει, καὶ πλεονασμὸν οὐ λήψεται, καὶ ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, κρῖμα δίκαιον ποιήσει ἀναμέσον ἀνδρὸς καὶ ἀναμέσον τοῦ πλησίον αὐτοῦ,
9. καὶ τοῖς προστάγμασί μου πεπόρευται, καὶ τὰ δικαιώματά μου πεφύλακται, τοῦ ποιῆσαι αὐτά· δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει Κύριος.
10. Καὶ ἐὰν γεννήσῃ υἱὸν λοιμὸν, ἐκχέοντα αἷμα καὶ ποιοῦντα ἁμαρτήματα,
11. ἐν τῇ ὁδῷ τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη, ἀλλὰ καὶ ἐπὶ τῶν ὀρέων ἔφαγε, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐμίανε,
12. καὶ πτωχὸν καὶ πένητα κατεδυνάστευσε, καὶ ἅρπαγμα ἥρπασε, καὶ ἐνεχυρασμὸν οὐκ ἀπέδωκε, καὶ εἰς τὰ εἴδωλα ἔθετο τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἀνομίαν πεποίηκε,
13. μετὰ τόκου ἔδωκε, καὶ πλεονασμὸν ἔλαβεν· οὗτος ζωῇ οὐ ζήσεται, πάσας τὰς ἀνομίας ταύτας ἐποίησε, θανάτῳ θανατωθήσεται, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται.
14. Ἐὰν δὲ γεννήσῃ υἱὸν, καὶ ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτοῦ ἃς ἐποίησε, καὶ φοβηθῇ, καὶ μὴ ποιήσῃ κατ' αὐτὰς

21. In omni acie ejus in gladio cadent : et residuos in omnem ventum disseminabo, et scietis quia ego Dominus locutus sum.
22. Quia hæc dicit Dominus : Et sumam ego de electis cedri de vertice, de corde eorum avellam, et plantabo ego super montem excelsum,
23. et suspendam illud in monte sublimi Israel, et plantabo, et proferet germen, et faciet fructum, et erit in cedrum magnam. Et requiescet sub ea omnis avis, et omne volatile sub umbra ejus requiescet : rami ejus restituentur,
24. et scient omnia ligna campi quia ego Dominus qui humilio lignum excelsum, et exalto lignum humile, et arefacio lignum viride, et germinare facio lignum aridum. Ego Dominus locutus sum, et faciam.

CAPUT XVIII.

1. Et factus est sermo Domini ad me, dicens :
2. Fili hominis, quid vobis parabola hæc inter filios Israel, dicentes : Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt?
3. Vivo ego, dicit Dominus, si fuerit ultra ut dicatur parabola hæc in Israel :
4. quia omnes animæ meæ sunt quomodo anima patris, ita et anima filii meæ sunt. Anima quæ peccaverit ipsa morietur.
5. Homo autem qui fuerit justus, qui facit judicium et justitiam,
6. super montes non comederit, et oculos suos non levaverit ad cogitationes domus Israel, et uxorem proximi sui non contaminaverit, et ad mulierem fluentem sanguine non accesserit,
7. et hominem per potentiam non oppresserit, pignus debitori reddiderit, et rapinam non rapuerit, panem suum esurienti dederit, et nudum operuerit,
8. et pecuniam suam ad usuram non dederit, et amplius non acceperit, et ab iniquitate averterit manum suam, justum judicium fecerit inter virum et inter proximum ejus,
9. et præceptis meis ambulaverit, et justificationes meas custodierit, ut faciat ea : hic justus est, vita vivet, dicit Dominus.
10. Quod si genuerit filium pestilentem, effundentem sanguinem et facientem peccata,
11. in via patris sui justi non ambulavit, sed et super montes comedit, et uxorem proximi sui polluit,
12. et egenum et pauperem oppressit per potentiam, et rapinam rapuit, et pignus non reddidit, et ad idola posuit oculos suos, iniquitatem fecit,
13. cum usura dedit, et amplius accepit : hic vita non vivet, omnes has iniquitates fecit, morte mortificabitur, sanguis ejus super ipsum erit.
14. Si autem genuerit filium, et viderit omnia peccata patris sui quæ fecit, et timuerit, et non fecerit secundum ea,

15. ἐπὶ τῶν ὀρέων οὐ βέβρωκε, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο εἰς τὰ ἐνθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ ἐμίανε,

16. καὶ ἄνθρωπον οὐ κατεδυνάστευσε, καὶ ἐνεχυρασμὸν οὐκ ἐνεχύρασε, καὶ ἅρπαγμα οὐχ ἥρπασε, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι ἔδωκε, καὶ γυμνὸν περιέβαλεν,

17. καὶ ἀπὸ ἀδικίας ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ, τόκον οὐδὲ πλεονασμὸν οὐκ ἔλαβε, δικαιοσύνην ἐποίησε, καὶ ἐν τοῖς προστάγμασί μου ἐπορεύθη, οὐ τελευτήσει ἐν ἀδικίαις πατρὸς αὐτοῦ, ζωῇ ζήσεται.

18. Ὁ δὲ πατὴρ αὐτοῦ ἐὰν θλίψει θλίψῃ καὶ ἁρπάσῃ ἅρπαγμα, ἐναντία ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου, καὶ ἀποθανεῖται ἐν τῇ ἀδικίᾳ αὐτοῦ.

19. Καὶ ἐρεῖτε· Τί ὅτι οὐκ ἔλαβε τὴν ἀδικίαν ὁ υἱὸς τοῦ πατρός; Ὅτι ὁ υἱὸς δικαιοσύνην καὶ ἔλεος πεποίηκε, πάντα τὰ νόμιμά μου συνετήρησε, καὶ ἐποίησεν αὐτά· ζωῇ ζήσεται.

20. Ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται· ὁ δὲ υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς, οὐδὲ ὁ πατὴρ λήψεται τὴν ἀδικίαν τοῦ υἱοῦ. Δικαιοσύνη δικαίῳ ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμῳ ἐπ' αὐτὸν ἔσται.

21. Καὶ ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε, καὶ φυλάξηται πάσας τὰς ἐντολάς μου, καὶ ποιήσῃ δικαιοσύνην καὶ ἔλεος, ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ.

22. Πάντα τὰ παραπτώματα αὐτοῦ ὅσα ἐποίησε οὐ μνησθήσονται· ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ᾗ ἐποίησε ζήσεται.

23. Μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν;

24. Ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῆσαι ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ ἃς ἐποίησεν οὐ μὴ μνησθῶσιν· ἐν τῷ παραπτώματι αὐτοῦ ᾧ παρέπεσε, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται.

25. Καὶ εἴπατε· Οὐ κατευθύνει ἡ ὁδὸς Κυρίου. Ἀκούσατε δὴ, πᾶς ὁ οἶκος Ἰσραήλ· μὴ ἡ ὁδός μου οὐ κατευθυνεῖ; οὐχὶ ἡ ὁδὸς ὑμῶν κατευθύνει;

26. Ἐν τῷ ἀποστρέψαι τὸν δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσει παράπτωμα, καὶ ἀποθάνῃ ἐν τῷ παραπτώματι ᾧ ἐποίησεν, ἐν αὐτῷ ἀποθανεῖται.

27. Καὶ ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε,

28. καὶ ἀπέστρεψεν ἐκ πασῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε· ζωῇ ζήσεται, οὐ μὴ ἀποθάνῃ.

29. Καὶ λέγουσιν ὁ οἶκος τοῦ Ἰσραήλ· Οὐ κατορθοῖ ἡ ὁδὸς Κυρίου. Μὴ ἡ ὁδός μου οὐ κατορθοῖ, οἶκος Ἰσραήλ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κατορθοῖ;

30. Ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος. Ἐπιστράφητε καὶ ἀποστρέψατε ἐκ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας.

31. Ἀποῤῥίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν ἃς ἠσεβήσατε εἰς ἐμὲ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν· καὶ ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;

15. super montes non manducavit, et oculos suos non posuit ad cogitationes domus Israel, et uxorem proximi sui non violavit,

16. et hominem non oppressit, et pignus non retinuit, et rapinam non rapuit, panem suum esurienti dedit, et nudum operuit,

17. et ab injustitia avertit manum suam, usuram et superabundantiam non accepit, justitiam fecit, et in præceptis meis ambulavit, non morietur in iniquitatibus patris sui, vita vivet.

18. Pater autem ejus si tribulatione tribulaverit et rapuerit rapinam, contraria fecit in medio populi mei, et morietur in sua iniquitate.

19. Et dicetis : Quid quod non accepit iniquitatem filius patris? Quoniam filius justitiam et misericordiam fecit, omnia legitima mea conservavit, et fecit ea : vita vivet.

20. Anima autem peccans morietur : filius autem non accipiet iniquitatem patris, neque pater accipiet iniquitatem filii. Justitia justo super ipsum erit, et iniquitas iniquo super ipsum erit.

21. Et iniquus si averterit se ab omnibus iniquitatibus suis quas fecit, et custodierit omnia præcepta mea, et fecerit justitiam et misericordiam, vita vivet, et non morietur.

22. Omnia delicta ejus quæcumque fecit non memorabuntur : in sua justitia quam fecit vivet.

23. Numquid voluntate volam mortem iniqui, dicit Dominus, sicut averti ipsum a via sua pessima, et ipsum vivere?

24. Cum autem averterit se justus a justitia sua, et fecerit injustitiam secundum omnes iniquitates quas fecit iniquus, omnes injustitiæ ejus quas fecit non erunt in memoria : in delicto suo quo deliquit, et in peccatis suis quæ peccavit, in ipsis morietur.

25. Et dixistis : Non recte pergit via Domini. Audite nunc, omnis domus Israel : numquid via mea non recte perget? numquid via vestra recte pergit?

26. In avertendo se justum a justitia sua, et faciet delictum, et morietur in delicto quod fecit, in ipso morietur.

27. Et in avertendo se iniquum ab iniquitate sua quam fecit, et faciet judicium et justitiam, hic animam suam custodivit,

28. et avertit se ab omnibus impietatibus suis quas fecerat : vita vivet, non morietur.

29. Et dicunt domus Israel : Non recta est via Domini. Numquid via mea non recta est, domus Israel? nonne via vestra non recta est?

30. Unumquemque secundum viam suam judicabo vos, domus Israel, ait Dominus. Convertimini et avertite vos ab omnibus impietatibus vestris, et non erunt vobis in supplicium iniquitatis.

31. Projicite a vobis omnes impietates vestras in quibus impie egistis in me, et facite vobis cor novum et spiritum novum : et utquid morimini, domus Israel?

32. Διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει Κύριος. (*)

32. Quia nolo mortem morientis, ait Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

CAPUT XIX.

1. Καὶ σὺ λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα τοῦ Ἰσραὴλ,
2. καὶ ἐρεῖς· Τί ἡ μήτηρ σου σκύμνος ἐν μέσῳ λεόντων ἐγενήθη; ἐν μέσῳ λεόντων ἐπλήθυνε σκύμνους αὐτῆς;
3. Καὶ ἀπεπήδησεν εἷς τῶν σκύμνων αὐτῆς, λέων ἐγένετο, καὶ ἔμαθε τοῦ ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους ἔφαγε.
4. Καὶ ἤκουσαν κατ' αὐτοῦ ἔθνη, ἐν τῇ διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἤγαγον αὐτὸν ἐν κημῷ εἰς γῆν Αἰγύπτου,
5. καὶ εἶδεν ὅτι ἀπῶσται ἀπ' αὐτῆς, ἀπώλετο ἡ ὑπόστασις αὐτῆς· καὶ ἔλαβεν ἄλλον ἐκ τῶν σκύμνων αὐτῆς, λέοντα ἔταξεν αὐτὸν,
6. καὶ ἀνεστρέφετο ἐν μέσῳ λεόντων, λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα· ἀνθρώπους ἔφαγε,
7. καὶ ἐνέμετο τῷ θράσει αὐτοῦ, καὶ τὰς πόλεις αὐτῶν ἐξηρήμωσε, καὶ ἠφάνισε γῆν, καὶ τὸ πλήρωμα αὐτῆς ἀπὸ φωνῆς ὠρυώματος αὐτοῦ·
8. καὶ ἔδωκαν ἐπ' αὐτὸν ἔθνη ἐκ χωρῶν κυκλόθεν, καὶ ἐξεπέτασαν ἐπ' αὐτὸν δίκτυα αὐτῶν, ἐν διαφθορᾷ αὐτῶν συνελήφθη,
9. καὶ ἔθεντο αὐτὸν ἐν κημῷ καὶ ἐν γαλεάγρᾳ, ἦλθε πρὸς βασιλέα Βαβυλῶνος, καὶ εἰσήγαγεν αὐτὸν εἰς φυλακὴν, ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ ἐπὶ τὰ ὄρη τοῦ Ἰσραήλ.
10. Ἡ μήτηρ σου ὡς ἄμπελος καὶ ὡς ἄνθος ἐν ῥοᾷ ἐν ὕδατι πεφυτευμένη, ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο ἐξ ὕδατος πολλοῦ.
11. Καὶ ἐγένετο αὕτη ῥάβδος ἐπὶ φυλὴν ἡγουμένων, καὶ ὑψώθη τῷ μεγέθει αὐτῆς ἐν μέσῳ στελεχῶν. Καὶ εἶδε τὸ μέγεθος αὐτῆς ἐν πλήθει κλημάτων αὐτῆς,
12. καὶ κατεκλάσθη ἐν θυμῷ, ἐπὶ γῆν ἐῤῥίφη, καὶ ἄνεμος ὁ καύσων ἐξήρανε τὰ ἐκλεκτὰ αὐτῆς. Ἐξεδικήθησαν καὶ ἐξηράνθη ἡ ῥάβδος ἰσχύος αὐτῆς. Πῦρ ἀνήλωσεν αὐτήν·
13. καὶ νῦν πεφύτευκαν αὐτὴν ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀνύδρῳ.
14. Καὶ ἐξῆλθε πῦρ ἐκ ῥάβδου ἐκλεκτῶν αὐτῆς, καὶ κατέφαγεν αὐτὴν, καὶ οὐκ ἦν ἐν αὐτῇ ῥάβδος ἰσχύος. Φυλὴ εἰς παραβολὴν θρήνου ἐστὶ, καὶ ἔσται εἰς θρῆνον.

1. Et tu accipe lamentum super principem Israel,
2. et dices : Quid mater tua catulus in medio leonum facta est? in medio leonum multiplicavit catulos suos?
3. Et exsilivit unus de catulis ejus, leo factus est et, didicit rapere rapinas, homines comedit.
4. Et audierunt contra eum gentes, in corruptione earum captus est, et adduxerunt eum in camo in terram Ægypti,
5. et vidit quoniam ablatus esset ab ea, periisset substantia ejus : et tulit alium de catulis suis, leonem constituit eum,
6. et conversabatur in medio leonum, leo factus est, et didicit rapere rapinas : homines comedit,
7. et pascebatur in audacia sua, et civitates eorum desolavit, et vastavit terram, et plenitudinem ejus a voce rugitus sui :
8. et dederunt super eum gentes de regionibus per circuitum, et expanderunt super eum retia sua, in corruptione earum captus est,
9. et posuerunt eum in camo et in cavea, venit ad regem Babylonis, et introduxit eum in carcerem, ut non audiretur vox ejus super montes Israel.
10. Mater tua quasi vitis et sicut flos in malogranato in aqua plantata, fructus ejus et germen illius factum est ex aqua multa.
11. Et facta est hæc virga super tribum ducum, et exaltata est magnitudine sua in medio propaginum. Et vidit magnitudinem suam in multitudine palmitum suorum,
12. et confracta est in furore, in terram projecta est, et ventus urens arefecit electa ejus. Vindicati sunt et arefacta est virga fortitudinis ejus. Ignis consumpsit eam :
13. et nunc plantaverunt eam in deserto, in terra sine aqua.
14. Et exivit ignis de virga electorum ejus, et comedit eam, et non erat in ea virga fortitudinis. Tribus in parabolam lamentationis est, et erit in planctum.

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

CAPUT XX.

1. Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ, τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς, ἦλθον ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ἰσραὴλ, ἐπερωτῆσαι τὸν Κύριον, καὶ ἐκάθισαν πρὸ προσώπου μου.
2. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·
3. Υἱὲ ἀνθρώπου, λάλησον πρὸς τοὺς πρεσβυτέρους τοῦ οἴκου Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Εἰ ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε; Ζῶ ἐγὼ, εἰ ἀποκριθήσομαι ὑμῖν, λέγει Κύριος,
4. εἰ ἐκδικήσω αὐτοὺς ἐκδικήσει, υἱὲ ἀνθρώπου; Τὰς ἀνομίας τῶν πατέρων αὐτῶν διαμάρτυραι αὐτοῖς,
5. καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἀφ' ἧς ἡμέρας ᾑρέτισα τὸν οἶκον Ἰσραὴλ, καὶ ἐγνωρί-

1. Et factum est in anno septimo, quinta decima mensis, venerunt viri de senioribus domus Israel, ad interrogandum Dominum, et sederunt ante faciem meam.
2. Et factus est sermo Domini ad me, dicens :
3. Fili hominis, loquere ad seniores domus Israel, et dices ad eos : Hæc dicit Dominus : Si ad interrogandum me venitis? Vivo ego, si respondero vobis, ait Dominus,
4. si ultus fuero eos ultione, fili hominis? Iniquitates patrum eorum contestare eis,
5. et dices ad eos : Hæc dicit Dominus : Ex qua die elegi domum Israel, et notus factus sum semini domus

(*) 32. ... Καὶ ἐπιστρέψατε, καὶ ζήσατε. (*Alex.*)

32. ... Et revertimini et vivite.

σθην τῷ σπέρματι οἴκου Ἰακὼϐ, καὶ ἐγνώσθην αὐτοῖς ἐν γῇ Αἰγύπτου, καὶ ἀντελαϐόμην τῇ χειρί μου αὐτῶν, λέγων· Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν·

6. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαϐόμην τῇ χειρί μου αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν ἣν ἡτοίμασα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν.

7. Καὶ εἶπα πρὸς αὐτούς· Ἕκαστος βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ ἀποῤῥιψάτω, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν Αἰγύπτου μὴ μιαίνεσθε· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

8. Καὶ ἀπέστησαν ἀπ' ἐμοῦ, καὶ οὐκ ἠθέλησαν εἰσακοῦσαί μου, τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἀπέῤῥιψαν, καὶ τὰ ἐπιτηδεύματα Αἰγύπτου οὐκ ἐγκατέλιπον. Καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς, τοῦ συντελέσαι ὀργήν μου ἐν αὐτοῖς ἐν μέσῳ τῆς Αἰγύπτου.

9. Καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεϐηλωθῇ ἐνώπιον τῶν ἐθνῶν ὧν αὐτοί εἰσιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώσθην πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου.

(*) 10. Καὶ ἤγαγον αὐτοὺς εἰς τὴν ἔρημον,

11. καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ὅσα ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς.

12. Καὶ τὰ σάϐϐατά μου ἔδωκα αὐτοῖς, τοῦ εἶναι εἰς σημεῖον ἀναμέσον ἐμοῦ καὶ ἀναμέσον αὐτῶν, τοῦ γνῶναι αὐτοὺς διότι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.

13. Καὶ εἶπα πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ· Ἐν τοῖς προστάγμασί μου πορεύεσθε. Καὶ οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου ἀπώσαντο, ἃ ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς· καὶ τὰ σάϐϐατά μου ἐϐεϐήλωσαν σφόδρα· καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ ἐξαναλῶσαι αὐτούς.

14. Καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεϐηλωθῇ ἐνώπιον τῶν ἐθνῶν ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν.

15. Καὶ ἐγὼ ἐξῇρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τὸ παράπαν, τοῦ μὴ εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι· κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν.

16. Ἀνθ' ὧν τὰ δικαιώματά μου ἀπώσαντο, καὶ ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς, καὶ τὰ σάϐϐατά μου ἐϐεϐήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων καρδίας αὐτῶν ἐπορεύοντο.

17. Καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ' αὐτοὺς, τοῦ ἐξαλεῖψαι αὐτοὺς, καὶ οὐκ ἐποίησα αὐτοὺς εἰς συντέλειαν ἐν τῇ ἐρήμῳ.

18. Καὶ εἶπα πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ· Ἐν τοῖς νομίμοις τῶν πατέρων ὑμῶν μὴ πορεύεσθε, καὶ τὰ δικαιώματα αὐτῶν μὴ φυλάσσεσθε, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν μὴ συναναμίσγεσθε, καὶ μὴ μιαίνεσθε·

19. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν· ἐν τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσεσθε, καὶ ποιεῖτε αὐτά·

20. καὶ τὰ σάϐϐατά μου ἁγιάζετε, καὶ ἔστω εἰς σημεῖον ἀναμέσον ἐμοῦ καὶ ὑμῶν, τοῦ γινώσκειν διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

21. Καὶ παρεπίκρανάν με, καὶ τὰ τέκνα αὐτῶν ἐν

(*) 10. Καὶ ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου... (*Alex.*)

Jacob, et cognitus eis in terra Ægypti, et suscepi manu mea eos, dicens : Ego Dominus Deus vester :

6. in die illa apprehendi eos manu mea, ut educerem eos de terra Ægypti in terram quam paravi eis, terram fluentem lacte et melle, favus est ultra omnem terram.

7. Et dixi ad eos : Unusquisque abominationes oculorum suorum projiciat, et in adinventionibus Ægypti non polluamini : ego Dominus Deus vester.

8. Et recesserunt a me, et noluerunt exaudire me, abominationes oculorum suorum non projecerunt, et adinventiones Ægypti non reliquerunt. Et dixi effundere indignationem meam super eos, implere iram meam in eis in medio Ægypti.

9. Et feci ut nomen meum omnino non violaretur coram gentibus quarum ipsi sunt in medio earum, in quibus cognitus eram ad eos coram illis, ut educerem eos de terra Ægypti.

10. Et adduxi eos in desertum,

11. et dedi eis præcepta mea, et justificationes meas notas feci eis, quæ faciet ea homo et vivet in illis.

12. Et sabbata mea dedi eis, ut esset in signum inter me et eos, ut scirent ipsi quia ego Dominus sanctificans eos.

13. Et dixi ad domum Israel in deserto : In præceptis meis ambulate. Et non ambulaverunt, et justificationes meas repulerunt, quas faciet eas homo et vivet in eis : et sabbata mea violaverunt vehementer : et dixi ut effunderem furorem meum super eos in deserto, ut consumerem eos.

14. Et feci ut nomen meum omnino non violaretur coram gentibus de quibus eduxi eos ante oculos earum.

15. Et ego levavi manum meam super eos in deserto omnino, ut non introducerem eos in terram quam dedi eis, terram fluentem lacte et melle : favus est ultra omnem terram.

16. Eo quod justificationes meas repulerunt, et in præceptis meis non ambulaverunt in eis, et sabbata mea violaverunt, et post cogitationes cordis sui ambulaverunt.

17. Et pepercit oculus meus super eos, delere eos, et non feci eos in consumptionem in deserto.

18. Et dixi ad filios eorum in deserto : In legitimis patrum vestrorum nolite incedere, et justificationes eorum non custodiatis, et in adinventionibus eorum ne commisceamini, et ne polluamini :

19. ego Dominus Deus vester : in præceptis meis ambulate, et justificationes meas custodite, et facite eas :

20. et sabbata mea sanctificate, et sit signum inter me et vos, ad sciendum quia ego Dominus Deus vester.

21. Et exacerbaverunt me, et filii eorum in præceptis

10. Et eduxi eos de terra Ægypti...

τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν αὐτὰ, ἃ ποιήσει ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλουν· καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ συντελέσαι τὴν ὀργήν μου ἐπ' αὐτούς.

22. Καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, καὶ ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν.

23. Ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσι, διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις,

24. ἀνθ' ὧν τὰ δικαιώματά μου οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν.

25. Καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ, καὶ δικαιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς.

26. Καὶ μιανῶ αὐτοὺς ἐν τοῖς δόγμασιν αὐτῶν, ἐν τῷ διαπορεύεσθαί με πᾶν διανοῖγον μήτραν, ὅπως ἀφανίσω αὐτούς.

27. Διὰ τοῦτο λάλησον πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, υἱὲ ἀνθρώπου, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἕως τούτου παρώργισάν με οἱ πατέρες ὑμῶν ἐν τοῖς παραπτώμασιν αὐτῶν ἐν οἷς παρέπεσον εἰς ἐμὲ,

28. καὶ εἰσήγαγον αὐτοὺς εἰς τὴν γῆν εἰς ἣν ἦρα τὴν χεῖρά μου δοῦναι αὐτὴν αὐτοῖς. Καὶ ἴδον πάντα βουνὸν ὑψηλὸν, καὶ πᾶν ξύλον κατάσκιον, καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, καὶ ἔταξαν ἐκεῖ ὀσμὴν εὐωδίας, καὶ ἔσπεισαν ἐκεῖ τὰς σπονδὰς αὐτῶν,

29. καὶ εἶπον πρὸς αὐτούς· Τί ἐστιν Ἀβαμὰ, ὅτι ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ; Καὶ ἐπεκάλεσαν τὸ ὄνομα αὐτοῦ Ἀβαμὰ ἕως τῆς σήμερον ἡμέρας.

30. Διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος· Εἰ ἐν ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε, καὶ ὀπίσω τῶν βδελυγμάτων αὐτῶν ὑμεῖς ἐκπορνεύετε,

31. καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν δομάτων ὑμῶν, ἐν τοῖς ἀφορισμοῖς οἷς ὑμεῖς μιαίνεσθε ἐν πᾶσι τοῖς ἐνθυμήμασιν ὑμῶν ἕως τῆς σήμερον ἡμέρας, καὶ ἐγὼ ἀποκριθῶ ὑμῖν, οἶκος τοῦ Ἰσραήλ; Ζῶ ἐγὼ, λέγει Κύριος, εἰ ἀποκριθήσομαι ὑμῖν, καὶ εἰ ἀναβήσεται ἐπὶ τὸ πνεῦμα ὑμῶν τοῦτο.

32. Καὶ οὐκ ἔσται ὃν τρόπον ὑμεῖς λέγετε· Ἐσόμεθα ὡς τὰ ἔθνη καὶ ὡς αἱ φυλαὶ τῆς γῆς, τοῦ λατρεύειν ξύλοις καὶ λίθοις.

33. Διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει Κύριος, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ βασιλεύσω ἐφ' ὑμᾶς,

34. καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξομαι ὑμᾶς ἐκ τῶν χωρῶν οὗ διεσκορπίσθητε ἐν αὐταῖς, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ.

35. Καὶ ἄξω ὑμᾶς εἰς τὴν ἔρημον τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ πρόσωπον κατὰ πρόσωπον.

36. Ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ ἐρήμῳ γῆς Αἰγύπτου, οὕτως κρινῶ ὑμᾶς, λέγει Κύριος.

37. Καὶ διάξω ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ,

meis non ambularunt, et justificationes meas non custodierunt ad faciendum eas, quas faciet homo et vivet in eis, et sabbata mea violaverunt : et dixi effundere furorem meum super eos in deserto, complere iram meam super eos.

22. Et feci ut nomen meum omnino non violaretur coram gentibus, et eduxi eos ante oculos earum.

23. Levavi manum meam super eos in deserto, ut dispergerem illos in nationibus, disseminarem eos in regionibus,

24. eo quod justificationes meas non fecerant, et præcepta mea repulerant, et sabbata mea violaverant, et post cogitationes patrum suorum fuerant oculi ipsorum.

25. Et ego dedi eis præcepta non bona, et justificationes in quibus non vivent in eis.

26. Et polluam eos in dogmatibus eorum, in transducendo me omne adaperiens vulvam, ut delerem eos.

27. Idcirco loquere ad domum Israel, fili hominis, et dices ad eos : Hæc dicit Dominus : Usque ad hoc ad iracundiam provocaverunt me patres vestri in delictis suis in quibus corruerunt in me,

28. et introduxi eos in terram super quam levavi manum meam ut darem eam illis. Videruntque omnem collem excelsum, et omne lignum nemorosum, et immolaverunt ibi diis suis, et posuerunt ibi odorem fragrantiæ, et libaverunt ibi libamina sua,

29. et dixi ad eos : Quid est Abama, quia vos intratis illuc? Et vocaverunt nomen ejus Abama usque in hodiernum diem.

30. Propterea dic ad domum Israel : Hæc dicit Dominus : Si in iniquitatibus patrum vestrorum vos polluimini, et post abominationes vestras vos fornicamini,

31. et in primitiis donorum vestrorum, in segregationibus quibus vos polluimini in omnibus cogitationibus vestris usque in hodiernum diem, et ego respondebo vobis, domus Israel? Vivo ego, dicit Dominus, si respondebo vobis, et si ascendet in spiritum vestrum hoc.

32. Et non erit quomodo vos dicitis : Erimus sicut gentes et sicut tribus terræ, colendo ligna et lapides.

33. Propterea, vivo ego, dicit Dominus, in manu valida et in brachio excelso et in furore effuso regnabo super vos,

34. et educam vos de populis, et recipiam vos de regionibus ubi dispersi estis in eis, in manu valida et in brachio excelso et in furore effuso.

35. Et adducam vos in desertum populorum, et judicabor vobiscum ibi facie ad faciem.

36. Sicut judicio contendi adversus patres vestros in deserto terræ Ægypti, sic judicabo vos, dicit Dominus.

37. Et transire faciam vos sub virga mea, et introducam vos in numero,

38. καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀσεβεῖς καὶ τοὺς ἀφεστηκότας, διότι ἐκ τῆς παροικεσίας αὐτῶν ἐξάξω αὐτοὺς, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰςελεύσονται. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος Κύριος.

39. Καὶ ὑμεῖς, οἶκος Ἰσραὴλ, τάδε λέγει Κύριος Κύριος· Ἕκαστος τὰ ἐπιτηδεύματα αὐτοῦ ἐξάρατε, καὶ μετὰ ταῦτα εἰ ὑμεῖς εἰςακούετέ μου, καὶ τὸ ὄνομά μου ἅγιον οὐ βεβηλώσετε οὐκέτι ἐν τοῖς δώροις ὑμῶν καὶ ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν,

40. διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου, ἐπ' ὄρους ὑψηλοῦ, λέγει Κύριος Κύριος, ἐκεῖ δουλεύσουσί μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος. Καὶ ἐκεῖ προςδέξομαι, καὶ ἐκεῖ ἐπισκέψομαι τὰς ἀπαρχὰς ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν ἀφορισμῶν ὑμῶν ἐν πᾶσι τοῖς ἁγιάσμασιν ὑμῶν·

41. ἐν ὀσμῇ εὐωδίας προςδέξομαι ὑμᾶς, ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰςδέχεσθαι ὑμᾶς ἐκ τῶν χωρῶν ἐν αἷς διεσκορπίσθητε ἐν αὐταῖς, καὶ ἁγιασθήσομαι ἐν ὑμῖν κατ' ὀφθαλμοὺς τῶν λαῶν.

42. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ εἰςαγαγεῖν με ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ, εἰς τὴν γῆν εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν ὑμῶν.

43. Καὶ μνησθήσεσθε ἐκεῖ τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν ἐν οἷς ἐμιαίνεσθε ἐν αὐτοῖς, καὶ κόψεσθε τὰ πρόςωπα ὑμῶν ἐν πάσαις ταῖς κακίαις ὑμῶν.

44. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ ποιῆσαί με οὕτως ὑμῖν, ὅπως τὸ ὄνομά μου μὴ βεβηλωθῇ κατὰ τὰς ὁδοὺς ὑμῶν τὰς κακὰς, καὶ κατὰ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ διεφθαρμένα, λέγει Κύριος.

45. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

46. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόςωπόν σου ἐπὶ Θαιμὰν, καὶ ἐπίβλεψον ἐπὶ Δαρὸμ, καὶ προφήτευσον ἐπὶ δρυμὸν ἡγούμενον Ναγὲβ,

47. καὶ ἐρεῖς τῷ δρυμῷ Ναγέβ· Ἄκουε λόγον Κυρίου. Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἀνάπτω ἐν σοὶ πῦρ, καὶ καταφάγεται ἐν σοὶ πᾶν ξύλον χλωρὸν καὶ πᾶν ξύλον ξηρὸν, οὐ σβεσθήσεται ἡ φλὸξ ἡ ἐξαφθεῖσα, καὶ κατακαυθήσεται ἐν αὐτῇ πᾶν πρόςωπον ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ.

48. Καὶ ἐπιγνώσεται πᾶσα σὰρξ ὅτι ἐγὼ Κύριος ἐξέκαυσα αὐτὸ, οὐ σβεσθήσεται.

49. Καὶ εἶπα· Μηδαμῶς, Κύριε, Κύριε, αὐτοὶ λέγουσι πρὸς μέ· Οὐχὶ παραβολή ἐστι λεγομένη αὕτη;

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόςωπόν σου ἐπὶ Ἱερουσαλὴμ, καὶ ἐπίβλεψον ἐπὶ τὰ ἅγια αὐτῶν, καὶ προφητεύσεις ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ,

3. καὶ ἐρεῖς πρὸς τὴν γῆν τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ πρὸς σὲ, καὶ ἐκσπάσω τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐξολοθρεύσω ἐκ σοῦ ἄνομον καὶ ἄδικον·

4. ἀνθ' ὧν ἐξολοθρεύσω ἐκ σοῦ ἄδικον καὶ ἄνομον, οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ ἐπὶ πᾶσαν σάρκα ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ,

5. καὶ ἐπιγνώσεται πᾶσα σὰρξ διότι ἐγὼ Κύριος ἐξέσπασα τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, οὐκ ἀποστρέψει οὐκέτι.

38. et seligam e vobis impios et rebelles, quoniam de terra incolatus eorum educam eos, et in terram Israel non ingredientur. Et scietis quia ego Dominus Dominus.

39. Et vos, domus Israel, hæc dicit Dominus Dominus: Unusquisque adinventiones suas auferte, et post hæc si vos exaudieritis me, et nomen sanctum meum non pollueritis ultra in muneribus vestris et in studiis vestris,

40. quia super montem sanctum meum, super montem excelsum, ait Dominus Dominus, ibi servient mihi omnis domus Israel in finem. Et ibi suscipiam, et ibi requiram primitias vestras, et primitias segregationum vestrarum in omnibus sanctificationibus vestris:

41. in odore suavitatis suscipiam vos, cum eduxero vos de populis, et suscepero vos de regionibus in quas dispersi estis in eas, et sanctificabor in vobis ante oculos populorum.

42. Et scietis quia ego Dominus, in introducendo me vos in terram Israel, in terram in quam levavi manum meam ad dandam eam patribus vestris.

43. Et recordabimini ibi viarum vestrarum et adinventionum vestrarum in quibus polluti estis in eis, et percutietis facies vestras in omnibus malitiis vestris.

44. Et scietis quia ego Dominus, in faciendo me vobis sic, ut nomen meum non polluatur secundum vias vestras malas, et secundum adinventiones vestras corruptas, ait Dominus.

45. Et factus est sermo Domini ad me, dicens:

46. Fili hominis, obfirma faciem tuam super Thæman, et respice super Darom, et vaticinare super saltum ducem Nageb,

47. et dices saltui Nageb: Audi sermonem Domini. Hæc dicit Dominus Dominus: Ecce ego succendo in te ignem, et devorabit in te omne lignum viride et omne lignum aridum, non exstinguetur flamma succensa, et ardebit in ea omnis facies a subsolano usque ad aquilonem.

48. Et cognoscet omnis caro quia ego Dominus succendi illum, non exstinguetur.

49. Et dixi: Nequaquam, Domine, Domine, ipsi dicunt ad me: Nonne parabola est quæ dicitur hæc?

CAPUT XXI.

1. Et factus est sermo Domini ad me, dicens:

2. Idcirco vaticinare, fili hominis, obfirma faciem tuam super Jerusalem, et aspice ad sancta eorum, et prophetabis super terram Israel,

3. et dices ad terram Israel: Hæc dicit Dominus: Ecce ego ad te, et educam gladium meum de vagina sua, et interficiam ex te iniquum et injustum;

4. eo quod exterminabo ex te injustum et iniquum, sic egredietur gladius meus de vagina sua super omnem carnem a subsolano usque ad aquilonem,

5. et cognoscet omnis caro quia ego Dominus eduxi gladium meum de vagina sua, non revertetur ultra.

6. Καὶ σὺ, υἱὲ ἀνθρώπου, καταστέναξον ἐν συντριβῇ ὀσφύος σου, καὶ ἐν ὀδύναις στενάξεις κατ' ὀφθαλμοὺς αὐτῶν.

7. Καὶ ἔσται, ἐὰν εἴπωσι πρὸς σέ· Ἕνεκα τίνος σὺ στενάζεις; Καὶ ἐρεῖς· Ἐπὶ τῇ ἀγγελίᾳ, διότι ἔρχεται, καὶ θραυσθήσεται πᾶσα καρδία, καὶ πᾶσαι χεῖρες παραλυθήσονται, καὶ ἐκψύξει πᾶσα σὰρξ καὶ πᾶν πνεῦμα, καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ. Ἰδοὺ ἔρχεται, λέγει Κύριος.

8. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

9. Υἱὲ ἀνθρώπου, προφήτευσον, καὶ ἐρεῖς· Τάδε λέγει Κύριος· Εἰπόν· Ῥομφαία, ῥομφαία, ὀξύνου καὶ θυμώθητι,

10. ὅπως σφάξῃς σφάγια· ὀξύνου ὅπως γένῃ εἰς στίλβωσιν, ἑτοίμη εἰς παράλυσιν. Σφάζε, ἐξουδένει, ἀπόθου πᾶν ξύλον.

11. Καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ κρατεῖν χεῖρα αὐτοῦ. Ἐξηκονήθη ἡ ῥομφαία, ἐστὶν ἑτοίμη, τοῦ δοῦναι αὐτὴν εἰς χεῖρα ἀποκεντοῦντος.

12. Ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου, ὅτι αὐτὴ ἐγένετο ἐν τῷ λαῷ μου, αὐτὴ ἐν πᾶσι τοῖς ἀφηγουμένοις τοῦ Ἰσραήλ· παροικήσουσιν, ἐπὶ ῥομφαίᾳ ἐγένετο ἐν τῷ λαῷ μου. Διὰ τοῦτο κρότησον ἐπὶ τὴν χεῖρά σου,

13. ὅτι δεδικαίωται. Καὶ τί εἰ καὶ φυλὴ ἀπωσθῇ; Οὐκ ἔσται, λέγει Κύριος Κύριος.

14. Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον, καὶ κρότησον χεῖρα ἐπὶ χεῖρα, καὶ διπλασίασον ῥομφαίαν· ἡ τρίτη ῥομφαία τραυματειῶν ἐστι, ῥομφαία τραυματειῶν ἡ μεγάλη. Καὶ ἐκστήσεις αὐτοὺς,

15. ὅπως μὴ θραυσθῇ ἡ καρδία, καὶ πληθυνθῶσιν οἱ ἀσθενοῦντες ἐπὶ πᾶσαν πύλην, παραδέδονται εἰς σφάγια ῥομφαίας· εὖ γέγονεν εἰς σφαγὴν, εὖ γέγονεν εἰς στίλβωσιν.

16. Καὶ διαπορεύου, ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρόσωπόν σου ἐξεγείρηται.

17. Καὶ ἐγὼ δὲ κροτήσω χεῖρά μου πρὸς χεῖρά μου, καὶ ἐναφήσω θυμόν μου, ἐγὼ Κύριος λελάληκα.

18. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

19. Καὶ σὺ, υἱὲ ἀνθρώπου, διάταξον σεαυτῷ δύο ὁδοὺς, τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως Βαβυλῶνος. Ἐκ χώρας μιᾶς ἐξελεύσονται αἱ δύο, καὶ χεὶρ ἐν ἀρχῇ ὁδοῦ πόλεως, ἐπ' ἀρχῆς ὁδοῦ διατάξεις,

20. τοῦ εἰσελθεῖν ῥομφαίαν ἐπὶ Ῥαββὰθ υἱῶν Ἀμμὼν, καὶ ἐπὶ τὴν Ἰουδαίαν, καὶ ἐπὶ Ἱερουσαλὴμ ἐν μέσῳ αὐτῆς.

21. Διότι στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν ὁδὸν, ἐπ' ἀρχῆς τῶν δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ ἀναβράσαι ῥάβδον, καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς, καὶ ἡπατοσκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ.

22. Ἐγένετο τὸ μαντεῖον ἐπὶ Ἱερουσαλὴμ, τοῦ βαλεῖν χάρακα, τοῦ διανοῖξαι στόμα ἐν βοῇ, ὑψῶσαι φωνὴν μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ἐπὶ τὰς πύλας αὐτῆς, καὶ βαλεῖν χῶμα, καὶ οἰκοδομῆσαι βελοστάσεις.

23. Καὶ αὐτὸς αὐτοῖς ὡς μαντευόμενος μαντείαν ἐνώπιον αὐτῶν, καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας αὐτοῦ μνησθῆναι.

24. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἀνεμνήσατε τὰς ἀδικίας ὑμῶν, ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν, τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν, ἐν πάσαις

6. Et tu, fili hominis, ingemisce in contritione lumborum tuorum, et in doloribus gemes ante oculos eorum

7. Eritque, si dixerint ad te : Quare tu gemis? Et dices : Propter nuntium, quia venit, et quassabitur omne cor, et universæ manus dissolventur, et exanimabitur omnis caro et omnis spiritus, et omnia femora polluentur humore. Ecce venit, ait Dominus.

8. Et factus est sermo Domini ad me, dicens :

9. Fili hominis, propheta, et dices : Hæc dicit Dominus : Dic : Gladius, gladius, acuere et irascere,

10. ut jugules : acuere ut sis in fulgorem, paratus ad dissolutionem. Interfice, contemne, repelle omne lignum.

11. Et dedit eum paratum ut teneat manus ipsius. Exacutus est gladius, est paratus, ut detur ipse in manum interficientis.

12. Clama et ulula, fili hominis, quia hic factus est in populo meo, hic in omnibus ducibus Israel : inhabitabunt, propter gladium fuit in populo meo. Idcirco plaude super manum tuam,

13. quia justificatus est. Et quid si etiam tribus repulsa fuerit? Non erit, dicit Dominus Dominus.

14. Et tu, fili hominis, propheta, et plaude manu ad manum, et duplica gladium : tertius gladius interfectorum est, gladius interfectorum magnus. Et obstupescere facies eos,

15. ut non quassetur cor, et multiplicentur infirmi super omnem portam, traditi sunt in jugulationes gladii : bene factus est ad jugulationem, bene factus est ad fulgorem.

16. Et transi, exacuere a dextris et a sinistris, quocumque facies tua exsurrexerit.

17. Et ego autem plaudam manu mea ad manum meam, et immittam furorem meum, ego Dominus locutus sum.

18. Et factus est sermo Domini ad me, dicens :

19. Et tu, fili hominis, statue tibi duas vias, ut ingrediatur gladius regis Babylonis. De regione una egredientur ambæ, et manus in principio viæ civitatis, super principium viæ constitues,

20. ut ingrediatur gladius super Rabbath filiorum Ammon, et super Judæam, et super Jerusalem in medio ejus.

21. Stabit enim rex Babylonis super antiquam viam, in principio duarum viarum, ad divinandum divinationem, ad faciendum ebullire virgam, et interrogandum in sculptilibus, et jecur speculandum a dexteris suis.

22. Facta est divinatio super Jerusalem, ad jaciendum vallum, ad aperiendum os in clamore, ad exaltandum vocem cum vociferatione, ad jaciendum vallum super portas ejus, et jaciendum aggerem, et ædificandas machinas jaculatrices.

23. Et ipse quasi divinans divinationem coram eis, et ipse rememorans iniquitatum ejus ad recordandum.

24. Idcirco hæc dicit Dominus : Pro eo quod in memoriam revocastis iniquitates vestras, cum revelarentur impietates vestræ, ut viderentur peccata vestra, in omnibus impieta-

ἀσεβείαις ὑμῶν καὶ ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν, ἀνθ' ὧν ἀνεμνήσατε, ἐν τούτοις ἁλώσεσθε.

25. Καὶ σὺ, βέβηλε, ἄνομε, ἀφηγούμενε τοῦ Ἰσραὴλ, οὗ ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας.

26. Τάδε λέγει Κύριος· Ἀφείλου τὴν κίδαριν, καὶ ἐπέθου τὸν στέφανον, αὐτῇ οὐ τοιαύτη ἔσται. Ἐταπείνωσας τὸ ὑψηλὸν, καὶ ὕψωσας τὸ ταπεινόν.

27. Ἀδικίαν, ἀδικίαν, ἀδικίαν θήσομαι αὐτήν. Οὐαὶ αὐτῇ, τοιαύτη ἔσται, ἕως οὗ ἔλθῃ ᾧ καθήκει, καὶ παραδώσω αὐτῷ.

28. Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον, καὶ ἐρεῖς· Τάδε λέγει Κύριος πρὸς τοὺς υἱοὺς Ἀμμὼν καὶ πρὸς τὸν ὀνειδισμὸν αὐτῶν, καὶ ἐρεῖς· Ῥομφαία, ῥομφαία ἐσπασμένη εἰς σφάγια, καὶ ἐσπασμένη εἰς συντέλειαν, ἐγείρου ὅπως στίλβῃς

29. ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ, καὶ ἐν τῷ μαντεύεσθαί σε ψευδῆ, τοῦ παραδοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων· ἥκει ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας.

30. Ἀπόστρεφε, μὴ καταλύσῃς ἐν τῷ τόπῳ τούτῳ ᾧ γεγέννησαι, ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε·

31. καὶ ἐκχεῶ ἐπὶ σὲ ὀργήν μου, ἐν πυρὶ ὀργῆς μου ἐμφυσήσω ἐπὶ σὲ, καὶ παραδώσω σε εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων διαφθοράς.

32. Ἐν πυρὶ ἔσῃ κατάβρωμα, τὸ αἷμά σου ἔσται ἐν μέσῳ τῆς γῆς σου. Οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ Κύριος λελάληκα.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων;

3. Καὶ παράδειξον αὐτῇ πάσας τὰς ἀνομίας αὐτῆς, καὶ ἐρεῖς· Τάδε λέγει Κύριος Κύριος· Ὦ πόλις ἐκχέουσα αἵματα ἐν μέσῳ αὐτῆς, τοῦ ἐλθεῖν καιρὸν αὐτῆς, καὶ ποιοῦσα ἐνθυμήματα καθ' ἑαυτῆς, τοῦ μιαίνειν αὐτὴν

4. ἐν τοῖς αἵμασιν αὐτῶν οἷς ἐξέχεας. Παραπέπτωκας, καὶ ἐν τοῖς ἐνθυμήμασί σου οἷς ἐποίεις ἐμιαίνου· καὶ ἤγγισας τὰς ἡμέρας σου, καὶ ἤγαγες καιρὸν ἐτῶν σου. Διὰ τοῦτο δέδωκά σε εἰς ὀνειδισμὸν τοῖς ἔθνεσι, καὶ εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις

5. ταῖς ἐγγιζούσαις πρὸς σὲ, καὶ ταῖς μακρὰν ἀπεχούσαις ἀπὸ σοῦ, καὶ ἐμπαίξεται ἐν σοὶ, ἀκάθαρτος ἡ ὀνομαστὴ, καὶ πολλὴ ἐν ταῖς ἀνομίαις.

6. Ἰδοὺ οἱ ἀφηγούμενοι οἴκου Ἰσραὴλ, ἕκαστος πρὸς τοὺς συγγενεῖς αὐτοῦ συνεφύροντο ἐν σοὶ, ὅπως ἐκχέωσιν αἷμα.

7. Πατέρα καὶ μητέρα ἐκακολόγουν ἐν σοὶ, καὶ πρὸς τὸν προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί· ὀρφανὸν καὶ χήραν κατεδυνάστευον,

8. καὶ τὰ ἅγιά μου ἐξουθένουν, καὶ τὰ σάββατά μου ἐβεβήλουν ἐν σοί.

9. Ἄνδρες λῃσταὶ ἐν σοὶ, ὅπως ἐκχέωσιν ἐν σοὶ αἷμα· καὶ ἐπὶ τῶν ὀρέων ἤσθιον ἐπὶ σοὶ, ἀνόσια ἐποίουν ἐν μέσῳ σου.

10. Αἰσχύνην πατρὸς ἀπεκάλυψαν ἐν σοὶ, καὶ ἐν ἀκαθαρσίαις ἀποκαθημένην ἐταπείνουν ἐν σοί.

11. Ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἠνομοῦσαν, καὶ ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμίαινεν ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν αὐτοῦ θυγατέρα τοῦ πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί.

tibus vestris et in adinventionibus vestris, pro eo quod in memoriam revocastis, in istis capiemini.

25. Et tu, prophane, inique, dux Israel, cujus venit dies in tempore iniquitatis finis.

26. Hæc dicit Dominus : Abstulisti cidarim, et imposuisti coronam, ei non erit talis. Humiliasti excelsum, et sublevasti humile.

27. Iniquitatem, iniquitatem, iniquitatem ponam eam. Væ ei, talis erit, donec veniat cui debetur, et tradam ei.

28. Et tu, fili hominis, propheta, et dices : Hæc dicit Dominus ad filios Ammon et ad opprobrium eorum, et dices : Gladius, gladius eductus ad jugulationes, et eductus ad consummationem, exsurge ut splendeas

29. in visione tua vana, et in divinando te falsa, ut dareris super colla vulneratorum iniquorum : venit dies in tempore iniquitatis finis.

30. Revertere, ne maneas in loco hoc in quo genitus es, in terra propria tua judicabo te :

31. et effundam super te iram meam, in igne iræ meæ sufflabo in te, et tradam te in manus virorum barbarorum fabricantium corruptiones.

32. In igne eris cibus, sanguis tuus erit in medio terræ tuæ. Non erit tui memoria, quia ego Dominus locutus sum

CAPUT XXII.

1. Et factum est verbum Domini ad me, dicens :

2. Et tu, fili hominis, si judicas civitatem sanguinum?

3. Et ostende ei omnes iniquitates suas, et dices : Hæc dicit Dominus Dominus : O civitas effundens sanguines in medio sui, ut veniat tempus ejus, et faciens cogitationes contra semetipsam, ut pollueretur

4. in sanguinibus eorum quos effudisti. Deliquisti, et in cogitationibus tuis quas faciebas polluta es : et appropinquare fecisti dies tuos, et adduxisti tempus annorum tuorum. Propterea dedi te in opprobrium gentibus, et in irrisionem omnibus regionibus

5. quæ sunt juxta te, et quæ procul absunt a te, et illudent in te, immunda nominata, et multa in iniquitatibus.

6. Ecce duces domus Israel, unusquisque ad cognatos suos miscuerunt se in te, ut effundant sanguinem.

7. Patrem et matrem maledicebant in te, et adversus advenam conversabantur in iniquitatibus in te : pupillum et viduam opprimebant,

8. et sancta mea spernebant, et sabbata mea polluebant in te.

9. Viri latrones in te, ut effunderent in te sanguinem : et super montes comedebant in te, scelerata faciebant in medio tui.

10. Verecundiam patris discooperuerunt in te, et in immunditiis menstruis desidentem humiliabant in te.

11. Unusquisque in uxorem proximi sui inique agebant, et unusquisque nurum suam polluebat in impietate, et unusquisque sororem suam filiam patris sui humiliabant in te.

12. Δῶρα ἐλαμβάνοσαν ἐν σοὶ, ὅπως ἐκχέωσιν αἷμα· τόκον καὶ πλεονασμὸν ἐλαμβάνοσαν ἐν σοί. Καὶ συνετελέσω συντέλειαν κακίας σου τὴν ἐν καταδυναστείᾳ, ἐμοῦ δὲ ἐπελάθου, λέγει Κύριος.

13. Ἐὰν δὲ πατάξω χεῖρά μου ἐφ' οἷς συντετέλεσαι, οἷς ἐποίησας, καὶ ἐπὶ τοῖς αἵμασί σου τοῖς γεγενημένοις ἐν μέσῳ σου,

14. εἰ ὑποστήσεται ἡ καρδία σου; εἰ κρατήσουσιν αἱ χεῖρές σου ἐν ταῖς ἡμέραις αἷς ἐγὼ ποιῶ ἐν σοί; Ἐγὼ Κύριος λελάληκα καὶ ποιήσω.

15. Καὶ διασκορπιῶ σε ἐν τοῖς ἔθνεσι, καὶ διασπερῶ σε ἐν ταῖς χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ,

16. καὶ κατακληρονομήσω ἐν σοὶ κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν, καὶ γνώσεσθε διότι ἐγὼ Κύριος.

17. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

18. Υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀναμεμιγμένοι πάντες χαλκῷ καὶ σιδήρῳ καὶ κασσιτέρῳ καὶ μολίβῳ, ἐν μέσῳ ἀργυρίου ἀναμεμιγμένος ἐστί.

19. Διὰ τοῦτο εἰπόν· Τάδε λέγει Κύριος Κύριος· Ἀνθ' ὧν ἐγένεσθε εἰς σύγκρασιν μίαν, διὰ τοῦτο ἐγὼ εἰςδέχομαι ὑμᾶς εἰς μέσον Ἱερουσαλὴμ·

20. καθὼς εἰςδέχεται ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος καὶ κασσίτερος καὶ μόλιβος εἰς μέσον καμίνου, τοῦ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνευθῆναι· οὕτως εἰςδέξομαι ἐν ὀργῇ μου, καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς,

21. καὶ ἐκφυσήσω ἐφ' ὑμᾶς ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς.

22. Ὃν τρόπον χωνεύεται ἀργύριον ἐν μέσῳ καμίνου, οὕτως χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ἐξέχεα τὸν θυμόν μου ἐφ' ὑμᾶς.

23. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

24. Υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ· Σὺ εἶ γῆ ἡ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς.

25. Ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ, καὶ τιμὰς λαμβάνοντες. Καὶ χῆραί σου ἐπληθύνθησαν ἐν μέσῳ σου.

26. Καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου. Ἀναμέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀναμέσον ἀκαθάρτου καὶ τοῦ καθαροῦ οὐ διέστελλον, καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν.

27. Οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι ἁρπάζοντες ἁρπάγματα, τοῦ ἐκχέαι αἷμα, ὅπως πλεονεξίᾳ πλεονεκτῶσι.

28. Καὶ οἱ προφῆται αὐτῆς ἀλείφοντες αὐτοὺς πεσοῦνται, ὁρῶντες μάταια, μαντευόμενοι ψευδῆ, λέγοντες· Τάδε λέγει Κύριος, καὶ Κύριος οὐκ ἐλάλησε.

29. Λαὸν τῆς γῆς ἐκπιεζοῦντες ἀδικίᾳ καὶ διαρπάζοντες ἁρπάγματα, πτωχὸν καὶ πένητα καταδυναστεύοντες, καὶ πρὸς τὸν προσήλυτον οὐκ ἀναστρεφόμενοι μετὰ κρίματος.

30. Καὶ ἐζήτουν ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον ὀρθῶς, καὶ ἑστῶτα πρὸ προσώπου μου ὁλοσχερῶς ἐν τῷ καιρῷ τῆς ὀργῆς, τοῦ μὴ εἰς τέλος ἐξαλεῖψαι αὐτὴν, καὶ οὐχ εὗρον.

31. Καὶ ἐξέχεα ἐπ' αὐτὴν θυμόν μου ἐν πυρὶ ὀργῆς μου, τοῦ συντελέσαι· τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει Κύριος Κύριος.

12. Munera accipiebant in te, ut effunderent sanguinem: usuram et superabundantiam accipiebant in te. Et consummasti consummationem malitiæ tuæ quæ in oppressione, mei autem oblita es, ait Dominus.

13. Si autem inducam manum meam super iis quæ consummasti, quæ fecisti, et super sanguinibus tuis qui facti sunt in medio tui,

14. si subsistet cor tuum? si prævalebunt manus tuæ in diebus quos ego facio in te? Ego Dominus locutus sum et faciam.

15. Et dispergam te in gentibus, et disseminabo te in regionibus, et deficiet immunditia tua ex te,

16. et hæreditabo in te ante oculos gentium, et scietis quia ego Dominus.

17. Et factum est verbum Domini ad me, dicens :

18. Fili hominis, ecce facti sunt mihi domus Israel admisti omnes ære et ferro et stanno et plumbo, in medio argenti admista est.

19. Propterea dic : Hæc dicit Dominus Dominus : Eo quod facti estis in commistionem unam, idcirco ego recipiam vos in medium Jerusalem :

20. sicut recipitur argentum et æs et ferrum et stannum et plumbum in medium fornacis, ad sufflandum ignem in illud ut confletur : sic recipiam in ira mea, et congregabo et conflabo vos,

21. et sufflabo in vos in igne iræ meæ, et conflabimini in medio ejus.

22. Sicut conflatur argentum in medio fornacis, sic conflabimini in medio ejus, et scietis quia ego Dominus effudi indignationem meam super vos.

23. Et factum est verbum Domini ad me, dicens :

24. Fili hominis, dic ei : Tu es terra non irrigata, neque pluvia facta est super te in die iræ.

25. Cujus duces in medio ejus sicut leones rugientes, rapinas rapientes, devorantes animas in potentia, et pretia accipientes. Et viduæ tuæ multiplicatæ sunt in medio tui.

26. Et sacerdotes ejus contempserunt legem meam, et polluerunt sancta mea. Inter sanctum et profanum non distinguebant, et inter immundum et mundum non distinguebant, et a sabbatis meis cooperiebant oculos suos, et coinquinabar in medio eorum.

27. Principes ejus in medio illius quasi lupi rapientes rapinas, ad effundendum sanguinem, ut per avaritiam plus acquirant.

28. Et prophetæ ejus ungentes eos cadent, videntes vana, divinantes mendacia, dicentes : Hæc dicit Dominus, et Dominus non est locutus.

29. Populum terræ vexantes injustitia et diripientes rapinas, egenum et pauperem per potentiam opprimentes, et erga advenam non conversantes cum judicio.

30. Et quærebam de eis virum qui conversaretur recte, et staret ante faciem meam integre in tempore iræ, ut non in finem delerem eam, et non inveni.

31. Et effudi super eam furorem meum in igne iræ meæ, ad consummandum : vias eorum in capita eorum dedi dicit Dominus Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, δύο γυναῖκες ἦσαν θυγατέρες μητρὸς μιᾶς,

3. καὶ ἐξεπόρνευσαν ἐν Αἰγύπτῳ ἐν τῇ νεότητι αὐτῶν, ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν, ἐκεῖ διεπαρθενεύθησαν.

4. Καὶ τὰ ὀνόματα αὐτῶν ἦν, Ὀολὰ ἡ πρεσβυτέρα, καὶ Ὀολιβὰ ἡ ἀδελφὴ αὐτῆς. Καὶ ἐγένοντό μοι, καὶ ἔτεκον υἱοὺς καὶ θυγατέρας. Καὶ τὰ ὀνόματα αὐτῶν· Σαμάρεια ἦν Ὀολὰ, καὶ Ἱερουσαλὴμ ἦν Ὀολιβά.

5. Καὶ ἐξεπόρνευσεν ἡ Ὀολὰ ἀπ' ἐμοῦ, καὶ ἐπέθετο ἐπὶ τοὺς ἐραστὰς αὐτῆς, ἐπὶ τοὺς Ἀσσυρίους τοὺς ἐγγίζοντας αὐτῇ,

6. ἐνδεδυκότας ὑακίνθινα, ἡγουμένους καὶ στρατηγοὺς, νεανίσκοι καὶ ἐπίλεκτοι, πάντες ἱππεῖς ἱππαζόμενοι ἐφ' ἵππων.

7. Καὶ ἔδωκε τὴν πορνείαν αὐτῆς ἐπ' αὐτούς· ἐπίλεκτοι υἱοὶ Ἀσσυρίων πάντες, καὶ ἐπὶ πάντας οὓς ἐπέθετο, ἐν πᾶσι τοῖς ἐνθυμήμασιν αὐτοῖς ἐμιαίνετο.

8. Καὶ τὴν πορνείαν αὐτῆς ἐξ Αἰγύπτου οὐκ ἐγκατέλιπεν, ὅτι μετ' αὐτῆς ἐκοιμῶντο ἐν νεότητι αὐτῆς, καὶ αὐτοὶ διεπαρθένευσαν αὐτὴν, καὶ ἐξέχεαν τὴν πορνείαν αὐτῶν ἐπ' αὐτήν.

9. Διὰ τοῦτο παρέδωκα αὐτὴν εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς, εἰς χεῖρας υἱῶν Ἀσσυρίων ἐφ' οὓς ἐπετίθετο.

10. Αὐτοὶ ἀπεκάλυψαν τὴν αἰσχύνην αὐτῆς, υἱοὺς καὶ θυγατέρας αὐτῆς ἔλαβον, καὶ αὐτὴν ἐν ῥομφαίᾳ ἀπέκτειναν. Καὶ ἐγένετο λάλημα εἰς γυναῖκας, καὶ ἐποίησαν ἐκδικήσεις ἐν αὐτῇ εἰς τὰς θυγατέρας.

11. Καὶ εἶδεν ἡ ἀδελφὴ αὐτῆς Ὀολιβὰ, καὶ διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ αὐτὴν, καὶ τὴν πορνείαν αὐτῆς ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς·

12. ἐπὶ τοὺς υἱοὺς τῶν Ἀσσυρίων ἐπέθετο, ἡγουμένους καὶ στρατηγοὺς τοὺς ἐγγὺς αὐτῆς, ἐνδεδυκότας εὐπάρυφα, ἱππεῖς ἱππαζομένους ἐφ' ἵππων, νεανίσκοι ἐπίλεκτοι πάντες.

13. Καὶ ἴδον ὅτι μεμίανται ὁδὸς μία τῶν δύο·

14. καὶ προσέθετο πρὸς τὴν πορνείαν αὐτῆς, καὶ εἶδεν ἄνδρας ἐζωγραφημένους ἐπὶ τοῦ τοίχου, εἰκόνας Χαλδαίων, ἐζωγραφημένους ἐν γραφίδι,

15. ἐζωσμένους ποικίλματα ἐπὶ τὰς ὀσφύας αὐτῶν, παραβαπτὰ καὶ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, ὄψις τρισσὴ πάντων, ὁμοίωμα υἱῶν Χαλδαίων, γῆς πατρίδος αὐτοῦ.

16. Καὶ ἐπέθετο ἐπ' αὐτοὺς τῇ ὁράσει ὀφθαλμῶν αὐτῆς, καὶ ἐξαπέστειλεν ἀγγέλους πρὸς αὐτοὺς εἰς γῆν Χαλδαίων·

17. καὶ ἤλθοσαν πρὸς αὐτὴν υἱοὶ Βαβυλῶνος, εἰς κοίτην καταλυόντων, καὶ ἐμίαινον αὐτὴν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐμιάνθη ἐν αὐτοῖς, καὶ ἀπέστη ἡ ψυχὴ αὐτῆς ἀπ' αὐτῶν.

18. Καὶ ἀπεκάλυψε τὴν πορνείαν αὐτῆς, καὶ ἀπεκάλυψεν αἰσχύνην αὐτῆς. Καὶ ἀπέστη ἡ ψυχή μου ἀπ' αὐτῆς, ὃν τρόπον ἀπέστη ἡ ψυχή μου ἀπὸ τῆς ἀδελφῆς αὐτῆς.

19. Καὶ ἐπλήθυνας τὴν πορνείαν σου, τοῦ ἀναμνῆσαι ἡμέραν νεότητός σου, ἐν αἷς ἐπόρνευσας ἐν Αἰγύπτῳ,

20. καὶ ἐπέθου ἐπὶ τοὺς Χαλδαίους, ὧν ὡς ὄνων αἱ σάρκες αὐτῶν, καὶ αἰδοῖα ἵππων τὰ αἰδοῖα αὐτῶν,

CAPUT XXIII.

1. Et factus est sermo Domini ad me, dicens:

2. Fili hominis, duæ mulieres fuerunt filiæ matris unius,

3. et fornicatæ sunt in Ægypto in adolescentia sua, ibi ceciderunt ubera earum, ibi devirginatæ sunt.

4. Et nomina earum fuerunt, Oola senior, et Ooliba soror ejus. Et factæ sunt mihi, et pepererunt filios et filias. Et nomina earum : Samaria fuit Oola, et Jerusalem fuit Ooliba.

5. Et fornicata est Oola a me, et adhæsit super amatores suos, super Assyrios qui appropinquabant ei,

6. indutos hyacinthinis, principes et duces, juvenes et electi, omnes equites equitantes super equos.

7. Et dedit fornicationem suam super eos : electi filii Assyriorum omnes, et super omnes ad quos adhæsit, in omnibus adinventionibus ipsis polluebatur.

8. Et fornicationem suam ex Ægypto non reliquit, quia cum ipsa dormiebant in adolescentia ejus, et ipsi devirginaverant eam, et effuderant fornicationem suam super eam.

9. Propterea tradidi eam in manus amatorum ejus, in manus filiorum Assyriorum ad quos adhæsit.

10. Ipsi discooperuerunt ignominiam ejus, filios et filias illius tulerunt, et ipsam in gladio occiderunt. Et facta est sermo apud mulieres, et fecerunt ultiones in ea in filias.

11. Et vidit soror ejus Ooliba, et corrupit applicationem suam super eam, et fornicationem suam super fornicationem sororis suæ :

12. super filios Assyriorum adhæsit, principes et duces qui prope eam, indutos pretiosis, equites equitantes super equos, adolescentes electi omnes.

13. Et vidi quia polluta est via una ambarum :

14. et adjecit ad fornicationem suam, et vidit viros depictos in pariete, imagines Chaldæorum, depictos in stylo.

15. accinctos variegatis super lumbos suos, tincta et super capita eorum, aspectus triplex omnium, similitudo filiorum Chaldæorum, terræ patriæ ejus.

16. Et adhæsit super eos aspectu oculorum suorum, et misit nuntios ad eos in terram Chaldæorum :

17. et venerunt ad eam filii Babylonis, ad cubile divertentium, et polluerunt eam in fornicatione ejus, et polluta est in eis, et recessit anima ejus ab illis.

18. Et revelavit fornicationem suam, et revelavit ignominiam suam. Et recessit anima mea ab ea, sicut recessit anima mea a sorore ejus.

19. Et multiplicasti fornicationem tuam, recordando diei adolescentiæ tuæ, in quibus fornicata es in Ægypto,

20. et adhæsisti super Chaldæos, quorum velut asinorum carnes eorum, et verenda equorum verenda eorum,

21. καὶ ἐπεσκέψω τὴν ἀνομίαν νεότητός σου, ἃ ἐποίεις ἐν Αἰγύπτῳ ἐν τῷ καταλύματί σου, οὗ οἱ μαστοὶ νεότητός σου.

22. Διὰ τοῦτο, Ὀολιβὰ, τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς ἐραστάς σου ἐπὶ σὲ, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐτῶν, καὶ ἐπάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν,

23. υἱοὺς Βαβυλῶνος, καὶ πάντας τοὺς Χαλδαίους, Φακοὺχ, καὶ Σουὲ, καὶ Ὑχουὲ, καὶ πάντας υἱοὺς Ἀσσυρίων μετ' αὐτῶν, νεανίσκους ἐπιλέκτους, ἡγεμόνας καὶ στρατηγοὺς, πάντας τρισσοὺς καὶ ὀνομαστοὺς, ἱππεύοντας ἐφ' ἵππων.

24. Καὶ πάντες ἥξουσιν ἐπὶ σὲ ἀπὸ βορρᾶ, ἅρματα καὶ τροχοὶ μετ' ὄχλου λαῶν, θυρεοὶ καὶ πέλται, καὶ βαλεῖ φυλακὴν ἐπὶ σὲ κύκλῳ.

25. Καὶ δώσω πρὸ προσώπου αὐτῶν κρῖμα, καὶ ἐκδικήσουσί σε ἐν τοῖς κρίμασιν αὐτῶν. Καὶ δώσω τὸν ζῆλόν μου ἐν σοὶ, καὶ ποιήσουσι μετὰ σοῦ ἐν ὀργῇ θυμοῦ. Μυκτῆρά σου καὶ ὦτά σου ἀφελοῦσι, καὶ τοὺς καταλοίπους σου ἐν ῥομφαίᾳ καταβαλοῦσιν. Αὐτοὶ υἱούς σου καὶ θυγατέρας σου λήψονται, καὶ τοὺς καταλοίπους σου πῦρ καταφάγεται,

26. καὶ ἐκδύσουσί σε τὸν ἱματισμόν σου, καὶ λήψονται τὰ σκεύη τῆς καυχήσεώς σου.

27. Καὶ ἀποστρέψω τὰς ἀσεβείας σου ἐκ σοῦ, καὶ τὴν πορνείαν σου ἐκ γῆς Αἰγύπτου· καὶ οὐ μὴ ἄρῃς τοὺς ὀφθαλμούς σου ἐπ' αὐτοὺς, καὶ Αἰγύπτου οὐ μὴ μνησθῇς οὐκέτι.

28. Διότι τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ παραδίδωμί σε εἰς χεῖρας ὧν μισεῖς, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐτῶν.

29. Καὶ ποιήσουσιν ἐν σοὶ ἐν μίσει, καὶ λήψονται πάντας τοὺς πόνους σου καὶ τοὺς μόχθους σου, καὶ ἔσῃ γυμνὴ καὶ αἰσχύνουσα, καὶ ἀποκαλυφθήσεται αἰσχύνη πορνείας σου· καὶ ἀσέβειά σου καὶ ἡ πορνεία σου

30. ἐποίησε ταῦτά σοι, ἐν τῷ ἐκπορνεῦσαί σε ὀπίσω ἐθνῶν, καὶ ἐμιαίνου ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν.

31. Ἐν τῇ ὁδῷ τῆς ἀδελφῆς σου ἐπορεύθης, καὶ δώσω τὸ ποτήριον αὐτῆς εἰς χεῖράς σου.

32. Τάδε λέγει Κύριος· Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι, τὸ βαθὺ καὶ τὸ πλατὺ καὶ τὸ πλεονάζον τοῦ συντελέσαι μέθην,

33. καὶ ἐκλύσεως πλησθήσῃ· καὶ τὸ ποτήριον ἀφανισμοῦ, ποτήριον ἀδελφῆς σου Σαμαρείας,

34. πίεσαι αὐτό· καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας αὐτῆς ἀποστρέψω· διότι ἐγὼ λελάληκα, λέγει Κύριος.

35. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐπελάθου μου, καὶ ἀπέῤῥιψάς με ὀπίσω τοῦ σώματός σου, καὶ σὺ λάβε τὴν ἀσέβειάν σου καὶ τὴν πορνείαν σου.

36. Καὶ εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου, οὐ κρινεῖς τὴν Ὀολὰν καὶ τὴν Ὀολιβὰν, καὶ ἀναγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐτῶν,

37. ὅτι ἐμοιχῶντο, καὶ αἷμα ἐν χερσὶν αὐτῶν; Τὰ ἐνθυμήματα αὐτῶν ἐμοιχῶντο, καὶ τὰ τέκνα αὐτῶν, ἃ ἐγέννησάν μοι, διήγαγον αὐτοῖς δι' ἐμπύρων,

38. ἕως καὶ ταῦτα ἐποίησάν μοι· τὰ ἅγιά μου ἐμίαινον, καὶ τὰ σάββατά μου ἐβεβήλουν,

39. καὶ ἐν τῷ σφάζειν αὐτοὺς τὰ τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐτῶν, καὶ εἰςεπορεύοντο εἰς τὰ ἅγιά μου τοῦ βεβηλοῦν αὐτά· καὶ ὅτι οὕτως ἐποίουν ἐν μέσῳ τοῦ οἴκου μου,

21. et visitasti iniquitatem adolescentiæ tuæ, quæ faciebas in Ægypto in diversorio tuo, ubi mammæ adolescentiæ tuæ.

22. Propterea Ooliba, hæc dicit Dominus : Ecce ego suscito amatores tuos super te, a quibus recessit anima tua ab eis, et adducam eos super te per circuitum,

23. filios Babylonis, et omnes Chaldæos, Phacuc, et Sue, et Hycue, et omnes filios Assyriorum cum eis, juvenes electos, duces et magistratus, omnes tristatas et nominatos, equitantes in equis.

24. Et cuncti venient super te ab aquilone, currus et rotæ cum multitudine populorum, clypei et peltæ, et mittet custodiam super te in circuitu.

25. Et dabo ante faciem eorum judicium, et judicabunt te in judiciis suis. Et dabo zelum meum in te, et facient tecum in ira furoris. Nasum tuum et aures tuas auferent, et reliquos tuos in gladio dejicient. Ipsi filios tuos et filias tuas tollent, et residuos tuos devorabit ignis,

26. et denudabunt te vestimento tuo, et tollent vasa gloriationis tuæ.

27. Et avertam impietates tuas a te, et fornicationem tuam de terra Ægypti : et non elevabis oculos tuos ad eos, et Ægypti non recordaberis amplius.

28. Quia hæc dicit Dominus Dominus : Ecce ego trado te in manus eorum quos odio habes, a quibus recessit anima tua ab eis.

29. Et facient in te in odio, et tollent omnes labores tuos et ærumnas tuas, et eris nuda et ignominiæ plena, et revelabitur ignominia fornicationis tuæ : et impietas tua et fornicatio tua

30. fecerunt hæc tibi, in fornicando te post gentes, et polluta es in cogitationibus earum.

31. In via sororis tuæ ambulasti, et dabo calicem ejus in manus tuas.

32. Hæc dicit Dominus : Calicem sororis tuæ bibes, profundum et latum et abundantem ad complendam ebrietatem,

33. et dissolutione repleberis : et calicem perditionis, calicem sororis tuæ Samariæ,

34. bibes illum : et festivitates et neomenias ejus auferam : quia ego locutus sum, ait Dominus.

35. Propterea hæc dicit Dominus : Quia oblita es mei, et projecisti me post corpus tuum, et tu accipe impietatem tuam et fornicationem tuam.

36. Et dixit Dominus ad me : Fili hominis, nonne judicabis Oolam et Oolibam, et annuntiabis eis iniquitates earum,

37. quia mœchabantur, et sanguis in manibus ipsarum? Secundum adinventiones suas mœchabantur, et filios suos, quos genuerant mihi, traduxerunt eis per ignita,

38. donec et ista fecerunt mihi : sancta mea polluerunt, et sabbata mea profanaverunt,

39. et in jugulando ipsos filios suos idolis suis, et ingrediebantur in sancta mea ad profanandum illa : et quia sic faciebant in medio domus meæ,

40. καὶ ὅτι τοῖς ἀνδράσι τοῖς ἐρχομένοις μακρόθεν, οἷς ἀγγέλους ἐξαπέστειλον πρὸς αὐτοὺς, καὶ ἅμα τῷ ἔρχεσθαι αὐτοὺς, εὐθὺς ἐλούου, καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου, καὶ ἐκόσμου κόσμῳ,

41. καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρωμένης, καὶ τράπεζα κεκοσμημένη πρὸ προσώπου αὐτῆς. Καὶ τὸ θυμίαμα καὶ τὸ ἔλαιόν μου εὐφραίνοντο ἐν αὐτοῖς·

42. καὶ φωνὴν ἁρμονίας ἀνεκρούοντο, καὶ πρὸς ἄνδρας ἐκ πλήθους ἀνθρώπων ἥκοντας ἐκ τῆς ἐρήμου. Καὶ ἐδίδοσαν ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῶν, καὶ στέφανον καυχήσεως ἐπὶ τὰς κεφαλὰς αὐτῶν.

43. Καὶ εἶπα· Οὐκ ἐν τούτοις μοιχεύουσι; καὶ ἔργα πόρνης καὶ αὐτὴ ἐξεπόρνευσε;

44. Καὶ εἰςεπορεύοντο πρὸς αὐτὴν, ὃν τρόπον εἰςπορεύονται πρὸς γυναῖκα πόρνην, οὕτως εἰςεπορεύοντο πρὸς Ὀολὰν καὶ πρὸς Ὀολιβὰν, τοῦ ποιῆσαι ἀνομίαν.

45. Καὶ ἄνδρες δίκαιοι αὐτοὶ καὶ ἐκδικήσουσιν αὐτὰς ἐκδικήσει μοιχαλίδος, καὶ ἐκδικήσει αἵματος, ὅτι μοιχαλίδες εἰσὶ, καὶ αἷμα ἐν χερσὶν αὐτῶν.

46. Τάδε λέγει Κύριος Κύριος· Ἀνάγαγε ἐπ' αὐτὰς ὄχλον, καὶ δὸς ἐν αὐταῖς ταραχὴν καὶ διαρπαγὴν,

47. καὶ λιθοβόλησον ἐπ' αὐτὰς λίθοις ὄχλων, καὶ κατακέντει αὐτὰς ἐν τοῖς ξίφεσιν αὐτῶν. Υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν ἀποκτενοῦσιν, καὶ τοὺς οἴκους αὐτῶν ἐμπρήσουσιν.

48. Καὶ ἀποστρέψω ἀσέβειαν ἐκ τῆς γῆς, καὶ παιδευθήσονται πᾶσαι αἱ γυναῖκες, καὶ οὐ μὴ ποιήσουσι κατὰ τὰς ἀσεβείας αὐτῶν.

49. Καὶ δοθήσεται ἡ ἀσέβεια ὑμῶν ἐφ' ὑμᾶς, καὶ τὰς ἁμαρτίας τῶν ἐνθυμημάτων ὑμῶν λήψεσθε, καὶ γνώσεσθε διότι ἐγὼ Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ ἐν τῷ ἔτει τῷ ἐννάτῳ, ἐν τῷ μηνὶ τῷ δεκάτῳ, δεκάτῃ τοῦ μηνὸς, λέγων·

2. Υἱὲ ἀνθρώπου, γράψον σεαυτῷ εἰς ἡμέραν ἀπὸ τῆς ἡμέρας ταύτης, ἀφ' ἧς ἀπηρείσατο βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλὴμ, ἀπὸ τῆς ἡμέρας τῆς σήμερον·

3. καὶ εἰπὸν ἐπὶ τὸν οἶκον τὸν παραπικραίνοντα παραβολὴν, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἐπίστησον τὸν λέβητα, καὶ ἔγχεον εἰς αὐτὸν ὕδωρ,

4. καὶ ἔμβαλε εἰς αὐτὸν τὰ διχοτομήματα, πᾶν διχοτόμημα καλὸν, σκέλος καὶ ὦμον, ἐκσεσαρκισμένα ἀπὸ τῶν ὀστῶν,

5. ἐξ ἐπιλέκτων κτηνῶν εἰλημμένων· καὶ ὑπόκαιε τὰ ὀστᾶ ὑποκάτω αὐτῶν. Ἔζεσε καὶ ἥψηται τὰ ὀστᾶ αὐτῆς ἐν μέσῳ αὐτῆς.

6. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ὦ πόλις αἱμάτων, λέβης, ἐν ᾧ ἐστιν ἰὸς ἐν αὐτῷ, καὶ ὁ ἰὸς οὐκ ἐξῆλθεν ἐξ αὐτῆς, κατὰ μέλος αὐτῆς ἐξήνεγκεν, οὐκ ἔπεσεν ἐπ' αὐτὴν κλῆρος·

7. ὅτι αἷμα αὐτῆς ἐν μέσῳ αὐτῆς ἐστιν, ἐπὶ λεωπετρίαν τέταχα αὐτό· οὐκ ἐκκέχυκα αὐτὸ ἐπὶ τὴν γῆν, τοῦ καλύψαι ἐπ' αὐτὸ γῆν,

8. τοῦ ἀναβῆναι θυμὸν εἰς ἐκδίκησιν ἐκδικηθῆναι. Δέδωκα τὸ αἷμα αὐτῆς ἐπὶ λεωπετρίαν, τοῦ μὴ καλύψαι αὐτό.

40. et quia viris venientibus de longe, quibus nuntios miserant ad eos, et simul ac venissent, statim lavabaris, et stibio liniebas oculos tuos, et ornabaris ornatu,

41. et sedebas super lectum stratum, et mensa ornata ante faciem ipsius. Et thymiama et oleum meum lætabantur in eis :

42. et vocem harmoniæ personabant, et ad viros ex multitudine hominum venientes de deserto. Et dederunt armillas super manus eorum, et coronam gloriationis super capita eorum.

43. Et dixi : Nonne in his mœchantur? et opera fornicariæ etiam ipsa fornicata est?

44. Et ingrediebantur ad eam, quemadmodum ingrediuntur ad mulierem meretricem, ita ingrediebantur ad Oolam et ad Oolibam, ut facerent iniquitatem.

45. Et viri justi hi et ulciscentur eas ultione adulteræ, et ultione sanguinis, quia adulteræ sunt, et sanguis in manibus earum.

46. Hæc dicit Dominus Dominus : Adduc super eas multitudinem, et da in eis tumultum et rapinam,

47. et lapida super eas lapides turbarum, et confodito eas in gladiis eorum. Filios earum et filias earum interficient, et domos earum incendent.

48. Et avertam impietatem de terra, et discent omnes mulieres, et non facient secundum impietates earum.

49. Et dabitur impietas vestra super vos, et peccata cogitationum vestrarum accipietis, et scietis quia ego Dominus.

CAPUT XXIV.

1. Et factus est sermo Domini ad me in anno nono, in mense decimo, decima mensis, dicens :

2. Fili hominis, scribe tibi in diem ab hac die, qua obfirmatus est rex Babylonis super Jerusalem, ab hodierna die :

3. et dic ad domum exasperantem parabolam, et dices ad eos : Hæc dicit Dominus : Pone lebetem, et infunde super eum aquam,

4. et mitte in eum divisiones, omnem incisuram bonam, crus et humerum, carnibus separatis ab ossibus,

5. de electis pecoribus assumpta : et incende ossa sub eis. Ferbuit et sunt cocta ossa ejus in medio illius.

6. Propterea hæc dicit Dominus : O civitas sanguinum, lebes, in quo est rubigo in eo, et rubigo non est egressa ex eo, per partes suas protulit, non cecidit super eam sors :

7. quia sanguis ejus in medio illius est, super levissimam petram posui illum : non effudi illum super terram, ad operiendum super ipsum terra,

8. ut ascenderet furor ad ulciscendum ultionem. Dedi sanguinem ejus super levissimam petram, ut non operiretur.

(*) 9. Διὰ τοῦτο τάδε λέγει Κύριος· Κἀγὼ μεγαλυνῶ τὸν δαλὸν,
10. καὶ πληθυνῶ τὰ ξύλα, καὶ ἀνακαύσω τὸ πῦρ, ὅπως τακῇ τὰ κρέα, καὶ ἐλαττωθῇ ὁ ζωμὸς,
11. καὶ στῇ ἐπὶ τοὺς ἄνθρακας, ὅπως προςκαυθῇ καὶ θερμανθῇ ὁ χαλκὸς αὐτῆς, καὶ τακῇ ἐν μέσῳ ἀκαθαρσίας αὐτῆς, καὶ ἐκλίπῃ ὁ ἰὸς αὐτῆς,
12. καὶ οὐ μὴ ἐξέλθῃ ἐξ αὐτῆς πολὺς ὁ ἰὸς αὐτῆς·
13. καταισχυνθήσεται ὁ ἰὸς αὐτῆς, ἀνθ' ὧν ἐμιαίνου σύ. Καὶ τί ἐὰν μὴ καθαρισθῇς ἔτι ἕως οὗ ἐμπλήσω τὸν θυμόν μου;
14. Ἐγὼ Κύριος λελάληκα, καὶ ἥξει, καὶ ποιήσω, οὐ διαστελῶ, οὐδὲ μὴ ἐλεήσω. Κατὰ τὰς ὁδούς σου, καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, λέγει Κύριος. Διὰ τοῦτο ἐγὼ κρινῶ σε κατὰ τὰ αἵματά σου, καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, ἡ ἀκάθαρτος, ἡ ὀνομαστὴ, καὶ πολλὴ τοῦ παραπικραίνειν.
15. Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων·
16. Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ λαμβάνω ἐκ σοῦ τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν σου ἐν παρατάξει, οὐ μὴ κοπῇς, οὐδ' οὐ μὴ κλαυσθῇς,
17. στεναγμὸς αἵματος, ὀσφύος πένθος ἔσῃ. Οὐκ ἔσται τὸ τρίχωμά σου συμπεπλεγμένον ἐπὶ σέ, καὶ τὰ ὑποδήματά σου ἐν τοῖς ποσί σου, οὐ μὴ παρακληθῇς ἐν χείλεσιν αὐτῶν, καὶ ἄρτον ἀνδρῶν οὐ μὴ φάγῃς.
18. Καὶ ἐλάλησα πρὸς τὸν λαὸν τοπρωῒ, ὃν τρόπον ἐνετείλατό μοι ἑσπέρας, καὶ ἐποίησα τοπρωῒ, ὃν τρόπον ἐπετάγη μοι.
19. Καὶ εἶπε πρὸς μὲ ὁ λαός· Οὐκ ἀναγγέλλεις ἡμῖν τί ἐστι ταῦτα ἃ σὺ ποιεῖς;
20. Καὶ εἶπα πρὸς αὐτούς· Λόγος Κυρίου ἐγένετο πρὸς μὲ, λέγων·
21. Εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ βεβηλῶ τὰ ἁγιά μου, φρύαγμα ἰσχύος ὑμῶν, ἐπιθυμήματα ὀφθαλμῶν ὑμῶν, καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ ὑμῶν. Καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν οὓς ἐγκατελίπετε, ἐν ῥομφαίᾳ πεσοῦνται,
22. καὶ ποιήσετε ὃν τρόπον πεποίηκα. Ἀπὸ στόματος αὐτῶν οὐ παρακληθήσεσθε, καὶ ἄρτον ἀνδρῶν οὐ φάγεσθε,
23. καὶ αἱ κόμαι ὑμῶν ἐπὶ τῆς κεφαλῆς ὑμῶν, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν. Οὔτε μὴ κόψησθε, οὔτε μὴ κλαύσητε, καὶ ἐντακήσεσθε ἐν ταῖς ἀδικίαις ὑμῶν, καὶ παρακαλέσετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ.
24. Καὶ ἔσται Ἰεζεκιὴλ ὑμῖν εἰς τέρας, κατὰ πάντα ὅσα ἐποίησα ποιήσετε, ὅταν ἔλθῃ ταῦτα, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος.
25. Καὶ σὺ, υἱὲ ἀνθρώπου, οὐχὶ ἐν τῇ ἡμέρᾳ ὅταν λαμβάνω τὴν ἰσχὺν παρ' αὐτῶν, τὴν ἔπαρσιν τῆς καυχήσεως αὐτῶν, τὰ ἐπιθυμήματα ὀφθαλμῶν αὐτῶν, καὶ τὴν ἔπαρσιν ψυχῆς αὐτῶν, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν,
26. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἥξει ὁ ἀνασωζόμενος πρὸς σὲ, τοῦ ἀναγγεῖλαί σοι εἰς τὰ ὦτα;
27. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διανοιχθήσεται τὸ στόμα

9. Propterea hæc dicit Dominus : Et ego magnificabo torrem,
10. et multiplicabo ligna, et succendam ignem, ut tabescant carnes, et imminuatur jus,
11. et stet super carbones, ut exuratur et concalescat æs ejus, et tabescat in medio immunditiæ suæ, et deficiat rubigo ejus,
12. et non exiet de ea multa rubigo illius :
13. confundetur rubigo ejus, pro eo quod contaminata es tu. Et quid erit si non fueris emundata ultra donec impleam furorem meum?
14. Ego Dominus locutus sum, et veniet, et faciam, non differam, nec miserebor. Secundum vias tuas, et secundum cogitationes tuas judicabo te, dicit Dominus. Propterea ego judicabo te juxta sanguines tuos, et juxta cogitationes tuas judicabo te, immunda, famosa, et nimia ad irritandum.
15. Et factus est sermo Domini ad me, dicens :
16. Fili hominis, ecce ego aufero a te desideria oculorum tuorum in præparatione, non planges, nec flebis,
17. gemitus sanguinis, renum luctus eris. Non erunt crines tui colligati super te, et calceamenta tua in pedibus tuis, non consolaberis in labiis eorum, et panem hominum non comedes.
18. Et locutus sum ad populum mane, sicut præceperat mihi vesperi, fecique mane, sicut præceptum est mihi.
19. Et dixit ad me populus : Non annuntias nobis quid sunt hæc quæ tu facis?
20. Et dixi ad eos : Sermo Domini factus est ad me, dicens :
21. Dic ad domum Israel : Hæc dicit Dominus : Ecce ego contaminabo sancta mea, superbiam fortitudinis vestræ, desiderabilia oculorum vestrorum, et super quibus parcunt animæ vestræ. Et filii vestri et filiæ vestræ quos reliquistis, in gladio cadent,
22. et facietis sicut feci. Ab ore eorum non consolabimini, et panem virorum non comedetis,
23. et comæ vestræ super capita vestra, et calceamenta vestra in pedibus vestris. Non plangetis, nec flebitis, et consumemini in iniquitatibus vestris, et consolabimini unusquisque fratrem suum.
24. Et erit Ezechiel vobis in portentum, secundum omnia quæ feci facietis, cum venerint hæc, et cognoscetis quoniam ego Dominus.
25. Et tu, fili hominis, nonne in die quando abstulero fortitudinem ab eis, elationem gloriationis eorum, desideria oculorum eorum, et elationem animæ eorum, filios eorum et filias eorum,
26. in die illa veniet qui salvus factus fuerit ad te, ut annuntiet tibi in auribus?
27. In die illa aperietur os tuum ad eum qui evaserit :

(*) 9. Διὰ τοῦτο τάδε λέγει Ἀδωναΐ Κύριος· Οὐαὶ πόλις τῶν αἱμάτων· κἀγὼ μεγαλυνῶ τὸν δαλόν. (*Alex.*)

9. Propterea hæc dicit Deus Dominus : Væ civitati sanguinum : et ego magnificabo torrem.

του πρὸς τὸν ἀνασωζόμενον· λαλήσεις, καὶ οὐ μὴ ἀποκωφωθῇς οὐκέτι, καὶ ἔσῃ αὐτοῖς εἰς τέρας, καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων·

2. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν, καὶ προφήτευσον ἐπ' αὐτοὺς,

3. καὶ ἐρεῖς τοῖς υἱοῖς Ἀμμών· Ἀκούσατε λόγον Κυρίου. Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐπεχάρητε ἐπὶ τὰ ἅγιά μου, ὅτι ἐβεβηλώθη, καὶ ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ, ὅτι ἠφανίσθη, καὶ ἐπὶ τὸν οἶκον τοῦ Ἰούδα, ὅτι ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ,

4. διὰ τοῦτο ἰδοὺ ἐγὼ παραδίδωμι ὑμᾶς τοῖς υἱοῖς Κεδὲμ εἰς κληρονομίαν, καὶ κατασκηνώσουσιν ἐν τῇ ἀπαρτίᾳ αὐτῶν ἐν σοὶ, καὶ δώσουσιν ἐν σοὶ τὰ σκηνώματα αὐτῶν· αὐτοὶ φάγονται τοὺς καρπούς σου, καὶ αὐτοὶ πίονται τὴν πιότητά σου.

5. Καὶ δώσω τὴν πόλιν τοῦ Ἀμμὼν εἰς νομὰς καμήλων, καὶ τοὺς υἱοὺς Ἀμμὼν εἰς νομὴν προβάτων, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος.

6. Διότι τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐκρότησας τὴν χεῖρά σου, καὶ ἐψόφησας τῷ ποδί σου, καὶ ἐπέχαρας ἐκ ψυχῆς σου ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ,

7. διὰ τοῦτο ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ δώσω σε εἰς διαρπαγὴν ἐν τοῖς ἔθνεσι, καὶ ἐξολοθρεύσω σε ἐκ τῶν λαῶν, καὶ ἀπολῶ σε ἐκ τῶν χειρῶν ἀπωλείᾳ, καὶ ἐπιγνώσῃ διότι ἐγὼ Κύριος.

8. Τάδε λέγει Κύριος· Ἀνθ' ὧν εἶπε Μωάβ· Ἰδοὺ οὐχ ὃν τρόπον πάντα τὰ ἔθνη, οἶκος Ἰσραὴλ καὶ Ἰούδα;

9. Διὰ τοῦτο ἰδοὺ ἐγὼ παραλύω τὸν ὦμον Μωὰβ ἀπὸ πόλεων ἀκρωτηρίων αὐτοῦ, ἐκλεκτὴν γῆν, οἶκον Βεθασιμοὺθ ἐπάνω πηγῆς πόλεως παραθαλασσίας,

10. τοὺς υἱοὺς Κεδὲμ ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν δέδωκα αὐτῷ εἰς κληρονομίαν, ὅπως μὴ μνεία γένηται τῶν υἱῶν Ἀμμών.

11. Καὶ εἰς Μωὰβ ποιήσω ἐκδίκησιν, καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος.

12. Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐποίησεν ἡ Ἰδουμαία ἐν τῷ ἐκδικῆσαι αὐτοὺς ἐκδίκησιν εἰς τὸν οἶκον Ἰούδα, καὶ ἐμνησικάκησαν, καὶ ἐξεδίκησαν δίκην,

13. διὰ τοῦτο τάδε λέγει Κύριος· Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τὴν Ἰδουμαίαν, καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, καὶ θήσομαι αὐτὴν ἔρημον· καὶ ἐκ Θαιμὰν διωκόμενοι ἐν ῥομφαίᾳ πεσοῦνται.

14. Καὶ δώσω ἐκδίκησίν μου ἐπὶ τὴν Ἰδουμαίαν ἐν χειρὶ λαοῦ μου Ἰσραὴλ, καὶ ποιήσουσιν ἐν τῇ Ἰδουμαίᾳ κατὰ τὴν ὀργήν μου καὶ κατὰ τὸν θυμόν μου, καὶ ἐπιγνώσονται τὴν ἐκδίκησίν μου, λέγει Κύριος.

15. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐποίησαν οἱ ἀλλόφυλοι ἐν ἐκδικήσει καὶ ἐξανέστησαν ἐκδίκησιν ἐπιχαίροντες ἐκ ψυχῆς, τοῦ ἐξαλεῖψαι ἕως ἑνὸς,

16. διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ τοὺς ἀλλοφύλους, καὶ ἐξολοθρεύσω Κρῆτας, καὶ ἀπολῶ τοὺς καταλοίπους τοὺς κατοικοῦντας τὴν παραλίαν.

17. Καὶ ποιήσω ἐν αὐτοῖς ἐκδικήσεις μεγάλας, καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος, ἐν τῷ δοῦναι τὴν ἐκδίκησίν μου ἐπ' αὐτούς.

loqueris, et nequaquam ultra reticebis, et eris eis in portentum, et cognoscent quoniam ego Dominus.

CAPUT XXV.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, obfirma faciem tuam super filios Ammon, et propheta super eos,

3. et dices filiis Ammon : Audite verbum Domini. Hæc dicit Dominus : Pro eo quod gavisi estis super sancta mea, quia polluta sunt, et super terram Israel, quia desolata est, et super domum Juda, quia abierunt in captivitatem,

4. idcirco ecce ego trado vos filiis Cedem in hæreditatem, et habitabunt in impedimentis suis in te, et dabunt in te tentoria sua : ipsi comedent fructus tuos, et ipsi bibent ubertatem tuam.

5. Daboque civitatem Ammon in pascua camelorum, et filios Ammon in pascuam ovium, et scietis quia ego Dominus.

6. Quia hæc dicit Dominus : Pro eo quod plausisti manu tua, et insonuisti pede tuo, et gavisa es ex anima tua super terram Israel,

7. idcirco extendam manum meam super te, et dabo te in direptionem in gentibus, et exterminabo te de populis, et perdam te de terris perditione, et scies quia ego Dominus.

8. Hæc dicit Dominus : Pro eo quod dixit Moab : Ecce nonne sicut omnes gentes, domus Israel et Juda?

9. Idcirco ecce ego dissolvo humerum Moab de civitatibus promontoriorum ejus, electam terram, domum Bethasimuth super fontem urbis maritimæ,

10. filios Cedem super filios Ammon dedi ei in hæreditatem, ut non sit memoria filiorum Ammon.

11. Et in Moab faciam ultionem, et cognoscent quoniam ego Dominus.

12. Hæc dicit Dominus : Pro eo quod fecit Idumæa in ulciscendo ipsos ultionem de domo Juda, et memoriam retinuerunt mali, et ulti sunt ultione,

13. propterea hæc dicit Dominus : Et extendam manum meam super Idumæam, et interficiam de ea hominem et pecus, et ponam eam desertum : et de Thæman fugientes in gladio cadent.

14. Et dabo ultionem meam super Idumæam in manu populi mei Israel, et facient in Idumæa juxta iram meam et juxta furorem meum, et cognoscent ultionem meam, dicit Dominus.

15. Propterea hæc dicit Dominus : Pro eo quod fecerunt alienigenæ in ultione et suscitaverunt vindictam insultantes ex animo, ut delerent usque ad unum,

16. propterea hæc dicit Dominus : Ecce ego extendo manum meam super alienigenas, et disperdam Cretenses, et perdam reliquos habitantes maritimam.

17. Et faciam in eis ultiones magnas, et cognoscent quia ego Dominus, cum dedero ultionem meam super eos.

ΚΕΦΑΛΑΙΟΝ Κς'.

1. Καὶ ἐγενήθη ἐν τῷ ἑνδεκάτῳ ἔτει, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, ἀνθ' οὗ εἶπε Σὸρ ἐπὶ Ἱερουσαλὴμ· Εὖγε, συνετρίβη, ἀπόλωλε τὰ ἔθνη, ἀπεστράφη πρὸς μὲ, ἡ πλήρης ἠρήμωται·

3. διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, Σὸρ, καὶ ἀνάξω ἐπὶ σὲ ἔθνη πολλὰ, ὡς ἀναβαίνει ἡ θάλασσα τοῖς κύμασιν αὐτῆς.

4. Καὶ καταβαλοῦσι τὰ τείχη Σὸρ, καὶ καταβαλοῦσι τοὺς πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς ἀπ' αὐτῆς, καὶ δώσω αὐτὴν εἰς λεωπετρίαν.

5. Ψυγμὸς σαγηνῶν ἔσται ἐν μέσῳ θαλάσσης, ὅτι ἐγὼ λελάληκα, λέγει Κύριος. Καὶ ἔσται εἰς προνομὴν τοῖς ἔθνεσιν,

6. καὶ αἱ θυγατέρες αὐτῆς ἐν πεδίῳ μαχαίρᾳ ἀναιρεθήσονται, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

7. Ὅτι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ, Σὸρ, τὸν Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος ἀπὸ τοῦ βοῤῥᾶ· βασιλεὺς βασιλέων ἐστὶ, μεθ' ἵππων καὶ ἁρμάτων καὶ ἱππέων καὶ συναγωγῆς ἐθνῶν πολλῶν σφόδρα.

8. Οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ, καὶ δώσει ἐπὶ σὲ προφυλακὴν, καὶ περιοικοδομήσει, καὶ ποιήσει ἐπὶ σὲ κύκλῳ χάρακα καὶ περίστασιν ὅπλων, καὶ τὰς λόγχας αὐτοῦ ἀπέναντί σου δώσει.

9. Τὰ τείχη σου καὶ τοὺς πύργους σου καταβαλεῖ ἐν ταῖς μαχαίραις αὐτοῦ.

10. Ἀπὸ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ κατακαλύψει σε ὁ κονιορτὸς αὐτῶν, καὶ ἀπὸ τῆς φωνῆς τῶν ἱππέων αὐτοῦ καὶ τῶν τροχῶν τῶν ἁρμάτων αὐτοῦ σεισθήσεται τὰ τείχη σου· εἰςπορευομένου αὐτοῦ τὰς πύλας σου, ὡς εἰςπορευόμενος εἰς πόλιν ἐκ πεδίου.

11. Ἐν ταῖς ὁπλαῖς τῶν ἵππων αὐτοῦ καταπατήσουσί σου πάσας τὰς πλατείας· τὸν λαόν σου μαχαίρᾳ ἀνελεῖ, καὶ τὴν ὑπόστασιν τῆς ἰσχύος σου ἐπὶ τὴν γῆν κατάξει.

12. Καὶ προνομεύσει τὴν δύναμίν σου, καὶ σκυλεύσει τὰ ὑπάρχοντά σου, καὶ καταβαλεῖ τὰ τείχη σου, καὶ τοὺς οἴκους σου τοὺς ἐπιθυμητοὺς καθελεῖ. Καὶ τοὺς λίθους σου καὶ τὰ ξύλα σου καὶ τὸν χοῦν σου εἰς μέσον τῆς θαλάσσης σου ἐμβαλεῖ.

13. Καὶ καταλύσει τὸ πλῆθος τῶν μουσικῶν σου, καὶ ἡ φωνὴ τῶν ψαλτηρίων σου οὐ μὴ ἀκουσθῇ ἔτι.

14. Καὶ δώσω σε λεωπετρίαν, ψυγμὸς σαγηνῶν ἔσῃ, οὐ μὴ οἰκοδομηθῇς ἔτι, ὅτι ἐγὼ Κύριος ἐλάλησα, λέγει Κύριος.

15. Διότι τάδε λέγει Κύριος Κύριος τῇ Σόρ· Οὐχ ἀπὸ φωνῆς τῆς πτώσεώς σου, ἐν τῷ στενάξαι τραυματίας, ἐν τῷ σπᾶσαι μάχαιραν ἐν μέσῳ σου, σεισθήσονται αἱ νῆσοι;

16. καὶ καταβήσονται ἀπὸ τῶν θρόνων αὐτῶν πάντες οἱ ἄρχοντες ἐκ τῶν ἐθνῶν τῆς θαλάσσης, καὶ ἀφελοῦνται τὰς μίτρας ἀπὸ τῶν κεφαλῶν αὐτῶν, καὶ τὸν ἱματισμὸν τὸν ποικίλον αὐτῶν ἐκδύσονται. Ἐκστάσει ἐκστήσονται, ἐπὶ γῆν καθεδοῦνται, καὶ φοβηθήσονται τὴν ἀπώλειαν αὐτῶν, καὶ στενάξουσιν ἐπὶ σὲ,

17. καὶ λήψονται ἐπὶ σὲ θρῆνον, καὶ ἐροῦσί σοι· Πῶς

CAPUT XXVI.

1. Et factum est in undecimo anno, una mensis, factus est sermo Domini ad me, dicens :

2. Fili hominis, pro eo quod dixit Sor super Jerusalem : Euge, confracta est, perierunt gentes, conversa est ad me, quæ fuit plena deserta est :

3. propterea hæc dicit Dominus : Ecce ego super te, Sor, et ascendere faciam super te gentes multas, sicut ascendit mare fluctibus suis.

4. Et dejicient muros Sor, et dejicient turres tuas, et ventilabo pulverem ejus de ea, et dabo eam in nitidissimam petram.

5. Siccatio sagenarum erit in medio maris, quia ego locutus sum, ait Dominus. Et erit in direptionem gentibus,

6. et filiæ ejus in campo gladio interficientur, et scient quia ego Dominus.

7. Quia hæc dicit Dominus : Ecce ego adduco ad te, Sor, Nabuchodonosor regem Babylonis ab aquilone : rex regum est, cum equis et curribus et equitibus et cœtu gentium multarum valde.

8. Hic filias tuas quæ in campo gladio interficiet, et dabit super te propugnaculum, et circum ædificabit, et faciet super te in circuitu vallum et circumstantiam armorum, et lanceas suas contra te dabit.

9. Muros tuos et turres tuas dejiciet in gladiis suis.

10. A multitudine equorum ejus operiet te pulvis eorum, et a voce equitum ejus et rotarum curruum ejus commovebuntur muri tui : ingrediente eo portas tuas, quasi ingrediens urbem de campo.

11. In ungulis equorum suorum conculcabunt omnes plateas tuas : populum tuum gladio interficiet, et substantiam fortitudinis tuæ in terram deducet.

12. Et deprædabitur potentiam tuam, et spoliabit substantiam tuam, et destruet muros tuos, et domos tuas desiderabiles subvertet. Et lapides tuos et ligna tua et pulverem tuum in medium maris tui injiciet.

13. Et cessare faciet multitudinem musicorum tuorum, et vox psalteriorum tuorum non audietur amplius.

14. Et dabo te nitidissimam petram, siccatio sagenarum eris, non ædificaberis ultra, quia ego Dominus locutus sum, ait Dominus.

15. Quia hæc dicit Dominus Dominus Sor : Nonne a voce ruinæ tuæ, cum ingemuerint vulnerati, cum evaginatus fuerit gladius in medio tui, commovebuntur insulæ?

16. et descendent de sedibus suis omnes principes ex gentibus maris, et auferent mitras de capitibus suis, et vestimento suo vario nudabuntur. Stupore stupebunt, in terra sedebunt, et formidabunt perditionem suam, et gement super te,

17. et assument super te lamentum, et dicent tibi : Quo-

κατελύθης ἐκ θαλάσσης, ἡ πόλις ἡ ἐπαινετὴ, ἡ δοῦσα τὸν φόβον αὐτῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν;
18. Καὶ φοβηθήσονται αἱ νῆσοι ἀπὸ ἡμέρας πτώσεώς σου,
19. ὅτι τάδε λέγει Κύριος Κύριος· Ὅταν δῶ πόλιν ἠρημωμένην ὡς τὰς πόλεις τὰς μὴ κατοικισθησομένας, ἐν τῷ ἀναγαγεῖν με ἐπὶ σὲ τὴν ἄβυσσον, καὶ κατακαλύψει σε ὕδωρ πολὺ,
20. καὶ καταβιβάσω σε πρὸς τοὺς καταβαίνοντας εἰς βόθρον, πρὸς λαὸν αἰῶνος, καὶ κατοικιῶ σε εἰς βάθη τῆς γῆς ὡς ἔρημον αἰώνιον μετὰ καταβαινόντων εἰς βόθρον, ὅπως μὴ κατοικηθῇς, μηδὲ ἀναστῇς ἐπὶ γῆς ζωῆς·
21. ἀπώλειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα, λέγει Κύριος Κύριος.

modo dissipata es e mari, urbs laudata, quæ dedit timorem suum omnibus habitatoribus suis?
18. Et formidabunt insulæ a die ruinæ tuæ,
19. quia hæc dicit Dominus Dominus : Cum dedero te urbem desolatam sicut civitates quæ non habitabuntur, cum adduxero super te abyssum, et operiet te aqua multa,
20. et descendere faciam te ad eos qui descendunt in foveam, ad populum sempiternum, et collocabo te in profundis terræ quasi desertum æternum cum his qui descendunt in foveam, ut non habiteris, neque resurgas super terram vitæ :
21. perditionem dabo te, et non eris ultra in sempiternum, dicit Dominus Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·
2. Καὶ σὺ, υἱὲ ἀνθρώπου, λάβε ἐπὶ Σὸρ θρῆνον,
3. καὶ ἐρεῖς τῇ Σὸρ τῇ κατοικούσῃ ἐπὶ τῆς εἰσόδου τῆς θαλάσσης, τῷ ἐμπορίῳ τῶν λαῶν ἀπὸ νήσων πολλῶν· Τάδε λέγει Κύριος τῇ Σόρ· Σὺ εἶπας· Ἐγὼ περιέθηκα ἐμαυτῇ κάλλος μου,
4. ἐν καρδίᾳ θαλάσσης τῷ Βεελεὶμ υἱοί σου περιέθηκάν σοι κάλλος·
5. κέδρος ἐκ Σενεὶρ ᾠκοδομήθη σοι, ταινίαι σανίδων κυπαρίσσου ἐκ τοῦ Λιβάνου ἐλήφθησαν, τοῦ ποιῆσαί σοι ἱστοὺς ἐλατίνους,
6. ἐκ τῆς Βασανίτιδος ἐποίησαν τὰς κώπας σου, τὰ ἱερά σου ἐποίησαν ἐξ ἐλέφαντος, οἴκους ἀλσώδεις ἀπὸ νήσων τῶν Χετιείμ.
7. Βύσσος μετὰ ποικιλίας ἐξ Αἰγύπτου ἐγένετό σοι στρωμνὴ, τοῦ περιθεῖναί σοι δόξαν, καὶ περιβαλεῖν σε ὑάκινθον καὶ πορφύραν ἐκ τῶν νήσων Ἐλεισαὶ, καὶ ἐγένετο περιβόλαιά σου.
8. Καὶ οἱ ἄρχοντές σου οἱ κατοικοῦντες Σιδῶνα καὶ Ἀράδιοι ἐγένοντο κωπηλάται σου. Οἱ σοφοί σου, Σὸρ, οἳ ἦσαν ἐν σοὶ, οὗτοι κυβερνῆταί σου.
9. Οἱ πρεσβύτεροι βιβλίων, καὶ οἱ σοφοὶ αὐτῶν οἳ ἦσαν ἐν σοὶ, οὗτοι ἐνίσχυον τὴν βουλήν σου. Καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης καὶ οἱ κωπηλάται αὐτῶν ἐγένοντό σοι ἐπὶ δυσμὰς δυσμῶν.
10. Πέρσαι καὶ Λυδοὶ καὶ Λίβυες ἦσαν ἐν τῇ δυνάμει σου, ἄνδρες πολεμισταί σου πέλτας καὶ περικεφαλαίας ἐκρέμασαν ἐν σοὶ, οὗτοι ἔδωκαν τὴν δόξαν σου.
11. Υἱοὶ Ἀραδίων καὶ ἡ δύναμίς σου ἐπὶ τῶν τειχέων σου· φύλακες ἐν τοῖς πύργοις σου ἦσαν, τὰς φαρέτρας αὐτῶν ἐκρέμασαν ἐπὶ τῶν ὅρμων σου κύκλῳ, οὗτοι ἐτελείωσάν σου τὸ κάλλος.
12. Καρχηδόνιοι ἔμποροί σου ἀπὸ πλήθους πάσης ἰσχύος σου, ἀργύριον καὶ χρυσίον καὶ σίδηρον καὶ κασσίτερον καὶ μόλιβον ἔδωκαν τὴν ἀγοράν σου.
13. Ἡ Ἑλλὰς καὶ ἡ σύμπασα καὶ τὰ παρατείνοντα, οὗτοι ἐνεπορεύοντό σοι ἐν ψυχαῖς ἀνθρώπων, καὶ σκεύη χαλκᾶ ἔδωκαν τὴν ἐμπορίαν σου,
14. ἐξ οἴκου Θογαρμὰ ἵπποι καὶ ἱππεῖς ἔδωκαν τὴν ἀγοράν σου.
15. Υἱοὶ Ῥοδίων ἔμποροί σου, ἀπὸ νήσων ἐπλήθυναν τὴν ἐμπορίαν σου ὀδόντας ἐλεφαντίνους, καὶ τοῖς εἰσαγομένοις ἀντεδίδους τοὺς μισθούς σου,

CAPUT XXVII.

1. Et factum est verbum Domini ad me, dicens :
2. Et tu, fili hominis, assume super Sor lamentum,
3. et dices Sor habitanti super introitum maris, emporio populorum ab insulis multis : Hæc dicit Dominus ad Sor : Tu dixisti : Ego circumdedi mihi decorem meum,
4. in corde maris ipsi Beelim filii tui circumdederunt tibi decorem.
5. Cedrus de Senir ædificata est tibi, tæniæ tabularum cypressi de Libano sumptæ sunt, ad faciendum tibi malos abiegnos,
6. de Basanitide fecerunt remos tuos, templa tua fecerunt ex ebore, domos sylvestres de insulis Chetiim.
7. Byssus cum varietate de Ægypto facta est tibi stratum, ut circumdaret tibi gloriam, et operiret te hyacintho et purpura de insulis Elisæ, et facta sunt opertoria tua.
8. Et principes tui qui habitabant in Sidone et Aradii fuerunt remiges tui. Sapientes tui, Sor, qui erant in te, isti gubernatores tui.
9. Seniores bibliorum, et sapientes eorum qui erant in te, isti confortabant consilium tuum. Et omnes naves maris et remiges earum facti sunt tibi in occidentem occidentis.
10. Persæ et Lydi et Libyes erant in virtute tua, viri bellatores tui peltas et galeas suspenderunt in te, ipsi dederunt gloriam tuam.
11. Filii Aradiorum et virtus tua super muros tuos : custodes in turribus tuis erant, pharetras suas suspenderunt super propugnacula tua per gyrum, ipsi perfecerunt decorem tuum.
12. Carthaginienses negotiatores tui a multitudine universæ fortitudinis tuæ, argentum et aurum et ferrum et stannum et plumbum dederunt forum tuum.
13. Græcia et universa et adjacentia, hi negotiabantur tibi in animabus hominum, et vasa ænea dederunt mercatum tuum,
14. de domo Thogarma equi et equites dederunt forum tuum.
15. Filii Rhodiorum negotiatores tui, ex insulis multiplicaverunt negotiationem tuam dentes elephantinos, et his qui introducebantur reddebas mercedes tuas,

16. ἀνθρώπους ἐμπορίαν σου ἀπὸ πλήθους τοῦ συμμίκτου σου, στακτὴν καὶ ποικίλματα ἐκ Θαρσὶς, καὶ Ῥαμὸθ, καὶ Χορχὸρ ἔδωκαν τὴν ἀγοράν σου.

17. Ἰούδας καὶ οἱ υἱοὶ τοῦ Ἰσραὴλ, οὗτοι ἔμποροί σου, ἐν πράσει σίτου καὶ μύρων καὶ κασίας, καὶ πρῶτον μέλι καὶ ἔλαιον καὶ ῥητίνην ἔδωκαν εἰς τὸν σύμμικτόν σου.

18. Δαμασκὸς ἔμποροί σου, ἐκ πλήθους πάσης δυνάμεώς σου· οἶνος ἐκ Χελβὼν, καὶ ἔρια ἐκ Μιλήτου, καὶ οἶνον εἰς τὴν ἀγοράν σου ἔδωκαν.

19. Ἐξ Ἀσὴλ σίδηρος εἰργασμένος, καὶ τροχιὰς ἐν τῷ συμμίκτῳ σου ἐστί.

20. Δαιδὰν ἔμποροί σου, μετὰ κτηνῶν ἐκλεκτῶν εἰς ἅρματα.

21. Ἡ Ἀραβία καὶ πάντες οἱ ἄρχοντες Κηδὰρ, οὗτοι ἔμποροί σου διὰ χειρός σου, καμήλους καὶ ἀμνοὺς καὶ κριοὺς ἐν οἷς ἐμπορεύονταί σε.

22. Ἔμποροι Σαββὰ καὶ Ῥαμμὰ, οὗτοι ἔμποροί σου, μετὰ πρώτων ἡδυσμάτων καὶ λίθων χρηστῶν, καὶ χρυσὸν ἔδωκαν τὴν ἀγοράν σου.

23. Χαῤῥὰ καὶ Χαναὰ, οὗτοι ἔμποροί σου. Ἀσσοὺρ καὶ Χαρμὰν ἔμποροί σου,

24. φέροντες ἐμπορίαν ὑάκινθον, καὶ θησαυροὺς ἐκλεκτοὺς δεδεμένους σχοινίοις, καὶ κυπαρίσσινα

25. πλοῖα. Ἔμποροί σου ἐν τῷ πλήθει ἐν τῷ συμμίκτῳ σου, καὶ ἐνεπλήσθης καὶ ἐβαρύνθης σφόδρα ἐν καρδίᾳ θαλάσσης.

26. Ἐν ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάται σου, τὸ πνεῦμα τοῦ νότου συνέτριψέ σε ἐν καρδίᾳ θαλάσσης.

27. Ἦσαν δυνάμεις σου, καὶ ὁ μισθός σου, καὶ τῶν συμμίκτων σου, καὶ οἱ κωπηλάται σου, καὶ οἱ κυβερνῆταί σου, καὶ οἱ σύμβουλοί σου, καὶ οἱ σύμμικτοί σου ἐκ τῶν συμμίκτων σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου οἱ ἐν σοί. Καὶ πᾶσα συναγωγή σου ἐν μέσῳ σου πεσοῦνται ἐν καρδίᾳ θαλάσσης, ἐν τῇ ἡμέρᾳ τῆς πτώσεώς σου.

28. Πρὸς τὴν κραυγὴν τῆς φωνῆς σου οἱ κυβερνῆταί σου φόβῳ φοβηθήσονται,

29. καὶ καταβήσονται ἀπὸ τῶν πλοίων πάντες οἱ κωπηλάται καὶ οἱ ἐπιβάται, καὶ οἱ πρωρεῖς τῆς θαλάσσης ἐπὶ τὴν γῆν στήσονται,

30. καὶ ἀλαλάξουσιν ἐπὶ σὲ τῇ φωνῇ αὐτῶν, καὶ κεκράξονται πικρὸν, καὶ ἐπιθήσουσι γῆν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ σποδὸν στρώσονται. (*)

32. Καὶ λήψονται οἱ υἱοὶ αὐτῶν ἐπὶ σὲ θρῆνον, θρήνημα Σόρ.

33. Πόσον τινὰ εὗρες μισθὸν ἀπὸ τῆς θαλάσσης; Ἐνέπλησας ἔθνη ἀπὸ τοῦ πλήθους σου, καὶ ἀπὸ τοῦ συμμίκτου σου ἐπλούτησας πάντας βασιλεῖς τῆς γῆς.

34. Νῦν συνετρίβης ἐν θαλάσσῃ, ἐν βάθει ὕδατος ὁ σύμμικτός σου, καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου.

35. Ἔπεσον πάντες οἱ κωπηλάται σου, πάντες οἱ

16. homines negotiationem tuam a multitudine commisti tui, stacten et varietates ex Tharsis, et Rhamoth, et Chorchor dederunt forum tuum.

17. Judas et filii Israel, isti negotiatores tui, in venditione frumenti et unguentorum et casiæ, et primum mel et oleum et resinam dederunt in commistum tuum.

18. Damascus negotiatores tui, ex multitudine omnis fortitudinis tuæ: vinum ex Chelbon, et lanas de Mileto, et vinum in forum tuum dederunt.

19. Ex Asel ferrum factum opere, et rota in commisto tuo est.

20. Dædan negotiatores tui, cum jumentis electis ad currus.

21. Arabia et universi principes Cedar, ipsi negotiatores tui per manum tuam, camelos et agnos et arietes in quibus negotiantur tibi.

22. Negotiatores Sabba et Ramma, ipsi negotiatores tui, cum primis suavitatibus et lapidibus optimis, et aurum dederunt forum tuum.

23. Charra et Chanaa, isti negotiatores tui. Assur et Charman negotiatores tui,

24. ferentes negotiationem hyacinthum, et thesauros electos funibus colligatos, et cyparissina

25. naves. Negotiatores tui in multitudine in commisto tuo, et repleta es et aggravata es nimis in corde maris.

26. In aqua multa adduxerunt te remiges tui, spiritus austri contrivit te in corde maris.

27. Fuerunt virtutes tuæ, et merces tua, et commistorum tuorum, et remiges tui, et gubernatores tui, et consiliarii tui, et commisti tui ex commistis tuis, et omnes viri bellatores tui qui in te. Et omnis cœtus tuus in medio tui cadent in corde maris, in die ruinæ tuæ.

28. Ad clamorem vocis tuæ gubernatores tui timore timebunt,

29. et descendent de navibus omnes remiges et epibatæ, et proretæ maris in terra stabunt,

30. et vociferabuntur super te voce sua, et clamabunt amare, et imponent terram super caput suum, et cinerem sternent sibi.

32. Et assument filii eorum super te lamentum, lamentationem Sor.

33. Quantam invenisti mercedem de mari? Implesti gentes de multitudine tua, et a commisto tuo ditasti omnes reges terræ.

34. Nunc contrita es in mari, in profundo aquæ commistus tuus, et omnis cœtus tuus in medio tui.

35. Ceciderunt omnes remiges tui, universi habitatores

(*) 31. Καὶ φαλακρώσουσιν ἐπὶ σὲ φαλάκρωμα, καὶ περιζῶνται (*leg.* περιζώσονται) σάκκον, καὶ κλαύσονται περὶ σοῦ ἐν πικρασμῷ ψυχῆς, καὶ κοπετὸν πικρὸν ἐκστήσονται.

32. Καὶ λήψονται οἱ υἱοὶ αὐτῶν ἐπὶ σὲ θρῆνον, καὶ θρήνημα ἐπὶ σοί. Τίς ὥσπερ Τύρος κατασιγηθεῖσα ἐν μέσῳ θαλάσσης; (*Alex.*)

31. Et radent super te calvitium, et circumcingentur sacco, et plorabunt te in amaritudine animæ, et planctum amarum plangent.

32. Et sument filii eorum super te lamentum, et lamentationem super te. Quæ ut Tyrus quæ obmutuit in medio maris?

κατοικοῦντες τὰς νήσους ἐστύγνασαν ἐπὶ σὲ, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐξέστησαν, καὶ ἐδάκρυσε τὸ πρόσωπον αὐτῶν.

36. Ἔμποροι ἀπὸ ἐθνῶν ἐσύρισάν σε, ἀπώλεια ἐγένου, καὶ οὐκέτι ἔσῃ εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰπὸν τῷ ἄρχοντι Τύρου· Τάδε λέγει Κύριος· Ἀνθ' οὗ ὑψώθη σου ἡ καρδία, καὶ εἶπας· Θεός εἰμι ἐγὼ, κατοικίαν Θεοῦ κατῴκηκα ἐν καρδίᾳ θαλάσσης, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ Θεὸς, καὶ ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν Θεοῦ,

3. μὴ σοφώτερος εἶ σὺ τοῦ Δανιήλ; Ἢ σοφοὶ οὐκ ἐπαίδευσάν σε τῇ ἐπιστήμῃ αὐτῶν;

4. Μὴ ἐν τῇ ἐπιστήμῃ σου ἢ τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν, καὶ χρυσίον καὶ ἀργύριον ἐν τοῖς θησαυροῖς σου;

5. Ἐν τῇ πολλῇ ἐπιστήμῃ σου καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου, ὑψώθη ἡ καρδία σου ἐν τῇ δυνάμει σου.

6. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐπειδὴ δέδωκας τὴν καρδίαν σου ὡς καρδίαν Θεοῦ,

7. ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσουσι τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης σου, καὶ στρώσουσι τὸ κάλλος σου εἰς ἀπώλειαν,

8. καὶ καταβιβάσουσί σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης.

9. Μὴ λέγων ἐρεῖς· Θεός εἰμι ἐγὼ, ἐνώπιον τῶν ἀναιρούντων σε; Σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ Θεός.

10. Ἐν πλήθει ἀπεριτμήτων ἀπολῇ ἐν χερσὶν ἀλλοτρίων, ὅτι ἐγὼ ἐλάλησα, λέγει Κύριος.

11. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων· Υἱὲ ἀνθρώπου, λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα Τύρου,

12. καὶ εἰπὸν αὐτῷ· Τάδε λέγει Κύριος Κύριος· Σὺ ἀποσφράγισμα ὁμοιώσεως, καὶ στέφανος κάλλους

13. ἐν τῇ τρυφῇ τοῦ παραδείσου τοῦ Θεοῦ ἐγενήθης. Πάντα λίθον χρηστὸν ἐνδέδεσαι, σάρδιον καὶ τοπάζιον, καὶ σμάραγδον καὶ ἄνθρακα καὶ σάπφειρον καὶ ἴασπιν, καὶ ἀργύριον καὶ χρυσίον, καὶ λιγύριον καὶ ἀχάτην καὶ ἀμέθυστον καὶ χρυσόλιθον καὶ βηρύλλιον καὶ ὀνύχιον, καὶ χρυσίου ἐνέπλησας τοὺς θησαυρούς σου καὶ τὰς ἀποθήκας σου ἐν σοί.

14. Ἀφ' ἧς ἡμέρας ἐκτίσθης σὺ μετὰ τοῦ Χερουβ, ἔθηκά σε ἐν ὄρει ἁγίῳ Θεοῦ, ἐγενήθης ἐν μέσῳ λίθων πυρίνων,

15. ἐγενήθης σὺ ἄμωμος ἐν ταῖς ἡμέραις σου, ἀφ' ἧς ἡμέρας σὺ ἐκτίσθης ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί.

16. Ἀπὸ πλήθους τῆς ἐμπορίας σου ἔπλησας τὰ ταμεῖα σου ἀνομίας, καὶ ἥμαρτες καὶ ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ Θεοῦ· καὶ ἤγαγέ σε τὸ Χερουβ ἐκ μέσου λίθων πυρίνων.

17. Ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ κάλλους σου. Διὰ πλῆθος ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν ἔῤῥιψά σε, ἐναντίον βασιλέων ἔδωκά σε παραδειγματισθῆναι

18. Διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου καὶ τῶν ἀδικιῶν τῆς ἐμπορίας σου ἐβεβήλωσα τὰ ἱερά σου, καὶ

insularum contristati sunt super te, et reges eorum stupore stupuerunt, et flevit facies eorum.

36. Negotiatores de gentibus sibilaverunt te, perditio facta es, et non eris ultra in sæculum.

CAPUT XXVIII.

1. Et factus est sermo Domini ad me, dicens :

2. Et tu, fili hominis, dic principi Tyri : Hæc dicit Dominus : Pro eo quod exaltatum est cor tuum, et dixisti : Deus ego sum, habitationem Dei habitavi in corde maris, tu autem es homo, et non Deus, et dedisti cor tuum quasi cor Dei,

3. numquid sapientior es tu Daniele? Aut sapientes non erudierunt te disciplina sua?

4. Numquid in eruditione tua aut prudentia tua fecisti tibi fortitudinem, et aurum et argentum in thesauris tuis?

5. In multa eruditione tua et negotiatione tua multiplicasti fortitudinem tuam, elatum est cor tuum in fortitudine tua.

6. Propterea hæc dicit Dominus : Quia dedisti cor tuum quasi cor Dei,

7. Pro hoc ecce ego adduco super te alienos pestilentes de gentibus, et evaginabunt gladios tuos super te et super pulchritudinem doctrinæ tuæ, et sternent pulchritudinem tuam in perditionem,

8. et descendere facient te, et morieris morte vulneratorum in corde maris.

9. Numquid loquens dices : Deus ego sum, in conspectu interficientium te. Tu autem es homo, et non Deus.

10. In multitudine incircumcisorum morieris in manibus alienorum, quia ego locutus sum, dicit Dominus.

11. Et factus est sermo Domini ad me, dicens : Fili hominis, sume planctum super principem Tyri,

12. et dic ei : Hæc dicit Dominus Dominus : Tu signaculum similitudinis, et corona decoris

13. in deliciis paradisi Dei fuisti. Omni lapide bono circumdatus es, sardio et topazio, et smaragdo et carbunculo et sapphiro et jaspide et argento et auro, et ligurio et achate et amethysto et chrysolitho et beryllo et onychino, et auro replesti thesauros tuos et horrea tua in te.

14. A die qua conditus es tu cum Cherub, posui te in monte sancto Dei, factus es in medio lapidum ignitorum,

15. fuisti tu immaculatus in diebus tuis, a die qua creatus es donec inventæ sunt iniquitates in te.

16. A multitudine negotiationis tuæ replesti cellaria tua iniquitate, et peccasti et vulneratus es a monte Dei : et adduxit te Cherub de medio lapidum ignitorum.

17. Elatum est cor tuum in decore tuo, corrupta est disciplina tua cum decore tuo. Propter multitudinem peccatorum tuorum in terram projeci te, in conspectu regum dedi te ut dehonestareris.

18. Propter multitudinem peccatorum tuorum et iniquitatum negotiationis tuæ contaminavi sancta tua, et educam

ἐξάξω πῦρ ἐκ μέσου σου, τοῦτο καταφάγεταί σε· καὶ δώσω σε σποδὸν ἐπὶ τῆς γῆς σου ἐναντίον πάντων τῶν ὁρώντων σε.

19. Καὶ πάντες οἱ ἐπιστάμενοί σε ἐν τοῖς ἔθνεσι στενάξουσιν ἐπὶ σέ. Ἀπώλεια ἐγένου, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα.

20. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

21. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Σιδῶνα, καὶ προφήτευσον ἐπ' αὐτὴν,

22. καὶ εἰπόν· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, Σιδὼν, καὶ ἐνδοξασθήσομαι ἐν σοὶ, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα, καὶ ἁγιασθήσομαι ἐν σοί.

23. Αἷμα καὶ θάνατος ἐν ταῖς πλατείαις σου, καὶ πεσοῦνται τετραυματισμένοι μαχαίραις ἐν σοὶ περικύκλῳ σου, καὶ γνώσονται διότι ἐγώ εἰμι Κύριος.

24. Καὶ οὐκ ἔσονται οὐκέτι ἐν τῷ οἴκῳ τοῦ Ἰσραὴλ σκόλωψ πικρίας καὶ ἄκανθα ὀδύνης ἀπὸ τῶν περικύκλῳ αὐτῶν τῶν ἀτιμασάντων αὐτοὺς, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

25. Τάδε λέγει Κύριος Κύριος· Καὶ συνάξω τὸν Ἰσραὴλ ἐκ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς, καὶ ἐνώπιον τῶν λαῶν καὶ τῶν ἐθνῶν· καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἣν δέδωκα τῷ δούλῳ μου Ἰακὼβ,

26. καὶ κατοικήσουσιν ἐπ' αὐτῆς ἐν ἐλπίδι, καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ κατοικήσουσιν ἐν ἐλπίδι, ὅταν ποιήσω κρῖμα ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐτοὺς ἐν τοῖς κύκλῳ αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν καὶ ὁ Θεὸς τῶν πατέρων αὐτῶν.

ignem de medio tui, hic devorabit te : et dabo te cinerem super terram tuam in conspectu omnium videntium te.

19. Et omnes qui noverunt te in gentibus gement super te. Perditio facta es, et non eris ultra in sæculum.

20. Et factus est sermo Domini ad me, dicens :

21. Fili hominis, obfirma faciem tuam super Sidonem, et propheta super eam,

22. et dic : Hæc dicit Dominus : Ecce ego ad te, Sidon, et glorificabor in te, et scies quia ego sum Dominus, cum fecero in te judicia, et sanctificabor in te.

23. Sanguis et mors in plateis tuis, et cadent vulnerati gladiis in te per circuitum tuum, et scient quia ego Dominus.

24. Et non erunt ultra in domo Israel offendiculum amaritudinis et spina doloris ab iis qui in circuitu eorum qui contumeliam fecerint eis, et scient quia ego sum Dominus.

25. Hæc dicit Dominus Dominus : Et congregabo Israel de gentibus ubi dispersi sunt illic, et sanctificabor in eis, et coram populis et gentibus : et habitabunt in terra sua, quam dedi servo meo Jacob,

26. et habitabunt in ea in spe, et ædificabunt domos, et plantabunt vineas, et habitabunt in spe, cum fecero judicium in omnibus qui fecerint eis contumeliam qui in circuitu eorum, et scient quia ego sum Dominus Deus eorum et Deus patrum eorum.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

1. Ἐν τῷ ἔτει τῷ δωδεκάτῳ, ἐν τῷ δεκάτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ προφήτευσον ἐπ' αὐτὸν καὶ ἐπ' Αἴγυπτον ὅλην,

3. καὶ εἰπόν· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ Φαραὼ, τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν αὐτοῦ, τὸν λέγοντα· Ἐμοί εἰσιν οἱ ποταμοὶ, καὶ ἐγὼ ἐποίησα αὐτούς.

4. Καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου, καὶ προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ σου πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου,

5. καὶ καταβαλῶ σε ἐν τάχει καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου. Ἐπὶ πρόσωπον τοῦ πεδίου πέσῃ, καὶ οὐ μὴ συναχθῇς, καὶ οὐ μὴ περισταλῇς· τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα.

6. Καὶ γνώσονται πάντες οἱ κατοικοῦντες Αἴγυπτον ὅτι ἐγώ εἰμι Κύριος. Ἀνθ' ὧν ἐγενήθης ῥάβδος καλαμίνη τῷ οἴκῳ Ἰσραὴλ,

7. ὅτε ἐπελάβετό σου τῇ χειρὶ αὐτῶν, ἐθλάσθης, καὶ ὅτε ἐπεκρότησεν ἐπ' αὐτοὺς πᾶσα χεὶρ, καὶ ὅτε ἐπανεπαύσαντο ἐπὶ σὲ, συνετρίβης, καὶ συνέκλασας αὐτῶν πᾶσαν ὀσφύν.

CAPUT XXIX

1. In anno duodecimo, in decimo mense, una mensis, factum est verbum Domini ad me, dicens :

2. Fili hominis, obfirma faciem tuam super Pharaonem regem Ægypti, et propheta super eum et super Ægyptum universam,

3. et dic : Hæc dicit Dominus : Ecce ego super Pharaonem, draconem magnum sedentem in medio fluminum suorum, dicentem : Mihi sunt flumina, et ego feci illa.

4. Et ego dabo laqueos in maxillas tuas, et agglutinabo pisces fluminis tui ad pennas tuas, et educam te de medio fluminis tui,

5. et deponam te velociter et omnes pisces fluminis tui. Super faciem campi cades, neque congregaberis, neque colligeris : bestiis terræ et volatilibus cœli dedi te in devorationem.

6. Et scient omnes habitatores Ægypti quia ego sum Dominus. Pro eo quod factus es virga arundinea domui Israel,

7. quando apprehendit te manu sua, confractus es, et quando plausit super eos omnis manus, et quando requieverunt super te, contritus es, et confregisti omnes renes eorum.

8. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ῥομφαίαν, καὶ ἀπολῶ ἀπὸ σοῦ ἀνθρώπους καὶ κτήνη,

9. καὶ ἔσται ἡ γῆ Αἰγύπτου ἀπώλεια καὶ ἔρημος· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. Ἀντὶ τοῦ λέγειν σε· Οἱ ποταμοὶ ἐμοί εἰσι, καὶ ἐγὼ ἐποίησα αὐτούς·

10. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ, καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου, καὶ δώσω γῆν Αἰγύπτου εἰς ἔρημον καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ Μαγδωλοῦ καὶ Συήνης καὶ ἕως ὁρίων Αἰθιόπων.

11. Οὐ μὴ διέλθῃ ἐν αὐτῇ ποὺς ἀνθρώπου, καὶ ποὺς κτήνους οὐ μὴ διέλθῃ αὐτὴν, καὶ οὐ κατοικηθήσεται τεσσαράκοντα ἔτη.

12. Καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμένης, καὶ αἱ πόλεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται τεσσαράκοντα ἔτη. Καὶ διασπερῶ Αἴγυπτον ἐν τοῖς ἔθνεσι, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας.

13. Τάδε λέγει Κύριος· Μετὰ τεσσαράκοντα ἔτη συνάξω Αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ,

14. καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν τῶν Αἰγυπτίων, καὶ κατοικίσω αὐτοὺς ἐν γῇ Φαθωρῆς, ἐν τῇ γῇ ὅθεν ἐλήφθησαν, καὶ ἔσται ἀρχὴ ταπεινὴ

15. παρὰ πάσας τὰς ἀρχάς. Οὐ μὴ ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω, τοῦ μὴ εἶναι αὐτοὺς πλείονας ἐν τοῖς ἔθνεσι.

16. Καὶ οὐκέτι ἔσονται τῷ οἴκῳ Ἰσραὴλ εἰς ἐλπίδα ἀναμιμνήσκουσαν ἀνομίαν, ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς ὀπίσω αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

17. Καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει, μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

18. Υἱὲ ἀνθρώπου, Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο τὴν δύναμιν αὐτοῦ δουλείᾳ μεγάλῃ ἐπὶ Τύρου, πᾶσα κεφαλὴ φαλακρὰ, καὶ πᾶς ὦμος μαδῶν· καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ ἐπὶ Τύρον, καὶ τῆς δουλείας ἧς ἐδούλευσαν ἐπ' αὐτήν.

19. Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ δίδωμι τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος γῆν Αἰγύπτου, καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. Καὶ ἔσται μισθὸς τῇ δυνάμει αὐτοῦ,

20. ἀντὶ τῆς λειτουργείας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ Τύρον, δέδωκα αὐτῷ γῆν Αἰγύπτου· Τάδε λέγει Κύριος Κύριος·

21. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ἰσραὴλ, καὶ σοὶ δώσω στόμα ἀνεῳγμένον ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, προφήτευσον, καὶ εἰπόν· Τάδε λέγει Κύριος· Ὢ ὢ ἡμέρα,

3. ὅτι ἐγγὺς ἡμέρα τοῦ Κυρίου, ἡμέρα νεφέλης, πέρας ἐθνῶν ἔσται,

4. καὶ ἥξει μάχαιρα ἐπ' Αἰγυπτίους, καὶ ἔσται ταραχὴ ἐν γῇ Αἰθιοπίᾳ, καὶ συμπεσοῦνται τετραυματισμένοι ἐν Αἰγύπτῳ καὶ συμπεσεῖται τὰ θεμέλια αὐτῆς.

8. Propterea hæc dicit Dominus : Ecce ego induco super te gladium, et perdam de te homines et jumenta,

9. et erit terra Ægypti perditio et solitudo : et scient quia ego sum Dominus. Eo quod dicis tu : Flumina mea sunt, et ego feci illa :

10. idcirco ecce ego super te, et super omnia flumina tua, et dabo terram Ægypti in solitudinem et gladium et perditionem a Magdolo et Syene et usque ad terminos Æthiopum.

11. Non transibit in ea pes hominis, et pes jumenti non pertransibit eam, et non habitabitur quadraginta annis.

12. Et dabo terram ejus perditionem in medio terræ desertæ, et civitates ejus in medio civitatum desertarum erunt quadraginta annis. Et disseminabo Ægyptum in gentibus, et ventilabo eos in terras.

13. Hæc dicit Dominus : Post quadraginta annos congregabo Ægyptios de gentibus in quibus dispersi erant illuc,

14. et reducam captivitatem Ægyptiorum, et collocabo eos in terra Phathores, in terra de qua assumpti sunt, et erit principatus humilis

15. inter omnes principatus. Non elevabitur ultra super nationes : et paucissimos eos faciam, ne plures sint ipsi inter gentes.

16. Et non erunt ultra domui Israel in spem reducentem in memoriam iniquitatis, ut sequantur ipsi post illos, et scient quia ego sum Dominus.

17. Et factum est in septimo et vigesimo anno, una mensis primi, factum est verbum Domini ad me, dicens :

18. Fili hominis, Nabuchodonosor rex Babylonis servire fecit exercitum suum servitute magna super Tyrum, omne caput decalvatum, et omnis humerus depilatus : et merces non fuit ei et exercitui ejus super Tyrum, et servitutis qua servierunt adversum eam.

19. Hæc dicit Dominus Dominus : Ecce ego do Nabuchodonosor regi Babylonis terram Ægypti, et deprædabitur deprædationem ejus et spoliabit spolia ejus. Et erit merces virtuti ejus,

20. pro ministerio ejus quo servivit super Tyrum dedi ei terram Ægypti. Hæc dicit Dominus Dominus

21. In die illa exorietur cornu omni domui Israel, et tibi dabo os apertum in medio eorum, et scient quia ego sum Dominus.

CAPUT XXX.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, vaticinare, et dic : Hæc dicit Dominus : O o dies!

3. quoniam juxta est dies Domini, dies nubis, finis gentium erit,

4. et veniet gladius super Ægyptios, et erit conturbatio in terra Æthiopia, et cadent vulnerati in Ægypto et concident fundamenta ejus.

5. Πέρσαι καὶ Κρῆτες καὶ Λυδοὶ καὶ Λίβυες, καὶ πάντες οἱ ἐπίμικτοι, καὶ τῶν υἱῶν τῆς διαθήκης μου, μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ.

6. Καὶ πεσοῦνται τὰ ἀντιστηρίγματα Αἰγύπτου, καὶ καταβήσεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς ἀπὸ Μαγδωλοῦ ἕως Συήνης, μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ, λέγει Κύριος.

7. Καὶ ἐρημωθήσεται ἐν μέσῳ χωρῶν ἠρημωμένων, καὶ αἱ πόλεις αὐτῶν ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται.

8. Καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, ὅταν δῶ πῦρ ἐπ' Αἴγυπτον καὶ συντριβῶσι πάντες οἱ βοηθοῦντες αὐτῇ.

9. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσονται ἄγγελοι σπεύδοντες ἀφανίσαι τὴν Αἰθιοπίαν, καὶ ἔσται ταραχὴ ἐν αὐτοῖς ἐν τῇ ἡμέρᾳ Αἰγύπτου, ὅτι ἰδοὺ ἥκει.

10. Τάδε λέγει Κύριος Κύριος. Καὶ ἀπολῶ πλῆθος Αἰγυπτίων διὰ χειρὸς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος,

11. αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, λοιμοὶ ἀπὸ ἐθνῶν ἀπεσταλμένοι ἀπολέσαι γῆν. Καὶ ἐκκενώσουσι πάντες τὰς μαχαίρας αὐτῶν ἐπ' Αἴγυπτον, καὶ πλησθήσεται ἡ γῆ τραυματιῶν.

12. Καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους, (*) καὶ ἀπολῶ τὴν γῆν καὶ το πλήρωμα αὐτῆς ἐν χερσὶν ἀλλοτρίων· ἐγὼ Κύριος λελάληκα.

(**) 13. Ὅτι τάδε λέγει Κύριος Κύριος· Καὶ ἀπολῶ μεγιστᾶνας ἀπὸ Μέμφεως, καὶ ἄρχοντας Μέμφεως ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ ἔσονται ἔτι.

14. Καὶ ἀπολῶ γῆν Φαθωρῆς, καὶ δώσω πῦρ ἐπὶ Τάνιν, καὶ ποιήσω ἐκδίκησιν ἐν Διοσπόλει·

15. καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπὶ Σαὶν τὴν ἰσχὺν Αἰγύπτου, καὶ ἀπολῶ τὸ πλῆθος Μέμφεως.

16. Καὶ δώσω πῦρ ἐπ' Αἴγυπτον, καὶ ταραχῇ ταραχθήσεται ἡ Συήνη, καὶ ἐν Διοσπόλει ἔσται ἔκρηγμα, καὶ διαχυθήσεται ὕδατα.

17. Νεανίσκοι Ἡλιουπόλεως καὶ Βουβάστου ἐν μαχαίρᾳ πεσοῦνται, καὶ αἱ γυναῖκες ἐν αἰχμαλωσίᾳ πορεύσονται,

18. καὶ ἐν Τάφναις συσκοτάσει ἡ ἡμέρα, ἐν τῷ συντρίψαι με ἐκεῖ τὰ σκῆπτρα Αἰγύπτου, καὶ ἀπολεῖται ἐκεῖ ἡ ὕβρις ἰσχύος αὐτῆς, καὶ ταύτην νεφέλη καλύψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀρθήσονται.

19. Καὶ ποιήσω κρῖμα ἐν Αἰγύπτῳ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

20. Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει, ἐν τῷ πρώτῳ μηνὶ, ἑβδόμῃ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

21. Υἱὲ ἀνθρώπου, τοὺς βραχίονας Φαραὼ βασιλέως Αἰγύπτου συνέτριψα, καὶ ἰδοὺ οὐ κατεδεήθη τοῦ δοθῆναι ἴασιν, τοῦ δοθῆναι ἐπ' αὐτὸν μάλαγμα, τοῦ δοθῆναι ἰσχὺν ἐπιλαβέσθαι μαχαίρας.

22. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ συντρίψω τοὺς βραχίονας αὐτοῦ τοὺς ἰσχυροὺς, καὶ τοὺς τεταμένους,

(*) 12.... Καὶ ἀποδώσομαι τὴν γῆν ἐν χειρὶ πονηρῶν... (*Al.*)

(**) 13. Ὅτι τάδε λέγει Ἀδωναΐ Κύριος· Καὶ ἀπολῶ βδελύγματα, καὶ καταπαύσω μεγιστᾶνας ἀπὸ Μέμφεως, καὶ ἄρχοντας Τάνεως ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ ἔσονται οὐκέτι· καὶ δώσω φόβον ἐν γῇ Αἰγύπτῳ. (*Alex.*)

5. Persæ et Cretenses et Lydi et Libyes, et omnes commisti, et de filiis testamenti mei, gladio cadent in ea.

6. Et cadent sustentacula Ægypti, et descendet coutumelia fortitudinis ejus a Magdolo usque ad Syenem, gladio cadent in ea, dicit Dominus.

7. Et desolabitur in medio regionum desolatarum, et civitates eorum in medio urbium desertarum erunt.

8. Et scient quoniam ego sum Dominus, quando dedero ignem super Ægyptum et contriti fuerint omnes qui auxiliantur ei.

9. In die illa egredientur nuntii festinantes disperdere Æthiopiam, et erit conturbatio in eis in die Ægypti, quia ecce venit.

10. Hæc dicit Dominus Dominus. Et disperdam multitudinem Ægyptiorum per manum Nabuchodonosor regis Babylonis,

11. ipsius et populi ejus, pestilentes qui de gentibus missi sunt ad perdendam terram. Et evaginabunt omnes gladios suos super Ægyptum, et replebitur terra vulneratorum.

12. Et dabo fluvios eorum desertos, et disperdam terram et plenitudinem ejus in manibus alienorum : ego Dominus locutus sum.

13. Quia hæc dicit Dominus Dominus : Et perdam optimates de Memphis, et principes Mempheos de terra Ægypti, et non erunt ultra.

14. Et disperdam terram Phathores, et dabo ignem super Tanin, et faciam ultionem in Diospoli :

15. et effundam furorem meum super Sain robur Ægypti, et disperdam multitudinem Mempheos.

16. Et dabo ignem super Ægyptum, et conturbatione conturbabitur Syene, et in Diospoli erit scissura, et diffundentur aquæ.

17. Juvenes Heliopoleos et Bubasti in gladio cadent, et mulieres in captivitatem abibunt,

18. et in Taphnis tenebrescet dies, quando contrivero ibi sceptra Ægypti, et peribit ibi contumelia fortitudinis ejus, et ipsam nubes operiet, et filiæ ejus captivæ auferentur.

19. Et faciam judicium in Ægypto, et scient quoniam ego sum Dominus.

20. Et factum est in undecimo anno, in primo mense, septima mensis, factum est verbum Domini ad me, dicens :

21. Fili hominis, brachia Pharaonis regis Ægypti contrivi, neque dreprecatus est ut daretur medela, ut daretur super eum malagma, ut daretur robur ad tenendum gladium.

22. Propterea hæc dicit Dominus Dominus : Ecce ego super Pharaonem regem Ægypti, et conteram brachia ejus

12.... Et tradam terram in manum pessimorum...

13. Quoniam hæc dicit Dominus Dominus : Et disperdam abominationes, et cessare faciam magnates de Memphis, et principes de terra Ægypti, et non erunt amplius : et dabo terrorem in terra Ægypti.

καὶ καταβαλῶ τὴν μάχαιραν αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ,

23. καὶ διασπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας,

24. καὶ κατισχύσω τοὺς βραχίονας βασιλέως Βαβυλῶνος, καὶ δώσω τὴν ῥομφαίαν μου εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ἐπάξει αὐτὴν ἐπ' Αἴγυπτον, καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς, καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς.

25. Καὶ ἐνισχύσω τοὺς βραχίονας βασιλέως Βαβυλῶνος, οἱ δὲ βραχίονες Φαραὼ πεσοῦνται. Καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ δοῦναι τὴν ῥομφαίαν μου εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν Αἰγύπτου·

26. καὶ διασπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας, καὶ γνώσονται πάντες ὅτι ἐγώ εἰμι Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

1. Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει, ἐν τῷ τρίτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, εἰπὸν πρὸς Φαραὼ, βασιλέα Αἰγύπτου, καὶ τῷ πλήθει αὐτοῦ· Τίνι ὡμοίωσας σεαυτὸν ἐν τῷ ὕψει σου;

3. Ἰδοὺ Ἀσσοὺρ κυπάρισσος ἐν τῷ Λιβάνῳ, καὶ καλὸς ταῖς παραφυάσι, καὶ ὑψηλὸς τῷ μεγέθει, εἰς μέσον νεφελῶν ἐγένετο ἡ ἀρχὴ αὐτοῦ·

4. ὕδωρ ἐξέθρεψεν αὐτὸν, ἡ ἄβυσσος ὕψωσεν αὐτὸν, τοὺς ποταμοὺς αὐτῆς ἤγαγε κύκλῳ τῶν φυτῶν αὐτοῦ, καὶ τὰ συστήματα αὐτῆς ἐξαπέστειλεν εἰς πάντα τὰ ξύλα τοῦ πεδίου.

5. Ἕνεκεν τούτου ὑψώθη τὸ μέγεθος αὐτοῦ παρὰ πάντα τὰ ξύλα τοῦ πεδίου, καὶ ἐπλατύνθησαν οἱ κλάδοι αὐτοῦ ἀφ' ὕδατος πολλοῦ.

6. Ἐν ταῖς παραφυάσιν αὐτοῦ ἐνόσσευσαν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὑποκάτω τῶν κλάδων αὐτοῦ ἐγεννῶσαν πάντα τὰ θηρία τοῦ πεδίου· ἐν τῇ σκιᾷ αὐτοῦ κατῴκησε πᾶν πλῆθος ἐθνῶν,

7. καὶ ἐγένετο καλὸς ἐν τῷ ὕψει αὐτοῦ διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ, ὅτι ἐγενήθησαν αἱ ῥίζαι αὐτοῦ εἰς ὕδωρ πολύ.

8. Καὶ κυπάρισσοι τοιαῦται ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ, καὶ αἱ πίτυες οὐχ ὅμοιαι ταῖς παραφυάσιν αὐτοῦ, καὶ ἐλάται οὐκ ἐγένοντο ὅμοιαι τοῖς κλάδοις αὐτοῦ. Πᾶν ξύλον ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ οὐχ ὡμοιώθη αὐτῷ ἐν τῷ κάλλει αὐτοῦ

9. διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ. Καὶ ἐζήλωσαν αὐτὸν τὰ ξύλα τοῦ παραδείσου τῆς τρυφῆς τοῦ Θεοῦ.

10. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐγένου μέγας τῷ μεγέθει, καὶ ἔδωκας τὴν ἀρχήν σου εἰς μέσον νεφελῶν, καὶ εἶδον ἐν τῷ ὑψωθῆναι αὐτὸν,

11. καὶ παρέδωκα αὐτὸν εἰς χεῖρας ἄρχοντος ἐθνῶν, καὶ ἐποίησε τὴν ἀπώλειαν αὐτοῦ.

12. Καὶ ἐξωλόθρευσαν αὐτὸν ἀλλότριοι λοιμοὶ ἀπὸ ἐθνῶν, καὶ κατέβαλον αὐτὸν ἐπὶ τῶν ὀρέων· ἐν πάσαις ταῖς φάραγξιν ἔπεσαν οἱ κλάδοι αὐτοῦ, καὶ συνετρίβη τὰ στελέχη αὐτοῦ ἐν παντὶ πεδίῳ τῆς γῆς, καὶ κατέβησαν ἀπὸ τῆς σκέπης αὐτῶν πάντες οἱ λαοὶ τῶν ἐθνῶν, καὶ ἠδάφισαν αὐτόν.

13. Ἐπὶ τὴν πτῶσιν αὐτοῦ ἀνεπαύσαντο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τὰ στελέχη αὐτοῦ ἐγίνοντο πάντα τὰ θηρία τοῦ ἀγροῦ,

fortia, et extenta, et dejiciam gladium ejus de manu ejus,

23. et disseminabo Ægyptum in gentes, et ventilabo eos in terras,

24. et confortabo brachia regis Babylonis, et dabo gladium meum in manu ejus, et inducet gladium super Ægyptum, et populabitur prædam ejus, et spoliabit spolia illius.

25. Et confortabo brachia regis Babylonis, brachia autem Pharaonis cadent. Et scient quia ego sum Dominus, cum dedero gladium meum in manus regis Babylonis, et extendet eum super terram Ægypti :

26. et disseminabo Ægyptum in gentes, et ventilabo eos in terras, et scient omnes quia ego sum Dominus.

CAPUT XXXI.

1. Et factum est in undecimo anno, in tertio mense, una mensis, factum est verbum Domini ad me, dicens :

2. Fili hominis, dic ad Pharaonem, regem Ægypti, et multitudini ejus : Cui assimilasti te in altitudine tua?

3. Ecce Assur cyparissus in Libano, et pulcher propaginibus, et excelsus magnitudine, in medio nubium factum est principium ejus :

4. aqua nutrivit eum, abyssus exaltavit eum, fluvios suos duxit per circuitum plantarum ejus, et congregationes suas emisit ad omnia ligna campi.

5. Propterea elevata est magnitudo ejus super omnia ligna campi, et dilatati sunt rami ejus ab aqua multa.

6. In propaginibus ejus nidificaverunt omnia volatilia cœli, et sub ramis ejus genuerunt omnes bestiæ campi : in umbra illius habitavit omnis multitudo gentium

7. et erat pulcher in altitudine sua propter multitudinem ramorum suorum, erant enim radices illius in aqua multa.

8. Et cyparissi tales in paradiso Dei, et pini non similes propaginibus ejus, et abietes non fuerunt similes ramis ejus. Omne lignum in paradiso Dei non est assimilatum ei in pulchritudine ejus

9. propter multitudinem ramorum ejus. Et æmulata sunt eum ligna paradisi deliciarum Dei.

10. Propterea hæc dicit Dominus : Pro eo quod factus es magnus magnitudine, et dedisti principium tuum in medio nubium, et vidi dum ipse exaltaretur,

11. et tradidi eum in manus principis gentium, et fecit perditionem ejus.

12. Et exterminaverunt eum alieni pestilentes de gentibus, et dejecerunt eum super montes : in cunctis convallibus corruerunt rami ejus, et contritæ sunt stirpes ejus in omni campo terræ, et descenderunt de tegmine eorum omnes populi gentium, et straverunt eum.

13. In ruina ejus requieverunt omnia volatilia cœli, et super truncos ejus fuerunt omnes bestiæ agri,

14. ὅπως μὴ ὑψωθῶσιν ἐν τῷ μεγέθει αὐτῶν πάντα τὰ ξύλα τὰ ἐν τῷ ὕδατι. Καὶ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν εἰς μέσον νεφελῶν, καὶ οὐχ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν πρὸς αὐτά πάντες οἱ πίνοντες ὕδωρ· πάντες ἐδόθησαν εἰς θάνατον, εἰς γῆς βάθος, ἐν μέσῳ υἱῶν ἀνθρώπων, πρὸς καταβαίνοντας εἰς βόθρον.

15. Τάδε λέγει Κύριος Κύριος· Ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος. Καὶ ἐπέστησα τοὺς ποταμοὺς αὐτῆς, καὶ ἐκώλυσα πλῆθος ὕδατος, καὶ ἐσκότασεν ἐπ' αὐτὸν ὁ Λίβανος, πάντα τὰ ξύλα τοῦ πεδίου ἐπ' αὐτῷ ἐξελύθησαν.

16. Ἀπὸ τῆς φωνῆς τῆς πτώσεως αὐτοῦ ἐσείσθησαν τὰ ἔθνη, ὅτε κατεβίβαζον αὐτὸν εἰς ᾅδου μετὰ τῶν καταβαινόντων εἰς λάκκον, καὶ παρεκάλουν αὐτὸν ἐν γῇ πάντα τὰ ξύλα τῆς τρυφῆς, καὶ τὰ ἐκλεκτὰ τοῦ Λιβάνου πάντα τὰ πίνοντα ὕδωρ.

17. Καὶ γὰρ αὐτοὶ κατέβησαν μετ' αὐτοῦ εἰς ᾅδου ἐν τοῖς τραυματίαις ἀπὸ μαχαίρας, καὶ τὸ σπέρμα αὐτοῦ οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ ἐν μέσῳ τῆς ζωῆς αὐτῶν ἀπώλοντο.

18. Τίνι ὡμοιώθης; κατάβηθι, καὶ καταβιβάσθητι μετὰ τῶν ξύλων τῆς τρυφῆς εἰς γῆς βάθος. Ἐν μέσῳ ἀπεριτμήτων κοιμηθήσῃ μετὰ τραυματιῶν μαχαίρας. Οὕτω Φαραὼ καὶ τὸ πλῆθος τῆς ἰσχύος αὐτοῦ, λέγει Κύριος Κύριος.

14. ut non exaltentur in magnitudine sua omnia ligna quæ in aqua. Et dederunt principium suum in medio nubium, nec steterunt in altitudine sua ad se omnes bibentes aquam: omnes dati sunt in mortem, in terræ profundum, in medio filiorum hominum, ad eos qui descendunt in foveam.

15. Hæc dicit Dominus Dominus: In die qua descendit ad infernum, luxit eum abyssus. Et cohibui flumina ejus, et prohibui multitudinem aquæ, et contenebratus est super eum Libanus, omnia ligna campi in eo defecerunt.

16. A sonitu ruinæ ejus commotæ sunt gentes, quando deducebant eum ad infernum cum descendentibus in lacum, et consolabantur eum in terra omnia ligna deliciarum, et electa Libani omnia quæ bibebant aquam.

17. Nam et ipsi descenderunt cum eo ad infernum in vulneratis a gladio, et semen ejus qui habitabant sub tegmine ejus in medio vitæ suæ perierunt.

18. Cui assimilatus es? descende, et deducere cum lignis deliciarum in terræ profundum. In medio incircumcisorum dormies cum his qui interfecti sunt gladio. Sic Pharao et multitudo fortitudinis ejus, dicit Dominus Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

1. Καὶ ἐγένετο ἐν τῷ δεκάτῳ ἔτει, ἐν τῷ δεκάτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, λάβε θρῆνον ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐρεῖς αὐτῷ· Λέοντι ἐθνῶν ὡμοιώθης σὺ, καὶ ὡς δράκων ὁ ἐν τῇ θαλάσσῃ· καὶ ἐκεράτιζες τοῖς ποταμοῖς σου, καὶ ἐτάρασσες ὕδωρ τοῖς ποσί σου, καὶ κατεπάτεις τοὺς ποταμούς σου.

3. Τάδε λέγει Κύριος· Καὶ περιβαλῶ ἐπὶ σὲ δίκτυα λαῶν πολλῶν, καὶ ἀνάξω σε ἐν τῷ ἀγκίστρῳ μου,

4. καὶ ἐκτενῶ σε ἐπὶ τὴν γῆν. Πεδία πλησθήσεται, καὶ ἐπικαθιῶ ἐπὶ σὲ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐμπλήσω πάντα τὰ θηρία πάσης τῆς γῆς.

5. Καὶ δώσω τὰς σάρκας σου ἐπὶ τὰ ὄρη, καὶ ἐμπλήσω ἀπὸ τοῦ αἵματός σου.

6. Καὶ ποτισθήσεται ἡ γῆ ἀπὸ τῶν προχωρημάτων σου ἀπὸ τοῦ πλήθους σου ἐπὶ τῶν ὀρέων. Φάραγγας ἐμπλήσω ἀπὸ σοῦ,

7. καὶ κατακαλύψω ἐν τῷ σβεσθῆναί σε οὐρανὸν, καὶ συσκοτάσω τὰ ἄστρα αὐτοῦ· ἥλιον ἐν νεφέλῃ καλύψω, καὶ σελήνη οὐ μὴ φάνῃ τὸ φῶς αὐτῆς.

8. Πάντα τὰ φαίνοντα φῶς ἐν τῷ οὐρανῷ συσκοτάσουσιν ἐπὶ σὲ, καὶ δώσω σκότος ἐπὶ τὴν γῆν, λέγει Κύριος Κύριος.

9. Καὶ παροργιῶ καρδίαν λαῶν πολλῶν, ἡνίκα ἂν ἄγω αἰχμαλωσίαν σου εἰς τὰ ἔθνη, εἰς γῆν ἣν οὐκ ἔγνως.

10. Καὶ στυγνάσουσιν ἐπὶ σὲ ἔθνη πολλὰ, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐκστήσονται, ἐν τῷ πετᾶσθαι τὴν ῥομφαίαν μου ἐπὶ πρόσωπα αὐτῶν, προσδεχόμενοι τὴν πτῶσιν αὐτῶν, ἀφ' ἡμέρας πτώσεώς σου.

11. Ὅτι τάδε λέγει Κύριος Κύριος· Ῥομφαία βασιλέως Βαβυλῶνος ἥξει σοι,

CAPUT XXXII.

1. Et factum est in duodecimo anno, in decimo mense, una mensis, factum est verbum Domini ad me, dicens:

2. Fili hominis, assume lamentum super Pharaonem regem Ægypti, et dices ei: Leoni gentium assimilatus es tu, et quasi draco qui in mari: et cornupetebas fluminibus tuis, et conturbabas aquam pedibus tuis, et conculcabas flumina tua.

3. Hæc dicit Dominus: Et circumjiciam super te retia populorum multorum, et extraham te in hamo meo,

4. et extendam te super terram. Campi replebuntur, et sedere faciam super te omnia volatilia cœli, et saturabo omnes bestias universæ terræ.

5. Et dabo carnes tuas super montes, et implebo de sanguine tuo.

6. Et irrigabitur terra de stercoribus tuis a multitudine tua super montes. Valles implebo ex te,

7. et operiam cum exstinctus fueris cœlum, et tenebrescere faciam stellas ejus: solem in nube operiam, et luna non ostendet lumen suum.

8. Omnia ostendentia lumen in cœlo contenebrescent in te, et dabo tenebras super terram, ait Dominus Dominus.

9. Et irritabo cor populorum multorum, cum adduxero captivitatem tuam in gentes, ad terram quam nescis.

10. Et contristabuntur super te gentes multæ, et reges earum stupore stupebunt, cum volare cœperit gladius meus super facies eorum, exspectantes ruinam suam, a die ruinæ tuæ.

11. Quia hæc dicit Dominus Dominus: Gladius regis Babylonis veniet tibi,

12. ἐν μαχαίραις γιγάντων, καὶ καταβαλῶ τὴν ἰσχύν σου, λοιμοὶ ἀπὸ ἐθνῶν πάντες, καὶ ἀπολοῦσι τὴν ὕβριν Αἰγύπτου, καὶ συντριβήσεται πᾶσα ἡ ἰσχὺς αὐτῆς.

13. Καὶ ἀπολῶ πάντα τὰ κτήνη αὐτῆς ἀφ' ὕδατος πολλοῦ, καὶ οὐ μὴ ταράξῃ αὐτὸ ποὺς ἀνθρώπου ἔτι, καὶ ἴχνος κτηνῶν οὐ μὴ καταπατήσῃ αὐτό.

14. Οὕτω τότε ἡσυχάσει τὰ ὕδατα αὐτῶν, καὶ οἱ ποταμοὶ αὐτῶν ὡς ἔλαιον πορεύσονται, λέγει Κύριος·

15. ὅταν δῶ Αἴγυπτον εἰς ἀπώλειαν, καὶ ἐρημωθῇ ἡ γῆ σὺν τῇ πληρώσει αὐτῆς, ὅταν διασπερῶ πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

16. Θρῆνός ἐστι, καὶ θρηνήσεις αὐτὸν, καὶ αἱ θυγατέρες τῶν ἐθνῶν θρηνήσουσιν αὐτὸν ἐπ' Αἴγυπτον, καὶ ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῆς θρηνήσουσιν αὐτὴν, λέγει Κύριος Κύριος.

17. Καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνὸς, πεντεκαιδεκάτῃ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

18. Υἱὲ ἀνθρώπου, θρήνησον ἐπὶ τὴν ἰσχὺν Αἰγύπτου, καὶ καταβιβάσουσιν αὐτῆς τὰς θυγατέρας τὰ ἔθνη νεκρὰς εἰς τὸ βάθος τῆς γῆς, πρὸς τοὺς καταβαίνοντας εἰς βόθρον. (*)

20. Ἐν μέσῳ μαχαίρας τραυματιῶν πεσοῦνται μετ' αὐτοῦ, καὶ κοιμηθήσεται πᾶσα ἡ ἰσχὺς αὐτοῦ.

21. Καὶ ἐροῦσί σοι οἱ γίγαντες· Ἐν βάθει βόθρου γίνου, τίνος κρείττων εἶ; καὶ κατάβηθι, καὶ κοιμήθητι μετὰ ἀπεριτμήτων ἐν μέσῳ τραυματιῶν μαχαίρας.

22. Ἐκεῖ Ἀσσοὺρ καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ, πάντες τραυματίαι ἐκεῖ ἐδόθησαν,

23. καὶ ἡ ταφὴ αὐτῶν ἐν βάθει βόθρου, καὶ ἐγενήθη ἡ συναγωγὴ αὐτοῦ περικύκλῳ τοῦ μνήματος αὐτοῦ· πάντες οἱ τραυματίαι οἱ πεπτωκότες μαχαίρᾳ, οἱ δόντες τὸν φόβον αὐτῶν ἐπὶ γῆς ζωῆς.

24. Ἐκεῖ Αἰλὰμ καὶ πᾶσα ἡ δύναμις αὐτοῦ περικύκλῳ τοῦ μνήματος αὐτοῦ· πάντες οἱ τραυματίαι οἱ πεπτωκότες μαχαίρᾳ, καὶ οἱ καταβαίνοντες ἀπερίτμητοι εἰς γῆς βάθος, οἱ δεδωκότες αὐτῶν φόβον ἐπὶ γῆς ζωῆς. καὶ ἐλάβοσαν τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων εἰς βόθρον,

(**) 25. ἐν μέσῳ τραυματιῶν.

26. Ἐκεῖ ἐδόθησαν Μοσὸχ, καὶ Θοβὲλ, καὶ πᾶσα ἡ ἰσχὺς αὐτοῦ, περικύκλῳ τοῦ μνήματος αὐτοῦ πάντες τραυματίαι αὐτοῦ, πάντες ἀπερίτμητοι τραυματίαι ἀπὸ μαχαίρας, οἱ δεδωκότες τὸν φόβον αὐτῶν ἐπὶ γῆς ζωῆς.

27. Καὶ ἐκοιμήθησαν μετὰ τῶν γιγάντων τῶν πεπτωκότων ἀπ' αἰῶνος, οἳ κατέβησαν εἰς ᾅδου ἐν ὅπλοις πολεμικοῖς, καὶ ἔθηκαν τὰς μαχαίρας αὐτῶν ὑπὸ τὰς κεφαλὰς αὐτῶν, καὶ ἐγενήθησαν αἱ ἀνομίαι αὐτῶν ἐπὶ τῶν ὀστέων αὐτῶν, ὅτι ἐξεφόβησαν πάντας ἐν τῇ ζωῇ αὐτῶν.

12. in gladiis gigantum, et dejiciam fortitudinem tuam, pestilentes de gentibus cuncti, et perdent injuriam Ægypti, et conteretur omnis fortitudo illius.

13. Et perdam omnia jumenta ejus ab aqua multa, et non conturbabit eam pes hominis ultra, et vestigium jumentorum non calcabit eam.

14. Ita tunc quiescent aquæ eorum, et flumina eorum quasi oleum ibunt, dicit Dominus:

15. cum dedero Ægyptum in perditionem, et desolata fuerit terra cum plenitudine sua, cum disseminavero omnes habitatores ejus, et scient quia ego sum Dominus.

16. Planctus est, et planges eum, et filiæ gentium plangent eum super Ægyptum, et super omnem fortitudinem ejus plangent eam, ait Dominus Dominus.

17. Et factum est in duodecimo anno primi mensis, quintadecima mensis, factus est sermo Domini ad me, dicens:

18. Fili hominis, plange super fortitudinem Ægypti, et deducent ejus filias gentes mortuas in profundum terræ, ad eos qui descendunt in foveam.

20. In medio vulneratorum gladio cadent cum eo, et dormiet omnis fortitudo ejus.

21. Et dicent tibi gigantes: In profundo foveæ esto, quo melior es? et descende, et dormi cum incircumcisis in medio vulneratorum gladio.

22. Ibi Assur et omnis congregatio ejus, omnes vulnerati ibi dati sunt,

23. et sepulcrum eorum in profundo foveæ, et facta est congregatio ejus in circuitu sepulcri ejus: omnes vulnerati qui ceciderunt gladio, qui dederunt timorem suum in terra vitæ.

24. Ibi Ælam et omnis fortitudo ejus in circuitu sepulcri ejus: omnes vulnerati qui ceciderunt gladio, et qui descendunt incircumcisi in terræ profundum, qui dederunt terrorem suum in terra vitæ: et acceperunt tormentum suum cum his qui descendunt in foveam,

25. in medio vulneratorum.

26. Ibi dati sunt Mosoch, et Thobel, et omnis fortitudo ejus, in circuitu sepulcri ejus omnes vulnerati ejus, universi incircumcisi vulnerati a gladio, qui dederunt terrorem suum super terram vitæ.

27. Et dormierunt cum gigantibus qui ceciderunt ab æterno, qui descenderunt in infernum cum armis bellicis, et posuerunt gladios suos sub capitibus suis, et factæ sunt iniquitates eorum super ossa eorum, quia terruerunt omnes in vita sua.

(*) 19. Ἐξ ὑδάτων εὐπρεποῦς κατάβηθι, καὶ κοιμήθητι μετὰ ἀπεριτμήτων, ἐν μέσῳ τραυματιῶν μαχαίρᾳ πεσοῦνται μετ' αὐτοῦ. (*Alex.*)

(**) 25. Ἐν μέσῳ τραυματιῶν ἔδοσαν τὴν κοίτην αὐτῷ σὺν πάσῃ τῇ δυνάμει αὐτοῦ, περικύκλῳ αὐτοῦ τὰ μνήματα αὐτοῦ, πάντες ἀπερίτμητοι, τραυματίαι μαχαίρας, ὅτι ἔδοσαν τὸν φόβον αὐτῶν ἐπὶ γῆς ζωῆς, καὶ ἐλάβοσαν τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων εἰς βόθρον, ἐν μέσῳ τραυματιῶν ἐδόθησαν. (*Theodot.*)

19. Ex aquarum decore descende, et dormi cum incircumcisis, in medio interfectorum gladio cadent cum eo.

25. In medio vulneratorum dederunt cubile ipsi cum omni virtute sua, in circuitu ejus sepulcra illius, omnes incircumcisi, vulnerati gladio, quia dederunt terrorem suum in terra vitæ, et acceperunt tormentum suum cum his qui descendunt in lacum, in medio vulneratorum traditi sunt.

28. Καὶ σὺ ἐν μέσῳ ἀπεριτμήτων κοιμηθήσῃ μετὰ τετραυματισμένων μαχαίρᾳ.

29. Ἐκεῖ ἐδόθησαν οἱ ἄρχοντες Ἀσσοὺρ, οἱ δόντες τὴν ἰσχὺν αὐτοῦ εἰς τραῦμα μαχαίρας, οὗτοι μετὰ τραυματιῶν ἐκοιμήθησαν, μετὰ καταβαινόντων εἰς βόθρον.

30. Ἐκεῖ οἱ ἄρχοντες τοῦ βοῤῥᾶ πάντες στρατηγοὶ Ἀσσοὺρ, οἱ καταβαίνοντες τραυματίαι, σὺν τῷ φόβῳ αὐτῶν καὶ τῇ ἰσχύϊ αὐτῶν ἐκοιμήθησαν ἀπερίτμητοι μετὰ τραυματιῶν μαχαίρας, καὶ ἀπήνεγκαν τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων εἰς βόθρον.

(*) 31. Ἐκείνους ὄψεται βασιλεὺς Φαραὼ, καὶ παρακληθήσεται ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῶν, λέγει Κύριος Κύριος·

32. ὅτι δέδωκα τὸν φόβον αὐτοῦ ἐπὶ γῆς ζωῆς, καὶ κοιμηθήσεται ἐν μέσῳ ἀπεριτμήτων μετὰ τραυματιῶν μαχαίρας Φαραὼ, καὶ πᾶν τὸ πλῆθος αὐτοῦ μετ' αὐτοῦ, λέγει Κύριος Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἐρεῖς πρὸς αὐτούς· Γῆ ἣν ἂν ἐπάγω ῥομφαίαν καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν, καὶ δῶσιν αὐτὸν ἑαυτοῖς εἰς σκοπὸν,

3. καὶ ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν, καὶ σαλπίσῃ τῇ σάλπιγγι, καὶ σημάνῃ τῷ λαῷ,

4. καὶ ἀκούσῃ ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλπιγγος καὶ μὴ φυλάξηται, καὶ ἐπέλθῃ ἡ ῥομφαία, καὶ καταλάβῃ αὐτὸν, τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσται·

5. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας οὐκ ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοῦ ἔσται· καὶ οὗτος, ὅτι ἐφυλάξατο, τὴν ψυχὴν αὐτοῦ ἐξείλατο.

6. Καὶ ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, αὕτη διὰ τὴν αὐτῆς ἀνομίαν ἐλήφθη, καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω.

7. Καὶ σὺ, υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον.

8. Ἐν τῷ εἰπεῖν με τῷ ἁμαρτωλῷ· Θανάτῳ θανατωθήσῃ, καὶ μὴ λαλήσῃς, τοῦ φυλάξασθαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω.

9. Σὺ δὲ ἐὰν προαπαγγείλῃς τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐτοῦ ἀποστρέψαι ἀπ' αὐτῆς, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, οὗτος τῇ ἀσεβείᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχὴν σαυτοῦ ἐξῄρησαι.

10. Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰπὸν τῷ οἴκῳ Ἰσραήλ· Οὕτως ἐλαλήσατε, λέγοντες· Αἱ πλάναι ἡμῶν καὶ αἱ ἀνομίαι ἡμῶν ἐφ' ἡμῖν εἰσι, καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα;

11. Εἰπὸν αὐτοῖς· Ζῶ ἐγὼ, τάδε λέγει Κύριος· Οὐ

28. Et tu in medio incircumcisorum dormies cum vulneratis gladio.

29. Ibi dati sunt principes Assur, qui dederunt fortitudinem ejus in vulnere gladii, isti cum vulneratis dormierunt, cum descendentibus in foveam.

30. Ibi principes aquilonis omnes magistratus Assur, descendentes vulnerati, cum terrore suo et in fortitudine sua dormierunt incircumcisi cum vulneratis gladio, et abstulerunt tormentum suum cum descendentibus in foveam.

31. Videbit eos rex Pharao, et consolationem accipiet super omni fortitudine eorum, dicit Dominus Dominus:

32. quia dedi formidinem ejus super terram vitæ, et dormiet in medio incircumcisorum cum vulneratis gladio Pharao, et omnis multitudo ejus cum eo, dicit Dominus Dominus.

CAPUT XXXIII.

1. Et factum est verbum Domini ad me, dicens:

2. Fili hominis, loquere filiis populi tui, et dices ad eos: Terra super quam induxero gladium et assumpserit populus terræ hominem unum de suis, et dederint eum sibi in speculatorem,

3. et viderit gladium venientem super terram, et cecinerit tuba, et significaverit populo,

4. et audiverit audiens vocem tubæ et non se observaverit, et venerit gladius, et comprehenderit eum, sanguis ipsius super caput ipsius erit:

5. quia vocem tubæ audiens non se observavit, sanguis ipsius super ipsum erit: et hic, quia custodivit se, animam suam liberavit.

6. Quod si speculator viderit gladium venientem, et non significaverit tuba, et populus non se custodierit, et veniens gladius tulerit de his animam, ipsa propter iniquitatem suam capta est, et sanguinem de manu speculatoris requiram.

7. Et tu, fili hominis, speculatorem dedi te domui Israel, et audieris ex ore meo sermonem.

8. In dicendo me peccatori: Morte morieris, et non fueris locutus, ut custodiat se impius a via sua, ipse iniquus iniquitate sua morietur, sanguinem autem ejus de manu tua requiram.

9. Tu autem si prænuntiaveris impio viam suam ut avertat se ab ea, et non averterit se a via sua, hic impietate sua morietur, et tu animam tuam liberasti.

10. Et tu, fili hominis, dic domui Israel: Sic locuti estis, dicentes: Errores nostri et iniquitates nostræ super nos sunt, et in ipsis nos tabescimus, et quomodo vivemus?

11. Dic eis: Vivo ego, hæc dicit Dominus: Non volo

(*) 31. Ἐκείνους ὄψεται βασιλεὺς Φαραὼ, καὶ παρακληθήσεται ἐπὶ πάσῃ τῇ ἰσχύϊ αὐτῶν· τραυματίαι μαχαίρᾳ Φαραὼ καὶ πᾶσα ἡ δύναμις αὐτοῦ, λέγει Κύριος ὁ Θεός. (*Alex.*)

31 Illos videbit rex Pharao, et consolabitur super universa multitudine eorum: vulnerati gladio Pharao et omnis exercitus ejus, dicit Dominus Deus.

βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν. Ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν, καὶ ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;

12. Εἰπὸν πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου· Δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ, καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ κακώσῃ αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· καὶ δίκαιος οὐ μὴ δύνηται σωθῆναι.

13. Ἐν τῷ εἰπεῖν με τῷ δικαίῳ· Οὗτος πέποιθεν ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ, καὶ ποιήσει ἀνομίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ οὐ μὴ ἀναμνησθῶσιν· ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἐποίησεν, ἐν αὐτῇ ἀποθανεῖται.

14. Καὶ ἐν τῷ εἰπεῖν με τῷ ἀσεβεῖ· Θανάτῳ θανατωθήσῃ, καὶ ἀποστρέψει ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην,

15. καὶ ἐνεχύρασμα ἀποδοῖ, καὶ ἁρπάγματα ἀποτίσει, ἐν προστάγμασι ζωῆς διαπορεύηται, τοῦ μὴ ποιῆσαι ἄδικον, ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ·

16. πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν οὐ μὴ ἀναμνησθῶσιν· ὅτι κρῖμα καὶ δικαιοσύνην ἐποίησεν, ἐν αὐταῖς ζήσεται.

17. Καὶ ἐροῦσιν οἱ υἱοὶ τοῦ λαοῦ σου· Οὐκ εὐθεῖα ἡ ὁδὸς τοῦ Κυρίου. Καὶ αὕτη ἡ ὁδὸς αὐτῶν οὐκ εὐθεῖα.

18. Ἐν τῷ ἀποστρέψαι δίκαιον ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσει ἀνομίας, καὶ ἀποθανεῖται ἐν αὐταῖς.

19. Καὶ ἐν τῷ ἀποστρέψαι τὸν ἁμαρτωλὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην, ἐν αὐτοῖς αὐτὸς ζήσεται.

20. Καὶ τοῦτό ἐστιν ὃ εἴπατε· Οὐκ εὐθεῖα ἡ ὁδὸς Κυρίου. Ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ.

21. Καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει, ἐν τῷ δωδεκάτῳ μηνὶ, πέμπτῃ τοῦ μηνὸς τῆς αἰχμαλωσίας ἡμῶν, ἦλθε πρός με ὁ ἀνασωθεὶς ἀπὸ Ἱερουσαλὴμ, λέγων· Ἑάλω ἡ πόλις.

22. Καὶ χεὶρ Κυρίου ἐγενήθη ἐπ' ἐμὲ ἑσπέρας, πρὶν ἐλθεῖν αὐτὸν, καὶ ἤνοιξέ μου τὸ στόμα, ὡς ἦλθε πρός με τὸ πρωΐ. Καὶ ἀνοιχθὲν τὸ στόμα μου οὐ συνεσχέθη ἔτι.

23. Καὶ ἐγενήθη λόγος Κυρίου πρός με, λέγων·

24. Υἱὲ ἀνθρώπου, οἱ κατοικοῦντες τὰς ἠρημωμένας ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ λέγουσιν· Εἷς ἦν Ἀβραὰμ, καὶ κατέσχε τὴν γῆν, καὶ ἡμεῖς πλείους ἐσμὲν, ἡμῖν δέδοται ἡ γῆ εἰς κατάσχεσιν.

(*) 25. Διὰ τοῦτο εἰπὸν αὐτοῖς·

27. Τάδε λέγει Κύριος Κύριος· Ζῶ ἐγὼ, εἰ μὴν οἱ ἐν ταῖς ἠρημωμέναις μαχαίραις πεσοῦνται, καὶ οἱ ἐπὶ προσώπου τοῦ πεδίου τοῖς θηρίοις τοῦ ἀγροῦ δοθήσονται εἰς κατάβρωμα, καὶ τοὺς ἐν ταῖς τετειχισμέναις καὶ τοὺς ἐν τοῖς σπηλαίοις θανάτῳ ἀποκτενῶ.

28. Καὶ δώσω τὴν γῆν ἔρημον, καὶ ἀπολεῖται ἡ

mortem impii, sicut converti impium a via sua, et ipsum vivere. Conversione convertimini a via vestra, et utquid morimini, domus Israel?

12. Dic ad filios populi tui : Justitia justi non liberabit eum, in quacumque die erraverit, et iniquitas impii non nocebit ei, in quacumque die conversus fuerit ab iniquitate sua : et justus non poterit salvari.

13. In dicendo me justo : Hic confidit in sua justitia, et faciet iniquitatem, omnes justitiæ ejus non memorabuntur : in injustitia sua quam fecit, in ea morietur.

14. Et in dicendo me impio : Morte morieris, et avertet se a peccato suo, et faciet judicium et justitiam,

15. et pignus restituerit, et rapinas reddiderit, in mandatis vitæ ambulaverit, non faciendo injustum, vita vivet, et non morietur :

16. omnia peccata ejus quæ peccavit non memorabuntur : quia judicium et justitiam fecit, in ipsis vivet.

17. Et dicent filii populi tui : Non est recta via Domini. Et ipsa via eorum non est recta.

18. In recedendo justum a justitia sua, et faciet iniquitates, et morietur in eis.

19. Et in recedendo peccatorem ab iniquitate sua, et faciet judicium et justitiam, in ipsis ipse vivet.

20. Et hoc est quod dixistis : Non recta via Domini. Unumquemque in viis suis judicabo vos, domus Israel.

21. Et factum est in duodecimo anno, in duodecimo mense, quinta mensis captivitatis nostræ, venit ad me qui salvatus fuerat de Jerusalem, dicens : Capta est civitas.

22. Et manus Domini facta fuerat super me vespere, antequam ille veniret, et aperuit os meum, donec venit ad me mane. Et apertum os meum non se cohibuit ultra.

23. Et factum est verbum Domini ad me, dicens :

24. Fili hominis, qui habitant desertas super terram Israel dicunt : Unus erat Abraam, et possedit terram, et nos plures sumus, nobis data est terra in possessionem.

25. Idcirco dic eis :

27. Hæc dicit Dominus Dominus : Vivo ego, si non qui in desertis cadent gladiis, et qui super faciem campi bestiis agri dabuntur in devorationem, et eos qui in muratis et eos qui in speluncis morte interficiam.

28. Et dabo terram desertum, et peribit superbia forti-

(*) 25. Διὰ τοῦτο εἰπὲ πρὸς αὐτούς· Οὕτως εἶπεν Ἀδωναῒ Κύριος· Ἐπὶ τῷ αἵματι φάγεσθε, καὶ ὀφθαλμοὺς ὑμῶν λήψεσθε πρὸς εἴδωλα ὑμῶν, καὶ αἷμα ἐκχεῖτε· καὶ τὴν γῆν κληρονομήσετε;

26. Ἔστητε ἐπὶ τῇ ῥομφαίᾳ ὑμῶν, ἐποιήσατε βδέλυγμα, καὶ ἀνὴρ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐμιάνατε, καὶ τὴν γῆν κληρονομήσετε; (*Alex.*)

25. Idcirco dic ad eos : Sic dixit Adonai Dominus : In sanguine comedetis, et oculis vestris sumetis ad idola vestra, et sanguinem effundetis : et terram hæreditate possidebitis?

26. Stetistis in gladio vestro, fecistis abominationem, et unusquisque uxorem proximi sui polluit, et terram hæreditate possidebitis?

ὕβρις τῆς ἰσχύος αὐτῆς, καὶ ἐρημωθήσεται τὰ ὄρη τοῦ Ἰσραὴλ διὰ τὸ μὴ εἶναι διαπορευόμενον.

29. Καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. Καὶ ποιήσω τὴν γῆν αὐτῶν ἔρημον, καὶ ἐρημωθήσεται διὰ πάντα τὰ βδελύγματα αὐτῶν ἃ ἐποίησαν.

30. Καὶ σὺ, υἱὲ ἀνθρώπου, οἱ υἱοὶ τοῦ λαοῦ σου οἱ λαλοῦντες περὶ σοῦ παρὰ τὰ τείχη καὶ ἐν τοῖς πυλῶσι τῶν οἰκιῶν, καὶ λαλοῦσιν ἄνθρωπος τῷ ἀδελφῷ αὐτοῦ, λέγοντες· Συνέλθωμεν, καὶ ἀκούσωμεν τὰ ἐκπορευόμενα παρὰ Κυρίου.

31. Ἔρχονται πρὸς σὲ, ὡς συμπορεύεται λαὸς, καὶ κάθηνται ἐναντίον σου, καὶ ἀκούουσι τὰ ῥήματά σου, καὶ αὐτὰ οὐ μὴ ποιήσουσιν, ὅτι ψεῦδος ἐν τῷ στόματι αὐτῶν, καὶ ὀπίσω τῶν μιασμάτων ἡ καρδία αὐτῶν.

32. Καὶ γίνῃ αὐτοῖς ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου, εὐαρμόστου, καὶ ἀκούσονταί σου τὰ ῥήματα, καὶ οὐ μὴ ποιήσουσιν αὐτά.

33. Καὶ ἡνίκα ἐὰν ἔλθῃ, ἐροῦσιν· Ἰδοὺ ἥκει, καὶ γνώσονται ὅτι προφήτης ἦν ἐν μέσῳ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. Υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τοὺς ποιμένας τοῦ Ἰσραὴλ, προφήτευσον, καὶ εἰπὸν τοῖς ποιμέσι· Τάδε λέγει Κύριος Κύριος· Ὦ ποιμένες Ἰσραὴλ, μὴ βόσκουσι ποιμένες ἑαυτούς; Οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες;

3. Ἰδοὺ τὸ γάλα κατέσθετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε.

4. Τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε, καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, καὶ τὸ πλανώμενον οὐκ ἀπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ.

5. Καὶ διεσπάρη τὰ πρόβατά μου, διὰ τὸ μὴ εἶναι ποιμένας, καὶ ἐγενήθη εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ.

6. Καὶ διεσπάρη τὰ πρόβατά μου ἐν παντὶ ὄρει, καὶ ἐπὶ πᾶν βουνὸν ὑψηλὸν, καὶ ἐπὶ προσώπου τῆς γῆς διεσπάρη, καὶ οὐκ ἦν ὁ ἐκζητῶν οὐδὲ ὁ ἀποστρέφων.

7. Διὰ τοῦτο, ποιμένες, ἀκούσατε λόγον Κυρίου.

8. Ζῶ ἐγὼ, λέγει Κύριος Κύριος, εἰ μὴν ἀντὶ τοῦ γενέσθαι τὰ πρόβατά μου εἰς προνομὴν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ πεδίου, παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ οὐκ ἐξεζήτησαν οἱ ποιμένες τὰ πρόβατά μου, καὶ ἐβόσκησαν οἱ ποιμένες ἑαυτοὺς, τὰ δὲ πρόβατά μου οὐκ ἐβόσκησαν·

9. ἀντὶ τούτου, ποιμένες,

10. τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποστρέψω αὐτοὺς τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ βοσκήσουσιν ἔτι οἱ ποιμένες αὐτά· καὶ ἐξελοῦμαι τὰ πρόβατά μου ἐκ τοῦ στόματος αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς ἔτι εἰς κατάβρωμα.

11. Διότι τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου, καὶ ἐπισκέψομαι αὐτά.

12. Ὥσπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ ἐν ἡμέρᾳ ὅτ' ἂν ᾖ γνόφος καὶ νεφέλη ἐν μέσῳ προβάτων

tudinis ejus, et desolabuntur montes Israel eo quod non sit qui transeat.

29. Et scient quia ego sum Dominus. Et faciam terram eorum desertum, et desolabitur propter universas abominationes ipsorum quas fecerunt.

30. Et tu, fili hominis, filii populi tui loquentes de te juxta muros et in ostiis domorum, et loquuntur homo fratri sui, dicentes : Conveniamus, et audiamus quæ egrediuntur a Domino.

31. Veniunt ad te, quomodo congregari solet populus, et sedent coram te, et audiunt verba tua, et ea non facient, quoniam mendacium in ore eorum, et post contaminationes cor eorum.

32. Et es eis quasi vox psalterii dulcisoni, concinni, et audient verba tua, et non facient ea.

33. Et cum venerit, dicent : Ecce venit, et scient quia propheta erat in medio eorum.

CAPUT XXXIV.

1. Et factum est verbum Domini ad me, dicens :

2. Fili hominis, propheta ad pastores Israel, propheta, et dic pastoribus : Hæc dicit Dominus Dominus : O pastores Israel, numquid pascunt pastores semetipsos? Nonne oves pascunt ipsi pastores?

3. Ecce lac comeditis, et lanis operimini, et quod crassum est occiditis, et oves meas non pascitis.

4. Quod infirmum fuit non confortastis, et quod ægrotum non sanastis, et quod contritum non alligastis, et quod errabat non reduxistis, et quod perierat non quæsistis, et quod forte erat afflixistis labore.

5. Et dispersæ sunt oves meæ, eo quod non essent pastores, et factæ sunt in devorationem omnibus bestiis agri.

6. Et dispersæ sunt oves meæ in omni monte, et super omnem collem excelsum, et super faciem terræ dispersæ sunt, et non erat qui requireret neque qui reduceret.

7. Propterea, pastores, audite verbum Domini.

8. Vivo ego, dicit Dominus Dominus, si non pro eo quod factæ sunt oves meæ in rapinam, et factæ sunt oves meæ in devorationem omnibus bestiis campi, eo quod non essent pastores, et non quæsierunt pastores oves meas, et paverunt pastores semetipsos, oves autem meas non paverunt :

9. pro hoc, pastores,

10. hæc dicit Dominus Dominus : Ecce ego super pastores, et requiram oves meas de manibus eorum, et amovebo eos ne pascant oves meas, et non pascent amplius pastores eas : et liberabo oves meas de ore eorum, et non erunt eis ultra in devorationem.

11. Quia hæc dicit Dominus Dominus : Ecce ego requiram oves meas, et visitabo eas.

12. Sicut quærit pastor gregem suum in die quando fuerit caligo et nubes in medio ovium separatarum, sic requi-

διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά μου, καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου οὗ διεσπάρησαν ἐκεῖ ἐν ἡμέρᾳ νεφέλης καὶ γνόφου.

13. Καὶ ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν, καὶ συνάξω αὐτοὺς ἀπὸ τῶν χωρῶν, καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν, καὶ βοσκήσω αὐτοὺς ἐπὶ τὰ ὄρη Ἰσραὴλ, καὶ ἐν ταῖς φάραγξι, καὶ ἐν πάσῃ κατοικίᾳ τῆς γῆς.

14. Ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτοὺς, ἐν τῷ ὄρει τῷ ὑψηλῷ Ἰσραήλ. Καὶ ἔσονται αἱ μάνδραι αὐτῶν ἐκεῖ, καὶ κοιμηθήσονται, καὶ ἐκεῖ ἀναπαύσονται ἐν τρυφῇ ἀγαθῇ, καὶ ἐν νομῇ πίονι βοσκηθήσονται ἐπὶ τῶν ὀρέων Ἰσραήλ.

15. Ἐγὼ βοσκήσω τὰ πρόβατά μου, καὶ ἐγὼ ἀναπαύσω αὐτὰ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. Τάδε λέγει Κύριος Κύριος·

16. Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ πλανώμενον ἀποστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος.

17. Καὶ ὑμεῖς, πρόβατα, τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ διακρινῶ ἀναμέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων.

18. Καὶ οὐχ ἱκανὸν ὑμῖν, ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς ὑμῶν κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν; Καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε;

19. Καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον;

20. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ διακρινῶ ἀναμέσον προβάτου ἰσχυροῦ καὶ ἀναμέσον προβάτου ἀσθενοῦς.

21. Ἐπὶ ταῖς πλευραῖς καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε, καὶ πᾶν τὸ ἐκλεῖπον ἐξεθλίβετε.

22. Καὶ σώσω τὰ πρόβατά μου, καὶ οὐ μὴ ὦσιν ἔτι εἰς προνομὴν, καὶ κρινῶ ἀναμέσον κριοῦ πρὸς κριόν.

23. Καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα, καὶ ποιμανεῖ αὐτοὺς, τὸν δοῦλόν μου Δαυὶδ, καὶ ἔσται αὐτῶν ποιμὴν,

24. καὶ ἐγὼ Κύριος ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ Δαυὶδ ἄρχων ἐν μέσῳ αὐτῶν. Ἐγὼ Κύριος ἐλάλησα.

25. Καὶ διαθήσομαι τῷ Δαυὶδ διαθήκην εἰρήνης, καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς, καὶ κατοικήσουσιν ἐν τῇ ἐρήμῳ, καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς.

26. Καὶ δώσω αὐτοὺς περικύκλῳ τοῦ ὄρους μου· καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας.

27. Καὶ τὰ ξύλα τὰ ἐν τῷ πεδίῳ δώσει τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ δώσει τὴν ἰσχὺν αὐτῆς, καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἐν ἐλπίδι εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ συντρίψαι με τὸν ζυγὸν αὐτῶν, καὶ ἐξελοῦμαι αὐτοὺς ἐκ χειρὸς τῶν καταδουλωσαμένων αὐτούς.

28. Καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ τοῖς ἔθνεσι, καὶ τὰ θηρία τῆς γῆς οὐκέτι μὴ φάγωσιν αὐτούς. Καὶ κατοικήσουσιν ἐν ἐλπίδι, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς.

29. Καὶ ἀναστήσω αὐτοῖς φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι λιμῷ ἐπὶ τῆς γῆς, καὶ ὀνειδισμὸν ἐθνῶν οὐ μὴ ἐνέγκωσιν ἔτι.

ram oves meas, et eruam eas de omni loco in quo dispersæ fuerant illic in die nubis et caliginis.

13. Et educam eos de gentibus, et congregabo eos de regionibus, et inducam eos in terram suam, et pascam eos in montibus Israel, et in vallibus, et in omni habitatione terræ.

14. In pascua bona pascam eos, in monte excelso Israel. Et erunt ovilia eorum ibi, et dormient, et ibi requiescent in deliciis bonis, et in pascua pingui pascentur super montes Israel.

15. Ego pascam oves meas, et ego faciam requiescere eas, et scient quia ego sum Dominus. Hæc dicit Dominus Dominus:

16. Quod perierat requiram, et quod errabat reducam, et quod contritum alligabo, et quod defecerat confortabo, et quod forte custodiam, et pascam eas cum judicio.

17. Et vos, oves, hæc dicit Dominus Dominus: Ecce ego dijudicabo inter ovem et ovem, arietes et hircos.

18. Et nonne satis vobis erat, quia bonam pascuam depascebatis, et reliquias pascuæ vestræ conculcabatis pedibus vestris? Et collectam aquam bibebatis, et reliquum pedibus vestris turbabatis?

19. Et oves meæ conculcationes pedum vestrorum pascebant, et aquam conturbatam a pedibus vestris bibebant?

20. Propterea hæc dicit Dominus Dominus: Ecce ego dijudicabo inter ovem fortem et inter ovem infirmam.

21. In lateribus et humeris vestris propulsabatis, et cornibus vestris ventilabatis, et omnem quæ deficiebat affligebatis.

22. Et salvabo oves meas, et non erunt ultra in rapinam, et judicabo inter arietem ad arietem.

23. Et suscitabo super eos pastorem unum, et pascet eos, servum meum David, et erit eorum pastor,

24. et ego Dominus ero eis in Deum, et David princeps in medio eorum. Ego Dominus locutus sum.

25. Et disponam David testamentum pacis, et delebo bestias pessimas de terra, et habitabunt in deserto, et somnum capient in saltibus.

26. Et dabo eos in circuitu montis mei: et dabo pluviam vobis, pluviam benedictionis.

27. Et ligna quæ in campo dabunt fructum suum, et terra dabit fortitudinem suam, et habitabunt in terra sua in spe pacis, et scient quia ego sum Dominus, cum contrivero jugum eorum, et eruero eos de manu servire eos facientium.

28. Et non erunt ultra in rapinam gentibus, et bestiæ terræ non ultra devorabunt eos. Et habitabunt in spe, et non erit qui exterreat eos.

29. Et suscitabo eis plantationem pacis, et non erunt ultra pereuntes fame in terra, neque portabunt amplius opprobrium gentium.

30. Καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου. Οἶκος Ἰσραὴλ, λέγει Κύριος Κύριος,

31. πρόβατά μου καὶ πρόβατα ποιμνίου μου ἐστὲ, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, λέγει Κύριος Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ′.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·
2. Υἱὲ ἀνθρώπου, ἐπίστρεψον τὸ πρόσωπόν σου ἐπ' ὄρος Σηεὶρ, καὶ προφήτευσον εἰς αὐτὸ, καὶ εἰπὸν αὐτῷ·
3. Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, ὄρος Σηεὶρ, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ δώσω σε εἰς ἔρημον, καὶ ἐρημωθήσῃ,
4. καὶ ταῖς πόλεσί σου ἐρημίαν ποιήσω, καὶ σὺ ἔρημος ἔσῃ, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος·
5. ἀντὶ τοῦ γενέσθαι σε ἔχθραν αἰωνίαν, καὶ ἐνεκάθισας τῷ οἴκῳ Ἰσραὴλ δόλῳ, ἐν χειρὶ ἐχθρῶν μαχαίρᾳ ἐν καιρῷ ἀδικίας, ἐπ' ἐσχάτων.
6. Διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει Κύριος Κύριος, εἰ μὴν εἰς αἷμα ἥμαρτες, καὶ αἷμα διώξεταί σε.
7. Καὶ δώσω ὄρος Σηεὶρ εἰς ἔρημον, καὶ ἠρημωμένον, καὶ ἀπολῶ ἀπ' αὐτοῦ ἀνθρώπους καὶ κτήνη,
8. καὶ ἐμπλήσω τῶν τραυματιῶν βουνούς σου καὶ τὰς φάραγγάς σου, καὶ ἐν πᾶσι τοῖς πεδίοις σου τετραυματισμένοι μαχαίρᾳ πεσοῦνται ἐν σοί.
9. Ἐρημίαν αἰώνιον θήσομαί σε, καὶ αἱ πόλεις σου οὐ μὴ κατοικηθῶσιν ἔτι, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος·
10. διὰ τὸ εἰπεῖν σε· Τὰ δύο ἔθνη, καὶ αἱ δύο χῶραι ἐμαὶ ἔσονται, καὶ κληρονομήσω αὐτὰς, καὶ Κύριος ἐκεῖ ἐστι.
11. Διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει Κύριος, καὶ ποιήσω σοι κατὰ τὴν ἔχθραν σου, καὶ γνωσθήσομαί σοι ἡνίκα ἂν κρινῶ σε,
12. καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος. Ἤκουσα τῆς φωνῆς τῶν βλασφημιῶν σου, ὅτι εἶπας· Τὰ ὄρη Ἰσραὴλ ἔρημα ἡμῖν δέδοται εἰς κατάβρωμα,
13. καὶ ἐμεγαλοῤῥημόνησας ἐπ' ἐμὲ τῷ στόματί σου, ἐγὼ ἤκουσα.
14. Τάδε λέγει Κύριος· Ἐν τῇ εὐφροσύνῃ πάσης τῆς γῆς ἔρημον ποιήσω σε,
15. ἔρημον ἔσῃ, ὄρος Σηεὶρ, καὶ πᾶσα ἡ Ἰδουμαία καὶ ἐξαναλωθήσεται, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ′.

1. Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τὰ ὄρη Ἰσραὴλ, καὶ εἰπὸν τοῖς ὄρεσι τοῦ Ἰσραήλ· Ἀκούσατε λόγον Κυρίου.
2. Τάδε λέγει Κύριος Κύριος· Ἀνθ' οὗ εἶπεν ἐφ' ὑμᾶς ὁ ἐχθρός· Εὖγε, ἔρημα αἰώνια εἰς κατάσχεσιν ἡμῖν ἐγενήθη.
3. Διὰ τοῦτο προφήτευσον, καὶ εἰπόν· Τάδε λέγει Κύριος Κύριος· Ἀντὶ τοῦ ἀτιμασθῆναι ὑμᾶς, καὶ μισηθῆναι ὑμᾶς ὑπὸ τῶν κύκλῳ ὑμῶν, τοῦ εἶναι ὑμᾶς εἰς κατάσχεσιν τοῖς καταλοίποις ἔθνεσι, καὶ ἀνέβητε λάλημα γλώσσῃ, καὶ εἰς ὀνείδισμα ἔθνεσι,
4. διὰ τοῦτο, ὄρη Ἰσραὴλ, ἀκούσατε λόγον Κυρίου.

30. Et scient quia ego sum Dominus Deus eorum, et ipsi populus meus. Domus Israel, dicit Dominus Dominus,

31. oves meæ et oves gregis mei estis, et ego Dominus Deus vester, dicit Dominus Dominus.

CAPUT XXXV.

1. Et factus est sermo Domini ad me, dicens :
2. Fili hominis, converte faciem tuam super montem Seir, et propheta ad eum, et dic ei :
3. Hæc dicit Dominus Dominus : Ecce ego ad te, mons Seir, et extendam manum meam super te, et dabo te in solitudinem, et desolaberis,
4. et urbibus tuis solitudinem faciam, et tu desertum eris, et scies quia ego sum Dominus :
5. eo quod fueris tu inimica sempiterna, et insederis domui Israel fraudulenter, in manu inimicorum gladio in tempore iniquitatis, in extremis.
6. Propterea vivo ego, dicit Dominus Dominus, quoniam in sanguinem peccasti, et sanguis persequetur te.
7. Et dabo montem Seir in desertum, et desolatum, et disperdam de eo homines et jumenta,
8. et implebo vulneratis colles tuos et valles tuas, et in omnibus campis tuis vulnerati gladio cadent in te.
9. Solitudinem sempiternam ponam te, et civitates tuæ non habitabuntur ultra, et scies quia ego sum Dominus :
10. eo quod dixeris : Duæ gentes, et duæ regiones meæ erunt, et hæreditate possidebo eas, et Dominus ibi est.
11. Propterea, vivo ego, dicit Dominus, et faciam tibi juxta inimicitiam tuam, et notus efficiar tibi cum judicavero te,
12. et scies quia ego sum Dominus. Audivi vocem blasphemiarum tuarum, quia dixisti : Montes Israel deserti nobis dati sunt in devorationem,
13. et magnifice locutus es super me ore tuo, ego audivi.
14. Hæc dicit Dominus : In lætitia universæ terræ desertum faciam te,
15. desertus eris, mons Seir, et omnis Idumæa et consumentur, et scies quia ego sum Dominus Deus eorum.

CAPUT XXXVI.

1. Et tu, fili hominis, propheta super montes Israel, et dic montibus Israel : Audite verbum Domini.
2. Hæc dicit Dominus Dominus : Eo quod dixit super vos inimicus : Euge, solitudines sempiternæ in possessionem vobis factæ sunt.
3. Propterea vaticinare, et dic : Hæc dicit Dominus Dominus : Pro eo quod despecti estis vos, et odio habiti ab his qui in circuitu vestro sunt, ut essetis in possessionem reliquis gentibus, et ascendistis loquela linguæ, et in opprobrium gentibus,
4. propterea, montes Israel, audite verbum Domini. Hæc

Τάδε λέγει Κύριος τοῖς ὄρεσι, καὶ τοῖς βουνοῖς, καὶ τοῖς χειμάῤῥοις, καὶ ταῖς φάραγξι, καὶ τοῖς ἐξηρημωμένοις καὶ ἠφανισμένοις, καὶ ταῖς πόλεσι ταῖς ἐγκαταλελειμμέναις, καὶ ἐγένοντο εἰς προνομὴν, καὶ εἰς καταπάτημα τοῖς καταλειφθεῖσιν ἔθνεσιν περικύκλῳ.

5. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Εἰ μὴν ἐν πυρὶ θυμοῦ μου ἐλάλησα ἐπὶ τὰ λοιπὰ ἔθνη, καὶ ἐπὶ τὴν Ἰδουμαίαν πᾶσαν, ὅτι ἔδωκαν τὴν γῆν μου ἑαυτοῖς εἰς κατάσχεσιν μετ' εὐφροσύνης, ἀτιμάσαντες ψυχὰς, τοῦ ἀφανίσαι ἐν προνομῇ.

6. Διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ, καὶ εἰπὸν τοῖς ὄρεσι, καὶ τοῖς βουνοῖς, καὶ ταῖς φάραγξι, καὶ ταῖς νάπαις· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ μου καὶ ἐν τῷ θυμῷ μου ἐλάλησα, ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν ἐνέγκαι ὑμᾶς.

7. Διὰ τοῦτο ἐγὼ ἀρῶ τὴν χεῖρά μου ἐπὶ τὰ ἔθνη τὰ περικύκλῳ ὑμῶν, οὗτοι τὴν ἀτιμίαν αὐτῶν λήψονται.

8. Ὑμῶν δὲ, ὄρη Ἰσραὴλ, τὴν σταφυλὴν καὶ τὸν καρπὸν ὑμῶν καταφάγεται ὁ λαός μου, ὅτι ἐλπίζουσι τοῦ ἐλθεῖν.

9. Ὅτι ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ κατεργασθήσεσθε, καὶ σπαρήσεσθε,

10. καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους, πᾶν οἶκον Ἰσραὴλ εἰς τέλος, καὶ κατοικηθήσονται αἱ πόλεις, καὶ ἠρημωμένη οἰκοδομηθήσεται.

11. Καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους καὶ κτήνη, καὶ κατοικιῶ ὑμᾶς ὡς τὸ ἐν ἀρχῇ ὑμῶν, καὶ εὖ ποιήσω ὑμᾶς, ὥσπερ τὰ ἔμπροσθεν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος.

12. Καὶ γεννήσω ἐφ' ὑμᾶς ἀνθρώπους, τὸν λαόν μου Ἰσραὴλ, καὶ κληρονομήσουσιν ὑμᾶς, καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν, καὶ οὐ μὴ προστεθῆτε ἔτι ἀτεκνωθῆναι ἀπ' αὐτῶν.

13. Τάδε λέγει Κύριος Κύριος· Ἀνθ' ὧν εἶπάν σοι· Κατέσθουσα ἀνθρώπους εἶ, καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου ἐγένου,

14. διὰ τοῦτο ἀνθρώπους οὐκέτι φάγεσαι, καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνώσεις ἔτι, λέγει Κύριος Κύριος.

15. Καὶ οὐκ ἀκουσθήσεται οὐκέτι ἐφ' ὑμᾶς ἀτιμία ἐθνῶν, καὶ ὀνειδισμοὺς λαῶν οὐ μὴ ἀνενέγκητε ἔτι, λέγει Κύριος Κύριος.

16. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

17. Υἱὲ ἀνθρώπου, οἶκος Ἰσραὴλ κατῴκησεν ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ἐμίαναν αὐτὴν ἐν τῇ ὁδῷ αὐτῶν, καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν, καὶ ἐν ταῖς ἀκαθαρσίαις αὐτῶν· καὶ κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀποκαθημένης ἐγενήθη ἡ ὁδὸς αὐτῶν πρὸ προσώπου μου·

(*) 18. καὶ ἐξέχεα τὸν θυμόν μου ἐπ' αὐτοὺς,

19. καὶ διέσπειρα αὐτοὺς εἰς τὰ ἔθνη, καὶ ἐλίκμησα αὐτοὺς εἰς τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν ἔκρινα αὐτούς.

20. Καὶ εἰσῆλθον εἰς τὰ ἔθνη οὗ εἰσῆλθον ἐκεῖ, καὶ ἐβεβήλωσαν τὸ ὄνομά μου τὸ ἅγιον, ἐν τῷ λέγεσθαι αὐτούς· Λαὸς Κυρίου οὗτοι, καὶ ἐκ τῆς γῆς αὐτοῦ ἐξεληλύθασιν.

(*) 18. Καὶ ἐξέχεα τὸν θυμόν μου ἐπ' αὐτοὺς περὶ τοῦ αἵματος οὗ ἐξέχεαν ἐν τῇ γῇ, καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν. (*Alex.*)

dicit Dominus montibus, et collibus, et torrentibus, et vallibus, et desolatis et dissipatis, et urbibus derelictis, et factæ sunt in direptionem, et in conculcationem reliquis gentibus per circuitum.

5. Propterea hæc dicit Dominus Dominus : Quia in igne furoris mei locutus sum super reliquas gentes, et super Idumæam universam, quia dederunt terram meam sibi in possessionem cum gaudio, despicientes animas, ut delerent eas in vastatione.

6. Idcirco vaticinare super terram Israel, et dic montibus, et collibus, et vallibus, et locis nemorosis : Hæc dicit Dominus : Ecce ego in zelo meo et in furore meo locutus sum, eo quod opprobria gentium portaveritis.

7. Idcirco ecce ego levabo manum meam super gentes quæ in circuitu vestro, ipsi ignominiam suam portabunt.

8. Vestram autem, montes Israel, uvam et fructum vestrum comedet populus meus, quia sperant venire.

9. Quoniam ecce ego ad vos, et respiciam ad vos, et colemini, et accipietis sementem,

10. et multiplicabo in vobis homines, omnem domum Israel in finem, et habitabuntur civitates, et deserta ædificabitur.

11. Et multiplicabo in vobis homines et jumenta, et habitare vos faciam sicut in principio vestro, et bene faciam vobis, sicut anteriora vestra, et scietis quia ego sum Dominus.

12. Et generabo super vos homines, populum meum Israel, et hæreditate possidebunt vos, et eritis eis in possessionem, et non addetis ultra ut absque liberis vos faciant.

13. Hæc dicit Dominus Dominus : Pro eo quod dixerunt tibi : Devoratrix hominum es, et absque liberis de gente tua facta es,

14. propterea homines non comedes amplius, et gentem tuam liberis non orbabis ultra, ait Dominus Dominus.

15. Et non audietur ultra super vos ignominia gentium, et opprobria populorum nequaquam portabitis amplius, ait Dominus Dominus.

16. Et factum est verbum Domini ad me, dicens :

17. Fili hominis, domus Israel habitavit in terra sua, et polluerunt eam in via sua, et in idolis suis, et in suis immunditiis : et juxta immunditiam menstruatæ facta est via eorum coram me :

18. et effudi furorem meum super eos,

19. et disseminavi eos in gentes, et ventilavi eos in regiones : juxta viam eorum et juxta peccatum eorum judicavi eos.

20. Et ingressi sunt ad gentes quo ingressi sunt illuc, et polluerunt nomen sanctum meum, cum dicerentur ipsi : Populus Domini isti, et de terra ejus egressi sunt.

---

18. Et effudi indignationem meam super eos pro sanguine quem effuderunt super terram, et in idolis suis polluerunt eam.

21. Καὶ ἐφεισάμην αὐτῶν διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβήλωσαν οἶκος Ἰσραὴλ ἐν τοῖς ἔθνεσιν οὗ εἰςήλθοσαν ἐκεῖ.

22. Διὰ τοῦτο εἰπὸν τῷ οἴκῳ Ἰσραήλ· Τάδε λέγει Κύριος· Οὐχ ὑμῖν ἐγὼ ποιῶ, οἶκος Ἰσραὴλ, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβηλώσατε ἐν τοῖς ἔθνεσιν οὗ εἰςήλθετε ἐκεῖ.

23. Καὶ ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα, τὸ βεβηλωθὲν ἐν τοῖς ἔθνεσιν, ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν κατ' ὀφθαλμοὺς αὐτῶν.

24. Καὶ λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν, καὶ εἰςάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν.

25. Καὶ ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν, καὶ καθαριῶ ὑμᾶς.

26. Καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην·

27. καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε, καὶ τὰ κρίματά μου φυλάξησθε καὶ ποιήσητε.

28. Καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.

29. Καὶ σώσω ὑμᾶς ἐκ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ καλέσω τὸν σῖτον, καὶ πληθυνῶ αὐτὸν, καὶ οὐ δώσω ἐφ' ὑμᾶς λιμόν.

30. Καὶ πληθυνῶ τὸν καρπὸν τοῦ ξύλου καὶ τὰ γεννήματα τοῦ ἀγροῦ, ὅπως ἂν μὴ λάβητε ὀνειδισμὸν λιμοῦ ἐν τοῖς ἔθνεσι.

31. Καὶ μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν τὰς πονηρὰς, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ ἀγαθὰ, καὶ προςοχθιεῖτε κατὰ πρόςωπόν αὐτῶν ἐν ταῖς ἀνομίαις ὑμῶν, καὶ ἐπὶ τοῖς βδελύγμασιν αὐτῶν.

32. Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, λέγει Κύριος Κύριος, γνωστόν ἐστιν ὑμῖν. Αἰσχύνθητε καὶ ἐντράπητε ἐκ τῶν ὁδῶν ὑμῶν, οἶκος Ἰσραήλ.

33. Τάδε λέγει Ἀδωναῒ Κύριος· Ἐν ἡμέρᾳ ᾗ καθαριῶ ὑμᾶς ἐκ πασῶν ἀνομιῶν ὑμῶν, καὶ κατοικιῶ τὰς πόλεις, καὶ οἰκοδομηθήσονται ἔρημοι,

34. καὶ ἡ γῆ ἠφανισμένη ἐργασθήσεται, ἀνθ' ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ' ὀφθαλμοὺς παντὸς παροδεύοντος,

35. καὶ ἐροῦσιν· Ἡ γῆ ἐκείνη ἠφανισμένη ἐγενήθη ὡς κῆπος τρυφῆς, καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ ἠφανισμέναι καὶ κατεσκαμμέναι ὀχυραὶ ἐκάθισαν.

36. Καὶ γνώσονται τὰ ἔθνη, ὅσα ἂν καταλειφθῶσι κύκλῳ ὑμῶν, ὅτι ἐγὼ Κύριος ᾠκοδόμησα τὰς καθῃρημένας, καὶ κατεφύτευσα τὰς ἠφανισμένας. Ἐγὼ Κύριος ἐλάλησα, καὶ ποιήσω.

37. Τάδε λέγει Ἀδωναῒ Κύριος· Ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιῆσαι αὐτοὺς, πληθυνῶ αὐτοὺς ὡς πρόβατα ἀνθρώπους,

38. ὡς πρόβατα ἅγια, ὡς πρόβατα Ἱερουσαλὴμ ἐν ταῖς ἑορταῖς αὐτῆς. Οὕτως ἔσονται αἱ πόλεις αἱ ἔρημοι πλήρεις προβάτων ἀνθρώπων, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

21. Et peperci eis propter nomen meum sanctum, quod polluerant domus Israel in gentibus quo ingressi sunt illuc.

22. Idcirco dic domui Israel : Hæc dicit Dominus : Non vobis ego facio, domus Israel, sed propter nomen meum sanctum, quod polluistis in gentibus quo intrastis illuc.

23. Et sanctificabo nomen meum magnum, quod pollutum est in gentibus, quod polluistis in medio earum, et scient gentes quia ego sum Dominus, cum sanctificatus fuero in vobis ante oculos earum.

24. Et tollam vos de gentibus, et congregabo vos de universis terris, et introducam vos in terram vestram.

25. Et aspergam super vos aquam mundam, et mundabimini ab omnibus immunditiis vestris, et ab omnibus idolis vestris, et mundabo vos.

26. Et dabo vobis cor novum, et spiritum novum dabo in vobis, et auferam cor lapideum de carne vestra, et dabo vobis cor carneum :

27. et spiritum meum dabo in vobis, et faciam ut in justificationibus meis ambuletis, et judicia mea custodiatis et faciatis.

28. Et habitabitis in terra quam dedi patribus vestris, et eritis mihi in populum, et ego ero vobis in Deum.

29. Et salvos vos faciam ex universis immunditiis vestris, et vocabo frumentum, et multiplicabo illud, et non dabo super vos famem.

30. Et multiplicabo fructum ligni et genimina agri, ut non portetis opprobrium famis in gentibus.

31. Et recordabimini viarum vestrarum pessimarum, studiorumque vestrorum non bonorum, et displicebitis ante faciem ipsorum in iniquitatibus vestris, et super abominationibus vestris.

32. Non propter vos ego facio, dicit Dominus Dominus, notum est vobis. Confundimini et erubescite de viis vestris, domus Israel.

33. Hæc dicit Adonai Dominus : In die qua mundabo vos ex omnibus iniquitatibus vestris, et habitari faciam urbes, et ædificabuntur solitudines,

34. et terra deserta excoletur, pro eo quod desolata erat ante oculos omnis viatoris,

35. et dicent : Terra illa deserta facta est ut hortus deliciarum, et civitates desertæ et dissipatæ atque suffossæ munitæ sederunt.

36. Et scient gentes, quæ derelictæ fuerint in circuitu vestro, quia ego Dominus ædificavi destructas, et plantavi deletas. Ego Dominus locutus sum, et faciam.

37. Hæc dicit Adonai Dominus : Adhuc in hoc quærar domui Israel ut faciam eos, multiplicabo eos sicut oves homines,

38. ut oves sanctas, ut oves Jerusalem in solemnitatibus ejus. Sic erunt civitates desertæ plenæ ovium hominum, et scient quia ego Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

1. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι Κύριος, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων,

2. καὶ περιήγαγέ με ἐπ' αὐτὰ κυκλόθεν κύκλῳ, καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα.

3. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστέα ταῦτα; Καὶ εἶπα· Κύριε, Κύριε, σὺ ἐπίστη ταῦτα.

4. Καὶ εἶπε πρὸς μέ· Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα, καὶ ἐρεῖς αὐτοῖς· Τὰ ὀστᾶ τὰ ξηρὰ, ἀκούσατε λόγον Κυρίου.

5. Τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις· Ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς,

6. καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ' ὑμᾶς σάρκα, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος.

7. Καὶ προεφήτευσα καθὼς ἐνετείλατό μοι, καὶ ἐγένετο, ἐν τῷ ἐμὲ προφητεῦσαι, καὶ ἰδοὺ σεισμὸς, καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ.

8. Καὶ ἴδον, καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρματα ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν ἐπ' αὐτοῖς.

9. Καὶ εἶπε πρὸς μέ· Προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ πνεύματι· Τάδε λέγει Κύριος· Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ, καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν.

10. Καὶ προεφήτευσα καθότι ἐνετείλατό μοι, καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα.

11. Καὶ ἐλάλησε Κύριος πρὸς μὲ, λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν, καὶ αὐτοὶ λέγουσι· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν.

12. Διὰ τοῦτο προφήτευσον, καὶ εἰπόν· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ,

13. καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν, τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου.

14. Καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος. Λελάληκα καὶ ποιήσω, λέγει Κύριος.

15. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

16. Υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ ῥάβδον, καὶ γράψον ἐπ' αὐτὴν τὸν Ἰούδαν, καὶ τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προσκειμένους ἐπ' αὐτόν. Καὶ ῥάβδον δευτέραν λήψη σεαυτῷ, καὶ γράψεις αὐτὴν τῷ Ἰωσὴφ, ῥάβδον Ἐφραὶμ, καὶ πάντας τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προστεθέντας πρὸς αὐτόν.

17. Καὶ συνάψεις αὐτὰς πρὸς ἀλλήλας σαυτῷ εἰς ῥάβδον μίαν, τοῦ δῆσαι ἑαυτὰς, καὶ ἔσονται ἐν τῇ χειρί σου.

18. Καὶ ἔσται, ὅταν λέγωσι πρὸς σὲ οἱ υἱοὶ τοῦ λαοῦ σου· Οὐκ ἀναγγέλλεις ἡμῖν, τί ἐστι ταῦτά σοι;

19. Καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ λήψομαι τὴν φυλὴν Ἰωσὴφ, τὴν διὰ χειρὸς

CAPUT XXXVII.

1. Et facta est super me manus Domini, et eduxit me in spiritu Dominus, et posuit me in medio campi, et hic erat plenus ossium hominum,

2. et circumduxit me super ea per gyrum in circuitu, et ecce multa nimis super faciem campi, arida vehementer.

3. Et dixit ad me : Fili hominis, si vivent ossa hæc? Et dixi : Domine, Domine, tu nosti hæc.

4. Et dixit ad me : Propheta super ossa ista, et dices eis : Ossa arida, audite verbum Domini.

5. Hæc dicit Dominus ossibus istis : Ecce ego affero super vos spiritum vitæ,

6. et dabo super vos nervos, et inducam super vos carnem, et extendam super vos pellem, et dabo spiritum meum in vos, et vivetis, et cognoscetis quoniam ego sum Dominus.

7. Et prophetavi sicut præcepit mihi, et factum est, cum ego prophetarem, et ecce commotio, et accedebant ossa invicem ad juncturam suam.

8. Et vidi, et ecce super ea nervi et carnes oriebantur, et ascendebant super ea pelles desuper, et spiritus non erat in eis.

9. Et dixit ad me : Propheta super spiritum, propheta, fili hominis, et dic spiritui : Hæc dicit Dominus : A quatuor spiritibus veni, et insuffla in mortuos istos, et vivant.

10. Et prophetavi sicut præceperat mihi, et ingressus est in eos spiritus, et vixerunt, et steterunt in pedibus suis, congregatio multa nimis.

11. Et locutus est Dominus ad me, dicens : Fili hominis, ossa hæc omnis domus Israel est, et ipsi dicunt : Arida facta sunt ossa nostra, periit spes nostra, dissonuimus.

12. Propterea vaticinare, et dic : Hæc dicit Dominus : Ecce ego aperio memorias vestras, et reducam vos de sepulcris vestris, et introducam vos in terram Israel,

13. et cognoscetis quoniam ego sum Dominus, cum aperuero sepulcra vestra, ut educam de sepulcris populum meum.

14. Et dabo spiritum meum in vobis, et vivetis, et ponam vos super terram vestram, et cognoscetis quia ego Dominus. Locutus sum et faciam, dicit Dominus.

15. Et factus est sermo Domini ad me, dicens :

16. Fili hominis, assume tibi virgam, et scribe super eam Judam, et filios Israel qui appositi sunt ei. Et virgam secundam assumes tibi, et scribes eam ipsi Joseph, virgam Ephraim, et omnes filios Israel qui appositi sunt ei.

17. Et conjunges eas invicem tibi in virgam unam, ut copules eas, et erunt in manu tua.

18. Et erit, quando dixerint tibi filii populi mei : Non indicas nobis, quid sint ista tibi?

19. Et dices ad eos : Hæc dicit Dominus : Ecce ego assumam tribum Joseph, quæ in manu Ephraim, et tribus

Ἐφραὶμ, καὶ τὰς φυλὰς Ἰσραὴλ τὰς προσκειμένας πρὸς αὐτὸν, καὶ δώσω αὐτοὺς ἐπὶ τὴν φυλὴν Ἰούδα, καὶ ἔσονται εἰς ῥάβδον μίαν τῇ χειρὶ Ἰούδα.

20. Καὶ ἔσονται αἱ ῥάβδοι ἐφ' αἷς σὺ ἔγραψας ἐπ' αὐταῖς ἐν τῇ χειρί σου ἐνώπιον αὐτῶν.

21. Καὶ ἐρεῖς αὐτοῖς· Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶκον Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ συνάξω αὐτοὺς ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν, καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ,

22. καὶ δώσω αὐτοὺς εἰς ἔθνος ἐν τῇ γῇ μου, καὶ ἐν τοῖς ὄρεσιν Ἰσραήλ. Καὶ ἄρχων εἷς ἔσται αὐτῶν, καὶ οὐκ ἔσονται ἔτι εἰς δύο ἔθνη, οὐδὲ μὴ διαιρεθῶσιν οὐκέτι εἰς δύο βασιλείας,

23. ἵνα μὴ μιαίνωνται ἔτι ἐν τοῖς εἰδώλοις αὐτῶν. Καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνομιῶν αὐτῶν ὧν ἡμάρτοσαν ἐν αὐταῖς, καὶ καθαριῶ αὐτοὺς, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ Κύριος ἔσομαι αὐτοῖς εἰς Θεόν.

24. Καὶ ὁ δοῦλός μου Δαυὶδ ἄρχων ἐν μέσῳ αὐτῶν, ἔσται ποιμὴν εἷς πάντων, ὅτι ἐν τοῖς προστάγμασί μου πορεύσονται, καὶ τὰ κρίματά μου φυλάξονται καὶ ποιήσουσιν αὐτά,

25. καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ἰακὼβ, οὗ κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν, καὶ κατοικήσουσιν ἐπ' αὐτῆς αὐτοί. Καὶ Δαυὶδ ὁ δοῦλός μου ἄρχων εἰς τὸν αἰῶνα·

26. καὶ διαθήσομαι αὐτοῖς διαθήκην εἰρήνης, διαθήκη αἰωνία ἔσται μετ' αὐτῶν. Καὶ θήσω τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα,

27. καὶ ἔσται ἡ κατασκήνωσίς μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοί μου ἔσονται λαός.

28. Καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος ὁ ἁγιάζων αὐτοὺς, ἐν τῷ εἶναι τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

1. Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων·

2. Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Γὼγ καὶ τὴν γῆν τοῦ Μαγὼγ, ἄρχοντα Ῥὼς, Μεσὸχ, καὶ Θοβὲλ, καὶ προφήτευσον ἐπ' αὐτὸν,

3. καὶ εἰπὸν αὐτῷ· Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ ἄρχοντα, Ῥὼς, Μεσὸχ, καὶ Θοβὲλ,

4. καὶ συνάξω σε, καὶ πᾶσαν τὴν δύναμίν σου, ἵππους καὶ ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας συναγωγῇ πολλῇ, πέλται καὶ περικεφαλαῖαι καὶ μάχαιραι.

5. Πέρσαι, καὶ Αἰθίοπες, καὶ Λίβυες, πάντες περικεφαλαίαις καὶ πέλταις,

6. Γομὲρ, καὶ πάντες οἱ περὶ αὐτὸν, οἶκος τοῦ Θοργαμὰ ἀπ' ἐσχάτου βοῤῥᾶ, καὶ πάντες οἱ περὶ αὐτὸν, καὶ ἔθνη πολλὰ μετὰ σοῦ.

7. Ἑτοιμάσθητι, ἑτοίμασον σεαυτὸν, σὺ καὶ πᾶσα ἡ συναγωγή σου, ἡ συνηγμένη μετὰ σοῦ, καὶ ἔσῃ μοι εἰς προφυλακήν.

8. Ἀφ' ἡμερῶν πλειόνων ἑτοιμασθήσεται, καὶ ἐπ' ἐσχάτου ἐτῶν ἐλεύσεται, καὶ ἥξει εἰς τὴν γῆν τὴν ἀπεστραμμένην ἀπὸ μαχαίρας, συνηγμένων ἀπὸ ἐθνῶν πολλῶν ἐπὶ γῆν Ἰσραὴλ ἣ ἐγενήθη ἔρημος δι' ὅλου, καὶ οὗτος ἐξ ἐθνῶν ἐξελήλυθε, καὶ κατοικήσουσιν ἐπ' εἰρήνης ἅπαντες.

Israel quæ adjunctæ sunt ei, et dabo eos super tribum Judam, et erunt in virgam unam manui Juda.

20. Et erunt virgæ in quibus tu scripsisti in eis in manu tua coram eis.

21. Et dices eis : Hæc dicit Dominus Dominus : Ecce ego assumo omnem domum Israel de medio gentium quo ingressi sunt illuc, et congregabo eos ex omnibus qui in circuitu eorum sunt, et inducam eos in terram Israel,

22. et dabo eos in gentem in terra mea, et in montibus Israel. Et princeps unus erit eorum, et non erunt ultra in duas gentes, nec dividentur ultra in duo regna,

23. ut non polluantur ultra in idolis suis. Et eruam eos ex omnibus iniquitatibus eorum in quibus peccaverunt, et mundabo eos, et erunt mihi in populum, et ego Dominus ero eis in Deum.

24. Et servus meus David princeps in medio eorum, erit pastor unus omnium, quia in præceptis meis ambulabunt, et judicia mea custodient et facient ea,

25. et habitabunt in terra sua, quam ego dedi servo meo Jacob, ubi habitaverunt illic patres eorum, et habitabunt in ea ipsi. Et David servus meus princeps in perpetuum :

26. et disponam eis testamentum pacis, testamentum sempiternum erit cum eis. Et ponam sancta mea in medio eorum in perpetuum,

27. et erit tabernaculum meum in eis, et ero eis Deus, et ipsi meus erunt populus.

28. Et scient gentes quia ego sum Dominus qui sanctifico eos, cum fuerint sancta mea in medio eorum in perpetuum.

CAPUT XXXVIII.

1. Et factus est sermo Domini ad me, dicens :

2. Fili hominis, obfirma faciem tuam super Gog et terram Magog, principem Rhos, Mesoch, et Thobel, et vaticinare super eum,

3. et dic ei : Hæc dicit Dominus Dominus : Ecce ego super te principem, Rhos, Mesoch, et Thobel,

4. et congregabo te, et omnem exercitum tuum, equos et equites vestitos loricis universos congregatione multa, peltæ et galeæ et gladii.

5. Persæ, et Æthiopes, et Libyes, omnes galeis et peltis,

6. Gomer, et omnes qui circa eum, domus Thorgama ab extremo aquilonis, et omnes qui circa eum, et gentes multæ tecum.

7. Præparare, præpara te, tu et omnis congregatio tua, quæ collecta est tecum, et eris mihi in custodiam.

8. A diebus plurimis præparabitur, et in novissimo annorum veniet, et veniet in terram quæ perversa est a gladio, collectis de gentibus multis super terram Israel quæ facta est deserta omnino, et hic ex gentibus egressus est, et habitabunt in pace omnes.

9. Καὶ ἀναβήσῃ ὡς ὑετὸς, καὶ ἥξεις ὡς νεφέλη κατακαλύψαι γῆν, καὶ ἔσῃ σὺ καὶ πάντες οἱ περὶ σὲ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ.

10. Τάδε λέγει Κύριος Κύριος· Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναβήσεται ῥήματα ἐπὶ τὴν καρδίαν σου, καὶ λογιῇ λογισμοὺς πονηροὺς,

11. καὶ ἐρεῖς· Ἀναβήσομαι ἐπὶ γῆν ἀπεῤῥιμμένην, ἥξω ἐπὶ ἡσυχάζοντας ἐν τῇ ἡσυχίᾳ, καὶ οἰκοῦντας ἐπ' εἰρήνης, πάντας κατοικοῦντας γῆν, ἐν ᾗ οὐχ ὑπάρχει τεῖχος οὐδὲ μοχλοὶ, καὶ θύραι οὐκ εἰσὶν αὐτοῖς.

12. προνομεῦσαι προνομὴν, καὶ σκῦλα σκυλεῦσαι αὐτῶν, τοῦ ἐπιστρέψαι χεῖράς μου εἰς τὴν ἠρημωμένην ἣ κατῳκίσθη, καὶ ἐπ' ἔθνος συνηγμένον ἀπὸ ἐθνῶν πολλῶν, πεποιηκότας κτήσεις, κατοικοῦντας ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς.

13. Σαβὰ, καὶ Δαιδὰν, καὶ ἔμποροι Καρχηδόνιοι, καὶ πᾶσαι αἱ κῶμαι αὐτῶν ἐροῦσί σοι· Εἰς προνομὴν τοῦ προνομεῦσαι σὺ ἔρχῃ, καὶ σκυλεῦσαι σκῦλα, συνήγαγες συναγωγήν σου λαβεῖν ἀργύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν, τοῦ σκυλεῦσαι σκῦλα.

14. Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ Γώγ· Τάδε λέγει Κύριος· Οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῷ κατοικισθῆναι τὸν λαόν μου Ἰσραὴλ ἐπ' εἰρήνης, ἐγερθήσῃ;

15. Καὶ ἥξεις ἐκ τοῦ τόπου σου ἀπ' ἐσχάτου βοῤῥᾶ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ· ἀναβάται ἵππων πάντες, συναγωγὴ μεγάλη καὶ δύναμις πολλή.

16. Καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου Ἰσραὴλ ὡς νεφέλη καλύψαι γῆν. Ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἔσται, καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου, ἵνα γνῶσι πάντα τὰ ἔθνη ἐμὲ, ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον αὐτῶν.

17. Τάδε λέγει Κύριος Κύριος τῷ Γώγ· Σὺ εἶ περὶ οὗ ἐλάλησα πρὸ ἡμερῶν τῶν ἔμπροσθεν, διὰ χειρὸς τῶν δούλων μου τῶν προφητῶν τοῦ Ἰσραὴλ, ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσι, τοῦ ἀναγαγεῖν σε ἐπ' αὐτούς.

18. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ἡμέρᾳ ᾗ ἂν ἔλθῃ Γὼγ ἐπὶ τὴν γῆν Ἰσραὴλ, λέγει Κύριος Κύριος, ἀναβήσεται ὁ θυμός μου

19. καὶ ὁ ζῆλός μου· ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα· εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται σεισμὸς μέγας ἐπὶ γῆς Ἰσραὴλ,

20. καὶ σεισθήσονται ἀπὸ προσώπου Κυρίου οἱ ἰχθύες τῆς θαλάσσης, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία τοῦ πεδίου, καὶ πάντα τὰ ἑρπετὰ τὰ ἕρποντα ἐπὶ τῆς γῆς, καὶ πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ προσώπου τῆς γῆς· καὶ ῥαγήσεται τὰ ὄρη καὶ πεσοῦνται αἱ φάραγγες, καὶ πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται.

21. Καὶ καλέσω ἐπ' αὐτὸ καὶ πᾶν φόβον, λέγει Κύριος· μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσται.

22. Καὶ κρινῶ αὐτὸν θανάτῳ, καὶ αἵματι, καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης, καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ' αὐτὸν, καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ, καὶ ἐπ' ἔθνη πολλὰ μετ' αὐτοῦ.

23. Καὶ μεγαλυνθήσομαι, καὶ ἁγιασθήσομαι, καὶ ἐνδοξασθήσομαι, καὶ γνωσθήσομαι ἐναντίον ἐθνῶν πολλῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

1. Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γὼγ, καὶ

9. Et ascendes sicut pluvia, et venies sicut nubes ad operiendam terram, et eris tu et omnes qui circa te, et gentes multæ tecum.

10. Hæc dicit Dominus Dominus: Et erit in die illa, ascendent verba super cor tuum, et cogitabis cogitationes pessimas,

11. et dices : Ascendam super terram abjectam, veniam super quiescentes in quiete, et habitantes in pace, omnes habitantes terram, in qua non est murus neque vectes, et portæ non sunt eis,

12. ad prædandum prædam, et spoliandum spolia eorum, ad convertendum manum meam in desolatam quæ habitata est, et super gentem collectam de gentibus multis, qui fecerunt possessiones, habitantes super umbilicum terræ.

13. Sabba, et Dædan, et negotiatores Carthaginenses, et omnes villæ eorum dicent tibi : Ad prædandum prædam tu venis, et spoliandum spolia, congregasti congregationem tuam ad tollendum argentum et aurum, ad auferendum possessionem, ad spoliandum spolia.

14. Propterea vaticinare, fili hominis, et dic ad Gog : Hæc dicit Dominus : Nonne in die illa, cum habitaverit populus meus Israel in pace, consurges?

15. Et venies de loco tuo ab extremo aquilonis, et gentes multæ tecum : ascensores equorum omnes, congregatio magna et exercitus multus.

16. Et ascendes super populum meum Israel quasi nubes ut operias terram. In novissimis diebus erit, et adducam te super terram meam, ut sciant omnes gentes me, cum sanctificatus fuero in te coram eis.

17. Hæc dicit Dominus Dominus ad Gog : Tu es de quo locutus sum ante dies priores, per manum servorum meorum prophetarum Israel, in diebus illis et annis, ut adducerem te super eos.

18. Et erit in die illa, in die qua venerit Gog super terram Israel, ait Dominus Dominus, ascendet furor meus

19. et zelus meus : in igne iræ meæ locutus sum : si non in die illa erit commotio magna super terram Israel,

20. et commovebuntur a facie Domini pisces maris, et volatilia cœli, et bestiæ campi, et omnia reptilia quæ repunt super humum, cunctique homines qui sunt super faciem terræ : et scindentur montes et cadent valles, et omnis murus in terram corruet.

21. Et vocabo super ipsum etiam omnem formidinem, dicit Dominus : gladius hominis super fratrem suum erit.

22. Et judicabo eum morte, et sanguine, et pluvia inundante, et lapidibus grandinis, et ignem et sulphur pluam super eum, et super omnes qui cum eo, et super gentes multas cum eo.

23. Et magnificabor, et sanctificabor, et glorificabor, et notus ero in conspectu gentium multarum, et scient quia ego sum Dominus.

CAPUT XXXIX.

1. Et tu, fili hominis, vaticinare super Gog, et dic :

εἰπόν· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γὼγ ἄρχοντα Ῥὼς, Μεσὸχ, καὶ Θοβὲλ,

2. καὶ συνάξω σε, καὶ καθοδηγήσω σε, καὶ ἀναβιβῶ σε ἐπ' ἐσχάτου τοῦ βοῤῥᾶ, καὶ ἀνάξω σε ἐπὶ τὰ ὄρη τοῦ Ἰσραήλ.

3. Καὶ ἀπολῶ τὸ τόξον σου ἀπὸ τῆς χειρός σου τῆς ἀριστερᾶς, καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρός σου τῆς δεξιᾶς, καὶ καταβαλῶ σε

4. ἐπὶ τὰ ὄρη τὰ Ἰσραὴλ, καὶ πεσῇ σὺ καὶ πάντες οἱ περὶ σὲ, καὶ τὰ ἔθνη τὰ μετὰ σοῦ δοθήσονται εἰς πλήθη ὀρνέων, παντὶ πετεινῷ καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου δέδωκά σε καταβρωθῆναι.

5. Ἐπὶ προσώπου τοῦ πεδίου πεσῇ, ὅτι ἐγὼ ἐλάλησα, λέγει Κύριος.

6. Καὶ ἀποστελῶ πῦρ ἐπὶ Γὼγ, καὶ κατοικηθήσονται αἱ νῆσοι ἐπ' εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

7. Καὶ τὸ ὄνομά μου τὸ ἅγιον γνωσθήσεται ἐν μέσῳ λαοῦ μου Ἰσραὴλ, καὶ οὐ βεβηλωθήσεται τὸ ὄνομά μου τὸ ἅγιον οὐκέτι, καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος ἅγιος ἐν Ἰσραήλ.

8. Ἰδοὺ ἥκει, καὶ γνώσῃ ὅτι ἔσται, λέγει Κύριος Κύριος. Αὕτη ἐστὶν ἡ ἡμέρα ἐν ᾗ ἐλάλησα.

9. Καὶ ἐξελεύσονται οἱ κατοικοῦντες τὰς πόλεις Ἰσραὴλ, καὶ καύσουσιν ἐν τοῖς ὅπλοις, πέλταις καὶ κοντοῖς, καὶ τόξοις καὶ τοξεύμασι, καὶ ῥάβδοις χειρῶν καὶ λόγχαις, καὶ καύσουσιν ἐν αὐτοῖς πῦρ ἑπτὰ ἔτη·

10. καὶ οὐ μὴ λάβωσι ξύλα ἐκ τοῦ πεδίου, οὐδὲ μὴ κόψωσιν ἐκ τῶν δρυμῶν, ἀλλ' ἢ τὰ ὅπλα κατακαύσουσι πυρί· καὶ προνομεύσουσιν τοὺς προνομεύσαντας αὐτοὺς, καὶ σκυλεύσουσι τοὺς σκυλεύσαντας αὐτοὺς, λέγει Κύριος.

11. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, δώσω τῷ Γὼγ τόπον ὀνομαστὸν, μνημεῖον ἐν Ἰσραὴλ, τὸ πολυάνδριον τῶν ἐπελθόντων πρὸς τῇ θαλάσσῃ, καὶ περιοικοδομήσουσι τὸ περιστόμιον τῆς φάραγγος,

12. καὶ κατορύξουσιν ἐκεῖ τὸν Γὼγ καὶ πᾶν τὸ πλῆθος αὐτοῦ, καὶ κληθήσεται τότε τὸ πολυάνδριον τοῦ Γώγ.

13. Καὶ κατορύξουσιν αὐτοὺς οἶκος Ἰσραὴλ, ἵνα καθαρισθῇ ἡ γῆ ἐν ἑπταμήνῳ, καὶ κατορύξουσιν αὐτοὺς πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἔσται αὐτοῖς ὀνομαστὸν ᾗ ἡμέρᾳ ἐδοξάσθη, λέγει Κύριος.

14. Καὶ ἄνδρας διαπαντὸς διαστελοῦσιν ἐπιπορευομένους τὴν γῆν, θάψαι τοὺς καταλελειμμένους ἐπὶ προσώπου τῆς γῆς, καθαρίσαι αὐτὴν μετὰ τὴν ἑπτάμηνον, καὶ ἐκζητήσουσι.

15. Καὶ πᾶς ὁ διαπορευόμενος τὴν γῆν, καὶ ἰδὼν ὀστοῦν ἀνθρώπου, οἰκοδομήσει παρ' αὐτῷ σημεῖον, ἕως ὅτου θάψωσιν αὐτὸ οἱ θάπτοντες εἰς Γαὶ τὸ πολυάνδριον τοῦ Γώγ.

16. Καὶ γὰρ τὸ ὄνομα τῆς πόλεως, Πολυάνδριον. Καὶ καθαρισθήσεται ἡ γῆ.

17. Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰπόν· Τάδε λέγει Κύριος· Εἰπὸν παντὶ ὀρνέῳ πετεινῷ, καὶ πρὸς πάντα τὰ θηρία τοῦ πεδίου· Συνάχθητε καὶ ἔρχεσθε, συνάχθητε ἀπὸ πάντων τῶν περικύκλῳ ἐπὶ τὴν θυσίαν μου, ἣν τέθυκα ὑμῖν, θυσίαν μεγάλην ἐπὶ τὰ ὄρη Ἰσραὴλ, καὶ φάγεσθε κρέα, καὶ πίεσθε αἷμα.

18. Κρέα γιγάντων φάγεσθε, καὶ αἷμα ἀρχόντων τῆς γῆς πίεσθε, κριοὺς καὶ μόσχους καὶ τράγους, καὶ οἱ μόσχοι ἐστεατωμένοι πάντες.

Hæc dicit Dominus : Ecce ego super te Gog principem Rhos, Mesoch, et Thobel,

2. et congregabo te, et deducam te, et faciam ascendere te desuper extremo aquilonis, et adducam te super montes Israel.

3. Et perdam arcum tuum de manu tua sinistra, et sagittas tuas de manu tua dextera, et dejiciam te

4. super montes Israel, et cades tu et omnes qui circa te, et gentes quæ tecum dabuntur ad multitudines avium, omni volatili et omnibus bestiis campi dedi te ad devorandum.

5. Super faciem campi cades, quia ego locutus sum, dicit Dominus.

6. Et emittam ignem in Gog, et habitabuntur insulæ in pace, et scient quia ego sum Dominus.

7. Et nomen meum sanctum notum fiet in medio populi mei Israel, et non polluetur nomen meum sanctum amplius, et scient gentes quoniam ego sum Dominus sanctus in Israel.

8. Ecce venit, et scies quoniam erit, dicit Dominus Dominus. Hæc est dies in qua locutus sum.

9. Et egredientur habitatores urbium Israel, et succendent in armis, peltis et contis, et arcubus et sagittis, et baculis manuum et lanceis, et succendent in eis ignem septem annis :

10. et non assument ligna de campo, neque succident de saltibus, sed arma comburent igni : et deprædabuntur eos quibus prædæ fuerant, et spoliabunt spoliatores suos, ait Dominus.

11. Et erit in die illa, dabo Gog locum nominatum, monumentum in Israel, polyandrion eorum qui venerint ad mare, et ædificabunt per circuitum os vallis,

12. et defodient ibi Gog et omnem multitudinem ejus, et vocabitur tunc polyandrion Gog.

13. Et defodient eos domus Israel, ut mundetur terra in septem mensibus, et defodient eos omnis populus terræ, et erit eis inclytum qua die glorificatus fuerit, ait Dominus.

14. Et viros jugiter secernent circumeuntes terram, ad sepeliendum eos qui remanserint super faciem terræ, ut emundent eam post septem menses, et quærent.

15. Et omnis peragrans terram, et videns os hominis, ædificabit apud illud, signum, donec sepeliant illud pollinctores in Gai polyandrio Gog.

16. Nam et nomen civitatis, Polyandrion. Et mundabitur terra.

17. Et tu, fili hominis, dic : Hæc dicit Dominus : Dic omni avi volatili, et ad omnes bestias campi : Congregamini et venite, congregamini ab omnibus per circuitum ad victimam meam, quam immolavi vobis, victimam grandem super montes Israel, et comedetis carnes, et bibetis sanguinem.

18. Carnes gigantum comedetis, et sanguinem principum terræ bibetis, arietes et vitulos et hircos, et vituli omnes adipati.

19. Καὶ φάγεσθε στέαρ εἰς πλησμονὴν, καὶ πίεσθε αἷμα εἰς μέθην ἀπὸ τῆς θυσίας μου ἧς ἔθυσα ὑμῖν.

20. Καὶ ἐμπλησθήσεσθε ἐπὶ τῆς τραπέζης μου, ἵππον καὶ ἀναβάτην καὶ γίγαντα καὶ πάντα ἄνδρα πολεμιστὴν, λέγει Κύριος.

21. Καὶ δώσω τὴν δόξαν μου ἐν ὑμῖν, καὶ ὄψονται πάντα τὰ ἔθνη τὴν κρίσιν μου ἣν ἐποίησα, καὶ τὴν χεῖρά μου ἣν ἐπήγαγον ἐπ' αὐτούς.

22. Καὶ γνώσονται οἶκος Ἰσραὴλ ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα.

23. Καὶ γνώσονται πάντα τὰ ἔθνη ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν ᾐχμαλωτεύθησαν οἶκος Ἰσραὴλ, ἀνθ' ὧν ἠθέτησαν εἰς ἐμὲ, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ παρέδωκα αὐτοὺς εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῶν, καὶ ἔπεσαν πάντες μαχαίρᾳ.

24. Κατὰ τὰς ἀκαθαρσίας αὐτῶν καὶ κατὰ τὰ ἀνομήματα αὐτῶν ἐποίησα αὐτοῖς, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν.

25. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· Νῦν ἀποστρέψω αἰχμαλωσίαν ἐν Ἰακὼβ, καὶ ἐλεήσω τὸν οἶκον Ἰσραὴλ, καὶ ζηλώσω διὰ τὸ ὄνομα τὸ ἅγιόν μου.

26. Καὶ λήψονται τὴν ἀτιμίαν αὐτῶν, καὶ τὴν ἀδικίαν ἣν ἠδίκησαν ἐν τῷ κατοικισθῆναι αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν ἐπ' εἰρήνης· καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν

27. ἐν τῷ ἀποστρέψαι με αὐτοὺς ἐκ τῶν ἐθνῶν, καὶ συναγαγεῖν με αὐτοὺς ἐκ τῶν χωρῶν τῶν ἐθνῶν· καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς ἐνώπιον τῶν ἐθνῶν,

28. καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, ἐν τῷ ἐπιφανῆναί με αὐτοῖς ἐν τοῖς ἔθνεσι.

29. Καὶ οὐκ ἀποστρέψω οὐκέτι τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, ἀνθ' ὧν ἐξέχεα τὸν θυμόν μου ἐπὶ τὸν οἶκον Ἰσραὴλ, λέγει Κύριος Κύριος.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

1. Καὶ ἐγένετο ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλωσίας ἡμῶν, ἐν τῷ πρώτῳ μηνὶ, δεκάτῃ τοῦ μηνὸς, ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μετὰ τὸ ἁλῶναι τὴν πόλιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου,

2. καὶ ἤγαγέ με ἐν ὁράσει Θεοῦ εἰς τὴν γῆν Ἰσραὴλ, καὶ ἔθηκέ με ἐπ' ὄρος ὑψηλὸν σφόδρα, καὶ ἐπ' αὐτῷ ὡσεὶ οἰκοδομὴ πόλεως ἀπέναντι,

3. καὶ εἰσήγαγέ με ἐκεῖ· καὶ ἰδοὺ ἀνὴρ, καὶ ἡ ὅρασις αὐτοῦ ἦν ὡσεὶ ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἦν σπαρτίον οἰκοδόμων, καὶ κάλαμος μέτρον, καὶ αὐτὸς εἱστήκει ἐπὶ τῆς πύλης,

4. καὶ εἶπε πρὸς μὲ ὁ ἀνήρ· Ὃν ἑώρακας, υἱὲ ἀνθρώπου, ἐν τοῖς ὀφθαλμοῖς σου ἴδε, καὶ ἐν τοῖς ὠσί σου ἄκουε, καὶ τάξον εἰς τὴν καρδίαν σου πάντα ὅσα ἐγὼ δεικνύω σοι, διότι ἕνεκα τοῦ δεῖξαί σοι εἰσελήλυθας ὧδε, καὶ δείξεις πάντα ὅσα σὺ ὁρᾷς τῷ οἴκῳ τοῦ Ἰσραήλ.

5. Καὶ ἰδοὺ περίβολος ἔξωθεν τοῦ οἴκου κύκλῳ, καὶ ἐν τῇ χειρὶ τοῦ ἀνδρὸς κάλαμος, τὸ μέτρον πηχῶν ἓξ ἐν πήχει καὶ παλαιστῆς, καὶ διεμέτρησε τὸ προτείχισμα, πλάτος ἴσον τῷ καλάμῳ, καὶ τὸ ὕψος αὐτοῦ ἴσον τῷ καλάμῳ.

6. Καὶ εἰσῆλθεν εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς ἐν ἑπτὰ ἀναβαθμοῖς, καὶ διεμέτρησε τὸ αἰλὰμ τῆς πύλης ἴσον τῷ καλάμῳ,

19. Et comedetis adipem ad saturitatem, et bibetis sanguinem ad ebrietatem de victima mea quam immolavi vobis.

20. Et saturabimini super mensam meam, de equo et ascensore et gigante et omni viro bellatore, ait Dominus.

21. Et dabo gloriam meam in vobis, et videbunt omnes gentes judicium meum quod feci, et manum meam quam induxi super eos.

22. Et scient domus Israel quia ego sum Dominus Deus eorum, a die hac et deinceps.

23. Et scient omnes gentes quoniam propter peccata sua capti fuerunt domus Israel, eo quod prævaricati sint in me, et averti faciem meam ab eis, et tradidi eos in manus inimicorum eorum, et ceciderunt omnes gladio.

24. Juxta immunditias eorum et iniquitates eorum feci eis, et averti faciem meam ab eis.

25. Propterea hæc dicit Dominus Dominus: Nunc reducam captivitatem in Jacob, et miserebor domui Israel, et assumam zelum propter nomen sanctum meum.

26. Et portabunt ignominiam suam, et injustitiam qua injuste egerunt cum habitaverint in terra sua in pace: et non erit qui exterreat

27. cum reduxero eos de gentibus, et congregavero eos de regionibus gentium: et sanctificabor in eis coram gentibus,

28. et scient quia ego sum Dominus Deus eorum, cum apparuero eis in gentibus.

29. Et non avertam ultra faciem meam ab eis, eo quod effuderim furorem meum super domum Israel, ait Dominus Dominus.

CAPUT XL.

1. Et factum est in quinto et vigesimo anno captivitatis nostræ, in primo mense, decima mensis, in quarto decimo anno postquam capta est civitas, in die illa facta est super me manus Domini,

2. et adduxit me in visione Dei in terram Israel, et posuit me super montem excelsum nimis, et in eo quasi ædificium civitatis e regione,

3. et introduxit me illuc: et ecce vir, et aspectus ejus erat quasi aspectus æris splendentis, et in manu ejus erat funiculus cœmentariorum, et calamus mensura, et ipse stabat in porta,

4. et dixit ad me vir: Quem vidisti, fili hominis, in oculis tuis vide, et in auribus tuis audi, et pone in cor tuum omnia quæ ostendero tibi, quia ut ostendantur tibi ingressus es huc, et monstrabis omnia quæ tu vides domui Israel.

5. Et ecce murus extra domum per gyrum, et in manu viri calamus, mensura cubitorum sex in cubito et palæstes, et mensus est antemurale, latitudinem æqualem calamo, et altitudinem ejus æqualem calamo.

6. Et ingressus est portam quæ respiciebat orientem in septem gradibus, et mensus est ælam portæ æqualem calamo,

7. καὶ τὸ θεὲ ἴσον τῷ καλάμῳ τὸ μῆκος, καὶ ἴσον τῷ καλάμῳ τὸ πλάτος, καὶ τὸ αἰλὰμ ἀναμέσον τοῦ θεηλὰθ πηχῶν ἕξ· καὶ τὸ θεὲ τὸ δεύτερον ἴσον τῷ καλάμῳ πλάτος, καὶ ἴσον τῷ καλάμῳ μῆκος, καὶ τὸ αἰλὰμ πήχεων πέντε.

8. Καὶ τὸ θεὲ τὸ τρίτον ἴσον τῷ καλάμῳ μῆκος, καὶ ἴσον τῷ καλάμῳ πλάτος, καὶ τὸ αἰλὰμ τοῦ πυλῶνος, πλησίον τοῦ αἰλὰμ τῆς πύλης πηχῶν ὀκτὼ,

9. καὶ τὰ αἰλεῦ πηχῶν δύο· καὶ τὰ αἰλὰμ τῆς πύλης ἔσωθεν,

10. καὶ τὰ θεὲ τῆς πύλης τοῦ θεὲ κατέναντι, τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ μέτρον ἐν τοῖς τρισίν· μέτρον ἐν τοῖς αἰλὰμ ἔνθεν καὶ ἔνθεν.

11. Καὶ διεμέτρησε τὸ πλάτος τῆς θύρας τοῦ πυλῶνος, πηχῶν δέκα, καὶ τὸ εὖρος τοῦ πυλῶνος πηχῶν δεκατριῶν.

12. Καὶ πῆχυς ἐπισυναγόμενος ἐπὶ πρόσωπον τῶν θεεὶμ ἔνθεν καὶ ἔνθεν, καὶ τὸ θεὲ πηχῶν ἓξ ἔνθεν, καὶ πηχῶν ἓξ ἔνθεν.

13. Καὶ διεμέτρησε τὴν πύλην ἀπὸ τοῦ τοίχου τοῦ θεὲ ἐπὶ τὸν τοῖχον τοῦ θεὲ, πλάτος πήχεις εἴκοσι καὶ πέντε· αὕτη πύλη ἐπὶ πύλην.

14. Καὶ τὸ αἴθριον τοῦ αἰλὰμ τῆς πύλης ἔξωθεν, πήχεις εἴκοσι θεεὶμ τῆς πύλης κύκλῳ.

15. Καὶ τὸ αἴθριον τῆς πύλης ἔξωθεν, εἰς τὸ αἴθριον αἰλὰμ τῆς πύλης ἔσωθεν πηχῶν πεντήκοντα.

16. Καὶ θυρίδες κρυπταὶ ἐπὶ τὸ θεεὶμ, καὶ ἐπὶ τὰ αἰλὰμ ἔσωθεν τῆς πύλης τῆς αὐλῆς κυκλόθεν. Καὶ ὡσαύτως τοῖς αἰλὰμ θυρίδας κύκλῳ ἔσωθεν, καὶ ἐπὶ τὸ αἰλὰμ φοίνικες ἔνθεν καὶ ἔνθεν.

17. Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ παστοφόρια, καὶ περίστυλα κύκλῳ τῆς αὐλῆς, τριάκοντα παστοφόρια ἐν τοῖς περιστύλοις,

18. καὶ αἱ στοαὶ κατὰ νώτου τῶν πυλῶν, κατὰ τὸ μῆκος τῶν πυλῶν τὸ περίστυλον τὸ ὑποκάτω.

19. Καὶ διεμέτρησε τὸ πλάτος τῆς αὐλῆς, ἀπὸ τοῦ αἰθρίου τῆς πύλης τῆς ἐξωτέρας ἔσωθεν ἐπὶ τὸ αἴθριον τῆς πύλης τῆς βλεπούσης ἔξω, πήχεις ἑκατὸν τῆς βλεπούσης κατὰ ἀνατολάς. Καὶ ἤγαγέ με ἐπὶ βοῤῥᾶν,

20. καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς βοῤῥᾶν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ, καὶ διεμέτρησεν αὐτὴν, τό, τε μῆκος αὐτῆς καὶ τὸ πλάτος,

21. καὶ τὸ θεὲ τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ τὸ αἰλεῦ, καὶ τὰ αἰλαμμὼν, καὶ τοὺς φοίνικας αὐτῆς. Καὶ ἐγένετο κατὰ τὰ μέτρα τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολὰς, πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ πηχῶν εἰκοσιπέντε τὸ εὖρος αὐτῆς.

22. Καὶ αἱ θυρίδες αὐτῆς, καὶ τὰ αἰλαμμὼν, καὶ οἱ φοίνικες αὐτῆς καθὼς ἡ πύλη ἡ βλέπουσα κατὰ ἀνατολάς. Καὶ ἐν ἑπτὰ κλιμακτῆρσιν ἀνέβαινον ἐπ' αὐτὸν, καὶ τὰ αἰλαμμὼν ἔσωθεν.

23. Καὶ πύλη τῇ αὐλῇ τῇ ἐσωτέρᾳ βλέπουσα ἐπὶ πύλην τοῦ βοῤῥᾶ, ὃν τρόπον τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς· Καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις ἑκατόν.

24. Καὶ ἤγαγέ με κατὰ νότον, καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς νότον, καὶ διεμέτρησεν αὐτὴν, καὶ τὰ θεὲ, καὶ τὰ αἰλεῦ, καὶ τὰ αἰλαμμὼν κατὰ τὰ μέτρα ταῦτα.

25. Καὶ αἱ θυρίδες αὐτῆς, καὶ τὰ αἰλαμμὼν κυκλό-

7. et thee æqualem calamo longitudinem, et æqualem calamo latitudine, et ælam in medio theelath cubitorum sex : et thee secundum æqualem calamo latitudine, et æqualem calamo longitudine, et ælam cubitorum quinque.

8. Et thee tertium æqualem calamo longitudine, et æqualem calamo latitudine, et ælam portæ, qui juxta ælam portæ cubitorum octo,

9. et æleu cubitorum duorum : et ælam portæ intrinsecus

10. et thee portæ thee e regione, tres hinc et tres inde, et mensura in tribus · mensura una ælam hinc et inde.

11. Et mensus est latitudinem introitus portæ, decem cubitorum, et latitudinem portæ cubitorum tredecim.

12. Et cubitus redigebatur in conspectu theim hinc et inde, et thee cubitorum sex hinc, et cubitorum sex inde.

13. Et mensus est portam a muro thee ad parietem thee, latitudinem viginti quinque cubitorum: hæc porta contra portam.

14. Et sub dio ælam portæ extrinsecus, cubiti viginti theim portæ per circuitum.

15. Et sub divo portæ extrinsecus, in sub divo ælam portæ intrinsecus quinquaginta cubitorum.

16. Et fenestræ absconditæ super theim, et super ælam intra portam atrii per circuitum. Et similiter ipsis ælam fenestras in circuitu intrinsecus, et super ælam palmæ hinc et inde.

17. Et introduxit me in atrium interius, et ecce pastophoria, et intercolumnia atrii, triginta pastophoria in intercolumniis,

18. et porticus ad dorsum januarum, secundum longitudinem januarum intercolumnium inferius

19. Et mensus est latitudinem atrii, ab eo loco qui erat sub divo portæ exterioris ad intus sub divo portæ respicientis extra, cubitos centum respicientis ad orientem. Et adduxit me ad aquilonem,

20. et ecce porta respiciens ad aquilonem atrio exteriori, et mensus est eam, longitudinem ejus et latitudinem,

21. et thee tres hinc et tres inde, et æleu, et ælammon, et palmas ejus. Et factum est secundum mensuras portæ quæ respicit orientem, quinquaginta cubitorum longitudo ejus, et latitudo ejus viginti quinque cubitorum.

22. Et fenestræ ejus, et ælammon, et palmæ ejus sicut porta quæ respiciebat orientem. Et in gradibus septem ascendebant ad eum, et ælammon intrinsecus.

23. Et porta atrii interioris respiciens ad portam aquilonis, sicut porta quæ respicit ad orientem. Et mensus est atrium a porta ad portam, cubitos centum.

24. Et duxit me ad austrum, et ecce porta respiciens ad austrum, et mensus est eam, et thee, et æleu, et ælammon, juxta mensuras has.

25. Et fenestræ ejus, et ælammon in circuitu, sicut fe-

θεν, καθὼς αἱ θυρίδες τοῦ αἰλὰμ, πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ πηχῶν εἰκοσιπέντε τὸ εὖρος αὐτῆς,

26. καὶ ἑπτὰ κλιμακτῆρες αὐτῇ, καὶ αἰλαμμὼν ἔσωθεν, καὶ φοίνικες αὐτῇ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν ἐπὶ τὰ αἰλεῦ.

27. Καὶ πύλη κατέναντι τῆς πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας πρὸς νότον. Καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις ἑκατὸν τὸ εὖρος πρὸς νότον.

28. Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τῆς πύλης τῆς πρὸς νότον, καὶ διεμέτρησε τὴν πύλην κατὰ τὰ μέτρα ταῦτα,

29. καὶ τὰ θεὲ, καὶ τὰ αἰλεῦ, καὶ τὰ αἰλαμμὼν κατὰ τὰ μέτρα ταῦτα, καὶ θυρίδες αὐτῇ, καὶ τῷ αἰλαμμὼν κύκλῳ, πήχεις πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ τὸ εὖρος πήχεις εἰκοσιπέντε (*)

31. τοῦ αἰλὰμ εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεῦ, καὶ ὀκτὼ κλιμακτῆρες.

32. Καὶ εἰσήγαγέ με εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ διεμέτρησεν αὐτὴν κατὰ τὰ μέτρα ταῦτα,

33. καὶ τὰ θεὲ, καὶ τὰ αἰλεῦ, καὶ τὰ αἰλαμμὼν κατὰ τὰ μέτρα ταῦτα, καὶ θυρίδες αὐτῇ καὶ αἰλαμμὼν. κύκλῳ, πήχεις πεντήκοντα μῆκος αὐτῆς, καὶ εὖρος αὐτῆς πήχεις εἰκοσιπέντε.

34. Καὶ αἰλαμμὼν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ φοίνικες ἐπὶ τοῦ αἰλεῦ ἔνθεν καὶ ἔνθεν, καὶ ὀκτὼ κλιμακτῆρες αὐτῇ.

35. Καὶ εἰσήγαγέ με εἰς τὴν πύλην τὴν πρὸς βοῤῥᾶν, καὶ διεμέτρησε κατὰ τὰ μέτρα ταῦτα,

36. καὶ τὰ θεὲ, καὶ τὰ αἰλεῦ, καὶ τὰ αἰλαμμὼν, καὶ θυρίδες αὐτῇ κύκλῳ· καὶ τὸ αἰλαμμὼν αὐτῆς, πήχεις πεντήκοντα μῆκος αὐτῆς, καὶ εὖρος πήχεις εἰκοσιπέντε,

37. καὶ τὰ αἰλαμμὼν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεῦ ἔνθεν καὶ ἔνθεν, καὶ ὀκτὼ κλιμακτῆρες αὐτῇ·

38. (**) τὰ παστοφόρια αὐτῆς καὶ τὰ θυρώματα αὐτῆς,

39. καὶ τὰ αἰλαμμὼν αὐτῆς ἐπὶ τῆς πύλης τῆς δευτέρας ἔκρυσις, ὅπως σφάζωσιν ἐν αὐτῇ τὰ ὑπὲρ ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας.

40. Καὶ κατὰ νώτου τοῦ ῥύακος τῶν ὁλοκαυτωμάτων τῆς βλεπούσης πρὸς βοῤῥᾶν, δύο τράπεζαι πρὸς ἀνατολὰς κατὰ νώτου τῆς δευτέρας, καὶ τοῦ αἰλὰμ τῆς πύλης δύο τράπεζαι κατὰ ἀνατολάς·

41. τέσσαρες ἔνθεν, καὶ τέσσαρες ἔνθεν κατὰ νώτου τῆς πύλης, ἐπ' αὐτὰς σφάζουσι τὰ θύματα. Κατέναντι τῶν ὀκτὼ τραπεζῶν τῶν θυμάτων,

42. καὶ τέσσαρες τράπεζαι τῶν ὁλοκαυτωμάτων λίθιναι λελαξευμέναι, πήχεως καὶ ἡμίσους τὸ πλάτος, καὶ πήχεων δύο ἡμίσους τὸ μῆκος, καὶ ἐπὶ πῆχυν τὸ ὕψος. Ἐπ' αὐτὰ ἐπιθήσουσι τὰ σκεύη ἐν οἷς σφάζουσιν ἐκεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ θύματα.

(*) 30. Καὶ αἰλαμμὼθ κύκλῳ μῆκος πέντε καὶ εἴκοσι πήχεων, καὶ πλάτος πέντε πήχεων. (*Alex.*)

(**) 38. Τὰ παστοφόρια αὐτῆς, καὶ τὰ θυρώματα αὐτῆς, καὶ τὰ αἰλαμμὼθ αὐτῆς ἐπὶ τῆς πύλης τῆς δευτέρας ἔκρυσις, ἐκεῖ πλυνοῦσι τὴν ὁλοκαύτωσιν.

39. Ἐν δὲ τῷ αἰλὰμ τῆς πύλης δύο τράπεζαι ἔνθεν, καὶ δύο τράπεζαι ἔνθεν, ἐκ χρυσίου, ὅπως σφάζωσιν τὴν ὁλοκαύτωσιν καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας. (*Alex.*)

nestræ ælam, cubitorum quinquaginta longitudo ejus, et cubitorum viginti quinque latitudo ejus,

26. et septem gradus ei, et ælammon intrinsecus, et palmæ ei, una hinc et una inde super æleu.

27. Et porta e regione portæ atrii interioris ad austrum. Et mensus est atrium a porta ad portam, cubitos centum latitudine ad austrum.

28. Et introduxit me in atrium interius portæ quæ ad austrum, et mensus est portam juxta mensuras has,

29. et thee, et æleu, et ælammon juxta mensuras has et fenestræ ei, et ælammon in circuitu, cubitorum quinquaginta longitudo ejus et latitudo cubitorum viginti quinque

31. ipsius ælam in atrium exterius, et palmæ æleu, et octo gradus.

32. Et introduxit me ad portam respicientem ad orientem, et mensus est eam juxta mensuras has,

33. et thee, et æleu, et ælammon juxta mensuras has, et fenestræ ei et ælammon in circuitu, cubitorum quinquaginta longitudo ejus, et latitudo ejus cubitorum viginti quinque.

34. Et ælammon in atrium interius, et palmæ super æleu hinc et inde, et octo gradus ei.

35. Et introduxit me ad portam quæ ad aquilonem, et mensus est juxta mensuras has,

36. et thee, et æleu, et ælammon, et fenestræ ei in circuitu: et ælammon ejus, cubitorum quinquaginta longitudo ejus, et latitudo cubitorum viginti quinque,

37. et ælammon in atrium exterius, et palmæ æleu hinc et inde, et octo gradus ei:

38. pastophoria ejus et januæ ejus,

39. et ælammon ejus super portam secundam aquæ ductus, ut immolent in ea quæ pro peccato et quæ pro ignorantia.

40. Et ad dorsum rivuli holocaustomatum respicientis ad aquilonem, duæ mensæ ad orientem ad dorsum secundæ, et ælam portæ duæ mensæ ad orientem:

41. quatuor hinc, et quatuor inde ad dorsum portæ, super ipsas jugulant victimas. E regione octo mensarum victimarum,

42. etiam quatuor mensæ holocaustomatum lapideæ dolatæ, cubiti cum dimidio latitudo, et cubitorum duorum cum dimidio longitudo, et super cubitum altitudo. Super ea imponent vasa in quibus jugulant ibi holocaustomata et victimas.

---

30. Et vestibulum per gyrum longitudine viginti quinque cubitorum, et latitudine quinque cubitorum.

38. Pastophoria ejus, et ostia ejus, et vestibula ejus super portam secundam aquæ ductus, ibi lavabunt holocaustum.

39. At in vestibulo portæ duæ mensæ hinc, et duæ mensæ inde, ex auro, ut immolent *super eas* holocaustum et quæ pro peccato, et quæ pro ignorantia.

43. Καὶ παλαιστὴν ἕξουσι γεῖσος λελαξευμένον ἔσωθεν κύκλῳ, καὶ ἐπὶ τὰς τραπέζας ἐπάνωθεν στέγας, τοῦ καλύπτεσθαι ἀπὸ τοῦ ὑετοῦ καὶ ἀπὸ τῆς ξηρασίας.

44. Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ δύο ἐξέδραι ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, μία κατὰ νώτου τῆς πύλης τῆς βλεπούσης πρὸς βοῤῥᾶν, φέρουσα πρὸς νότον, καὶ μία κατὰ νώτου τῆς πύλης τῆς πρὸς νότον, βλεπούσης δὲ πρὸς βοῤῥᾶν,

45. καὶ εἶπε πρός με· Ἡ ἐξέδρα αὕτη ἡ βλέπουσα πρὸς νότον, τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ οἴκου,

46. καὶ ἡ ἐξέδρα ἡ βλέπουσα πρὸς βοῤῥᾶν, τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ θυσιαστηρίου. Ἐκεῖνοί εἰσιν οἱ υἱοὶ Σαδδοὺκ, οἱ ἐγγίζοντες ἐκ τοῦ Λευὶ πρὸς Κύριον, λειτουργεῖν αὐτῷ.

47. Καὶ διεμέτρησε τὴν αὐλὴν, μῆκος πηχῶν ἑκατὸν, καὶ εὖρος πήχεις ἑκατὸν, ἐπὶ τὰ τέσσαρα μέρη αὐτῆς, καὶ τὸ θυσιαστήριον ἀπέναντι τοῦ οἴκου.

48. Καὶ εἰσήγαγέ με εἰς τὸ αἰλὰμ τοῦ οἴκου. Καὶ διεμέτρησε τὸ αἰλ τοῦ αἰλὰμ, πηχῶν πέντε τὸ πλάτος ἔνθεν, καὶ πηχῶν πέντε ἔνθεν, καὶ τὸ εὖρος τοῦ θυρώματος πηχῶν δεκατεσσάρων, καὶ ἐπωμίδες τῆς θύρας τοῦ αἰλὰμ πηχῶν τριῶν ἔνθεν, καὶ πηχῶν τριῶν ἔνθεν·

49. καὶ τὸ μῆκος τοῦ αἰλὰμ πηχῶν εἴκοσι, καὶ τὸ εὖρος πηχῶν δώδεκα· καὶ ἐπὶ δέκα ἀναβαθμῶν ἀνέβαινον ἐπ' αὐτὸ, καὶ στῦλοι ἦσαν ἐπὶ τὸ αἰλὰμ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν.

43. Et palæsten habebunt gisum dolatum intrinsecus per circuitum, et super mensas desuper tecta, ut operirentur a pluvia et a siccitate.

44. Et introduxit me in atrium interius, et ecce duæ exedræ in atrio interiori, una ad dorsum portæ respicientis ad aquilonem, quæ fert ad austrum, et una ad dorsum portæ quæ ad austrum, respicientis autem ad aquilonem,

45. et dixit ad me : Exedra hæc quæ respicit ad austrum, sacerdotibus custodientibus custodiam domus,

46. et exedra respiciens ad aquilonem, sacerdotibus custodientibus custodiam altaris. Illi sunt filii Sadduc, qui accedunt de Levi ad Dominum, ministrare ei.

47. Et mensus est atrium, longitudinem cubitorum centum, et latitudinem cubitorum centum, ad quatuor partes ejus, et altare e regione domus.

48. Et introduxit me in ælam domus. Et mensus est æl ipsius ælam, cubitorum quinque latitudinem hinc, et cubitorum quinque inde, et latitudinem portæ cubitorum quatuordecim, et humeri ostii ælam cubitorum trium hinc, et cubitorum trium inde :

49. et longitudo ælam cubitorum viginti, et latitudo cubitorum duodecim : et super decem gradus ascendebant ad illud, et columnæ erant ad ælam, una hinc et una inde.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

1. Καὶ εἰσήγαγέ με εἰς τὸν ναὸν, ᾧ διεμέτρησε τὸ αἰλὰμ πηχῶν ἓξ τὸ πλάτος ἔνθεν, καὶ πηχῶν ἓξ τὸ εὖρος τοῦ αἰλὰμ ἔνθεν,

2. καὶ τὸ εὖρος τοῦ πυλῶνος πηχῶν δέκα, καὶ ἐπωμίδες τοῦ πυλῶνος πηχῶν πέντε ἔνθεν, καὶ πηχῶν πέντε ἔνθεν. Καὶ διεμέτρησε τὸ μῆκος αὐτοῦ πηχῶν τεσσαράκοντα, καὶ τὸ εὖρος πηχῶν εἴκοσι.

3. Καὶ εἰσῆλθεν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ διεμέτρησε τὸ αἰλ τοῦ θυρώματος πηχῶν δύο, καὶ τὸ θύρωμα πηχῶν ἓξ, καὶ τὰς ἐπωμίδας τοῦ θυρώματος πηχῶν ἑπτὰ ἔνθεν, καὶ πηχῶν ἑπτὰ ἔνθεν.

4. Καὶ διεμέτρησε τὸ μῆκος τῶν θυρῶν πηχῶν τεσσαράκοντα, καὶ τὸ εὖρος πηχῶν εἴκοσι κατὰ πρόσωπον τοῦ ναοῦ. Καὶ εἶπε· Τοῦτο τὸ ἅγιον τῶν ἁγίων.

5. Καὶ διεμέτρησε τὸν τοῖχον τοῦ οἴκου πηχῶν ἓξ, καὶ τὸ εὖρος τῆς πλευρᾶς πηχῶν τεσσάρων κυκλόθεν,

6. καὶ πλευρὰ πλευρὸν ἐπὶ πλευρὸν τριάκοντα τρὶς δίς· καὶ διάστημα ἐν τῷ τοίχῳ τοῦ οἴκου ἐν τοῖς πλευροῖς κύκλῳ, τοῦ εἶναι τοῖς ἐπιλαμβανομένοις ὁρᾶν, ὅπως τὸ παράπαν μὴ ἅπτωνται τῶν τοίχων τοῦ οἴκου.

7. Καὶ τὸ εὖρος τῆς ἀνωτέρας τῶν πλευρῶν κατὰ τὸ πρόσθεμα ἐκ τοῦ τοίχου, πρὸς τὴν ἀνωτέραν κύκλῳ τοῦ οἴκου, ὅπως διαπλατύνηται ἄνωθεν, καὶ ἐκ τῶν κάτωθεν ἀναβαίνωσιν ἐπὶ τὰ ὑπερῷα, καὶ ἐκ τῶν γεισῶν ἐπὶ τὰ τριώροφα,

8. καὶ τὸ θραὲλ τοῦ οἴκου ὕψος κύκλῳ, διάστημα τῶν πλευρῶν ἴσον τῷ καλάμῳ πηχῶν ἕξ. Διαστήματα

9. καὶ εὖρος τοῦ τοίχου τῆς πλευρᾶς ἔξωθεν πηχῶν πέντε, καὶ τὰ ἀπόλοιπα τὰ ἀναμέσον τῶν πλευρῶν τοῦ οἴκου,

CAPUT XLI.

1. Et introduxit me in templum, cui mensus est ælam cubitorum sex latitudinem hinc, et cubitorum sex latitudinem ælam inde,

2. et latitudinem portæ cubitorum decem, et humeri portæ cubitorum quinque hinc, et cubitorum quinque inde. Et mensus est longitudinem ejus quadraginta cubitorum, et latitudinem viginti cubitorum.

3. Et ingressus est in atrium interius, et mensus est æl portæ cubitorum duorum, et portam sex cubitorum, et humeros portæ septem cubitorum hinc, et septem cubitorum inde.

4. Et mensus est longitudinem ostiorum cubitorum quadraginta, et latitudinem cubitorum viginti ad faciem templi. Et dixit : Hoc est sanctum sanctorum.

5. Et mensus est parietem domus cubitorum sex, et latitudinem lateris cubitorum quatuor per circuitum,

6. et latera latus ad latus triginta trium bis : et intervallum in pariete domus in lateribus per circuitum, ut esset apprehendentibus ad videndum, ut omnino non attingerent parietes domus.

7. Et latitudinem superioris lateris juxta additamentum ex pariete, ad superius in circuitu domus, ut dilatetur desuper, et ex inferioribus ascendant ad superiora, et de gisis ad tristega,

8. et thrael domus altitudinem per circuitum, intervallum lateram æquale calamo cubitorum sex. Intervalla

9. et latitudinem parietis lateris forinsecus cubitorum quinque, et reliqua quæ inter latera domus,

10. καὶ ἀναμέσον τῶν ἐξεδρῶν εὖρος πηχῶν εἴκοσι, τὸ περιφερὲς τῷ οἴκῳ κύκλῳ.

11. Καὶ αἱ θύραι τῶν ἐξεδρῶν ἐπὶ τὸ ἀπόλοιπον τῆς θύρας τῆς μιᾶς τῆς πρὸς βοῤῥᾶν· καὶ ἡ θύρα ἡ μία πρὸς νότον, καὶ τὸ εὖρος τοῦ φωτὸς τοῦ ἀπολοίπου, πηχῶν πέντε πλάτος κυκλόθεν.

12. Καὶ τὸ διορίζον κατὰ πρόσωπον τοῦ ἀπολοίπου ὡς πρὸς θάλασσαν, πηχῶν ἑβδομήκοντα πλάτος, τοῦ τοίχου τοῦ διορίζοντος πηχῶν πέντε εὖρος κυκλόθεν, καὶ μῆκος αὐτοῦ πηχῶν ἐνενήκοντα.

13. Καὶ διεμέτρησε κατέναντι τοῦ οἴκου μῆκος πηχῶν ἑκατὸν, καὶ τὰ ἀπόλοιπα καὶ τὰ διορίζοντα, καὶ οἱ τοῖχοι αὐτῶν, μῆκος πηχῶν ἑκατόν.

14. Καὶ τὸ εὖρος κατὰ πρόσωπον τοῦ οἴκου, καὶ τὰ ἀπόλοιπα κατέναντι πηχῶν ἑκατόν.

15. Καὶ διεμέτρησε μῆκος τοῦ διορίζοντος κατὰ πρόσωπον τοῦ ἀπολοίπου τῶν κατώπισθεν τοῦ οἴκου ἐκείνου, καὶ τὰ ἀπόλοιπα ἔνθεν καὶ ἔνθεν, πηχῶν ἑκατὸν τὸ μῆκος. Καὶ ὁ ναὸς καὶ αἱ γωνίαι, καὶ τὸ αἰλὰμ τὸ ἐξώτερον, πεφατνωμένα.

16. Καὶ αἱ θυρίδες δικτυωταὶ, ὑποφαύσεις κύκλῳ τοῖς τρισὶν, ὥστε διακύπτειν. Καὶ ὁ οἶκος καὶ τὰ πλησίον ἐξυλωμένα κύκλῳ, καὶ τὸ ἔδαφος καὶ ἐκ τοῦ ἐδάφους ἕως τῶν θυρίδων· καὶ αἱ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς εἰς τὸ διακύπτειν,

17. καὶ ἕως πλησίον τῆς ἐσωτέρας καὶ ἕως τῆς ἐξωτέρας. Καὶ ἐφ' ὅλον τὸν τοῖχον κύκλῳ, ἐν τῷ ἔσωθεν καὶ ἐν τῷ ἔξωθεν,

18. γεγλυμμένα Χερουβὶμ, καὶ φοίνικες ἀναμέσον Χεροὺβ καὶ ἀναμέσον Χερούβ. Δύο πρόσωπα τῷ Χεροὺβ,

19. πρόσωπον ἀνθρώπου πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, καὶ πρόσωπον λέοντος πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, διαγεγλυμμένος ὁ οἶκος κυκλόθεν.

20. Ἐκ τοῦ ἐδάφους ἕως τοῦ φατνώματος, τὰ Χερουβὶμ καὶ οἱ φοίνικες διαγεγλυμμένοι.

21. Καὶ τὸ ἅγιον καὶ ὁ ναὸς ἀναπτυσσόμενος τετράγωνα, κατὰ πρόσωπον τῶν ἁγίων ὅρασις ὡς ὄψις

22. θυσιαστηρίου ξυλίνου, πηχῶν τριῶν τὸ ὕψος αὐτοῦ, καὶ τὸ μῆκος πηχῶν δύο, καὶ τὸ εὖρος πηχῶν δύο. Καὶ κέρατα εἶχε, καὶ ἡ βάσις αὐτοῦ καὶ οἱ τοῖχοι αὐτοῦ ξύλινοι. Καὶ εἶπε πρός μέ· Αὕτη ἡ τράπεζα ἡ πρὸ προσώπου Κυρίου.

23. Καὶ δύο θυρώματα τῷ ναῷ, καὶ δύο θυρώματα τῷ ἁγίῳ,

24. τοῖς δυσὶ θυρώμασι τοῖς στροφωτοῖς· δύο θυρώματα τῷ ἑνὶ, καὶ δύο θυρώματα τῇ θύρᾳ τῇ δευτέρᾳ·

25. καὶ γλυφὴ ἐπ' αὐτῶν, καὶ ἐπὶ τὰ θυρώματα τοῦ ναοῦ Χερουβὶμ, καὶ φοίνικες κατὰ τὴν γλυφὴν τῶν ἁγίων, καὶ σπουδαῖα ξύλα κατὰ πρόσωπον τοῦ αἰλὰμ ἔξωθεν,

26. καὶ θυρίδες κρυπταί. Καὶ διεμέτρησεν ἔνθεν καὶ ἔνθεν, εἰς τὰ ὀροφώματα τοῦ αἰλὰμ, καὶ τὰ πλευρὰ τοῦ οἴκου ἐζυγωμένα.

10. et inter exedras latitudinem cubitorum viginti, circumferentiam domui in circuitu.

11. Et portæ exedrarum ad reliquum portæ unius quæ ad aquilonem : et ostium unum ad austrum, et latitudo luminis reliqui, cubitorum quinque latitudo in circuitu.

12. Et quod separat ad faciem reliqui quasi ad mare, cubitorum septuaginta latitudo, parietis separantis cubitorum quinque latitudo in circuitu, et longitudo ejus cubitorum nonaginta.

13. Et mensus est contra domum longitudinem cubitorum centum, et reliqua, et separantia, et parietes eorum, longitudinem cubitorum centum.

14. Et latitudinem contra faciem templi, et reliqua e contra cubitorum centum.

15. Et mensus est longitudinem separantis contra faciem reliqui quæ erant post tergum domus illius, et reliqua hinc et inde, cubitorum centum longitudinem. Et templum et anguli, et ælam exterius, strata ligno.

16. Et fenestræ in modum retis factæ, illuminationes in circuitu tribus, ad prospiciendum. Et domus et ea quæ proxima erant strata ligno per circuitum, et pavimentum et de pavimento usque ad fenestras : et fenestræ aperiebantur tripliciter ut prospiceretur per eas,

17. et usque prope interiorem et usque ad exteriorem. Et per omnem parietem in circuitu, intrinsecus et extrinsecus,

18. cælata Cherubim, et palmæ inter Cherub et Cherub. Duæ facies Cherub,

19. facies hominis ad palmam hinc et hinc, et facies leonis ad palmam inde et inde, cælata domus in circuitu.

20. A pavimento usque ad laqueare, Cherubim et palmæ cælatæ.

21. Et sanctuarium et templum aperiebantur per quatuor angulos, contra faciem sanctorum visio quasi species

22. altaris lignei, trium cubitorum altitudo ejus, et longitudo cubitorum duorum, et latitudo cubitorum duorum. Et cornua habebat, et basis ejus et parietes ejus lignei. Et dixit ad me : Hæc est mensa quæ ante faciem Domini.

23. Et duo ostia templo, et duo ostia sanctuario,

24. duobus ostiis vertibilibus : duo ostia uni, et duo ostia portæ secundæ :

25. et cælatura super eas, et super ostia templi Cherubim, et palmæ juxta sculpturam sanctorum, et necessaria ligna ad faciem ælam forinsecus,

26. et fenestræ absconditæ. Et mensus est hinc et inde, in laquearia ælam, et latera domus æqui ponderis.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

1. Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν κατὰ ἀνατολὰς, κατέναντι τῆς πύλης τῆς πρὸς βοῤῥᾶν, καὶ εἰσήγαγέ με, καὶ ἰδοὺ ἐξέδραι πέντε, ἐχόμεναι τοῦ ἀπολοίπου, καὶ ἐχόμεναι τοῦ διορίζοντος πρὸς βοῤῥᾶν,

CAPUT XLII.

1. Et introduxit me in atrium interius ad orientem, contra portam quæ ad aquilonem, et introduxit me, et ecce exedræ quinque juxta reliquum ædificium, et juxta separans ad aquilonem,

2. ἐπὶ πήχεις ἑκατὸν μῆκος πρὸς βοῤῥᾶν, καὶ τὸ πλάτος πεντήκοντα,

3. διαγεγραμμέναι ὃν τρόπον αἱ πύλαι τῆς αὐλῆς τῆς ἐσωτέρας, καὶ ὃν τρόπον τὰ περίστυλα τῆς αὐλῆς τῆς ἐξωτέρας ἐστοιχισμέναι, ἀντιπρόσωποι στοαὶ τρισσαί.

4. Καὶ κατέναντι τῶν ἐξεδρῶν περίπατος, πηχῶν δέκα τὸ πλάτος, ἐπὶ πήχεις ἑκατὸν τὸ μῆκος. Καὶ τὰ θυρώματα αὐτῶν πρὸς βοῤῥᾶν,

5. καὶ οἱ περίπατοι οἱ ὑπερῷοι ὡσαύτως· ὅτι ἐξείχετο τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περιστύλου, καὶ τὸ διάστημα· οὕτως περίστυλον καὶ διάστημα, καὶ οὕτως στοαὶ δύο,

6. διότι τριπλαῖ ἦσαν, καὶ στύλους οὐκ εἶχον καθὼς οἱ στῦλοι τῶν ἐξωτέρων. Διὰ τοῦτο ἐξείχοντο τῶν ὑποκάτωθεν καὶ τῶν μέσων ἀπὸ τῆς γῆς.

7. Καὶ φῶς ἔξωθεν, ὃν τρόπον αἱ ἐξέδραι τῆς αὐλῆς τῆς ἐξωτέρας, αἱ βλέπουσαι ἀπέναντι τῶν ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν, μῆκος πηχῶν πεντήκοντα.

8. Ὅτι τὸ μῆκος τῶν ἐξεδρῶν τῶν βλεπουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ἦν πηχῶν πεντήκοντα, καὶ αὗταί εἰσιν αἱ ἀντιπρόσωποι ταύταις· τὸ πᾶν πηχῶν ἑκατόν.

9. Καὶ αἱ θύραι τῶν ἐξεδρῶν τούτων, τῆς εἰσόδου τῆς πρὸς ἀνατολὰς, τοῦ εἰσπορεύεσθαι δι' αὐτῶν ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας

10. κατὰ τὸ φῶς τοῦ ἐν ἀρχῇ περιπάτου, καὶ τὰ πρὸς νότον κατὰ πρόσωπον τοῦ νότου, κατὰ πρόσωπον τοῦ ἀπολοίπου, καὶ κατὰ πρόσωπον τοῦ διορίζοντος. Καὶ αἱ ἐξέδραι

11. καὶ ὁ περίπατος κατὰ πρόσωπον αὐτῶν, κατὰ τὰ μέτρα ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν, καὶ κατὰ τὸ μῆκος αὐτῶν, καὶ κατὰ τὸ εὖρος αὐτῶν, καὶ κατὰ πάσας τὰς ἐξόδους αὐτῶν, καὶ κατὰ πάσας τὰς ἐπιστροφὰς αὐτῶν, καὶ κατὰ τὰ φῶτα αὐτῶν, καὶ κατὰ τὰ θυρώματα αὐτῶν,

12. τῶν ἐξεδρῶν τῶν πρὸς νότον· καὶ κατὰ τὰ θυρώματα ἀπ' ἀρχῆς τοῦ περιπάτου, ὡς ἐπὶ φῶς διαστήματος καλάμου, καὶ κατὰ ἀνατολὰς τοῦ εἰσπορεύεσθαι δι' αὐτῶν.

13. Καὶ εἶπε πρός μέ· Αἱ ἐξέδραι αἱ πρὸς βοῤῥᾶν, καὶ αἱ ἐξέδραι αἱ πρὸς νότον, οὖσαι κατὰ πρόσωπον τῶν διαστημάτων, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγονται ἐκεῖ οἱ ἱερεῖς υἱοὶ Σαδδοὺκ, οἱ ἐγγίζοντες πρὸς Κύριον, τὰ ἅγια τῶν ἁγίων, καὶ ἐκεῖ θήσουσι τὰ ἅγια τῶν ἁγίων, καὶ τὴν θυσίαν καὶ τὰ περὶ ἁμαρτίας καὶ τὰ περὶ ἀγνοίας, διότι ὁ τόπος ἅγιος.

14. Οὐκ εἰσελεύσονται ἐκεῖ πάρεξ τῶν ἱερέων, οὐκ ἐξελεύσονται ἐκ τοῦ ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διαπαντὸς ἅγιοι ὦσιν οἱ προσάγοντες, καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν, ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, διότι ἅγιά ἐστι. Καὶ ἐνδύσονται ἱμάτια ἕτερα, ὅταν ἅπτωνται τοῦ λαοῦ.

15. Καὶ συνετελέσθη ἡ διαμέτρησις τοῦ οἴκου ἔσωθεν. Καὶ ἐξήγαγέ με καθ' ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς ἀνατολὰς, καὶ διεμέτρησε τὸ ὑπόδειγμα τοῦ οἴκου κυκλόθεν ἐν διατάξει.

16. Καὶ ἔστη κατὰ νώτου τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ διεμέτρησε πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου.

17. Καὶ ἐπέστρεψε πρὸς βοῤῥᾶν, καὶ διεμέτρησε τὸ

2. ad cubitos centum longitudo ad aquilonem, et latitudo quinquaginta,

3. descriptæ sicut portæ atrii interioris, et sicut columnæ atrii exterioris per ordinem, contra faciem porticus ternæ.

4. Et contra exedras deambulatio, cubitorum decem latitudo, per cubitos centum longitudo. Et ostia earum ad aquilonem,

5. et deambulationes cœnaculorum similiter : quia eminebat columnatum ex eo, ex inferiore columnato, et spatium : sic columnatum et spatium, et sic porticus duæ,

6. quia triplices erant, et columnas non habebant sicut columnæ exteriorum. Propterea eminebant ab his quæ erant inferius et a mediis de terra.

7. Et lumen exterius, sicut exedræ atrii exterioris, quæ respiciebant contra exedras aquilonis, longitudine cubitorum quinquaginta.

8. Longitudo enim exedrarum respicientium in atrium exterius, erat cubitorum quinquaginta, et hæ sunt contra faciem his : omnes cubitorum centum.

9. Et ostia exedrarum istarum, ad introitum orientalem, ad ingrediendum per ea ex atrio exteriori

10. secundum lumen quod erat in principio deambulationis, et ad austrum ad faciem austri, ad faciem reliqui ædificii, et ad faciem separati. Et exedræ

11. et deambulatio contra faciem suam, juxta mensuras exedrarum quæ ad aquilonem, et secundum longitudinem earum, et secundum latitudinem earum, et secundum omnes exitus earum, et secundum omnes introitus earum, et secundum lumina earum, et secundum ostia earum,

12. exedrarum quæ contra meridiem : et secundum ostia a principio deambulacri, usque ad luminare spatio calami, et ut ad orientem iretur per ea.

13. Et dixit ad me : Exedræ quæ ad aquilonem, et exedræ quæ ad austrum, quæ sunt ad faciem spatiorum, hæ sunt exedræ sanctuarii, in quibus vescentur ibi sacerdotes filii Sadduc, qui appropinquant ad Dominum, sancta sanctorum, et ibi ponent sancta sanctorum, et sacrificium et quæ pro peccato et quæ pro ignorantia, locus enim sanctus *est*.

14. Non ingredientur illuc nisi sacerdotes, non egredientur de sanctuario in atrium exterius, ut perpetuo sancti sint qui offerunt, et non tangent vestimentum eorum, in quibus ministrant in eis, quia sancta sunt. Et vestientur vestimentis aliis, quando tangent populum.

15. Et consummata est mensuratio domus interioris. Et eduxit me per viam portæ respicientis ad orientem, et mensus est similitudinem domus per circuitum in ordine.

16. Et stetit ad tergum portæ respicientis ad orientem, et mensus est quingentos in calamo mensuræ.

17. Et convertit se ad aquilonem, et mensus est id quod

κατὰ πρόσωπον τοῦ βοῤῥᾶ, πήχεις πενταχοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου.

18. Καὶ ἐπέστρεψε πρὸς θάλασσαν, καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον θαλάσσης, πενταχοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου.

19. Καὶ ἐπέστρεψε πρὸς νότον, καὶ διεμέτρησε κατέναντι τοῦ νότου, πενταχοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου,

20. τὰ τέσσαρα μέρη τοῦ αὐτοῦ καλάμου. Καὶ διέταξεν αὐτὸν, καὶ περίβολον αὐτῶν κύκλῳ, πενταχοσίων πρὸς ἀνατολὰς, καὶ πενταχοσίων πηχῶν εὖρος, τοῦ διαστέλλειν ἀναμέσον τῶν ἁγίων, καὶ ἀναμέσον τοῦ προτειχίσματος, τοῦ ἐν διατάξει τοῦ οἴκου.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

1. Καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ ἐξήγαγέ με.

2. Καὶ ἰδοὺ δόξα Θεοῦ Ἰσραὴλ ἤρχετο κατὰ τὴν ὁδὸν τὴν πρὸς ἀνατολὰς, καὶ φωνὴ τῆς παρεμβολῆς, ὡς φωνὴ διπλασιαζόντων πολλῶν· καὶ ἡ γῆ ἐξέλαμπεν ὡς φέγγος ἀπὸ τῆς δόξης κυκλόθεν.

3. Καὶ ἡ ὅρασις ἣν ἴδον κατὰ τὴν ὅρασιν ἣν ἴδον, ὅτε εἰσεπορευόμην τοῦ χρῖσαι τὴν πόλιν. Καὶ ἡ ὅρασις τοῦ ἅρματος οὗ ἴδον, κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ. Καὶ πίπτω ἐπὶ πρόσωπόν μου,

4. καὶ δόξα Κυρίου εἰσῆλθεν εἰς τὸν οἶκον, κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς.

5. Καὶ ἀνέλαβέ με πνεῦμα, καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν· καὶ ἰδοὺ πλήρης δόξης ὁ Κυρίου οἶκος.

6. Καὶ ἔστην, καὶ ἰδοὺ φωνὴ ἐκ τοῦ οἴκου λαλοῦντος πρὸς μὲ, καὶ ὁ ἀνὴρ εἱστήκει ἐχόμενός μου,

7. καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, ἑώρακας τὸν τόπον τοῦ θρόνου μου, καὶ τὸν τόπον τοῦ ἴχνους τῶν ποδῶν μου, ἐν οἷς κατασκηνώσῃ τὸ ὄνομά μου ἐν μέσῳ οἴκου Ἰσραὴλ τὸν αἰῶνα. Καὶ οὐ βεβηλώσουσιν οὐκέτι οἶκος Ἰσραὴλ τὸ ὄνομα τὸ ἅγιόν μου, αὐτοὶ καὶ οἱ ἡγούμενοι αὐτῶν ἐν τῇ πορνείᾳ αὐτῶν, καὶ ἐν τοῖς φόνοις τῶν ἡγουμένων ἐν μέσῳ αὐτῶν,

8. ἐν τῷ τιθέναι αὐτοὺς τὸ πρόθυρόν μου ἐν τοῖς προθύροις αὐτῶν, καὶ τὰς φλιάς μου ἐχομένας τῶν φλιῶν αὐτῶν. Καὶ ἔδωκαν τὸν τοῖχόν μου ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν, καὶ ἐβεβήλωσαν τὸ ὄνομα τὸ ἅγιόν μου ἐν ταῖς ἀνομίαις αὐτῶν αἷς ἐποίουν. Καὶ ἐξέτριψα αὐτοὺς ἐν θυμῷ μου καὶ ἐν φόνῳ.

9. Καὶ νῦν ἀπωσάσθωσαν τὴν πορνείαν αὐτῶν, καὶ τοὺς φόνους τῶν ἡγουμένων αὐτῶν ἀπ' ἐμοῦ, καὶ κατασκηνώσω ἐν μέσῳ αὐτῶν τὸν αἰῶνα.

10. Καὶ σὺ, υἱὲ ἀνθρώπου, δεῖξον τῷ οἴκῳ Ἰσραὴλ τὸν οἶκον, καὶ κοπάσουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· καὶ τὴν ὅρασιν αὐτοῦ, καὶ τὴν διάταξιν αὐτοῦ·

11. καὶ αὐτοὶ λήψονται τὴν κόλασιν αὐτῶν περὶ πάντων ὧν ἐποίησαν. Καὶ διαγράψεις τὸν οἶκον, καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ, καὶ πάντα τὰ προστάγματα αὐτοῦ, καὶ πάντα τὰ νόμιμα αὐτοῦ γνωριεῖς αὐτοῖς, καὶ διαγράψεις ἐναντίον αὐτῶν, καὶ φυλάξονται πάντα τὰ δικαιώματά μου, καὶ πάντα τὰ προστάγματά μου, καὶ ποιήσουσιν αὐτά.

12. Καὶ τὴν διαγραφὴν τοῦ οἴκου ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, πάντα τὰ ὅρια αὐτοῦ κυκλόθεν ἅγια ἁγίων.

ad faciem aquilonis, cubitos quingentos in calamo mensuræ.

18. Et convertit se ad mare, et mensus est quod ad faciem maris, quingentos in calamo mensuræ.

19. Et convertit se ad austrum, et mensus est contra austrum, quingentos in calamo mensuræ,

20. quatuor partes ejus calamo. Et disposuit ipsum, et murum eorum per circuitum, quingentorum ad orientem, et quingentorum cubitorum latitudinem, ad dividendum inter medium sanctorum, et antemuralis, quod in ordine domus.

CAPUT XLIII.

1. Et adduxit me ad portam quæ respiciebat ad orientem, et eduxit me.

2. Et ecce gloria Dei Israel veniebat per viam orientis, et vox castrorum, quasi vox geminantium multorum : et terra resplendebat quasi fulgor a gloria per circuitum.

3. Et visio quam vidi secundum visionem quam videram, quando ingrediebar ut ungerem civitatem. Et visio currus quem vidi, secundum visionem quam videram super flu vium Chobar. Et cado in faciem meam,

4. et gloria Domini ingressa est domum, per viam portæ quæ respiciebat orientem.

5. Et assumpsit me spiritus, et introduxit me in atrium interius : et ecce plena gloriæ Domini domus.

6. Et steti, et ecce vox de domo loquentis ad me, et vir stabat juxta me,

7. et dixit ad me : Vidisti, fili hominis, locum solii mei, et locum vestigii pedum meorum, in quibus habitabit nomen meum in medio domus Israel in sempiternum. Et non contaminabunt ultra domus Israel nomen sanctum meum, ipsi et duces eorum in fornicatione sua, et in homicidiis ducum in medio sui,

8. cum ponerent limen meum in liminibus suis, et postes meos juxta postes suos. Et dederunt parietem meum quasi connexum inter se et me, et contaminaverunt nomen sanctum meum in iniquitatibus suis quas faciebant. Et contrivi eos in furore meo et in occisione.

9. Et nunc abjiciant fornicationem suam, et homicidia ducum suorum a me, et habitabo in medio eorum in sempiternum.

10. Et tu, fili hominis, ostende domui Israel domum, et cessabunt a peccatis suis : et visionem ejus, et dispositionem illius :

11. et ipsi sustinebunt tormentum suum pro omnibus quæ fecerunt. Et describes domum, et exitus ejus, et substantiam ejus, et omnia præcepta illius, et omnia legitima ejus ostendes illis, et describes coram eis, et custodient omnes justificationes meas, et omnia præcepta mea, et facient ea.

12. Et descriptionem domus in vertice montis, omnes termini ejus in circuitu sancta sanctorum *sunt*.

13. Καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου· ἐν πήχει τοῦ πήχεως, καὶ παλαιστῆς κόλπωμα βάθους ἐπὶ πῆχυν, καὶ πῆχυς τὸ εὖρος, καὶ γεῖσος ἐπὶ τὸ χεῖλος αὐτοῦ κυκλόθεν, σπιθαμῆς. Καὶ τοῦτο τὸ ὕψος τοῦ θυσιαστηρίου

14. ἐκ βάθους τῆς ἀρχῆς τοῦ κοιλώματος αὐτοῦ πρὸς τὸ ἱλαστήριον τὸ μέγα τοῦτο, ὑποκάτωθεν πηχῶν δύο, καὶ τὸ εὖρος πήχεως· καὶ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα, πήχεις τέσσαρες, καὶ εὖρος πῆχυς.

15. Καὶ τὸ ἀριὴλ πηχῶν τεσσάρων, καὶ ἀπὸ τοῦ ἀριὴλ, καὶ ὑπεράνω τῶν κεράτων πῆχυς.

16. Καὶ τὸ ἀριὴλ πηχῶν δώδεκα μήκους, ἐπὶ πήχεις δώδεκα, τετράγωνον ἐπὶ τὰ τέσσαρα μέρη αὐτοῦ.

17. Καὶ τὸ ἱλαστήριον πηχῶν δεκατεσσάρων τὸ μῆκος, ἐπὶ πήχεις δεκατέσσαρας τὸ εὖρος ἐπὶ τέσσαρα μέρη αὐτοῦ· καὶ τὸ γεῖσος αὐτῷ κυκλόθεν κυκλούμενον αὐτῷ, ἥμισυ πήχεως. Καὶ τὸ κύκλωμα αὐτοῦ, πῆχυς κυκλόθεν· καὶ οἱ κλιμακτῆρες αὐτοῦ βλέποντες κατὰ ἀνατολάς.

18. Καὶ εἶπε πρὸς μέ· Υἱὲ ἀνθρώπου, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ταῦτα τὰ προστάγματα τοῦ θυσιαστηρίου ἐν ἡμέρᾳ ποιήσεως αὐτοῦ, τοῦ ἀναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώματα, καὶ προσχέειν πρὸς αὐτὸ αἷμα.

19. Καὶ δώσεις τοῖς ἱερεῦσι τοῖς Λευΐταις τοῖς ἐκ τοῦ σπέρματος Σαδδοὺκ, τοῖς ἐγγίζουσι πρὸς μὲ, λέγει Κύριος ὁ Θεὸς, τοῦ λειτουργεῖν μοι, μόσχον ἐκ βοῶν περὶ ἁμαρτίας.

20. Καὶ λήψονται ἐκ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπιθήσουσιν ἐπὶ τὰ τέσσαρα κέρατα τοῦ θυσιαστηρίου, καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱλαστηρίου, καὶ ἐπὶ τὴν βάσιν κύκλῳ, καὶ ἐξιλάσονται αὐτό.

21. Καὶ λήψονται τὸν μόσχον τὸν περὶ ἁμαρτίας, καὶ κατακαυθήσεται ἐν τῷ ἀποκεχωρισμένῳ τοῦ οἴκου, ἔξωθεν τῶν ἁγίων.

22. Καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ λήψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ ἁμαρτίας, καὶ ἐξιλάσονται τὸ θυσιαστήριον, καθότι ἐξιλάσαντο ἐν τῷ μόσχῳ.

23. Καὶ μετὰ τὸ συντελέσαι τὸν ἐξιλασμὸν προσοίσουσι μόσχον ἐκ βοῶν ἄμωμον, καὶ κριὸν ἐκ προβάτων ἄμωμον,

24. καὶ προσοίσετε ἐναντίον Κυρίου. Καὶ ἐπιῤῥίψουσιν οἱ ἱερεῖς ἐπ' αὐτὰ ἅλα, καὶ ἀνοίσουσιν αὐτὰ ὁλοκαυτώματα τῷ Κυρίῳ.

25. Ἑπτὰ ἡμέρας ποιήσεις ἔριφον ὑπὲρ ἁμαρτίας καθ' ἡμέραν, καὶ μόσχον ἐκ βοῶν, καὶ κριὸν ἐκ προβάτων, ἄμωμα ποιήσουσιν

26. ἑπτὰ ἡμέρας. Καὶ ἐξιλάσονται τὸ θυσιαστήριον, καὶ καθαριοῦσιν αὐτό· καὶ πλήσουσι χεῖρας αὐτῶν.

27. Καὶ ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος.

13. Et hæ mensuræ altaris : in cubito cubiti, et palæstes sinus profundi per cubitum, et cubitus latitudinis, et gisus per labium ejus in circuitu, palmi unius. Et hæc est altitudo altaris

14. a profundo exordii cavitatis ejus ad propitiatorium magnum quod erat subter, cubitorum duorum, et latitudo cubiti : et a propitiatorio minori ad propitiatorium majus, cubiti quatuor, et latitudo cubitus.

15. Et ariel cubitorum quatuor, et ab ariel, et usque ad superiora cornuum cubitus.

16. Ipsum autem ariel duodecim cubitos habebat in longitudine, ad cubitos duodecim, quatuor angulorum per quatuor partes ejus.

17. Et propitiatorium quatuordecim cubitorum longitudo, ad cubitos quatuordecim latitudo per quatuor partes ejus : et gisus ei per circuitum gyrans illud, dimidio cubito. Et circuitus ejus, cubitus per gyrum : et gradus ejus respicientes ad orientem.

18. Et dixit ad me : Fili hominis, hæc dicit Dominus Deus Israel : Hæc sunt præcepta altaris in die effectionis ejus, ut offerantur super eo holocaustomata, et effundatur super illud sanguis.

19. Et dabis sacerdotibus Levitis qui sunt ex semine Sadduc, qui appropinquant ad me, dicit Dominus Deus, ut ministrent mihi, vitulum de bobus pro peccato.

20. Et tollent de sanguine ejus, et ponent super quatuor cornua altaris, et super quatuor angulos propitiatorii, et super basim in circuitu, et expiabunt illud.

21. Et tollent vitulum qui pro peccato, et comburetur in loco separato domus, extra sancta.

22. Et die secunda tollent hœdos duos de capris immaculatos pro peccato, et expiabunt altare, sicut expiarunt in vitulo.

23. Et cum compleveris expiationem offerent vitulum de bobus immaculatum, et arietem de ovibus immaculatum,

24. et offeretis coram Domino. Et aspergent sacerdotes super ea sal, et offerent ea holocausta Domino.

25. Septem diebus facies hœdum pro peccato quotidie, et vitulum de bobus, et arietem de ovibus, immaculatos facient

26. septem diebus. Et expiabunt altare, et mundabunt illud : et implebunt manus suas.

27. Et erit a die octavo et ultra, facient sacerdotes super altare holocausta vestra, et quæ pro salute vestra : et suscipiam vos, dicit Dominus.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

1. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη.

CAPUT XLIV.

1. Et convertit me ad viam portæ sanctorum exterioris, respicientis ad orientem, et hæc erat clausa.

2. Καὶ εἶπε Κύριος πρὸς μέ· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς μὴ διέλθη δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰςελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη.

3. Διότι ὁ ἡγούμενος οὗτος καθήσεται ἐν αὐτῇ, τοῦ φαγεῖν ἄρτον ἐναντίον Κυρίου. Κατὰ τὴν ὁδὸν αἰλὰμ τῆς πύλης εἰςελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται.

4. Καὶ εἰςήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου. Καὶ ἴδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος τοῦ Κυρίου· καὶ πίπτω ἐπὶ πρόσωπόν μου.

5. Καὶ εἶπε Κύριος πρὸς μέ· Υἱὲ ἀνθρώπου, τάξον εἰς τὴν καρδίαν σου, καὶ ἴδε τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσί σου ἄκουε πάντα ὅσα ἐγὼ λαλῶ μετὰ σοῦ, κατὰ πάντα τὰ προστάγματα τοῦ οἴκου Κυρίου, καὶ πάντα τὰ νόμιμα αὐτοῦ· καὶ τάξεις τὴν καρδίαν σου εἰς τὴν εἴςοδον τοῦ οἴκου, κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ ἐν πᾶσι τοῖς ἁγίοις.

6. Καὶ ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος ὁ Θεός· Ἱκανούσθω ὑμῖν ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν, οἶκος Ἰσραήλ,

7. τοῦ εἰςαγαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς, ἀπεριτμήτους καρδίᾳ, καὶ ἀπεριτμήτους σαρκὶ, τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου, καὶ βεβηλοῦν αὐτὰ, ἐν τῷ προςφέρειν ὑμᾶς ἄρτους, σάρκας καὶ αἷμα· καὶ παρεβαίνετε τὴν διαθήκην μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν,

(*) 8. καὶ διετάξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου.

9. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ, καὶ ἀπερίτμητος σαρκὶ, οὐκ εἰςελεύσεται εἰς τὰ ἅγιά μου ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν τῶν ὄντων ἐν μέσῳ οἴκου Ἰσραήλ,

10. ἀλλ' ἢ οἱ Λευῖται, οἵτινες ἀφήλαντο ἀπ' ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν Ἰσραὴλ ἀπ' ἐμοῦ κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν· καὶ λήψονται ἀδικίαν αὐτῶν,

11. καὶ ἔσονται ἐν τοῖς ἁγίοις μου λειτουργοῦντες, θυρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ οἴκου, καὶ λειτουργοῦντες τῷ οἴκῳ· οὗτοι σφάξουσι τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα τῷ λαῷ, καὶ οὗτοι στήσονται ἐναντίον τοῦ λαοῦ τοῦ λειτουργεῖν αὐτοῖς,

12. ἀνθ' ὧν ἐλειτούργουν αὐτοῖς πρὸ προςώπου τῶν εἰδώλων αὐτῶν· καὶ ἐγένετο τῷ οἴκῳ Ἰσραὴλ εἰς κόλασιν ἀδικίας. Ἕνεκα τούτου ἦρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς, λέγει Κύριος ὁ Θεὸς,

13. καὶ οὐκ ἐγγιοῦσι πρὸς μὲ τοῦ ἱερατεύειν μοι, οὐδὲ τοῦ προςάγειν πρὸς τὰ ἅγια υἱῶν τοῦ Ἰσραὴλ, οὐδὲ πρὸς τὰ ἅγια τῶν ἁγίων μου. Καὶ λήψονται ἀτιμίαν αὐτῶν ἐν τῇ πλανήσει ᾗ ἐπλανήθησαν.

14. Κατάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς τοῦ οἴκου εἰς πάντα τὰ ἔργα αὐτοῦ, καὶ εἰς πάντα ὅσα ἂν ποιήσωσιν.

15. Οἱ ἱερεῖς οἱ Λευῖται, οἱ υἱοὶ τοῦ Σαδδοὺκ, οἵτινες ἐφυλάξαντο τὰς φυλακὰς τῶν ἁγίων μου, ἐν τῷ πλανᾶσθαι οἶκον Ἰσραὴλ ἀπ' ἐμοῦ. Οὗτοι προςάξουσι πρὸς

2. Et dixit Dominus ad me : Porta hæc clausa erit, non aperietur, et nemo transibit per eam : quoniam Dominus Deus Israel ingredietur per eam, et erit clausa.

3. Quia dux ipse sedebit in ea, ut comedat panem coram Domino. Per viam ælam portæ ingredietur, et per viam ejus egredietur.

4. Et introduxit me per viam portæ quæ ad aquilonem, e regione domus. Et vidi, et ecce plena gloriæ domus Domini : et cado super faciem meam.

5. Et dixit Dominus ad me : Fili hominis, pone in corde tuo, et vide oculis, et auribus tuis audi omnia quæ ego loquor tecum, secundum omnia præcepta domus Domini, et omnia legitima ejus : et pones cor tuum ad introitum domus, juxta omnes exitus ejus in omnibus sanctis.

6. Et dices ad domum exasperantem, ad domum Israel: Hæc dicit Dominus Deus : Sufficiat vobis de omnibus iniquitatibus vestris, domus Israel,

7. eo quod inducitis filios alienigenas, incircumcisos corde, et incircumcisos carne, ut sint in sanctis meis, et polluant ea, in offerendo vos panes, carnes et sanguinem : et præteristis testamentum meum in omnibus iniquitatibus vestris,

8. et disposuistis custodire custodias in sanctis meis.

9. Propterea hæc dicit Dominus Deus : Omnis filius alienigena incircumcisus corde, et incircumcisus carne, non ingredietur in sancta mea in omnibus filiis alienigenarum qui sunt in medio domus Israel,

10. sed Levitæ, qui resilierunt a me cum erraret Israel a me post cogitationes suas : et accipient iniquitatem suam,

11. et erunt in sanctis meis ministrantes, ostiarii in portis domus, et ministri domus : isti immolabunt sacrificia et holocausta populo, et isti stabunt ante populum ut ministrent eis,

12. pro eo quod ministraverunt eis ante faciem idolorum suorum : et factum est domui Israel in tormentum iniquitatis. Propterea levavi manum meam super eos, dicit Dominus Deus,

13. et non accedent ad me ut sacerdotio fungantur mihi, neque ut offerant ad sancta filiorum Israel, nec ad sancta sanctorum meorum. Et suscipient ignominiam suam in errore quo erraverunt.

14. Demittent eos ut servent custodias domus in omnia opera ejus, et in universa quæ fecerint.

15. Sacerdotes Levitæ, filii Sadduc, qui custodierunt custodias sanctorum meorum, cum erraret domus Israel a me, isti accedent ad me ut ministrent mihi, et stabunt ante

---

(*) 8. Καὶ οὐκ ἐφυλάξατε τὴν φυλακὴν τῶν ἁγίων μου, καὶ διετάξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου. (*Alex.*)

8. Et non custodistis custodiam sanctorum meorum, et disposuistis custodire custodias in sanctis meis.

με τοῦ λειτουργεῖν μοι, καὶ στήσονται πρὸ προσώπου μου, τοῦ προσφέρειν μοι θυσίαν, στέαρ καὶ αἷμα, λέγει Κύριος ὁ Θεός.

16. Οὗτοι εἰςελεύσονται εἰς τὰ ἅγιά μου, καὶ οὗτοι προςελεύσονται πρὸς τὴν τράπεζάν μου, τοῦ λειτουργεῖν μοι, καὶ φυλάξουσι τὰς φυλακάς μου.

17. Καὶ ἔσται, ἐν τῷ εἰςπορεύεσθαι αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας, στολὰς λινᾶς ἐνδύσονται· καὶ οὐκ ἐνδύσονται ἔρια ἐν τῷ λειτουργεῖν αὐτοὺς ἀπὸ τῆς πύλης τῆς ἐσωτέρας αὐλῆς.

18. Καὶ κιδάρεις λινᾶς ἕξουσιν ἐπὶ ταῖς κεφαλαῖς αὐτῶν, καὶ περισκελῆ λινᾶ ἕξουσιν ἐπὶ τὰς ὀσφύας αὐτῶν, καὶ οὐ περιζώσονται βίᾳ.

19. Καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν, ἐκδύσονται τὰς στολὰς αὐτῶν ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς, καὶ θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων, καὶ ἐνδύσονται στολὰς ἑτέρας, καὶ οὐ μὴ ἁγιάσωσι τὸν λαὸν ἐν ταῖς στολαῖς αὐτῶν.

20. Καὶ τας κεφαλὰς αὐτῶν οὐ ξυρήσονται, καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσι, καλύπτοντες καλύψουσι τὰς κεφαλὰς αὐτῶν.

21. Καὶ οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς, ἐν τῷ εἰςπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν.

22. Καὶ χήραν καὶ ἐκβεβλημένην οὐ λήψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ' ἢ παρθένον ἐκ τοῦ σπέρματος Ἰσραήλ· καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήψονται.

23. Καὶ τὸν λαόν μου διδάξουσιν ἀναμέσον ἁγίου καὶ βεβήλου, καὶ ἀναμέσον ἀκαθάρτου καὶ καθαροῦ γνωριοῦσιν αὐτοῖς.

24. Καὶ ἐπὶ κρίσιν αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν· τὰ δικαιώματά μου δικαιώσουσι, καὶ τὰ κρίματά μου κρινοῦσι, καὶ τὰ νόμιμά μου καὶ τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται, καὶ τὰ σάββατά μου ἁγιάσουσι.

25. Καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ εἰςελεύσονται τοῦ μιανθῆναι, ἀλλ' ἢ ἐπὶ πατρὶ, καὶ ἐπὶ μητρὶ, καὶ ἐπὶ υἱῷ, καὶ ἐπὶ θυγατρὶ, καὶ ἐπὶ ἀδελφῷ, καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ, ἣ οὐ γέγονεν ἀνδρὶ, μιανθήσεται.

26. Καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν, ἑπτὰ ἡμέρας ἐξαριθμήσῃ αὐτῷ·

27. καὶ ᾗ ἂν ἡμέρᾳ εἰςπορεύωνται εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ, προςοίσουσιν ἱλασμὸν, λέγει Κύριος ὁ Θεός,

28. καὶ ἔσται αὐτοῖς εἰς κληρονομίαν. Ἐγὼ κληρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς Ἰσραὴλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν.

29. Καὶ τὰς θυσίας, καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας, οὗτοι φάγονται· καὶ πᾶν ἀφόρισμα ἐν τῷ Ἰσραὴλ αὐτοῖς ἔσται,

30. ἀπαρχαὶ πάντων, καὶ τὰ πρωτότοκα πάντων, καὶ τὰ ἀφαιρέματα πάντα· ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν, τοῖς ἱερεῦσιν ἔσται· καὶ τὰ πρωτογεννήματα ὑμῶν δώσετε τῷ ἱερεῖ, τοῦ θεῖναι εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους ὑμῶν.

31. Καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον ἐκ τῶν πετεινῶν, καὶ ἐκ τῶν κτηνῶν, οὐ φάγονται οἱ ἱερεῖς.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

1. Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κλη-

faciem meam, ut offerant mihi hostiam, adipem et sanguinem, dicit Dominus Deus.

16. Isti ingredientur in sancta mea, et isti accedent ad mensam meam, ut ministrent mihi, et observabunt custodias meas.

17. Et erit, in ingrediendo eos portas atrii interioris, stolis lineis induentur: et non induentur lanificiis quando ministrant a porta interioris atrii.

18. Et cidaras lineas habebunt super capita sua, et feminalia linea habebunt super lumbos suos, et non accingentur violenter.

19. Et in egrediendo ipsos in atrium exterius ad populum, exuent se stolis suis in quibus ministrant in eis, et ponent eas in exedris sanctorum, et vestient se stolis aliis, et non sanctificabunt populum in stolis suis.

20. Et capita sua non radent, et comas suas non ad pressum tondebunt, operientes operient capita sua.

21. Et vinum non bibent omnis sacerdos, in ingrediendo ipsos in atrium interius.

22. Et viduam et ejectam non accipient sibi in uxorem, sed virginem de semine Israel: et viduam si fuerit de sacerdote, accipient.

23. Et populum meum docebunt inter sanctum et pollutum, et inter immundum et mundum ostendent eis.

24. Et in judicio sanguinis ipsi stabunt ad dijudicandum. justificationes meas justificabunt, et judicia mea judicabunt, et legitima mea et præcepta mea in omnibus solemnitatibus meis custodient, et sabbata mea sanctificabunt.

25. Et super animam hominis non ingredientur ad polluendum se, sed super patre, et super matre, et super filio, et super filia, et super fratre, et super sorore sua, quæ non fuit viro, contaminabitur.

26. Et postquam fuerit ipse mundatus, septem dies enumerabit sibi:

27. et qua die ingredientur in atrium interius ad ministrandum in sancto, offerent placationem, dicit Dominus Deus,

28. et erit eis in hæreditatem. Ego hæreditas eis, et possessio eis non dabitur in filiis Israel, quia ego possessio eorum.

29. Et sacrificia, et quæ pro peccato, et quæ pro ignorantia, ipsi comedent: et omnis separatio in Israel ipsis erit,

30. primitiæ omnium, et primitiva omnium, et separationes omnes: de omnibus primitiis vestris, sacerdotibus erit: et primitiva vestra dabitis sacerdoti, ut ponat benedictiones vestras super domos vestras.

31. Et omne morticinum et captum a bestia de avibus, et pecoribus, non comedent sacerdotes.

CAPUT XLV.

1. Et in metiendo vos terram in hæreditatem, separat

ρονομίᾳ, ἀφοριεῖτε ἀπαρχὴν τῷ Κυρίῳ, ἅγιον ἀπὸ τῆς γῆς πέντε καὶ εἴκοσι χιλιάδας μῆκος, καὶ εὖρος εἴκοσι χιλιάδας, ἅγιον ἔσται ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν.

2. Καὶ ἔσται ἐκ τούτου ἁγιάσματα, πεντακόσιοι ἐπὶ πεντακοσίους, τετράγωνον κυκλόθεν, καὶ πεντήκοντα πήχεις διάστημα αὐτῶν κυκλόθεν.

3. Καὶ ἐκ ταύτης τῆς διαμετρήσεως διαμετρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, καὶ εὖρος εἴκοσι χιλιάδας· καὶ ἐν αὐτῇ ἔσται ἅγια τῶν ἁγίων.

4. Ἀπὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ, καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουργεῖν τῷ Κυρίῳ. Καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους ἀφωρισμένους τῷ ἁγιασμῷ αὐτῶν,

5. εἴκοσι καὶ πέντε χιλιάδας μῆκος, καὶ εὖρος εἴκοσι χιλιάδες. Καὶ τοῖς Λευίταις τοῖς λειτουργοῦσι τῷ οἴκῳ, αὐτοῖς εἰς κατάσχεσιν πόλεις τοῦ κατοικεῖν.

6. Καὶ τὴν κατάσχεσιν τῆς πόλεως δώσεις πέντε χιλιάδας εὖρος, καὶ μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων παντὶ οἴκῳ Ἰσραὴλ ἔσονται,

7. καὶ τῷ ἡγουμένῳ ἐκ τούτου καὶ ἀπὸ τούτου εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων, εἰς κατάσχεσιν τῆς πόλεως, κατὰ πρόσωπον τῶν ἀπαρχῶν τῶν ἁγίων, καὶ κατὰ πρόσωπον τῆς κατασχέσεως τῆς πόλεως τὰ πρὸς θάλασσαν, καὶ ἀπὸ τῶν πρὸς θάλασσαν πρὸς ἀνατολάς. Καὶ τὸ μῆκος ὡς μία τῶν μερίδων ἀπὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν, καὶ τὸ μῆκος ἐπὶ τὰ ὅρια τὰ πρὸς ἀνατολὰς τῆς γῆς.

8. Καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν ἐν τῷ Ἰσραὴλ, καὶ οὐ καταδυναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι τοῦ Ἰσραὴλ τὸν λαόν μου, καὶ τὴν γῆν κατακληρονομήσουσιν οἶκος Ἰσραὴλ κατὰ φυλὰς αὐτῶν.

9. Τάδε λέγει Κύριος Θεός· Ἱκανούσθω ὑμῖν, οἱ ἀφηγούμενοι τοῦ Ἰσραὴλ, ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε, κρῖμα καὶ δικαιοσύνην ποιήσατε· ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου, λέγει Κύριος Θεός.

10. Ζυγὸς δίκαιος, καὶ μέτρον δίκαιον, καὶ χοῖνιξ ικαία ἔσται ὑμῖν τοῦ μέτρου,

11. καὶ ἡ χοῖνιξ ὁμοίως μία ἔσται τοῦ λαμβάνειν. Τὸ δέκατον τοῦ γομὸρ, χοῖνιξ, καὶ τὸ δέκατον τοῦ γομόρ· πρὸς τὸ γομὸρ ἔσται τὸ ἴσον.

12. Καὶ τὰ στάθμια εἴκοσι ὀβολοὶ, πέντε σίκλοι, πέντε καὶ σίκλοι δέκα, καὶ πεντήκοντα σίκλοι ἡ μνᾶ ἔσται ὑμῖν.

13. Καὶ αὕτη ἡ ἀπαρχὴ ἣν ἀφοριεῖτε, ἕκτον μέτρου ἀπὸ τοῦ γομὸρ τοῦ πυροῦ, καὶ τὸ ἕκτον αὐτοῦ τοῦ οἰφι ἀπὸ τοῦ κόρου τῶν κριθῶν.

14. Καὶ τὸ πρόσταγμα τοῦ ἐλαίου, κοτύλην ἐλαίου ἀπὸ δέκα κοτυλῶν, ὅτι αἱ δέκα κοτύλαι εἰσὶ γομόρ.

15. Καὶ πρόβατον ἀπὸ τῶν προβάτων ἀπὸ δέκα, ἀφαίρεμα ἐκ πασῶν τῶν πατριῶν τοῦ Ἰσραὴλ, εἰς θυσίας καὶ εἰς ὁλοκαυτώματα καὶ εἰς σωτηρίου, τοῦ ἐξιλάσκεσθαι περὶ ὑμῶν, λέγει Κύριος Θεός.

16. Καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν ταύτην τῷ ἀφηγουμένῳ τοῦ Ἰσραήλ·

17. καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται τὰ ὁλοκαυτώματα, καὶ αἱ θυσίαι, καὶ αἱ σπονδαὶ ἐν ταῖς ἑορταῖς, καὶ ἐν ταῖς νουμηνίαις, καὶ ἐν τοῖς σαββάτοις, καὶ ἐν

primitias Domino, sanctum de terra quinque et viginti millia longitudinis, et viginti millia latitudinis, sanctum erit in omnibus terminis ejus per circuitum.

2. Et erunt ex hoc sanctificationes, quingenti per quingentos, quadratum per circuitum, et quinquaginta cubiti spatium eorum per gyrum.

3. Et a mensura ista mensurabis longitudinem quinque et viginti millia, et latitudinem viginti millia: et in ipsa erunt sancta sanctorum.

4. De terra erit sacerdotibus ministrantibus in sancto, et erit eis qui accedunt ministrare Domino: et erit eis locus in domibus separatis sanctificationi ipsorum,

5. viginti et quinque millia longitudo, et latitudo viginti millia. Et Levitis qui ministrant domui, ipsis in possessionem civitates ad habitandum.

6. Et possessionem civitatis dabis quinque millia latitudinis, et longitudinis quinque et viginti millia, quemadmodum primitiæ sanctorum omni domui Israel erunt,

7. et duci hinc et inde in primitias sanctorum, in possessionem civitatis, contra faciem primitiarum sanctorum, et contra faciem possessionis civitatis ea quæ ad mare, et ab iis quæ ad mare ad orientem. Et longitudo sicut una partium a terminis qui ad mare, et longitudo ad terminos qui ad orientem terræ.

8. Et erit ei in possessionem in Israel, et non oppriment ultra duces Israel populum meum, et terram hæreditabunt domus Israel secundum tribus suas.

9. Hæc dicit Dominus Deus: Sufficiat vobis, duces Israel, iniquitatem et vexationem auferte, judicium et justitiam facite: tollite oppressionem de populo meo, ait Dominus Deus.

10. Statera justa, et mensura justa, et chœnix justus erit vobis ad mensuram,

11. et chœnix similiter unus erit ad accipiendum. Decima pars gomor, chœnix, et decima pars gomor: ad gomor erit æqualitas.

12. Et pondera viginti oboli, quinque sicli, quinque et sicli decem, et quinquaginta sicli mina erit vobis.

13. Et hæ sunt primitiæ quas separabitis, sextam partem mensuræ de gomor tritici, et sextam partem ipsius œphi de coro hordei.

14. Et præceptum olei, cotylam olei de decem cotylis, quia decem cotylæ sunt gomor.

15. Et ovem de ovibus ex decem, demptio ex omnibus patriis Israel, in sacrificia et in holocaustomata et in oblationem salutaris, ad expiandum pro vobis, ait Dominus Deus.

16. Et omnis populus dabit primitias has duci Israel:

17. et per ducem erunt holocausta, et sacrificia, et libamina in solemnitatibus, et in neomeniis, et in sabbatis, et in universis solemnitatibus domus Israel. Ipse faciet quæ

πάσαις ταῖς ἑορταῖς οἴκου Ἰσραήλ. Αὐτὸς ποιήσει τὰ ὑπὲρ ἁμαρτίας, καὶ τὴν θυσίαν, καὶ τὰ ὁλοκαυτώματα, καὶ τὰ τοῦ σωτηρίου, τοῦ ἐξιλάσκεσθαι ὑπὲρ τοῦ οἴκου Ἰσραήλ.

18. Τάδε λέγει Κύριος Θεός· Ἐν τῷ πρώτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, λήψεσθε μόσχον ἐκ βοῶν ἄμωμον, τοῦ ἐξιλάσασθαι τὸ ἅγιον.

19. Καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ, καὶ δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου, καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱεροῦ, καὶ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας.

20. Καὶ οὕτως ποιήσεις ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ· μιᾷ τοῦ μηνὸς λήψῃ παρ' ἑκάστου ἀπόμοιραν, καὶ ἐξιλάσεσθε τὸν οἶκον.

21. Καὶ ἐν τῷ πρώτῳ, τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς, ἔσται ὑμῖν τὸ πάσχα ἑορτή· ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε.

22. Καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου, καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς, μόσχον ὑπὲρ ἁμαρτίας·

23. καὶ τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς ποιήσει ὁλοκαυτώματα τῷ Κυρίῳ ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς ἀμώμους καθ' ἡμέραν, τὰς ἑπτὰ ἡμέρας, καὶ ὑπὲρ ἁμαρτίας ἔριφον αἰγῶν καθ' ἡμέραν, καὶ θυσίαν.

24. Καὶ πέμμα τῷ μόσχῳ, καὶ πέμματα τῷ κριῷ ποιήσεις, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι.

25. Καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ, πεντεκαιδεκάτῃ τοῦ μηνὸς, ἐν τῇ ἑορτῇ ποιήσεις κατὰ τὰ αὐτὰ, ἑπτὰ ἡμέρας, καθὼς τὰ ὑπὲρ τῆς ἁμαρτίας, καὶ καθὼς τὰ ὁλοκαυτώματα, καὶ καθὼς τὸ μαναὰ, καὶ καθὼς τὸ ἔλαιον.

pro peccato, et sacrificium, et holocausta, et quæ ipsius salutaris, ad expiandum pro domo Israel.

18. Hæc dicit Dominus Deus : In primo mense, una mensis, sumetis vitulum de bobus immaculatum, ad expiandum sanctuarium.

19. Et tollet sacerdos de sanguine expiationis, et dabit super limina domus, et super quatuor angulos templi, et super altare, et super limina portæ atrii interioris.

20. Et sic facies in mense septimo, una mensis : sumes ab unoquoque portionem, et expiabitis domum.

21. Et in primo, quartadecima mensis, erit vobis pascha solemnitas : septem diebus azyma comedetis.

22. Et faciet dux in illa die pro se et domo, et pro universo populo terræ, vitulum pro peccato :

23. et septem diebus solemnitatis faciet holocaustomata Domino septem vitulos et septem arietes immaculatos quotidie, septem diebus, et pro peccato hœdum caprarum quotidie, et sacrificium.

24. Et coctionem vitulo, et coctiones arieti facies, et olei In coctioni.

25. Et in septimo mense, quintadecima mensis, in solemnitate facies juxta ea, septem diebus, sicut quæ pro peccato, et sicut holocaustomata, et sicut manaa, et sicut oleum.

ΚΕΦΑΛΑΙΟΝ Μϛ'.

1. Τάδε λέγει Κύριος Θεός· Ἡ πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, ἡ βλέπουσα πρὸς ἀνατολὰς, ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς· ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθῇ, καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας ἀνοιχθήσεται.

2. Καὶ εἰσελεύσεται ὁ ἀφηγούμενος κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης τῆς ἔσωθεν, καὶ στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης, καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ ὁλοκαυτώματα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ.

3. Καὶ προσκυνήσει ἐπὶ τοῦ προθύρου τῆς πύλης, καὶ ἐξελεύσεται, καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ ἕως ἑσπέρας. Καὶ προσκυνήσει ὁ λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης, καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις, ἐναντίον Κυρίου.

4. Καὶ τὰ ὁλοκαυτώματα προσοίσει ὁ ἀφηγούμενος τῷ Κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἓξ ἀμνοὺς ἀμώμους, καὶ κριὸν ἄμωμον,

5. καὶ μαναὰ, πέμμα τῷ κριῷ, καὶ τοῖς ἀμνοῖς θυσίαν, δόμα χειρὸς αὐτοῦ, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι.

6. Καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μόσχον ἄμωμον, καὶ ἓξ ἀμνοὺς, καὶ κριὸς ἄμωμος ἔσται,

7. καὶ πέμμα τῷ κριῷ, καὶ πέμμα τῷ μόσχῳ ἔσται μαναὰ, καὶ τοῖς ἀμνοῖς, καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι.

CAPUT XLVI.

1. Hæc dicit Dominus Deus : Porta quæ in atrio interiori, respiciens ad orientem, erit clausa sex in diebus quibus opus sit : in die autem sabbatorum aperietur, et in die neomeniæ aperietur.

2. Et intrabit dux per viam ælam portæ interioris, et stabit super vestibula portæ, et facient sacerdotes holocausta ejus et quæ salutaris ejus.

3. Et adorabit super vestibulum portæ, et egredietur, et porta non claudetur usque ad vesperam. Et adorabit populus terræ ad vestibula portæ illius, et in sabbatis et in neomeniis, coram Domino.

4. Et holocausta offeret dux Domino in die sabbatorum, sex agnos immaculatos, et arietem immaculatum,

5. et manaa, coctionem arieti, et agnis sacrificium, donum manus suæ, et olei In coctioni.

6. Et in die neomeniæ vitulum immaculatum, et sex agnos, et aries immaculatus erit,

7. et coctio arieti, et coctio vitulo erit manaa, et agnis, sicut suffecerit manus ejus, et olei In coctioni.

8. Καὶ ἐν τῷ εἰςπορεύεσθαι τὸν ἀφηγούμενον, κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης εἰςελεύσεται, καὶ κατὰ τὴν ὁδὸν τῆς πύλης ἐξελεύσεται.

9. Καὶ ὅταν εἰςπορεύηται ὁ λαὸς τῆς γῆς ἐναντίον Κυρίου ἐν ταῖς ἑορταῖς, ὁ εἰςπορευόμενος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς βοῤῥᾶν προςκυνεῖν, ἐξελεύσεται κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον· καὶ ὁ εἰςπορευόμενος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον, ἐξελεύσεται κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βοῤῥᾶν· οὐκ ἀναστρέψει κατὰ τὴν πύλην εἰς ἣν εἰςελήλυθεν, ἀλλ' ἢ κατ' εὐθὺ αὐτῆς ἐξελεύσεται.

10. Καὶ ὁ ἀφηγούμενος ἐν μέσῳ αὐτῶν ἐν τῷ εἰςπορεύεσθαι αὐτοὺς, εἰςελεύσεται μετ' αὐτῶν, καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐξελεύσεται.

11. Καὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν ἔσται τὸ μαναὰ πέμμα τῷ μόσχῳ, καὶ πέμμα τῷ κριῷ καὶ τοῖς ἀμνοῖς, καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ ἐλαίου τὸ εἲν τῷ πέμματι.

12. Ἐὰν δὲ ποιήσῃ ὁ ἀφηγούμενος ὁμολογίαν ὁλοκαύτωμα σωτηρίου τῷ Κυρίῳ, καὶ ἀνοίξῃ ἑαυτῷ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ ποιήσῃ τὸ ὁλοκαύτωμα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ, ὃν τρόπον ποιεῖ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων· καὶ ἐξελεύσεται, καὶ κλείσει τὰς θύρας μετὰ τὸ ἐξελθεῖν αὐτόν·

13. καὶ ἀμνὸν ἐνιαύσιον ἄμωμον ποιήσει εἰς ὁλοκαύτωμα καθ' ἡμέραν τῷ Κυρίῳ, πρωῒ ποιήσει αὐτόν.

14. Καὶ μαναὰ ποιήσει ἐπ' αὐτῷ τοπρωῒ, ἕκτον τοῦ μέτρου, καὶ ἐλαίου τρίτον τοῦ εἲν τοῦ ἀναμῖξαι τὴν σεμίδαλιν μαναὰ τῷ Κυρίῳ, πρόσταγμα διαπαντὸς

15. ποιήσετε τὸν ἀμνόν. Καὶ τὸ μαναὰ, καὶ τὸ ἔλαιον ποιήσετε τοπρωῒ, ὁλοκαύτωμα διαπαντός.

16. Τάδε λέγει Κύριος Θεός· Ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ ἐκ τῆς κληρονομίας αὐτοῦ, τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις κληρονομία.

17. Ἐὰν δὲ δῷ δόμα ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέσεως, καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ· πλὴν τῆς κληρονομίας τῶν υἱῶν αὐτοῦ αὐτοῖς ἔσται,

18. καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ, τοῦ καταδυναστεῦσαι αὐτούς· ἐκ τῆς κατασχέσεως αὐτοῦ κατακληρονομήσει τοῖς υἱοῖς αὐτοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου, ἕκαστος ἐκ τῆς κατασχέσεως αὐτοῦ.

19. Καὶ εἰςήγαγέ με εἰς τὴν εἴςοδον τῆς κατὰ νώτου τῆς πύλης, εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων, τὴν βλέπουσαν πρὸς βοῤῥᾶν· καὶ ἰδοὺ ἐκεῖ τόπος κεχωρισμένος.

20. Καὶ εἶπε πρὸς μέ· Οὗτος ὁ τόπος ἐστὶν οὗ ἑψήσουσιν ἐκεῖ οἱ ἱερεῖς τὰ ὑπὲρ ἀγνοίας καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ ἐκεῖ πέψουσι τὸ μαναὰ τὸ παράπαν, τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, τοῦ ἁγιάζειν τὸν λαόν.

21. Καὶ ἐξήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ περιήγαγέ με ἐπὶ τὰ τέσσαρα μέρη τῆς αὐλῆς· καὶ ἰδοὺ αὐλὴ κατὰ τὰ κλίτη τῆς αὐλῆς,

22. κατὰ τὸ κλίτος αὐλὴ, αὐλὴ ἐπὶ τὰ τέσσαρα, καὶ τῆς αὐλῆς αὐλὴ μικρὰ μήκους πηχῶν τεσσαράκοντα, καὶ εὖρος πηχῶν τριάκοντα, μέτρον ἓν ταῖς τέσσαρσι.

23. Καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς, κύκλῳ ταῖς τέσσαρσι· καὶ μαγειρεῖα γεγονότα ὑποκάτω τῶν ἐξέδρων κύκλῳ.

8. Et in ingrediendo ducem, per viam ælam portæ ingredietur, et per viam portæ egredietur.

9. Et cum intrabit populus terræ in conspectu Domini in solemnitatibus, qui ingreditur per viam portæ respicientis ad aquilonem ut adoret, egredietur per viam portæ quæ ad austrum : et qui ingreditur per viam portæ quæ ad austrum, egredietur per viam portæ quæ ad aquilonem : non revertetur per portam in quam ingressus est, sed in directum ejus egredietur.

10. Et dux in medio eorum in ingrediendo eos, ingredietur cum eis, et in egrediendo ipsos egredietur.

11. Et in solemnitatibus et in nundinis erit manaa coctio vitulo, et coctio arieti et agnis, sicut valuerit manus ejus, et olei In coctioni,

12. Si autem fecerit dux confessionem holocaustum salutaris Domino, et aperiet sibi portam respicientem ad orientem, et faciet holocaustum suum et ea quæ salutaris sui, sicut facit in die sabbatorum : et egredietur, et claudet ostia postquam ipse egressus fuerit :

13. et agnum anniculum immaculatum faciet in holocaustum quotidie Domino, mane faciet eum.

14. Et manaa faciet super eo mane, sextam partem mensuræ, et de oleo tertiam partem In ad miscendam similam manaa Domino, præceptum perpetuum

15. facietis agnum : et manaa, et oleum facietis mane, holocaustum sempiternum.

16. Hæc dicit Dominus Deus : Si dederit dux donum uni ex filiis suis de hæreditate sua, hoc filiis ejus erit possessio hæreditas.

17. Si autem dederit donum uni ex pueris suis, et erit ei usque ad annum remissionis, et reddet duci : verumtamen de hæreditate filiorum ejus ipsis erit,

18. et non tollet princeps de hæreditate populi, opprimendo eos : de possessione sua hæreditatem dabit filiis suis, ut non dispergatur populus meus, unusquisque a possessione sua.

19. Et introduxit me in ingressum ejus quæ ad tergum portæ, in exedram sanctorum sacerdotum, respicientem ad aquilonem : et ecce ibi locus separatus.

20. Et dixit ad me : Iste est locus ubi coquent ibi sacerdotes quæ pro ignorantia et quæ pro peccato, et ibi coquent manaa omnino, ut non efferant in atrium exterius, ad sanctificandum populum.

21. Et eduxit me in atrium exterius, et circumduxit me per quatuor partes atrii : et ecce atrium ad latera atrii,

22. ad latus atrium, atrium super quatuor, et atrii atrium parvum longitudinis cubitorum quadraginta, et latitudo cubitorum triginta, mensura una quatuor.

23. Et exedræ per circuitum in eis, per circuitum ipsis quatuor : et culinæ factæ sub exedris per gyrum.

24. Καὶ εἶπε πρὸς μέ· Οὗτοι οἱ οἶκοι τῶν μαγείρων, οὗ ἑψήσουσιν ἐκεῖ οἱ λειτουργοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.

24. Et dixit ad me : Hæ sunt domus coquorum, ubi coquent ibi ministri domus victimas populi.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

1. Καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου, καὶ ἰδοὺ ὕδωρ ἐξεπορεύετο ὑποκάτωθεν τοῦ αἰθρίου κατὰ ἀνατολὰς, ὅτι τὸ πρόσωπον τοῦ οἴκου ἔβλεπε κατὰ ἀνατολὰς, καὶ τὸ ὕδωρ κατέβαινεν ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ, ἀπὸ νότου ἐπὶ τὸ θυσιαστήριον.

2. Καὶ ἐξήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βοῤῥᾶν, καὶ περιήγαγέ με τὴν ὁδὸν ἔξωθεν πρὸς τὴν πύλην τῆς αὐλῆς τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ,

3. καθὼς ἔξοδος ἀνδρὸς ἐξεναντίας· καὶ μέτρον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἀφέσεως.

4. Καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἕως τῶν μηρῶν. Καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ὕδωρ ἕως ὀσφύος.

5. Καὶ διεμέτρησε χιλίους, καὶ οὐκ ἠδύνατο διελθεῖν, ὅτι ἐξύβριζεν ὡς χειμάῤῥου ὃν οὐ διαβήσονται.

6. Καὶ εἶπε πρός μέ· Ἑώρακας, υἱὲ ἀνθρώπου; Καὶ ἤγαγέ με, καὶ ἐπέστρεψέ με ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ,

7. ἐν τῇ ἐπιστροφῇ μου. Καὶ ἰδοὺ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν καὶ ἔνθεν.

8. Καὶ εἶπε πρὸς μέ· Τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν Γαλιλαίαν τὴν πρὸς ἀνατολὰς, καὶ κατέβαινεν ἐπὶ τὴν Ἀραβίαν, καὶ ἤρχετο ἕως ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς, καὶ ὑγιάσει τὰ ὕδατα.

9. Καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζώων τῶν ἐκζεόντων, ἐπὶ πάντα ἐφ' ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ ποταμὸς, ζήσεται· καὶ ἔσται ἐκεῖ ἰχθὺς πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ τοῦτο, καὶ ὑγιάσει καὶ ζήσεται πᾶν ἐφ' ὃ ἂν ἔλθῃ ὁ ποταμὸς, ἐκεῖ ζήσεται.

10. Καὶ στήσονται ἐκεῖ ἁλιεῖς ἀπὸ Ἰνγαδεὶν ἕως Ἐναγαλλείμ. Ψυγμὸς σαγηνῶν ἔσται, καθ' ἑαυτὴν ἔσται· καὶ οἱ ἰχθύες αὐτῆς, ὡς οἱ ἰχθύες τῆς θαλάσσης τῆς μεγάλης, πλῆθος πολὺ σφόδρα.

11. Καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ, καὶ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ, καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ, οὐ μὴ ὑγιάσωσιν· εἰς ἅλας δέδονται.

12. Καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται, ἐπὶ τοῦ χείλους αὐτοῦ ἔνθεν καὶ ἔνθεν. Πᾶν ξύλον βρώσιμον οὐ μὴ παλαιωθῇ ἐπ' αὐτοῦ, οὐδὲ μὴ ἐκλείπῃ ὁ καρπὸς αὐτοῦ· τῆς καινότητος αὐτοῦ πρωτοβολήσει, ὅτι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ταῦτα ἐκπορεύεται, καὶ ἔσται ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν, καὶ ἀνάβασις αὐτῶν εἰς ὑγίειαν.

13. Τάδε λέγει Κύριος Θεός· Ταῦτα τὰ ὅρια κατακληρονομήσετε τῆς γῆς, ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ἰσραὴλ πρόσθεσις σχοινίσματος.

14. Καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος καθὼς ὁ ἀδελφὸς αὐτοῦ, εἰς ἣν ἦρα τὴν χεῖρά μου, τοῦ δοῦναι τοῖς πατράσιν αὐτῶν, καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ.

15. Καὶ ταῦτα τὰ ὅρια τῆς γῆς τῆς πρὸς βοῤῥᾶν ἀπὸ θαλάσσης τῆς μεγάλης τῆς καταβαινούσης, καὶ περισχιζούσης τῆς εἰσόδου Ἡμασελδὰμ,

CAPUT XLVII.

1. Et introduxit me ad vestibula domus, et ecce aqua egrediebatur de subdio domus ad orientem, facies enim domus respiciebat ad orientem, et aqua descendebat a latere dextro, ab austro ad altare.

2. Et eduxit me per viam portæ quæ ad aquilonem, et circumduxit me per viam exteriorem ad portam atrii respicientis ad orientem : et ecce aqua deferebatur a latere dextro,

3. sicut exitus viri ex adverso : et mensura in manu ejus, et mensus est mille in mensura, et transivit in aqua aquam remissionis.

4. Et mensus est mille, et transivit in aqua aquam usque ad femora. Et mensus est mille, et transivit aquam usque ad lumbos.

5. Et mensus est mille, et non potuit transire, quoniam intumuit sicut torrentis quem non pertransibunt.

6. Et dixit ad me : Vidisti, fili hominis? Et duxit me, et convertit me ad labium fluminis,

7. in conversione mea. Et ecce super labium fluminis arbores multæ nimis hinc et inde.

8. Et dixit ad me : Aqua ista quæ egreditur in Galilæam quæ ad orientem, et descendebat in Arabiam, et veniebat usque ad mare ad aquam exitus, et sanabit aquas.

9. Et erit omnis anima animalium ebullientium, ad omnia ad quæ supervenerit illic fluvius, vivet : et erit ibi piscis multus valde, quia venit illuc aqua hæc, et sanabit et vivet omne ad quod venerit fluvius, illuc vivet.

10. Et stabunt ibi piscatores ab Ingadim usque ad Enagallim. Siccatio sagenarum erit, secundum se erit : et pisces ejus, sicut pisces maris magni, multitudo magna nimis.

11. Et in exitu ejus, et in conversione ejus, et in elatione ejus, non sanabunt : in sales data sunt.

12. Et super fluvium ascendet, super labium ejus hinc et inde. Omne lignum esui aptum non veterascet in eo, neque deficiet fructus ejus : de novitate sua primitiva dabit, quia aquæ eorum e sanctis hæ egrediuntur, et erit fructus eorum in escam, et ascensio eorum ad sanitatem.

13. Hæc dicit Dominus Deus : Hos terminos hæreditabitis terræ, duodecim tribubus filiorum Israel augmentum funiculi.

14. Et hæreditabitis eam unusquisque sicut frater suus, in quam levavi manum meam, ut darem patribus ipsorum, et cadet terra hæc vobis in hæreditatem.

15. Et hi sunt termini terræ quæ ad aquilonem a mari magno descendente, et abscindente introitu Emaseldam,

16. Μααβθηρὰς Ἑβραμηλιὰμ ἀναμέσον ὁρίων Δαμασκοῦ καὶ ἀναμέσον ὁρίων Ἠμαθεὶ, αὐλὴ τοῦ Σαυνὰν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων Αὐρανίτιδος.

17. Ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης· ἀπὸ τῆς αὐλῆς τοῦ Αἰνὰν, ὅρια Δαμασκοῦ, καὶ τὰ πρὸς βοῤῥᾶν.

18. Καὶ τὰ πρὸς ἀνατολὰς ἀναμέσον τῆς Λωρανίτιδος, καὶ ἀναμέσον Δαμασκοῦ, καὶ ἀναμέσον τῆς Γαλααδίτιδος, καὶ ἀναμέσον τῆς γῆς τοῦ Ἰσραὴλ, ὁ Ἰορδάνης διορίζει ἐπὶ τὴν θάλασσαν, τὴν πρὸς ἀνατολὰς Φοινικῶνος. Ταῦτα τὰ πρὸς ἀνατολάς.

19. Καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ Θαιμὰν καὶ Φοινικῶνος, ἕως ὕδατος Μαριμὼθ Καδὴμ, παρεκτεῖνον ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην.

20. Τοῦτο τὸ μέρος νότος καὶ λὶψ, τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς μεγάλης ὁρίζει, ἕως κατέναντι τῆς εἰσόδου Ἠμὰθ, ἕως εἰσόδου αὐτοῦ. Ταῦτά ἐστι τὰ πρὸς θάλασσαν Ἠμάθ.

21. Καὶ διαμερίσετε τὴν γῆν ταύτην αὐτοῖς, ταῖς φυλαῖς τοῦ Ἰσραὴλ

22. βαλεῖτε αὐτὴν ἐν κλήρῳ, ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν, οἵτινες ἐγέννησαν υἱοὺς ἐν μέσῳ ὑμῶν, καὶ ἔσονται ὑμῶν ὡς αὐτόχθονες ἐν τοῖς υἱοῖς τοῦ Ἰσραήλ. Μεθ' ὑμῶν φάγονται ἐν κληρονομίᾳ ἐν μέσῳ τῶν φυλῶν τοῦ Ἰσραὴλ,

23. καὶ ἔσονται ἐν φυλῇ προσηλύτων ἐν τοῖς προσηλύτοις τοῖς μετ' αὐτῶν· ἐκεῖ δώσετε κληρονομίαν αὐτοῖς, λέγει Κύριος Θεός.

16. Maabtheras Hebrameliam inter terminos Damasci et terminos Emathi, atrium Saynam, quæ sunt supra terminos Auranitidis.

17. Isti sunt termini a mari : ab atrio Ænan, termini Damasci, et qui ad aquilonem.

18. Et qui ad orientem inter Loranitiden, et Damascum, et inter Galaaditiden, et terram Israel, Jordanis disterminat ad mare, quod ad orientem Palmeti. Isti ad orientem

19. Et qui ad austrum et africum a Thæman et Palmeto, usque ad aquam Marimoth Cadim, extendens ad mare magnum.

20. Hæc pars auster et africus, hæc pars maris magni disterminat, usque contra introitum Emath, usque ad introitum ejus. Hi sunt qui ad mare Emath.

21. Et metiemini hanc terram ipsis, tribubus Israel

22. mittetis eam in sortem, vobis et advenis qui incolunt in medio vestri, qui genuerunt filios in medio vestri, et erunt quasi vestri indigenæ in filiis Israel. Vobiscum comedent in hæreditate in medio tribuum Israel,

23. et erunt in tribu advenarum inter advenas qui vobiscum : ibi dabitis hæreditatem eis, ait Dominus Deus.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'

1. Καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς πρὸς βοῤῥᾶν, κατὰ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζοντος ἐπὶ τὴν εἴσοδον τῆς Ἠμὰθ αὐλῆς τοῦ αἰλὰμ, ὅριον Δαμασκοῦ πρὸς βοῤῥᾶν, κατὰ μέρος Ἠμὰθ αὐλῆς. Καὶ ἔσται αὐτοῖς τὰ πρὸς ἀνατολὰς ἕως πρὸς θάλασσαν Δὰν, μία.

2. Καὶ ἀπὸ τῶν ὁρίων τοῦ Δὰν τὰ πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Ἀσσὴρ, μία.

3. Καὶ ἀπὸ τῶν ὁρίων Ἀσσὴρ ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Νεφθαλὶμ, μία.

4. Καὶ ἀπὸ τῶν ὁρίων Νεφθαλὶμ ἀπὸ ἀνατολῶν, ἕως τῶν πρὸς θάλασσαν Μανασσῆ, μία.

5. Καὶ ἀπὸ τῶν ὁρίων Μανασσῆ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἐφραὶμ, μία.

6. Καὶ ἀπὸ τῶν ὁρίων Ἐφραὶμ ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Ῥουβὴν, μία.

7. Καὶ ἀπὸ τῶν ὁρίων Ῥουβὴν, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Ἰούδα, μία.

8. Καὶ ἀπὸ τῶν ὁρίων Ἰούδα, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ, πέντε καὶ εἴκοσι χιλιάδες εὖρος, καὶ μῆκος καθὼς μία τῶν μερίδων ἀπὸ τῶν πρὸς ἀνατολὰς, καὶ ἕως τῶν πρὸς θάλασσαν· καὶ ἔσται τὸ ἅγιον ἐν μέσῳ αὐτῶν.

9. Ἀπαρχὴν, ἣν ἀφοριοῦσι τῷ Κυρίῳ, μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι πέντε χιλιάδες.

10. Τούτων ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων τοῖς ἱερεῦσι· πρὸς βοῤῥᾶν πέντε καὶ εἴκοσι χιλιάδες, καὶ πρὸς θάλασσαν δέκα χιλιάδες, καὶ πρὸς νότον εἴκοσι καὶ πέντε χιλιάδες· καὶ τὸ ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ αὐτοῦ

11. τοῖς ἱερεῦσι, τοῖς ἡγιασμένοις υἱοῖς Σαδδοὺκ, τοῖς

CAPUT XLVIII.

1. Et hæc nomina tribuum ab initio quod ad aquilonem, secundum partem descensus ipsius abscindentis ad introitum Emath atrii ælam, terminus Damasci ad aquilonem, secundum partem Emath atrii. Et erunt eis ea quæ ad orientem usque ad mare Dan, una.

2. Et a terminis Dan quæ ad orientem usque ad ea quæ ad mare Asser, una.

3. Et a terminis Asser ab iis quæ ad orientem, usque ad ea quæ ad mare Nephthalim, una.

4. Et a terminis Nephthalim ab oriente, usque ad ea quæ ad mare Manasse, una.

5. Et a terminis Manasse ab iis quæ ad orientem ad ea quæ ad mare Ephraim, una.

6. Et a terminis Ephraim ab iis quæ ad orientem, usque ad ea quæ ad mare Ruben, una.

7. Et a terminis Ruben, ab iis quæ ad orientem, usque ad ea quæ ad mare Juda, una.

8. Et a terminis Juda, ab iis quæ ad orientem, erunt primitiæ separationis, quinque et viginti millia latitudo, et longitudo sicut una partium ab iis quæ ad orientem, et usque ad ea quæ ad mare : et erit sanctuarium in medio eorum.

9. Primitias, quas separabunt Domino, longitudo quinque et viginti millia, et latitudo viginti quinque millia.

10. Ex his erunt primitiæ sanctorum sacerdotibus : ad aquilonem quinque et viginti millia, et ad mare decem millia, et ad austrum viginti et quinque millia : et mons sanctorum erit in medio ejus

11. sacerdotibus, sanctificatis filiis Sadduc, custodienti-

φυλάσσουσι τὰς φυλακὰς τοῦ οἴκου, οἵτινες οὐκ ἐπλανήθησαν ἐν τῇ πλανήσει υἱῶν Ἰσραὴλ, ὃν τρόπον ἐπλανήθησαν οἱ Λευῖται.

12. Καὶ ἔσται αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς, ἅγιον ἁγίων ἀπὸ τῶν ὁρίων τῶν Λευιτῶν.

13. Τοῖς δὲ Λευίταις τὰ ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων, μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος δέκα χιλιάδες· πᾶν τὸ μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι χιλιάδες.

14. Οὐ πραθήσεται ἐξ αὐτοῦ οὐδὲ καταμετρηθήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογεννήματα τῆς γῆς, ὅτι ἅγιον ἐστὶ τῷ Κυρίῳ.

15. Τὰς δὲ πέντε χιλιάδας τὰς περισσὰς ἐπὶ τῷ πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσι, προτείχισμα ἔσται τῇ πόλει εἰς τὴν κατοικίαν καὶ εἰς διάστημα αὐτοῦ· καὶ ἔσται ἡ πόλις ἐν μέσῳ αὐτοῦ,

16. καὶ ταῦτα τὰ μέτρα αὐτῆς· ἀπὸ τῶν πρὸς βοῤῥᾶν, πεντακόσιοι καὶ τετρακισχίλιοι, καὶ ἀπὸ τῶν πρὸς νότον, πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς, πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς θάλασσαν, τετρακισχιλίους πεντακοσίους.

17. Καὶ ἔσται διάστημα τῇ πόλει πρὸς βοῤῥᾶν διακόσιοι πεντήκοντα, καὶ πρὸς νότον διακόσιοι καὶ πεντήκοντα, καὶ πρὸς ἀνατολὰς διακόσιοι πεντήκοντα, καὶ πρὸς θάλασσαν διακόσιοι πεντήκοντα.

18. Καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον τῶν ἀπαρχῶν τῶν ἁγίων, δέκα χιλιάδες πρὸς ἀνατολὰς, καὶ δέκα χιλιάδες πρὸς θάλασσαν. Καὶ ἔσονται αἱ ἀπαρχαὶ τοῦ ἁγίου, καὶ ἔσται τὰ γεννήματα αὐτῆς εἰς ἄρτους τοῖς ἐργαζομένοις τὴν πόλιν.

19. Οἱ δὲ ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν ἐκ πασῶν τῶν φυλῶν τοῦ Ἰσραήλ.

20. Πᾶσα ἡ ἀπαρχὴ, πέντε καὶ εἴκοσι χιλιάδες ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας. Τετράγωνον ἀφοριεῖτε αὐτοῦ τὴν ἀπαρχὴν τοῦ ἁγίου, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως.

21. Τὸ δὲ περισσὸν τῷ ἀφηγουμένῳ ἐκ τούτου, καὶ ἐκ τούτου ἀπὸ τῶν ἀπαρχῶν τοῦ ἁγίου, καὶ εἰς τὴν κατάσχεσιν τῆς πόλεως ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας μῆκος, ἕως τῶν ὁρίων τῶν πρὸς ἀνατολὰς καὶ πρὸς θάλασσαν, ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας ἕως τῶν ὁρίων τῶν πρὸς θάλασσαν, ἐχόμενα τῶν μερίδων τοῦ ἀφηγουμένου. Καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων καὶ τὸ ἁγίασμα τοῦ οἴκου ἐν μέσῳ αὐτῆς.

22. Καὶ παρὰ τῶν Λευιτῶν, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως ἐν μέσῳ τῶν ἀφηγουμένων, ἔσται ἀναμέσον τῶν ὁρίων Ἰούδα, καὶ ἀναμέσον τῶν ὁρίων Βενιαμὶν, καὶ τῶν ἀφηγουμένων ἔσται.

23. Καὶ τὸ περισσὸν τῶν φυλῶν, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Βενιαμὶν, μία.

24. Καὶ ἀπὸ τῶν ὁρίων τῶν Βενιαμὶν, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Συμεὼν, μία.

25. Καὶ ἀπὸ τῶν ὁρίων τῶν Συμεὼν, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Ἰσσάχαρ, μία.

26. Καὶ ἀπὸ τῶν ὁρίων τῶν Ἰσσάχαρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Ζαβουλὼν, μία.

27. Καὶ ἀπὸ τῶν ὁρίων τῶν Ζαβουλὼν, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν Γὰδ, μία.

bus custodias domus, qui non erraverunt in errore filiorum Israel, sicut erraverunt Levitæ.

12. Et erunt eis primitiæ datæ de primitiis terræ, sanctum sanctorum de terminis Levitarum.

13. Levitis autem juxta fines sacerdotum, longitudo quinque et viginti millia, et latitudo decem millia : omnis longitudo quinque et viginti millia, et latitudo viginti millia.

14. Non vendetur ex eo neque mensurabitur, neque auferentur primitiæ terræ, quia sanctum est Domino.

15. Quinque millia autem quæ supersunt in latitudine in quinque et viginti millibus, antemurale erit civitati in habitaculum et in spatium ejus : et erit civitas in medio ejus,

16. et hæ mensuræ ejus : ab iis quæ ad aquilonem, quingenti et quater mille, et ab his quæ ad austrum, quingenti et quatuor millia, et ab his quæ ad orientem, quingenti et quatuor millia, et ab his quæ ad mare, quater mille quingenti.

17. Et erit spatium civitati ad aquilonem ducenti quinquaginta, et ad austrum ducenti et quinquaginta, et ad orientem ducenti quinquaginta, et ad mare ducenti quinquaginta.

18. Quod autem supererit longitudinis juxta primitias sanctorum, decem millia ad orientem, et decem millia ad mare. Et erunt primitiæ sanctuarii, et erunt genimina ejus in panes his qui operantur civitati.

19. Qui autem operantur civitati operabuntur ei ex omnibus tribubus Israel.

20. Omnes primitiæ, quinque et viginti millia per quinque et viginti millia. In quadrum separabitis ipsius primitias sanctuarii, a possessione civitatis.

21. Quod autem supererit duci ex hoc, et ex hoc a primitiis sanctuarii, et in possessionem civitatis ad quinque et viginti millia longitudo, usque ad terminos eorum quæ ad orientem et ad mare, super quinque et viginti millia usque ad terminos eorum quæ ad mare, juxta partes ducis. Et erunt primitiæ sanctorum et sanctificatio domus in medio ejus.

22. Et de Levitis, de possessione civitatis in medio ducum, erit inter terminos Juda, et inter terminos Benjamin, et ducum erit.

23. Et quod superest tribuum, ab his quæ ad orientem, usque ad ea quæ ad mare Benjamin, una.

24. Et a terminis Benjamin, ab his quæ ad orientem, usque ad ea quæ ad mare Symeon, una.

25. Et a terminis Symeon, ab his quæ ad orientem, usque ad mare Issachar, una.

26. Et a terminis Issachar, ab his quæ ad orientem, usque ad ea quæ ad mare Zabulon, una.

27. Et a terminis Zabulon, ab his quæ ad orientem, usque ad ea quæ ad mare Gad, una.

28. Καὶ ἀπὸ τῶν ὁρίων τῶν Γὰδ, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς λίβα· καὶ ἔσται τὰ ὅρια αὐτοῦ ἀπὸ Θαιμὰν, καὶ ὕδατος Βαριμὼθ Κάδης, κληρονομίας, ἕως τῆς θαλάσσης τῆς μεγάλης.

29. Αὕτη ἡ γῆ ἣν βαλεῖτε ἐν κλήρῳ ταῖς φυλαῖς τοῦ Ἰσραήλ· καὶ οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει Κύριος Θεός.

30. Καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βοῤῥᾶν, τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ.

31. Καὶ αἱ πύλαι τῆς πόλεως, ἐπ' ὀνόμασι φυλῶν τοῦ Ἰσραήλ. Πύλαι τρεῖς πρὸς βοῤῥᾶν, πύλη Ῥουβὴν μία, καὶ πύλη Ἰούδα μία, καὶ πύλη Λευῒ μία.

32. Καὶ τὰ πρὸς ἀνατολὰς, τετρακισχίλιοι καὶ πεντακόσιοι· καὶ πύλαι τρεῖς, πύλη Ἰωσὴφ μία, καὶ πύλη Βενιαμὶν μία, καὶ πύλη Δὰν μία.

33. Καὶ τὰ πρὸς νότον, τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι τρεῖς, πύλη Συμεὼν μία, καὶ πύλη Ἰσσάχαρ μία, καὶ πύλη Ζαβουλὼν μία.

34. Καὶ τὰ πρὸς θάλασσαν, τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· πύλαι τρεῖς, πύλη Γὰδ μία, καὶ πύλη Ἀσσὴρ μία, καὶ πύλη Νεφθαλὶμ μία.

35. Κύκλωμα, δέκα καὶ ὀκτὼ χιλιάδες. Καὶ τὸ ὄνομα τῆς πόλεως, ἀφ' ἧς ἂν ἡμέρας γένηται, ἔσται τὸ ὄνομα αὐτῆς.

28. Et a terminis Gad, ab his quæ ad orientem, usque ad ea quæ ad africum : et erunt termini ejus a Thæman, et aqua Barimoth Cades, hæreditatis, usque ad mare magnum.

29. Hæc est terra quam mittetis in sortem tribubus Israel : et hæ sunt partitiones earum, ait Dominus Deus.

30. Et hi sunt egressus civitatis qui ad aquilonem, quater mille et quingenti mensura.

31. Et portæ civitatis, in nominibus tribuum Israel. Portæ tres ad aquilonem, porta Ruben una, et porta Juda una, et porta Levi una.

32. Et qua ad orientem, quater mille et quingenti : et portæ tres, porta Joseph una, et porta Benjamin una, et porta Dan una.

33. Et qua ad austrum, quater mille et quingenti mensura : et portæ tres, porta Symeon una, et porta Issachar una, et porta Zabulon una.

34. Et qua ad mare, quater mille et quingenti mensura : portæ tres, porta Gad una, et porta Asser una, et porta Nephthalim una.

35. Circuitus, decem et octo millia. Et nomen civitatis, ex qua die facta fuerit, erit nomen ejus.

ΔΑΝΙΗΛ.

(*Vulg.*) ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ.

2. Καὶ ἔλαβε γυναῖκα ᾗ ὄνομα Σωσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα, καὶ φοβουμένη τὸν Κύριον.

3. Καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωϋσῆ.

4. Καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ, καὶ πρὸς αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι, διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πάντων.

5. Καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ Δεσπότης, ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾷν τὸν λαόν.

6. Οὗτοι προσεκαρτέρουν ἐν τῇ οἰκίᾳ Ἰωακείμ, καὶ ἤρχοντο πρὸς αὐτοὺς πάντες οἱ κρινόμενοι.

7. Καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέρας, εἰσεπορεύετο Σωσάννα, καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς.

8. Καὶ ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθ' ἡμέραν εἰσπορευομένην, καὶ περιπατοῦσαν, καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς,

9. καὶ διέστρεψαν τὸν ἑαυτῶν νοῦν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν, μηδὲ μνημονεύειν κριμάτων δικαίων.

10. Καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ αὐτῆς, καὶ οὐκ ἀνήγγειλαν ἀλλήλοις τὴν ὀδύνην ἑαυτῶν,

DANIEL.

(*Vulg.*) CAPUT XIII.

1. Et erat vir habitans in Babylone, et nomen ejus Joacim.

2. Et accepit uxorem nomine Sosannam, filiam Chelciæ, pulchram nimis, et timentem Dominum.

3. Et parentes ejus justi, et docuerunt filiam suam juxta legem Moysi.

4. Erat autem Joacim dives valde, et erat ei pomarium vicinum domui suæ, et ad ipsum confluebant Judæi, eo quod esset honorabilior omnium.

5. Et constituti sunt duo senes de populo judices in anno illo, de quibus locutus est Dominus, quia egressa est iniquitas de Babylone a senibus judicibus, qui videbantur regere populum.

6. Isti frequentabant domum Joacim, et veniebant ad eos omnes qui habebant judicia.

7. Cum autem populus recessisset per meridiem, ingrediebatur Sosanna, et deambulabat in pomario viri sui.

8. Et videbant eam senes quotidie ingredientem, et deambulantem, et exarserunt in concupiscentiam ejus,

9. et everterunt sensum suum, et declinaverunt oculos suos, ut non viderent cœlum, neque meminissent judiciorum justorum.

10. Erant ergo ambo vulnerati amore ejus, nec indicaverunt sibi vicissim dolorem suum,

11. ὅτι ᾐσχύνοντο ἀναγγεῖλαι τὴν ἐπιθυμίαν αὐτῶν, ὅτι ἤθελον συγγενέσθαι αὐτῇ,

12. καὶ παρετηροῦσαν φιλοτίμως καθ' ἡμέραν ὁρᾷν αὐτήν.

13. Καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ· Πορευθῶμεν δὴ εἰς οἶκον, ὅτι ἀρίστου ὥρα ἐστί. Καὶ ἐξελθόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων,

14. καὶ ἀνακάμψαντες ἦλθον ἐπιτοαυτὸ, καὶ ἀνετάζοντες ἀλλήλους τὴν αἰτίαν, ὡμολόγησαν τὴν ἐπιθυμίαν αὐτῶν· καὶ τότε κοινῇ συνετάξαντο καιρὸν, ὅτε αὐτὴν δυνήσονται εὑρεῖν μόνην.

15. Καὶ ἐγένετο, ἐν τῷ παρατηρεῖν αὐτοὺς ἡμέραν εὔθετον, εἰςῆλθέ ποτε καθὼς χθὲς καὶ τρίτης ἡμέρας, μετὰ δύο μόνων κορασίων, καὶ ἐπεθύμησε λούσασθαι ἐν τῷ παραδείσῳ, ὅτι καῦμα ἦν.

16. Καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ πλὴν οἱ δύο πρεσβύτεροι κεκρυμμένοι, καὶ παρατηροῦντες αὐτήν.

17. Καὶ εἶπε τοῖς κορασίοις· Ἐνέγκατε δή μοι ἔλαιον καὶ σμήγματα, καὶ τὰς θύρας τοῦ παραδείσου κλείσατε, ὅπως λούσωμαι.

18. Καὶ ἐποίησαν καθὼς εἶπε, καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ παραδείσου, καὶ ἐξῆλθαν κατὰ τὰς πλαγίας θύρας, ἐνέγκαι τὰ προστεταγμένα αὐταῖς, καὶ οὐκ εἴδοσαν τοὺς πρεσβυτέρους ὅτι ἦσαν κεκρυμμένοι.

19. Καὶ ἐγένετο ὡς ἐξήλθοσαν τὰ κοράσια, καὶ ἀνέστησαν οἱ δύο πρεσβῦται, καὶ ἐπέδραμον αὐτῇ,

20. καὶ εἶπον· Ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κέκλεινται, καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπιθυμίᾳ σου ἐσμέν· διὸ συγκατάθου ἡμῖν, καὶ γενοῦ μεθ' ἡμῶν.

21. Εἰ δὲ μὴ, καταμαρτυρήσομέν σου, ὅτι ἦν μετὰ σοῦ νεανίσκος, καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ.

22. Καὶ ἀνεστέναξε Σωσάννα, καὶ εἶπε· Στενά μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοι ἐστίν· ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.

23. Αἱρετώτερόν μοι ἐστὶ μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου.

24. Καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Σωσάννα. Ἐβόησαν δὲ καὶ οἱ δύο πρεσβῦται κατέναντι αὐτῆς.

25. Καὶ δραμὼν ὁ εἷς, ἤνοιξε τὰς θύρας τοῦ παραδείσου.

26. Ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ παραδείσῳ οἱ ἐκ τῆς οἰκίας, εἰςεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς αὐτῇ.

27. Ἡνίκα δὲ εἶπαν οἱ πρεσβῦται τοὺς λόγους αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα, ὅτι πώποτε οὐκ ἐῤῥήθη λόγος τοιοῦτος περὶ Σωσάννης.

28. Καὶ ἐγένετο τῇ ἐπαύριον, ὡς συνῆλθεν ὁ λαὸς πρὸς τὸν ἄνδρα αὐτῆς Ἰωακεὶμ, ἦλθον οἱ δύο πρεσβῦται πλήρεις τῆς ἀνόμου ἐννοίας κατὰ Σωσάννης, τοῦ θανατῶσαι αὐτὴν, καὶ εἶπαν ἔμπροσθεν τοῦ λαοῦ·

29. Ἀποστείλατε ἐπὶ Σωσάνναν θυγατέρα Χελκίου, ἥ ἐστι γυνὴ Ἰωακείμ. Οἱ δὲ ἀπέστειλαν.

30. Καὶ ἦλθεν αὐτὴ, καὶ οἱ γονεῖς αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς, καὶ πάντες οἱ συγγενεῖς αὐτῆς.

31. Ἡ δὲ Σωσάννα ἦν τρυφερὰ σφόδρα καὶ καλὴ τῷ εἴδει.

32. Οἱ δὲ παράνομοι ἐκέλευσαν ἀποκαλυφθῆναι αὐτὴν, ἦν γὰρ κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσι τοῦ κάλλους αὐτῆς.

11. erubescebant enim indicare concupiscentiam suam, volentes concumbere cum ea,

12. et observabant quotidie sollicite videre eam.

13. Dixitque alter ad alterum : Eamus domum, quia prandii hora est. Et egressi recesserunt a se mutuo,

14. cumque revertissent venerunt in unum, et sciscitantes ad invicem causam, confessi sunt concupiscentiam suam : et tunc in commune statuerunt tempus, quando eam possent invenire solam.

15. Factum est autem, cum observarent diem aptum, ingressa est aliquando sicut heri et nudiustertius, cum duabus solis puellis, voluitque lavari in pomario, æstus quippe erat.

16. Et non erat ibi quisquam præter duos senes absconditos, et contemplantes eam.

17. Dixit ergo puellis : Afferte mihi oleum et smigmata, et ostia pomarii claudite, ut laver.

18. Et fecerunt sicut præceperat, clauseruntque ostia pomarii, et egressæ sunt per posticum, ut afferrent quæ jusserat eis, nesciebantque senes esse absconditos.

19. Cum autem egressæ essent puellæ, surrexerunt duo senes, et accurrerunt ad eam,

20. et dixerunt : Ecce ostia pomarii clausa sunt, et nemo nos videt, et in concupiscentia tui sumus : quamobrem assentire nobis, et commiscere nobiscum.

21. Quod si nolueris, dicemus contra te testimonium, quod fuerit tecum juvenis, et ob hanc causam emiseris puellas a te.

22. Et ingemuit Sosanna, et ait : Angustiæ mihi sunt undique : si enim hoc egero, mors mihi est : si autem non egero, nequaquam effugiam manus vestras.

23. Melius mihi est absque opere incidere in manus vestras, quam peccare in conspectu Domini.

24. Et exclamavit voce magna Sosanna. Clamaverunt autem et duo senes adversus eam.

25. Et cucurrit unus ad ostia pomarii, et aperuit.

26. Et cum audissent clamorem in pomario famuli domus, irruerunt per posticum ut viderent quidnam accidisset ei.

27. Postquam autem senes dixerunt sermones suos, erubuerunt servi vehementer, quia nunquam dictus fuerat sermo hujusmodi de Sosanna.

28. Et factum est die crastina, cum convenisset populus ad virum ejus Joacim, venerunt duo presbyteri pleni iniqua cogitatione adversus Sosannam, ut interficerent eam, et dixerunt coram populo :

29. Mittite ad Sosannam filiam Chelciæ, uxorem Joacim. Illi vero miserunt.

30. Et venit cum parentibus, et filiis, et universis cognatis suis.

31. Porro Sosanna erat delicata nimis et pulchra specie.

32. At iniqui illi jusserunt ut discooperiretur, erat enim cooperta, ut vel sic satiarentur de decore ejus.

33. Ἔκλαιον δὲ οἱ παρ' αὐτῆς, καὶ πάντες οἱ ἰδόντες αὐτήν.

34. Ἀναστάντες δὲ οἱ δύο πρεσβύται ἐν μέσῳ τῷ λαῷ, ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτῆς.

35. Ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανὸν, ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα ἐπὶ Κυρίῳ.

36. Εἶπον δὲ οἱ πρεσβύται· Περιπατούντων ἡμῶν ἐν τῷ παραδείσῳ μόνων, εἰσῆλθεν αὕτη μετὰ δύο παιδισκῶν, καὶ ἀπέκλεισε τὰς θύρας τοῦ παραδείσου, καὶ ἀπέλυσε τὰς παιδίσκας.

37. Καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε μετ' αὐτῆς.

38. Ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου, ἰδόντες τὴν ἀνομίαν, ἐδράμομεν ἐπ' αὐτούς· καὶ ἰδόντες συγγινομένους αὐτοὺς,

39. ἐκείνου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γενέσθαι, διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς, καὶ ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι.

40. Ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν τίς ἦν ὁ νεανίσκος. Καὶ οὐκ ἠθέλησεν ἀγγεῖλαι ἡμῖν. Ταῦτα μαρτυροῦμεν.

41. Καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ καὶ κριταῖς, καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν.

42. Ἀνεβόησε δὲ φωνῇ μεγάλῃ Σωσάννα, καὶ εἶπεν· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν,

43. σὺ ἐπίστασαι ὅτι ψευδῆ μου κατεμαρτύρησαν. Καὶ ἰδοὺ ἀποθνήσκω μὴ ποιήσασα μηδὲν ὧν οὗτοι ἐπονηρεύσαντο κατ' ἐμοῦ.

44. Καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῆς.

45. Καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ὁ Θεὸς ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ.

46. Καὶ ἐβόησε φωνῇ μεγάλῃ· Ἀθῷος ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης.

47. Ἐπέστρεψε δὲ πᾶς ὁ λαὸς πρὸς αὐτὸν, καὶ εἶπαν· Τίς ὁ λόγος οὗτος ὃν σὺ λελάληκας;

48. Ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν· Οὕτω μωροὶ οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες, κατεκρίνατε θυγατέρα Ἰσραήλ;

49. Ἀνατρέψατε εἰς τὸ κριτήριον· ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς.

50. Καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς. Καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι· Δεῦρο, κάθισον ἐν μέσῳ ἡμῶν, καὶ ἀνάγγειλον ἡμῖν, ὅτι σοὶ δέδωκεν ὁ Θεὸς τὸ πρεσβεῖον.

51. Καὶ εἶπε πρὸς αὐτοὺς Δανιήλ· Διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων μακρὰν, καὶ ἀνακρινῶ αὐτούς.

52. Ὡς δὲ διεχωρίσθησαν εἷς ἀπὸ τοῦ ἑνὸς, ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ εἶπε πρὸς αὐτόν· Πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις τοπρότερον,

53. κρίνων κρίσεις ἀδίκους, καὶ τοὺς μὲν ἀθῴους κατακρίνων, ἀπολύων δὲ τοὺς αἰτίους, λέγοντος τοῦ Θεοῦ· Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς.

54. Νῦν οὖν ταύτην εἴπερ εἶδες, εἰπὸν ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; Ὁ δὲ εἶπεν· Ὑπὸ σχῖνον.

55. Εἶπε δὲ Δανιήλ· Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ

33. Flebant igitur sui, et omnes qui noverant eam.

34. Consurgentes autem duo presbyteri in medio populi, posuerunt manus super caput ejus.

35. Quæ flens suspexit ad cœlum, erat enim cor ejus fiduciam habens in Domino.

36. Et dixerunt presbyteri : Cum deambularemus in pomario soli, ingressa est hæc cum duabus puellis, et clausit ostia pomarii, et dimisit puellas.

37. Venitque ad eam adolescens qui erat absconditus, et concubuit cum ea.

38. Porro nos cum essemus in angulo pomarii, videntes iniquitatem, cucurrimus ad eos : et vidimus eos pariter commisceri,

39. et illum quidem non quivimus comprehendere, quia fortior nobis erat, et apertis ostiis exsiluit.

40. Hanc autem cum apprehendissemus interrogavimus quisnam esset adolescens. Et noluit indicare nobis. Hujus rei testes sumus.

41. Et credidit eis multitudo quasi senibus populi et judicibus, et condemnaverunt eam ad mortem.

42. Exclamavit autem Sosanna voce magna, et dixit : Deus æterne, qui absconditorum es cognitor, qui nosti omnia antequam fiant,

43. tu scis quoniam falsum contra me tulerunt testimonium. Et ecce ego morior cum nihil horum fecerim quæ isti malitiose composuerunt adversum me.

44. Exaudivit autem Dominus vocem ejus.

45. Cumque duceretur ad mortem, suscitavit Deus spiritum sanctum pueri junioris, cujus nomen Daniel.

46. Et exclamavit voce magna : Mundus ego sum a sanguine hujus.

47. Et conversus omnis populus ad eum, dixit : Quis est iste sermo quem tu locutus es?

48. Qui cum staret in medio eorum, ait : Sic fatui filii Israel, non judicantes, neque quod manifestum est cognoscentes, condemnastis filiam Israel?

49. Revertimini ad judicium : quia falsum testimonium locuti sunt isti adversus eam.

50. Reversus est ergo omnis populus cum festinatione. Et dixerunt ei senes : Veni, et sede in medio nostrum, et indica nobis, quia tibi Deus dedit honorem senectutis.

51. Et dixit ad eos Daniel : Separate illos ab invicem procul, et dijudicabo eos.

52. Cumque divisi essent alter ab altero, vocavit unum de eis, et dixit ad eum : Inveterate dierum malorum, nunc venerunt peccata tua, quæ operabaris prius,

53. judicans judicia injusta, et innocentes condemnans, dimittens autem noxios, dicente Deo : Innocentem et justum non interficies.

54. Nunc igitur si vidisti eam, dic sub qua arbore videris eos colloquentes sibi? Qui ait : Sub schino.

55. Dixitque Daniel : Recte mentitus es in caput tuum :

κεφαλήν· ἤδη γὰρ ἄγγελος φάσιν Θεοῦ λαβὼν παρὰ του Θεοῦ, σχίσει σε μέσον.

56. Καὶ μεταστήσας αὐτὸν ἐκέλευσε προςαγαγεῖν τὸν ἕτερον, καὶ εἶπεν αὐτῷ· Σπέρμα Χαναὰν, καὶ οὐχ Ἰούδα, τὸ κάλλος ἐξηπάτησέ σε, καὶ ἐπιθυμία διέστρεψε τὴν καρδίαν σου.

57. Οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραὴλ, καὶ ἐκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν.

58. Νῦν οὖν λέγε μοι ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; Ὁ δὲ εἶπεν· Ὑπὸ πρῖνον.

59. Εἶπε δὲ αὐτῷ Δανιήλ· Ὀρθῶς ἔψευσαι καὶ σὺ εἰς τὴν σεαυτοῦ κεφαλήν. Μένει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ, τὴν ῥομφαίαν ἔχων, πρίσαι σε μέσον, ὅπως ἐξολοθρεύσῃ ὑμᾶς.

60. Καὶ ἀνεβόησε πᾶσα ἡ συναγωγὴ φωνῇ μεγάλῃ, καὶ εὐλόγησαν τῷ Θεῷ τῷ σώζοντι τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

61. Καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβύτας, ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας, καὶ ἐποίησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο τῷ πλησίον·

62. ποιῆσαι κατὰ τὸν νόμον Μωϋσῆ. Καὶ ἀπέκτειναν αὐτοὺς, καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

63. Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ ᾔνεσαν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ Ἰωακεὶμ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν αὐτῶν, ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχημον πρᾶγμα.

64. Καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Ἰωακεὶμ βασιλέως Ἰούδα, ἦλθε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ, καὶ ἐπολιόρκει αὐτήν.

2. Καὶ ἔδωκε Κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ἰωακεὶμ βασιλέα Ἰούδα, καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ Θεοῦ, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Σενναὰρ οἴκου τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰςήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ.

3. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ, εἰςαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας Ἰσραὴλ, καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας, καὶ ἀπὸ τῶν φορθομμὶν,

4. νεανίσκους οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καὶ καλοὺς τῇ ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ, καὶ γινώσκοντας γνῶσιν καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ οἴκῳ ἐνώπιον τοῦ βασιλέως, καὶ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων.

5. Καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ ποτοῦ αὐτοῦ, καὶ θρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως.

6. Καὶ ἐγένετο ἐν αὐτοῖς, ἐκ τῶν υἱῶν Ἰούδα, Δανιὴλ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαήλ.

7. Καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα· τῷ Δανιὴλ Βαλτάσαρ, καὶ τῷ Ἀνανίᾳ Σεδρὰχ, καὶ τῷ Μισαὴλ Μισὰχ, καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγώ.

ecce enim angelus Dei, accepta sententia a Deo, scindet te medium.

56. Et amoto eo jussit venire alium, et dixit ei : Semen Chanaan, et non Juda, species decepit te, et concupiscentia subvertit cor tuum.

57. Sic faciebatis filiabus Israel, et illæ timentes loquebantur vobis : sed non filia Juda sustinuit iniquitatem vestram.

58. Nunc ergo dic mihi sub qua arbore comprehenderis eos loquentes sibi? Qui ait : Sub prino.

59. Dixitque ad eum Daniel : Recte mentitus es et tu in caput tuum. Manet enim angelus Dei, gladium habens, ut secet te medium, et interficiat vos.

60. Exclamavit autem omnis synagoga voce magna, et benedixerunt Deum qui salvat sperantes in se.

61. Et consurrexerunt adversus duos presbyteros, convicerat enim eos Daniel ex ore ipsorum falsum dixisse testimonium, et fecerunt eis sicut male egerant adversus proximum.

62. ut facerent secundum legem Moysi. Et interfecerunt eos, et salvatus est sanguis innoxius in die illa.

63. Chelcias autem et uxor ejus laudaverunt pro filia sua cum Joacim marito ejus et cognatis suis, quia non esset inventa in ea res turpis.

64. Daniel autem factus est magnus in conspectu populi a die illa et deinceps.

CAPUT I.

1. In anno tertio regni Joacim regis Juda, venit Nabuchodonosor rex Babylonis in Jerusalem, et obsidebat eam.

2. Et dedit Dominus in manu ejus Joacim regem Juda, et de parte vasorum domus Dei, et asportavit ea in terram Sennaar domus dei sui, et vasa intulit in domum thesauri dei sui.

3. Et ait rex Asphanez præposito eunuchorum suorum, ut introduceret de filiis captivitatis Israel, et de semine regni, et de phorthommin (*tyrannis*),

4. pueros quibus non est in eis macula, et pulchros specie, et intelligentes in omni sapientia, et scientes scientiam et cogitantes prudentiam, et quibus est robur in eis standi in domo coram rege, et doceret eos litteras et linguam Chaldæorum,

5. Et constituit eis rex quod in diem quotidie de mensa regis et de vino potus ipsius, et nutriret eos annis tribus, et postea starent in conspectu regis.

6. Et fuerunt in eis, de filiis Juda, Daniel, et Ananias, et Azarias, et Misael.

7. Et imposuit eis præpositus eunuchorum nomina : Danieli Baltasar, et Ananiæ Sedrach, et Misaeli Misach, et Azariæ Abdenago.

8. Καὶ ἔθετο Δανιὴλ εἰς τὴν καρδίαν αὐτοῦ, ὡς οὐ μὴ ἀλισγηθῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως, καὶ ἐν τῷ οἴνῳ ἀπὸ τοῦ ποτοῦ αὐτοῦ· καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον, ὡς οὐ μὴ ἀλισγηθῇ.

9. Καὶ ἔδωκεν ὁ Θεὸς τὸν Δανιὴλ εἰς ἔλεον καὶ οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου·

10. καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιήλ· Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα, τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν, μή ποτε ἴδῃ τὰ πρόςωπα ὑμῶν σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάσητε τὴν κεφαλήν μου τῷ βασιλεῖ.

11. Καὶ εἶπε Δανιὴλ πρὸς Ἀμελσὰδ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιὴλ, Ἀνανίαν, Μισαὴλ, Ἀζαρίαν·

12. Πείρασον δὴ τοὺς παῖδάς σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων, καὶ φαγώμεθα, καὶ ὕδωρ πιώμεθα,

13. καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν, καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ καθὼς ἐὰν ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου.

14. Καὶ εἰςήκουσεν αὐτῶν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα.

15. Καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν ὠράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια τὰ ἔσθοντα τὴν τράπεζαν τοῦ βασιλέως.

16. Καὶ ἐγένετο Ἀμελσὰδ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν, καὶ ἐδίδου αὐτοῖς σπέρματα.

17. Καὶ τὰ παιδάρια ταῦτα, οἱ τέσσαρες αὐτοὶ, ἔδωκεν αὐτοῖς ὁ Θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ· καὶ Δανιὴλ συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις.

18. Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ὧν εἶπεν ὁ βασιλεὺς εἰςαγαγεῖν αὐτοὺς, καὶ εἰςήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος ἐναντίον Ναβουχοδονόσορ,

19. καὶ ἐλάλησε μετ' αὐτῶν ὁ βασιλεύς· καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι Δανιὴλ, καὶ Ἀνανίᾳ, καὶ Μισαὴλ, καὶ Ἀζαρίᾳ, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως.

20. Καὶ ἐν παντὶ ῥήματι σοφίας καὶ ἐπιστήμης, ὧν ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεὺς, εὗρεν αὐτοὺς δεκαπλασίονας, παρὰ πάντας τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ.

21. Καὶ ἐγένετο Δανιὴλ ἕως ἔτους ἑνὸς Κύρου τοῦ βασιλέως.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας ἐνυπνιάσθη Ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ' αὐτοῦ.

2. Καὶ εἶπεν ὁ βασιλεὺς καλέσαι τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς καὶ τοὺς Χαλδαίους, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια αὐτοῦ. Καὶ ἦλθαν, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως.

3. Καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· Ἠνυπνιάσθην, καὶ ἐξέστη τὸ πνεῦμά μου τοῦ γνῶναι τὸ ἐνύπνιον.

4. Καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ συριστί·

8. Et posuit Daniel in corde suo, ut non pollueretur in mensa regis, et in vino de potu ejus: et rogavit eunuchorum præpositum, ne contaminaretur.

9. Et dedit Deus Danielem in misericordiam et miserationem in conspectu principis eunuchorum:

10. et dixit princeps eunuchorum Danieli: Timeo ego dominum meum regem, qui constituit cibum vestrum et potum vestrum, ne forte videat facies vestras tristes præ adolescentibus coævis vestris, et condemnetis caput meum regi.

11. Et dixit Daniel ad Amelsad, quem constituerat princeps eunuchorum super Danielem, Ananiam, Misael, Azariam:

12. Tenta, obsecro, pueros tuos diebus decem, et dent nobis de seminibus, et comedamus, et aquam bibamus,

13. et appareant coram te vultus nostri, et vultus puerorum qui edunt mensam regis, et sicut videris, facito cum pueris tuis.

14. Et exaudivit eos, et tentavit eos diebus decem.

15. Et post finem decem dierum apparuerunt vultus eorum boni et robusti carnibus super pueros qui edebant mensam regis.

16. Et fuit Amelsad tollens cibum eorum et vinum potus eorum, et dabat eis semina.

17. Et pueri hi, quatuor ipsi, dedit eis Deus intellectum et prudentiam in omni litteratura et sapientia: et Daniel intellexit in omni visione et somniis.

18. Et post finem dierum quos dixerat rex introducendi eos, et introduxit eos præpositus eunuchorum in conspectu Nabuchodonosor,

19. et locutus est cum eis rex: et non sunt inventi de universis ipsis similes Danieli, et Ananiæ, et Misael, et Azariæ, et steterunt in conspectu regis.

20. Et in omni verbo sapientiæ et scientiæ, quæcumque sciscitatus est ab eis rex, invenit eos decuplo majores, præ omnibus incantatoribus et magis qui erant in universo regno ejus.

21. Et fuit Daniel usque ad annum unum Cyri regis.

CAPUT II.

1. In anno secundo regni somniavit Nabuchodonosor somnium, et obstupuit spiritus ejus, et somnus ejus fuit ab eo.

2. Et dixit rex ut vocarent incantatores et magos et maleficos et Chaldæos, ad annuntiandum regi somnia ejus. Et venerunt, et steterunt coram rege.

3. Et dixit eis rex Somniavi, et obstupuit spiritus meus ad cognoscendum somnium.

4. Et locuti sunt Chaldæi regi syriace: Rex, in secula

Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· σὺ εἰπὸν τὸ ἐνύπνιον τοῖς παισί σου, καὶ τὴν σύγκρισιν ἀναγγελοῦμεν.

5. Ἀπεκρίθη ὁ βασιλεὺς τοῖς Χαλδαίοις· Ὁ λόγος ἀπ᾽ ἐμοῦ ἀπέστη· ἐὰν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν, εἰς ἀπώλειαν ἔσεσθε, καὶ οἱ οἶκοι ὑμῶν διαρπαγήσονται.

6. Ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δόματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν λήψεσθε παρ᾽ ἐμοῦ· πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλατέ μοι.

7. Ἀπεκρίθησαν δεύτερον, καὶ εἶπαν· Ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ τὴν σύγκρισιν ἀναγγελοῦμεν.

8. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν· Ἐπ᾽ ἀληθείας οἶδα ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι ἴδετε, ὅτι ἀπέστη ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα.

9. Ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγείλητέ μοι, οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ ὁ καιρὸς παρέλθῃ. Τὸ ἐνύπνιόν μου εἴπατέ μοι, καὶ γνώσομαι ὅτι καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι.

10. Ἀπεκρίθησαν οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως, καὶ λέγουσιν· Οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς ὅστις τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται γνωρίσαι, καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτον οὐκ ἐπερωτᾷ ἐπαοιδὸν, μάγον καὶ Χαλδαῖον,

11. ὅτι ὁ λόγος ὃν ὁ βασιλεὺς ἐπερωτᾷ βαρὺς, καὶ ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐτὸν ἐνώπιον τοῦ βασιλέως, ἀλλ᾽ οἱ θεοὶ, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός.

12. Τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀπολέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶνος.

13. Καὶ τὸ δόγμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτέννοντο· καὶ ἐζήτησαν Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀνελεῖν.

14. Τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀναιρεῖν τοὺς σοφοὺς Βαβυλῶνος·

15. Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδὴς ἐκ προσώπου τοῦ βασιλέως; Ἐγνώρισε δὲ ὁ Ἀριὼχ τὸ ῥῆμα τῷ Δανιήλ.

16. Καὶ Δανιὴλ ἠξίωσε τὸν βασιλέα ὅπως χρόνον δῷ αὐτῷ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελῇ τῷ βασιλεῖ.

17. Καὶ εἰσῆλθε Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῷ Ἀνανίᾳ καὶ τῷ Μισαὴλ καὶ τῷ Ἀζαρίᾳ τοῖς φίλοις αὐτοῦ τὸ ῥῆμα ἐγνώρισε·

18. καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ Θεοῦ τοῦ οὐρανοῦ ὑπὲρ τοῦ μυστηρίου τούτου, ὅπως ἂν μὴ ἀπόλωνται Δανιὴλ καὶ οἱ φίλοι αὐτοῦ μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος.

19. Τότε τῷ Δανιὴλ ἐν ὁράματι τῆς νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη. Καὶ εὐλόγησε τὸν Θεὸν τοῦ οὐρανοῦ Δανιὴλ,

20. καὶ εἶπεν· Εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστι.

21. Καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν.

22. Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ᾽ αὐτοῦ ἐστι.

vive : dic somnium pueris tuis, et conjecturam indicabimus.

5. Respondit rex Chaldæis : Sermo recessit a me : nisi indicaveritis mihi somnium et conjecturam, in perditionem eritis, et domus vestræ diripientur.

6. Si autem somnium et conjecturam ejus indicaveritis mihi, præmia et dona et honorem multum accipietis a me : tantummodo somnium et conjecturam ejus indicate mihi.

7. Responderunt secundo, et dixerunt : Rex dicat somnium pueris suis, et conjecturam indicabimus.

8. Et respondit rex, et dixit : In veritate novi ego quod vos redimitis tempus, secundum quod videtis, quia discessit a me verbum.

9. Si ergo somnium non indicaveritis mihi, scio quia verbum falsum et corruptum composuistis ad dicendum coram me, donec tempus pertranseat. Somnium meum dicite mihi, et sciam quia etiam conjecturam ejus indicabitis mihi.

10. Responderunt Chaldæi coram rege, et dicunt : Non est homo super aridam qui verbum regis possit notum facere, sicuti omnis rex magnus et princeps verbum hujusmodi non sciscitatur ab incantatore, mago et Chaldæo,

11. quia sermo quem rex interrogat gravis est, et alius non est qui indicet illum in conspectu regis, nisi dii, quorum non est habitatio cum omni carne.

12. Tunc rex in furore et ira dixit ut perderent omnes sapientes Babylonis.

13. Et sententia egressa est, et sapientes interficiebantur : et quæsierunt Danielem et amicos ejus ad interficiendum.

14. Tunc Daniel respondit consilium et sententiam Arioch principi coquorum regis, qui egressus fuerat ad interficiendos sapientes Babylonis :

15. Princeps regis, pro quo egressa est sententia impudens a facie regis? Indicavit autem Arioch verbum Danieli.

16. Et Daniel rogavit regem ut tempus daret sibi, et conjecturam ejus indicaret regi.

17. Et ingressus est Daniel in domum suam, et Ananiæ et Misaeli et Azariæ amicis suis verbum indicavit :

18. et miserationes quærebant a Deo cœli pro mysterio hoc, ut non perirent Daniel et amici ejus cum cæteris sapientibus Babylonis.

19. Tunc Danieli in visione noctis mysterium revelatum est. Et benedixit Deum cœli Daniel,

20. et dixit : Sit nomen Dei benedictum a sæculo et usque in sæculum, quia sapientia et intelligentia ejus sunt.

21. Et ipse mutat tempora et ætates, constituit reges et transfert, dans sapientiam sapientibus, et prudentiam intelligentibus disciplinam.

22. Ipse revelat profunda et abscondita, cognoscens quæ in tenebris, et lux cum eo est.

23. Σοὶ, ὁ Θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ δύναμιν δέδωκάς μοι, καὶ ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ, καὶ τὸ ὅραμα τοῦ βασιλέως ἐγνώρισάς μοι.

24. Καὶ ἦλθε Δανιὴλ πρὸς Ἀριὼχ, ὃν κατέστησεν ὁ βασιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ· Τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς, εἰςάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ τὴν σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ.

25. Τότε Ἀριὼχ ἐν σπουδῇ εἰςήγαγε τὸν Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ· Εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅςτις τὸ σύγκριμα τῷ βασιλεῖ ἀναγγελεῖ.

26. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τῷ Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ· Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ ἴδον, καὶ τὴν σύγκρισιν αὐτοῦ;

27. Καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπε· Τὸ μυστήριον ὃ ὁ βασιλεὺς ἐπερωτᾷ οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν, ἀναγγεῖλαι τῷ βασιλεῖ·

28. ἀλλ' ἢ ἔστι Θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισε τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν. Τὸ ἐνύπνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου, τοῦτό ἐστι,

29. βασιλεῦ· Οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι.

30. Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας σου γνῷς.

31. Σὺ, βασιλεῦ, ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, μεγάλη ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόςοψις αὐτῆς ὑπερφερὴς, ἑστῶσα πρὸ προςώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά.

32. Εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου χρηστοῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ,

33. αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν, καὶ μέρος δέ τι ὀστράκινον.

34. Ἐθεώρεις ἕως ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος.

35. Τότε ἐλεπτύνθησαν εἰςάπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκὸς, ὁ ἄργυρος, ὁ χρυσός· καὶ ἐγένετο ὡςεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. Καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.

36. Τοῦτό ἐστι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως.

37. Σὺ, βασιλεῦ, βασιλεὺς βασιλέων, ᾧ ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν

38. ἐν παντὶ τόπῳ ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε ἀγροῦ, καὶ πετεινὰ οὐρανοῦ, καὶ ἰχθύας τῆς θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ.

23. Tibi, Deus patrum meorum, confiteor et laudo, quia sapientiam et fortitudinem dedisti mihi, et ostendisti mihi quæ rogavimus te, et visionem regis notam fecisti mihi.

24. Et venit Daniel ad Arioch, quem constituerat rex ut perderet sapientes Babylonis, et dixit ei : Sapientes Babylonis ne perdas, sed introduc me in conspectu regis, et conjecturam regi narrabo.

25. Tunc Arioch in festinatione introduxit Danielem ad regem, et dixit ei : Inveni virum de filiis captivitatis Judææ, qui conjecturam regi indicabit.

26. Et respondit rex, et dixit Danieli, cujus nomen erat Baltasar : Si potes mihi indicare somnium quod vidi, et conjecturam ejus ?

27. Et respondit Daniel coram rege, et dixit : Mysterium quod rex interrogat non est sapientum, magorum, incantatorum, Gazarenorum, indicare regi :

28. sed est Deus in cœlo revelans mysteria, et nota fecit regi Nabuchodonosor quæ oportet fieri in novissimis diebus. Somnium tuum et visiones capitis tui in cubili tuo, hoc est,

29. o rex : Cogitationes tuæ in cubili tuo ascenderunt, quid futurum sit post hæc : et qui revelat mysteria ostendit tibi quæ oporteat fieri.

30. Et mihi autem non in sapientia quæ sit in me præ omnibus viventibus mysterium hoc revelatum est, sed ut conjecturam regi manifestam faciam, ut cogitationes cordis tui scias.

31. Tu, rex, videbas, et ecce imago una, magna imago illa, et aspectus ipsius sublimis, stans ante faciem tuam, et intuitus ejus erat terribilis.

32. Imago cujus caput ex auro optimo erat, manus et pectus et brachia ejus argentea, venter et femora ænea,

33. tibiæ ferreæ, pedes pars quidem ferrea, et pars quædam testea.

34. Videbas donec abscissus est lapis de monte sine manibus, et percussit imaginem super pedes ferreos et testeos, et comminuit eos in finem.

35. Tunc comminuta sunt pariter testa, ferrum, æs, argentum, aurum : et facta sunt quasi pulvis de area æstiva : et sustulit ea multitudo spiritus, et locus non est inventus eis. Et lapis qui percusserat imaginem factus est mons magnus, et implevit universam terram.

36. Hoc est somnium, et conjecturam ejus dicemus coram rege.

37. Tu, o rex, rex regum es, cui Deus cœli regnum forte et validum et honoratum dedit

38. in omni loco ubi habitant filii hominum : et bestias agri, et volucres cœli, et pisces maris dedit in manu tua, et constituit te dominum omnium : tu es caput aureum.

39. Καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, καὶ βασιλεία τρίτη, ἥτις ἐστὶν ὁ χαλκὸς, ἣ κυριεύσει πάσης τῆς γῆς,

40. καὶ βασιλεία τετάρτη, ἥτις ἔσται ἰσχυρὰ ὡς σίδηρος. Ὃν τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει.

41. Καὶ ὅτι εἶδες τοὺς πόδας καὶ τοὺς δακτύλους, μέρος μέν τι ὀστράκινον, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ.

42. Καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον· μέρος τι τῆς βασιλείας ἔσται ἰσχυρὸν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον.

43. Ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου.

44. Καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας, καὶ αὕτη ἀναστήσεται εἰς τοὺς αἰῶνας.

45. Ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκὸν, τὸν ἄργυρον, τὸν χρυσόν. Ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. Καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

46. Τότε ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ μαναὰ καὶ εὐωδίας εἶπε σπεῖσαι αὐτῷ.

47. Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ· Ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς θεῶν, καὶ Κύριος τῶν βασιλέων, ὁ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνάσθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο.

48. Καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιὴλ, καὶ δόματα μεγάλα καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος, καὶ ἄρχοντα σατραπῶν, ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος.

49. Καὶ Δανιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾶ, ἐν χώρᾳ Βαβυλῶνος.

2. Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους, καὶ τοὺς στρατηγοὺς, καὶ τοὺς τοπάρχας, ἡγουμένους καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος.

3. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοὶ, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ' ἐξουσιῶν, καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος,

39. Et post te consurget regnum aliud minus te, et regnum tertium, quod est æs, quod imperabit universæ terræ,

40. et regnum quartum, quod erit forte veluti ferrum. Quomodo ferrum comminuit et domat omnia, sic omnia comminuet et domabit.

41. Et quia vidisti pedes et dignitos, partem quidem aliquam testeam, partem vero quamdam ferream, regnum divisum erit, et a radice ferrea erit in eo, quemadmodum vidisti ferrum admistum testæ.

42. Et digiti pedum pars quidem ferrea, pars vero testea : pars quædam regni erit fortis, et de eo erit contritum.

43. Quia vidisti ferrum admistum testæ, commista erunt in semine hominum, et non adhærebunt hoc ad hoc, sicut ferrum non immiscetur cum testa.

44. Et in diebus regum illorum suscitabit Deus cœli regnum, quod in sæcula non dissipabitur, et regnum ejus alteri populo non relinquetur : comminuet et ventilabit universa regna, et ipsum stabit in sæcula.

45. Sicut vidisti, quod de monte abscissus est lapis sine manibus, et comminuebat testam, ferrum, æs, argentum, aurum. Deus magnus ostendit regi quæ oportet fieri post hæc. Et verum est somnium, et fidelis conjectura ejus.

46. Tunc rex Nabuchodonosor cecidit in faciem, et Danielem adoravit, et manaa et suavitates odoris dixit ut libarentur ei.

47. Et respondens rex dixit Danieli : In veritate Deus vester ipse est Deus deorum, et Dominus regum, revelans mysteria, quoniam potuisti revelare mysterium hoc.

48. Et magnificavit rex Danielem, et munera magna et multa dedit ei, et constituit eum super universam regionem Babylonis, et principem satraparum, super omnes sapientes Babylonis.

49. Et Daniel postulavit a rege, et constituit super opera provinciæ Babylonis Sedrach, Misach, et Abdenago et Daniel erat in aula regis.

CAPUT III.

1. Anno decimo octavo Nabuchodonosor rex fecit imaginem auream, altitudo ejus cubitorum sexaginta, latitudo ejus cubitorum sex, et statuit eam in campo Deira, in provincia Babylonis.

2. Et misit ad congregandos consules, et duces, et toparchas, præfectos et tyrannos, et eos qui erant in potestate constituti, et omnes principes regionum, ut venirent ad dedicationem imaginis.

3. Et congregati sunt toparchæ, consules, præfecti, duces, tyranni magni, qui erant in potestate constituti, et omnes principes regionum ad dedicationem imaginis quam statuerat Nabuchodonosor rex. Et steterunt in conspectu imaginis,

4. καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ· Ὑμῖν λέγεται λαοῖς, φυλαὶ, γλῶσσαι,

5. ᾗ ἂν ὥρᾳ ἀκούσητε φωνῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.

6. Καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

7. Καὶ ἐγένετο, ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς.

8. Τότε προσῆλθοσαν ἄνδρες Χαλδαῖοι, καὶ διέβαλον τοὺς Ἰουδαίους

9. τῷ βασιλεῖ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

10. Σὺ, βασιλεῦ, ἔθηκας δόγμα, πάντα ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν,

11. καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσηται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

12. Εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου· τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦσι.

13. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγώ. Καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως.

14. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ, καὶ εἶπεν αὐτοῖς· Εἰ ἀληθῶς, Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε;

15. Νῦν οὖν, εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι Θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ χειρός μου;

16. Καὶ ἀπεκρίθησαν Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι.

17. Ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς.

18. Καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι ᾗ ἔστησας οὐ προσκυνοῦμεν.

19. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ·

20. καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε, πεδήσαντας τὸν Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

4. et præco clamabat in fortitudine: Vobis dicitur populis, tribus, linguæ,

5. quacumque die audieritis vocem tubæ, et fistulæ, et citharæ, sambucæque et psalterii, et universi generis musicorum, cadentes adorate imaginem auream quam statuit Nabuchodonosor rex.

6. Quicumque autem non adoraverit cadens, eadem hora mittetur in fornacem ignis ardentem.

7. Et factum est, quando audiebant populi vocem tubæ, et fistulæ, citharæ, sambucæque et psalterii, et omnis generis musicorum, cadentes omnes populi, tribus, linguæ, adorabant imaginem auream quam statuerat Nabuchodonosor rex.

8. Tunc accesserunt viri Chaldæi, et accusaverunt Judæos

9. regi: Rex, in sæcula vive.

10. Tu, rex, posuisti decretum, quod omnis homo quicumque audierit vocem tubæ, et fistulæ, et citharæ, sambucæ et psalterii, et omnis generis musicorum,

11. et non adoraverit cadens imaginem auream, mittetur in fornacem ignis ardentis.

12. Sunt viri Judæi, quos constituisti super opera regionis Babylonis, Sedrach, Misach, Abdenago, qui non obedierunt, rex, decreto tuo: deos tuos non colunt, et imaginem auream quam statuisti non adorant.

13. Tunc Nabuchodonosor in furore et ira dixit ut adducerent Sedrach, Misach, et Abdenago. Et adducti sunt in conspectu regis.

14. Et respondit Nabuchodonosor, et dixit eis: Si vere, Sedrach, Misach, Abdenago, deos meos non colitis, et imaginem auream quam statui non adoratis?

15. Nunc ergo si estis parati, ut in quocumque tempore audieritis vocem tubæ, et fistulæ, et citharæ, sambucæque et psalterii, et symphoniæ, et omnis generis musicorum, cadentes adoretis imaginem auream quam feci: quod si non adoraveritis, eadem hora mittemini in fornacem ignis ardentem: et quis est Deus qui eripiat vos de manu mea?

16. Et responderunt Sedrach, Misach, Abdenago, dicentes regi Nabuchodonosor: Non opus habemus nos de verbo hoc respondere tibi.

17. Est enim Deus noster in cœlis, quem nos colimus, potens eripere nos de camino ignis ardente, et de manibus tuis, o rex, liberabit nos.

18. Et si non, notum sit tibi, rex, quia deos tuos non colimus, et imaginem quam statuisti non adoramus.

19. Tunc Nabuchodonosor repletus est furore, et aspectus faciei illius commutatus est super Sedrach, Misach, et Abdenago, et dixit ut succenderent fornacem in septuplum, donec in finem ardeat:

20. et dixit ut viri fortes fortitudine, ligantes Sedrach, Misach, et Abdenago, mitterent in fornacem ignis ardentem.

21. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις, καὶ περικνημίσιν, καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης,

(*) 22. ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυεν. Καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ.

23. Καὶ οἱ τρεῖς οὗτοι Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ, ἔπεσον εἰς μέσον τῆς καμίνου τῆς καιομένης πεπεδημένοι.

24. Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν Θεὸν, καὶ εὐλογοῦντες τὸν Κύριον·

25. Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς, εἶπεν·

26. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

27. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια.

28. Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν.

29. Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι,

30. καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

31. Καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας·

32. καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, καὶ ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

33. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

34. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου,

35. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,

36. οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

37. Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

38. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐναντίον σου,

39. καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν·

40. ὡς ἐν ὁλοκαυτώσει κριῶν καὶ ταύρων, καὶ ἐν μυ-

21. Tunc viri illi vincti sunt cum sarabaris suis, et tiaris, et tibialibus, et missi sunt in medium fornacis ignis ardentis.

22. quia verbum regis urgebat. Et fornax succensa erat nimis.

23. Et tres isti Sedrach, Misach, et Abdenago, ceciderunt in medio camino ignis ardente colligati.

24. Et ambulabant in medio flammæ, laudantes Deum, et benedicentes Dominum.

25. Et stans Azarias oravit sic, et aperiens os suum in medio ignis, dixit :

26. Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis, et gloriosum nomen tuum in sæcula.

27. Quia justus es in omnibus quæ fecisti, et universa opera tua vera, et rectæ viæ tuæ, et omnia judicia tua veritas.

28. Et judicia veritatis fecisti juxta omnia quæ induxisti super nos, et super civitatem sanctam patrum nostrorum Jerusalem : quia in veritate et judicio induxisti omnia hæc proper peccata nostra.

29. Peccavimus enim et inique egimus recedentes a te, et deliquimus in omnibus,

30. et præcepta tua non audivimus, nec observavimus, nec fecimus sicut præceperas nobis, ut bene nobis esset.

31. Omnia ergo quæ induxisti super nos, et universa quæ fecisti nobis, in vero judicio fecisti :

32. et tradidisti nos in manibus inimicorum iniquorum, et pessimorum prævaricatorum, et regi injusto et pessimo ultra omnem terram.

33. Et nunc non possumus aperire os nostrum : confusio et opprobrium facti sumus servis tuis, et his qui colunt te.

34. Ne, quæsumus, tradas nos in finem propter nomen tuum, et ne dissipes testamentum tuum,

35. neque auferas misericordiam tuam a nobis, propter Abraam dilectum a te, et Isaac servum tuum, et Israel sanctum tuum,

36. quibus locutus es quod multiplicares semen eorum sicut stellas cœli et sicut arenam quæ est apud labium maris.

37. Quoniam, Domine, imminuti sumus plus quam omnes gentes, et sumus humiles in universa terra hodie propter peccata nostra.

38. Et non est in tempore hoc princeps et propheta et dux, neque holocaustum, neque sacrificium, neque oblatio, neque incensum, neque locus offerendi primitias coram te,

39. et inveniendi misericordiam. Sed in anima contrita, et spiritu humilitatis suscipiamur :

40. sicut in holocausto arietum et taurorum, et in mil-

(*) 22. Ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσεν· καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ· καὶ τοὺς ἄνδρας ἐκείνους τοὺς βάλλοντας Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, ἀπέκτεινεν ἡ φλὸξ τοῦ πυρός. (*Alex.*)

22. Cum verbum regis prævaleret : et fornax succensa est abundantius : et viros illos qui miserant Sedrach, Misach, Abdenago, interfecit flamma ignis.

ριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

41. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου.

42. Μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σοῦ·

43. καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

44. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, καὶ καταισχυνθείησαν ἀπὸ πάσης τῆς δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

45. Καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

46. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στιππύον καὶ κληματίδα.

47. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα·

48. καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

49. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου,

50. καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτοῖς.

51. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, καὶ ἐδόξαζον, καὶ ηὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

52. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, καὶ ὑπεραινετὸν, καὶ ὑπερυψούμενον εἰς πάντας τοὺς αἰῶνας.

53. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. (a)

55. Εὐλογημένος εἶ, ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

(a) 54. Εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου, καὶ ὑπερυμνητὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

56. Εὐλογητὸς εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

57. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (b)

59. Εὐλογεῖτε, οὐρανοὶ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

(b) 58. Εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

60. Εὐλογεῖτε, ὕδατα καὶ πάντα τὰ ὑπεράνω τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

61. Εὐλογείτω πᾶσα ἡ δύναμις Κυρίου τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

62. Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

63. Εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

libus agnorum pinguium, sic fiat sacrificium nostrum in conspectu tuo hodie, et perficiatur post te, quoniam non erit confusio confidentibus in te.

41. Et nunc sequimur in toto corde, et timemus te et quærimus faciem tuam.

42. Ne confundas nos, sed fac nobiscum juxta mansuetudinem tuam, et secundum multitudinem misericordiæ tuæ :

43. et erue nos secundum mirabilia tua, et da gloriam nomini tuo, Domine.

44. Et confundantur omnes qui ostendunt servis tuis mala, et confundantur ab omni potentia, et robur eorum conteratur.

45. Et sciant quia tu es Dominus, Deus solus, et gloriosus super universum orbem terrarum.

46. Et non cessabant qui miserant eos ministri regis, succendere fornacem naphtha et pice et stuppa et malleolis.

47. Et effundebatur flamma super fornacem cubitis quadraginta novem :

48. et erupit et incendit quos reperit juxta fornacem de Chaldæis.

49. Angelus autem Domini descendit cum Azaria et sociis ejus in fornacem, et excussit flammam ignis de fornace,

50. et fecit medium fornacis quasi ventum roris susurrantem : et non tetigit eos omnino ignis, neque contristavit, nec quicquam molestiæ intulit eis.

51. Tunc hi tres quasi ex uno ore laudabant, et glorificabant, et benedicebant Deum in fornace, dicentes :

52. Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis, et superexaltatus in sæcula. Et benedictum nomen gloriæ tuæ sanctum, et superlaudabile, et superexaltatum in omnibus sæculis.

53. Benedictus es in templo sanctæ gloriæ tuæ, et superlaudabilis et supergloriosus in sæcula.

55. Benedictus es, qui intueris abyssos, sedens super Cherubim, et laudabilis et superexaltatus in sæcula.

54. Benedictus es in throno regni tui, et superlaudabilis, et superexaltatus in sæcula.

56. Benedictus es in firmamento cœli, et laudabilis et gloriosus in sæcula.

57. Benedicite, omnia opera Domini, Domino : laudate et superexaltate eum in sæcula.

59. Benedicite, cœli, Domino : laudate et superexaltate eum in sæcula.

58. Benedicite, angeli Domini, Domino : laudate et superexaltate eum in sæcula.

60. Benedicite, aquæ et omnia quæ super cœlum sunt, Domino : laudate et superexaltate eum in sæcula.

61. Benedicat omnis virtus Domini Dominum : laudate et superexaltate eum in sæcula.

62. Benedicite, sol et luna, Domino : laudate et superexaltate eum in sæcula.

63. Benedicite, stellæ cœli, Domino : laudate et superexaltate eum in sæcula.

64. Εὐλογείτω πᾶς ὄμβρος καὶ δρόσος τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

65. Εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

66. Εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (c)

(d) 71. Εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

72. Εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

(c) 67. Εὐλογεῖτε, ψύχος καὶ καῦμα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (*)

70. Εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (d)

73. Εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

74. Εὐλογείτω ἡ γῆ τὸν Κύριον· ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

75. Εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

76. Εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐν τῇ γῇ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (e)

78. Εὐλογεῖτε, θάλασσα καὶ ποταμοί, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

(e) 77. Εὐλογεῖτε, αἱ πηγαί, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

79. Εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

80. Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

81. Εὐλογεῖτε, πάντα τὰ θηρία καὶ τὰ κτήνη, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

82. Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

83. Εὐλογεῖτε, Ἰσραὴλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

84. Εὐλογεῖτε, ἱερεῖς, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

85. Εὐλογεῖτε, δοῦλοι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

86. Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

87. Εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

88. Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαὴλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου, καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς, καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ μέσου καμίνου καιομένης φλογὸς, καὶ ἐκ μέσου πυρὸς ἐῤῥύσατο ἡμᾶς.

89. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

90. Εὐλογεῖτε, πάντες οἱ σεβόμενοι, τὸν Κύριον τὸν Θεὸν τῶν θεῶν· ὑμνεῖτε καὶ ἐξομολογεῖσθε ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

(*) 68. Εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

69. Εὐλογεῖτε, πάγος καὶ ψύχος, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. (*Alex.*)

64. Benedicat omnis imber et ros Domino : laudate et superexaltate eum in sæcula.

65. Benedicite, omnes spiritus, Dominum : laudate et superexaltate eum in sæcula.

66. Benedicite, ignis et æstus, Domino : laudate et superexaltate eum in sæcula.

71. Benedicite, noctes et dies, Domino : laudate et superexaltate eum in sæcula.

72. Benedicite, lux et tenebræ, Domino : laudate et superexaltate eum in sæcula.

67. Benedicite, frigus et æstus, Domino : laudate et superexaltate eum in sæcula.

69. Benedicite, glacies et nives, Domino : laudate et superexaltate eum in sæcula.

73. Benedicite, fulgura et nubes, Domino : laudate et superexaltate eum in sæcula.

74. Benedicat terra Dominum : laudet et superexaltet eum in sæcula.

75. Benedicite, montes et colles, Domino : laudate et superexaltate eum in sæcula.

76. Benedicite, omnia germinantia in terra, Domino : laudate et superexaltate eum in sæcula.

78. Benedicite, mare et flumina, Domino : laudate et superexaltate eum in sæcula.

77. Benedicite, fontes, Domino : laudate et superexaltate eum in sæcula.

79. Benedicite, cete et omnia quæ moventur in aquis, Domino : laudate et superexaltate eum in sæcula.

80. Benedicite, omnes volucres cœli, Domino : laudate et superexaltate eum in sæcula.

81. Benedicite, omnes bestiæ et pecora, Domino : laudate et superexaltate eum in sæcula.

82. Benedicite, filii hominum, Domino : laudate et superexaltate eum in sæcula.

83. Benedicite, Israel, Domino : laudate et superexaltate eum in sæcula.

84. Benedicite, sacerdotes, Domino : laudate et superexaltate eum in sæcula.

85. Benedicite, servi, Domino : laudate et superexaltate eum in sæcula.

86. Benedicite, spiritus et animæ justorum, Domino : laudate et superexaltate eum in sæcula.

87. Benedicite, sancti et humiles corde, Domino : laudate et superexaltate eum in sæcula.

88. Benedicite, Anania, Azaria, Misael, Domino : laudate et superexaltate eum in sæcula. Quia eruit nos de inferno, et salvos fecit nos de manu mortis, et liberavit nos de medio fornacis ardentis flammæ, et de medio ignis eruit nos.

89. Confitemini Domino, quoniam bonus, quoniam in sæculum misericordia ejus.

90. Benedicite, omnes religiosi, Domino Deo deorum : laudate et confitemini quia in sæculum misericordia ejus.

---

68. Benedicite, rores et pruinæ, Domino : laudate et superexaltate eum in sæculum.

69. Benedicite, gelu et frigus, Domino : laudate et superexaltate eum in sæcula.

91. Καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ· Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς τὸ μέσον τοῦ πυρὸς πεπεδημένους; Καὶ εἶπον τῷ βασιλεῖ· Ἀληθῶς, βασιλεῦ.

92. Καὶ εἶπεν ὁ βασιλεύς· Ὁ δὲ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρὸς, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ.

93. Τότε προσῆλθε Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπε· Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. Καὶ ἐξῆλθον Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, ἐκ μέσου τοῦ πυρός.

94. Καὶ συνάγονται οἱ σατράπαι, καὶ οἱ στρατηγοὶ, καὶ οἱ τοπάρχαι, καὶ οἱ δυνάσται τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας, ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἠφλογίσθη, καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθη, καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς.

95. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ ὁ βασιλεὺς, καὶ εἶπεν· Εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλατο τοὺς παῖδας αὐτοῦ, ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ· καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι παντὶ θεῷ ἀλλ' ἢ τῷ Θεῷ αὐτῶν.

96. Καὶ ἐγὼ ἐκτίθεμαι τὸ δόγμα· Πᾶς λαὸς, φυλὴ, γλῶσσα, ἣ ἐὰν εἴπῃ βλασφημίαν κατὰ τοῦ Θεοῦ Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, εἰς ἀπώλειαν ἔσονται, καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγὴν, καθότι οὐκ ἔστι Θεὸς ἕτερος ὅστις δυνήσεται ῥύσασθαι οὕτως.

97. Τότε ὁ βασιλεὺς κατεύθυνε τὸν Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ ἐν τῇ χώρᾳ Βαβυλῶνος, καὶ ηὔξησεν αὐτοὺς, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ.

98. Ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς καὶ γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· Εἰρήνη ὑμῖν πληθυνθείη,

99. τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ἐμοῦ ὁ Θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν,

100. ὡς μεγάλα καὶ ἰσχυρά· ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἐγὼ Ναβουχοδονόσορ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν.

2. Ἐνύπνιον ἴδον, καὶ ἐφοβέρισέ με, καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάραξάν με.

3. Καὶ δι' ἐμοῦ ἐτέθη δόγμα τοῦ εἰσαγαγεῖν ἐνώπιόν μου πάντας τοὺς σοφοὺς Βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσί μοι.

4. Καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ, μάγοι, Γαζαρηνοὶ, Χαλδαῖοι· καὶ τὸ ἐνύπνιον ἐγὼ εἶπα ἐνώπιον αὐτῶν, καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι,

5. ἕως ἦλθε Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ κατὰ

91. Et Nabuchodonosor audivit laudantes illos, et obstupuit, et surrexit propere, et ait optimatibus suis : Nonne tres viros misimus in medium ignis compeditos? Et dixerunt regi : Vere, rex.

92. Et dixit rex : Ego autem video viros quatuor solutos, et ambulantes in medio ignis, et corruptio non est in eis, et species quarti similitudo filii Dei.

93. Tunc accessit Nabuchodonosor ad ostium fornacis ignis ardentis, et ait : Sedrach, Misach, Abdenago, servi Dei excelsi, egredimini et venite. Et egressi sunt Sedrach, Misach, Abdenago, de medio ignis.

94. Et congregantur satrapæ, et duces, et toparchæ, et potentes regis, et contemplabantur viros, quoniam nihil potestatis habuisset ignis in corpore eorum, et capillus capitis eorum non esset adustus, et sarabara eorum non fuissent immutata, et odor ignis non esset in eis.

95. Et respondit Nabuchodonosor rex, et ait : Benedictus Deus Sedrach, Misach, Abdenago, qui misit angelum suum, et eruit servos suos, quia crediderunt in eum : et verbum regis immutaverunt, et tradiderunt corpora sua in ignem, ne servirent neque adorarent omnem deum præter Deum suum.

96. Et ego propono decretum : Omnis populus, tribus, lingua, quæcumque dixerit blasphemiam contra Deum Sedrach, Misach, Abdenago, in perditionem erunt, et domus eorum in direptionem, sicut non est Deus alius qui possit ita salvare.

97. Tunc rex promovit Sedrach, Misach, Abdenago in regione Babylonis, et amplificavit eos, et dignos habuit ipsos qui præessent omnibus Judæis qui in regno suo.

98. Nabuchodonosor rex omnibus populis, tribubus et linguis, habitantibus in universa terra : Pax vobis multiplicetur,

99. signa et prodigia quæ fecit mecum Deus excelsus, placuit in conspectu meo annuntiare vobis,

100. quam magna et fortia : regnum ejus, regnum sempiternum, et potestas ejus in generationem et generationem.

CAPUT IV.

1. Ego Nabuchodonosor abundans eram in domo mea, et florens.

2. Somnium vidi, et perterruit me, et turbatus sum in cubili meo, et visiones capitis mei conturbaverunt me.

3. Et per me propositum est decretum introducendi in conspectu meo omnes sapientes Babylonis, ut conjecturam somnii indicarent mihi.

4. Et ingrediebantur incantatores, magi, Gazareni, Chaldæi : et somnium ego dixi in conspectu eorum, et conjecturam ejus non indicarunt mihi,

5. donec venit Daniel, cujus nomen Baltasar secundum

τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα Θεοῦ ἅγιον ἐν ἑαυτῷ ἔχει. Ὧ εἶπα·

6. Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἐγὼ ἔγνων, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοὶ, καὶ πᾶν μυστήριον οὐκ ἀδυνατεῖ σε, ἄκουσον τὴν ὅρασιν τοῦ ἐνυπνίου μου, οὗ ἴδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν μοι.

7. Ἐπὶ τῆς κοίτης μου ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ.

8. Ἐμεγαλύνθη τὸ δένδρον καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ εἰς τὸ πέρας ἁπάσης τῆς γῆς·

9. τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ.

10. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ Εἲρ, καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη,

11. καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν· Ἐκκόψατε τὸ δένδρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ· σαλευθήτωσαν τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ.

12. Πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ κοιτασθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς.

13. Ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν.

14. Διὰ συγκρίματος Εἲρ ὁ λόγος, καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες, ὅτι κύριός ἐστιν ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτὴν, καὶ ἐξουδένωμα ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν.

15. Τοῦτο τὸ ἐνύπνιον ὃ ἴδον ἐγὼ Ναβουχοδονόσορ ὁ βασιλεὺς, καὶ σὺ, Βαλτάσαρ, τὸ σύγκριμα εἰπὸν, ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι. Σὺ δὲ, Δανιὴλ, δύνασαι, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί.

(*) 16. Τότε Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, ἀπηνεώθη ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. Καὶ ἀπεκρίθη Βαλτάσαρ, καὶ εἶπε· Κύριε, τὸ ἐνύπνιον ἔστω τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου.

17. Τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν καὶ τὸ ἰσχυκὸς, οὗ τὸ ὕψος ἔφθανεν εἰς τὸν οὐρανὸν, καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν,

18. καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ, ὑποκάτω αὐτοῦ κατῴκουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα τοῦ οὐρανοῦ,

19. σὺ εἶ, βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ

nomen dei mei, qui spiritum Dei sanctum in semetipso habet. Cui dixi :

6. Baltasar princeps incantatorum, quem ego novi, quod spiritus Dei sanctus in te, et omne sacramentum non est impossibile tibi, audi visionem somnii mei, quod vidi, et conjecturam ejus dic mihi.

7. In cubili meo videbam, et ecce arbor in medio terræ, et altitudo ejus multa.

8. Magnificata est arbor et invaluit, et altitudo ejus pervenit usque ad cœlum, et moles ejus ad terminum universæ terræ :

9. folia ejus pulchra, et fructus ejus multus, et esca universorum in ea, et subter eam habitabant bestiæ agrestes, et in ramis ejus habitabant volucres cœli, et ex ea vescebatur omnis caro.

10. Videbam in visione noctis in cubili meo, et ecce Hir, et sanctus de cœlo descendit,

11. clamavitque fortiter, et sic ait : Succidite arborem, et evellite ramos ejus, et excutite folia ejus, et dispergite fructum ejus : moveantur bestiæ desubter eam, et volucres de ramis ejus.

12. Verumtamen germen radicum ejus in terra sinite, et in vinculo ferreo et æreo, et in herba quæ foris est, et in rore cœli cubabit, et cum bestiis pars ejus in herba terræ.

13. Cor ejus ab hominibus commutabitur, et cor feræ dabitur ei, et septem tempora mutabuntur super eum.

14. Per decretum Hir sermo, et verbum sanctorum petitio, ut cognoscant viventes quod dominus est ipse Altissimus regni hominum, et cuicumque voluerit dabit illud, et quod pro nihilo habetur ab hominibus eriget super illud.

15. Hoc est somnium quod vidi ego Nabuchodonosor rex, et tu, Baltasar, conjecturam dicito, quia omnes sapientes regni mei non possunt conjecturam ejus indicare mihi. Tu autem, Daniel, potes, quia spiritus Dei sanctus est in te.

16. Tunc Daniel, cujus nomen Baltasar, obstupuit quasi hora una, et cogitationes ejus conturbabant eum. Et respondit Baltasar, et dixit : Domine, somnium sit his qui te oderunt, et conjectura ejus hostibus tuis.

17. Arbor quam vidisti magnificatam et corroboratam, cujus altitudo perveniebat ad cœlum, et latitudo ejus in omnem terram,

18. et folia ejus florentia, et fructus ejus multus, et esca omnibus in ea, subter eam habitabant bestiæ agri, et in ramis ejus commorabantur aves cœli,

19. tu es, o rex, quia magnificatus es et invaluisti, et ma-

(*) 16. Τότε Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, ἀπηνεώθη ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε· Βαλτάσαρ, τὸ ἐνύπνιον καὶ ἡ σύγκρισις μὴ κατασπευσάτω σε. Καὶ ἀπεκρίθη Βαλτάσαρ, καὶ εἶπε· Κύριε, ἔστω τὸ ἐνύπνιον τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου. (*Alex.*)

16. Tunc Daniel, cujus nomen Baltasar, obstupuit quasi una hora, et cogitationes ejus conturbabant eum. Et respondit rex, et ait : Baltasar, somnium et interpretatio ejus non conturbent te. Et respondit Baltasar, et ait : Domine, sit somnium iis qui oderunt te, et interpretatio ejus hostibus tuis.

ἡ μεγαλωσύνη σου ἐμεγαλύνθη, καὶ ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς.

20. Καὶ ὅτι εἶδεν ὁ βασιλεὺς Εἲρ, καὶ ἅγιον καταβαίνοντα ἀπὸ τοῦ οὐρανοῦ, καὶ εἶπεν· Ἐκτίλατε τὸ δένδρον, καὶ διαφθείρατε αὐτὸ, πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ ἐν χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως οὗ ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ' αὐτόν·

21. τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα Ὑψίστου ἐστὶν, ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα·

22. καὶ σὲ ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ αὐλισθήσῃ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σὲ, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν.

23. Καὶ ὅτι εἶπαν· Ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου, ἡ βασιλεία σου σοὶ μένει, ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον.

24. Διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται μακρόθυμος τοῖς παραπτώμασί σου ὁ Θεός.

25. Ταῦτα πάντα ἔφθασεν ἐπὶ Ναβουχοδονόσορ τὸν βασιλέα.

26. Μετὰ δωδεκάμηνον, ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Βαβυλῶνι περιπατῶν,

27. ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν· Οὐχ αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας, ἐν τῷ κράτει τῆς ἰσχύος μου, εἰς τιμὴν τῆς δόξης μου;

28. Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο· Σοὶ λέγουσι, Ναβουχοδονόσορ βασιλεῦ· ἡ βασιλεία παρῆλθεν ἀπὸ σοῦ,

29. καὶ ἀπὸ τῶν ἀνθρώπων σε ἐκδιώκουσι, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σὲ, ἕως γνῷς ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν.

30. Αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων.

31. Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τῷ Ὑψίστῳ ηὐλόγησα, καὶ τῷ ζῶντι εἰς τὸν αἰῶνα ᾔνεσα, καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν,

32. καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλογίσθησαν. Καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς, καὶ οὐκ ἔστιν ὃς ἀντιποιήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ· Τί ἐποίησας;

33. Αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμὲ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμὲ, καὶ οἱ τύραννοί μου,

gnitudo tua magnificata est, et pervenit ad cœlum, et potestas tua ad terminos terræ.

20. Quod autem vidit rex Hir, et sanctum descendentem de cœlo, et dixit : Evellite arborem, et dissipate illam, attamen germen radicum ejus in terra dimittite, et in vinculo ferreo et in ære, et in herba quæ foris, et in rore cœli commorabitur, et cum bestiis agrestibus pars ejus, donec septem tempora mutentur super eum :

21. hæc est conjectura ejus, o rex, et sententia Altissimi est, quæ pervenit super dominum meum regem :

22. et ejicient te ab hominibus, et cum bestiis agrestibus erit habitatio tua, et feno ut bovem pascent te, et de rore cœli commoraberis, et septem tempora mutabuntur super te, donec scias quod dominatur Excelsus super regnum hominum, et cuicumque voluerit dabit illud.

23. Quod autem dixerunt : Dimittite germen radicum arboris, regnum tuum tibi manet, postquam cognoveris potestatem cœlestem.

24. Quamobrem, rex, consilium meum placeat tibi, et peccata tua in eleemosynis redime, et iniquitates in miserationibus pauperum : fortasse erit longanimis delictis tuis Deus.

25. Omnia hæc venerunt super Nabuchodonosor regem.

26. Post duodecim menses, in aula regni sui in Babylone ambulans,

27. respondit rex, et dixit : Nonne hæc est Babylon magna, quam ego ædificavi in domum regni, in robore fortitudinis meæ, in honorem gloriæ meæ?

28. Cum adhuc sermo esset in ore regis, vox de cœlo facta est : Tibi dicunt, Nabuchodonosor rex : regnum transiit a te,

29. et ab hominibus te ejiciunt, et cum bestiis agrestibus habitatio tua, et feno ut bovem cibabunt te, et septem tempora mutabuntur super te, donec scias quod dominatur Excelsus super regnum hominum, et cuicumque voluerit dabit illud.

30. Eadem hora sermo completus est super Nabuchodonosor, et ex hominibus ejectus est, et fenum ut bos comedit, et de rore cœli corpus ejus infectum est, donec capilli ejus quasi leonum creverunt, et ungues ejus quasi avium.

31. Et post finem dierum ego Nabuchodonosor oculos meos ad cœlum levavi, et renes mei ad me reversi sunt, et Altissimo benedixi, et viventem in sempiternum laudavi, et glorificavi, quia potestas ejus potestas sempiterna, et regnum ejus in generationem et generationem,

32. et omnes habitatores terræ quasi nihil computati sunt. Et juxta voluntatem suam facit in virtute cœli, et in habitatione terræ, et non est qui resistat manui ejus, et dicat ei : Quid fecisti?

33. Ipso tempore renes mei reversi sunt ad me, et ad honorem regni mei veni : et figura mea reversa est ad me, et tyranni mei, et magistratus mei quærebant me, et in regno

καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι.

meo confortatus sum, et magnificentia amplior addita est mihi.

34. Νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ, καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις· καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.

34. Nunc igitur ego Nabuchodonosor laudo et superexalto et glorifico regem cœli, quia omnia opera ejus vera, et semitæ ejus judicia : et omnes gradientes in superbia potest humiliare.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

CAPUT V.

1. Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος,

1. Baltasar rex fecit grande convivium optimatibus suis mille, et e regione ipsorum mille vinum,

2. καὶ πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου, τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλὴμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παράκοιτοι αὐτοῦ.

2. et bibens Baltasar dixit in gustu vini, ut afferrentur vasa aurea et argentea quæ asportaverat Nabuchodonosor pater ejus de templo quod fuit in Jerusalem, et biberent in eis rex, et optimates ejus, et scorta ejus, et concubinæ ejus.

3. Καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγκεν ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ τοῦ ἐν Ἱερουσαλὴμ, καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παράκοιτοι αὐτοῦ.

3. Et allata sunt vasa aurea et argentea quæ asportaverat de templo Dei quod in Jerusalem, et bibebant in eis rex, et optimates ejus, et scorta ejus, et concubinæ ejus.

4. Ἔπινον οἶνον, καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους.

4. Bibebant vinum, et laudabant deos aureos et argenteos et æneos et ferreos et ligneos et lapideos.

5. Ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως, καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης.

5. In eadem hora egressi sunt digiti manus hominis, et scribebant e regione lampadis in tectorio parietis domus regis, et rex aspiciebat articulos manus scribentis.

6. Τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτὸν, καὶ οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ συνεκροτοῦντο.

6. Tunc regis forma commutata est, et cogitationes ejus conturbabant eum, et compages renum ejus solvebantur, et genua ejus collidebantur.

7. Καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ, τοῦ εἰσαγαγεῖν μάγους, Χαλδαίους, Γαζαρηνούς. Καὶ εἶπε τοῖς σοφοῖς Βαβυλῶνος· Ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην, καὶ τὴν σύγκρισιν γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει.

7. Et clamavit rex in fortitudine, ut introducerent magos, Chaldæos, Gazarenos. Et dixit sapientibus Babylonis : Quicumque legerit scripturam hanc, et conjecturam ejus manifestam mihi fecerit, purpura vestietur, et torques aurea super collum ejus, et tertius in regno meo principabitur.

8. Καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι, οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ.

8. Et ingrediebantur omnes sapientes regis, et non poterant scripturam legere, neque conjecturam indicare regi.

9. Καὶ ὁ βασιλεὺς Βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐν αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο.

9. Et rex Baltasar conturbatus est, et forma ejus immutata est in illo, et optimates ejus turbabantur.

10. Καὶ εἰσῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον τοῦ πότου, καὶ εἶπε· Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω.

10. Et ingressa est regina in domum convivii, et dixit : Rex, in æternum vive : non conturbent te cogitationes tuæ, et forma tua non immutetur.

11. Ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου ἐν ᾧ πνεῦμα Θεοῦ, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγόρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλδαίων, Γαζαρηνῶν κατέστησεν αὐτὸν,

11. Est vir in regno tuo in quo est spiritus Dei, et in diebus patris tui vigilantia et intelligentia inventæ sunt in eo, et rex Nabuchodonosor pater tuus principem incantatorum, magorum, Chaldæorum, Gazarenorum constituit eum,

12. ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ φρόνησις καὶ σύνεσις ἐν αὐτῷ, συγκρίνων ἐνύπνια, καὶ ἀναγγέλλων κρατούμενα, καὶ λύων συνδέσμους, Δανιὴλ· καὶ ὁ βα-

12. quia spiritus amplior in eo, et prudentia et intellectus in eo, conjiciens somnia, et indicans abscondita, et solvens colligationes, Daniel : et rex imposuit ei nomen

σιλεὺς ἐπέθηκεν ὄνομα αὐτῷ, Βαλτάσαρ. Νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖ σοι.

13. Τότε Δανιὴλ εἰςήχθη ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Σὺ εἶ Δανιὴλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ἧς ἤγαγεν ὁ πατήρ μου;

14. Ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα Θεοῦ ἐν σοὶ, καὶ γρηγόρησις καὶ σύνεσις, καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί.

15. Καὶ νῦν εἰςῆλθον ἐνώπιόν μου οἱ σοφοὶ, μάγοι, Γαζαρηνοὶ, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι καὶ τὴν σύγκρισιν γνωρίσωσί μοι, καὶ οὐκ ἠδυνήθησαν ἀναγγεῖλαί μοι.

16. Καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι κρίματα συγκρῖναι. Νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τῷ τραχήλῳ σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις.

17. Καὶ εἶπε Δανιὴλ ἐνώπιον τοῦ βασιλέως· Τὰ δόματά σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δὸς, ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι.

18. Βασιλεῦ, ὁ Θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσορ τῷ πατρί σου,

19. καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προςώπου αὐτοῦ· οὓς ἠβούλετο αὐτὸς ἀνῄρει, καὶ οὓς ἠβούλετο αὐτὸς ἔτυπτεν, καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου, καὶ οὓς ἠβούλετο αὐτὸς ἐταπείνου.

20. Καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας, καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ' αὐτοῦ,

21. καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ τῶν ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτὸν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ Θεὸς ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν.

22. Καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατενώπιον τοῦ Θεοῦ· οὐ πάντα ταῦτα ἔγνως;

23. Καὶ ἐπὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκαν ἐνώπιόν σου, καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου, καὶ αἱ παλλακαί σου, καὶ αἱ παράκοιτοί σου οἶνον ἐπίνετε ἐν αὐτοῖς· καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους, οἳ οὐ βλέπουσι, καὶ οἳ οὐκ ἀκούουσι, καὶ οὐ γινώσκουσιν, ᾔνεσας· καὶ τὸν Θεὸν οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας.

24. Διὰ τοῦτο ἐκ προςώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς, καὶ τὴν γραφὴν ταύτην ἐνέταξε.

25. Καὶ αὕτη ἡ γραφὴ ἐντεταγμένη· Μανὴ, Θεκὲλ, Φάρες.

26. Τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· Μανὴ, ἐμέτρησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ἐπλήρωσεν αὐτήν.

27. Θεκὲλ, ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα.

Baltasar. Nunc itaque vocetur, et conjecturam ejus indicabit tibi.

13. Tunc Daniel introductus est coram rege, et dixit rex Danieli : Tu es Daniel, qui de filiis captivitatis Judææ, quam adduxit rex pater meus?

14. Audivi de te quia spiritus Dei in te, et vigilantia et intelligentia, et sapientia amplior inventæ sunt in te.

15. Et nunc ingressi sunt in conspectu meo sapientes, magi, Gazareni, ut scripturam hanc legerent et conjecturam ejus indicarent mihi, et non potuerunt indicare mihi.

16. Et ego audivi de te quia potes conjecturas conjicere. Nunc igitur si poteris scripturam legere, et conjecturam ejus indicare mihi, purpura vestieris, et torques aureus erit super collum tuum, et tertius in regno meo principaberis.

17. Et dixit Daniel coram rege : Munera tua sint tibi, et donum domus tuæ alteri des, ego autem scripturam legam et conjecturam ejus ostendam tibi.

18. O rex, Deus altissimus regnum et magnificentiam et honorem et gloriam dedit Nabuchodonosor patri tuo,

19. et a magnificentia quam dederat ei omnes populi, tribus, linguæ erant trementes et metuentes a facie ejus : quos volebat ipse interficiebat, et quos volebat ipse percutiebat, et quos volebat ipse exaltabat, et quos volebat ipse humiliabat.

20. Et quando elevatum est cor ejus, et spiritus ejus obfirmatus est ad superbiendum, depositus est de solio regni, et honor ablatus est ab eo,

21. et ex hominibus ejectus est, et cor ejus cum bestiis datum est, et cum onagris habitatio ejus, et feno ut bovem cibaverunt eum, et de rore cœli corpus ejus infectum est, donec cognovit quia dominatur Deus altissimus super regnum hominum, et cuicumque voluerit dabit illud.

22. Et tu igitur filius ejus Baltasar non humiliasti cor tuum coram Deo : nonne omnia hæc noras?

23. Et super Dominum Deum cœli elevatus es, et vasa domus ejus attulerunt coram te, et tu et optimates tui, et scorta tua, et concubinæ tuæ vinum bibebatis in eis : deosque aureos, et argenteos, et æneos, et ferreos, et ligneos, et lapideos, qui non vident, neque audiunt, neque sentiunt, laudasti : et Deum cujus spiratio tua in manu ejus et omnes viæ tuæ, ipsum non glorificasti.

24. Idcirco a facie ejus missus est articulus manus, et scripturam hanc ordinavit.

25. Et hæc est scriptura ordinata : Mane, Thecel, Phares.

26. Hæc est interpretatio verbi : Mane, mensus est Deus regnum tuum, et complevit illud.

27. Thecel, appensum est in statera, et inventum est minus habens.

28. Φάρες, διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις.

29. Καὶ εἶπε Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐκήρυξε περὶ αὐτοῦ, εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ.

30. Ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ ὁ βασιλεὺς ὁ Χαλδαῖος,

31. καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβε τὴν βασιλείαν, ὢν ἐτῶν ἑξήκοντα δύο.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Καὶ ἤρεσεν ἐνώπιον Δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς βασιλείας σατράπας ἑκατὸν εἴκοσι, τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ,

2. καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς, ὃς ἦν Δανιὴλ εἷς ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται.

3. Καὶ ἦν Δανιὴλ ὑπὲρ αὐτοὺς, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ.

4. Καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιὴλ, καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα καὶ ἀμπλάκημα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν.

5. Καὶ εἶπον οἱ τακτικοί· Οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν, εἰ μὴ ἐν νομίμοις Θεοῦ αὐτοῦ.

6. Τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι παρέστησαν τῷ βασιλεῖ, καὶ εἶπαν αὐτῷ· Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

7. Συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει βασιλικῇ, καὶ ἐνισχῦσαι ὁρισμὸν, ὅπως ὃς ἂν αἰτήσῃ αἴτημα παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου, ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσηται εἰς τὸν λάκκον τῶν λεόντων.

8. Νῦν οὖν, βασιλεῦ, στῆσον τὸν ὁρισμὸν καὶ ἔκθες γραφὴν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Περσῶν καὶ Μήδων.

9. Τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα.

10. Καὶ Δανιὴλ, ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ αἱ θυρίδες ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι Ἱερουσαλὴμ, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος καὶ ἐξομολογούμενος ἐναντίον τοῦ Θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν.

11. Τότε οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν, καὶ εὗρον τὸν Δανιὴλ ἀξιοῦντα καὶ δεόμενον τοῦ Θεοῦ αὐτοῦ.

12. Καὶ προσελθόντες λέγουσι τῷ βασιλεῖ· Βασιλεῦ, οὐχ ὁρισμὸν ἔταξας, ὅπως πᾶς ἄνθρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου αἴτημα, ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων; Καὶ εἶπεν ὁ βασιλεύς· Ἀληθινὸς ὁ λόγος, καὶ τὸ δόγμα Μήδων καὶ Περσῶν οὐ παρελεύσεται.

13. Τότε ἀπεκρίθησαν, καὶ λέγουσιν ἐνώπιον τοῦ

28. Phares, divisum est regnum tuum, et datum est Medis et Persis.

29. Et dixit Baltasar, et induerunt Danielem purpura, et torquem areum circumdederunt collo ejus, et prædicavit de eo, ipsum esse principem tertium in regno.

30. In eadem nocte interfectus est Baltasar rex Chaldæus,

31. et Darius Medus assumpsit regnum, annos natus sexaginta duos.

CAPUT VI.

1. Et placuit coram Dario, et constituit supra regnum satrapas centum viginti, ut essent in toto regno suo,

2. et super eos ordinatores tres, quorum erat Daniel unus ex eis, ut satrapæ illis redderent rationem, ut rex non sustineret molestias.

3. Et erat Daniel super eos, quia spiritus amplior erat in eo, et rex constituit eum super omne regnum suum.

4. Et ordinatores et satrapæ quærebant invenire occasionem contra Danielem, et omnem occasionem et delictum et peccatum non invenerunt in illo, eo quod fidelis erat.

5. Et dixerunt ordinatores : Non inveniemus contra Danielem occasionem, nisi in legitimis Dei sui.

6. Tunc ordinatores et satrapæ astiterunt regi, et dixerunt ei : Dari rex, in æternum vive.

7. Consilium inierunt omnes qui super regnum tuum duces et satrapæ, consules et toparchæ, statuere statuto regio, et confirmare constitutionem, ut quicumque petierit petitionem a quocumque deo et homine, usque ad triginta dies, nisi a te, rex, mittatur in lacum leonum.

8. Nunc igitur, rex, statue constitutionem et propone scripturam, ut non immutetur decretum Persarum et Medorum.

9. Tunc rex Darius jussit scribi decretum.

10. Et Daniel, quando cognovit constitutum esse decretum, intravit in domum suam : et fenestræ apertæ ei in cœnaculis suis contra Jerusalem, et tribus temporibus diei erat flectens se super genua sua, et orans et confitens coram Deo suo, sicut ante facere consueverat.

11. Tunc viri illi observarunt, et invenerunt Danielem obsecrantem et orantem Deum suum.

12. Et accedentes dicunt regi : Rex, nonne constitutionem posuisti, ut omnis homo quicumque petierit a quocumque deo et homine petitionem, usque ad triginta dies, nisi a te, rex, mittatur in lacum leonum? Et dixit rex : Verus est sermo, et decretum Medorum et Persarum non prætermittetur.

13. Tunc responderunt, et dicunt coram rege : Daniel,

βασιλέως· Δανιὴλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖ παρὰ τοῦ Θεοῦ αὐτοῦ τὰ αἰτήματα αὐτοῦ.

14. Τότε ὁ βασιλεὺς, ὡς τὸ ῥῆμα ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτὸν, καὶ ἕως ἑσπέρας ἦν ἀγωνιζόμενος τοῦ ἐξελέσθαι αὐτόν.

15. Τότε οἱ ἄνδρες ἐκεῖνοι λέγουσι τῷ βασιλεῖ· Γνῶθι, βασιλεῦ, ὅτι τὸ δόγμα Μήδοις καὶ Πέρσαις, τοῦ πᾶν ὁρισμὸν καὶ στάσιν ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραλλάξαι.

16. Τότε ὁ βασιλεὺς εἶπε, καὶ ἤγαγον τὸν Δανιὴλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Ὁ Θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε.

17. Καὶ ἤνεγκαν λίθον, καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ.

18. Καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ' αὐτοῦ. Καὶ ἔκλεισεν ὁ Θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιήλ.

19. Τότε ὁ βασιλεὺς ἀνέστη τοπρωῒ ἐν τῷ φωτὶ, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων.

20. Καὶ ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ ἐβόησε φωνῇ ἰσχυρᾷ· Δανιὴλ, ὁ δοῦλος τοῦ Θεοῦ ζῶντος, ὁ Θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, εἰ ἠδυνήθη ἐξελέσθαι σε ἐκ στόματος τῶν λεόντων;

21. Καὶ εἶπε Δανιὴλ τῷ βασιλεῖ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

22. Ὁ Θεός μου ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐνέφραξε τὰ στόματα τῶν λεόντων, καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατέναντι αὐτοῦ εὐθύτης εὑρέθη ἐμοὶ, καὶ ἐνώπιον δέ σου, βασιλεῦ, παράπτωμα οὐκ ἐποίησα.

23. Τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ, καὶ τὸν Δανιὴλ εἶπεν ἀνενέγκαι ἐκ τοῦ λάκκου. Καὶ ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσεν ἐν τῷ Θεῷ αὐτοῦ.

24. Καὶ εἶπεν ὁ βασιλεὺς, καὶ ἠγάγοσαν τοὺς ἄνδρας τοὺς διαβαλόντας τὸν Δανιὴλ, καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν, αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν· καὶ οὐ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν.

25. Τότε Δαρεῖος ὁ βασιλεὺς ἔγραψε πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· Εἰρήνη ὑμῖν πληθυνθείη.

26. Ἐκ προσώπου μου ἐτέθη δόγμα τοῦτο ἐν πάσῃ ἀρχῇ τῆς βασιλείας μου, εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ προσώπου τοῦ Θεοῦ Δανιὴλ, ὅτι αὐτός ἐστι Θεὸς ζῶν, καὶ μένων εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, καὶ ἡ κυρεία αὐτοῦ ἕως τέλους.

27. Ἀντιλαμβάνεται καὶ ῥύεται, καὶ ποιεῖ σημεῖα καὶ τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅστις ἐξείλατο τὸν Δανιὴλ ἐκ χειρὸς τῶν λεόντων.

28. Καὶ Δανιὴλ κατηύθυνεν ἐν τῇ βασιλείᾳ Δαρείου, καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.

qui de filiis captivitatis Judææ, non subdidit se decreto tuo, et tribus temporibus diei petit a Deo suo petitiones suas.

14. Tunc rex, ut audivit verbum, valde contristatus est in eo, et pro Daniele in agonia erat ad liberandum eum, et usque ad vesperam laborabat eruere eum.

15. Tunc viri illi dicunt regi : Scito, rex, quia decretum Medis et Persis, omnem constitutionem et statutum quodcumque rex statuerit, non oportere immutari.

16. Tunc rex dixit, et adduxerunt Danielem, et miserunt eum in lacum leonum, et dixit rex Danieli : Deus tuus, quem tu colis semper, ipse liberabit te.

17. Et attulerunt lapidem, et imposuerunt super os laci, et obsignavit rex in annulo suo, et in annulo optimatum suorum, ne quid secus fieret in Danielem.

18. Et abiit rex in domum suam, et dormivit incœnatus, et cibos non attulerunt ei, et somnus recessit ab eo. Et concluserat Deus ora leonum, et non affecerant molestia Danielem.

19. Tunc rex surrexit mane in diluculo, et in festinatione venit ad lacum leonum.

20. Et cum appropinquaret lacui clamavit voce forti : Daniel, serve Dei viventis, Deus tuus, cui tu servis semper, si potuit liberare te de ore leonum?

21. Et ait Daniel regi : Rex, in sæcula vive.

22. Deus meus misit angelum suum, et obstruxit ora leonum, et non nocuerunt mihi, quia coram eo rectitudo inventa est mihi, sed et coram te, rex, delictum non feci.

23. Tunc rex vehementer gavisus est super eo, et Danielem dixit educi de lacu. Et eductus est Daniel de lacu, et nulla læsio inventa est in eo, quia credidit in Deo suo.

24. Et dixit rex et adducti sunt viri qui accusaverant Danielem, et in lacum leonum missi sunt, ipsi et filii eorum, et uxores eorum : et non pervenerunt ad pavimentum laci, donec dominati sunt eorum leones, et omnia ossa eorum comminuerunt.

25. Tunc Darius rex scripsit universis populis, tribubus, linguis, habitantibus in universa terra : Pax vobis multiplicetur.

26. A facie nostra positum est decretum hoc in omni principatu regni mei, sint trementes et metuant a facie Dei Danielis, ipse enim est Deus vivens, et manens in sæcula, et regnum ejus non dissipabitur, et dominatio ejus usque in finem.

27. Suscipit et liberat, et facit signa et prodigia in cœlo et in terra, qui liberavit Danielem de manu leonum.

28. Et Daniel prospere egit in regno Darii, et in regno Cyri Persæ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Ἐν ἔτει πρώτῳ τῷ Βαλτάσαρ βασιλέως Χαλδαίων, Δανιὴλ ἐνύπνιον εἶδε, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον αὐτοῦ ἔγραψεν.

2. Ἐγὼ Δανιὴλ ἐθεώρουν, καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην,

3. καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων.

4. Τὸ πρῶτον ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ, ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς· καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ.

5. Καὶ ἰδοὺ θηρίον δεύτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρεῖς πλευραὶ ἐν τῷ στόματι αὐτῆς ἀναμέσον τῶν ὀδόντων αὐτῆς. Καὶ οὕτως ἔλεγον αὐτῇ· Ἀνάστηθι, φάγε σάρκας πολλάς.

6. Ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις· καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῇ.

7. Ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον, καὶ ἰσχυρὸν περισσῶς, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, ἐσθίον, καὶ λεπτύνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ διάφορον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ· καὶ κέρατα δέκα αὐτῷ.

8. Προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξεῤῥιζώθη ἀπὸ προσώπου αὐτοῦ. Καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα.

9. Ἐθεώρουν ἕως ὅτου οἱ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον.

10. Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.

11. Ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον, καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.

12. Καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχὴ, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ καὶ καιροῦ.

13. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ προσηνέχθη αὐτῷ·

14. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ, καὶ γλῶσσαι αὐτῷ δουλεύσουσιν. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.

15. Ἔφριξε τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου, ἐγὼ Δανιὴλ, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με.

CAPUT VII.

1. In anno primo Baltasar regis Chaldæorum, Daniel somnium vidit, et visiones capitis ejus in cubili ejus, et somnium suum scripsit.

2. Ego Daniel videbam, et ecce quatuor venti cœli irruebant in mare magnum,

3. et quatuor bestiæ grandes ascendebant de mari, diversæ inter se.

4. Prima quasi leæna et alæ ejus sicut aquilæ, aspiciebam donec avulsæ sunt alæ ejus : et sublata est de terra, et super pedes hominis stetit, et cor hominis datum est ei.

5. Et ecce bestia secunda similis urso, et in parte una stetit, et tres costæ in ore ejus inter dentes ejus. Et sic dicebant ei : Surge, comede carnes multas.

6. Post hæc aspiciebam, et ecce bestia alia quasi pardus : et huic alæ quatuor volucris super ipsam, et quatuor capita bestiæ, et potestas data est ei.

7. Post hanc aspiciebam, et ecce bestia quarta terribilis atque mirabilis, et fortis nimis, et dentes ejus ferrei, comedens, atque comminuens, et reliqua pedibus suis conculcabat, et ipsa diversa nimis præ omnibus bestiis quæ ante eam : et cornua decem ei.

8. Considerabam cornua ejus, et ecce cornu aliud parvulum ascendit in medio eorum, et tria ejus cornua de iis quæ antea evulsa sunt a facie ejus. Et ecce oculi quasi oculi hominis in cornu isto, et os loquens grandia.

9. Aspiciebam donec throni positi sunt, et antiquus dierum sedit : et vestimentum ejus candidum quasi nix, et capillus capitis ejus quasi lana munda, thronus ejus flamma ignis, rotæ ejus ignis flagrans.

10. Flumen ignis trahebat in conspectu ejus : mille millia deserviebant ei, et dena millia denum millium assistebant ei : judicium sedit, et libri aperti sunt.

11. Aspiciebam tunc a voce sermonum grandium, quos cornu illud loquebatur, quoadusque interfecta est bestia, et periit, et corpus ejus datum est in combustionem ignis.

12. Et cæterarum bestiarum translatus est principatus, et longitudo vitæ data est eis usque ad tempus et tempus.

13. Aspiciebam in visione noctis, et ecce cum nubibus cœli, quasi filius hominis veniens, et usque ad antiquum dierum pervenit, et oblatus est ei :

14. et datus est ipsi principatus et honor et regnum, et omnes populi, tribus, et linguæ ipsi servient. Potestas ejus potestas sempiterna, quæ non pertransibit : regnum ejus non corrumpetur.

15. Horruit spiritus meus in habitu meo, ego Daniel, et visiones capitis mei conturbabant me.

16. Καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ μαθεῖν περὶ πάντων τούτων. Καὶ εἶπέ μοι τὴν ἀκρίβειαν, καὶ τὴν σύγκρισιν τῶν λόγων ἐγνώρισέ μοι.

17. Ταῦτα τὰ θηρία τὰ τέσσαρα, τέσσαρες βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς, αἳ ἀρθήσονται·

18. καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι Ὑψίστου, καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος τῶν αἰώνων.

19. Καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν θηρίον, φοβερὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ ὄνυχες αὐτοῦ χαλκοῖ· ἐσθίον, καὶ λεπτύνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει.

20. Καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος τῶν πρώτων, ᾧ οἱ ὀφθαλμοὶ καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν.

21. Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς,

22. ἕως οὗ ἦλθεν ὁ παλαιὸς ἡμερῶν, καὶ τὸ κρῖμα ἔδωκεν ἁγίοις Ὑψίστου· καὶ ὁ καιρὸς ἔφθασε, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι.

23. Καὶ εἶπε· Τὸ θηρίον τὸ τέταρτον, βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτὴν καὶ κατακόψει.

24. Καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει,

25. καὶ λόγους πρὸς τὸν Ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους Ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καί γε ἥμισυ καιροῦ.

26. Καὶ τὸ κριτήριον ἐκάθισε, καὶ τὴν ἀρχὴν μεταστήσουσι τοῦ ἀφανίσαι, καὶ τοῦ ἀπολέσαι ἕως τέλους.

27. Καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις Ὑψίστου. Καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσι καὶ ὑπακούσονται.

28. Ἕως ὧδε τὸ πέρας τοῦ λόγου. Ἐγὼ Δανιήλ, οἱ διαλογισμοί μου ἐπὶ πολὺ συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη, καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου διετήρησα.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ τοῦ βασιλέως ὅρασις ὤφθη πρός μέ· ἐγὼ Δανιὴλ μετὰ τὴν ὀφθεῖσάν μοι τὴν ἀρχήν,

2. καὶ ἤμην ἐν Σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ Αἰλάμ. Καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ.

3. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβάλ. Καὶ αὐτῷ κέρατα ὑψηλά, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτων.

4. Καὶ ἴδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν,

16. Et accessi ad unum assistentium, et veritatem quærebam ab eo discere de omnibus his. Et dixit mihi veritatem, et interpretationem sermonum notam mihi fecit.

17. Hæ quatuor bestiæ, quatuor regna consurgent super terram, quæ auferentur :

18. et suscipient regnum sancti Altissimi, et obtinebunt illud usque in sæculum sæculorum.

19. Et quærebam diligenter de bestia quarta, quia erat dissimilis ab omni bestia, terribilis nimis : dentes ejus ferrei, et ungues ejus æenei : comedens, et comminuens, et reliqua pedibus suis conculcabat.

20. Et de cornibus ejus decem quæ in capite ejus, et alio quod ascenderat et excusserat de primis, cui oculi et os loquens grandia, et aspectus ejus major cæteris.

21. Aspiciebam, et cornu illud faciebat bellum cum sanctis, et prævalebat erga eos,

22. donec venit antiquus dierum, et judicium dedit sanctis Excelsi : et tempus advenit, et regnum obtinuerunt sancti.

23. Et dixit : Bestia quarta, regnum quartum erit in terra, quod superabit omnia regna, et devorabit universam terram, et conculcabit eam et comminuet.

24. Et decem cornua ejus, decem reges consurgent, et post eos consurget alius, qui superabit malis omnes priores, et tres reges humiliabit,

25. et sermones contra Excelsum loquetur, et sanctos Altissimi faciet veterascere, et cogitabit mutare tempora et legem, et tradentur in manu ejus usque ad tempus et tempora et etiam dimidium temporis.

26. Et judicium sedit, et principatum transferent ut aboleatur, et dispereat usque in finem.

27. Et regnum et potestas et magnitudo regum qui subter omne cœlum data sunt sanctis Altissimi. Et regnum ejus regnum sempiternum, et omnes principatus servient ei et obedient.

28. Hucusque finis verbi. Ego Daniel, cogitationes meæ multum conturbabant me, et forma mea mutata est, verbum autem in corde meo conservavi.

CAPUT VIII.

1. In anno tertio regni Baltasar regis visio apparuit mihi : ego Daniel post eam quæ apparuerat mihi in principio,

2. et eram in Susis castro, quod est in regione Ælam. Et eram super Ubal.

3. Et levavi oculos meos, et vidi, et ecce aries unus stans ante Ubal, et ei cornua excelsa, et unum excelsius altero, et quod excelsum ascendebat super novissima.

4. Et vidi arietem cornibus ventilantem contra mare, et

καὶ βοῤῥᾶν, καὶ νότον· καὶ πάντα τὰ θηρία οὐ στήσεται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη.

5. Καὶ ἐγὼ ἤμην συνιῶν, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς· καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ κέρας μέσον τῶν ὀφθαλμῶν αὐτοῦ.

6. Καὶ ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ ἴδον ἑστῶς ἐνώπιον τοῦ Οὐβὰλ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ.

7. Καὶ ἴδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριάνθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ· καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ. Καὶ ἔῤῥιψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ.

8. Καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα. Καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα· καὶ ἀνέβη ἕτερα κέρατα τέσσαρα ὑποκάτω αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ.

9. Καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον καὶ πρὸς τὴν δύναμιν,

10. καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ καὶ ἀπὸ τῶν ἄστρων, καὶ συνεπάτησαν αὐτὰ,

11. καὶ ἕως οὗ ὁ ἀρχιστράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν, καὶ δι' αὐτὸν θυσία ἐῤῥάχθη, καὶ κατευωδώθη αὐτῷ. Καὶ τὸ ἅγιον ἐρημωθήσεται.

12. Καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐῤῥίφη χαμαὶ ἡ δικαιοσύνη. Καὶ ἐποίησε, καὶ εὐωδώθη.

13. Καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος, καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι· Ἕως πότε ἡ ὅρασις στήσεται, ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθήσεται;

14. Καὶ εἶπεν αὐτῷ· Ἕως ἑσπέρας καὶ πρωῒ ἡμέραι δισχίλιαι καὶ τετρακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον.

15. Καὶ ἐγένετο, ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιὴλ, τὴν ὅρασιν, καὶ ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ ὡς ὅρασις ἀνδρός·

16. καὶ ἤκουσα φωνὴν ἀνδρὸς ἀναμέσον τοῦ Οὐβὰλ, καὶ ἐκάλεσε, καὶ εἶπε· Γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν.

17. Καὶ ἦλθε, καὶ ἔστη ἐχόμενος τῆς στάσεώς μου. Καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν, ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. Καὶ εἶπε πρός με· Σύνες, υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις.

18. Καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου, καὶ ἔστησέ με ἐπὶ πόδας,

19. καὶ εἶπεν· Ἰδοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς. Ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις.

20. Ὁ κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν.

21. Ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς Ἑλλήνων· καὶ τὸ κέρας τὸ μέγα ὃ ἦν ἀναμέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος.

aquilonem, et austrum : et omnes bestiæ non stabunt coram eo, et non erat qui erueret de manu ejus, fecitque secundum voluntatem suam, et magnificatus est.

5. Et ego eram intelligens, et ecce hircus caprarum veniebat ab africo super faciem totius terræ : et non erat tangens terram : et hirco cornu medium oculorum ejus.

6. Et venit usque ad arietem illum qui habebat cornua, quem videram stans ante Ubal, et cucurrit ad eum in impetu fortitudinis suæ.

7. Et vidi eum advenientem usque ad arietem, et efferatus est in eum, et percussit arietem, et contrivit duo cornua ejus : et non erat fortitudo arieti standi coram eo. Et projecit eum in terram, et conculcavit eum, et non erat qui liberaret arietem de manu ejus.

8. Et hircus caprarum magnificatus est usque valde. Et dum ipse invalesceret contritum est cornu illius magnum : et ascenderunt alia cornua quatuor subter illud per quatuor ventos cœli.

9. Et de uno ex eis egressum est cornu unum forte, et magnificatum est nimis contra austrum et contra fortitudinem,

10. et magnificatum est usque ad virtutem cœli : et dejecit in terram de virtute cœli et stellis, et conculcaverunt eas,

11. et quoadusque dux militiæ liberaverit captivitatem, et propter eum sacrificium collisum est, et prospere erit ei. Et sanctuarium desolabitur.

12. Et datum est super sacrificium peccatum, et projecta est humi justitia. Et faciet, et prosperabitur.

13. Et audivi unum sanctum loquentem, et dixit unus sanctus phelmoni loquenti : Usquequo visio stabit, sacrificium ablatum, et peccatum desolationis quod datum est, et sanctuarium et fortitudo conculcabitur?

14. Et dixit ei : Usque ad vesperam et mane dies duo millia et quadringenti, et mundabitur sanctuarium.

15. Factum est autem, cum viderem ego Daniel visionem, et quærebam intelligentiam, et stetit in conspectu meo quasi species viri :

16. et audivi vocem viri inter Ubal, et vocavit, et dixit : Gabriel, fac istum intelligere visionem.

17. Et venit, et stetit juxta stationem meam. Et cum ille venisset, expavi, et corruo in faciem meam. Et ait ad me : Intellige, fili hominis : adhuc enim in temporis finem visio.

18. Cumque loqueretur ipse mecum, cado in faciem meam super terram, et tetigit me, et statuit me super pedes,

19. et dixit : Ecce ego ostendo tibi quæ futura sunt in novissimis iræ. Adhuc enim in temporis finem visio.

20. Aries quem vidisti, qui habebat cornua, rex Medorum est atque Persarum.

21. Hircus caprarum, rex Græcorum : et cornu grande quod erat inter oculos ejus, ipse est rex primus.

22. Καὶ τοῦ συντριβέντος οὗ ἔστησαν τέσσαρα κέρατα ὑποκάτω, τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτῶν.

23 Καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα,

24. καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ θαυμαστὰ διαφθερεῖ, καὶ κατευθυνεῖ, καὶ ποιήσει, καὶ διαφθερεῖ ἰσχυροὺς, καὶ λαὸν ἅγιον.

25. Καὶ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθυνεῖ· δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλοὺς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται· καὶ ὡς ᾠὰ χειρὶ συντρίψει.

26. Καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωΐας τῆς ῥηθείσης ἀληθῶς ἐστι. Καὶ σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς·

27. Καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην, καὶ ἐμαλακίσθην, καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιῶν.

22. Quod autem confracto illo surrexerunt quatuor cornua subter, quatuor reges de gente ejus consurgent, et non in fortitudine sua.

23. Et in novissimis regni eorum, completis peccatis eorum, consurget rex impudens facie, et intelligens propositiones,

24. et robusta fortitudo ejus, et mirabiliter vastabit, et prosperabitur, et faciet, et disperdet robustos, et populum sanctum.

25. Et jugum catenæ ejus dirigetur : dolus in manu ejus, et in corde ejus magnificabitur, et dolo corrumpet multos, et super perditionem multorum stabit : et quasi ova manu conteret.

26. Et visio vesperæ et mane quæ dicta est vere est. Et tu signa visionem, quia in dies multos.

27. Et ego Daniel decubui, et langui, et surrexi, et faciebam opera regis, et admirabar visionem, et non erat qui intelligeret.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσσουήρου, ἀπὸ τοῦ σπέρματος τῶν Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ βασιλείαν Χαλδαίων,

2. ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη.

3. Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεὸν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δεήσεις ἐν νηστείαις καὶ σάκκῳ.

4. Καὶ προσευξάμην πρὸς Κύριον τὸν Θεόν μου, καὶ ἐξωμολογησάμην, καὶ εἶπα· Κύριε ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστὸς, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς σου.

5. Ἡμάρτομεν, ἠδικήσαμεν, ἠνομήσαμεν· καὶ ἀπέστημεν καὶ ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ τῶν κριμάτων σου,

6. καὶ οὐκ εἰσηκούσαμεν τῶν δούλων σου τῶν προφητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς ἡμῶν, καὶ ἄρχοντας ἡμῶν, καὶ πατέρας ἡμῶν, καὶ πρὸς πάντα τὸν λαὸν τῆς γῆς.

7. Σοὶ, Κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ Ἰούδα, καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ, καὶ παντὶ Ἰσραὴλ, τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν ἐν πάσῃ τῇ γῇ, οὗ διέσπειρας αὐτοὺς ἐκεῖ, ἐν ἀθεσίᾳ αὐτῶν ᾗ ἠθέτησαν.

8. Ἐν σοὶ, Κύριε, ἐστὶν ἡμῶν ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ τοῖς ἄρχουσιν ἡμῶν, καὶ τοῖς πατράσιν ἡμῶν, οἵτινες ἡμάρτομέν σοι.

9. Κυρίῳ τῷ Θεῷ ἡμῶν οἱ οἰκτιρμοὶ, καὶ οἱ ἱλασμοὶ, ὅτι ἀπέστημεν,

10. καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, πορεύεσθαι ἐν τοῖς νόμοις αὐτοῦ, οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν ἐν χερσὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν.

11. Καὶ πᾶς Ἰσραὴλ παρέβησαν τὸν νόμον σου, καὶ

CAPUT IX.

1. In primo anno Darii filii Assueri, ex semine Medorum, qui regnavit super regnum Chaldæorum,

2. ego Daniel intellexi in libris numerum annorum, qui factus est sermo Domini ad Jeremiam prophetam, in completionem desolationis Jerusalem septuaginta anni.

3. Et dedi faciem meam ad Dominum Deum, quærendo deprecationem et orationes in jejuniis et sacco.

4. Et oravi ad Dominum Deum meum, et confessus sum, et dixi : Domine Deus magne et mirabilis, qui custodis testamentum tuum, et misericordiam tuam diligentibus te, et custodientibus mandata tua.

5. Peccavimus, injuste egimus, inique egimus : et recessimus et declinavimus a mandatis tuis atque a judiciis tuis,

6. et non exaudivimus servos tuos prophetas, qui loquebantur in nomine tuo regibus nostris, et principibus nostris, et patribus nostris, omnique populo terræ.

7. Tibi, Domine, justitia, nobis autem confusio faciei, sicut dies hæc, viro Juda, et habitatoribus Jerusalem, et omni Israel, his qui prope sunt et his qui procul in universa terra, quo disseminasti eos illuc, in prævaricatione eorum qua prævaricati sunt.

8. In te, Domine, est nostra justitia, et nobis confusio faciei, et regibus nostris, et principibus nostris, et patribus nostris, qui peccavimus tibi.

9. Domino Deo nostro miserationes, et propitiationes, quia recessimus,

10. et non exaudivimus vocem Domini Dei nostri, ut ambularemus in legibus ejus, quas dedit ante faciem nostram in manibus servorum suorum prophetarum.

11. Et omnis Israel prævaricati sunt legem tuam, et

ἐξέκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου. Καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα, καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν νόμῳ Μωϋσέως δούλου τοῦ Θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ.

12. Καὶ ἔστησε τοὺς λόγους αὐτοῦ οὓς ἐλάλησεν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν οἳ ἔκρινον ἡμᾶς, ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, κατὰ τὰ γενόμενα ἐν Ἱερουσαλήμ,

13. καθὼς γέγραπται ἐν τῷ νόμῳ Μωϋσῆ. Πάντα τὰ κακὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἀποστρέψαι ἀπὸ τῶν ἀδικιῶν ἡμῶν, καὶ τοῦ συνιέναι ἐν πάσῃ ἀληθείᾳ σου.

14. Καὶ ἐγρηγόρησε Κύριος, καὶ ἐπήγαγεν αὐτὰ ἐφ' ἡμᾶς, ὅτι δίκαιος Κύριος ὁ Θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ ἣν ἐποίησε, καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς αὐτοῦ.

15. Καὶ νῦν, Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτομεν, ἠνομήσαμεν.

16. Κύριε, ἐν πᾶσιν ἐλεημοσύνη σου, ἀποστραφήτω δὴ ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἱερουσαλὴμ, ὄρους ἁγίου σου, ὅτι ἡμάρτομεν· καὶ ἐν ταῖς ἀδικίαις ἡμῶν, καὶ τῶν πατέρων ἡμῶν Ἱερουσαλὴμ, καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν.

17. Καὶ νῦν εἰσάκουσον, Κύριε ὁ Θεὸς ἡμῶν, τῆς προσευχῆς τοῦ δούλου σου καὶ τῶν δεήσεων αὐτοῦ, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου τὸ ἔρημον, ἕνεκέν σου, Κύριε.

18. Κλῖνον, ὁ Θεός μου, τὸ οὖς σου, καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν, καὶ τῆς πόλεώς σου ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς· ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ῥιπτοῦμεν τὸν οἰκτιρμὸν ἡμῶν ἐνώπιόν σου, ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου τοὺς πολλοὺς, Κύριε.

19. Εἰσάκουσον, Κύριε, ἱλάσθητι, Κύριε, πρόσχες, Κύριε· μὴ χρονίσῃς ἕνεκέν σου, ὁ Θεός μου, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου καὶ ἐπὶ τὸν λαόν σου.

20. Καὶ ἔτι ἐμοῦ λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραὴλ, καὶ ῥιπτοῦντος τὸν ἔλεόν μου ἐναντίον τοῦ Κυρίου τοῦ Θεοῦ μου περὶ τοῦ ὄρους τοῦ ἁγίου,

21. καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ἀνὴρ Γαβριὴλ ὃν ἴδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό μου, ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς.

22. Καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπε· Δανιὴλ νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν.

23. Ἐν ἀρχῇ τῆς δεήσεώς σου, ἐξῆλθε λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. Καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ.

24. Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρίσαι ἅγιον ἁγίων.

declinaverunt ne audirent vocem tuam. Et supervenit super nos maledictio, et juramentum scriptum in lege Moysi servi Dei, quia peccavimus ei.

12. Et statuit sermones suos quos locutus est super nos, et super judices nostros qui judicabant nos, ut superinducerent in nos mala magna, qualia non fuerunt sub omni cœlo, secundum ea quæ facta sunt in Jerusalem,

13. sicut scriptum est in lege Moysi. Omnia mala hæc venerunt super nos, et non rogavimus faciem Domini Dei nostri, ut reverteremur ab iniquitatibus nostris, et intelligeremus in omni veritate tua.

14. Et vigilavit Dominus, et adduxit ea super nos, quoniam justus Dominus Deus noster in omni opere suo quod fecit, et non exaudivimus vocem ejus.

15. Et nunc, Domine Deus noster, qui eduxisti populum tuum de terra Ægypti in manu forti, et fecisti tibi nomen sicut dies hæc, peccavimus, iniquitatem fecimus.

16. Domine, in omni misericordia tua, avertatur, obsecro, furor tuus et ira tua a civitate tua Jerusalem, monte sancto tuo, quia peccavimus : et in nostris iniquitatibus, et patrum nostrorum Jerusalem, et populus tuus in opprobrium factus est in omnibus qui per circuitum nostrum.

17. Et nunc exaudi, Domine Deus noster, orationem servi tui et preces ejus, et ostende faciem tuam super sanctuarium tuum quod desertum est, propter te, Domine.

18. Inclina, Deus meus, aurem tuam, et audi : aperi oculos tuos, et vide desolationem nostram, et civitatis tuæ super quam invocatum est nomen tuum super eam : quia non in nostris justitiis prosternimus miserationem nostram coram te, sed in miserationibus tuis multis, Domine.

19. Exaudi, Domine, placare, Domine, attende, Domine : ne moreris propter temetipsum, Deus meus, quia nomen tuum invocatum est super civitatem tuam et super populum tuum.

20. Et adhuc me loquente, et orante, et confitente peccata mea, et peccata populi mei Israel, et prosternente misericordiam meam in conspectu Domini Dei mei pro monte sancto,

21. et adhuc me loquente in oratione, et ecce vir Gabriel quem videram in visione a principio, volans, et tetigit me, quasi hora sacrificii vespertini.

22. Et docuit me, et locutus est mecum, et dixit : Daniel, nunc exivi imbuere te intelligentia.

23. In principio obsecrationis tuæ, exivit sermo, et ego veni ut annuntiem tibi, quia vir desideriorum tu es. Et cogita in verbo, et intellige in visione.

24. Septuaginta hebdomades breviatæ sunt super plebem tuam, et super civitatem sanctam, ut consummetur peccatum, et signentur peccata, et deleantur iniquitates, et exorentur iniquitates, et adducatur justitia sempiterna, et signetur visio et propheta, et ungatur sanctus sanctorum.

25. Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ, ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξηκονταδύο· καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος, καὶ ἐκκενωθήσονται οἱ καιροί.

26. Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξηκονταδύο, ἐξολοθρευθήσεται χρίσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει, ἀφανισμοῖς.

27. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. Καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως τῆς συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Ἐν ἔτει τρίτῳ Κύρου βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιὴλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ. Καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ.

2. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν.

3. Ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν.

4. Ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, καὶ ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου, αὐτός ἐστι Τίγρις Ἐδδεκέλ·

5. καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδὶν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη ἐν χρυσίῳ Ὠφὰζ,

6. καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσὶς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ἡ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου.

7. Καὶ ἴδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ οὐκ ἴδον τὴν ὀπτασίαν, ἀλλ' ἡ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτοὺς, καὶ ἔφυγον ἐν φόβῳ.

8. Καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ ἴδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχὺς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθορὰν, καὶ οὐκ ἐκράτησα ἰσχύος.

9. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν τῷ ἀκοῦσαί με αὐτοῦ ἤμην κατανενυγμένος, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν.

(*) 10. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου,

11. καὶ εἶπε πρὸς μέ· Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις οἷς ἐγὼ λαλῶ πρὸς σὲ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρὸς μὲ τὸν λόγον τοῦτον, ἀνέστην ἔντρομος.

12. Καὶ εἶπε πρὸς μέ· Μὴ φοβοῦ, Δανιὴλ, ὅτι ἀπὸ

(*) 10. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ταρσοὺς χειρῶν μου. (*Alex.*)

25. Et scies et intelliges ab exitu sermonis ad respondendum, et ædificandum Jerusalem, usque ad Christum ducem hebdomades septem, et hebdomades sexaginta duæ : et revertetur, et ædificabitur platea et murus, et evacuabuntur tempora.

26. Et post hebdomadas sexaginta duas, exterminabitur unctio, et judicium non est in eo : et civitatem et sanctuarium dissipabit cum duce adveniente, excidentur in diluvio, et usque ad finem belli concisi ordine, desolationibus.

27. Et confirmabit testamentum multis hebdomada una. Et in dimidio hebdomadis auferetur meum sacrificium et libamen, et in templo abominatio desolationum, et usque ad consummationem temporis consummatio dabitur super desolationem.

CAPUT X.

1. In anno tertio Cyri regis Persarum verbum revelatum est Danieli, cujus nomen vocatum est Baltasar. Et verbum verum, et fortitudo magna et intelligentia data est ei in visione.

2. In diebus illis ego Daniel eram lugens tres hebdomadas dierum.

3. Panem desideriorum non comedi, et caro et vinum non introierunt in os meum, et unguento non sum unctus usque ad completionem trium hebdomadum dierum.

4. In die vigesima quarta mensis primi, et ego eram juxta fluvium magnum, ipse est Tigris Eddecel :

5. et levavi oculos meos et vidi, et ecce vir unus vestitus baddin, et renes ejus accincti auro Ophaz,

6. et corpus ejus quasi tharsis, et facies ejus veluti species fulguris, et oculi ejus ut lampades ignis, et brachia ejus et crura quasi species æris candentis, et vox sermonum ejus ut vox multitudinis.

7. Et vidi ego Daniel solus visionem, et viri qui erant mecum non viderunt visionem, sed terror magnus irruit super eos, et fugerunt in timore.

8. Et ego relictus sum solus, et vidi visionem grandem hanc, et non remansit in me fortitudo, et gloria mea conversa est in corruptionem, et non retinui fortitudinem.

9. Et audivi vocem sermonum ejus, et audiens eum eram compunctus, et facies mea super terram.

10. Et ecce manus tangens me, et erexit me super genua mea,

11. et dixit ad me : Daniel vir desideriorum, intellige in verbis quæ ego loquor ad te, et sta in gradu tuo, nunc enim sum missus ad te. Cumque dixisset ad me sermonem istum, surrexi tremens.

12. Et dixit ad me : Noli metuere, Daniel, quia ex die

10. Et ecce manus tangens me, et erexit me super genua mea, et articulos manuum mearum.

τῆς πρώτης ἡμέρας ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συνεῖναι, καὶ κακωθῆναι ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου.

13. Καὶ ὁ ἄρχων βασιλείας Περσῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν. Καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας Περσῶν,

14. καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπὶ ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας.

15. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ κατὰ τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ κατενύγην.

16. Καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου· καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοὶ, καὶ οὐκ ἔσχον ἰσχύν.

17. Καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου μου τούτου; Καὶ ἐγὼ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχὺς, καὶ πνεῦμα οὐχ ὑπελείφθη ἐν ἐμοί.

18. Καὶ προσέθετο, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με,

19. καὶ εἶπέ μοι· Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι· ἀνδρίζου καὶ ἴσχυε. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα, καὶ εἶπα· Λαλείτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με.

20. Καὶ εἶπεν· Εἰ οἶδας ἱνατί ἦλθον πρὸς σέ; Καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος Περσῶν· καὶ ἐγὼ εἰσεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο.

21. Ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ ἀληθείας· καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Καὶ ἐγὼ ἐν ἔτει πρώτῳ Κύρου ἔστην εἰς κράτος καὶ ἰσχύν.

2. Καὶ νῦν ἀλήθειαν ἀναγγελῶ σοι. Ἰδοὺ ἔτι τρεῖς βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ μετὰ τὸ κρατῆσαι αὐτὸν τοῦ πλούτου αὐτοῦ, ἐπαναστήσεται πάσαις βασιλείαις Ἑλλήνων.

3. Καὶ ἀναστήσεται βασιλεὺς δυνατὸς, καὶ κυριεύσει κυρείας πολλῆς, καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ.

4. Καὶ ὡς ἂν στῇ ἡ βασιλεία αὐτοῦ, συντριβήσεται, καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καὶ οὐκ εἰς τὰ ἔσχατα αὐτοῦ, οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ, ἣν ἐκυρίευσεν· ὅτι ἐκτιλήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέροις ἐκτὸς τούτων.

5. Καὶ ἐνισχύσει ὁ βασιλεὺς τοῦ νότου· καὶ εἷς τῶν ἀρχόντων αὐτῶν ἐνισχύσει ἐπ' αὐτὸν, καὶ κυριεύσει κυρείαν πολλήν.

6. Καὶ μετὰ τὰ ἔτη αὐτοῦ συμμιγήσονται, καὶ θυγάτηρ βασιλέως τοῦ νότου εἰσελεύσεται πρὸς βασιλέα τοῦ βοῤῥᾶ, τοῦ ποιῆσαι συνθήκας μετ' αὐτοῦ, καὶ οὐ

primo quo posuisti cor tuum ad intelligendum, et affligendum te coram Domino Deo tuo, audita sunt verba tua, et ego veni in verbis tuis.

13. Et princeps regni Persarum stetit ex adverso mihi viginti et uno diebus. Et ecce Michael unus de principibus venit ad auxiliandum mihi, et ipsum reliqui ibi cum principe regni Persarum,

14. et veni ut docerem te quæ occurrent populo tuo in novissimis diebus, quoniam adhuc visio in dies.

15. Cumque loqueretur ipse mecum secundum hujuscemodi verba, dedi faciem meam in terram, et compunctus sum.

16. Et ecce quasi similitudo filii hominis tetigit labia mea: et aperui os meum, et locutus sum, et dixi ad eum qui stabat contra me : Domine, in visione tua conversa sunt interiora mea in me, et non retinui fortitudinem.

17. Et quomodo poterit servus tuus, Domine, loqui cum Domino meo isto? Et ego ex nunc non stabit in me fortitudo, et non remansit spiritus in me.

18. Et addidit, et tetigit me quasi visio hominis, et confortavit me,

19. et dixit mihi : Noli timere, vir desideriorum, pax tibi : viriliter age et confortare. Cumque loqueretur mecum, convalui, et dixi : Loquatur Dominus meus, quia confortasti me.

20. Et dixit : Numquid scis quare venerim ad te? Et nunc revertar ut prælier cum principe Persarum : et ego ingrediebar, et princeps Græcorum veniebat.

21. Verumtamen annuntiabo tibi quod constitutum est in scriptura veritatis : et non est unus adhærens mihi de his, nisi Michael princeps vester.

CAPUT XI.

1. Et ego in anno primo Cyri stabam ad robur et fortitudinem.

2. Et nunc veritatem annuntiabo tibi. Ecce adhuc tres reges surgent in Perside, et quartus ditabitur divitiis magnis super omnes : et cum invaluerit ipse divitiis suis, insurget super omnia regna Græcorum.

3. Et surget rex potens, et dominabitur dominatione multa, et faciet secundum voluntatem suam.

4. Et cum steterit regnum ejus, conteretur, et dividetur in quatuor ventos cœli, et non in novissima sua, neque secundum dominationem suam, qua dominatus est : quia exstirpabitur regnum ejus, et aliis præter istos.

5. Et confortabitur rex austri : et unus de principibus ipsis prævalebit super eum, et dominabitur dominatione multa.

6. Et post annos illius commiscebuntur, filiaque regis austri ingredietur ad regem aquilonis, facere fœdera cum eo, et non obtinebit fortitudinem brachii, nec stabit semen ejus,

κρατήσει ἰσχύος βραχίονος, καὶ οὐ στήσεται τὸ σπέρμα αὐτοῦ, καὶ παραδοθήσεται αὐτὴ, καὶ οἱ φέροντες αὐτὴν, καὶ ἡ νεᾶνις, καὶ ὁ κατισχύων αὐτὴν ἐν τοῖς καιροῖς.

7. Ἀναστήσεται ἐκ τοῦ ἄνθους τῆς ῥίζης αὐτῆς, τῆς ἑτοιμασίας αὐτοῦ, καὶ ἥξει πρὸς τὴν δύναμιν, καὶ εἰςελεύσεται εἰς τὰ ὑποστηρίγματα τοῦ βασιλέως τοῦ βοῤῥᾶ, καὶ ποιήσει ἐν αὐτοῖς καὶ κατισχύσει.

8. Καί γε τοὺς θεοὺς αὐτῶν μετὰ τῶν χωνευτῶν αὐτῶν, πᾶν σκεῦος ἐπιθυμητὸν αὐτῶν ἀργυρίου καὶ χρυσίου μετὰ αἰχμαλωσίας οἴσει εἰς Αἴγυπτον, καὶ αὐτὸς στήσεται ὑπὲρ βασιλέα τοῦ βοῤῥᾶ.

9. Καὶ εἰςελεύσεται εἰς τὴν βασιλείαν τοῦ βασιλέως τοῦ νότου, καὶ ἀναστρέψει εἰς τὴν γῆν αὐτοῦ·

10. καὶ οἱ υἱοὶ αὐτοῦ συνάξουσιν ὄχλον ἀναμέσον πολλῶν. Καὶ ἐλεύσεται ἐρχόμενος καὶ κατακλύζων, καὶ παρελεύσεται, καὶ καθίεται, καὶ συμπροςπλακήσεται ἕως τῆς ἰσχύος αὐτοῦ.

11. Καὶ ἀγριανθήσεται βασιλεὺς τοῦ νότου καὶ ἐξελεύσεται, καὶ πολεμήσει μετὰ τοῦ βασιλέως τοῦ βοῤῥᾶ, καὶ στήσει ὄχλον πολὺν, καὶ παραδοθήσεται ὁ ὄχλος ἐν χειρὶ αὐτοῦ,

12. καὶ λήψεται τὸν ὄχλον, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ καταβαλεῖ μυριάδας, καὶ οὐ κατισχύσει.

13. Καὶ ἐπιστρέψει ὁ βασιλεὺς τοῦ βοῤῥᾶ, καὶ ἄξει ὄχλον πολὺν ὑπὲρ τὸν πρότερον· καὶ εἰς τὸ τέλος τῶν καιρῶν ἐνιαυτῶν ἐπελεύσεται εἰςόδια ἐν δυνάμει μεγάλῃ, καὶ ἐν ὑπάρξει πολλῇ.

14. Καὶ ἐν τοῖς καιροῖς ἐκείνοις πολλοὶ ἐπαναστήσονται ἐπὶ βασιλέα τοῦ νότου, καὶ οἱ υἱοὶ τῶν λοιμῶν τοῦ λαοῦ σου ἐπαρθήσονται, τοῦ στῆσαι ὅρασιν, καὶ ἀσθενήσουσι.

15. Καὶ εἰςελεύσεται βασιλεὺς τοῦ βοῤῥᾶ, καὶ ἐκχεεῖ πρόςχωμα, καὶ συλλήψεται πόλεις ὀχυρὰς, καὶ οἱ βραχίονες τοῦ βασιλέως τοῦ νότου στήσονται, καὶ ἀναστήσονται οἱ ἐκλεκτοὶ αὐτοῦ, καὶ οὐκ ἔσται ἰσχὺς τοῦ στῆναι.

16. Καὶ ποιήσει ὁ εἰςπορευόμενος πρὸς αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔστιν ἑστὼς κατὰ πρόσωπον αὐτοῦ. Καὶ στήσεται ἐν τῇ γῇ τοῦ Σαβεὶ, καὶ τελεσθήσεται ἐν τῇ χειρὶ αὐτοῦ.

17. Καὶ τάξει τὸ πρόσωπον αὐτοῦ εἰςελθεῖν ἐν ἰσχύϊ πάσης τῆς βασιλείας αὐτοῦ, καὶ εὐθεῖα πάντα μετ' αὐτοῦ ποιήσει· καὶ θυγατέρα τῶν γυναικῶν δώσει αὐτῷ διαφθεῖραι αὐτὴν, καὶ οὐ μὴ παραμείνῃ, καὶ οὐκ αὐτῷ ἔσται.

18. Καὶ ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὰς νήσους, καὶ συλλήψεται πολλὰς, καὶ καταπαύσει ἄρχοντας ὀνειδισμοῦ αὐτῶν, πλὴν ὀνειδισμὸς αὐτοῦ ἐπιστρέψει αὐτῷ,

19. καὶ ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὴν ἰσχὺν τῆς γῆς αὐτοῦ, καὶ ἀσθενήσει, καὶ πεσεῖται, καὶ οὐχ εὑρεθήσεται.

20. Καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν τῆς βασιλείας ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ παραβιβάζων, πράσσων δόξαν βασιλείας. Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἔτι συντριβήσεται, καὶ οὐκ ἐν προςώποις, οὐδὲ ἐν πολέμῳ.

21. Στήσεται ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ, ἐξουδενώθη,

et tradetur ipsa, et qui adducebant eam, et adolescentula, et confortans eam in temporibus.

7. Surget de flore radicis ejus, præparationis illius, et veniet ad virtutem, et ingredietur in sustentacula regis aquilonis, et faciet in eis et obtinebit.

8. Etiam deos eorum cum fusilibus eorum, omne vas desiderabile eorum argenti et auri cum captivitate ducet in Ægyptum, et ipse stabit super regem aquilonis.

9. Et intrabit in regnum regis austri, et revertetur ad terram suam :

10. et filii ejus congregabunt turbam inter medium multorum. Et veniet adveniens et inundans, et pertransibit, et sedebit, et congredietur usque ad fortitudinem ejus.

11. Et efferabitur rex austri et egredietur, et pugnabit cum rege aquilonis, et faciet stare turbam multam, et tradetur turba in manu ejus,

12. et capiet multitudinem, et exaltabitur cor ejus, et dejiciet decem millia, et non prævalebit.

13. Et convertetur rex aquilonis, et adducet turbam multam super priorem : et in fine temporum annorum ingredietur ingressiones in virtute magna, et in substantia multa.

14. Et in temporibus illis multi consurgent super regem austri, et filii pestilentium populi tui extollentur, ut statuant visionem, et infirmabuntur.

15. Et ingredietur rex aquilonis, et effundet aggerem, et capiet urbes munitas, et brachia regis austri stabunt, et consurgent electi ejus, et non erit fortitudo ad standum.

16. Et faciet ingrediens adversus eum secundum voluntatem suam, et non est qui stet contra faciem ejus. Et stabit in terra Sabi, et consumetur in manu ejus.

17. Et ponet faciem suam ut ingrediatur in fortitudine totius regni sui, et recta omnia faciet cum eo : et filiam fœminarum dabit ei ut evertat illum, et non permanebit, et non erit ei.

18. Et convertet faciem suam ad insulas, et capiet multas, et cessare faciet principes opprobrii sui, verumtamen opprobrium ejus convertetur ei.

19. Et convertet faciem suam ad fortitudinem terræ suæ, et infirmabitur, et corruet, et non invenietur.

20. Et surget de radice ejus planta regni ad præparationem ipsius transferens, faciens gloriam regni. Et in diebus illis adhuc conteretur, et non in faciebus, neque in bello.

21. Stabit super præparationem ejus, contemptus fuit, et

καὶ οὐκ ἔδωκαν ἐπ' αὐτὸν δόξαν βασιλείας. Καὶ ἥξει ἐν εὐθηνίᾳ, καὶ κατισχύσει βασιλείας ἐν ὀλισθήμασι,

22. καὶ βραχίονες τοῦ κατακλύζοντος κατακλυσθήσονται ἀπὸ προσώπου αὐτοῦ, καὶ συντριβήσονται, καὶ ἡγούμενος διαθήκης.

23. Καὶ ἀπὸ τῶν συναναμίξεων πρὸς αὐτὸν ποιήσει δόλον, καὶ ἀναβήσεται, καὶ ὑπερισχύσει αὐτοὺς ἐν ὀλίγῳ ἔθνει.

24. Καὶ ἐν εὐθηνίᾳ, καὶ ἐν πίοσι χώραις ἥξει, καὶ ποιήσει ἃ οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ καὶ πατέρες τῶν πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ ὕπαρξιν αὐτοῖς διασκορπιεῖ, καὶ ἐπ' Αἴγυπτον λογιεῖται λογισμοὺς καὶ ἕως καιροῦ.

25. Καὶ ἐξεγερθήσεται ἡ ἰσχὺς αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ βασιλέα τοῦ νότου ἐν δυνάμει μεγάλῃ. Καὶ ὁ βασιλεὺς τοῦ νότου συνάψει πόλεμον ἐν δυνάμει μεγάλῃ καὶ ἰσχυρᾷ σφόδρα, καὶ οὐ στήσονται, ὅτι λογιοῦνται ἐπ' αὐτὸν λογισμοὺς,

26. καὶ φάγονται τὰ δέοντα αὐτοῦ, καὶ συντρίψουσιν αὐτὸν, καὶ δυνάμεις κατακλύσει, καὶ πεσοῦνται τραυματίαι πολλοί.

27. Καὶ ἀμφότεροι οἱ βασιλεῖς, αἱ καρδίαι αὐτῶν εἰς πονηρίαν, καὶ ἐπὶ τραπέζῃ μιᾷ ψευδῆ λαλήσουσι, καὶ οὐ κατευθυνεῖ, ὅτι ἔτι πέρας εἰς καιρόν.

28. Καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ ἐν ὑπάρξει πολλῇ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ διαθήκην ἁγίαν, καὶ ποιήσει, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

29. Εἰς τὸν καιρὸν ἐπιστρέψει, καὶ ἥξει ἐν τῷ νότῳ, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχάτη.

30. Καὶ εἰσελεύσονται ἐν αὐτῷ οἱ ἐκπορευόμενοι Κίτιοι, καὶ ταπεινωθήσεται, καὶ ἐπιστρέψει, καὶ θυμωθήσεται ἐπὶ διαθήκην ἁγίαν· καὶ ποιήσει, καὶ ἐπιστρέψει, καὶ συνήσει ἐπὶ τοὺς καταλιπόντας διαθήκην ἁγίαν.

31. Καὶ σπέρματα ἐξ αὐτοῦ ἀναστήσονται, καὶ βεβηλώσουσι τὸ ἁγίασμα τῆς δυναστείας, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν, καὶ δώσουσι βδέλυγμα ἠφανισμένον,

32. καὶ οἱ ἀνομοῦντες διαθήκην ἐπάξουσιν ἐν ὀλισθήμασι· καὶ λαὸς γινώσκοντες Θεὸν αὐτοῦ κατισχύσουσι, καὶ ποιήσουσι,

33. καὶ οἱ συνετοὶ τοῦ λαοῦ συνήσουσιν εἰς πολλὰ, καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ, καὶ ἐν φλογὶ, καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν διαρπαγῇ ἡμερῶν.

34. Καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς βοηθήσονται βοήθειαν μικρὰν, καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι.

35. Καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσι τοῦ πυρῶσαι αὐτοὺς, καὶ τοῦ ἐκλέξασθαι, καὶ τοῦ ἀποκαλυφθῆναι ἕως καιροῦ πέρας, ὅτι ἔτι εἰς καιρόν.

36. Καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ· καὶ ὁ βασιλεὺς ὑψωθήσεται καὶ μεγαλυνθήσεται ἐπὶ πάντα θεὸν, καὶ λαλήσει ὑπέρογκα, καὶ κατευθυνεῖ μέχρις οὗ συντελεσθῇ ἡ ὀργὴ, εἰς γὰρ συντέλειαν γίνεται.

37. Καὶ ἐπὶ πάντας θεοὺς τῶν πατέρων αὐτοῦ οὐ συνήσει, καὶ ἐπιθυμίᾳ γυναικῶν, καὶ ἐπὶ πᾶν θεὸν οὐ συνήσει, ὅτι ἐπὶ πάντας μεγαλυνθήσεται.

38. Καὶ θεὸν Μαωζεὶμ ἐπὶ τόπου αὐτοῦ δοξάσει, καὶ θεὸν ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ δοξάσει ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ λίθῳ τιμίῳ, καὶ ἐν ἐπιθυμήμασι.

39. Καὶ ποιήσει τοῖς ὀχυρώμασι τῶν καταφυγῶν

non dederunt super eum gloriam regni. Et veniet in tranquillitate, et obtinebit regnum in lubricitatibus,

22. et brachia inundantis inundabuntur a facie ejus, et conterentur, et dux testamenti.

23. Et ex commistionibus adversus eum faciet dolum, et ascendet, et prævalebit in eos in modica gente.

24. Et in prosperitatem, et in pingues regiones veniet, et faciet quæ non fecerunt patres ejus et patres patrum ejus: direptionem et spolia et substantiam eis dissipabit, et super Ægyptum cogitabit cogitationes et usque ad tempus.

25. Et excitabitur fortitudo ejus, et cor ejus super regem austri in virtute magna. Et rex austri conteret prælium in virtute magna et forti nimis, et non stabunt, quia cogitabunt super eum cogitationes,

26. et comedent necessaria ejus, et conterent eum, et virtutes inundabit, et cadent interfecti multi.

27. Et utrique reges, corda eorum ad malitiam, et ad mensam unam mendacia loquentur, et non proficiet, quia adhuc finis in tempus.

28. Et revertetur in terram suam in substantia multa, et cor ejus super testamentum sanctum, et faciet, et revertetur in terram suam.

29. Ad tempus revertetur, et veniet ad austrum, et non erit sicut prima etiam novissima.

30. Et ingredientur ad illum egredientes Citii, et humiliabitur, et revertetur, et indignabitur super testamentum sanctum: et faciet, ac revertetur, et intelliget super eos qui dereliquerunt testamentum sanctum.

31. Et semina ex eo consurgent, et polluent sanctificationem fortitudinis, et transferent juge sacrificium, et dabunt abominationem desolatam,

32. et qui inique agunt testamentum inducent in lubricitatibus: et populus scientes Deum suum obtinebunt, et facient,

33. et intelligentes de populo intelligent in multa, et infirmabuntur in gladio, et in flamma, et in captivitate, et in rapina dierum.

34. Cumque infirmati fuerint adjuvabuntur adjumento parvulo, et applicabuntur eis multi in lubricitate.

35. Et de intelligentibus infirmabuntur ad conflandum eos, et seligendum, et revelandum usque ad temporis terminum, quia adhuc in tempus.

36. Et faciet juxta voluntatem suam: et rex elevabitur et magnificabitur adversus omnem deum, et loquetur ingentia, et dirigetur donec compleatur ira, in consummationem enim fit.

37. Et super omnes deos patrum suorum non intelliget, et concupiscentia fœminarum, et super omnem deum non intelliget, quia super omnes magnificabitur.

38. Et deum Maozim in loco suo glorificabit, et deum quem ignoraverunt patres ejus glorificabit in auro et argento et lapide pretioso, et in concupiscentiis.

39. Et faciet munitionibus confugiorum cum deo alieno,

μετὰ θεοῦ ἀλλοτρίου, καὶ πληθυνεῖ δόξαν, καὶ ὑποτάξει αὐτοῖς πολλοὺς, καὶ γῆν διελεῖ ἐν δώροις.

40. Καὶ ἐν καιροῦ πέρατι συγκερατισθήσεται μετὰ τοῦ βασιλέως τοῦ νότου, καὶ συναχθήσεται ἐπ' αὐτὸν βασιλεὺς τοῦ βοῤῥᾶ ἐν ἅρμασι καὶ ἐν ἱππεῦσι καὶ ἐν ναυσὶ πολλαῖς, καὶ εἰσελεύσεται εἰς τὴν γῆν καὶ συντρίψει, καὶ παρελεύσεται.

41. Καὶ εἰσελεύσεται εἰς τὴν γῆν τοῦ Σαβαεὶμ, καὶ πολλοὶ ἀσθενήσουσι. Καὶ οὗτοι διασωθήσονται ἐκ χειρὸς αὐτοῦ, Ἐδὼμ, καὶ Μωὰβ, καὶ ἀρχὴ υἱῶν Ἀμμών.

42. Καὶ ἐκτενεῖ τὴν χεῖρα ἐπὶ τὴν γῆν, καὶ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν.

43. Καὶ κυριεύσει ἐν τοῖς ἀποκρύφοις τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου, καὶ ἐν πᾶσιν ἐπιθυμητοῖς Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων, ἐν τοῖς ὀχυρώμασιν αὐτῶν.

44. Καὶ ἀκοαὶ καὶ σπουδαὶ ταράξουσιν αὐτὸν ἐξ ἀνατολῶν καὶ ἀπὸ βοῤῥᾶ, καὶ ἥξει ἐν θυμῷ πολλῷ τοῦ ἀφανίσαι πολλούς.

45. Καὶ πήξει τὴν σκηνὴν αὐτοῦ Ἐφαδανῶ, ἀναμέσον τῶν θαλασσῶν, εἰς ὄρος Σαβαεὶν ἅγιον· ἥξει ἕως μέρους αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτόν.

et multiplicabit gloriam, et subjiciet ipsis multos, et terram dividet in donis.

40. Et in temporis termino cornu certabit cum rege austri, et congregabitur super eum rex aquilonis in curribus et equitibus et navibus multis, et ingredietur in terram et conteret, et transibit.

41. Et introibit in terram Sabaim, et multi infirmabuntur. Et hi salvabuntur de manu ejus, Edom, et Moab, et principium filiorum Ammon.

42. Et extendet manum super terram, et terra Ægypti non erit in salutem.

43. Et dominabitur in reconditis auri et argenti, et in omnibus desiderabilibus Ægypti et Libyum et Æthiopum, in munitionibus eorum.

44. Et rumores et festinationes turbabunt eum ab oriente et ab aquilone, et veniet in furore multo ad disperdendum multos.

45. Et figet tabernaculum suum Ephadano, in medio marium, in monte Sabain sancto : veniet usque ad partem ejus, et non est qui eruat eum.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου. Καὶ ἔσται καιρὸς θλίψεως, θλῖψις οἵα οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐν τῇ γῇ ἕως τοῦ καιροῦ ἐκείνου. Ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ,

2. καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον.

3. Καὶ οἱ συνιέντες λάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας καὶ ἔτι.

4. Καὶ σὺ, Δανιὴλ, ἔμφραξον τοὺς λόγους, καὶ σφράγισον τὸ βιβλίον ἕως καιροῦ συντελείας, ἕως διδαχθῶσι πολλοὶ καὶ πληθυνθῇ ἡ γνῶσις.

5. Καὶ ἴδον ἐγὼ Δανιὴλ, καὶ ἰδοὺ δύο ἕτεροι εἱστήκεισαν, εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ, καὶ εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ.

6. Καὶ εἶπε τῷ ἀνδρὶ τῷ ἐνδεδυμένῳ τὰ βαδδὶν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· Ἕως πότε τὸ πέρας ὧν εἴρηκας τῶν θαυμασίων;

7. Καὶ ἤκουσα τοῦ ἀνδρὸς τοῦ ἐνδεδυμένου τὰ βαδδὶν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· καὶ ὕψωσε τὴν δεξιὰν αὐτοῦ καὶ τὴν ἀριστερὰν αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα, ὅτι εἰς καιρὸν καιρῶν καὶ ἥμισυ καιροῦ, ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν, γνώσονται πάντα ταῦτα.

8. Καὶ ἐγὼ ἤκουσα, καὶ οὐ συνῆκα, καὶ εἶπα· Κύριε, τί τὰ ἔσχατα τούτων;

9. Καὶ εἶπε· Δεῦρο, Δανιὴλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι ἕως καιροῦ πέρας.

10. Ἐκλεγῶσι, καὶ ἐκλευκανθῶσι, καὶ πυρωθῶσι, καὶ ἁγιασθῶσι πολλοί· καὶ ἀνομήσωσιν ἄνομοι, καὶ οὐ συνήσουσι πάντες ἄνομοι, καὶ οἱ νοήμονες συνήσουσι.

11. Καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ, καὶ δοθήσεται τὸ βδέλυγμα ἐρημώσεως ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα.

CAPUT XII.

1. Et in tempore illo consurget Michael princeps magnus, qui stat pro filiis populi tui. Et erit tempus tribulationis, tribulatio qualis non fuit ex quo facta est gens in terra usque ad tempus illud. In tempore illo salvabitur populus tuus omnis qui scriptus fuerit in libro,

2. et multi de his qui dormiunt in terræ pulvere evigilabunt, alii in vitam æternam, et alii in opprobrium et confusionem æternam.

3. Et intelligentes fulgebunt quasi splendor firmamenti, et de justis plurimis quasi stellæ in sæcula et ultra.

4. Tu autem, Daniel, claude sermones, et signa librum usque ad tempus consummationis, donec doceantur multi et multiplicetur scientia.

5. Et vidi ego Daniel, et ecce alii duo stabant, unus hinc super labium fluminis, et alius inde ex alio labio fluminis.

6. Et dixit viro qui indutus erat baddin, qui stabat super aquam fluminis : Usquequo finis istorum quæ dixisti mirabilium?

7. Et audivi virum qui indutus erat baddin, qui stabat super aquam fluminis : et elevavit dexteram suam et sinistram suam in cœlum, et juravit in vivente in æternum, quia in tempus temporum et dimidium temporis, cum completa fuerit dispersio, cognoscent universa hæc.

8. Et ego audivi, et non intellexi, et dixi : Domine, quid novissima horum?

9. Et dixit : Vade, Daniel, quia clausi signatique sunt sermones usque ad temporis finem.

10. Eligentur, et dealbabuntur, et quasi per ignem probabuntur, et sanctificabuntur multi : et inique agent iniqui, neque intelligent omnes iniqui, et docti intelligent.

11. Et a tempore mutationis jugis sacrificii, et dabitur abominatio desolationis dies mille ducenti nonaginta.

12. Μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε.

13. Καὶ σὺ δεῦρο, καὶ ἀναπαύου. Ἔτι γὰρ ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν σου εἰς συντέλειαν ἡμερῶν.

(*Cap.* XIII.) 65. Καὶ ὁ βασιλεὺς Ἀστυάγης προςετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ παρέλαβε Κύρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ.

(*Cap.* XIV.) 1. Καὶ ἦν Δανιὴλ συμβιωτὴς τοῦ βασιλέως, καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ.

2. Καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις ᾧ ὄνομα Βὴλ, καὶ ἐδαπανῶντο εἰς αὐτὸν ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι δώδεκα καὶ πρόβατα τεσσαράκοντα καὶ οἴνου μετρηταὶ ἕξ.

3. Καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν, καὶ ἐπορεύετο καθ' ἑκάστην ἡμέραν προςκυνεῖν αὐτῷ. Δανιὴλ δὲ προσεκύνει τῷ Θεῷ αὐτοῦ. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Διατί σὺ προςκυνεῖς τῷ Βήλ;

4. Ὁ δὲ εἶπεν· Ὅτι οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ τὸν ζῶντα Θεὸν, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν.

5. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Οὐ δοκεῖ σοι Βὴλ εἶναι ζῶν θεός; Ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει καὶ πίνει καθ' ἑκάστην ἡμέραν;

6. Καὶ εἶπε Δανιὴλ γελάσας. Μὴ πλανῶ, βασιλεῦ· οὗτος γὰρ ἔσωθεν μέν ἐστι πηλὸς, ἔξωθεν δὲ χαλκὸς, καὶ οὐ βέβρωκεν οὐδέποτε.

7. Θυμωθεὶς δὲ βασιλεὺς ἐκάλεσε τοὺς ἱερεῖς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς· Ἐὰν μὴ εἴποιτέ μοι τίς ὁ κατέσθων τὴν δαπάνην ταύτην,

8. ἀποθανεῖσθε· ἐὰν δὲ δείξητε ὅτι Βὴλ κατεσθίει αὐτὰ, ὁ Δανιὴλ ἀποθανεῖται, ὅτι ἐβλασφήμησεν εἰς τὸν Βήλ. Καὶ εἶπε Δανιὴλ τῷ βασιλεῖ· Γινέσθω κατὰ τὸ ῥῆμά σου.

9. Καὶ ἦσαν ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα, ἐκτὸς γυναικῶν καὶ τέκνων. Καὶ ἦλθεν ὁ βασιλεὺς μετὰ Δανιὴλ εἰς τὸν οἶκον τοῦ Βήλ.

10. Καὶ εἶπαν οἱ ἱερεῖς τοῦ Βήλ· Ἰδοὺ ἡμεῖς ἀποτρέχομεν ἔξω, σὺ δὲ, βασιλεῦ, παράθες τὰ βρώματα, καὶ τὸν οἶνον κεράσας θὲς, καὶ ἀπόκλεισον τὴν θύραν, καὶ σφράγισον τῷ δακτυλίῳ σου.

11. Καὶ ἐλθὼν πρωΐ, ἐὰν μὴ εὕρῃς πάντα βεβρωμένα ὑπὸ τοῦ Βὴλ, ἀποθανούμεθα, ἢ Δανιὴλ ὁ ψευδόμενος καθ' ἡμῶν.

12. Αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν ὑπὸ τὴν τράπεζαν κεκρυμμένην εἴςοδον, καὶ δι' αὐτῆς εἰςεπορεύοντο διόλου, καὶ ἀνήλουν αὐτά.

13. Καὶ ἐγένετο, ὡς ἐξήλθοσαν ἐκεῖνοι, καὶ ὁ βασιλεὺς παρέθηκε τὰ βρώματα τῷ Βήλ· καὶ ἐπέταξε Δανιὴλ τοῖς παιδαρίοις αὐτοῦ, καὶ ἤνεγκαν τέφραν, καὶ κατέσεισαν ὅλον τὸν ναὸν ἐνώπιον τοῦ βασιλέως μόνου. Καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν, καὶ ἐσφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον.

14. Οἱ δὲ ἱερεῖς ἦλθον τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ κατέφαγον πάντα καὶ ἐξέπιον.

15. Καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωΐ, καὶ Δανιὴλ μετ' αὐτοῦ,

16. καὶ εἶπεν· Σῶοι αἱ σφραγίδες, Δανιήλ; ὁ δὲ εἶπε· Σῶαι, βασιλεῦ.

12. Beatus qui exspectat et pervenit ad dies mille trecentos triginta quinque.

13. Tu autem, Daniel, vade, et quiesce. Adhuc enim dies et horæ in completionem consummationis, et resurges in sorte tua in consummatione dierum.

(*Cap.* XIII.) 65. Et rex Astyages appositus est ad patres suos, et suscepit Cyrus Perses regnum ejus.

(*Cap.* XIV.) 1. Et erat Daniel conviva regis, et honoratus super omnes amicos ejus.

2. Erat autem idolum Babyloniis cui nomen Bel, et impendebantur in eo per singulos dies similæ artabæ duodecim et oves quadraginta et vini metretæ sex.

3. Et rex colebat eum, et ibat per singulos dies adorare eum. Porro Daniel adorabat Deum suum. Dixitque ei rex: Quare non adoras Bel?

4. At ille dixit: Quia non colo idola manufacta, sed viventem Deum, qui creavit cœlum et terram, et habet potestatem omnis carnis.

5. Et ait rex ad eum: Non videtur tibi Bel esse vivens deus? An non vides quanta comedat et bibat quotidie?

6. Et ait Daniel ridens: Ne erres, rex: iste enim est intrinsecus quidem lutum, forinsecus autem æreus, nec comedit aliquando.

7. Iratus autem rex vocavit sacerdotes ejus, et ait eis: Nisi dixeritis mihi quis est iste qui comedit impensas has,

8. moriemini: si autem ostenderitis quoniam Bel comedat hæc, morietur Daniel, quia blasphemavit in Bel. Et dixit Daniel regi: Fiat juxta verbum tuum.

9. Erant autem sacerdotes Bel septuaginta, exceptis uxoribus et filiis. Et venit rex cum Daniele in domum Belis.

10. Et dixerunt sacerdotes Belis: Ecce nos egredimur foras, tu autem, rex, appone escas, et vinum miscens pone, et claude ostium, et signa annulo tuo.

11. Et veniens mane, nisi inveneris omnia comesta a Bel, moriemur, vel Daniel qui mentitus est adversus nos.

12. Ipsi autem contemnebant, quia fecerant sub mensa absconditum introitum, et per illum ingrediebantur semper, et devorabant ea.

13. Factum est igitur, postquam egressi sunt illi, et rex posuit cibos ante Bel: præcepit Daniel pueris suis, et attulerunt cinerem, et decusserunt totum templum coram rege solo. Et egressi clauserunt ostium, et signaverunt annulo regis, et abierunt.

14. Sacerdotes autem venerunt nocte juxta consuetudinem suam, et uxores eorum, et filii eorum, et comederunt omnia et biberunt.

15. Surrexit autem rex primo diluculo, et Daniel cum eo,

16. et ait: Salvane sunt signacula, Daniel? At ille dixit: Salva, rex.

17. Καὶ ἐγένετο, ἅμα τῷ ἀνοῖξαι τὰς θύρας, ἐπιβλέψας ἐπὶ τὴν τράπεζαν ὁ βασιλεὺς ἐβόησε φωνῇ μεγάλῃ· Μέγας εἶ, Βὴλ, καὶ οὐκ ἔστι παρὰ σοὶ δόλος οὐδὲ εἷς.

18. Καὶ ἐγέλασε Δανιὴλ, καὶ ἐκράτησε τὸν βασιλέα, τοῦ μὴ εἰςελθεῖν αὐτὸν ἔσω, καὶ εἶπεν· Ἴδε δὴ τὸ ἔδαφος, καὶ γνῶθι τίνος τὰ ἴχνη ταῦτα.

19. Καὶ εἶπεν ὁ βασιλεύς· Ὁρῶ τὰ ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων. Καὶ ὀργισθεὶς ὁ βασιλεὺς

20. τότε συνέβαλε τοὺς ἱερεῖς, καὶ τὰς γυναῖκας, καὶ τὰ τέκνα αὐτῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας δι' ὧν εἰςεπορεύοντο, καὶ ἐδαπάνων τὰ ἐπὶ τῆς τραπέζης.

21. Καὶ ἀπέκτεινεν αὐτοὺς ὁ βασιλεὺς, καὶ ἔδωκε τὸν Βὴλ ἔκδοτον τῷ Δανιὴλ, καὶ κατέστρεψεν αὐτὸν καὶ τὸ ἱερὸν αὐτοῦ.

22. Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι.

23. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλκοῦς ἐστιν; Ἰδοὺ ζῇ, καὶ ἐσθίει, καὶ πίνει· οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν οὗτος θεὸς ζῶν· καὶ προςκύνησον αὐτῷ.

24. Καὶ εἶπε Δανιήλ· Κυρίῳ τῷ Θεῷ μου προςκυνήσω, ὅτι οὗτός ἐστι Θεὸς ζῶν.

25. Σὺ δὲ, βασιλεῦ, δός μοι ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα ἄνευ μαχαίρας καὶ ῥάβδου. Καὶ εἶπεν ὁ βασιλεύς· Δίδωμί σοι.

26. Καὶ ἔλαβεν ὁ Δανιὴλ πίσσαν καὶ στέαρ καὶ τρίχας, καὶ ἥψησεν ἐπιτοαυτό, καὶ ἐποίησε μάζας, καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος, καὶ φαγὼν διεῤῥάγη ὁ δράκων. Καὶ εἶπεν· Ἴδετε τὰ σεβάσματα ὑμῶν.

27. Καὶ ἐγένετο, ὡς ἤκουσαν οἱ Βαβυλώνιοι, ἠγανάκτησαν λίαν καὶ συνεστράφησαν ἐπὶ τὸν βασιλέα, καὶ εἶπαν· Ἰουδαῖος γέγονεν ὁ βασιλεὺς, τὸν Βὴλ κατέσπασε καὶ τὸν δράκοντα ἀπέκτεινε, καὶ τοὺς ἱερεῖς κατέσφαξε.

28. Καὶ εἶπαν ἐλθόντες πρὸς βασιλέα· Παράδος ἡμῖν τὸν Δανιὴλ, εἰ δὲ μὴ, ἀποκτενοῦμέν σε καὶ τὸν οἶκόν σου.

29. Καὶ εἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα, καὶ ἀναγκασθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ.

30. Οἱ δὲ ἔβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ.

31. Ἦσαν δὲ ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες; καὶ ἐδίδοτο αὐτοῖς τὴν ἡμέραν δύο σώματα καὶ δύο πρόβατα. Τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα καταφάγωσι τὸν Δανιήλ.

32. Καὶ ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα, καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην, καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς.

33. Καὶ εἶπεν ὁ ἄγγελος Κυρίου τῷ Ἀμβακούμ· Ἀπένεγκε τὸ ἄριστον ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων.

34. Καὶ εἶπεν Ἀμβακούμ· Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα, καὶ τὸν λάκκον οὐ γινώσκω.

35. Καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου, ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ.

17. Et factum est, simul atque aperuisset ostia, aspiciens rex super mensam exclamavit voce magna: Magnus es, Bel, et non est apud te ullus dolus.

18. Et risit Daniel, et tenuit regem, ne ingrederetur intro, et dixit: Vide nunc pavimentum, et animadverte cujus vestigia sunt hæc.

19. Et dixit rex: Video vestigia virorum et mulierum et parvulorum. Et iratus rex

20. tunc apprehendit sacerdotes, et uxores, et filios eorum, et ostenderunt ei abscondita ostia per quæ ingrediebantur, et consumebant quæ erant super mensam.

21. Occidit ergo illos rex, et tradidit Bel in potestatem Danielis, qui subvertit eum et templum ejus.

22. Et erat draco magnus, et colebant illum Babylonii.

23. Et dixit rex Danieli: Numquid et hunc dices æreum esse? Ecce vivit, et comedit, et bibit: non potes dicere quia iste non sit deus vivens: adora ergo eum.

24. Dixitque Daniel: Dominum Deum meum adorabo, quia ipse est Deus vivens.

25. Tu autem, rex, da mihi potestatem, et interficiam draconem absque gladio et fuste. Et ait rex: Do tibi.

26. Tulit ergo Daniel picem et adipem et pilos, et coxit pariter, fecitque massas, et dedit in os draconis, et comedens diruptus est draco. Et dixit: Videte ea quæ vos colitis.

27. Et factum est, ut audierunt Babylonii, indignati sunt vehementer et congregati adversus regem dixerunt: Judæus factus est rex, Bel destruxit et draconem interfecit, et sacerdotes occidit.

28. Et dixerunt cum venissent ad regem: Trade nobis Danielem, alioquin interficiemus te et domum tuam.

29. Vidit ergo rex quod irruerent in eum vehementer, et necessitate compulsus rex tradidit eis Danielem.

30. Qui miserunt eum in lacum leonum, et erat ibi diebus sex.

31. Porro in lacu erant leones septem, et dabantur eis duo corpora quotidie et duæ oves. Tunc autem non sunt data eis, ut devorarent Danielem.

32. Erat autem Ambacum propheta in Judæa, et ipse coxerat pulmentum, et intriverat panes in alveolo, et ibat in campum ut ferret messoribus.

33. Dixitque angelus Domini ad Ambacum: Fer prandium quod habes in Babylonem Danieli in lacum leonum.

34. Et dixit Ambacum: Domine, Babylonem non vidi, et lacum nescio.

35. Et apprehendit angelus Domini verticem ejus, et portans capillo capitis ejus posuit eum in Babylonem super lacum, in impetu spiritus sui.

36. Καὶ ἐβόησεν Ἀμβακοὺμ, λέγων· Δανιὴλ, Δανιὴλ, λάβε τὸ ἄριστον ὃ ἀπέστειλέ σοι ὁ Θεός.
37. Καὶ εἶπε Δανιήλ· Ἐμνήσθης γάρ μου, ὁ Θεὸς, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε.
38. Καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν. Ὁ δὲ ἄγγελος τοῦ Θεοῦ ἀπεκατέστησε τὸν Ἀμβακοὺμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ.
39. Ὁ δὲ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι τὸν Δανιὴλ, καὶ ἦλθεν ἐπὶ τὸν λάκκον, καὶ ἐνέβλεψε· καὶ ἰδοὺ Δανιὴλ καθήμενος.
40. Καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπε· Μέγας εἶ, Κύριε ὁ Θεὸς τοῦ Δανιὴλ, καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ.
41. Καὶ ἔσπασεν αὐτόν· τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον, καὶ κατεβρώθησαν παραχρῆμα ἐνώπιον αὐτοῦ.

36. Et clamavit Ambacum, dicens : Daniel, Daniel, tolle prandium quod misit tibi Deus.
37. Et ait Daniel : Recordatus es quippe mei, Deus, et non dereliquisti diligentes te.
38. Surgensque Daniel comedit. Porro angelus Dei restituit Ambacum confestim in locum ejus.
39. Rex autem venit die septimo ut lugeret Danielem, et venit ad lacum, et introspexit : et ecce Daniel sedens.
40. Et exclamans voce magna dixit : Magnus es, Domine Deus Danielis, et non est alius præter te.
41. Et extraxit eum : porro illos qui perditionis ejus causa fuerant intromisit in lacum, et devorati sunt in momento coram eo.

ΜΑΚΚΑΒΑΙΩΝ

ΠΡΩΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Καὶ ἐγένετο, μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν Μακεδόνα, ὃς ἐξῆλθεν ἐκ τῆς γῆς Χεττιεὶμ, καὶ ἐπάταξε τὸν Δαρεῖον βασιλέα Περσῶν καὶ Μήδων, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ πρότερος ἐπὶ τὴν Ἑλλάδα·
2. καὶ συνεστήσατο πολέμους πολλοὺς, καὶ ἐκράτησεν ὀχυρωμάτων πολλῶν, καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς.
3. Καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς, καὶ ἔλαβε σκῦλα πλήθους ἐθνῶν. Καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ. Καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ·
4. καὶ συνήγαγε δύναμιν ἰσχυρὰν σφόδρα,
5. καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον.
6. Καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἔγνω ὅτι ἀποθνήσκει.
7. Καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ τοὺς ἐνδόξους τοὺς συντρόφους αὐτοῦ ἀπὸ νεότητος, καὶ διεῖλεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ.
8. Καὶ ἐβασίλευσεν Ἀλέξανδρος ἔτη δώδεκα, καὶ ἀπέθανε.
9. Καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ.
10. Καὶ ἐπέθεντο πάντες διαδήματα μετὰ τὸ ἀποθανεῖν αὐτὸν, καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐτῶν ἔτη πολλὰ, καὶ ἐπλήθυναν κακὰ ἐν τῇ γῇ.
11. Καὶ ἐξῆλθεν ἐξ αὐτῶν ῥίζα ἁμαρτωλὸς, Ἀντίοχος Ἐπιφανὴς, υἱὸς Ἀντιόχου βασιλέως, ὃς ἦν ὅμηρα ἐν τῇ Ῥώμῃ· καὶ ἐβασίλευσεν ἐν ἔτει ἑκατοστῷ καὶ τριακοστῷ καὶ ἑβδόμῳ βασιλείας Ἑλλήνων.
12. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθον ἐξ Ἰσραὴλ

MACCABÆORUM

PRIMUS.

CAPUT I.

1. Et factum est, postquam percussit Alexander Philippi Macedo, qui egressus est de terra Cheltiim, et percussit Darium regem Persarum et Medorum, et regnavit pro eo primus in Græcia :
2. et constituit prælia multa, et obtinuit munitiones multas, et interfecit reges terræ.
3. Et pertransiit usque ad fines terræ, et accepit spolia multitudinis gentium. Et siluit terra in conspectu ejus. Et exaltatum est, et elevatum cor ejus :
4. et congregavit virtutem fortem valde,
5. et obtinuit regiones et gentes et tyrannos, et facti sunt illi in tributum.
6. Et post hæc decidit in lectum, et cognovit quia moritur.
7. Et vocavit pueros suos nobiles qui secum erant nutriti a juventute, et divisit illis regnum suum cum adhuc viveret.
8. Et regnavit Alexander annis duodecim, et mortuus est.
9. Et obtinuerunt pueri ejus regnum unusquisque in loco suo.
10. Et imposuerunt omnes sibi diademata post mortem ejus, et filii eorum post eos annis multis, et multiplicata sunt mala in terra.
11. Et exiit ex eis radix peccatrix, Antiochus illustris, filius Antiochi regis, qui fuerat obses Romæ : et regnavit in anno centesimo trigesimo septimo regni Græcorum.
12. In diebus illis exierunt ex Israel filii iniqui, et sua-

υἱοὶ παράνομοι, καὶ ἀνέπεισαν πολλοὺς, λέγοντες· Πορευθῶμεν, καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ' ἧς ἐχωρίσθημεν ἀπ' αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά.

13. Καὶ ἠγαθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν.

14. Καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ λαοῦ, καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα· καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν ποιῆσαι τὰ δικαιώματα τῶν ἐθνῶν.

15. Καὶ ᾠκοδόμησαν γυμνάσιον ἐν Ἱεροσολύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν·

16. καὶ ἐποίησαν ἑαυτοῖς ἀκροβυστίας, καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας, καὶ ἐζευγίσθησαν τοῖς ἔθνεσι, καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν.

17. Καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐναντίον Ἀντιόχου· καὶ ὑπέλαβε βασιλεῦσαι τῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βασιλείας.

18. Καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ, ἐν ἅρμασι, καὶ ἐν ἐλέφασι, καὶ ἐν ἱππεῦσι, καὶ ἐν στόλῳ μεγάλῳ.

19. Καὶ συνεστήσαντο πόλεμον πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου· καὶ ἐνετράπη Πτολεμαῖος ἀπὸ προσώπου αὐτοῦ, καὶ ἔφυγε· καὶ ἔπεσον τραυματίαι πολλοί.

20. Καὶ κατελάβοντο τὰς πόλεις τὰς ὀχυρὰς ἐν γῇ Αἰγύπτῳ· καὶ ἔλαβε τὰ σκῦλα γῆς Αἰγύπτου.

21. Καὶ ἐπέστρεψεν Ἀντίοχος, μετὰ τὸ πατάξαι Αἴγυπτον, ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ ἔτει. Καὶ ἀνέβη ἐπὶ Ἰσραὴλ,

22. καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ.

23. Καὶ εἰσῆλθεν εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανείᾳ, καὶ ἔλαβε τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ τὴν λυχνίαν τοῦ φωτὸς, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν τράπεζαν τῆς προθέσεως, καὶ τὰ σπονδεῖα, καὶ τὰς φιάλας, καὶ τὰς θυΐσκας τὰς χρυσᾶς, καὶ τὸ καταπέτασμα, καὶ τοὺς στεφάνους, καὶ τὸν κόσμον τὸν χρυσοῦν τὸν κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ ἐλέπισε πάντα.

24. Καὶ ἔλαβε τὸ ἀργύριον, καὶ τὸ χρυσίον, καὶ τὰ σκεύη τὰ ἐπιθυμητὰ, καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἀποκρύφους οὓς εὗρε. Καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

25. Καὶ ἐποίησε φονοκτονίαν, καὶ ἐλάλησεν ὑπερηφανείαν μεγάλην.

26. Καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραὴλ ἐν παντὶ τόπῳ αὐτῶν.

27. Καὶ ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι, παρθένοι καὶ νεανίσκοι ἠσθένησαν, καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη.

28. Πᾶς νυμφίος ἀνέλαβε θρῆνον, καὶ καθημένη ἐν παστῷ ἐγένετο ἐν πένθει.

29. Καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν, καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐνεδύσατο αἰσχύνην.

30. Καὶ μετὰ δύο ἔτη ἡμερῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορολογίας εἰς τὰς πόλεις Ἰούδα, καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ.

31. Καὶ ἐλάλησεν αὐτοῖς λόγους εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐνεπίστευσαν αὐτῷ.

32. Καὶ ἐπέπεσεν ἐπὶ τὴν πόλιν ἐξάπινα, καὶ ἐπάταξεν αὐτὴν πληγὴν μεγάλην, καὶ ἀπώλεσε λαὸν πολὺν ἐξ Ἰσραήλ.

serunt multis, dicentes : Eamus, et disponamus testamentum cum gentibus quæ circa nos sunt, quia ex quo recessimus ab eis, invenerunt nos mala multa.

13. Et bonus est visus sermo in oculis eorum.

14. Et destinaverunt quidam de populo, et abierunt ad regem : et dedit illis potestatem faciendi justitias gentium.

15. Et ædificaverunt gymnasium in Jerosolymis secundum leges nationum :

16. et fecerunt sibi præputia, et recesserunt a testamento sancto, et juncti sunt nationibus, et venumdati sunt ut facerent malum.

17. Et paratum est regnum in conspectu Antiochi : et consilium cepit regnare in Ægypto, ut regnaret super duo regna.

18. Et intravit in Ægyptum in multitudine gravi, in curribus, et elephantis, et equitibus, et in classe magna.

19. Et constituit bellum adversus Ptolemæum regem Ægypti : et veritus est Ptolemæus a facie ejus, et fugit : et ceciderunt vulnerati multi.

20. Et comprehenderunt civitates munitas in terra Ægypti : et accepit spolia terræ Ægypti.

21. Et convertit Antiochus, postquam percussit Ægyptum, in centesimo et quadragesimo et tertio anno. Et ascendit ad Israel,

22. et ascendit in Jerusalem in multitudine gravi.

23. Et intravit in sanctificationem cum superbia, et accepit altare aureum, et candelabrum luminis, universa vasa ejus, et mensam propositionis, et libatoria, et phialas, et mortariola aurea, et velum, et coronas, et ornamentum aureum quod in facie templi erat, et comminuit omnia.

24. Et accepit argentum, et aurum, et vasa concupiscibilia, et accepit thesauros occultos quos invenit. Et sublatis omnibus abiit in terram suam.

25. Et fecit cædem hominum, et locutus est superbiam magnam.

26. Et factus est planctus magnus in Israel in omni loco eorum.

27. Et ingemuerunt principes et seniores, virgines et juvenes infirmati sunt, et speciositas mulierum immutata est.

28. Omnis sponsus sumpsit lamentum, et quæ sedebat in toro maritali lugebat.

29. Et commota est terra super habitantes in ea, et universa domus Jacob induit confusionem.

30. Et post duos annos dierum misit rex principem tributorum in civitates Juda, et venit Jerusalem cum turba magna.

31. Et locutus est ad eos verba pacifica in dolo, et crediderunt ei.

32. Et irruit super civitatem repente, et percussit eam plaga magna, et perdidit populum multum ex Israel.

33. Καὶ ἔλαβε τὰ σκῦλα τῆς πόλεως, καὶ ἐνεπύρισεν αὐτὴν πυρὶ, καὶ καθεῖλε τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη αὐτῆς κύκλῳ.

34. Καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας καὶ τὰ τέκνα, καὶ τὰ κτήνη ἐκληρονόμησαν.

35. Καὶ ᾠκοδόμησαν τὴν πόλιν Δαυὶδ τείχει μεγάλῳ καὶ ἰσχυρῷ, πύργοις ὀχυροῖς, καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν.

36. Καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλὸν, ἄνδρας παρανόμους, καὶ ἐνίσχυσαν ἐν αὐτῇ. Καὶ παρέθεντο ὅπλα καὶ τροφὰς, καὶ συναγαγόντες τὰ σκῦλα Ἱερουσαλὴμ

37. ἀπέθεντο ἐκεῖ, καὶ ἐγένοντο εἰς μεγάλην παγίδα.

38. Καὶ ἐγένετο εἰς ἔνεδρον τῷ ἁγιάσματι, καὶ εἰς διάβολον πονηρὸν τῷ Ἰσραὴλ διαπαντός.

39. Καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματος, καὶ ἐμόλυναν τὸ ἁγίασμα.

40. Καὶ ἔφυγον οἱ κάτοικοι Ἱερουσαλὴμ δι' αὐτοὺς, καὶ ἐγένετο κατοικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία τοῖς γεννήμασιν αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτήν.

41. Τὸ ἁγίασμα αὐτῆς ἠρημώθη ὡς ἔρημος, αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς πένθος, τὰ σάββατα αὐτῆς εἰς ὀνειδισμὸν, ἡ τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν.

42. Κατὰ τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἡ ἀτιμία αὐτῆς, καὶ τὸ ὕψος αὐτῆς ἐστράφη εἰς πένθος.

43. Καὶ ἔγραψεν ὁ βασιλεὺς Ἀντίοχος πάσῃ τῇ βασιλείᾳ αὐτοῦ εἶναι πάντας λαὸν ἕνα, καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νόμιμα αὐτοῦ.

44. Καὶ ἐπεδέξατο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ βασιλέως.

45. Καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ, καὶ ἔθυσαν τοῖς εἰδώλοις, καὶ ἐβεβήλωσαν τὸ σάββατον.

46. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς βιβλία ἐν χειρὶ ἀγγέλων εἰς Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, πορευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων τῆς γῆς,

47. καὶ κωλῦσαι ὁλοκαυτώματα καὶ θυσίαν καὶ σπονδὴν ἐκ τοῦ ἁγιάσματος,

48. καὶ βεβηλῶσαι σάββατα καὶ ἑορτὰς,

49. καὶ μιᾶναι ἁγίασμα καὶ ἁγίους,

50. οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη, καὶ εἰδωλεῖα, καὶ θύειν ὕεια, καὶ κτήνη κοινὰ,

51. καὶ ἀφιέναι τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους, βδελύξαι τὰς ψυχὰς αὐτῶν ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει, ὥστε ἐπιλαθέσθαι τοῦ νόμου, καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα.

52. Καὶ ὃς ἂν μὴ ποιήσῃ κατὰ τὸ ῥῆμα τοῦ βασιλέως, ἀποθανεῖται.

53. Κατὰ πάντας τοὺς λόγους τούτους ἔγραψε πάσῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα τὸν λαόν.

54. Καὶ ἐνετείλατο ταῖς πόλεσιν Ἰούδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν.

55. Καὶ συνηθροίσθησαν ἀπὸ τοῦ λαοῦ πρὸς αὐτοὺς πολλοὶ, πᾶς ὁ ἐγκαταλιπὼν τὸν νόμον. Καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ,

56. καὶ ἔθεντο τὸν Ἰσραὴλ ἐν κρύφοις ἐν παντὶ φυγαδευτηρίῳ αὐτῶν.

57. Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ χασελεῦ, τῷ

33. Et accepit spolia civitatis, et succendit eam igni, et destruxit domos ejus et muros ejus in circuitu.

34. Et captivas fecerunt mulieres et natos, et pecora possederunt.

35. Et ædificaverunt civitatem David muro magno et firmo, turribus firmis, et facta est illis in arcem.

36. Et posuerunt illic gentem peccatricem, viros iniquos, et convaluerunt in ea. Et posuerunt arma et escas, et congregaverunt spolia Jerusalem

37. et reposuerunt illic, et facti sunt in laqueum magnum.

38. Et factum est hoc ad insidias sanctificationis, et in diabolum malum Israeli semper.

39. Et effuderunt sanguinem innocentem per circuitum sanctificationis, et contaminaverunt sanctificationem.

40. Et fugerunt habitatores Jerusalem propter eos, et facta est habitatio exterorum : et facta est extera geniminibus suis, et nati ejus reliquerunt eam.

41. Sanctificatio ejus desolata est sicut solitudo, dies festi ejus conversi sunt in luctum, sabbata ejus in opprobrium, honor ejus in nihilum.

42. Secundum gloriam ejus multiplicata est ignominia ejus, et sublimitas ejus conversa est in luctum.

43. Et scripsit rex Antiochus omni regno suo ut essent omnes populus unus, et relinqueret unusquisque leges suas.

44. Et consenserunt omnes gentes secundum verbum regis.

45. Et multi ex Israel consenserunt religioni ejus, et sacrificaverunt idolis, et coinquinaverunt sabbatum.

46. Et misit rex libros per manum nuntiorum in Jerusalem et civitates Juda, ut sequerentur leges exterorum terræ,

47. et prohiberent holocausta et sacrificium et libationem ex sanctificatione,

48. et coinquinarent sabbata et dies solemnes,

49. et polluerent sanctificationem et sanctos,

50. ædificarent aras et templa, et idolia, et immolarent suilla, et pecora communia,

51. et relinquerent filios suos incircumcisos, coinquinarent animas eorum in omni immunditia et abominatione, ita ut obliviscerentur legem, et immutarent omnes justificationes.

52. Et quicumque non fecerit secundum verbum regis, morietur.

53. Secundum omnia verba hæc scripsit omni regno suo, et fecit visitatores super omnem populum.

54. Et jussit civitatibus Juda sacrificare per civitatem et civitatem.

55. Et congregati sunt de populo ad eos multi, omnis qui dereliquerat legem. Et fecerunt mala super terram,

56. et posuerunt Israel in abditis in omni confugio eorum.

57. Et die quintadecima casleu, quinto et quadragesimo

πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει, ᾠκοδόμησαν βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐν πόλεσιν Ἰούδα κύκλῳ ᾠκοδόμησαν βωμούς.

58. Καὶ ἐπὶ τῶν θυρῶν τῶν οἰκιῶν, καὶ ἐν ταῖς πλατείαις ἐθυμίων.

59. Καὶ τὰ βιβλία τοῦ νόμου ἃ εὗρον ἐνεπύρισαν πυρὶ, κατασχίσαντες.

60. Καὶ ὅπου εὑρίσκετο παρά τινι βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐτόν.

61. Ἐν ἰσχύϊ αὐτῶν ἐποίουν οὕτως τῷ Ἰσραὴλ, τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσι.

62. Καὶ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμὸν ὃς ἦν ἐπὶ τοῦ θυσιαστηρίου.

63. Καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ τέκνα αὐτῶν ἐθανάτωσαν κατὰ τὸ πρόσταγμα.

64. Καὶ ἐκρέμασαν τὰ βρέφη ἐκ τῶν τραχήλων αὐτῶν, καὶ τοὺς οἴκους αὐτῶν προενόμευσαν, καὶ τοὺς περιτετμηκότας αὐτοὺς ἐθανάτωσαν.

65. Καὶ πολλοὶ ἐν Ἰσραὴλ ἐκραταιώθησαν, καὶ ὠχυρώθησαν ἐν ἑαυτοῖς τοῦ μὴ φαγεῖν κοινά· καὶ ἐπελέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσι τοῖς βρώμασι,

66. καὶ μὴ βεβηλώσωσι διαθήκην ἁγίαν, καὶ ἀπέθανον·

67. καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθίας Ἰωάννου τοῦ Συμεὼν, ἱερεὺς τῶν υἱῶν Ἰωαρὶβ ἀπὸ Ἱερουσαλὴμ, καὶ ἐκάθισεν ἐν Μωδεΐν.

2. Καὶ αὐτῷ υἱοὶ πέντε· Ἰωαννὰν ὁ ἐπικαλούμενος Καδδὶς,

3. Σίμων ὁ καλούμενος Θασσὶ,

4. Ἰούδας ὁ ἐπικαλούμενος Μακκαβαῖος,

5. Ἐλεάζαρ ὁ ἐπικαλούμενος Αὐαρὰν, Ἰωνάθαν ὁ ἐπικαλούμενος Ἀπφοῦς.

6. Καὶ εἶδε τὰς βλασφημίας τὰς γινομένας ἐν Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ,

7. καὶ εἶπεν· Οἴμοι, ἱνατί τοῦτο ἐγεννήθην ἰδεῖν τὸ σύντριμμα τοῦ λαοῦ μου, καὶ τὸ σύντριμμα τῆς πόλεως τῆς ἁγίας, καὶ καθίσαι ἐκεῖ ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν,

8. καὶ τὸ ἁγίασμα ἐν χειρὶ ἀλλοτρίων; Ἐγένετο ὁ ναὸς αὐτῆς ὡς ἀνὴρ ἄδοξος,

9. τὰ σκεύη τῆς δόξης αὐτῆς αἰχμάλωτα ἀπήχθη· ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλατείαις, οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ.

10. Ποῖον ἔθνος οὐκ ἐκληρονόμησε βασιλείαν αὐτῆς, καὶ οὐκ ἐκράτησε τῶν σκύλων αὐτῆς;

11. Πᾶς ὁ κόσμος αὐτῆς ἀφῃρέθη· ἀντὶ ἐλευθέρας ἐγένετο εἰς δούλην.

12. Καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν καὶ ἡ καλλονὴ ἡμῶν καὶ ἡ δόξα ἡμῶν ἠρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη.

13. Ἱνατί ἡμῖν ἔτι ζῆν;

14. Καὶ διέῤῥηξε Ματταθίας καὶ υἱοὶ αὐτοῦ τὰ ἱμάτια αὐτῶν, καὶ περιεβάλοντο σάκκους, καὶ ἐπένθησαν σφόδρα.

et centesimo anno, ædificaverunt abominationem desolationis super altare : et in civitatibus Juda in circuitu ædificaverunt aras.

58. Et ante januas domorum, et in plateis incendebant thura.

59. Et libros legis quos invenerunt combusserunt igni, scindentes eos.

60. Et apud quemcumque inveniebatur liber testamenti, et si quis consentiebat legi, edictum regis occidebat illum.

61. In virtute sua faciebant sic Israel, his qui inveniebantur in omni mense et mense in civitatibus.

62. Et quinta et vigesima mensis sacrificabant super aram quæ erat super altare.

63. Et mulieres quæ circumcidebant filios suos trucidabant juxta edictum.

64. Et suspendebant pueros a cervicibus ipsarum, et domos eorum diripiebant, et eos qui circumciderant illos trucidabant.

65. Et multi in Israel confirmarunt se, et munierunt in seipsis ut non manducarent communia : et elegerunt magis mori, ut non coinquinarentur cibis,

66. et non pollucrent testamentum sanctum, et mortui sunt :

67. et facta est ira magna super Israel valde.

CAPUT II.

1. In diebus illis surrexit Mattathias filius Joannis filii Symeonis, sacerdos ex filiis Joarib ab Jerusalem, et consedit in Modin.

2. Et habebat filios quinque : Joannem qui cognominabatur Caddis,

3. Simonem qui vocabatur Thassi,

4. Judam qui cognominabatur Maccabæus,

5. Eleazarum qui cognominabatur Avaran, Jonathan qui cognominabatur Apphus.

6. Et vidit blasphemias quæ fiebant in Juda et in Jerusalem,

7. et dixit : Væ mihi! ut quid natus sum videre contritionem populi mei, et contritionem civitatis sanctæ, et sedere illic cum datur in manu inimicorum,

8. et sanctuarium in manu extraneorum? Factum est templum ejus sicut homo ignobilis,

9. vasa gloriæ ejus captiva abducta sunt : trucidati sunt infantes ejus in plateis, juvenes ejus in gladio inimici.

10. Quæ gens non hæreditavit regnum ejus, et non obtinuit spolia ejus?

11. Omnis compositio ejus ablata est : quæ erat libera facta est ancilla.

12. Et ecce sancta nostra et pulchritudo nostra et claritas nostra desolata est, et coinquinaverunt ea gentes.

13. Quo ergo nobis adhuc vivere?

14. Et scidit vestimenta sua Mattathias et filii ejus, et operuerunt se ciliciis, et planxerunt valde.

15 Καὶ ἦλθον οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀποστασίαν, εἰς Μωδεῒν τὴν πόλιν, ἵνα θυσιάσωσι.

16. Καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ πρὸς αὐτοὺς προςῆλθον. Καὶ Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ συνήχθησαν.

17. Καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως, καὶ εἶπον τῷ Ματταθίᾳ, λέγοντες· Ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ ἐν τῇ πόλει ταύτῃ, καὶ ἐστηριγμένος ἐν υἱοῖς καὶ ἀδελφοῖς·

18. νῦν οὖν πρόςελθε πρῶτος, καὶ ποίησον τὸ πρόςταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα τὰ ἔθνη, καὶ οἱ ἄνδρες Ἰούδα, καὶ οἱ καταλειφθέντες ἐν Ἱερουσαλήμ. Καὶ ἔσῃ σὺ καὶ ὁ οἶκός σου τῶν φίλων τοῦ βασιλέως· καὶ σὺ καὶ οἱ υἱοί σου δοξασθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποστολαῖς πολλαῖς.

19. Καὶ ἀπεκρίθη Ματταθίας, καὶ εἶπε φωνῇ μεγάλῃ· Εἰ πάντα τὰ ἔθνη τὰ ἐν οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ, ἀποστῆναι ἕκαστος ἀπὸ λατρείας πατέρων αὐτοῦ, καὶ ἡρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ,

20. ἀλλ' ἐγὼ καὶ οἱ υἱοί μου καὶ οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν.

21. Ἵλεως ἡμῖν καταλιπεῖν νόμον καὶ δικαιώματα.

22. Τῶν λόγων τοῦ βασιλέως οὐκ ἀκουσόμεθα, τοῦ παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν ἢ ἀριστεράν.

23. Καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προςῆλθεν ἀνὴρ Ἰουδαῖος ἐν ὀφθαλμοῖς πάντων θυσιᾶσαι ἐπὶ τοῦ βωμοῦ τοῦ ἐν Μωδεῒν κατὰ τὸ πρόςταγμα τοῦ βασιλέως.

24. Καὶ εἶδε Ματταθίας καὶ ἐζήλωσε, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ, καὶ ἀνήνεγκε θυμὸν κατὰ τὸ κρίμα, καὶ δραμὼν ἔσφαξεν αὐτὸν ἐπὶ τὸν βωμόν.

25. Καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν ἀπέκτεινεν ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ τὸν βωμὸν καθεῖλε.

26. Καὶ ἐζήλωσε τῷ νόμῳ καθὼς ἐποίησε Φινεὲς τῷ Ζαμβρὶ υἱῷ Σαλώμ.

27. Καὶ ἀνέκραξε Ματταθίας ἐν τῇ πόλει φωνῇ μεγάλῃ, λέγων· Πᾶς ὁ ζηλῶν τῷ νόμῳ καὶ ἱστῶν διαθήκην ἐξελθέτω ὀπίσω μου.

28. Καὶ ἔφυγον αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ εἰς τὰ ὄρη, καὶ ἐγκατέλιπον ὅσα εἶχον ἐν τῇ πόλει.

29. Τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαιοσύνην καὶ κρίμα, εἰς τὴν ἔρημον,

30. καθίσαι ἐκεῖ, αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐπληθύνθη ἐπ' αὐτοὺς τὰ κακά.

31. Καὶ ἀνηγγέλη τοῖς ἀνδράσι τοῦ βασιλέως καὶ ταῖς δυνάμεσιν αἳ ἦσαν ἐν Ἱερουσαλὴμ πόλει Δαυὶδ, ὅτι κατέβησαν ἄνδρες, οἵτινες διεσκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως, εἰς τοὺς κρύφους ἐν τῇ ἐρήμῳ· καὶ ἔδραμον ὀπίσω αὐτῶν πολλοί.

32. Καὶ καταλαβόντες αὐτοὺς παρενέβαλον ἐπ' αὐτοὺς, καὶ συνεστήσαντο πρὸς αὐτοὺς πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων,

33. καὶ εἶπον πρὸς αὐτούς· Ἕως τοῦ νῦν ἱκανόν· ἐξέλθετε καὶ ποιήσατε κατὰ τὸν λόγον τοῦ βασιλέως, καὶ ζήσεσθε.

34. Καὶ εἶπον· Οὐκ ἐξελευσόμεθα, οὐδὲ ποιήσομεν τὸν λόγον τοῦ βασιλέως, τοῦ βεβηλῶσαι τὴν ἡμέραν τῶν σαββάτων.

15. Et venerunt qui missi erant a rege qui cogebant ad apostasiam, in Modin civitatem, ut sacrificarent.

16. Et multi de Israel accesserunt ad eos. Et Mattathias et filii ejus congregati sunt.

17. Et responderunt qui missi erant a rege, et dixerunt Mattathiæ, dicentes : Princeps et clarissimus et magnus es in civitate hac, et confirmatus in filiis et fratribus :

18. nunc ergo accede primus, et fac jussum regis, sicut fecerunt omnes gentes, et viri Juda, et qui remanserunt in Jerusalem. Et eris tu et domus tua inter amicos regis : et tu et filii tui glorificabimini argento et auro et muneribus multis.

19. Et respondit Mattathias, et dixit magna voce : Etsi omnes gentes quæ sunt in domo regni regis obediunt ei, ut discedat unusquisque a servitute legis patrum suorum, et consenserunt mandatis ejus,

20. attamen ego et filii mei et fratres mei ambulabimus in testamento patrum nostrorum.

21. Propitius sit nobis relinquere legem et justificationes.

22. Non audiemus verba regis, transgredientes religionem nostram in dexteram vel in sinistram.

23. Et ut cessavit loqui verba hæc, accessit vir Judæus in oculis omnium sacrificare super aram quæ in Modin secundum jussum regis.

24. Et vidit Mattathias et zelavit, et contremuerunt renes ejus, et affectus est furore secundum judicium, et currens jugulavit eum super aram.

25. Et virum regis qui cogebat immolare occidit in tempore illo, et aram destruxit.

26. Et zelatus est legem sicut fecit Phinees Zambri filio Salom.

27. Et exclamavit Mattathias in civitate voce magna, dicens : Omnis qui zelum habet legis et statuit testamentum exeat post me.

28. Et fugerunt ipse et filii ejus in montes, et reliquerunt quæcumque habebant in civitate.

29. Tunc descenderunt multi quærentes justitiam et judicium, in desertum,

30. sedentes ibi, ipsi et filii eorum et mulieres eorum et pecora eorum, quoniam inundaverunt super eos mala.

31. Et renuntiatum est viris regis et exercitibus qui erant in Jerusalem civitate David, quoniam descenderunt viri quidam, qui dissipaverant mandatum regis, in loca occulta in deserto : et cucurrerunt post eos multi.

32. Et asseculi eos castrametati sunt super eos, et constituerunt adversus eos prælium in die sabbatorum,

33. et dixerunt ad eos : Usque nunc sufficiat : exite et facite secundum verbum regis, et vivetis.

34. Et dixerunt : Non exibimus, neque faciemus verbum regis, ut polluamus diem sabbatorum.

35. Καὶ ἐτάχυναν ἐπ' αὐτοὺς πόλεμον.

36. Καὶ οὐκ ἀπεκρίθησαν αὐτοῖς, οὐδὲ λίθον ἐνετίναξαν αὐτοῖς, οὐδὲ ἐνέφραξαν τοὺς κρύφους,

37. λέγοντες· Ἀποθάνωμεν πάντες ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ οὐρανὸς καὶ ἡ γῆ ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς.

38. Καὶ ἀνέστησαν ἐπ' αὐτοὺς ἐν τῷ πολέμῳ τοῖς σάββασι, καὶ ἀπέθανον αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ἕως χιλίων ψυχῶν ἀνθρώπων.

39. Καὶ ἔγνω Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, καὶ ἐπένθησαν ἐπ' αὐτοὺς ἕως σφόδρα.

40. Καὶ εἶπεν ἀνὴρ τῷ πλησίον αὐτοῦ· Ἐὰν πάντες ποιήσωμεν ὡς οἱ ἀδελφοὶ ἡμῶν ἐποίησαν, καὶ μὴ πολεμήσωμεν πρὸς τὰ ἔθνη ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ τῶν δικαιωμάτων ἡμῶν, νῦν τάχιον ἡμᾶς ἐξολοθρεύσουσιν ἀπὸ τῆς γῆς.

41. Καὶ ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ, λέγοντες· Πᾶς ἄνθρωπος ὃς ἐὰν ἔλθῃ πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων, πολεμήσωμεν κατέναντι αὐτοῦ, καὶ οὐ μὴ ἀποθάνωμεν πάντες καθὼς ἀπέθανον οἱ ἀδελφοὶ ἡμῶν ἐν τοῖς κρύφοις.

42. Τότε συνήχθησαν πρὸς αὐτοὺς συναγωγὴ Ἰουδαίων, ἰσχυροὶ δυνάμει ἀπὸ Ἰσραὴλ, πᾶς ὁ ἑκουσιαζόμενος τῷ νόμῳ.

43. Καὶ πάντες οἱ φυγαδεύοντες ἀπὸ τῶν κακῶν προσετέθησαν αὐτοῖς, καὶ ἐγένοντο αὐτοῖς εἰς στήριγμα.

44. Καὶ συνεστήσαντο δύναμιν, καὶ ἐπάταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ αὐτῶν, καὶ ἄνδρας ἀνόμους ἐν θυμῷ αὐτῶν. Καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ ἔθνη σωθῆναι.

45. Καὶ ἐκύκλωσε Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, καὶ καθεῖλον τοὺς βωμούς.

46. Καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα ὅσα εὗρον ἐν ὁρίοις Ἰσραὴλ ἐν ἰσχύϊ.

47. Καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφανίας, καὶ κατευοδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν.

48. Καὶ ἀντελάβοντο τοῦ νόμου ἐκ χειρὸς τῶν ἐθνῶν καὶ χειρὸς τῶν βασιλέων, καὶ οὐκ ἔδωκαν κέρας τῷ ἁμαρτωλῷ.

49. Καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ Ματταθίου ἀποθανεῖν, καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ· Νῦν ἐστηρίχθη ὑπερηφανία καὶ ἐλεγμὸς καὶ καιρὸς καταστροφῆς καὶ ὀργὴ θυμοῦ.

50. Καὶ νῦν, τέκνα, ζηλώσατε τῷ νόμῳ, καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων ἡμῶν.

51. Μνήσθητε τῶν πατέρων ἡμῶν τὰ ἔργα ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐτῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ ὄνομα αἰώνιον.

52. Ἀβραὰμ οὐχὶ ἐν πειρασμῷ εὑρέθη πιστὸς, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην;

53. Ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐντολὴν, καὶ ἐγένετο κύριος Αἰγύπτου.

54. Φινεὲς ὁ πατὴρ ἡμῶν, ἐν τῷ ζηλῶσαι ζῆλον, ἔλαβε διαθήκην ἱερωσύνης αἰωνίας.

55. Ἰησοῦς, ἐν τῷ πληρῶσαι λόγον, ἐγένετο κριτὴς ἐν Ἰσραήλ.

56. Χάλεβ, ἐν τῷ ἐπιμαρτύρασθαι ἐν τῇ ἐκκλησίᾳ, ἔλαβε γῆς κληρονομίαν.

57. Δαυὶδ ἐν τῷ ἐλέῳ αὐτοῦ ἐκληρονόμησε θρόνον βασιλείας εἰς αἰῶνα αἰῶνος.

35. Et concitaverunt adversus eos prælium.

36. Et non responderunt eis, nec lapidem miserunt in eos, nec oppilaverunt loca occulta,

37. dicentes : Moriamur omnes in simplicitate nostra : testis est super nos cœlum et terra quod injuste perditis nos.

38. Et intulerunt illis bellum sabbatis, et mortui sunt ipsi et uxores eorum et filii eorum et pecora eorum, usque ad mille animas hominum.

39. Et cognovit Mattathias et amici ejus, et luctum habuerunt super eos usque valde.

40. Et dixit vir proximo suo : Si omnes fecerimus sicut fratres nostri fecerunt, et non pugnaverimus adversus gentes pro animabus nostris et justificationibus nostris, nunc citius disperdent nos a terra.

41. Et cogitaverunt in die illa, dicentes : Omnis homo quicumque venerit ad nos in bello die sabbatorum, pugnemus adversus eum, et non moriamur omnes sicut mortui sunt fratres nostri in occultis.

42. Tunc congregata est ad eos synagoga Judæorum, fortes viribus ex Israel, omnis voluntarius in lege.

43. Et omnes qui fugiebant a malis additi sunt ad eos, et facti sunt illis ad firmamentum.

44. Et collegerunt exercitum, et percusserunt peccatores in ira sua, et viros iniquos in indignatione sua. Et cæteri fugerunt ad nationes ut evaderent.

45. Et circuivit Mattathias et amici ejus, et destruxerunt aras.

46. Et circumciderunt pueros incircumcisos quotquot invenerunt in finibus Israel in fortitudine.

47. Et persecuti sunt filios superbiæ, et prosperatum est opus in manibus eorum.

48. Et obtinuerunt legem de manu gentium et de manu regum, et non dederunt cornu peccatori.

49. Et appropinquaverunt dies Mattathiæ moriendi, et dixit filiis suis : Nunc confortata est superbia et castigatio et tempus eversionis et ira indignationis.

50. Nunc ergo, filii, æmulatores estote legis, et date animas vestras pro testamento patrum nostrorum.

51. Mementote operum patrum nostrorum quæ fecerunt in generationibus suis, et accipite gloriam magnam et nomen æternum.

52. Abraam nonne in tentatione inventus est fidelis, et reputatum est ei ad justitiam?

53. Joseph in tempore angustiæ suæ custodivit mandatum, et factus est dominus Ægypti.

54. Phinees pater noster, zelando zelum, accepit testamentum sacerdotii æterni.

55. Jesus, dum implevit verbum, factus est judex in Israel.

56. Caleb, dum testificatur in ecclesia, accepit terræ hereditatem.

57. David in sua misericordia consecutus est sedem regni in sæculum sæculi.

58. Ἡλίας, ἐν τῷ ζηλῶσαι ζῆλον νόμου, ἀνελήφθη ἕως εἰς τὸν οὐρανόν.

59. Ἀνανίας, Ἀζαρίας, Μισαὴλ, πιστεύσαντες ἐσώθησαν ἐκ φλογός.

60. Δανιὴλ ἐν τῇ ἁπλότητι αὐτοῦ ἐῤῥύσθη ἐκ στόματος λεόντων.

61. Καὶ οὕτως ἐννοήθητε κατὰ γενεὰν καὶ γενεὰν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτὸν οὐκ ἀσθενήσουσι.

62. Καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε, ὅτι ἡ δόξα αὐτοῦ εἰς κοπρίαν καὶ εἰς σκώληκας·

63. σήμερον ἐπαρθήσεται καὶ αὔριον οὐ μὴ εὑρεθῇ, ὅτι ἐστρεψεν εἰς τὸν χοῦν αὐτοῦ καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο.

64. Καὶ ὑμεῖς, τέκνα, ἰσχύσατε καὶ ἀνδρίζεσθε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε.

65. Καὶ ἰδοὺ Συμεὼν ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ βουλῆς ἐστιν· αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ὑμῖν ἔσται εἰς πατέρα.

66. Καὶ Ἰούδας Μακκαβαῖος ἰσχυρὸς δυνάμει ἐκ νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται ἄρχων στρατιᾶς, καὶ πολεμήσει πόλεμον λαῶν.

67. Καὶ ὑμεῖς προσάξατε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς τοῦ νόμου, καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν.

68. Ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσι, καὶ προσέχετε εἰς τὰ προστάγματα τοῦ νόμου.

69. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ.

70. Καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει· καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτῶν ἐν Μωδεΐν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Καὶ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, υἱὸς αὐτοῦ, ἀντ' αὐτοῦ.

2. Καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πάντες ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον Ἰσραὴλ μετ' εὐφροσύνης.

3. Καὶ ἐπλάτυνε δόξαν τῷ λαῷ αὐτοῦ· καὶ ἐνεδύσατο θώρακα ὡς γίγας, καὶ συνεζώσατο τὰ σκεύη αὐτοῦ τὰ πολεμικά· καὶ συνεστήσατο πολέμους σκεπάζων παρεμβολὴν ἐν ῥομφαίᾳ.

4. Καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ὡς σκύμνος ἐρευγόμενος εἰς θήραν.

5. Καὶ ἐδίωξεν ἀνόμους ἐξερευνῶν, καὶ τοὺς ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισε.

6. Καὶ συνεστάλησαν οἱ ἄνομοι ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας συνταράχθησαν, καὶ εὐοδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ.

7. Καὶ ἐπίκρανε βασιλεῖς πολλοὺς, καὶ εὔφρανε τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν.

8. Καὶ διῆλθεν ἐν πόλεσιν Ἰούδα, καὶ ἐξωλόθρευσεν ἀσεβεῖς ἐξ αὐτῆς, καὶ ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραήλ.

9. Καὶ ὠνομάσθη ἕως ἐσχάτου τῆς γῆς, καὶ συνήγαγεν ἀπολλυμένους.

10. Καὶ συνήγαγεν Ἀπολλώνιος ἔθνη, καὶ ἀπὸ Σαμαρείας δύναμιν μεγάλην τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ.

58. Helias, dum zelat zelum legis, receptus est usque in cœlum.

59. Ananias, Azarias, Misael, credentes liberati sunt de flamma.

60. Daniel in suâ simplicitate liberatus est de ore leonum.

61. Et ita cogitate per generationem et generationem, quia omnes qui sperant in eum non infirmabuntur.

62. Et a verbis viri peccatoris ne timueritis, quia gloria ejus in stercus et in vermes :

63. hodie extolletur et cras non invenietur, quia reversus est in pulverem suum et cogitatio ejus periit.

64. Vos ergo, filii, confortamini et viriliter agite in lege, quia in ipsa gloriosi eritis.

65. Et ecce Symeon frater vester, scio quod vir consilii est : ipsum audite omnibus diebus, ipse vobis erit in patrem.

66. Et Judas Maccabæus fortis viribus a juventute sua, hic vobis erit princeps militiæ, et bellabit bellum populorum.

67. Et vos adducite ad vos omnes factores legis, et vindicate vindictam populi vestri.

68. Retribuite retributionem gentibus, et intendite in præcepta legis.

69. Et benedixit eos, et appositus est ad patres suos.

70. Et defunctus est sexto et quadragesimo et centesimo anno : et sepultus est a filiis suis in sepulcris patrum suorum in Modin, et planxerunt eum omnis Israel planctu magno.

CAPUT III.

1. Et surrexit Judas qui vocabatur Maccabæus, filius ejus, pro eo.

2. Et adjuvabant eum omnes fratres ejus, et universi qui se conjunxerant patri ejus, et præliabantur prælium Israel cum lætitia.

3. Et dilatavit gloriam populo suo : et induit se loricam sicut gigas, et succinxit se arma bellica sua : et commisit prælia protegens castra in gladio.

4. Et similis factus est leoni in operibus suis, et sicut catulus leonis rugiens in venationem.

5. Et persecutus est iniquos perscrutans, et qui conturbabant populum suum eos succendit flammis.

6. Et compulsi sunt iniqui a timore ejus, et omnes operarii iniquitatis conturbati sunt, et directa est salus in manu ejus.

7. Et exacerbabat reges multos, et lætificabat Jacob in operibus suis, et in sæculum memoria ejus in benedictione.

8. Et perambulabat civitates Juda, et perdidit impios ex ea, et avertit iram ab Israel.

9. Et nominatus est usque ad novissimum terræ, et congregavit pereuntes.

10. Et congregavit Apollonius gentes, et a Samaria virtutem magnam ad bellandum contra Israel.

11. Καὶ ἔγνω Ἰούδας, καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἀπέκτεινεν αὐτόν· καὶ ἔπεσον τραυματίαι πολλοὶ, καὶ οἱ ἐπίλοιποι ἔφυγον.

12. Καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολλωνίου ἔλαβεν Ἰούδας, καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέρας.

13. Καὶ ἤκουσε Σήρων ὁ ἄρχων τῆς δυνάμεως Συρίας, ὅτι ἤθροισεν Ἰούδας ἄθροισμα καὶ ἐκκλησίαν πιστῶν μετ' αὐτοῦ ἐκπορευομένων εἰς πόλεμον,

14. καὶ εἶπε· Ποιήσω ἐμαυτῷ ὄνομα καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ, καὶ πολεμήσω τὸν Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ, τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως.

15. Καὶ προςέθετο τοῦ ἀναβῆναι· καὶ ἀνέβη μετ' αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ βοηθῆσαι αὐτῷ, καὶ ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ.

16. Καὶ ἤγγισαν ἕως ἀναβάσεως Βαιθωρῶν. Καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῶν ὀλιγοστός.

17. Ὡς δὲ ἴδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον τῷ Ἰούδᾳ· Πῶς δυνησόμεθα ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον ἰσχυρόν; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες σήμερον.

18. Καὶ εἶπεν Ἰούδας· Εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων, καὶ οὐκ ἔστι διαφορὰ ἐναντίον τοῦ Θεοῦ τοῦ οὐρανοῦ σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις·

19. ὅτι οὐκ ἐν πλήθει δυνάμεως νίκη πολέμου ἐστὶν, ἀλλ' ἢ ἐκ τοῦ οὐρανοῦ ἡ ἰσχύς.

20. Αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ ἀνομίας, τοῦ ἐξᾶραι ἡμᾶς καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν, τοῦ σκυλεῦσαι ἡμᾶς.

21. Ἡμεῖς δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν.

22. Καὶ αὐτὸς συντρίψει αὐτοὺς πρὸ προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ φοβηθῆτε ἀπ' αὐτῶν.

23. Ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνήλατο εἰς αὐτοὺς ἄφνω, καὶ συνετρίβη Σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ.

24. Καὶ ἐδίωκον αὐτὸν ἐν τῇ καταβάσει Βαιθωρῶν ἕως τοῦ πεδίου· καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους· οἱ δὲ λοιποὶ ἔφυγον εἰς γῆν Φυλιστιείμ.

25. Καὶ ἤρξατο ὁ φόβος Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἡ πτόησις ἐπιπίπτειν ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν.

26. Καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ὑπὲρ τῶν παρατάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος.

27. Ὡς δὲ ἤκουσεν Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ, καὶ ἀπέστειλε καὶ συνήγαγε τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ, παρεμβολὴν ἰσχυρὰν σφόδρα.

28. Καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ, καὶ ἔδωκεν ὀψώνια ταῖς δυνάμεσιν αὐτοῦ εἰς ἐνιαυτὸν, καὶ ἐνετείλατο εἶναι αὐτοὺς ἑτοίμους εἰς πᾶσαν χρείαν.

29. Καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν, καὶ οἱ φορολόγοι τῆς χώρας ὀλίγοι χάριν τῆς διχοστασίας καὶ πληγῆς ἧς κατεσκεύασεν ἐν τῇ γῇ, τοῦ ἆραι τὰ νόμιμα ἃ ἦσαν ἀφ' ἡμερῶν τῶν πρώτων.

30. Καὶ εὐλαβήθη μὴ οὐκ ἔχῃ ὡς ἅπαξ καὶ δὶς εἰς τὰς δαπάνας καὶ τὰ δόματα ἃ ἐδίδου ἔμπροσθεν δαψιλεῖ χειρὶ, καὶ ἐπερίσσευσεν ὑπὲρ τοὺς βασιλεῖς τοὺς ἔμπροσθεν.

11. Et cognovit Judas, et exivit obviam illi, et percussit illum, et occidit illum: et ceciderunt vulnerati multi, et reliqui fugerunt.

12. Et accepit spolia eorum, et gladium Apollonii abstulit Judas, et erat pugnans in eo omnibus diebus.

13. Et audivit Seron princeps exercitus Syri, quod congregavit Judas congregationem et ecclesiam fidelium secum exeuntium in prælium,

14. et ait: Faciam mihi nomen et glorificabor in regno, et debellabo Judam et eos qui cum ipso sunt, qui spernebant verbum regis.

15. Et præparavit se ad ascendendum: et ascenderunt cum eo castra impiorum fortia auxiliari ei, et facere vindictam in filios Israel.

16. Et appropinquaverunt usque ad ascensum Bæthoron. Et exivit Judas obviam illis cum paucis.

17. Ut autem viderunt exercitum venientem sibi obviam, dixerunt Judæ: Quomodo poterimus pauci pugnare contra multitudinem hanc tantam fortem; et nos fatigati sumus jejunio hodie?

18. Et ait Judas: Facile est concludi multos in manibus paucorum, et non est differentia in conspectu Dei cœli liberare in multis aut in paucis:

19. quoniam non in multitudine exercitus victoria belli est, sed de cœlo fortitudo.

20. Ipsi veniunt ad nos in multitudine contumeliæ et iniquitatis, ut disperdant nos et uxores nostras et filios nostros, ut spolient nos.

21. Nos vero pugnamus pro animabus nostris et legibus nostris.

22. Et ipse conteret eos ante faciem nostram: vos autem ne timueritis eos.

23. Ut cessavit autem loqui, insiluit in eos subito, et contritus est Seron et exercitus ejus in conspectu ipsius.

24. Et persecutus est eum in descensu Bæthoron usque in campum: et ceciderunt ex eis octingenti circiter viri: reliqui autem fugerunt in terram Phylistiim.

25. Et cœpit timor Judæ et fratrum ejus et formido cadere super gentes quæ in circuitu eorum.

26. Et pervenit usque ad regem nomen ejus, et de præliis Judæ narrabant omnes gentes.

27. Ut audivit autem rex Antiochus sermones istos, iratus est animo, et misit et congregavit exercitum universum regni sui, castra fortia valde.

28. Et aperuit ærarium suum, et dedit stipendia exercitui suo in annum, et mandavit ut essent parati ad omnem usum.

29. Et vidit quod defecit pecunia de thesauris, et collectores tributorum regionis pauci propter dissensionem et plagam quam fecit in terra, ut tolleret legitima quæ erant a primis diebus.

30. Et timuit ne non haberet ut semel et bis in sumptus et donaria quæ dederat ante larga manu, et abundaverat super reges qui antea fuerant.

31. Καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα, καὶ ἐβουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν Περσίδα, καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν, καὶ συναγαγεῖν ἀργύριον πολύ.

32. Καὶ κατέλιπε Λυσίαν, ἄνθρωπον ἔνδοξον καὶ ἀπὸ γένους τῆς βασιλείας, ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου ἕως τῶν ὁρίων Αἰγύπτου·

33. καὶ τρέφειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἕως τοῦ ἐπιστρέψαι αὐτόν.

34. Καὶ παρέδωκεν αὐτῷ τὰς ἡμίσεις τῶν δυνάμεων καὶ τοὺς ἐλέφαντας, καὶ ἐνετείλατο αὐτῷ περὶ πάντων ὧν ἐβούλετο, καὶ περὶ τῶν κατοικούντων τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ,

35. ἀποστεῖλαι ἐπ' αὐτοὺς δύναμιν, τοῦ ἐκτρίψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ καὶ τὸ κατάλειμμα Ἱερουσαλήμ, καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου·

36. καὶ κατοικῆσαι υἱοὺς ἀλλογενεῖς ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν, καὶ κατακληροδοτῆσαι τὴν γῆν αὐτῶν.

37. Καὶ ὁ βασιλεὺς παρέλαβε τὰς ἡμίσεις τῶν δυνάμεων τὰς καταλειφθείσας, καὶ ἀπῆρεν ἀπὸ Ἀντιοχείας ἀπὸ πόλεως βασιλείας αὐτοῦ, ἔτους ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ· καὶ διεπέρασε τὸν Εὐφράτην ποταμὸν, καὶ διεπορεύετο τὰς ἐπάνω χώρας.

38. Καὶ ἐπέλεξε Λυσίας Πτολεμαῖον τὸν Δορυμένους καὶ Νικάνορα καὶ Γοργίαν, ἄνδρας δυνατοὺς τῶν φίλων τοῦ βασιλέως.

39. Καὶ ἀπέστειλε μετ' αὐτῶν τεσσαράκοντα χιλιάδας ἀνδρῶν καὶ ἑπτακισχιλίαν ἵππον, τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ καταφθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως.

40. Καὶ ἀπῆραν σὺν πάσῃ τῇ δυνάμει αὐτῶν καὶ ἦλθον, καὶ παρενέβαλον πλησίον Ἐμμαοὺμ ἐν τῇ γῇ τῇ πεδινῇ.

41. Καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώρας τὸ ὄνομα αὐτῶν, καὶ ἔλαβον ἀργύριόν καὶ χρυσίον πολὺ σφόδρα καὶ παῖδας, καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς Ἰσραὴλ εἰς παῖδας. Καὶ προσετέθησαν πρὸς αὐτοὺς δύναμις Συρίας καὶ γῆς ἀλλοφύλων.

42. Καὶ εἶδεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ὅτι ἐπληθύνθη τὰ κακὰ, καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν, καὶ ἐπέγνωσαν τοὺς λόγους τοῦ βασιλέως οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν καὶ συντέλειαν.

43. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν, καὶ πολεμήσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ τῶν ἁγίων.

44. Καὶ συνηθροίσθη ἡ συναγωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον, καὶ τοῦ προσεύξασθαι καὶ αἰτῆσαι ἔλεον καὶ οἰκτιρμούς.

45. Καὶ Ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος· οὐκ ἦν ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐκ τῶν γεννημάτων αὐτῆς· καὶ τὸ ἁγίασμα καταπατούμενον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι· καὶ ἐξήρθη τέρψις ἐξ Ἰακὼβ, καὶ ἐξέλιπεν αὐλὸς καὶ κινύρα.

46. Καὶ συνήχθησαν καὶ ἤλθοσαν εἰς Μασσηφὰ κατέναντι Ἱερουσαλήμ, ὅτι τόπος προσευχῆς εἰς Μασσηφὰ τὸ πρότερον τῷ Ἰσραήλ.

47. Καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ περιεβάλοντο σάκκους καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν.

31. Et consternatus erat animo suo valde, et cogitavit ire in Persidem, et accipere tributa regionum, et congregare argentum multum.

32. Et reliquit Lysiam, hominem nobilem et de genere regali, super negotia regia a flumine Euphrate usque ad fines Ægypti :

33. et ut nutriret Antiochum filium suum donec rediret.

34. Et tradidit ei dimidium exercituum et elephantos, et mandavit ei de omnibus quæ volebat, et de inhabitantibus Judæam et Jerusalem,

35. ut mitteret ad eos exercitum, ad conterendam et exstirpandam virtutem Israel et reliquias Jerusalem, et auferendam memoriam eorum de loco :

36. et ut constitueret habitatores filios alienigenas in omnibus finibus eorum, et sorte distribueret terram eorum.

37. Et rex assumpsit dimidium exercitus residuum, et exivit ab Antiochia a civitate regni sui, anno septimo et quadragesimo et centesimo : et transfretavit Euphratem flumen, et perambulabat superiores regiones.

38. Et elegit Lysias Ptolemæum filium Dorymenis et Nicanorem et Gorgiam, viros potentes ex amicis regis.

39. Et misit cum eis quadraginta millia virorum et septem millia equitum, ut venirent in terram Juda et disperderent eam secundum verbum regis.

40. Et processerunt cum universa virtute sua et venerunt, et applicuerunt prope Emmaum in terra campestri,

41. Et audierunt mercatores regionis nomen eorum, et acceperunt argentum et aurum multum valde et pueros, et venerunt in castra ut acciperent filios Israel in servos. Et additi sunt ad eos exercitus Syriæ et terræ alienigenarum.

42. Et vidit Judas et fratres ejus quia multiplicata sunt mala, et exercitus castrametabantur in finibus ipsorum, et cognoverunt verba regis quæ mandavit populo facere in interitum et consummationem.

43. Et dixit unusquisque ad proximum suum : Erigamus dejectionem populi nostri, et pugnemus pro populo nostro et sanctis.

44. Et congregatus est conventus ut essent parati in prælium, et ut orarent et peterent misericordiam et miserationes.

45. Et Jerusalem erat inhabitata sicut deserta : non erat qui ingrederetur et egrederetur de natis ejus : et sanctum conculcabatur, et filii alienigenarum erant in arce, ibi erat habitatio gentibus : et ablata est voluptas a Jacob, et defecit tibia et cithara.

46. Et congregati sunt et venerunt in Massepha contra Jerusalem, quia locus orationis erat in Massepha antea Israeli.

47. Et jejunaverunt illa die, et induerunt se ciliciis et cinere super capita sua, et disciderunt vestimenta sua.

48. Καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν.

49. Καὶ ἤνεγκαν τὰ ἱμάτια τῆς ἱερωσύνης, καὶ τὰ πρωτογεννήματα καὶ τὰς δεκάτας· καὶ ἤγειραν τοὺς Ναζιραίους, οἳ ἐπλήρωσαν τὰς ἡμέρας.

50. Καὶ ἐβόησαν φωνῇ εἰς τὸν οὐρανὸν, λέγοντες· Τί ποιήσωμεν τούτοις, καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν;

51. Καὶ τὰ ἅγιά σου καταπεπάτηται καὶ βεβήλωται, καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει.

52. Καὶ ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς· σὺ οἶδας ἃ λογίζονται ἐφ' ἡμᾶς.

53. Πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον αὐτῶν, ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν;

54. Καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν φωνῇ μεγάλῃ.

55. Καὶ μετὰ τοῦτο κατέστησεν Ἰούδας ἡγουμένους τοῦ λαοῦ, χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους.

56. Καὶ εἶπον τοῖς οἰκοδομοῦσιν οἰκίας καὶ μνηστευομένοις γυναῖκας καὶ φυτεύουσιν ἀμπελῶνας, καὶ δειλοῖς, ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ, κατὰ τὸν νόμον.

57. Καὶ ἀπῆρεν ἡ παρεμβολὴ, καὶ παρενέβαλε κατὰ νότον Ἐμμαούμ.

58. Καὶ εἶπεν Ἰούδας· Περιζώσασθε, καὶ γίνεσθε εἰς υἱοὺς δυνατοὺς, καὶ γίνεσθε ἕτοιμοι εἰς τοπρωῒ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις τοῖς ἐπισυνηγμένοις ἐφ' ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν.

59. Ὅτι κρεῖσσον ἡμᾶς ἀποθανεῖν ἐν τῷ πολέμῳ ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν καὶ τῶν ἁγίων.

60. Ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ, οὕτω ποιήσει.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

1. Καὶ παρέλαβε Γοργίας πεντακισχιλίους ἄνδρας καὶ χιλίαν ἵππον ἐκλεκτὴν, καὶ ἀπῆρεν ἡ παρεμβολὴ νυκτὸς,

2. ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν Ἰουδαίων, καὶ πατάξαι αὐτοὺς ἄφνω. Καὶ οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί.

3. Καὶ ἤκουσεν Ἰούδας, καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν Ἐμμαοὺμ,

4. ἕως ἔτι αἱ δυνάμεις ἐσκορπισμέναι ἦσαν ἀπὸ τῆς παρεμβολῆς.

5. Καὶ ἦλθε Γοργίας εἰς τὴν παρεμβολὴν Ἰούδα νυκτὸς, καὶ οὐδένα εὗρε, καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι εἶπε· Φεύγουσιν οὗτοι ἀφ' ἡμῶν.

6. Καὶ ἅμα τῇ ἡμέρᾳ ὤφθη Ἰούδας ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι· πλὴν καλύμματα καὶ μαχαίρας οὐκ εἶχον καθὼς ἠβούλοντο.

7. Καὶ εἶδον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν, τεθωρακισμένην, καὶ ἵππον κυκλοῦσαν αὐτὴν, καὶ οὗτοι διδακτοὶ πολέμου.

8. Καὶ εἶπεν Ἰούδας τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ· Μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν, καὶ τὸ ὅρμημα αὐτῶν μὴ δειλωθῆτε.

9. Μνήσθητε πῶς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ ἐρυθρᾷ, ὅτε ἐδίωξεν αὐτοὺς Φαραὼ ἐν δυνάμει.

48. Et expanderunt librum legis de quibus scrutabantur gentes similitudines simulacrorum suorum.

49. Et attulerunt vestimenta sacerdotalia, et primitias et decimas : et suscitaverunt Naziræos, qui impleverunt dies.

50. Et clamaverunt voce in cœlum, dicentes : Quid faciemus istis, et quo eos ducemus?

51. Et sancta tua conculcata sunt et contaminata sunt, et sacerdotes tui in luctu et humilitate.

52. Et ecce nationes convenerunt adversum nos ut nos disperdant : tu scis quæ cogitant in nos.

53. Quomodo poterimus subsistere ante faciem eorum, nisi tu adjuves nos?

54. Et cecinerunt tubis, et exclamaverunt voce magna.

55. Et post hæc constituit Judas duces populi, tribunos et centuriones et pentacontarchos et decuriones.

56. Et dixerunt his qui ædificabant domos et sponsabant uxores et plantabant vineas, et formidolosis, ut redirent unusquisque in domum suam, secundum legem.

57. Et moverunt castra, et collocaverunt ad austrum Emmaum.

58. Et ait Judas : Accingimini, et estote filii potentes, et estote parati in mane ut pugnetis adversus nationes has quæ convenerunt super nos disperdere nos et sancta nostra.

59. Quoniam melius est nos mori in bello quam videre mala gentis nostræ et sanctorum.

60. Sicut autem fuerit voluntas in cœlo, sic faciat.

CAPUT IV.

1. Et assumpsit Gorgias quinque millia virorum et mille equites electos, et moverunt castra nocte,

2. ut applicarent ad castra Judæorum, et percuterent eos subito. Et filii arcis erant illi duces itineris.

3. Et audivit Judas, et surrexit ipse et potentes percutere virtutem regis quæ erat in Emmaum,

4. adhuc enim dispersi erant exercitus a castris.

5. Et venit Gorgias in castra Judæ noctu, et neminem invenit, et quærebat eos in montibus, quoniam dixit : Fugiunt hi a nobis.

6. Et simul cum die apparuit Judas in campo cum tribus millibus virorum : tantum tegumenta et gladios non habebant sicut volebant.

7. Et viderunt castra gentium valida, loricata, et equitatum in circuitu eorum, et hi docti ad prælium.

8. Et ait Judas viris qui secum erant : Ne timueritis multitudinem eorum, et impetum eorum ne formidetis.

9. Mementote qualiter salvati sunt patres nostri in mari rubro, cum sequeretur eos Pharao cum exercitu.

10. Καὶ νῦν βοήσωμεν εἰς τὸν οὐρανὸν, εἴ πως ἐλεήσει ἡμᾶς, καὶ μνησθήσεται διαθήκης πατέρων ἡμῶν, καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν σήμερον.

11. Καὶ γνώσεται πάντα τὰ ἔθνη ὅτι ἐστὶν ὁ λυτρούμενος καὶ σώζων τὸν Ἰσραήλ.

12. Καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἴδον αὐτοὺς ἐρχομένους ἐξεναντίας,

13. καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον, καὶ ἐσάλπισαν οἱ μετὰ Ἰούδα.

14. Καὶ συνῆψαν, καὶ συνετρίβησαν τὰ ἔθνη, καὶ ἔφυγον εἰς τὸ πεδίον.

15. Οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ, καὶ ἐδίωξαν αὐτοὺς ἕως Γαζηρὼν καὶ ἕως τῶν πεδίων τῆς Ἰδουμαίας καὶ Ἀζώτου καὶ Ἰαμνίας, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας τρισχιλίους.

16. Καὶ ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν,

17. καὶ εἶπε πρὸς τὸν λαόν· Μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξεναντίας ἡμῶν,

18. καὶ Γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν. Ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν, καὶ πολεμήσατε αὐτοὺς, καὶ μετὰ ταῦτα λήψεσθε τὰ σκῦλα μετὰ παῤῥησίας.

19. Ἔτι λαλοῦντος Ἰούδα ταῦτα, ὤφθη μέρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους·

20. καὶ εἶδεν ὅτι τετρόπωνται, καὶ ἐμπυρίζουσι τὴν παρεμβολὴν, ὁ γαρ καπνὸς θεωρούμενος ἐνεφάνιζε τὸ γεγονός.

21. Οἱ δὲ ταῦτα συνιδόντες ἐδειλώθησαν σφόδρα· συνιδόντες δὲ καὶ τὴν Ἰούδα παρεμβολὴν ἐν τῷ πεδίῳ ἑτοίμην εἰς παράταξιν,

22. ἔφυγον πάντες εἰς γῆν ἀλλοφύλων.

23. Καὶ ἀνέστρεψεν Ἰούδας ἐπὶ τὴν σκυλείαν τῆς παρεμβολῆς· καὶ ἔλαβον χρυσίον πολὺ καὶ ἀργύριον καὶ ὑάκινθον καὶ πορφύραν θαλασσίαν καὶ πλοῦτον μέγαν.

24. Καὶ ἐπιστραφέντες ὕμνουν καὶ εὐλόγουν εἰς οὐρανὸν τὸν Κύριον, ὅτι καλὸν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

25. Καὶ ἐγένετο σωτηρία μεγάλη τῷ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

26. Ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παραγενηθέντες ἀπήγγειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα.

27. Ὁ δὲ ἀκούσας συνεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελε, τοιαῦτα γεγόνει τῷ Ἰσραὴλ, καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς, τοιαῦτα ἐξέβη.

28. Καὶ ἐν τῷ ἐχομένῳ ἐνιαυτῷ συνελόχησεν ὁ Λυσίας ἀνδρῶν ἐπιλέκτων ἑξήκοντα χιλιάδας καὶ πενταχισχιλίαν ἵππον, ὥστε ἐκπολεμῆσαι αὐτούς.

29. Καὶ ἦλθον εἰς τὴν Ἰδουμαίαν, καὶ παρενέβαλον ἐν Βαιθσούροις, καὶ συνήντησεν αὐτοῖς Ἰούδας ἐν δέκα χιλιάσιν ἀνδρῶν.

30. Καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυρὰν, καὶ προσηύξατο, καὶ εἶπεν· Εὐλογητὸς εἶ, ὁ σωτὴρ τοῦ Ἰσραὴλ, ὁ συντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου σου Δαυὶδ, καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας Ἰωνάθαν υἱοῦ Σαοὺλ καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ.

10. Et nunc clamemus in cœlum, si quo modo miserebitur nostri, et memor erit testamenti patrum nostrorum, et conteret exercitum istum ante faciem nostram hodie.

11. Et scient omnes gentes quia est qui redimat et liberet Israel.

12. Et elevaverunt alienigenæ oculos suos, et viderunt eos venientes ex adverso,

13. et exierunt de castris in prælium, et tuba cecinerunt qui erant cum Juda.

14. Et congressi sunt, et contritæ sunt gentes, et fugerunt in campum.

15. Novissimi autem omnes ceciderunt in gladio, et persecuti sunt eos usque Gazeron et usque in campos Idumææ et Azoti et Jamniæ, et ceciderunt ex illis ad tria millia virorum.

16. Et reversus est Judas et exercitus a sequendo post eos,

17. dixitque ad populum : Non concupiscatis spolia, quia bellum contra nos est,

18. et Gorgias et exercitus ejus prope nos in monte. Sed state nunc contra inimicos nostros, et expugnate eos, et sumetis postea spolia secure.

19. Adhuc loquente Juda hæc, apparuit pars quædam prospiciens de monte :

20. et vidit quod in fugam conversi sunt, et succendunt qui circa Judam castra, fumus enim qui videbatur declarabat quod factum est.

21. Quibus illi conspectis timuerunt valde : aspicientes autem simul et Judæ exercitum in campo paratum ad prælium,

22. fugerunt omnes in terram alienigenarum.

23. Et Judas reversus est ad spolia castrorum : et acceperunt aurum multum et argentum et hyacinthum et purpuram marinam et opes magnas.

24. Et conversi hymnum canebant et benedicebant Dominum in cœlum, quoniam bonum, quoniam in sæculum misericordia ejus.

25. Et facta est salus magna Israeli in die illa.

26. Quicumque autem alienigenarum evaserunt, advenientes nuntiaverunt Lysiæ universa quæ acciderant.

27. Quibus ille auditis consternatus animo deficiebat, quod non qualia voluit, talia contigerunt Israeli, et non qualia mandavit ei rex, talia evenerunt.

28. Et in proximo anno congregavit Lysias virorum electorum sexaginta millia et equitum quinque millia, ut debellaret eos.

29. Et venerunt in Idumæam, et castra posuerunt in Bæthsuris, et occurrit illis Judas cum decem millibus viris.

30. Et vidit exercitum fortem, et oravit, et dixit : Benedictus es, salvator Israel, qui contrivisti impetum potentis in manu servi tui David, et tradidisti castra alienigenarum in manus Jonathæ filii Saul et armigeri ejus.

31. Σύγκλεισον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ σου Ἰσραὴλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν.

32. Δὸς αὐτοῖς δειλίαν, καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευθήτωσαν τῇ συντριβῇ αὐτῶν.

33. Κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγαπώντων σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ εἰδότες τὸ ὄνομά σου ἐν ὕμνοις.

34. Καὶ συνέβαλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς παρεμβολῆς Λυσίου εἰς πεντακισχιλίους ἄνδρας, καὶ ἔπεσον ἐξ ἐναντίας αὐτῶν.

35. Ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ συντάξεως, τῆς δὲ Ἰούδα τὸ γεγενημένον θάρσος, καὶ ὡς ἕτοιμοί εἰσιν ἢ ζῆν ἢ τεθνάναι γενναίως, ἀπῆρεν εἰς Ἀντιόχειαν, καὶ ἐξενολόγει· καὶ πλεονάσας τὸν γενηθέντα στρατὸν, ἐλογίζετο πάλιν παραγενέσθαι εἰς τὴν Ἰουδαίαν.

36. Εἶπε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ· Ἰδοὺ συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι.

37. Καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα, καὶ ἀνέβησαν εἰς ὄρος Σιών.

38. Καὶ ἴδον τὸ ἁγίασμα ἠρημωμένον, καὶ τὸ θυσιαστήριον βεβηλωμένον, καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων, καὶ τὰ παστοφόρια καθῃρημένα.

39. Καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐκόψαντο κοπετὸν μέγαν, καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν,

40. καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι τῶν σημασιῶν, καὶ ἐβόησαν εἰς τὸν οὐρανόν.

41. Τότε ἐπέταξεν Ἰούδας ἄνδρας πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ ἕως ἂν καθαρίσῃ τὰ ἅγια.

42. Καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους, θελητὰς νόμου.

43. Καὶ ἐκαθάρισαν τὰ ἅγια, καὶ ἦραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς τόπον ἀκάθαρτον.

44. Καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσι.

45. Καὶ ἐπέπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ, καθελεῖν αὐτὸ, μήποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ ἔθνη αὐτὸ, καὶ καθεῖλον τὸ θυσιαστήριον.

46. Καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ, μέχρι τοῦ παραγενηθῆναι προφήτην τοῦ ἀποκριθῆναι περὶ αὐτῶν.

47. Καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον.

48. Καὶ ᾠκοδόμησαν τὰ ἅγια καὶ τὰ ἐντὸς τοῦ οἴκου, καὶ τὰς αὐλὰς ἡγίασαν.

49. Καὶ ἐποίησαν σκεύη ἅγια καινὰ, καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν ναόν.

50. Καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυχνίας, καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ.

51. Καὶ ἐπέθηκαν ἐπὶ τὴν τράπεζαν ἄρτους, καὶ ἐξεπέτασαν τὰ καταπετάσματα· καὶ ἐτέλεσαν πάντα τὰ ἔργα ἃ ἐποίησαν.

52. Καὶ ὤρθρισαν τοπρωῒ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου· οὗτος ὁ μὴν χασελεῦ τοῦ ὀγδόου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους.

31. Conclude exercitum istum in manu populi tui Israel, et confundatur in virtute et equitatu suo.

32. Da illis formidinem, et tabefac audaciam virtutis eorum, et commoveantur contritione sua.

33. Dejice illos gladio diligentium te, et collaudent te omnes qui noverunt nomen tuum in hymnis.

34. Et commiserunt prælium inter se, et ceciderunt de exercitu Lysiæ ad quinque millia virorum, et ceciderunt ex adverso ipsorum.

35. Videns autem Lysias fugam aciei suæ, ejus autem quæ Judæ audaciam, et quod parati sunt aut vivere aut mori generose, abiit Antiochiam, et colligebat externos milites: et cum multiplicasset priorem exercitum, cogitabat rursus venire in Judæam.

36. Dixit autem Judas et fratres ejus: Ecce contriti sunt inimici nostri, ascendamus mundare sancta et renovare.

37. Et congregatus est omnis exercitus, et ascenderunt in montem Sion.

38. Et viderunt sanctificationem desertam, et altare profanatum, et portas exustas, et in atriis virgulta nata sicut in saltu vel sicut in uno ex montibus, et pastophoria diruta.

39. Et sciderunt vestimenta sua, et planxerunt planctu magno, et imposuerunt cinerem super caput suum,

40. et ceciderunt in faciem super terram, et exclamaverunt tubis signorum, et clamaverunt in cœlum.

41. Tunc ordinavit Judas viros ut pugnarent adversus eos qui erant in arce donec emundaret sancta.

42. Et elegit sacerdotes sine macula, voluntatem habentes in lege.

43. Et mundaverunt sancta, et tulerunt lapides contaminationis in locum immundum.

44. Et cogitaverunt de altari holocaustorum quod profanatum erat, quid de eo facerent.

45. Et incidit illis consilium bonum, ut destruerent illud, ne forte illis esset in opprobrium, quia contaminaverant illud gentes, et demoliti sunt altare.

46. Et reposuerunt lapides in monte domus in loco apto, quoadusque veniret propheta et responderet de eis.

47. Et acceperunt lapides integros secundum legem, et ædificaverunt altare novum secundum illud quod fuit prius.

48. Et ædificaverunt sancta et quæ intra domum, et atria sanctificaverunt.

49. Et fecerunt vasa sancta nova, et intulerunt candelabrum et altare incensorum et mensam in templum.

50. Et incensum posuerunt super altare, et accenderunt lucernas quæ supra candelabrum erant, et lucebant in templo.

51. Et posuerunt super mensam panes, et expanderunt velamina: et consummaverunt omnia opera quæ fecerant.

52. Et ante matutinum surrexerunt quinta et vigesima die mensis noni: hic est mensis chasleu octavi et quadragesimi et centesimi anni.

53. Καὶ ἀνήνεγκαν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων τὸ καινὸν ὃ ἐποίησαν.

53. Et obtulerunt sacrificium secundum legem super altare holocaustorum novum quod fecerant.

54. Κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν ἡμέραν ἐν ᾗ ἐβεβήλωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις καὶ ἐν κυμβάλοις.

54. Secundum tempus et secundum diem in qua contaminaverant illud gentes, in ipsa renovatum est in canticis et citharis et cinyris et cymbalis.

55. Καὶ ἔπεσον πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν καὶ εὐλόγησαν εἰς οὐρανὸν, τὸν εὐοδώσαντα αὐτοῖς.

55. Et cecidit omnis populus in faciem, et adoraverunt et benedixerunt in cœlum, eum qui prosperavit eis.

56. Καὶ ἐποίησαν τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἡμέρας ὀκτὼ, καὶ προσήνεγκαν ὁλοκαυτώματα μετ' εὐφροσύνης, καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως.

56. Et fecerunt dedicationem altaris diebus octo, et obtulerunt holocausta cum lætitia, et sacrificaverunt sacrificium salutaris et laudis.

57. Καὶ κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ ἀσπιδίσκαις, καὶ ἐνεκαίνισαν τὰς πύλας καὶ τὰ παστοφόρια, καὶ ἐθύρωσαν αὐτά.

57. Et ornaverunt faciem templi coronis aureis et scutulis, et dedicaverunt portas et pastophoria, et imposuerunt eis januas.

58. Καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν.

58. Et facta est lætitia in populo magna valde, et aversum est opprobrium gentium.

59. Καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραὴλ, ἵνα ἄγωνται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτὼ, ἀπὸ τῆς πέμπτης καὶ εἰκάδος τοῦ μηνὸς χασελεῦ, μετ' εὐφροσύνης καὶ χαρᾶς.

59. Et statuit Judas et fratres ejus et universa ecclesia Israel, ut agantur dies dedicationis altaris in temporibus suis ab anno in annum per dies octo, a quinta et vigesima die mensis chasleu, cum lætitia et gaudio.

60. Καὶ ᾠκοδόμησαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιὼν, κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους ὀχυροὺς, μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτὰ, ὡς ἐποίησαν τοπρότερον.

60. Et ædificaverunt in tempore illo montem Sion, per circuitum muros altos et turres firmas, ne quando venirent gentes et conculcarent ea, sicut antea fecerant.

61. Καὶ ἐπέταξεν ἐκεῖ δύναμιν τηρεῖν αὐτὸ, καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν Βαιθσούραν, τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

61. Et collocavit illic exercitum ut servaret eum, et munierunt eum ad custodiendam Bæthsuram, ut haberet populus munitionem contra faciem Idumææ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

CAPUT V.

1. Καὶ ἐγένετο, ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ θυσιαστήριον, καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τοπρότερον, καὶ ὠργίσθησαν σφόδρα.

1. Et factum est, ut audierunt gentes in circuitu quia ædificatum est altare, et renovatum est sanctuarium sicut prius, iratæ sunt valde.

2. Καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ τοὺς ὄντας ἐν μέσῳ αὐτῶν, καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν.

2. Et cogitabant tollere genus Jacob qui erant inter eos, et cœperunt occidere de populo et tollere.

3. Καὶ ἐπολέμει Ἰούδας πρὸς τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ Ἰδουμαίᾳ τὴν Ἀκραβαττίνην, ὅτι περιεκάθηντο τὸν Ἰσραὴλ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ συνέστειλεν αὐτοὺς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

3. Et bellabat Judas adversus filios Esau in Idumæa ipsam Acrabattinam, quia circumsedebant Israelitas, et percussit eos plaga magna, et compressit eos, et cepit spolia eorum.

4. Καὶ ἐμνήσθη τῆς κακίας υἱῶν Βαιὰν οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον, ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς.

4. Et recordatus est malitiæ filiorum Bæan qui erant populo in laqueum et in scandalum, insidiantes ei in viis.

5. Καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν ἐπ' αὐτοὺς, καὶ ἀνεθεμάτισεν αὐτοὺς, καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι.

5. Et conclusi sunt ab eo in turribus, et applicuit ad eos, et anathematizavit eos, et incendit turres ejus igni cum omnibus qui in eis erant.

6. Καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν, καὶ εὗρε χεῖρα κραταιὰν καὶ λαὸν πολὺν, καὶ Τιμόθεον ἡγούμενον αὐτῶν.

6. Et transivit ad filios Ammon, et invenit manum fortem et populum copiosum, et Timotheum ducem ipsorum.

7. Καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλοὺς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτούς.

7. Et commisit cum eis prælia multa, et contriti sunt in conspectu ejus, et percussit eos.

8. Καὶ προκατελάβετο τὴν Ἰαζὴρ καὶ τὰς θυγατέρας αὐτῆς, καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν.

8. Et cepit Gazer et filias ejus, et reversus est in Judæam.

9. Καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ Γαλαὰδ

9. Et congregatæ sunt gentes quæ in Galaad adversus

ἐπὶ τὸν Ἰσραὴλ τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν, τοῦ ἐξᾶραι αὐτούς· καὶ ἔφυγον εἰς Διάθεμα τὸ ὀχύρωμα.

10. Καὶ ἀπέστειλαν γράμματα πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, λέγοντες· Ἐπισυνηγμένα ἐστὶν ἐφ' ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς,

11. καὶ ἑτοιμάζονται ἐλθεῖν καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα εἰς ὃ κατεφύγομεν, καὶ Τιμόθεος ἡγεῖται τῆς δυνάμεως αὐτῶν.

12. Νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν, ὅτι πέπτωκεν ἐξ ἡμῶν πλῆθος·

13. καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄντες ἐν τοῖς Τωβίου τεθανάτωνται, καὶ ᾐχμαλωτίκασι τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευὴν, καὶ ἀπώλεσαν ἐκεῖ ὡς μίαν χιλιαρχίαν ἀνδρῶν.

14. Ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώσκοντο, καὶ ἰδοὺ ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς Γαλιλαίας διεῤῥηχότες τὰ ἱμάτια, ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα,

15. λέγοντες, ἐπισυνῆχθαι ἐπ' αὐτοὺς ἐκ Πτολεμαΐδος καὶ Τύρου καὶ Σιδῶνος καὶ πάσης Γαλιλαίας ἀλλοφύλων, τοῦ ἐξαναλῶσαι ἡμᾶς.

16. Ὡς δὲ ἤκουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη ἐκκλησία μεγάλη βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐτῶν τοῖς οὖσιν ἐν θλίψει καὶ πολεμουμένοις ὑπ' αὐτῶν.

17. Καὶ εἶπεν Ἰούδας Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ· Ἐπίλεξον σεαυτῷ ἄνδρας, καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου τοὺς ἐν τῇ Γαλιλαίᾳ. Ἐγὼ δὲ καὶ Ἰωνάθαν ὁ ἀδελφός μου πορευσόμεθα εἰς τὴν Γαλααδῖτιν.

18. Καὶ κατέλιπεν Ἰώσηφον τὸν τοῦ Ζαχαρίου καὶ Ἀζαρίαν ἡγουμένους τοῦ λαοῦ, μετὰ τῶν ἐπιλοίπων τῆς δυνάμεως ἐν τῇ Ἰουδαίᾳ εἰς τήρησιν.

19. Καὶ ἐνετείλατο αὐτοῖς, λέγων· Πρόστητε τοῦ λαοῦ τούτου, καὶ μὴ συνάψητε πόλεμον πρὸς τὰ ἔθνη ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς.

20. Καὶ ἐμερίσθησαν Σίμωνι ἄνδρες τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν Γαλιλαίαν, Ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν Γαλααδῖτιν.

21. Καὶ ἐπορεύθη Σίμων εἰς τὴν Γαλιλαίαν, καὶ συνῆψε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη, καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐδίωξεν αὐτοὺς ἕως τῆς πύλης

22. Πτολεμαΐδος. Καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν εἰς τρισχιλίους ἄνδρας, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

23. Καὶ παρέλαβε τοὺς ἐν τῇ Γαλιλαίᾳ καὶ ἐν Ἀρβάττοις, σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις καὶ πάντα ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγεν εἰς τὴν Ἰουδαίαν μετ' εὐφροσύνης μεγάλης.

24. Καὶ Ἰούδας ὁ Μακκαβαῖος καὶ Ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην, καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ·

25. καὶ συνήντησαν τοῖς Ναβαταίοις, καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς, καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ Γαλααδίτιδι·

26. καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς Βόσσορα καὶ Βοσὸρ, ἐν Ἀλέμοις, Χασφὼρ, Μακὲδ καὶ Καρναΐν, πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι·

27. καὶ ἐν ταῖς λοιπαῖς πόλεσι τῆς Γαλααδίτιδος εἰσὶ συνειλημμένοι καὶ εἰς αὔριον τάσσονται παρεμβάλλειν ἐπὶ τὰ ὀχυρώματα, καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάντας τούτους ἐν ἡμέρᾳ μιᾷ.

Israelitas qui erant in finibus eorum, ut tollerent eos : et fugerunt in Diathema munitionem.

10. Et miserunt literas ad Judam et fratres ejus, dicentes: Congregatæ sunt adversum nos gentes quæ in circuitu nostro ut nos auferant,

11. et parant venire et occupare munitionem in quam confugimus, et Timotheus est dux exercitus eorum.

12. Nunc ergo veni et eripe nos de manibus eorum, quia cecidit multitudo de nobis :

13. et omnes fratres nostri qui erant in locis Tobiu interfecti sunt, et captivas duxerunt uxores eorum et natos eorum et supellectilem, et peremerunt illic fere mille viros.

14. Adhuc epistolæ legebantur, et ecce alii nuntii venerunt de Galilæa conscissis vestibus, nuntiantes secundum verba hæc,

15. dicentes, convenisse adversum se a Ptolemaide et Tyro et Sidone et omni Galilæa alienigenarum, ut nos consumant.

16. Ut audivit autem Judas et populus sermones istos, convenit ecclesia magna cogitare quid facerent fratribus suis qui in tribulatione erant et expugnabantur ab eis.

17. Dixitque Judas Simoni fratri suo : Elige tibi viros, et vade et libera fratres tuos qui in Galilæa. Ego autem et Jonathan frater meus ibimus in Galaaditin.

18. Et reliquit Josephum filium Zachariæ et Azariam duces populi, cum residuo exercitu in Judæa ad custodiam.

19. Et præcepit illis, dicens : Præestote populo huic, et nolite bellum committere adversum gentes donec nos revertamur.

20. Et distributa sunt Simoni virorum tria millia ut iret in Galilæam, Judæ autem octo millia virorum in Galaaditim.

21. Et abiit Simon in Galilæam, et commisit prælia multa cum gentibus, et contritæ sunt gentes a facie ejus, et persecutus est eos usque ad portam

22. Ptolemaidis. Et ceciderunt de gentibus fere tria millia virorum, et accepit spolia eorum.

23. Et assumpsit eos qui erant in Galilæa et in Arbattis, cum uxoribus et natis et omnibus quæ erant illis, et adduxit in Judæam cum lætitia magna.

24. Et Judas Maccabæus et Jonathan frater ejus transierunt Jordanem, et abierunt viam trium dierum in deserto:

25. et facti sunt obviam Nabathæis, et occurrerunt eis pacifice, et narraverunt eis omnia quæ acciderant fratribus eorum in Galaaditide :

26. et quia multi ex eis comprehensi sunt in Bosora et Bosor, in Alimis, Chasphor, Maced et Carnain, hæ omnes civitates munitæ et magnæ :

27. et in cæteris civitatibus Galaaditidis tenentur comprehensi et in crastinum constituunt admovere exercitum ad munitiones, et comprehendere et tollere omnes hos in una die.

28. Καὶ ἀπέστρεψεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον εἰς Βοσὸρ ἄφνω, καὶ κατελάβετο τὴν πόλιν, καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν, καὶ ἐνέπρησεν αὐτὴν πυρί.

29. Καὶ ἀπῆρεν ἐκεῖθεν νυκτὸς, καὶ ἐπορεύετο ἕως ἐπὶ τὸ ὀχύρωμα.

30. Καὶ ἐγένετο ἑωθινὴ, καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰδοὺ λαὸς πολὺς οὗ οὐκ ἦν ἀριθμὸς, αἴροντες κλίμακας καὶ μηχανὰς καταλαβέσθαι τὸ ὀχύρωμα, καὶ ἐπολέμουν αὐτούς.

31. Καὶ εἶδεν Ἰούδας ὅτι ἦρκται ὁ πόλεμος, καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη εἰς τὸν οὐρανὸν σάλπιγξι καὶ φωνῇ μεγάλῃ,

32. καὶ εἶπε τοῖς ἀνδράσι τῆς δυνάμεως· Πολεμήσατε σήμερον ὑπὲρ τῶν ἀδελφῶν ὑμῶν.

33. Καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξ ὄπισθεν αὐτῶν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν ἐν προσευχῇ.

34. Καὶ ἐπέγνω ἡ παρεμβολὴ Τιμοθέου ὅτι Μακκαβαῖός ἐστι, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχιλίους ἄνδρας.

35. Καὶ ἀπέκλινεν εἰς Μασφὰ, καὶ ἐπολέμησεν αὐτὴν, καὶ προκατελάβετο αὐτὴν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν αὐτὴν πυρί.

36. Ἐκεῖθεν ἀπῆρε, καὶ προκατελάβετο τὴν Χασφὼν, Μακὲδ, Βοσὸρ, καὶ τὰς λοιπὰς πόλεις τῆς Γαλααδίτιδος.

37. Μετὰ δὲ τὰ ῥήματα ταῦτα συνήγαγε Τιμόθεος παρεμβολὴν ἄλλην, καὶ παρενέβαλε κατὰ πρόσωπον Ῥαφὼν ἐκ πέραν τοῦ χειμάῤῥου.

38. Καὶ ἀπέστειλεν Ἰούδας κατασκοπεῦσαι τὴν παρεμβολήν· καὶ ἀπήγγειλαν αὐτῷ, λέγοντες· Ἐπισυνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, δύναμις πολλὴ σφόδρα.

39. Καὶ Ἄραβας μεμίσθωται εἰς βοήθειαν αὐτοῖς, καὶ παρενέβαλον πέραν τοῦ χειμάῤῥου, ἕτοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. Καὶ ἐπορεύθη Ἰούδας εἰς συνάντησιν αὐτῶν.

40. Καὶ εἶπε Τιμόθεος τοῖς ἄρχουσι τῆς δυνάμεως αὐτοῦ· Ἐν τῷ ἐγγίζειν Ἰούδαν καὶ τὴν παρεμβολὴν αὐτοῦ ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερος, οὐ δυνησόμεθα ὑποστῆναι αὐτὸν, ὅτι δυνάμενος δυνήσεται πρὸς ἡμᾶς.

41. Ἐὰν δὲ δειλωθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν πρὸς αὐτὸν καὶ δυνησόμεθα πρὸς αὐτόν.

42. Ὡς δὲ ἤγγισεν Ἰούδας ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, ἔστησε τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάῤῥου, καὶ ἐνετείλατο αὐτοῖς, λέγων· Μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ' ἐρχέσθωσαν πάντες εἰς τὸν πόλεμον.

43. Καὶ διεπέρασεν ἐπ' αὐτοὺς πρότερος, καὶ πᾶς ὁ λαὸς ὄπισθεν αὐτοῦ. Καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἔῤῥιψαν τὰ ὅπλα αὐτῶν, καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν Καρναΐν.

44. Καὶ προκατελάβοντο τὴν πόλιν, καὶ τὸ τέμενος

28. Et convertit Judas et exercitus ejus via in desertum in Bosor repente, et occupavit civitatem, et occidit omnem masculum in ore gladii, et accepit omnia spolia eorum, et succendit eam igni.

29. Et surrexit inde nocte, et ibat usque ad munitionem.

30. Et factum est diluculum, et elevaverunt oculos suos, et ecce populus multus cujus non erat numerus, portantes scalas et machinas ut comprehenderent munitiones, et expugnabant eos.

31. Et vidit Judas quia cœpit bellum, et clamor civitatis ascendit ad cœlum tubis et voce magna,

32. et dixit viris exercitus: Pugnate hodie pro fratribus vestris.

33. Et exiit tribus ordinibus post eos, et exclamaverunt tubis, et clamaverunt in oratione.

34. Et cognoverunt castra Timothei quia Maccabæus est, et refugerunt a facie ejus, et percussit eos plaga magna, et ceciderunt ex eis in die illa fere octo millia virorum.

35. Et divertit in Maspha, et expugnavit eam, et cepit eam et occidit omnem masculum ejus, et sumpsit spolia ejus, et succendit eam igni.

36. Inde perrexit, et cepit Chasphon, Maced, Bosor, et reliquas civitates Galaaditidis.

37. Post hæc autem verba congregavit Timotheus exercitum alium, et castra posuit contra Raphon trans torrentem.

38. Et misit Judas speculari exercitum: et nuntiaverunt ei, dicentes: Convenerunt ad eos omnes gentes quæ in circuitu nostro sunt, exercitus multus nimis.

39. Et Arabas conduxit in auxilium sibi, et castra posuerunt trans torrentem, parati ad te venire in prælium. Et abiit Judas obviam illis.

40. Et ait Timotheus principibus exercitus sui: Cum appropinquaverit Judas et exercitus ejus ad torrentem aquæ, si transierit ad nos prior, non poterimus sustinere eum, quia potens poterit adversum nos.

41. Si vero timuerit et posuerit castra ultra flumen, transfretabimus ad eum et poterimus adversus illum.

42. Ut autem appropinquavit Judas ad torrentem aquæ, statuit scribas populi secus torrentem, et mandavit eis, dicens: Neminem hominum reliqueritis in castris, sed veniant omnes in prælium.

43. Et transfretavit ad illos prior, et omnis populus post eum. Et contritæ sunt omnes gentes a facie ejus, et projecerunt arma sua, et fugerunt ad fanum quod erat in Carnain.

44. Et occupaverunt ipsam civitatem, et fanum succen-

ἐνεπύρισαν ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν αὐτῷ. Καὶ ἐτροπώθη ἡ Καρναΐν, καὶ οὐκ ἐδύναντο ἔτι ὑποστῆναι κατὰ πρόσωπον Ἰούδα.

45. Καὶ συνήγαγεν Ἰούδας πάντα Ἰσραὴλ τοὺς ἐν τῇ Γαλααδίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευήν, παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν Ἰούδα.

46. Καὶ ἦλθον ἕως Ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἐπὶ τῆς εἰσόδου ὀχυρὰ σφόδρα· οὐκ ἦν ἐκκλῖναι ἀπ' αὐτῆς δεξιὰν ἢ ἀριστεράν, ἀλλ' ἢ διὰ μέσου αὐτῆς πορεύεσθαι.

47. Καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως, καὶ ἐνέφραξαν τὰς πύλας λίθοις. Καὶ ἀπέστειλε πρὸς αὐτοὺς Ἰούδας λόγοις εἰρηνικοῖς,

48. λέγων· Διελευσόμεθα διὰ τῆς γῆς σου τοῦ ἀπελθεῖν εἰς τὴν γῆν ἡμῶν, καὶ οὐδεὶς κακοποιήσει ὑμᾶς, πλὴν τοῖς ποσὶ παρελευσόμεθα. Καὶ οὐκ ἠβούλοντο ἀνοῖξαι αὐτῷ.

49. Καὶ ἐπέταξεν Ἰούδας κηρύξαι ἐν τῇ παρεμβολῇ τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ἐστι τόπῳ.

50. Καὶ παρενέβαλον οἱ ἄνδρες τῆς δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα, καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ.

51. Καὶ ἀπώλεσε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἐξεῤῥίζωσεν αὐτήν, καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων.

52. Καὶ διέβησαν τὸν Ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον Βαιθσάν.

53. Καὶ ἦν Ἰούδας ἐπισυνάγων τοὺς ἐσχατίζοντας, καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν τὴν ὁδόν, ἕως οὗ ἦλθον εἰς γῆν Ἰούδα.

54. Καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν ἐν εὐφροσύνῃ καὶ χαρᾷ, καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ αὐτῶν οὐδεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ.

55. Καὶ ἐν ταῖς ἡμέραις αἷς ἦν Ἰούδας καὶ Ἰωνάθαν ἐν τῇ Γαλαάδ, καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Γαλιλαίᾳ κατὰ πρόσωπον Πτολεμαΐδος,

56. ἤκουσεν Ἰωσὴφ ὁ τοῦ Ζαχαρίου καὶ Ἀζαρίας, ἄρχοντες τῆς δυνάμεως, τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέμου οἷα ἐποίησαν,

57. καὶ εἶπεν· Ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα, καὶ πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν.

58. Καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς δυνάμεως τῆς μετ' αὐτῶν, καὶ ἐπορεύθησαν ἐπὶ Ἰάμνειαν.

59. Καὶ ἐξῆλθε Γοργίας ἐκ τῆς πόλεως, καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πόλεμον.

60. Καὶ ἐτροπώθη Ἰώσηφος καὶ Ἀζαρίας, καὶ ἐδιώχθησαν ἕως τῶν ὁρίων τῆς Ἰουδαίας. Καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ τοῦ Ἰσραὴλ εἰς δισχιλίους ἄνδρας, καὶ ἐγενήθη τροπὴ μεγάλη ἐν τῷ λαῷ Ἰσραήλ,

61. ὅτι οὐκ ἤκουσαν Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, οἰόμενοι ἀνδραγαθῆσαι.

62. Αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων οἷς ἐδόθη σωτηρία Ἰσραὴλ διὰ χειρὸς αὐτῶν.

63. Καὶ ὁ ἀνὴρ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν σφόδρα ἐναντίον παντὸς Ἰσραὴλ καὶ τῶν ἐθνῶν πάντων οὗ ἠκούετο τὸ ὄνομα αὐτῶν.

derunt igni cum omnibus quæ erant in ipso. Et oppressa est Carnain, et non potuerunt ultra sustinere contra faciem Judæ.

45. Et congregavit Judas universos Israelitas qui erant in Galaaditide a minimo usque ad maximum, et uxores eorum et natos eorum et apparatum, castra magna valde, ut venirent in terram Juda.

46. Et venerunt usque ad Ephron, et hæc civitas magna in ingressu munita valde : non erat declinare ab ea dexteram vel sinistram, sed per medium ejus iter erat.

47. Et incluserunt se qui erant de civitate, et obstruxerunt portas lapidibus. Et misit ad eos Judas verba pacifica,

48. dicens : Transibimus per terram tuam ut eamus in terram nostram, et nemo vobis nocebit, tantum pedibus transibimus. Et nolebant ei aperire.

49. Et præcepit Judas prædicari in castris ut applicarent unusquisque in quo erat loco.

50. Et applicuerunt viri virtutis, et oppugnaverunt civitatem tota die illa et tota nocte, et tradita est civitas in manibus ejus.

51. Et peremit omnem masculum in ore gladii, et eradicavit eam, et accepit spolia ejus, et transivit per civitatem super interfectos.

52. Et transgressi sunt Jordanem in campum magnum contra faciem Bæthsan.

53. Et erat Judas congregans extremos, et exhortabatur populum per totam viam, donec venerunt in terram Juda.

54. Et ascenderunt in montem Sion cum lætitia et gaudio, et obtulerunt holocausta, quod nemo ex eis cecidisset donec reverterentur in pace.

55. Et in diebus quibus erat Judas et Jonathan in Galaad, et Simon frater ejus in Galilæa contra faciem Ptolemaidis,

56. audivit Joseph Zachariæ filius et Azarias, principes virtutis, res bene gestas et prælia quæ facta sunt,

57. et dixit : Faciamus et ipsi nobis nomen, et eamus pugnare adversum gentes quæ in circuitu nostro sunt.

58. Et præceperunt his qui erant in exercitu suo, et abierunt Jamniam.

59. Et exivit Gorgias de civitate, et viri ejus obviam illis in pugnam.

60. Et fugati sunt Joseph et Azarias, et propulsati usque in fines Judææ. Et ceciderunt die illa de populo Israel ad duo millia viri, et facta est plaga magna in populo Israel,

61. quia non audierunt Judam et fratres ejus, existimantes fortiter se facturos.

62. Ipsi autem non erant de semine virorum illorum quibus data est salus Israel per manum eorum.

63. Et vir Judas et fratres ejus glorificati sunt valde in conspectu omnis Israel et gentium omnium ubi audiebatur nomen eorum.

64. Καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφημοῦντες.

65. Καὶ ἐξῆλθεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἐπολέμουν τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ γῇ πρὸς νότον, καὶ ἐπάταξε τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς· καὶ καθεῖλε τὸ ὀχύρωμα αὐτῆς, καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν.

66. Καὶ ἀπῆρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων, καὶ διεπορεύετο τὴν Σαμάρειαν.

67. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς ἐν πολέμῳ βουλόμενοι ἀνδραγαθῆσαι, ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύτως.

68. Καὶ ἐξέκλινεν Ἰούδας εἰς Ἄζωτον γῆν ἀλλοφύλων, καὶ καθεῖλε τοὺς βωμοὺς αὐτῶν, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατέκαυσε πυρὶ, καὶ ἐσκύλευσε τὰ σκῦλα τῶν πόλεων, καὶ ἐπέστρεψεν εἰς τὴν γῆν Ἰούδα.

ΚΕΦΑΛΑΙΟΝ ς'.

1. Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας, καὶ ἤκουσεν ὅτι ἐστὶν Ἐλυμαῒς ἐν τῇ Περσίδι πόλις ἔνδοξος πλούτῳ, ἀργυρίῳ τε καὶ χρυσίῳ,

2. καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, καὶ ἐκεῖ καλύμματα χρυσᾶ καὶ θώρακες καὶ ὅπλα, ἃ κατέλιπεν ἐκεῖ Ἀλέξανδρος ὁ Φιλίππου βασιλεὺς ὁ Μακεδὼν, ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς Ἕλλησι.

3. Καὶ ἦλθε καὶ ἐζήτει καταλαβέσθαι τὴν πόλιν καὶ προνομεῦσαι αὐτὴν, καὶ οὐκ ἠδυνάσθη, ὅτι ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως.

4. Καὶ ἀνέστησαν αὐτῷ εἰς πόλεμον, καὶ ἔφυγε καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης ἀποστρέψαι εἰς Βαβυλῶνα.

5. Καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν Περσίδα, ὅτι τετρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν Ἰούδα,

6. καὶ ἐπορεύθη Λυσίας δυνάμει ἰσχυρᾷ ἐν πρώτοις, καὶ ἀνετράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπίσχυσαν ὅπλοις καὶ δυνάμει καὶ σκύλοις πολλοῖς οἷς ἔλαβον ἀπὸ τῶν παρεμβολῶν ὧν ἐξέκοψαν.

7. Καὶ καθεῖλον τὸ βδέλυγμα ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Ἱερουσαλὴμ, καὶ τὸ ἁγίασμα καθὼς τοπρότερον ἐκύκλωσαν τείχεσιν ὑψηλοῖς, καὶ τὴν Βαιθσούραν πόλιν αὐτοῦ.

8. Καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη σφόδρα· καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἐνέπεσεν εἰς ἀῤῥωστίαν ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο.

9. Καὶ ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ' αὐτὸν λύπη μεγάλη, καὶ ἐλογίσατο ὅτι ἀποθνήσκει.

10. Καὶ ἐκάλεσε πάντας τοὺς φίλους αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· Ἀφίσταται ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης·

11. καὶ εἶπα τῇ καρδίᾳ μου· Ἕως τίνος θλίψεως ἦλθον καὶ κλύδωνος μεγάλου ἐν ᾧ νῦν εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου.

12. Νῦν δὲ μιμνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν Ἱερουσαλὴμ, καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τὰ ἐν αὐτῇ, καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς κατοικοῦντας Ἰούδα διακενῆς.

13. Ἔγνων οὖν ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦτα· καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ ἐν γῇ ἀλλοτρίᾳ.

64. Et convenerunt ad eos fausta acclamantes.

65. Et exivit Judas et fratres ejus, et expugnabant filios Esau in terra quæ ad austrum est, et percussit Chebron et filias ejus et destruxit munitionem ejus, et turres ejus succendit in circuitu.

66. Et movit castra ut iret in terram alienigenarum, et perambulabat Samariam.

67. In die illa ceciderunt sacerdotes in bello dum volunt fortiter facere, dum sine consilio exeunt in prælium.

68. Et declinavit Judas in Azotum terram alienigenarum, et diruit aras eorum, et sculptilia deorum eorum succendit igni, et cepit spolia civitatum, et reversus est in terram Juda.

CAPUT VI.

1. Et rex Antiochus perambulabat superiores regiones, et audivit esse Elymaidem in Perside civitatem nobilissimam divitiis, argentoque et auro,

2. templumque quod in ea locuples valde, et illic velamina aurea et loricæ et scuta, quæ reliquit ibi Alexander Philippi rex Macedo, qui regnavit primus in Græcis.

3. Et venit et quærebat capere civitatem et deprædari eam, et non potuit, quoniam innotuit sermo his qui erant de civitate.

4. Et insurrexerunt in eum in prælium, et fugit et abiit inde cum tristitia magna ut reverteretur Babyloniam.

5. Et venit qui nuntiaret ei in Perside, quia fugata sunt castra quæ iverant in terram Juda,

6. et ivit Lysias cum virtute forti in primis, et fugatus est a facie eorum, et invaluerunt armis et viribus et spoliis multis quæ ceperunt de castris quæ exciderunt.

7. Et diruerunt abominationem quam ædificaverat super altare quod erat in Jerusalem, et sanctificationem sicut prius circumdederunt muris excelsis, et Bæthsuram civitatem suam.

8. Et factum est, ut audivit rex sermones istos, expavit et commotus est valde : et decidit in lectum, et incidit in languorem præ tristitia, quia non est factum sibi sicut cogitabat.

9. Et erat illic per dies multos, quia renovata est in eo tristitia magna, et arbitratus est se mori.

10. Et vocavit omnes amicos suos, et dixit illis : Recessit somnus ab oculis meis, et concidi corde præ sollicitudine :

11. et dixi in corde meo : In quantam tribulationem deveni et tempestatem magnam in qua nunc sum? quia jucundus eram et dilectus in potestate mea.

12. Nunc vero reminiscor malorum quæ feci in Jerusalem, et abstuli omnia vasa aurea et argentea quæ erant in ea, et misi auferre habitantes Judæam sine causa.

13. Cognovi ergo quia propterea invenerunt me mala ista : et ecce pereo tristitia magna in terra aliena.

14. Καὶ ἐκάλεσε Φίλιππον ἕνα τῶν φίλων αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ·

15. καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν αὐτοῦ καὶ τὸν δακτύλιον, τοῦ ἀγαγεῖν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ, καὶ ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν.

16. Καὶ ἀπέθανεν ἐκεῖ Ἀντίοχος ὁ βασιλεὺς ἔτους ἐνάτου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ.

17. Καὶ ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ βασιλεὺς, καὶ κατέστησε βασιλεύειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, ὃν ἐξέθρεψε νεώτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Εὐπάτορα.

18. Καὶ οἱ ἐκ τῆς ἄκρας ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύκλῳ τῶν ἁγίων, καὶ ζητοῦντες τὰ κακὰ δι' ὅλου καὶ στήριγμα τοῖς ἔθνεσι.

19. Καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι αὐτούς· καὶ ἐξεκκλησίασε πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ' αὐτούς.

20. Καὶ συνήχθησαν ἅμα, καὶ περιεκάθισαν ἐπ' αὐτοὺς ἔτους πεντηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ ἐποίησεν ἐπ' αὐτοὺς βελοστάσεις καὶ μηχανάς.

21. Καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ τοῦ συγκλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινες τῶν ἀσεβῶν ἐξ Ἰσραὴλ,

22. καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπον· Ἕως πότε οὐ ποιήσῃ κρίσιν, καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν;

22. Ἡμεῖς εὐδοκοῦμεν δουλεύειν τῷ πατρί σου καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις καὶ κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ,

24. καὶ περικάθηνται εἰς τὴν ἄκραν υἱοὶ τοῦ λαοῦ ἡμῶν· χάριν τούτου καὶ ἀλλοτριοῦνται ἀφ' ἡμῶν· πλὴν ὅσοι εὑρίσκοντο ἀφ' ἡμῶν ἐθανατοῦντο, καὶ αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο.

25. Καὶ οὐχ ἐφ' ἡμᾶς μόνον ἐξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν.

26. Καὶ ἰδοὺ παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἱερουσαλὴμ, τοῦ καταλαβέσθαι αὐτὴν καὶ τὸ ἁγίασμα, καὶ τὴν Βαιθσούραν ὠχύρωσαν.

27. Καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διατάχους, μείζονα τούτων ποιήσουσι, καὶ οὐ δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν.

28. Καὶ ὠργίσθη ὁ βασιλεὺς ὅτι ἤκουσε, καὶ συνήγαγε πάντας τοὺς φίλους αὐτοῦ, καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ, καὶ τοὺς ἐπὶ τῶν ἡνιῶν.

29. Καὶ ἀπὸ βασιλειῶν ἑτέρων καὶ ἀπὸ νήσων θαλασσῶν ἦλθον πρὸς αὐτὸν δυνάμεις μισθωταί.

30. Καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐτοῦ ἑκατὸν χιλιάδες τῶν πεζῶν, καὶ εἴκοσι χιλιάδες ἵππων, καὶ ἐλέφαντες δύο καὶ τριάκοντα εἰδότες πόλεμον.

31. Καὶ ἦλθοσαν διὰ τῆς Ἰδουμαίας, καὶ παρενεβάλοσαν ἐπὶ Βαιθσούραν, καὶ ἐπολέμησαν ἡμέρας πολλὰς, καὶ ἐποίησαν μηχανὰς, καὶ ἐξῆλθον, καὶ ἐνεπύρισαν αὐτὰς ἐν πυρὶ, καὶ ἐπολέμησαν ἀνδρωδῶς.

32. Καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας, καὶ παρενέβαλεν εἰς Βαιθζαχαρία ἀπέναντι τῆς παρεμβολῆς τοῦ βασιλέως.

33. Καὶ ὤρθρισεν ὁ βασιλεὺς τοπρωῒ, καὶ ἀπῆρε τὴν παρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν Βαιθζαχαρία, καὶ διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι.

34. Καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ μόρων, τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον.

14. Et vocavit Philippum unum de amicis suis, et præposuit eum super universum regnum suum :

15. et dedit ei diadema et stolam suam et annulum, ut adduceret Antiochum filium suum, et nutriret eum ut regnaret.

16. Et mortuus est illic Antiochus rex anno nono et quadragesimo et centesimo.

17. Et cognovit Lysias quoniam mortuus est rex, et constituit regnare Antiochum filium suum pro se, quem nutrivit adolescentem, et vocavit nomen ejus Eupatorem.

18. Et qui erant in arce concluserant Israel in circuitu sanctorum, et quærebant mala semper et firmamentum gentibus.

19. Et cogitavit Judas disperdere eos : et convocavit universum populum ut obsiderent eos.

20. Et convenerunt simul, et obsederunt eos anno centesimo quinquagesimo, et fecit super eos balistas et machinas.

21. Et exierunt quidam ex eis de clausura, et adjunxerunt se illis aliqui impii ex Israel ,

22. et abierunt ad regem et dixerunt : Quousque non facies judicium, et vindicabis fratres nostros?

23. Nos decrevimus servire patri tuo et ambulare in præceptis ejus et obsequi edictis ejus,

24. et obsessi sunt in arce filii populi nostri : propter hoc et alienant se a nobis : et quicumque inveniebantur ex nobis interficiebantur, et hæreditates nostræ diripiebantur.

25. Et non ad nos tantum extenderunt manum, sed et in omnes fines nostros.

26. Et ecce applicuerunt hodie ad arcem in Jerusalem, occupare eam et sanctificationem, et Bæthsuram munierunt.

27. Et nisi præveneris eos velocius, majora quam hæc facient, et non poteris obtinere eos.

28. Et iratus est rex ut audivit, et convocavit omnes amicos suos, et principes exercitus sui, et eos qui super equites erant.

29. Et de regnis aliis et de insulis maritimis venerunt ad eum exercitus conductitii.

30. Et erat numerus exercituum ejus centum millia peditum, et viginti millia equitum, et elephanti triginta duo docti ad prælium.

31. Et venerunt per Idumæam, et applicuerunt ad Bæthsuram, et pugnaverunt dies multos, et fecerunt machinas, et exierunt, et succenderunt eas igni, et pugnaverunt viriliter.

32. Et recessit Judas ab arce, et movit castra ad Bæthzacharia contra castra regis.

33. Et surrexit rex ante lucem, et concitavit exercitum in impetu ejus contra viam Bæthzacharia, et comparaverunt se exercitus in prælium, et tubis cecinerunt.

34. Et elephantis ostenderunt sanguinem uvæ et mororum, ad acuendos eos in prælium.

35. Καὶ διεῖλον τὰ θηρία εἰς τὰς φάλαγγας, καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαῖαι χαλκαῖ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, καὶ πεντακόσιοι ἵπποι διατεταγμένοι ἑκάστῳ θηρίῳ ἐκλελεγμένοι.

36. Οὗτοι πρὸ καιροῦ, οὗ ἐὰν ἦν τὸ θηρίον, ἦσαν, καὶ οὗ ἐὰν ἐπορεύετο, ἐπορεύοντο ἅμα, οὐκ ἀφίσταντο ἀπ' αὐτοῦ.

37. Καὶ πύργοι ξύλινοι ἐπ' αὐτοὺς ὀχυροὶ, σκεπαζόμενοι ἐφ' ἑκάστου θηρίου, ἐζωσμένοι ἐπ' αὐτοῦ μηχαναῖς, καὶ ἐφ' ἑκάστου ἄνδρες δυνάμεως δύο καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς, καὶ ὁ Ἰνδὸς αὐτοῦ.

38. Καὶ τὴν ἐπίλοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησαν ἐπὶ τὰ δύο μέρη τῆς παρεμβολῆς κατασείοντες καὶ καταφρασσόμενοι ἐν ταῖς φάραγξιν.

39. Ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς καὶ χαλκᾶς ἀσπίδας, ἔστιλβε τὰ ὄρη ἀπ' αὐτῶν, καὶ κατηύγαζεν ὡς λαμπάδες πυρός.

40. Καὶ ἐξετάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη, καί τινες ἐπὶ ταπεινά· καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως.

41. Καὶ ἐσαλεύοντο πάντες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν καὶ ὁδοιπορίας τοῦ πλήθους καὶ συγκρουσμοῦ τῶν ὅπλων· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη σφόδρα καὶ ἰσχυρά.

42. Καὶ ἤγγισε Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς παράταξιν, καὶ ἔπεσον ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες.

43. Καὶ εἶδεν Ἐλεάζαρ ὁ Σαυαρὰν ἓν τῶν θηρίων τεθωρακισμένον θώρακι βασιλικῷ, καὶ ἦν ὑπεράγον πάντα τὰ θηρία, καὶ ὤφθη ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς.

44. Καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ, καὶ περιποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον.

45. Καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος, καὶ ἐθανάτου δεξιὰ καὶ εὐώνυμα, καὶ ἐσχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα.

46. Καὶ εἰςέδυ ὑπὸ τὸν ἐλέφαντα, καὶ ὑπέθηκεν αὐτῷ, καὶ ἀνεῖλεν αὐτὸν, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ.

47. Καὶ ἴδον τὴν ἰσχὺν τῆς βασιλείας καὶ τὸ ὅρμημα τῶν δυνάμεων, καὶ ἐξέκλιναν ἀπ' αὐτῶν.

48. Οἱ δὲ ἐκ τῆς παρεμβολῆς τοῦ βασιλέως ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς Ἱερουσαλήμ· καὶ παρενέβαλεν ὁ βασιλεὺς εἰς τὴν Ἰουδαίαν καὶ εἰς τὸ ὄρος Σιών,

49. καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐκ Βαιθσούρων. Καὶ ἐξῆλθον ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ τοῦ συγκεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάββατον ἦν τῇ γῇ.

50. Καὶ κατελάβετο βασιλεὺς τὴν Βαιθσούραν, καὶ ἀπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν αὐτήν.

51. Καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλὰς, καὶ ἔστησεν ἐκεῖ βελοστάσεις καὶ μηχανὰς καὶ πυρόβολα καὶ λιθόβολα καὶ σκορπίδια εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας.

52. Καὶ ἐποίησαν καὶ αὐτοὶ μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν, καὶ ἐπολέμησαν ἡμέρας πολλάς.

53. Βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις, διὰ τὸ

35. Et diviserunt bestias in legiones, et statuerunt singulis elephantis mille viros in loricis concatenatis, et galeæ æreæ in capitibus eorum, et quingenti equites ordinati unicuique bestiæ electi.

36. Hi ante tempus, ubicumque erat bestia, ibi erant, et quocumque ibat, ibant simul, non discedebant ab ea.

37. Et turres ligneæ super eos firmæ, protegentes super unamquamque bestiam, accinctæ super eam machinis, et super unamquamque viri virtutis triginta duo qui pugnabant in eis, et magister ejus.

38. Et residuum equitatum hinc et inde statuerunt in duas partes castrorum commoventes et constipati in vallibus.

39. Ut autem refulsit sol in clypeos aureos et æreos, resplenduerunt montes ab eis, et resplenduerunt sicut lampades ignis.

40. Et extendit se pars quædam exercitus regis per montes excelsos, et quidam per loca humilia : et ibant caute et ordinate.

41. Et commovebantur omnes audientes vocem multitudinis eorum et incessum turbæ et collisionem armorum : erat enim exercitus magnus valde et fortis.

42. Et appropiavit Judas et exercitus ejus in prælium, et ceciderunt de exercitu regis sexcenti viri.

43. Et vidit Eleazar filius Savaran unam de bestiis loricatam lorica regis, et erat eminens super cæteras bestias, et visum est quod in ea esset rex.

44. Et dedit se ut liberaret populum suum, et acquireret sibi nomen æternum.

45. Et cucurrit ad eam audacter in medium legionis, interficiens a dextris et sinistris, et scindebantur ab eo hinc et inde.

46. Et subiit sub elephantum, et supposuit se ei, et occidit eum, et cecidit in terram super ipsum, et mortuus est illic.

47. Et videntes virtutem regni et impetum exercituum, diverterunt se ab eis.

48. Qui autem erant de castris regis ascenderunt contra eos in Jerusalem : et applicuit rex ad Judæam et montem Sion,

49. et fecit pacem cum his qui erant in Bæthsuris. Et exierunt de civitate, quia non erant eis ibi alimenta conclusis in ea, quia sabbatum erat terræ.

50. Et comprehendit rex Bæthsuram, et constituit ibi custodiam servare eam.

51. Et castra habuit ad locum sanctificationis dies multos, et statuit illic balistas et machinas et ignis jacula et tormenta ad lapides jactandos et scorpios ad mittendas sagittas et fundibula.

52. Fecerunt autem et ipsi machinas adversus machinas eorum, et pugnaverunt dies multos.

53. Escæ autem non erant in vasis, eo quod septimus

ἕβδομον ἔτος εἶναι, καὶ οἱ ἀνασωζόμενοι εἰς τὴν Ἰουδαίαν ἀπὸ τῶν ἐθνῶν κατέφαγον τὸ ὑπόλειμμα τῆς παραθέσεως.

54. Καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες ὀλίγοι, ὅτι κατεκράτησεν αὐτῶν ὁ λιμός· καὶ ἐσκορπίσθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

55. Καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος, ὃν κατέστησεν ὁ βασιλεὺς Ἀντίοχος ἔτι ζῶν ἐκθρέψαι Ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐτὸν,

56. ἀπέστρεψεν ἀπὸ τῆς Περσίδος καὶ Μηδείας, καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ βασιλέως μετ' αὐτοῦ, καὶ ὅτι ζητεῖ παραλαβεῖν τὰ πράγματα.

57. Καὶ κατέσπευσε τοῦ ἀπελθεῖν καὶ εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας· Ἐκλείπομεν καθ' ἡμέραν, καὶ ἡ τροφὴ ἡμῖν ὀλίγη, καὶ ὁ τόπος οὗ παρεμβάλλομεν ἐστὶν ὀχυρὸς, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας.

58. Νῦν οὖν δῶμεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις, καὶ ποιήσωμεν μετ' αὐτῶν εἰρήνην καὶ μετὰ παντὸς ἔθνους αὐτῶν,

59. Καὶ στήσωμεν αὐτοῖς τοῦ πορεύεσθαι τοῖς νομίμοις αὐτῶν ὡς τοπρότερον. Χάριν γὰρ τῶν νομίμων αὐτῶν, ὧν διεσκεδάσαμεν, ὠργίσθησαν καὶ ἐποίησαν ταῦτα πάντα.

60. Καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἀπέστειλε πρὸς αὐτοὺς εἰρηνεῦσαι, καὶ ἐπεδέξαντο.

61. Καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες· ἐπὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος.

62. Καὶ εἰςῆλθεν ὁ βασιλεὺς εἰς τὸ ὄρος Σιὼν, καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου· καὶ ἠθέτησε τὸν ὁρκισμὸν ὃν ὤμοσε, καὶ ἐνετείλατο καθελεῖν τὸ τεῖχος κυκλόθεν.

63. Καὶ ἀπῆρε κατὰ σπουδὴν, καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν, καὶ εὗρε Φίλιππον κυριεύοντα τῆς πόλεως, καὶ ἐπολέμησε πρὸς αὐτὸν, καὶ κατελάβετο τὴν πόλιν βίᾳ.

annus esset, et qui evaserant in Judæam de gentibus comederant reliquias eorum quæ reposita fuerant.

54. Et remanserunt in sanctis viri pauci, quoniam obtinuerat eos fames : et dispersi sunt unusquisque in locum suum.

55. Et audivit Lysias quod Philippus, quem constituerat rex Antiochus cum adhuc viveret ut nutriret Antiochum filium suum ad faciendum illum regnare,

56. reversus est a Perside et Media, et exercitus regis qui abierant cum ipso, et quia quærit suscipere negotia.

57. Et festinavit ire et dicere ad regem et duces exercitus et viros : Deficimus quotidie, et esca nobis modica est, et locus quem obsidemus est munitus, et incumbunt nobis negotia regni.

58. Nunc igitur demus dexteram hominibus istis, et faciamus cum illis pacem et cum omni gente eorum,

59. et constituamus illis ut ambulent in legitimis suis sicut prius. Propter legitima enim ipsorum, quæ dispersimus, irati sunt et fecerunt omnia hæc.

60. Et placuit sermo in conspectu regis et principum, et misit ad eos pacem facere, et acceperunt.

61. Et juravit illis rex et principes : tunc exierunt de munitione.

62. Et intravit rex in montem Sion, et vidit munitionem loci : et rupit juramentum quod juravit, et mandavit destruere murum in gyro.

63. Et discessit festinanter, et reversus est Antiochiam, et invenit Philippum dominantem civitati, et pugnavit adversus eum, et occupavit civitatem vi.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθε Δημήτριος ὁ τοῦ Σελεύκου ἐκ Ῥώμης, καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλίγοις εἰς πόλιν παραθαλασσίαν, καὶ ἐβασίλευσεν ἐκεῖ.

2. Καὶ ἐγένετο, ὡς εἰςεπορεύετο εἰς οἶκον βασιλείας πατέρων αὐτοῦ, συνέλαβον αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν Λυσίαν ἄγειν αὐτοὺς αὐτῷ.

3. Καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα καὶ εἶπε· Μή μοι δείξητε τὰ πρόςωπα αὐτῶν.

4. Καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνάμεις, καὶ ἐκάθισε Δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ.

5. Καὶ ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ἰσραὴλ, καὶ Ἄλκιμος ἡγεῖτο αὐτῶν, βουλόμενος ἱερατεύειν.

6. Καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα, λέγοντες· Ἀπώλεσεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισαν ἀπὸ τῆς γῆς ἡμῶν.

7. Νῦν οὖν ἀπόστειλον ἄνδρα ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω τὴν ἐξολόθρευσιν πᾶσαν ἣν ἐποίησεν ἡμῖν και τῇ χώρᾳ τοῦ βασιλέως, καὶ κολασάτω αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς.

CAPUT VII.

1. Anno uno et quinquagesimo et centesimo exiit Demetrius Seleuci filius e Roma, et ascendit cum paucis viris in civitatem maritimam, et regnavit illic.

2. Et factum est, ut ingressus est domum regni patrum suorum, comprehendit exercitus Antiochum et Lysiam ut adduceret eos ad eum.

3. Et res ei innotuit et ait : Nolite mihi ostendere facies eorum.

4. Et occidit eos exercitus, et sedit Demetrius super sedem regni sui.

5. Et venerunt ad eum omnes viri iniqui et impii ex Israel, et Alcimus dux erat eorum, qui volebat fieri sacerdos.

6. Et accusaverunt populum apud regem, dicentes : Perdidit Judas et fratres ejus amicos tuos, et nos disperdiderunt de terra nostra.

7. Nunc ergo mitte virum cui credis, et profectus videat exterminium omne quod fecit nobis et regioni regis, et puniat eos et omnes adjutores eorum.

8. Καὶ ἐπέλεξεν ὁ βασιλεὺς τὸν Βακχίδην τῶν φίλων τοῦ βασιλέως, κυριεύοντα ἐν τῷ πέραν τοῦ ποταμοῦ, καὶ μέγαν ἐν τῇ βασιλείᾳ καὶ πιστὸν τῷ βασιλεῖ. Καὶ ἀπέστειλεν αὐτὸν

9. καὶ Ἄλκιμον τὸν ἀσεβῆ, καὶ ἔστησεν αὐτῷ τὴν ἱερωσύνην, καὶ ἐνετείλατο αὐτῷ ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς υἱοῖς Ἰσραήλ.

10. Καὶ ἀπῆραν, καὶ ἦλθον μετὰ δυνάμεως πολλῆς εἰς γῆν Ἰούδα. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου.

11. Καὶ οὐ προςέσχον τοῖς λόγοις αὐτῶν, ἴδον γὰρ ὅτι ἦλθον μετὰ δυνάμεως πολλῆς.

12. Καὶ ἐπισυνήχθησαν πρὸς Ἄλκιμον καὶ Βακχίδην συναγωγὴ γραμματέων, ἐκζητῆσαι δίκαια.

13. Καὶ πρῶτοι οἱ Ἀσιδαῖοι ἦσαν ἐν υἱοῖς Ἰσραὴλ, καὶ ἐπεζήτουν παρὰ αὐτῶν εἰρήνην.

14. Εἶπαν γάρ· Ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος Ἀαρὼν ἦλθεν ἐν ταῖς δυνάμεσι, καὶ οὐκ ἀδικήσει ἡμᾶς.

15. Καὶ ἐλάλησε μετ' αὐτῶν λόγους εἰρηνικοὺς, καὶ ὤμοσεν αὐτοῖς, λέγων· Οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν, καὶ τοῖς φίλοις ὑμῶν.

16. Καὶ ἐνεπίστευσαν αὐτῷ, καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον ὃν ἔγραψε·

17. Σάρκας ὁσίων σου καὶ αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων.

18. Καὶ ἐπέπεσεν αὐτῶν ὁ φόβος καὶ ὁ τρόμος ἐπὶ πάντα τὸν λαὸν, ὅτι εἶπαν· Οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια καὶ κρίσις· παρέβησαν γὰρ τὴν στάσιν καὶ τὸν ὅρκον ὃν ὤμοσαν.

19. Καὶ ἀπῆρε Βακχίδης ἀπὸ Ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐν Βηζὲθ, καὶ ἀπέστειλε καὶ συνέλαβε πολλοὺς ἀπὸ τῶν ἀπ' αὐτοῦ αὐτομολησάντων ἀνδρῶν καί τινας τοῦ λαοῦ, καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα.

20. Καὶ κατέστησε τὴν χώραν τῷ Ἀλκίμῳ, καὶ ἀφῆκε μετ' αὐτοῦ δύναμιν τοῦ βοηθεῖν αὐτῷ. Καὶ ἀπῆλθε Βακχίδης πρὸς τὸν βασιλέα.

21. Καὶ ἠγωνίσατο Ἄλκιμος περὶ τῆς ἀρχιερωσύνης.

22. Καὶ συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ ταράσσοντες τὸν λαὸν αὐτῶν, καὶ κατεκράτησαν γῆν Ἰούδα, καὶ ἐποίησαν πληγὴν μεγάλην ἐν Ἰσραήλ.

23. Καὶ εἶδεν Ἰούδας πᾶσαν τὴν κακίαν ἣν ἐποίησεν Ἄλκιμος καὶ οἱ μετ' αὐτοῦ ἐν υἱοῖς Ἰσραὴλ ὑπὲρ τὰ ἔθνη.

24. Καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς Ἰουδαίας κυκλόθεν, καὶ ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολήσασι, καὶ ἀνεστάλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν.

25. Ὡς δὲ εἶδεν Ἄλκιμος ὅτι ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐτοὺς, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα καὶ κατηγόρησεν αὐτῶν πονηρά.

26. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων, καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ἰσραὴλ, καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν.

27. Καὶ ἦλθε Νικάνωρ εἰς Ἱερουσαλὴμ δυνάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς,

8. Et elegit rex Bacchidem ex amicis regis, qui dominabatur trans flumen, et magnum in regno et fidelem regi. Et misit eum

9. et Alcimum impium, et statuit ei sacerdotium, et mandavit ei facere ultionem in filios Israel.

10. Et surrexerunt, et venerunt cum exercitu magno in terram Juda. Et misit nuntios ad Judam et fratres ejus verbis pacificis cum dolo.

11. Et non intenderunt sermonibus eorum, viderunt enim quia venerant cum exercitu magno.

12. Et convenerunt ad Alcimum et Bacchidem congregatio scribarum, requirere quæ justa sunt.

13. Et primi Asidæi erant in filiis Israel, et exquirebant ab eis pacem.

14. Dixerunt enim : Homo sacerdos de semine Aaron venit in exercitu, et non nocebit nobis.

15. Et locutus est cum eis verba pacifica, et juravit illis, dicens : Non quæremus vobis malum, neque amicis vestris.

16. Et crediderunt ei, et comprehendit ex eis sexaginta viros, et occidit eos in una die secundum verbum quod scripsit :

17. Carnes sanctorum tuorum et sanguinem ipsorum effuderunt in circuitu Jerusalem, et non erat eis qui sepeliret.

18. Et incubuit eorum timor et tremor in omnem populum, quia dixerunt : Non est veritas et judicium in eis : transgressi sunt enim constitutum et jusjurandum quod juraverunt.

19. Et movit Bacchides castra ad Jerusalem, et applicuit in Bezeth, et misit et comprehendit multos ex viris qui a se refugerant et quosdam de populo, et mactavit eos in puteum magnum.

20. Et commisit regionem Alcimo, et reliquit cum eo exercitum in adjutorium ipsi. Et abiit Bacchides ad regem.

21. Et satagebat Alcimus pro principatu sacerdotii.

22. Et convenerunt ad eum omnes qui perturbabant populum suum, et obtinuerunt terram Juda, et fecerunt plagam magnam in Israel.

23. Et vidit Judas omnia mala quæ fecit Alcimus et qui cum eo erant filiis Israel plus quam gentes.

24. Et exiit in omnes fines Judææ in circuitu, et fecit vindictam in viros desertores, et cessaverunt ire in regionem.

25. Ut autem vidit Alcimus quod prævaluit Judas et qui cum eo erant, et cognovit quia non potest sustinere eos, et regressus est ad regem et accusavit eos criminibus.

26. Et misit rex Nicanorem unum ex principibus suis nobilioribus, et qui odio habebat et inimicitias exercebat contra Israel, et mandavit ei evertere populum.

27. Et venit Nicanor in Jerusalem cum exercitu magno, et misit ad Judam et fratres ejus cum dolo verbis pacificis,

28. λέγων· Μὴ ἔστω μάχη ἀναμέσον ἐμοῦ καὶ ὑμῶν. Ἥξω ἐν ἀνδράσιν ὀλίγοις, ἵνα ὑμῶν ἴδω τὰ πρόσωπα μετ' εἰρήνης.

29. Καὶ ἦλθε πρὸς Ἰούδαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν ἕτοιμοι ἐξαρπάσαι τὸν Ἰούδαν.

30. Καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰούδᾳ, ὅτι μετὰ δόλου ἦλθεν ἐπ' αὐτόν· καὶ ἐπτοήθη ἀπ' αὐτοῦ, καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ.

31. Καὶ ἔγνω Νικάνωρ ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰούδᾳ ἐν πολέμῳ κατὰ Χαφαρσαλαμά.

32. Καὶ ἔπεσον τῶν παρὰ Νικάνορος ὡςεὶ πεντακιςχίλιοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν Δαυίδ.

33. Καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄρος Σιών· καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς, καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προςφερομένην ὑπὲρ τοῦ βασιλέως.

34. Καὶ ἐμυκτήρισεν αὐτούς, καὶ κατεγέλασεν αὐτῶν, καὶ ἐμίανεν αὐτούς, καὶ ἐλάλησεν ὑπερηφάνως.

35. Καὶ ὤμοσε μετὰ θυμοῦ, λέγων· Ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται, ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ, ἐμπυριῶ τὸν οἶκον τοῦτον. Καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου.

36. Καὶ εἰςῆλθον οἱ ἱερεῖς, καὶ ἔστησαν κατὰ πρόςωπον τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ, καὶ ἔκλαυσαν καὶ εἶπον·

37. Σὺ, Κύριε, ἐξελέξω τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ' αὐτῷ, εἶναι οἶκον προσευχῆς καὶ δεήσεως τῷ λαῷ σου.

38. Ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσέτωσαν ἐν ῥομφαίᾳ. Μνήσθητι τῶν δυσφημιῶν αὐτῶν, καὶ μὴ δῷς αὐτοῖς μονήν.

39. Καὶ ἐξῆλθε Νικάνωρ ἐξ Ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐν Βαιθωρών, καὶ συνήντησεν αὐτῷ δύναμις Συρίας.

40. Καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν τριςχιλίοις ἀνδράσι. Καὶ προςηύξατο Ἰούδας καὶ εἶπεν·

41. Οἱ παρὰ τοῦ βασιλέως Ἀσσυρίων ὅτε ἐδυσφήμησαν, ἐξῆλθεν ἄγγελός σου, Κύριε, καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας.

42. Οὕτω σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι ὅτι κακῶς ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου, καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ.

43. Καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς ἀδάρ, καὶ συνετρίβη ἡ παρεμβολὴ Νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ.

44. Ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσε Νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον.

45. Καὶ κατεδίωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ ἐλθεῖν εἰς Γάζηρα, καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σάλπιγξι τῶν σημασιῶν·

46. καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν, καὶ ὑπερεκέρων αὐτούς, καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους, καὶ ἔπεσον πάντες ῥομφαίᾳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς.

28. dicens : Non sit pugna inter me et vos. Veniam cum viris paucis, ut videam facies vestras cum pace.

29. Et venit ad Judam, et salutaverunt se invicem pacifice : et hostes parati erant rapere Judam.

30. Et innotuit sermo Judæ, quoniam cum dolo venerat ad eum : et conterritus est ab eo, et amplius noluit videre faciem ejus.

31. Et cognovit Nicanor quoniam denudatum est consilium ejus, et exivit obviam Judæ in pugnam juxta Capharsalama.

32. Et ceciderunt de Nicanoris exercitu fere quinque mille viri, et fugerunt in civitatem David.

33. Et post hæc verba ascendit Nicanor in montem Sion : et exierunt de sacerdotibus e sanctis et de senioribus populi salutare eum in pace, et demonstrare ei holocaustomata quæ offerebantur pro rege.

34. Et irridens sprevit eos, et polluit eos, et locutus est superbe.

35. Et juravit cum ira, dicens : Nisi traditus fuerit Judas et exercitus ejus in manus meas nunc, et erit, cum regressus fuero in pace, succendam domum istam. Et exiit cum ira magna.

36. Et intraverunt sacerdotes, et steterunt ante faciem altaris et templi, et flentes dixerunt :

37. Tu, Domine, elegisti domum istam ad invocandum nomen tuum in ea, ut esset domus orationis et obsecrationis populo tuo.

38. Fac vindictam in homine isto et exercitu ejus, et cadant in gladio. Memento blasphemias eorum, et ne dederis eis ut permaneant.

39. Et exiit Nicanor ab Jerusalem, et castra applicuit ad Bæthoron, et occurrit illi exercitus Syriæ.

40. Et Judas applicuit in Adasa cum tribus millibus viris. Et oravit Judas et dixit :

41. Qui missi erant a rege Assyriorum quando blasphemaverunt, exiit angelus tuus, Domine, et percussit ex eis centum octoginta quinque millia.

42. Sic contere exercitum istum in conspectu nostro hodie, et sciant cæteri quia male locuti sunt super sancta tua, et judica illum secundum malitiam illius.

43. Et commiserunt exercitus prælium tertiadecima die mensis adar, et contrita sunt castra Nicanoris, et cecidit ipse primus in prælio.

44. Ut autem vidit exercitus ejus quia cecidisset Nicanor, projecerunt arma sua et fugerunt.

45. Et persecuti sunt eos viam unius diei ab Adasa usquequo veniatur in Gazera, et cecinerunt post eos tubis significationum :

46. et exierunt de omnibus pagis Judææ in circuitu, et ventilabant eos in cornibus, et convertebantur isti ad istos, et ceciderunt omnes gladio, et non est relictus ex eis nec unus.

47. Καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομὴν, καὶ τὴν κεφαλὴν Νικάνορος ἀφεῖλον καὶ τὴν δεξιὰν αὐτοῦ ἣν ἐξέτεινεν ὑπερηφάνως, καὶ ἤνεγκαν καὶ ἐξέτειναν παρὰ τὴν Ἱερουσαλήμ.

48. Καὶ εὐφράνθη ὁ λαὸς σφόδρα, καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγάλης.

49. Καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ ἄδαρ.

50. Καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας.

47. Et acceperunt spolia et prædam, et caput Nicanoris amputaverunt et dexteram ejus quam extenderat superbe, et attulerunt et suspenderunt contra Jerusalem.

48. Et lætatus est populus valde, et egerunt diem illam diem lætitiæ magnæ.

49. Et constituerunt agi singulis annis diem istam tertiamdecimam adar.

50 Et siluit terra Juda dies paucos.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ, καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προστιθεμένοις αὐτοῖς, καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἱστῶσιν αὐτοῖς φιλία, καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ.

2. Καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν ἐν τοῖς Γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον·

3. καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ Ἱσπανίας, τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ· καὶ κατεκράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ.

4. Καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ' αὐτῶν σφόδρα, καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς, συνέτριψαν αὐτοὺς, καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ' ἐνιαυτόν.

5. Καὶ τὸν Φίλιππον καὶ τὸν Περσέα Κιτιέων βασιλέα καὶ τοὺς ἐπηρμένους ἐπ' αὐτοὺς συνέτριψαν αὐτοὺς ἐν πολέμῳ, καὶ κατεκράτησαν αὐτῶν·

6. καὶ Ἀντίοχον τὸν μέγαν βασιλέα τῆς Ἀσίας τὸν πορευθέντα ἐπ' αὐτοὺς εἰς πόλεμον, ἔχοντα ἑκατὸν εἴκοσιν ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα, καὶ συνετρίβη ἀπ' αὐτῶν·

7. καὶ ἔλαβον αὐτὸν ζῶντα, καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν φόρον μέγαν, διδόναι ὅμηρα καὶ διαστολὴν,

8. καὶ χώραν τὴν Ἰνδικὴν, καὶ Μήδειαν, καὶ Λυδίαν, καὶ ἀπὸ τῶν καλλίστων χωρῶν αὐτῶν· καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς Εὐμένει τῷ βασιλεῖ·

9. καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἐξᾶραι αὐτοὺς, καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς,

10. καὶ ἀπέστειλαν ἐπ' αὐτοὺς στρατηγὸν ἕνα, καὶ ἐπολέμησαν πρὸς αὐτοὺς, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοὶ, καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ προενόμευσαν αὐτοὺς, καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν, καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν, καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης·

11. καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθειραν καὶ ἐδούλωσαν αὐτούς·

12. μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν φιλίαν, καὶ κατεκράτησαν τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακρὰν, καὶ ὅσοι ἤκουον τὸ ὄνομα αὐτῶν ἐφοβοῦντο ἀπ' αὐτῶν·

13. ὅσοις δ' ἂν βούλωνται βοηθεῖν καὶ βασιλεύειν, βασιλεύουσιν· οὓς δ' ἂν βούλωνται, μεθιστῶσι· καὶ ὑψώθησαν σφόδρα.

CAPUT VIII.

1. Et audivit Judas nomen Romanorum, quia sunt potentes viribus, et ipsi bene sentiunt in iis qui se ad ipsos applicant, et quicumque accesserint ad eos, statuunt cum illis amicitiam, et quia sunt potentes viribus.

2. Et narraverunt ei prælia eorum et virtutes bonas quas faciunt in Galatis, et quia obtinuerunt eos et duxerunt sub tributum :

3. Et quanta fecerunt in regione Hispaniæ, in potestatem redigendo metalla argenti et auri quod illic est : et possederunt omnem locum consilio suo et patientia.

4. Et locus erat longe distans ab eis valde, et reges qui supervenerant eis ab extremis terræ, contriverunt, et percusserunt eos plaga magna, cæteri autem dant eis tributum quolibet anno.

5. et Philippum et Persea Citieorum regem et qui adversus eos arma tulerant contriverunt in bello, et obtinuerunt eos :

6. et Antiochum magnum regem Asiæ qui eis pugnam intulerat, habens centum viginti elephantes et equitatum et currus et exercitum magnum valde, contritum ab eis :

7. et ceperunt eum vivum, et statuerunt ut ipsis daret et ipse et qui regnarent post ipsum tributum magnum, daret obsides et constitutum,

8. et regionem Indicam, et Mediam, et Lydiam, et de optimis regionibus eorum : et acceptas eas ab eo dederunt Eumeni regi :

9. et quia qui erant ex Hellade consilium inierunt ire et tollere eos, et innotuit sermo his,

10. et miserunt in eos ducem unum, et pugnaverunt contra illos, et ceciderunt ex eis interfecti multi, et captivas duxerunt uxores eorum et filios eorum, et diripuerunt eos, et terram eorum possederunt, et destruxerunt munitiones eorum, et in servitutem redegerunt eos usque in hunc diem :

11. et residua regna et insulas, quæ aliquando restiterant illis, exterminaverunt et in servitutem redegerunt eos :

12. cum amicis autem suis et qui in ipsis requiem habebant conservaverunt amicitiam, et obtinuerunt regna quæ erant proxima et quæ erant longe, et quicumque audiebant nomen eorum timebant eos :

13. quibus vero vellent auxilio esse ut regnarent, regnabant : quos autem vellent, regno deturbabant : et exaltati sunt valde.

14. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς αὐτῶν διάδημα, καὶ οὐ περιεβάλοντο πορφύραν, ὥστε ἁδρυνθῆναι ἐν αὐτῇ.

15. Καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθ' ἡμέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλευόμενοι διαπαντὸς περὶ τοῦ πλήθους, τοῦ εὐκοσμεῖν αὐτούς·

16. καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ τὴν ἀρχὴν αὐτῶν κατ' ἐνιαυτὸν, καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν, καὶ πάντες ἀκούουσι τοῦ ἑνὸς, καὶ οὐκ ἔστι φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς.

17. Καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου τοῦ Ἀκκὼς καὶ Ἰάσονα υἱὸν Ἐλεαζάρου, καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην, στῆσαι αὐτοῖς φιλίαν καὶ συμμαχίαν,

18. καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ' αὐτῶν, ὅτι ἴδον τὴν βασιλείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ἰσραὴλ δουλείαν.

19. Καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα, καὶ εἰςῆλθον εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρίθησαν καὶ εἶπον·

20. Ἰούδας ὁ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς, στῆσαι μεθ' ὑμῶν συμμαχίαν καὶ εἰρήνην, καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν.

21. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν.

22. Καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἀντέγραψεν ἐπὶ δέλτοις χαλκαῖς, καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης καὶ συμμαχίας·

23. Καλῶς γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει Ἰουδαίων ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐχθρὸς μακρυνθείη ἀπ' αὐτῶν.

24. Ἐὰν δὲ ἐνστῇ πόλεμος ἐν Ῥώμῃ προτέρᾳ ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυρείᾳ αὐτῶν,

25. συμμαχήσει τὸ ἔθνος τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ αὐτοῖς, καρδίᾳ πλήρει·

26. καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ ἐπαρκέσουσι σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥωμαίοις· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν, οὐθὲν λαβόντες.

27. Κατὰ τὰ αὐτὰ δὲ, ἐὰν ἔθνει Ἰουδαίων συμβῇ προτέροις πόλεμος, συμμαχήσουσιν οἱ Ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐτοῖς ὁ καιρὸς ὑπογραφῇ·

28. καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται σῖτος, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν καὶ οὐ μετὰ δόλου.

29. Κατὰ τοὺς λόγους τούτους ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ τῶν Ἰουδαίων.

30. Ἐὰν δὲ μετὰ λόγους τούτους βουλεύσωνται οὗτοι καὶ οὗτοι προςθεῖναι ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προςθῶσιν ἢ ἀφέλωσιν ἔσται κύρια.

31. Καὶ περὶ τῶν κακῶν ὧν ὁ βασιλεὺς Δημήτριος συντελεῖται εἰς αὐτοὺς, ἐγράψαμεν αὐτῷ, λέγοντες· Διατί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους;

32. Ἐὰν οὖν ἔτι ἐντύχωσι κατὰ σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν, καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Καὶ ἤκουσε Δημήτριος ὅτι ἔπεσε Νικάνωρ καὶ αἱ

14. Et in omnibus istis nemo eorum portabat diadema, nec induebatur purpura, ut magnificaretur in ea.

15. Et curiam fecerunt sibi, et quotidie consultabant trecenti et viginti consilium agentes semper de multitudine, ut recte gubernent eos :

16. et committunt uni homini magistratum suum per singulos annos, et ut dominetur universæ terræ ipsorum, et omnes obediunt uni, et non est invidia neque zelus inter eos.

17. Et elegit Judas Eupolemum filium Joannis filii Accos et Jasonem filium Eleazari, et misit eos Romam, constituere cum illis amicitiam et societatem,

18. et ut auferrent jugum ab eis, quia viderunt regnum Græcorum quod servitute premeret Israël.

19. Et abierunt Romam, et via multa valde, et introierunt in curiam, et responderunt et dixerunt :

20. Judas Maccabæus et fratres ejus et populus Judæorum miserunt nos ad vos, statuere vobiscum societatem et pacem, et conscribere nos socios et amicos vestros.

21. Et placuit sermo in conspectu eorum.

22. Et hoc est rescriptum epistolæ quam rescripserunt in tabulis æreis, et miserunt in Jerusalem ut esset apud eos ibi memoriale pacis et societatis :

23. Bene sit Romanis et genti Judæorum in mari et in terra in æternum, gladiusque et hostis procul sit ab eis.

24. Quod si institerit bellum Romanis prius aut omnibus sociis eorum in omni dominatione eorum,

25. auxilium feret gens Judæorum, prout tempus dictaverit eis, corde pleno :

26. et prœliantibus non dabunt neque subministrabunt triticum, arma, pecuniam, naves, sicut placuit Romanis : et custodient mandata eorum, nihil accipientes.

27. Similiter autem, si genti Judæorum prius acciderit bellum, adjuvabunt Romani ex animo, prout eis tempus permiserit :

28. et adjuvantibus non dabitur triticum, arma, pecunia, naves, sicut placuit Romanis : et custodient mandata eorum et absque dolo.

29. Secundum hæc verba constituerunt Romani populo Judæorum.

30. Quod si post hæc verba hi et illi addere aut demere voluerint, facient ex proposito suo, et quæcumque addiderint vel dempserint rata erunt.

31. Et de malis quæ Demetrius rex facit in ipsos, scripsimus ei, dicentes : Quare gravasti jugum tuum super amicos nostros socios Judæos?

32. Si ergo iterum adierint nos adversum te, faciemus illis judicium, et pugnabimus tecum mari terraque.

CAPUT IX.

1. Et audivit Demetrius quia cecidit Nicanor et exercitus

δυνάμεις αὐτοῦ ἐν πολέμῳ, καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκιμον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ἰούδα, καὶ τὸ δεξιὸν κέρας μετ' αὐτῶν.

2. Καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γάλγαλα, καὶ παρενέβαλον ἐπὶ Μαισαλὼθ τὴν ἐν Ἀρβήλοις, καὶ προκατελάβοντο αὐτὴν, καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς.

3. Καὶ τοῦ μηνὸς τοῦ πρώτου ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέβαλον ἐπὶ Ἱερουσαλήμ.

4. Καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βερέαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ.

5. Καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν Ἐλεασὰ, καὶ τρισχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ' αὐτοῦ.

6. Καὶ ἴδον τὸ πλῆθος τῶν δυνάμεων ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐξεῤῥύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ' ἢ ὀκτακόσιοι ἄνδρες.

7. Καὶ εἶδεν Ἰούδας ὅτι ἀπεῤῥύη ἡ παρεμβολὴ αὐτοῦ, καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν· καὶ συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐτούς. Καὶ ἐξελύθη,

8. καὶ εἶπε τοῖς καταλειφθεῖσιν· Ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς.

9. Καὶ ἀπέστρεφαν αὐτὸν, λέγοντες· Οὐ μὴ δυνώμεθα, ἀλλ' ἢ σώζωμεν τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν, καὶ ἐπιστρέψωμεν μετὰ τῶν ἀδελφῶν ἡμῶν, καὶ πολεμήσωμεν πρὸς αὐτούς· ἡμεῖς δὲ ὀλίγοι.

10. Καὶ εἶπεν Ἰούδας· Μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν ἀπ' αὐτῶν· καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἐν ἀνδρείᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν, καὶ μὴ καταλίπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν.

11. Καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς, καὶ ἔστησαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ σφενδονηταὶ καὶ οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως, καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί.

12. Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι, καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν, καὶ ἐφώνουν ταῖς σάλπιγξι.

13. Καὶ ἐσάλπισαν οἱ παρὰ Ἰούδᾳ καὶ αὐτοὶ ταῖς σάλπιγξι, καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρεμβολῶν· καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωΐθεν ἕως ἑσπέρας.

14. Καὶ εἶδεν Ἰούδας ὅτι Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς, καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ·

15. καὶ συνετρίβη τὸ δεξιὸν κέρας ἀπ' αὐτῶν, καὶ ἐδίωκον ὀπίσω αὐτῶν ἕως Ἀζώτου ὄρους.

16. Καὶ οἱ εἰς τὸ ἀριστερὸν κέρας ἴδον ὅτι συνετρίβη τὸ δεξιὸν κέρας, καὶ ἐπέστρεψαν κατὰ πόδας Ἰούδα καὶ τῶν μετ' αὐτοῦ ἐκ τῶν ὄπισθεν.

17. Καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων.

18. Καὶ Ἰούδας ἔπεσε, καὶ οἱ λοιποὶ ἔφυγον,

19. Καὶ ἦραν Ἰωνάθαν καὶ Σίμων Ἰούδαν τὸν ἀδελφὸν αὐτῶν, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ ἐν Μωδεείμ.

ejus in prælio, et apposuit Bacchidem et Alcimum rursum mittere in Judæam, et dextrum cornu cum illis.

2. Et abierunt viam quæ ducit in Galgala, et castra posuerunt super Mæsaloth quæ est in Arbelis, et occupaverunt eam, et peremerunt animas hominum multas.

3. Et mense primo anni secundi et quinquagesimi et centesimi applicuerunt exercitum ad Jerusalem.

4. Et surrexerunt et abierunt in Beream viginti millia virorum et duo millia equitum.

5. Et Judas posuerat castra in Eleasa, et tria millia viri electi cum eo.

6. Et viderunt multitudinem exercituum quia multi sunt, et timuerunt valde : et multi subtraxerunt se de castris, non remanserunt ex eis nisi octingenti viri.

7. Et vidit Judas quod defluxit exercitus suus, et bellum perurgebat eum : et confractus est corde, quia non habebat tempus congregandi eos. Et dissolutus est,

8. et dixit his qui residui erant : Surgamus et ascendamus super adversarios nostros, si forte possimus debellare eos.

9. Et avertebant eum, dicentes : Non poterimus, sed liberemus animas nostras modo, et revertamur cum fratribus nostris, et pugnabimus adversus eos : nos autem pauci sumus.

10. Et ait Judas : Absit istam rem facere, ut fugiamus ab eis : et si appropiavit tempus nostrum, moriamur in virtute propter fratres nostros, et non relinquamus crimen gloriæ nostræ.

11. Et movit exercitus de castris, et steterunt illis obviam, et divisi sunt equites in duas partes, et fundibularii et sagittarii præibant exercitum, et primi certaminis omnes potentes.

12. Bacchides autem erat in dextro cornu, et proximavit legio ex duabus partibus, et clamabant tubis.

13. Exclamaverunt autem et hi qui erant ex parte Judæ etiam ipsi tubis, et commota est terra a voce exercituum : et commissum est prælium a mane usque ad vesperum.

14. Et vidit Judas quod Bacchides et firmior pars exercitus est in dextris, et convenerunt cum ipso omnes constantes corde :

15. et contritum est dexterum cornu, et persecuti sunt eos usque ad montem Azoti.

16. Et qui in sinistro cornu erant viderunt quod contritum est dextrum cornu, et converterunt se ad pedes Judæ et eorum qui cum ipso erant a tergo.

17. Et ingravatum est prælium, et ceciderunt vulnerati multi ex his et ex illis.

18. Et Judas cecidit, et cæteri fugerunt.

19. Et Jonathas et Simon tulerunt Judam fratrem suum, et sepelierunt eum in sepulcro patrum ejus in Modeim.

20. Καὶ ἔκλαυσαν αὐτὸν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθουν ἡμέρας πολλὰς, καὶ εἶπον·

21. Πῶς ἔπεσε δυνατὸς σώζων τὸν Ἰσραήλ;

22. Καὶ τὰ περισσὰ τῶν λόγων Ἰούδα καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν ὧν ἐποίησε καὶ τῆς μεγαλωσύνης αὐτῶν οὐ κατεγράφη· πολλὰ γὰρ ἦν σφόδρα.

23. Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰούδα, ἐξέκυψαν οἱ ἄνομοι ἐν πᾶσι τοῖς ὁρίοις Ἰσραὴλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν.

24. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς μέγας σφόδρα, καὶ ηὐτομόλησεν ἡ χώρα μετ' αὐτῶν.

25. Καὶ ἐξέλεξε Βακχίδης τοὺς ἀσεβεῖς ἄνδρας, καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας.

26. Καὶ ἐξεζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους Ἰούδα, καὶ ἦγον αὐτοὺς πρὸς Βακχίδην· καὶ ἐξεδίκει ἐν αὐτοῖς, καὶ ἐνέπαιζεν αὐτοῖς.

27. Καὶ ἐγένετο θλῖψις μεγάλη ἐν τῷ Ἰσραὴλ, ἥτις οὐκ ἐγένετο ἀφ' ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς.

28. Καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰούδα, καὶ εἶπον τῷ Ἰωνάθαν·

29. Ἀφ' οὗ ὁ ἀδελφός σου Ἰούδας τετελεύτηκε, καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθροὺς καὶ Βακχίδην, καὶ ἐν τοῖς ἐχθραίνουσιν τοῦ ἔθνους ἡμῶν.

30. Νῦν οὖν σε ἠρετισάμεθα σήμερον, τοῦ εἶναι ἀντ' αὐτοῦ ἡμῖν εἰς ἄρχοντα καὶ ἡγούμενον τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν.

31. Καὶ ἐπεδέξατο Ἰωνάθαν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν ἥγησιν, καὶ ἀνέστη ἀντὶ Ἰούδα τοῦ ἀδελφοῦ αὐτοῦ.

32. Καὶ ἔγνω Βακχίδης, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.

33. Καὶ ἔγνω Ἰωνάθαν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ καὶ πάντες οἱ μετ' αὐτοῦ, καὶ ἔφυγον εἰς τὴν ἔρημον Θεκωὲ, καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου Ἀσφάρ.

34. Καὶ ἔγνω Βακχίδης τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἦλθεν αὐτὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ πέραν τοῦ Ἰορδάνου.

35. Καὶ ἀπέστειλε Ἰωνάθαν τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου, καὶ παρεκάλεσε τοὺς Ναυαταίους φίλους αὐτοῦ παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν.

36. Καὶ ἐξῆλθον υἱοὶ Ἰαμβρὶ ἐκ Μηδαβὰ, καὶ συνέλαβον Ἰωάννην καὶ πάντα ὅσα εἶχεν, καὶ ἀπῆλθον ἔχοντες.

37. Μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγγειλαν τῷ Ἰωνάθαν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ ὅτι οἱ υἱοὶ Ἰαμβρὶ ποιοῦσι γάμον μέγαν, καὶ ἄγουσι τὴν νύμφην ἀπὸ Ναδαβὰθ θυγατέρα ἑνὸς τῶν μεγιστάνων μεγάλων τῶν Χαναὰν μετὰ παραπομπῆς μεγάλης.

38. Καὶ ἐμνήσθησαν Ἰωάννου τοῦ ἀδελφοῦ αὐτῶν, καὶ ἀνέβησαν καὶ ἐκρύβησαν ὑπὸ τὴν σκέπην τοῦ ὄρους.

39. Καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἴδον, καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλὴ, καὶ ὁ νυμφίος ἐξῆλθε καὶ οἱ φίλοι αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ τυμπάνων καὶ μουσικῶν καὶ ὅπλων πολλῶν.

40. Καὶ ἐξανέστησαν ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου οἱ περὶ τὸν Ἰωνάθαν, καὶ ἀπέκτειναν αὐτοὺς, καὶ ἔπεσον τραυματίαι πολλοὶ, καὶ οἱ ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος, καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν.

20. Et ploraverunt eum, et fleverunt eum omnis populus Israel planctu magno, et lugebant dies multos, et dixerunt:

21. Quomodo cecidit potens qui salvum faciebat populum Israel?

22. Et cætera verborum Judæ et bellorum et virtutum quas fecit et magnitudinis ejus non sunt descripta: multa enim erant valde.

23. Et factum est post obitum Judæ, emerserunt iniqui in omnibus finibus Israel, et exorti sunt omnes qui operabantur iniquitatem.

24. In diebus illis facta est fames magna valde, et tradidit se regio cum ipsis.

25. Et elegit Bacchides viros impios, et constituit eos dominos regionis.

26. Et exquirebant et perscrutabantur amicos Judæ, et adducebant eos ad Bacchidem: et vindicabat in illos, et illudebat eis.

27. Et facta est tribulatio magna in Israel, qualis non fuit ex die qua non est visus propheta inter eos.

28. Et congregati sunt omnes amici Judæ, et dixerunt Jonathæ:

29. Ex quo frater tuus Judas defunctus est, vir similis ei non est qui exeat contra inimicos et Bacchidem, et in eos qui inimici sunt gentis nostræ.

30. Nunc itaque te hodie elegimus, esse pro eo nobis in principem et ducem ad bellandum bellum nostrum.

31. Et suscepit Jonathas tempore illo principatum, et surrexit loco Judæ fratris sui.

32. Et cognovit Bacchides, et quærebat eum occidere.

33. Et cognovit Jonathas et Simon frater ejus et omnes qui cum eo erant, et fugerunt in desertum Thecoe, et consederunt ad aquam lacus Asphar.

34. Et cognovit Bacchides die sabbatorum, et venit ipse et omnis exercitus ejus trans Jordanem.

35. Et Jonathas misit fratrem suum ducem populi, et rogavit Nauathæos amicos suos ut commodarent sibi apparatum suum qui erat copiosus.

36. Et exierunt filii Zambri ex Medaba, et comprehenderunt Joannem et omnia quæ habebat, et abierunt habentes.

37. Post hæc autem verba renuntiatum est Jonathæ et Simoni fratri ejus quia filii Zambri faciunt nuptias magnas, et ducunt sponsam ex Nadabath filiam unius de magnis principibus Chanaan cum ambitione magna.

38. Et recordati sunt Joannis fratris sui, et ascenderunt et absconderunt se sub tegumento montis.

39. Et elevaverunt oculos suos et viderunt, et ecce tumultus et apparatus multus, et sponsus processit et amici ejus et fratres ejus obviam illis cum tympanis et musicis et armis multis.

40. Et surrexerunt in eos ex insidiis illi qui erant circa Jonatham, et occiderunt eos, et ceciderunt vulnerati multi, et residui fugerunt in montem, et acceperunt omnia spolia eorum.

41. Καὶ μετεστράφη ὁ γάμος εἰς πένθος, καὶ ἡ φωνὴ μουσικῶν αὐτῶν εἰς θρῆνον·

42. καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελφοῦ αὐτῶν, καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ Ἰορδάνου.

43. Καὶ ἤκουσε Βακχίδης, καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν σαββάτων ἕως τῶν κρηπίδων τοῦ Ἰορδάνου ἐν δυνάμει πολλῇ.

44. Καὶ εἶπεν Ἰωνάθαν τοῖς παρ' αὐτοῦ· Ἀναστῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυχῶν ἡμῶν· οὐ γάρ ἐστι σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν.

45. Ἰδοὺ γὰρ ὁ πόλεμος ἐξεναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡμῶν· τὸ δὲ ὕδωρ τοῦ Ἰορδάνου ἔνθεν καὶ ἔνθεν καὶ ἕλος καὶ δρυμός· οὐκ ἔστι τόπος τοῦ ἐκκλῖναι.

46. Νῦν οὖν κεκράξατε εἰς οὐρανὸν, ὅπως διασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. Καὶ συνῆψεν ὁ πόλεμος.

47. Καὶ ἐξέτεινεν Ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν Βακχίδην, καὶ ἐξέκλινεν ἀπ' αὐτοῦ εἰς τὰ ὀπίσω.

48. Καὶ ἐνεπήδησεν Ἰωνάθαν καὶ οἱ μετ' αὐτοῦ εἰς τὸν Ἰορδάνην, καὶ διεκολύμβησαν εἰς τὸ πέραν, καὶ οὐ διέβησαν ἐπ' αὐτοὺς τὸν Ἰορδάνην.

49. Καὶ διέπεσον παρὰ Βακχίδου τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας. Καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλὴμ,

50. καὶ ᾠκοδόμησε πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν Ἱεριχὼ καὶ τὴν Ἐμμαοὺμ, καὶ τὴν Βαιθωρὼν, καὶ τὴν Βαιθὴλ, καὶ τὴν Θαμναθὰ Φαραθωνὶ, καὶ τὴν Τεφὼν ἐν τείχεσιν ὑψηλοῖς καὶ πύλαις καὶ μοχλοῖς.

51. Καὶ ἔθετο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ Ἰσραήλ.

52. Καὶ ὠχύρωσε τὴν πόλιν τὴν ἐν Βαιθσούρα, καὶ τὴν Γάζαρα, καὶ τὴν ἄκραν, καὶ ἔθετο ἐν αὐταῖς δυνάμεις καὶ παραθέσεις βρωμάτων.

53. Καὶ ἔλαβε τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὅμηρα, καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ἱερουσαλὴμ ἐν φυλακῇ.

54. Καὶ ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ, μηνὶ τῷ δευτέρῳ, ἐπέταξεν Ἄλκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς ἐσωτέρας, καὶ καθεῖλε τὰ ἔργα τῶν προφητῶν, καὶ ἐνήρξατο τοῦ καθαιρεῖν.

55. Ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη Ἄλκιμος καὶ ἐνεποδίσθη τὰ ἔργα αὐτοῦ, καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ καὶ παρελύθη, καὶ οὐκ ἐδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντείλασθαι περὶ τοῦ οἴκου αὐτοῦ.

56. Καὶ ἀπέθανεν Ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ βασάνου μεγάλης.

57. Καὶ εἶδε Βακχίδης ὅτι ἀπέθανεν Ἄλκιμος, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα, καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἔτη δύο.

58. Καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι, λέγοντες· Ἰδοὺ Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες· νῦν οὖν ἄξομεν τὸν Βακχίδην, καὶ συλλήψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ.

59. Καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ.

60. Καὶ ἀπῆρε τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς, καὶ ἀπέστειλεν ἐπιστολὰς λάθρα πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅπως συλλάβωσι τὸν Ἰωνάθαν καὶ τοὺς μετ' αὐτοῦ, καὶ οὐκ ἐδύναντο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν.

41. Et conversæ sunt nuptiæ in luctum, et vox musicorum ipsorum in lamentum :

42. et vindicaverunt vindictam sanguinis fratris sui, et reversi sunt ad ripam Jordanis.

43. Et audivit Bacchides, et venit die sabbatorum usque ad oras Jordanis in virtute magna.

44. Et dixit ad suos Jonathas : Surgamus nunc et pugnemus pro animabus nostris : non est enim hodie sicut heri et nudiustertius.

45. Ecce enim bellum ex adverso nobis et a tergo nobis : aqua vero Jordanis hinc et inde et palus et saltus : non est locus divertendi.

46. Nunc ergo clamate in cœlum, ut liberemini de manu inimicorum vestrorum. Et commissum est prælium.

47. Et extendit Jonathas manum suam percutere Bacchidem, et divertit ab eo retro.

48. Et insiliit Jonathas et qui cum eo erant in Jordanem, et transnataverunt in ulteriora, et non transierunt ad eos Jordanem.

49. Et ceciderunt de parte Bacchidis die illa fere mille viri. Et reversus est in Jerusalem,

50. et ædificavit civitates munitas in Judæa, munitionem quæ in Jericho et Emmaum, et Bæthoron, et Bæthel, et Thamnatha Pharathoni, et Tephon muris excelsis et portis et seris.

51. Et posuit custodiam in eis ut inimicitias exercerent in Israel.

52. Et munivit civitatem quæ in Bæthsura, et Gazaram, et arcem, et posuit in eis præsidia et apparatus escarum.

53. Et accepit filios principum regionis obsides, et posuit eos in arce in Jerusalem in custodia.

54. Et anno centesimo quinquagesimo tertio, mense secundo, præcepit Alcimus destrui murum atrii sanctorum interioris, et destruxit opera prophetarum, et cœpit destruere.

55. In tempore illo percussus est Alcimus et impedita sunt opera illius, et occlusum est os ejus et dissolutus est paralysi, nec ultra potuit loqui verbum et mandare de domo sua.

56. Et mortuus est Alcimus in tempore illo cum tormento magno.

57. Et vidit Bacchides quoniam mortuus est Alcimus, et reversus est ad regem, et siluit terra Juda annis duobus.

58. Et cogitaverunt omnes iniqui, dicentes : Ecce Jonathas et qui cum eo sunt in silentio habitant confidenter : nunc ergo adducamus Bacchidem, et comprehendet eos omnes una nocte.

59. Et abierunt et consilium ei dederunt.

60. Et surrexit ut veniret cum exercitu multo, et misit occulte epistolas omnibus sociis suis qui erant in Judæa, ut comprehenderent Jonatham et eos qui cum eo erant, et non potuerunt, quia innotuit eis consilium

61. Καὶ συνελάβοντο ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκοντα ἄνδρας, καὶ ἀπέκτειναν αὐτούς.

62. Καὶ ἐξεχώρησεν Ἰωνάθαν καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ εἰς Βαιθβασὶ τὴν ἐν τῇ ἐρήμῳ, καὶ ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσαν αὐτήν.

63. Καὶ ἔγνω Βακχίδης καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ, καὶ τοῖς ἐκ τῆς Ἰουδαίας παρήγγειλε.

64. Καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βαιθβασὶ καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλὰς, καὶ ἐποίησε μηχανάς.

65. Καὶ ἀπέλιπεν Ἰωνάθαν Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει, καὶ ἐξῆλθεν εἰς τὴν χώραν, καὶ ἐξῆλθεν ἐν ἀριθμῷ.

66. Καὶ ἐπάταξεν Ὀδοαῤῥὴν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Φασιρὼν ἐν τῷ σκηνώματι αὐτῶν, καὶ ἐξήρξατο τύπτειν καὶ ἀναβαίνειν ἐν δυνάμεσι.

67. Καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἐνεπύρισαν τὰς μηχανάς.

68. Καὶ ἐπολέμησαν πρὸς τὸν Βακχίδην, καὶ συνετρίβη ὑπ' αὐτῶν, καὶ ἔθλιβον αὐτὸν σφόδρα, ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ κενή.

69. Καὶ ὠργίσθη θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις τοῖς συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν, καὶ ἀπέκτειναν ἐξ αὐτῶν πολλοὺς, καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ.

70. Καὶ ἐπέγνω Ἰωνάθαν, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις τοῦ συνθέσθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐτοῖς τὴν αἰχμαλωσίαν.

71. Καὶ ἀπεδέξατο καὶ ἐποίησε κατὰ τοὺς λόγους αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

72. Καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλώτευσε τοπρότερον ἐκ γῆς Ἰούδα. Καὶ ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ οὐ προςέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρια αὐτῶν.

73. Καὶ κατέπαυσε ῥομφαία ἐξ Ἰσραὴλ, καὶ ᾤκησεν Ἰωνάθαν ἐν Μαχμάς· καὶ ἤρξατο Ἰωνάθαν κρίνειν τὸν λαὸν, καὶ ἠφάνισε τοὺς ἀσεβεῖς ἐξ Ἰσραήλ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ τοῦ Ἀντιόχου ὁ Ἐπιφανὴς, καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐπεδέξαντο αὐτὸν, καὶ ἐβασίλευσεν ἐκεῖ.

2. Καὶ ἤκουσε Δημήτριος ὁ βασιλεὺς, καὶ συνήγαγε δυνάμεις πολλὰς σφόδρα, καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ εἰς πόλεμον.

3. Καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν ἐπιστολὰς λόγοις εἰρηνικοῖς, ὥςτε μεγαλῦναι αὐτὸν,

4. εἶπε γάρ· Προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ' αὐτοῦ, πρινὴ θεῖναι αὐτὸν μετὰ Ἀλεξάνδρου καθ' ἡμῶν.

5. Μνησθήσεται γὰρ πάντων τῶν κακῶν ὧν συνετελέσαμεν πρὸς αὐτὸν καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἰς τὸ ἔθνος αὐτοῦ.

6. Καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις καὶ κατασκευάζειν ὅπλα, καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ, καὶ τὰ ὅμηρα τὰ ἐν τῇ ἄκρᾳ εἶπε παραδοῦναι αὐτῷ.

61. Et apprehenderunt de viris regionis qui principes erant malitiæ ad quinquaginta viros, et occiderunt eos.

62. Et secessit Jonathas et Simon et qui cum eo erant in Bæthbasi quæ est in deserto, et extruxit diruta ejus, et firmaverunt eam.

63. Et cognovit Bacchides et congregavit universam multitudinem suam, et his qui de Judæa erant denuntiavit.

64. Et venit et castra posuit desuper Bæthbasi et oppugnavit eam dies multos, et fecit machinas.

65. Et reliquit Jonathas Simonem fratrem suum in civitate, et exivit in regionem, et exivit in numero.

66. Et percussit Odoaarrem et fratres ejus et filios Phrasiron in tabernaculo eorum, et cœpit cædere et ascendere in virtutibus.

67. Simon vero et qui cum eo erant exierunt de civitate, et succenderunt machinas.

68. Et pugnaverunt contra Bacchidem, et contritus est ab eis, et afflixerunt eum valde, quoniam consilium ejus et egressus ejus erat inanis.

69. Et iratus est furore contra viros iniquos qui ei consilium dederant ut veniret in regionem, et occiderunt ex eis multos, ipse autem cogitavit abire in terram suam.

70. Et cognovit Jonathas, et misit ad eum legatos componere pacem cum ipso et reddere ei captivitatem.

71. Et libenter accepit et fecit secundum verba ejus, et juravit ei non se quæsiturum ei malum omnibus diebus vitæ ejus.

72. Et reddidit ei captivitatem quam prius erat prædatus de terra Juda. Et conversus abiit in terram suam, et non apposuit amplius venire in fines eorum.

73. Et cessavit gladius ex Israel, et habitavit Jonathas in Machmas : et cœpit Jonathas judicare populum, et exterminavit impios ex Israel.

CAPUT X.

1. Et anno centesimo sexagesimo ascendit Alexander Antiochi filius Epiphanes, et occupavit Ptolemaidam, et receperunt eum, et regnavit illic.

2. Et audivit Demetrius rex, et congregavit exercitum copiosum valde, et exivit obviam illi in prælium.

3. Et misit Demetrius epistolas ad Jonatham verbis pacificis, ut magnificaret eum,

4. dixit enim : Anticipemus facere pacem cum eo, priusquam ipse faciat cum Alexandro adversum nos.

5. Recordabitur enim omnium malorum quæ fecimus in eum et in fratres ejus et in gentem ejus.

6. Et dedit ei potestatem congregandi exercitum et fabricare arma, et esse ipsum socium ejus, et obsides qui erant in arce jussit tradi ei.

7. Καὶ ἦλθεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ, καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ καὶ τῶν ἐκ τῆς ἄκρας.

8. Καὶ ἐφοβήθησαν φόβον μέγαν ὅτε ἤκουσαν ὅτι ἔδωκεν αὐτῷ ὁ βασιλεὺς ἐξουσίαν συναγαγεῖν δυνάμεις.

9. Καὶ παρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωνάθαν τὰ ὅμηρα, καὶ ἀπέδωκεν αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν.

10. Καὶ ᾤκησεν Ἰωνάθαν ἐν Ἱερουσαλὴμ, καὶ ἤρξατο οἰκοδομεῖν καὶ καινίζειν τὴν πόλιν.

11. Καὶ εἶπε πρὸς τοὺς ποιοῦντας τὰ ἔργα, οἰκοδομεῖν τὰ τείχη καὶ τὸ ὄρος Σιὼν κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν, καὶ ἐποίησαν οὕτως.

12. Καὶ ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν οἷς ᾠκοδόμησε Βακχίδης·

13. καὶ κατέλιπεν ἕκαστος τὸν τόπον αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

14. Πλὴν ἐν Βαιθσούρᾳ ὑπελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα, ἦν γὰρ αὐτοῖς φυγαδευτήριον.

15. Καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τὰς ἐπαγγελίας ὅσας ἀπέστειλε Δημήτριος τῷ Ἰωνάθαν, καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας ἃς ἐποίησεν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους οὓς ἔσχον,

16. καὶ εἶπε· Μὴ εὑρήσομεν ἄνδρα τοιοῦτον ἕνα; Καὶ νῦν ποιήσομεν αὐτὸν φίλον καὶ σύμμαχον ἡμῶν.

17. Καὶ ἔγραψεν ἐπιστολὰς καὶ ἀπέστειλεν αὐτῷ κατὰ τοὺς λόγους τούτους, λέγων·

18. Βασιλεὺς Ἀλέξανδρος τῷ ἀδελφῷ Ἰωνάθαν χαίρειν.

19. Ἀκηκόαμεν περὶ σοῦ, ὅτι ἀνὴρ δυνατὸς ἰσχύϊ καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος.

20. Καὶ νῦν καθεστάκαμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου, καὶ φίλον βασιλέως καλεῖσθαι, (καὶ ἀπέστειλεν αὐτῷ πορφύραν καὶ στέφανον χρυσοῦν, καὶ) φρονεῖν τὰ ἡμῶν καὶ συντηρεῖν φιλίαν πρὸς ἡμᾶς.

21. Καὶ ἐνεδύσατο Ἰωνάθαν τὴν ἁγίαν στολὴν τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ἑορτῇ σκηνοπηγίας, καὶ συνήγαγε δυνάμεις, καὶ κατεσκεύασεν ὅπλα πολλά.

22. Καὶ ἤκουσε Δημήτριος τοὺς λόγους τούτους, καὶ ἐλυπήθη καὶ εἶπε·

23. Τί τοῦτο ἐποιήσαμεν ὅτι προέφθακεν ἡμᾶς ὁ Ἀλέξανδρος τοῦ φιλίαν καταθέσθαι τοῖς Ἰουδαίοις εἰς στήριγμα;

24. Γράψω αὐτοῖς κἀγὼ λόγους παρακλήσεως καὶ ὕψους καὶ δομάτων, ὅπως ὦσι σὺν ἐμοὶ εἰς βοήθειαν.

25. Καὶ ἀπέστειλεν αὐτοῖς κατὰ τοὺς λόγους τούτους· Βασιλεὺς Δημήτριος τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν.

26. Ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συνθήκας, καὶ ἐνεμείνατε τῇ φιλίᾳ ἡμῶν καὶ οὐ προσεχωρήσατε τοῖς ἐχθροῖς ἡμῶν, ἠκούσαμεν καὶ ἐχάρημεν.

27. Καὶ νῦν ἐμμείνατε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν, καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαθὰ ἀνθ' ὧν ποιεῖτε μεθ' ἡμῶν·

28. καὶ ἀφήσομεν ὑμῖν ἀφέματα πολλὰ, καὶ δώσομεν ὑμῖν δόματα.

29. Καὶ νῦν ἀπολύω ὑμᾶς, καὶ ἀφίημι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων καὶ τῆς τιμῆς τοῦ ἁλὸς, καὶ ἀπὸ τῶν στεφάνων, καὶ ἀντὶ τοῦ τρίτου τῆς σπορᾶς,

7. Et venit Jonathas in Jerusalem, et legit epistolas in auditu omnis populi et eorum qui in arce erant.

8. Et timuerunt timore magno quoniam audierunt quod dedit ei rex potestatem congregandi exercitum.

9. Et tradiderunt qui erant in arce Jonathæ obsides, et reddidit eos parentibus suis.

10. Et habitavit Jonathas in Jerusalem, et cœpit ædificare et innovare civitatem.

11. Et dixit facientibus opera, ut exstruerent muros et montem Sion in circuitu lapidibus quadratis ad munitionem, et ita fecerunt.

12. Et fugerunt alienigenæ qui erant in munitionibus quas Bacchides ædificaverat:

13. et reliquit unusquisque locum suum, et abiit in terram suam.

14. Tantum in Bæthsura remanserunt aliqui ex his qui reliquerant legem et præcepta, erat enim eis refugium.

15. Et audivit Alexander rex promissa quæ misit Demetrius Jonathæ, et narraverunt ei prælia et virtutes quas ipse fecerat et fratres ejus, et labores quos habuerant,

16. et ait: Numquid inveniemus virum unum talem? Et nunc faciemus eum amicum et socium nostrum.

17. Et scripsit epistolas et misit ei secundum hæc verba, dicens:

18. Rex Alexander fratri Jonathæ salutem.

19. Audivimus de te, quod vir potens sis viribus et aptus ut sis amicus noster.

20. Et nunc constituimus te hodie summum sacerdotem gentis tuæ, et ut amicus regis voceris, et (misit ei purpuram et coronam auream), et sentias nobiscum et conserves amicitiam ad nos.

21. Et induit se Jonathas stolam sanctam septimo mense anni sexagesimi et centesimi in die solemni scenopegiæ, et congregavit exercitum, et paravit arma copiosa.

22. Et audivit Demetrius verba ista, et contristatus est et ait:

23. Quid hoc fecimus quod præoccupavit nos Alexander componere amicitiam cum Judæis ad munimen?

24. Scribam et ego illis verba deprecatoria et dignitatis et donorum, ut sint mecum in adjutorium.

25. Et scripsit eis in hæc verba: Rex Demetrius genti Judæorum salutem.

26. Quoniam servastis ad nos pacta, et mansistis in amicitia nostra et non accessistis ad inimicos nostros, audivimus et gavisi sumus.

27. Et nunc perseverate adhuc conservare ad nos fidem, et retribuemus vobis bona pro his quæ facitis nobiscum:

28. et remittemus vobis remissiones multas, et dabimus vobis donationes.

29. Et nunc absolvo vos, et dimitto omnes Judæos a tributis et pretio salis, et a coronis, et pro tertia parte seminis,

30. καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου τοῦ ἐπιβάλλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα τοῦ λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα, καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν προστιθεμένων αὐτῇ ἀπὸ τῆς Σαμαρείτιδος καὶ Γαλιλαίας, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν αἰῶνα χρόνον.

31. Καὶ Ἱερουσαλὴμ ἤτω ἁγία καὶ ἀφειμένη καὶ τὰ ὅρια αὐτῆς, αἱ δεκάται καὶ τὰ τέλη.

32. Ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ, καὶ δίδωμι τῷ ἀρχιερεῖ, ὅπως ἂν καταστήσῃ ἐν αὐτῇ ἄνδρας οὓς ἂν ἐκλέξηται αὐτὸς τοῦ φυλάσσειν αὐτήν.

33. Καὶ πᾶσαν ψυχὴν Ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀπὸ γῆς Ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δωρεάν· καὶ πάντες ἀφιέτωσαν τοὺς φόρους καὶ τῶν κτηνῶν αὐτῶν.

34. Καὶ πᾶσαι αἱ ἑορταὶ καὶ τὰ σάββατα καὶ νουμηνίαι, καὶ ἡμέραι ἀποδεδειγμέναι, καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ ἑορτὴν, ἔστωσαν πᾶσαι αἱ ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν τῇ βασιλείᾳ μου.

35. Καὶ οὐχ ἕξει ἐξουσίαν οὐδεὶς πράσσειν καὶ παρενοχλεῖν τινα αὐτῶν περὶ παντὸς πράγματος.

36. Καὶ προγραφήτωσαν τῶν Ἰουδαίων εἰς τὰς δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν, καὶ δοθήσεται αὐτοῖς ξένια ὡς καθήκει πάσαις ταῖς δυνάμεσι τοῦ βασιλέως.

37. Καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ βασιλέως τοῖς μεγάλοις, καὶ ἐκ τούτων κατασταθήσεται ἐπὶ χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν· καὶ οἱ ἐπ' αὐτῶν καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν, καὶ πορευέσθωσαν τοῖς νόμοις αὐτῶν, καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν γῇ Ἰούδα.

38. Καὶ τοὺς τρεῖς νομοὺς τοὺς προστεθέντας τῇ Ἰουδαίᾳ ἀπὸ τῆς χώρας Σαμαρείας, προστεθήτω τῇ Ἰουδαίᾳ πρὸς τὸ λογισθῆναι τοῦ γενέσθαι ὑφ' ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας ἀλλ' ἢ τοῦ ἀρχιερέως.

39. Πτολεμαΐδα καὶ τὴν προςκυροῦσαν αὐτῇ δέδωκα δόμα τοῖς ἁγίοις τοῖς ἐν Ἱερουσαλὴμ εἰς τὴν προςήκουσαν δαπάνην τοῖς ἁγίοις.

40. Κἀγὼ δίδωμι κατ' ἐνιαυτὸν δεκαπέντε χιλιάδας σίκλων ἀργυρίου ἀπὸ τῶν λόγων τοῦ βασιλέως, ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων.

41. Καὶ πᾶν τὸ πλεονάζον, ὃ οὐκ ἀπεδίδοσαν οἱ ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσι εἰς τὰ ἔργα τοῦ οἴκου.

42. Καὶ ἐπὶ τούτοις πεντακισχιλίους σίκλους ἀργυρίου, οὓς ἐλάμβανον ἀπὸ τῶν χρειῶν τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ' ἐνιαυτὸν, καὶ ταῦτα ἀφίεται διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι.

43. Καὶ ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ, ὀφείλοντες βασιλικὰ καὶ πᾶν πρᾶγμα, ἀπολελύσθωσαν, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ἐν τῇ βασιλείᾳ μου.

44. Καὶ τοῦ οἰκοδομηθῆναι καὶ τοῦ ἐπικαινισθῆναι τὰ ἔργα τῶν ἁγίων, καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως.

45. Καὶ τοῦ οἰκοδομηθῆναι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὀχυρῶσαι κυκλόθεν, καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ οἰκοδομηθῆναι τὰ τείχη τὰ ἐν τῇ Ἰουδαίᾳ.

30. et pro dimidia parte fructus ligni quod est portionis meæ, dimitto ex hodierna die et deinceps accipere a terra Juda, et a tribus civitatibus quæ additæ sunt illi ex Samaritide et Galilæa, et ex hodierna die et in sempiternum tempus.

31. Et Jerusalem sit sancta et libera et fines ejus, et decimæ et vectigalia.

32. Remitto etiam potestatem arcis quæ est in Jerusalem, et do summo sacerdoti, ut constituat in ea viros quoscumque ipse elegerit qui custodiant eam.

33. Et omnem animam Judæorum quæ captiva est a terra Juda in omni regno meo relinquo liberam gratis: et omnes a tributis solvantur etiam pecorum suorum.

34. Et omnes dies solemnes et sabbata et neomeniæ, et dies decreti, et tres dies ante diem solemnem et tres dies post diem solemnem, sint omnes dies immunitatis et remissionibus omnibus Judæis qui sunt in regno meo.

35. Et nemo habebit potestatem agere et perturbare aliquem illorum de ulla re.

36. Et ascribantur ex Judæis in exercitum regis ad triginta millia virorum, et dabuntur illis xenia ut oportet omnibus exercitibus regis.

37. Et ex eis ordinabuntur qui sint in munitionibus regis magnis, et ex his constituentur super negotia regni quæ aguntur ex fide: et qui sunt super eos et principes sint ex eis, et ambulent in legibus suis, sicut et præcepit rex in terra Juda.

38. Et tres civitates quæ additæ sunt Judææ in regione Samariæ, addat Judææ ad hoc ut reputentur esse sub uno, ut non obediant alienæ potestati nisi summo sacerdoti.

39. Ptolemaidam et regionem addictam ei dedi donum sanctis qui sunt in Jerusalem ad necessarios sumptus sanctorum.

40. Et ego do per singulos annos quindecim millia siclorum argenti de rationibus regis, ex locis quæ me contingunt.

41. Et omne reliquum, quod non reddiderant qui super negotia erant, ut in primis annis, ex hoc nunc dabunt in opera domus.

42. Et super hæc quinque millia siclorum argenti, quos accipiebant de negotiis sanctuarii de ratione per singulos annos, et hæc remittuntur eo quod ipsa pertineant ad sacerdotes qui ministerio funguntur.

43. Et quicumque confugerit in templum quod est Jerosolymis et omnes fines ejus, debentes regalia et quamlibet rem, dimittantur, et universa quæ ipsi habent in regno meo.

44. Et ad ædificanda et instauranda opera sanctorum, etiam sumptus dabuntur de ratione regis.

45. Et ad exstruendos muros Jerusalem et communiendum in circuitu, etiam sumptus dabuntur de ratione regis, et ad construendos muros qui in Judæa.

46. Ὡς δὲ ἤκουσεν Ἰωνάθαν καὶ ὁ λαὸς τοὺς λόγους τούτους, οὐκ ἐπίστευσαν αὐτοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγάλης ἧς ἐποίησεν ἐν Ἰσραὴλ, καὶ ἔθλιψεν αὐτοὺς σφόδρα.

47. Καὶ εὐδόκησαν ἐν Ἀλεξάνδρῳ, ὅτι αὐτὸς ἐγένετο αὐτοῖς ἀρχηγὸς λόγων εἰρηνικῶν, καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας.

48. Καὶ συνήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγάλας, καὶ παρενέβαλεν ἐξεναντίας Δημητρίου.

49. Καὶ συνῆψαν πόλεμον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ Δημητρίου, καὶ ἐδίωξεν αὐτὸν ὁ Ἀλέξανδρος, καὶ ἴσχυσεν ἐπ' αὐτούς.

50. Καὶ ἐστερέωσε τὸν πόλεμον σφόδρα ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ Δημήτριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

51. Καὶ ἀπέστειλεν Ἀλέξανδρος πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους τούτους, λέγων·

52. Ἐπεὶ ἀνέστρεψα εἰς γῆν βασιλείας μου, καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων μου, καὶ ἐκράτησα τῆς ἀρχῆς, καὶ συνέτριψα τὸν Δημήτριον, καὶ ἐπεκράτησα τῆς χώρας ἡμῶν,

53. καὶ συνῆψα πρὸς αὐτὸν μάχην, καὶ συνετρίβη αὐτὸς καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν, καὶ ἐκαθίσαμεν ἐπὶ θρόνου βασιλείας αὐτοῦ·

54. καὶ νῦν στήσωμεν πρὸς ἑαυτοὺς φιλίαν, καὶ νῦν δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμβρεύσω σοι, καὶ δώσω σοι δόματα, καὶ αὐτῇ ἄξιά σου.

55. Καὶ ἀπεκρίθη Πτολεμαῖος ὁ βασιλεὺς, λέγων· Ἀγαθὴ ἡμέρα ἐν ᾗ ἀνέστρεψας εἰς γῆν πατέρων σου, καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐτῶν.

56. Καὶ νῦν ποιήσω σοι ἃ ἔγραψας, ἀλλ' ἀπάντησον εἰς Πτολεμαΐδα, ὅπως ἴδωμεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι καθὼς εἴρηκας.

57. Καὶ ἐξῆλθε Πτολεμαῖος ἐξ Αἰγύπτου αὐτὸς καὶ Κλεοπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ εἰσῆλθον εἰς Πτολεμαΐδα ἔτους δευτέρου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

58. Καὶ ἀπήντησεν αὐτῷ Ἀλέξανδρος ὁ βασιλεὺς, καὶ ἐξέδοτο αὐτῷ Κλεοπάτραν τὴν θυγατέρα αὐτοῦ, καὶ ἐποίησε τὸν γάμον αὐτῆς ἐν Πτολεμαΐδι, καθὼς οἱ βασιλεῖς ἐν δόξῃ μεγάλῃ.

59. Καὶ ἔγραψεν Ἀλέξανδρος ὁ βασιλεὺς τῷ Ἰωνάθαν ἐλθεῖν εἰς συνάντησιν αὐτῷ.

60. Καὶ ἐπορεύθη μετὰ δόξης εἰς Πτολεμαΐδα, καὶ ἀπήντησε τοῖς δυσὶ βασιλεῦσι· καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ τοῖς φίλοις αὐτῶν καὶ δόματα πολλὰ, καὶ εὗρε χάριν ἐναντίον αὐτῶν.

61. Καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ ἐξ Ἰσραὴλ, ἄνδρες παράνομοι ἐντυχεῖν κατ' αὐτοῦ, καὶ οὐ προσέσχεν αὐτοῖς ὁ βασιλεύς.

62. Καὶ προσέταξεν ὁ βασιλεὺς καὶ ἐξέδυσαν Ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕτως. Καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ' αὐτοῦ,

63. καὶ εἶπε τοῖς ἄρχουσιν αὐτοῦ· Ἐξέλθετε μετ' αὐτοῦ εἰς μέσον τῆς πόλεως, καὶ κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατ' αὐτοῦ περὶ μηδενὸς πράγματος, καὶ μηδεὶς αὐτῷ παρενοχλείτω περὶ παντὸς λόγου.

64. Καὶ ἐγένετο, ὡς ἴδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ καθὼς ἐκήρυξαν, καὶ περιβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυγον πάντες.

46. Ut audivit autem Jonathas et populus sermones istos, non crediderunt eis nec receperunt, quia recordati sunt malitiæ magnæ quam fecerat in Israel, et tribulaverat eos valde.

47. Et complacuit eis in Alexandrum, quia ipse fuerat eis princeps sermonum pacis, et ei auxilium ferebant omnibus diebus.

48. Et congregavit Alexander rex exercitum magnum, et admovit castra contra Demetrium.

49. Et commiserunt prælium duo reges, et fugit exercitus Demetrii, et insecutus est eum Alexander, et invaluit super eos.

50. Et confirmavit prælium nimis donec occidit sol, et cecidit Demetrius in die illa.

51. Et misit Alexander ad Ptolemæum regem Ægypti legatos secundum hæc verba, dicens :

52. Quoniam regressus sum in terram regni mei, et sedi in sede patrum meorum, et obtinui principatum, et contrivi Demetrium, et possedi regionem nostram,

53. et commisi pugnam cum eo, et contritus est ipse et castra ejus a nobis, et sedimus in sede regni ejus :

54. et nunc statuamus ad invicem amicitiam, et nunc da mihi filiam tuam uxorem, et ero gener tuus, et dabo tibi dona, et ipsa digna te.

55. Et respondit Ptolemæus rex, dicens : Felix dies in qua reversus es ad terram patrum tuorum, et sedisti in sede regni eorum.

56. Et nunc faciam tibi quæ scripsisti, sed occurre in Ptolemaidam, ut videamus invicem nos, et contraham tecum affinitatem sicut dixisti.

57. Et exivit Ptolemæus de Ægypto ipse et Cleopatra filia ejus, et venerunt Ptolemaidam anno centesimo sexagesimo secundo.

58. Et occurrit ei Alexander rex, et dedit ei Cleopatram filiam suam, et fecit nuptias ejus Ptolemaidæ, sicut reges in magna gloria.

59. Et scripsit Alexander rex Jonathæ ut veniret obviam sibi.

60. Et abiit cum gloria Ptolemaidam, et occurrit duobus regibus : et dedit illis argentum et aurum et amicis eorum et dona multa, et invenit gratiam in conspectu eorum.

61. Et convenerunt adversus eum viri pestilentes ex Israel, viri iniqui interpellantes adversus eum, et non intendit ad eos rex.

62. Et jussit rex spoliari Jonatham vestibus suis, et indui eum purpura, et ita fecerunt. Et fecit eum rex sedere secum,

63. dixitque principibus suis : Exite cum eo in medium civitatis, et prædicate ut nemo adversus eum interpellet de ullo negotio, nec quisquam ei molestus sit de ulla ratione.

64. Et factum est, ut viderunt qui interpellabant gloriam ejus sicut prædicaverant, et opertum eum purpura, fugerunt omnes.

65. Καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεὺς, καὶ ἔγραψεν αὐτὸν τῶν πρώτων φίλων, καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μεριδάρχην.

66. Καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ μετ' εἰρήνης καὶ εὐφροσύνης.

67. Καὶ ἐν ἔτει πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθε Δημήτριος υἱὸς Δημητρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ.

68. Καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς, καὶ ἐλυπήθη σφόδρα, καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν.

69. Καὶ κατέστησε Δημήτριος Ἀπολλώνιον τὸν ὄντα ἐπὶ κοίλης Συρίας, καὶ συνήγαγε δύναμιν μεγάλην, καὶ παρενέβαλεν ἐν Ἰαμνείᾳ· καὶ ἀπέστειλε πρὸς Ἰωνάθαν τὸν ἀρχιερέα, λέγων·

70. Σὺ μονώτατος ἐπαίρῃ ἐφ' ἡμᾶς, ἐγὼ δὲ ἐγενήθην εἰς καταγέλωτα καὶ εἰς ὀνειδισμὸν διὰ σέ. Καὶ διατί σὺ ἐξουσιάζῃ ἐφ' ἡμᾶς ἐν τοῖς ὄρεσι;

71. Νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσί σου, κατάβηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ' ἐμοῦ ἐστι δύναμις τῶν πόλεων.

72. Ἐρώτησον καὶ μάθε τίς εἰμι καὶ οἱ λοιποὶ οἱ βοηθοῦντες ἡμῖν, καὶ λέγουσιν· Οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτροπώθησαν οἱ πατέρες σου ἐν τῇ γῇ αὐτῶν.

73. Καὶ νῦν οὐ δυνήσῃ ὑποστῆναι τὴν ἵππον καὶ δύναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ ἔστι λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ φυγεῖν.

74. Ὡς δὲ ἤκουσεν Ἰωνάθαν τῶν λόγων Ἀπολλωνίου, ἐκινήθη τῇ διανοίᾳ, καὶ ἐπέλεξε δέκα χιλιάδας ἀνδρῶν, καὶ ἐξῆλθεν ἐξ Ἱερουσαλὴμ, καὶ συνήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ βοήθειαν αὐτοῦ.

75. Καὶ παρενέβαλεν ἐπὶ Ἰόππην, καὶ ἀπέκλεισαν αὐτὸν ἐκ τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ, καὶ ἐπολέμησαν αὐτήν.

76. Καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, καὶ ἐκυρίευσεν Ἰωνάθαν Ἰόππης.

77. Καὶ ἤκουσεν Ἀπολλώνιος, καὶ παρενέβαλε τρισχιλίαν ἵππον καὶ δύναμιν πολλὴν,

78. καὶ ἐπορεύθη εἰς Ἄζωτον ὡς διοδεύων, καὶ ἅμα προῆγεν εἰς τὸ πεδίον, διὰ τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου καὶ πεποιθέναι ἐπ' αὐτῇ. Καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτοῦ εἰς Ἄζωτον, καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον.

79. Καὶ ἀπέλιπεν Ἀπολλώνιος χιλίαν ἵππον ἐν κρυπτῷ κατόπισθεν αὐτῶν.

80. Καὶ ἔγνω Ἰωνάθαν ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ, καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολὴν, καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ πρωΐθεν ἕως ἑσπέρας.

81. Ὁ δὲ λαὸς εἱστήκει καθὼς ἐπέταξεν Ἰωνάθαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν.

82. Καὶ εἵλκυσε Σίμων τὴν δύναμιν αὐτοῦ, καὶ συνῆψε πρὸς τὴν φάλαγγα· ἡ γὰρ ἵππος ἐξελύθη. Καὶ συνετρίβησαν ὑπ' αὐτοῦ, καὶ ἔφυγον.

83. Καὶ ἡ ἵππος ἐσκορπίσθη ἐν τῷ πεδίῳ, καὶ ἔφυγον εἰς Ἄζωτον, καὶ εἰσῆλθον εἰς Βηθδαγὼν τὸ εἰδωλεῖον αὐτῶν τοῦ σωθῆναι.

84. Καὶ ἐνεπύρισεν Ἰωνάθαν τὴν Ἄζωτον καὶ τὰς

65. Et magnificavit eum rex, et scripsit eum inter primos amicos, et posuit eum ducem et participem principatus.

66. Et reversus est Jonathas in Jerusalem cum pace et lætitia.

67. Et in anno centesimo sexagesimo quinto venit Demetrius filius Demetrii a Creta in terram patrum suorum.

68. Et audivit Alexander rex, et contristatus est valde, et reversus est Antiochiam.

69. Et constituit ducem Demetrius Apollonium qui præerat Cœlesyriæ, et congregavit exercitum magnum, et posuit castra ad Jamniam : et misit ad Jonatham summum sacerdotem, dicens :

70. Tu omnino solus elevaris super nos, ego autem factus sum in derisum et in opprobrium propter te. Et cur tu potestatem adversum nos exerces in montibus?

71. Nunc ergo si confidis in virtutibus tuis, descende ad nos in campum, et comparemus nos illic invicem, quia mecum est virtus civitatum.

72. Interroga et disce quis sum ego et cæteri qui auxilio sunt mihi, et dicunt : Non potest stare pes vester ante faciem nostram, quia bis in fugam conversi sunt patres tui in terra sua.

73. Et nunc non poteris sustinere equitatum et exercitum talem in campo, ubi non est lapis neque saxum neque locus fugiendi.

74. Ut audivit autem Jonathas sermones Apollonii, motus est animo, et elegit decem millia virorum, et exiit ab Jerusalem, et occurrit ei Simon frater ejus in adjutorium ejus.

75. Et applicuit castra in Joppen, et excluserunt eum a civitate, quia custodia Apollonii in Joppe erat, et oppugnaverunt eam.

76. Et exterriti qui erant in civitate aperuerunt, et obtinuit Jonathas Joppen.

77. Et audivit Apollonius, et admovit tria millia equitum et exercitum multum,

78. et abiit Azotum tamquam iter faciens, et statim exiit in campum, eo quod haberet multitudinem equitum et confideret in eis. Et insecutus est eum Jonathas in Azotum, et commiserunt exercitus prælium.

79. Et reliquit Apollonius mille equites occulte post eos.

80. Et cognovit Jonathas quoniam insidiæ sunt post se, et circumierunt castra ejus, et ejecerunt jacula in populum a mane usque ad vesperam.

81. Populus autem stabat sicut præceperat Jonathas, et laboraverunt equi eorum.

82. Et emisit Simon exercitum suum, et commisit contra legionem : equites enim fatigati erant. Et contriti sunt ab eo, et fugerunt.

83. Et equitatus dispersus est in campo, et fugerunt in Azotum, et intraverunt in Bethdagon idolium suum ut salvarent se.

84. Et succendit Jonathas Azotum et civitates quæ erant

πόλεις τὰς κύκλῳ αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὸ ἱερὸν Δαγὼν καὶ τοὺς συμφυγόντας εἰς αὐτὸ ἐνεπύρισε πυρί.

85. Καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ σὺν τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους.

86. Καὶ ἀπῆρεν ἐκεῖθεν Ἰωνάθαν, καὶ παρενέβαλεν ἐπὶ Ἀσκάλωνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συνάντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ.

87. Καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ σὺν τοῖς παρ' αὐτοῦ, ἔχοντες σκῦλα πολλά.

88. Καὶ ἐγένετο, ὡς ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προσέθετο δοξάσαι τὸν Ἰωνάθαν.

89. Καὶ ἀπέστειλεν αὐτῷ πόρπην χρυσῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι τῶν βασιλέων. Καὶ ἔδωκεν αὐτῷ τὴν Ἀκκαρὼν καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληροδοσίαν.

in circuitu ejus, et accepit spolia eorum, et templum Dagon et eos qui confugerant in illud succendit igni.

85. Et fuerunt qui ceciderunt gladio cum his qui succensi sunt fere octo millia virorum.

86. Et movit inde Jonathas castra, et applicuit ea Ascalonem, et exierunt qui de civitate obviam illi in magna gloria.

87. Et reversus est Jonathas in Jerusalem cum suis, habentes spolia multa.

88. Et factum est, ut audivit Alexander rex sermones istos, addidit adhuc glorificare Jonatham.

89. Et misit ei fibulam auream, sicut consuetudo est dari cognatis regum. Et dedit ei Accaron et omnes fines ejus in possessionem.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Καὶ ὁ βασιλεὺς Αἰγύπτου ἤθροισε δυνάμεις πολλὰς ὡς τὴν ἄμμον τὴν περὶ τὸ χεῖλος τῆς θαλάσσης, καὶ πλοῖα πολλά· καὶ ἐζήτησε καταχρατῆσαι τῆς βασιλείας Ἀλεξάνδρου δόλῳ, καὶ προσθεῖναι αὐτὴν τῇ βασιλείᾳ αὐτοῦ.

2. Καὶ ἐξῆλθεν εἰς Συρίαν λόγοις εἰρηνικοῖς, καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων, καὶ συνήντων αὐτῷ, ὅτι ἐντολὴ ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾷν αὐτῷ, διὰ τὸ πενθερὸν αὐτοῦ εἶναι.

3. Ὡς δὲ εἰςεπορεύετο εἰς τὰς πόλεις ὁ Πτολεμαῖος, ἀπέτασσε τὰς δυνάμεις φρουρὰν ἐν ἑκάστῃ πόλει.

4. Ὡς δὲ ἤγγισεν Ἀζώτου, ἔδειξαν αὐτῷ τὸ ἱερὸν Δαγὼν ἐμπεπυρισμένον, καὶ Ἄζωτον καὶ τὰ περιπόλια αὐτῆς καθῃρημένα, καὶ τὰ σώματα ἐῤῥιμμένα καὶ τοὺς ἐμπεπυρισμένους οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ· ἐποίησαν γὰρ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ.

5. Καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν Ἰωνάθαν, εἰς τὸ ψογῆσαι αὐτόν· καὶ ἐσίγησεν ὁ βασιλεύς.

6. Καὶ συνήντησεν Ἰωνάθαν τῷ βασιλεῖ εἰς Ἰόππην μετὰ δόξης, καὶ ἠσπάσαντο ἀλλήλους, καὶ ἐκοιμήθησαν ἐκεῖ.

7. Καὶ ἐπορεύθη Ἰωνάθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ καλουμένου Ἐλευθέρου, καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ.

8. Ὁ δὲ βασιλεὺς Πτολεμαῖος ἐκυρίευσε τῶν πόλεων τῆς παραλίας ἕως Σελευκείας τῆς παραθαλασσίας, καὶ διελογίζετο περὶ Ἀλεξάνδρου λογισμοὺς πονηρούς.

9. Καὶ ἀπέστειλε πρέσβεις πρὸς Δημήτριον τὸν βασιλέα, λέγων· Δεῦρο, συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ δώσω σοι τὴν θυγατέρα μου ἣν ἔχει Ἀλέξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός μου.

10. Μεταμεμέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησε γὰρ ἀποκτεῖναί με.

11. Καὶ ἐψόγησεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ.

12. Καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα, ἔδωκεν αὐτὴν τῷ Δημητρίῳ, καὶ ἠλλοιώθη τοῦ Ἀλεξάνδρου, καὶ ἐφάνη ἡ ἔχθρα αὐτῶν.

13. Καὶ εἰςῆλθε Πτολεμαῖος εἰς Ἀντιόχειαν, καὶ περιέθετο δύο διαδήματα περὶ τὴν κεφαλὴν αὐτοῦ, τὸ τῆς Ἀσίας καὶ Αἰγύπτου.

CAPUT XI.

1. Et rex Ægypti congregavit exercitus multos sicut arenam quæ est circa oram maris, et naves multas : et quærebat obtinere regnum Alexandri dolo, et addere illud regno suo.

2. Et exiit in Syriam verbis pacificis, et aperiebant ei illi qui de civitatibus, et occurrebant ei, quia mandaverat Alexander rex exire ei obviam, eo quod socer suus esset.

3. Ut autem introibat in civitates Ptolemæus, ponebat custodias militum in singulis civitatibus.

4. Ut autem appropiavit Azoto, ostenderunt ei templum Dagon succensum igni, et Azotum et suburbana ejus destructa, et corpora projecta et combustos quos combusserat in bello : fecerant enim tumulos eorum in via ejus.

5. Et narraverunt regi quæ fecerat Jonathas, ut criminarentur eum : et tacuit rex.

6. Et occurrit Jonathas regi in Joppen cum gloria, et invicem se salutaverunt, et dormierunt illic.

7. Et abiit Jonathas cum rege usque ad fluvium qui vocabatur Eleutherus, et reversus est in Jerusalem.

8. Rex autem Ptolemæus obtinuit dominium civitatum maritimæ usque Seleuciam maritimam, et cogitabat in Alexandrum consilia mala.

9. Et misit legatos ad Demetrium regem, dicens : Veni, componamus inter nos pactum, et dabo tibi filiam meam quam habet Alexander, et regnabis in regno patris tui.

10. Pœnitet enim me quod dederim illi filiam meam, quæsivit enim me occidere.

11. Et vituperavit eum propterea quod ipse concupierat regnum ejus.

12. Et abstulit filiam suam, dedit eam Demetrio, et alienavit se ab Alexandro, et manifestatæ sunt inimicitiæ eorum.

13. Et intravit Ptolemæus Antiochiam, et imposuit duo diademata capiti suo, Ægypti et Asiæ.

14. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν Κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων.

15. Καὶ ἤκουσεν Ἀλέξανδρος, καὶ ἦλθεν ἐπ' αὐτὸν πολέμῳ. Καὶ ἐξήγαγε Πτολεμαῖος τὴν δύναμιν, καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ ἰσχυρᾷ, καὶ ἐτροπώσατο αὐτόν.

16. Καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν Ἀραβίαν, τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ. Ὁ δὲ βασιλεὺς Πτολεμαῖος ὑψώθη.

17. Καὶ ἀφεῖλε Ζαβδιὴλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλεξάνδρου, καὶ ἀπέστειλε τῷ Πτολεμαίῳ.

18. Καὶ ὁ βασιλεὺς Πτολεμαῖος ἀπέθανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν ἀπώλλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι.

19. Καὶ ἐβασίλευσε Δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

20. Ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ἰωνάθαν τοὺς ἐκ τῆς Ἰουδαίας, τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν Ἱερουσαλὴμ, καὶ ἐποίησεν ἐπ' αὐτὴν μηχανὰς πολλάς.

21. Καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ ἔθνος αὐτῶν ἄνδρες παράνομοι πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλαν αὐτῷ ὅτι Ἰωνάθαν περικάθηται τὴν ἄκραν.

22. Καὶ ἀκούσας ὠργίσθη. Ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλθεν εἰς Πτολεμαΐδα, καὶ ἔγραψεν Ἰωνάθαν, τοῦ μὴ περικαθῆσθαι τῇ ἄκρᾳ, καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς Πτολεμαΐδα τὴν ταχίστην.

23. Ὡς δὲ ἤκουσεν Ἰωνάθαν, ἐκέλευσε περικαθῆσθαι, καὶ ἐπέλεξε τῶν πρεσβυτέρων Ἰσραὴλ καὶ τῶν ἱερέων, καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ.

24. Καὶ λαβὼν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα, ἐπορεύθη πρὸς τὸν βασιλέα εἰς Πτολεμαΐδα, καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ.

25. Καὶ ἐνετύγχανον κατ' αὐτοῦ τινες ἄνομοι τῆς ἐκ τοῦ ἔθνους.

26. Καὶ ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον πάντων τῶν φίλων αὐτοῦ.

27. Καὶ ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην καὶ ὅσα ἄλλα εἶχε τίμια τοπρότερον, καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι.

28. Καὶ ἠξίωσεν Ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφορολόγητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν Σαμαρεῖτιν, καὶ ἐπηγγείλατο αὐτῷ τάλαντα τριακόσια.

29. Καὶ εὐδόκησεν ὁ βασιλεὺς, καὶ ἔγραψε τῷ Ἰωνάθαν ἐπιστολὰς περὶ πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον·

30. Βασιλεὺς Δημήτριος Ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν, καὶ ἔθνει Ἰουδαίων.

31. Τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γεγράφαμεν καὶ πρὸς ὑμᾶς ὅπως εἰδῆτε.

32. Βασιλεὺς Δημήτριος Λασθένει τῷ πατρὶ χαίρειν.

33. Τῷ ἔθνει τῶν Ἰουδαίων φίλοις ἡμῶν καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια ἐκρίναμεν ἀγαθοποιῆσαι, χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς ἡμᾶς.

14. Alexander autem rex erat in Cilicia illis temporibus, quia rebellabant qui erant in locis illis.

15. Et audivit Alexander, et venit ad eum in bellum. Et produxit Ptolemæus exercitum, et occurrit ei in manu valida, et fugavit eum.

16. Et fugit Alexander in Arabiam, ut ibi protegeretur. Rex autem Ptolemæus exaltatus est.

17. Et abstulit Zabdiel Arabs caput Alexandri, et misit Ptolemæo.

18. Et rex Ptolemæus mortuus est in die tertia, et qui erant in munitionibus perierunt ab iis qui in munitionibus.

19. Et regnavit Demetrius anno centesimo sexagesimo septimo.

20. In diebus illis congregavit Jonathas eos qui erant de Judæa, ut expugnarent arcem quæ erat in Jerusalem, et fecit contra eam machinas multas.

21. Et abierunt quidam qui oderant gentem suam viri iniqui ad regem, et renuntiaverunt ei quod Jonathas obsideret arcem.

22. Et audiens iratus est. Ut autem audivit, statim iter faciens venit Ptolemaidam, et scripsit Jonathæ, ne obsideret arcem, sed occurreret sibi ad colloquium in Ptolemaidam festinato.

23. Ut audivit autem Jonathas, jussit obsidere, et elegit de senioribus Israel et de sacerdotibus, et dedit se periculo.

24. Et accepit argentum et aurum et vestem et alia xenia multa, et abiit ad regem in Ptolemaidam, et invenit gratiam in conspectu ejus.

25. Et interpellabant adversus eum quidam iniqui ex gente.

26. Et fecit ei rex sicut fecerant ei qui ante eum fuerant, et exaltavit eum in conspectu omnium amicorum suorum.

27. Et statuit ei principatum sacerdotis et quæcumque alia habuit prius pretiosa, et fecit eum principem amicorum.

28. Et postulavit Jonathas a rege ut immunem faceret Judæam et tres toparchias et Samaritidem, et promisit ei talenta trecenta.

29. Et consensit rex, et scripsit Jonathæ epistolas de his omnibus hunc modum continentes :

30. Rex Demetrius Jonathæ fratri salutem, et genti Judæorum.

31. Exemplum epistolæ, quam scripsimus Lastheni cognato nostro de vobis, scripsimus etiam ad vos ut sciretis.

32. Rex Demetrius Lastheni parenti salutem.

33. Genti Judæorum amicis nostris et conservantibus quæ justa sunt erga nos decrevimus benefacere, propter benevolentiam quæ ab ipsis præstatur erga nos.

34. Ἐστάκαμεν οὖν αὐτοῖς τά τε ὅρια τῆς Ἰουδαίας καὶ τοὺς τρεῖς νομοὺς, Ἀφαίρεμα, καὶ Λύδδαν, καὶ Ῥαμαθὲμ, αἵτινες προςετέθησαν τῇ Ἰουδαίᾳ ἀπὸ τῆς Σαμαρείτιδος, καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσι τοῖς θυσιάζουσιν εἰς Ἱεροσόλυμα, ἀντὶ τῶν βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ' αὐτῶν τοπρότερον κατ' ἐνιαυτὸν ἀπὸ τῶν γεννημάτων τῆς γῆς καὶ ἀπὸ τῶν ἀκροδρύων.

35. Καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν, καὶ τὰς τοῦ ἁλὸς λίμνας, καὶ τοὺς ἀνήκοντας ἡμῖν στεφάνους,

36. πάντα ἐπαρκῶς παρίεμεν αὐτοῖς. Καὶ οὐχ ἀθετηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον.

37. Νῦν οὖν ἐπιμέλεσθε τοῦ ποιῆσαι τούτων ἀντίγραφον· καὶ δοθήτω Ἰωνάθαν, καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ.

38. Καὶ εἶδε Δημήτριος ὁ βασιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει, καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ, ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν ξένων δυνάμεων ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν, καὶ ἤχθραναν αὐτῷ πᾶσαι αἱ δυνάμεις τῶν πατέρων αὐτοῦ.

39. Τρύφων δὲ ἦν τῶν παρὰ Ἀλεξάνδρου τοπρότερον, καὶ εἶδεν ὅτι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσι τοῦ Δημητρίου, καὶ ἐπορεύθη πρὸς Εἰμαλκουαὶ τὸν Ἄραβα, ὃς ἔτρεφε τὸν Ἀντίοχον τὸ παιδάριον τὸ τοῦ Ἀλεξάνδρου.

40. Καὶ προςήδρευεν αὐτῷ, ὅπως παραδοῖ αὐτὸν αὐτῷ, ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ. Καὶ ἀπήγγειλεν αὐτῷ ὅσα συνετέλεσε Δημήτριος καὶ τὴν ἔχθραν ἣν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ, καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς.

41. Καὶ ἀπέστειλεν Ἰωνάθαν πρὸς Δημήτριον τὸν βασιλέα, ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ Ἱερουσαλὴμ καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν, ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραήλ.

42. Καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν, λέγων· Οὐ μόνον ταῦτα ποιήσω σοι καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω σε καὶ τὸ ἔθνος σου, ἐὰν εὐκαιρίας τύχω.

43. Νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας οἳ συμμαχήσουσιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου.

44. Καὶ ἀπέστειλεν Ἰωνάθαν ἄνδρας τριςχιλίους δυνατοὺς ἰσχύϊ αὐτῷ εἰς Ἀντιόχειαν, καὶ ἦλθοσαν πρὸς τὸν βασιλέα, καὶ εὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν.

45. Καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλεως εἰς ἀνδρῶν δώδεκα μυριάδας ἀνδρῶν, καὶ ἠβούλοντο ἀνελεῖν τὸν βασιλέα.

46. Καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλὴν, καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς πόλεως καὶ ἤρξαντο πολεμεῖν.

47. Καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ἰουδαίους ἐπὶ βοήθειαν, καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα, καὶ διεσπάρησαν ἐν τῇ πόλει πάντες ἅμα· καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας δέκα,

48. καὶ ἐνεπύρισαν τὴν πόλιν, καὶ ἐλάβοσαν σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἔσωσαν τὸν βασιλέα.

34. Statuimus ergo illis fines Judææ et tres civitates, Aphærema, et Lyddam, et Rhamathem, quæ additæ sunt Judææ ex Samaritide, et omnia pertinentia ad ipsas omnibus sacrificantibus in Jerosolymis, pro regalibus quæ ab eis prius accipiebat rex per singulos annos de fructibus terræ et de fructibus arborum.

35. Et alia quæ ad nos pertinebant ex hoc tempore decimarum et tributorum pertinentium ad nos, et salis stagna, et pertinentes ad nos coronas,

36. omnia liberaliter ipsis remittimus. Et nihil horum irritum erit ex hoc et in omne tempus.

37. Nunc ergo curate facere horum exemplum : et detur Jonathæ, et ponatur in monte sancto in loco celebri.

38. Et videns Demetrius rex quod siluit terra in conspectu suo, et nihil ei resistebat, dimisit omnes exercitus suos, unumquemque in locum suum, excepto peregrino exercitu quem traxit ab insulis gentium, et inimici erant ei omnes exercitus patrum ejus.

39. Tryphon autem erat quidam partium Alexandri prius, et vidit quoniam omnes exercitus murmuraverunt contra Demetrium, et ivit ad Emalcue Arabem, qui nutriebat Antiochum filium Alexandri.

40. Et assidebat ei, ut traderet eum ipsi, ut regnaret in loco patris sui. Et enuntiavit ei quanta fecit Demetrius et inimicitias exercituum ejus adversus illum, et mansit ibi diebus multis.

41. Et misit Jonathas ad Demetrium regem, ut ejiceret eos qui in arce erant in Jerusalem et qui in præsidiis erant, quia impugnabant Israel.

42. Et misit Demetrius ad Jonatham, dicens : Non hæc tantum faciam tibi et genti tuæ, sed gloria illustrabo te et gentem tuam, si opportunitatem nactus fuero.

43. Nunc ergo recte feceris si miseris in auxilium mihi viros, quoniam discesserunt omnes exercitus mei.

44. Et misit ei Jonathas tria millia virorum fortium Antiochiam, et venerunt ad regem, et delectatus est rex in adventu eorum.

45. Et convenerunt qui erant de civitate in medium civitatis, ad centum viginti millia virorum, et volebant interficere regem.

46. Et fugit rex in aulam, et occupaverunt qui erant de civitate itinera civitatis et cœperunt pugnare.

47. Et vocavit rex Judæos in auxilium, et convenerunt omnes simul ad eum, et dispersi sunt in civitate omnes simul : et occiderunt in civitate in illa die ad centum millia,

48. et succenderunt civitatem, et ceperunt spolia multa in illa die, et liberaverunt regem.

49. Καὶ ἴδον οἱ ἀπὸ τῆς πόλεως ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο, καὶ ἠσθένησαν ταῖς διανοίαις αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως, λέγοντες·

50. Δὸς ἡμῖν δεξιὰς, καὶ παυσάσθωσαν οἱ Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς καὶ τὴν πόλιν.

51. Καὶ ἔῤῥιψαν τὰ ὅπλα, καὶ ἐποίησαν εἰρήνην, καὶ ἐδοξάσθησαν οἱ Ἰουδαῖοι ἐναντίον τοῦ βασιλέως καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ ἔχοντες σκῦλα πολλά.

52. Καὶ ἐκάθισε Δημήτριος ὁ βασιλεὺς ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ.

53. Καὶ ἐψεύσατο πάντα ὅσα εἶπε, καὶ ἠλλοτριώθη τῷ Ἰωνάθαν, καὶ οὐκ ἀνταπέδωκε κατὰ τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ, καὶ ἔθλιβεν αὐτὸν σφόδρα.

54. Μετὰ δὲ ταῦτα ἀπέστρεψε Τρύφων καὶ Ἀντίοχος μετ' αὐτοῦ παιδάριον νεώτερον· καὶ ἐβασίλευσε καὶ ἐπέθετο διάδημα.

55. Καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις ἃς ἀπεσκόρπισε Δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτὸν, καὶ ἔφυγε καὶ ἐτροπώθη.

56. Καὶ ἔλαβε Τρύφων τὰ θηρία, καὶ κατεκράτησεν Ἀντιοχείας.

57. Καὶ ἔγραψεν Ἀντίοχος ὁ νεώτερος τῷ Ἰωνάθαν, λέγων· Ἵστημί σοι τὴν ἀρχιερωσύνην, καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νομῶν, καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως.

58. Καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα καὶ διακονίαν, καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν ἐν χρυσώμασι, καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην χρυσῆν.

59. Καὶ Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε στρατηγὸν ἀπὸ τῆς κλίμακος Τύρου ἕως τῶν ὁρίων Αἰγύπτου.

60. Καὶ ἐξῆλθεν Ἰωνάθαν, καὶ διεπορεύετο πέραν τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις Συρίας εἰς συμμαχίαν, καὶ ἦλθεν εἰς Ἀσκάλωνα, καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐνδόξως.

61. Καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν, καὶ ἀπέκλεισαν οἱ ἀπὸ Γάζης, καὶ περιεκάθισε περὶ αὐτὴν, καὶ ἐνεπύρισε τὰ περιπόλια αὐτῆς πυρὶ, καὶ ἐσκύλευσεν αὐτά.

62. Καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης τὸν Ἰωνάθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιὰς, καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐτῶν εἰς ὅμηρα, καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ἱερουσαλὴμ, καὶ διῆλθε τὴν χώραν ἕως Δαμασκοῦ.

63. Καὶ ἤκουσεν Ἰωνάθαν ὅτι παρῆσαν οἱ ἄρχοντες Δημητρίου εἰς Κάδης τὴν ἐν τῇ Γαλιλαίᾳ μετὰ δυνάμεως πολλῆς, βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας.

64. Καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν αὐτοῦ Σίμωνα κατέλιπεν ἐν τῇ χώρᾳ.

65. Καὶ παρενέβαλε Σίμων ἐπὶ Βαιθσούρα, καὶ ἐπολέμει αὐτὴν ἡμέρας πολλὰς, καὶ συνέκλεισεν αὐτήν.

66. Καὶ ἠξίωσαν αὐτὸν τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν, καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ' αὐτῇ φρουράν.

67. Καὶ Ἰωνάθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ Γεννησὰρ, καὶ ὤρθρισαν τοπρωῒ εἰς τὸ πεδίον Νασώρ.

68. Καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ

49. Et viderunt qui erant de civitate quod obtinuissent Judæi civitatem sicut volebant, et infirmati sunt mente sua, et clamaverunt ad regem cum precibus, dicentes:

50. Da nobis dexteras, et cessent Judæi oppugnare nos et civitatem.

51. Et projecerunt arma, et fecerunt pacem, et glorificati sunt Judæi in conspectu regis et in conspectu omnium qui erant in regno ejus, et regressi sunt in Jerusalem habentes spolia multa.

52. Et sedit Demetrius rex in sede regni sui, et siluit terra in conspectu ejus.

53. Et mentitus est omnia quæcumque dixit, et abalienavit se a Jonatha, et non retribuit secundum beneficia quæ sibi tribuerat, et vexabat eum valde.

54. Post hæc autem reversus est Tryphon et Antiochus cum eo puer adolescens: et regnavit et imposuit sibi diadema.

55. Et congregati sunt ad eum omnes exercitus quos dispersérat Demetrius, et pugnaverunt contra eum, et fugit et terga vertit.

56. Et accepit Tryphon bestias, et obtinuit Antiochiam.

57. Et scripsit Antiochus adolescens Jonathæ, dicens: Constituo tibi summum sacerdotium, et constituo te super quatuor civitates, et ut sis de amicis regis.

58. Et misit illi vasa aurea et ministerium, et dedit ei potestatem bibendi in auro, et esse in purpura et habere fibulam auream.

59. Et Simonem fratrem ejus constituit ducem ab ascensu Tyri usque ad fines Ægypti.

60. Et exiit Jonathas, et perambulabat trans fluvium et in civitatibus, et congregati sunt ad eum omnes exercitus Syriæ in auxilium, et venit Ascalonem, et occurrerunt ei illi qui de civitate honorifice.

61. Et abiit inde Gazam, et concluserunt se qui erant Gazæ, et obsedit eam, et succendit igni quæ erant in circuitu civitatis, et prædatus est ea.

62. Et rogaverunt Gazenses Jonathan, et dedit illis dexteras, et accepit filios principum eorum obsides, et misit illos in Jerusalem, et perambulavit regionem usque Damascum.

63. Et audivit Jonathas quod aderant principes Demetrii in Cades quæ est in Galilæa cum exercitu multo, volentes removere eum a provincia.

64. Et occurrit illis, fratrem autem suum Simonem reliquit in provincia.

65. Et applicuit Simon ad Bæthsuram, et oppugnabat eam diebus multis, et conclusit eam.

66. Et postulaverunt ab eo dexteras accipere, et dedit illis et ejecit eos inde, et cepit civitatem et posuit in ea præsidium.

67. Et Jonathas et castra ejus applicuerunt ad aquam Gennesar, et ante lucem surrexerunt in campo Nazor.

68. Et ecce castra alienigenarum occurrebant ei in campo,

ἐν τῷ πεδίῳ, καὶ ἐξέβαλον ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐτοὶ δὲ ἀπήντησαν ἐξεναντίας·

69. τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν, καὶ συνῆψαν πόλεμον.

70. Καὶ ἔφυγον οἱ παρὰ Ἰωνάθαν πάντες, οὐδὲ εἷς κατελείφθη ἀπ' αὐτῶν, πλὴν Ματταθίας ὁ τοῦ Ἀβεσσαλώμου καὶ Ἰούδας ὁ τοῦ Χαλφὶ, ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων.

71. Καὶ διέῤῥηξεν Ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθηκε γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ προσηύξατο.

72. Καὶ ὑπέστρεψε πρὸς αὐτοὺς πολέμῳ, καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔφυγον.

73. Καὶ ἴδον οἱ φεύγοντες οἱ παρ' αὐτοῦ, καὶ ἐπέστρεψαν πρὸς αὐτὸν, καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως Κάδης, ἕως τῆς παρεμβολῆς αὐτῶν, καὶ παρενέβαλον ἐκεῖ.

74. Καὶ ἔπεσον ἐκ τῶν ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους. Καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλήμ.

et tetenderant insidias ei in montibus, ipsi autem occurrerunt ex adverso:

69. insidiæ vero exsurrexerunt de locis suis, et commiserunt prælium.

70. Et fugerunt qui erant ex parte Jonathæ omnes, et nemo relictus est ex eis, nisi Mattathias filius Abessalomi et Judas filius Calphi, principes militiæ exercituum.

71. Et scidit Jonathas vestimenta sua, et posuit terram in capite suo, et oravit.

72. Et reversus est ad eos in prælium, et convertit eos in fugam et fugerunt.

73. Et viderunt qui fugiebant partis illius, et reversi sunt ad eum, et insequebantur cum eo usque Cades, usque ad castra eorum, et castrametati sunt illic.

74. Et ceciderunt de alienigenis in die illa ad tria millia virorum. Et reversus est Jonathas in Jerusalem.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ εἶδεν Ἰωνάθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπέλεξεν ἄνδρας, καὶ ἀπέστειλεν εἰς Ῥώμην, στῆσαι καὶ ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν.

2. Καὶ πρὸς Σπαρτιάτας, καὶ τόπους ἑτέρους ἀπέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά.

3. Καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ εἶπον· Ἰωνάθαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν Ἰουδαίων ἀπέστειλεν ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον.

4. Καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν αὐτοὺς εἰς γῆν Ἰούδα μετ' εἰρήνης.

5. Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἔγραψεν Ἰωνάθαν τοῖς Σπαρτιάταις·

6. Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γερουσία τοῦ ἔθνους, καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν Ἰουδαίων, Σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν.

7. Ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς Ὀνίαν τὸν ἀρχιερέα παρὰ Δαρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν, ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑπόκειται.

8. Καὶ ἐπεδέξατο Ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως, καὶ ἔλαβε τὰς ἐπιστολὰς ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας.

9. Καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡμῶν,

10. ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι, πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν· πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς ἡμᾶς.

11. Ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν ἐφ' ὧν προσφέρομεν θυσιῶν, καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶ καὶ πρέπον μνημονεύειν ἀδελφῶν.

12. Εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν.

13. Ἡμᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοὶ, καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν.

CAPUT XII.

1. Et vidit Jonathas quia tempus eum juvat, et elegit viros, et misit Romam, statuere et renovare cum eis amicitiam.

2. Et ad Spartiatas, et alia loca misit epistolas secundum eamdem formam.

3. Et abierunt Romam, et intraverunt curiam et dixerunt: Jonathas summus sacerdos et gens Judæorum miserunt nos ut renovaremus amicitiam cum ipsis et societatem secundum pristinum.

4. Et dederunt illis epistolas ad ipsos per loca, ut deducerent eos in terram Juda cum pace.

5. Et hoc est exemplum epistolarum quas scripsit Jonathas Spartiatis:

6. Jonathas summus sacerdos et seniores gentis, et sacerdotes et reliquus populus Judæorum, Spartiatis fratribus salutem.

7. Jampridem missæ erant epistolæ ad Oniam summum sacerdotem a Dario qui regnabat apud vos, quoniam estis fratres nostri, sicut exemplum subjectum est.

8. Et suscepit Onias virum qui missus fuerat cum honore, et accepit epistolas in quibus significabatur de societate et amicitia.

9. Et nos igitur cum nullo horum indigeremus, solatio habentes sanctos libros qui sunt in manibus nostris,

10. aggressi sumus mittere ad vos renovare fraternitatem et amicitiam, ne alieni efficiamur a vobis: multa enim tempora transierunt ex quo misistis ad nos.

11. Nos ergo in omni tempore sine intermissione et in diebus solemnibus et cæteris quibus oportet memores sumus vestri in sacrificiis quæ offerimus, et in orationibus, sicut fas est et decet meminisse fratrum.

12. Lætamur itaque de gloria vestra.

13. Nos autem circumdederunt multæ tribulationes et multa prælia, et impugnaverunt nos reges qui sunt in circuitu nostro.

14. Καὶ οὐκ ἠβουλόμεθα οὖν παρενοχλεῖν ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις.

15. Ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοήθειαν βοηθοῦσαν ἡμῖν, καὶ ἐῤῥύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν.

16. Ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου καὶ Ἀντίπατρον Ἰάσωνος, καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν προτέραν.

17. Ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς, καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ' ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν.

18. Καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνήσοντες ἡμῖν πρὸς ταῦτα.

19. Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλεν.

20. Ὀνιάρης βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν.

21. Εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοί, καὶ ὅτι εἰσὶν ἐκ γένους Ἀβραάμ.

22. Καὶ νῦν ἀφ' οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν.

23. Καὶ ἡμεῖς δὲ ἀντιγράφομεν ὑμῖν. Τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ἐστι, καὶ τὰ ἡμῶν ὑμῖν ἐστιν. Ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν κατὰ ταῦτα.

24. Καὶ ἤκουσεν Ἰωνάθαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες Δημητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι πρὸς αὐτόν.

25. Καὶ ἀπῆρεν ἐξ Ἱερουσαλὴμ, καὶ ἀπήντησεν αὐτοῖς εἰς τὴν Ἀμαθῖτιν χώραν· οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ.

26. Καὶ ἀπέστειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτῶν, καὶ ἀπέστρεψαν καὶ ἀπήγγειλαν αὐτῷ ὅτι οὕτω τάσσονται ἐπιπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα.

27. Ὡς δὲ ἔδυ ὁ ἥλιος, ἐπέταξεν Ἰωνάθαν τοῖς παρ' αὐτοῦ γρηγορεῖν καὶ εἶναι ἐπὶ τοῖς ὅπλοις, καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον δι' ὅλης τῆς νυκτὸς, καὶ ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς.

28. Καὶ ἤκουσαν οἱ ὑπεναντίοι ὅτι ἡτοίμασται Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν, καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν.

29. Ἰωνάθαν δὲ καὶ οἱ παρ' αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωΐ, ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα.

30. Καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτῶν, καὶ οὐ κατέλαβεν αὐτοὺς, διέβησαν γὰρ τὸν Ἐλεύθερον ποταμόν.

31. Καὶ ἐξέκλινεν Ἰωνάθαν ἐπὶ τοὺς Ἄραβας τοὺς καλουμένους Ζαβεδαίους, καὶ ἐπάταξεν αὐτοὺς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

32. Καὶ ἀναζεύξας ἦλθεν εἰς Δαμασκὸν, καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ.

33. Καὶ Σίμων ἐξῆλθε, καὶ διώδευσεν ἕως Ἀσκάλωνος, καὶ τῶν πλησίον ὀχυρωμάτων, καὶ ἐξέκλινεν εἰς Ἰόππην καὶ προκατελάβετο αὐτήν.

34. Ἤκουσε γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ Δημητρίου, καὶ ἔθετο ἐκεῖ φρουρὰν ὅπως φυλάσσωσιν αὐτήν.

14. Et noluimus ergo vobis molesti esse neque cæteris sociis et amicis nostris in his præliis.

15. Habemus enim auxilium quod e cœlo adjuvans nos, et liberati sumus ab inimicis nostris, et humiliati sunt inimici nostri.

16. Elegimus itaque Numenium Antiochi filium et Antipatrum Jasonis filium, et misimus ad Romanos renovare cum eis amicitiam et societatem pristinam.

17. Mandavimus itaque eis ut veniant etiam ad vos et salutent vos, et reddant vobis epistolas nostras de innovatione etiam fraternitatis nostræ.

18. Et nunc bene facietis respondentes nobis ad hæc.

19. Et hoc rescriptum epistolarum quas misit.

20. Oniares rex Spartiatarum Oniæ sacerdoti magno salutem.

21. Inventum est in scriptura de Spartiatis et Judæis, quoniam sunt fratres, et quia sunt, de genere Abraam.

22. Et nunc ex quo hæc cognovimus, bene facietis scribentes nobis de pace vestra.

23. Sed et nos rescribimus vobis. Pecora vestra et possessiones vestræ nostræ sunt, et nostræ vestræ. Mandamus itaque hæc nuntiari vobis.

24. Et audivit Jonathas quoniam regressi sunt principes Demetrii cum exercitu multo super quam prius pugnare adversus eum.

25. Et exiit ab Jerusalem, et occurrit eis in Amathite regione : non enim dederat eis spatium ut ingrederentur regionem ejus.

26. Et misit speculatores in castra eorum, et reversi renuntiaverunt ei quod constituunt supervenire illis nocte.

27. Cum occidisset autem sol, præcepit Jonathas suis vigilare et esse in armis, et paratos esse ad pugnam tota nocte, et emisit custodes per circuitum castrorum.

28. Et audierunt adversarii quod paratus est Jonathas cum suis in prælium, et timuerunt et formidaverunt corde suo, et accenderunt pyras in castris suis.

29. Jonathas autem et qui cum eo erant non cognoverunt usque mane, videbant enim luminaria accensa.

30. Et secutus est eos Jonathas, et non comprehendit eos, transierant enim flumen Eleutherum.

31. Et divertit Jonathas ad Arabas qui vocabantur Zabedæi, et percussit eos, et accepit spolia eorum.

32. Et junxit et venit Damascum, et perambulavit omnem regionem.

33. Et Simon exiit, et venit usque Ascalonem, et ad proxima præsidia, et declinavit in Joppen et occupavit eam.

34. Audivit enim quod vellent præsidium tradere partibus Demetrii, et posuit ibi custodiam ut custodirent eam.

35. Καὶ ἐπέστρεψεν Ἰωνάθαν, καὶ ἐξεκκλησίασε τοὺς πρεσβυτέρους τοῦ λαοῦ, καὶ ἐβουλεύσατο μετ' αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ,

36. καὶ προςυψῶσαι τὰ τείχη Ἱερουσαλὴμ, καὶ ὑψῶσαι ὕψος μέγα ἀναμέσον τῆς ἄκρας καὶ τῆς πόλεως εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὕτη κατὰ μόνας, ὅπως μήτε ἀγοράζωσι μήτε πωλῶσι.

37. Καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν πόλιν, καὶ ἤγγισε τοῦ τείχους τοῦ χειμάῤῥου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπεσκεύασαν τὸ καλούμενον Χαφεναθά.

38. Καὶ Σίμων ᾠκοδόμησε τὴν Ἀδιδὰ ἐν τῇ Σεφήλᾳ, καὶ ὠχύρωσεν θύρας καὶ μοχλούς.

39. Καὶ ἐζήτησε Τρύφων βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπὶ Ἀντίοχον τὸν βασιλέα.

40. Καὶ ἐφοβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν Ἰωνάθαν, καὶ μήποτε πολεμήσῃ πρὸς αὐτὸν, καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν Ἰωνάθαν τοῦ ἀπολέσαι αὐτὸν, καὶ ἀπάρας ἦλθεν εἰς Βαιθσάν.

41. Καὶ ἐξῆλθεν Ἰωνάθαν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν, καὶ ἦλθεν εἰς Βαιθσάν.

42. Καὶ εἶδε Τρύφων ὅτι πάρεστι Ἰωνάθαν μετὰ δυνάμεως πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ' αὐτὸν εὐλαβήθη.

43. Καὶ ἐπεδέξατο αὐτὸν ἐνδόξως, καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ δόματα, καὶ ἐπέταξε ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ.

44. Καὶ εἶπε τῷ Ἰωνάθαν· Ἱνατί ἔκοψας πάντα τὸν λαὸν τοῦτον πολέμου μὴ ἐνεστηκότος ἡμῖν;

45. Καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους οἵτινες ἔσονται μετὰ σοῦ, καὶ δεῦρο μετ' ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ λοιπὰ ὀχυρώματα, καὶ τὰς δυνάμεις τὰς λοιπὰς, καὶ πάντας τοὺς ἐπὶ τῶν χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύσομαι, τούτου γὰρ χάριν πάρειμι.

46. Καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε, καὶ ἐξαπέστειλε τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν Ἰούδα.

47. Κατέλιπε δὲ μεθ' ἑαυτοῦ ἄνδρας τριςχιλίους, ὧν διςχιλίους ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ.

48. Ὡς δὲ εἰςῆλθεν Ἰωνάθαν εἰς Πτολεμαΐδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας, καὶ συνέλαβον αὐτὸν, καὶ πάντας τοὺς εἰςελθόντας μετ' αὐτοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ.

49. Καὶ ἀπέστειλε Τρύφων δυνάμεις καὶ ἵππον εἰς τὴν Γαλιλαίαν καὶ τὸ πεδίον τὸ μέγα, τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ Ἰωνάθαν.

50. Καὶ ἐπέγνωσαν ὅτι συνελήφθη Ἰωνάθαν καὶ ἀπόλωλε, καὶ οἱ μετ' αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτοὺς, καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον.

51. Καὶ ἴδον οἱ διώκοντες ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστι, καὶ ἐπέστρεψαν.

52. Καὶ ἦλθον πάντες μετ' εἰρήνης εἰς γῆν Ἰούδα, καὶ ἐπένθησαν τὸν Ἰωνάθαν καὶ τοὺς μετ' αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα, καὶ ἐπένθησε πᾶς Ἰσραὴλ πένθος μέγα.

35. Et reversus est Jonathas, et convocavit seniores populi, et cogitavit cum eis ædificare præsidia in Judæa,

36. et exaltare muros Jerusalem, et exaltare altitudinem magnam inter medium arcis et civitatis ut separaret eam a civitate, ut esset ipsa singulariter, ut neque emant neque vendant.

37. Et convenerunt ut ædificarent civitatem, et appropinquavit muro torrentis qui est a subsolano, et reparaverunt eum qui vocatur Chaphenatha.

38. Et Simon ædificavit Adida in Sephela, et munivit portas et seras.

39. Et quæsivit Tryphon regnare Asiæ et assumere diadema et extendere manum in Antiochum regem.

40. Et timens ne forte non permitteret eum Jonathas, et ne forte pugnaret adversus eum, quærebat viam comprehendendi Jonatham ut occideret eum, et exsurgens venit in Bæthsan.

41. Et exiit Jonathas obviam ei cum quadraginta millibus virorum electis in prælium, et venit Bæthsan.

42. Et vidit Tryphon quia adest Jonathas cum exercitu multo, et extendere manus in eum timuit.

43. Et excepit eum cum honore, et commendavit eum omnibus amicis suis, et dedit ei munera, et præcepit exercitibus suis ut obedirent ei sicut sibi.

44. Et dixit Jonathæ: Ut quid vexasti universum populum istum cum bellum nobis non sit?

45. Et nunc remitte eos in domos suas, elige autem tibi viros paucos qui tecum sint, et veni mecum Ptolemaidam, et tradam eam tibi et reliqua præsidia, et reliquos exercitus, et universos præpositos negotiis, et conversus abibo, propterea enim veni.

46. Et credidit ei et fecit sicut dixit, et dimisit exercitus, et abierunt in terram Juda.

47. Retinuit autem secum tria millia virorum, ex quibus remisit in Galilæam duo millia, mille autem venerunt cum eo.

48. Ut autem intravit Ptolemaidam Jonathas, clauserunt portas Ptolemenses, et comprehenderunt eum, et omnes qui cum eo intraverunt gladio interfecerunt.

49. Et misit Tryphon exercitum et equites in Galilæam et campum magnum, ut perderent omnes socios Jonathæ.

50. At illi cum cognovissent quia comprehensus est Jonathas et periit, et qui cum eo erant, hortati sunt semetipsos, et exierunt conglobati parati in prælium.

51. Et videntes hi qui insecuti fuerant quia pro anima res est illis, reversi sunt.

52. Et venerunt omnes cum pace in terram Juda, et planxerunt Jonatham et eos qui cum ipso erant, et timuerunt valde, et luxit universus Israel luctu magno.

53. Καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρίψαι αὐτούς. Εἶπαν γάρ·

54. Οὐκ ἔχουσιν ἄρχοντα καὶ βοηθοῦντα. Νῦν οὖν πολεμήσωμεν αὐτοὺς, καὶ ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Καὶ ἤκουσε Σίμων ὅτι συνήγαγε Τρύφων δύναμιν πολλὴν τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ ἐκτρίψαι αὐτήν.

2. Καὶ εἶδε τὸν λαὸν ὅτι ἐστὶν ἔντρομος καὶ ἔμφοβος, καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ, καὶ ἤθροισε τὸν λαὸν,

3. καὶ παρεκάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς· Αὐτοὶ οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους καὶ στενοχωρίας ἃς εἴδομεν.

4. Τούτου χάριν ἀπώλοντο οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ἰσραὴλ, καὶ κατελείφθην ἐγὼ μόνος.

5. Καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου.

6. Πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου καὶ περὶ τῶν ἁγίων, καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν, ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρίψαι ἡμᾶς ἔχθρας χάριν.

7. Καὶ ἀνεζωοπύρησε τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τῷ ἀκοῦσαι τῶν λόγων τούτων,

8. καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ, λέγοντες· Σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ἰούδα καὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ σου·

9. πολέμησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα ὅσα ἂν εἴπῃς ἡμῖν ποιήσομεν.

10. Καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς, καὶ ἐτάχυνε τοῦ τελέσαι τὰ τείχη Ἱερουσαλὴμ, καὶ ὠχύρωσεν αὐτὴν κυκλόθεν.

11. Καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν τοῦ Ἀβεσσαλώμου καὶ μετ' αὐτοῦ δύναμιν ἱκανὴν εἰς Ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ.

12. Καὶ ἀπῆρε Τρύφων ἀπὸ Πτολεμαΐδος μετὰ δυνάμεως πολλῆς εἰςελθεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωνάθαν μετ' αὐτοῦ ἐν φυλακῇ.

13. Σίμων δὲ παρενέβαλεν ἐν Ἀδιδὰ κατὰ πρόσωπον τοῦ πεδίου.

14. Καὶ ἐπέγνω Τρύφων ὅτι ἀνέστη Σίμων ἀντὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις,

15. λέγων· Περὶ ἀργυρίου οὗ ὤφειλεν Ἰωνάθαν ὁ ἀδελφός σου εἰς τὸ βασιλικὸν δι' ἃς εἶχε χρείας συνέχομεν αὐτόν.

16. Καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν, καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀποστατήσῃ ἀφ' ἡμῶν, καὶ ἀφήσομεν αὐτόν.

17. Καὶ ἔγνω Σίμων ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτὸν, καὶ πέμπει τὸ ἀργύριον καὶ τὰ παιδάρια, μήποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς τὸν λαὸν, λέγων·

18. ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον καὶ τὰ παιδάρια, καὶ ἀπώλετο.

19. Καὶ ἀπέστειλε τὰ παιδάρια καὶ τὰ ἑκατὸν τάλαντα, καὶ διεψεύσατο καὶ οὐκ ἀφῆκε τὸν Ἰωνάθαν.

53. Et quæsierunt omnes gentes quæ erant in circuitu eorum conterere eos. Dixerunt enim :

54. Non habent principem et adjuvantem. Nunc ergo expugnemus illos, et tollamus de hominibus memoriam eorum.

CAPUT XIII.

1. Et audivit Simon quod congregavit Tryphon exercitum copiosum ut veniret in terram Juda et attereret eam.

2. Et videns quia in tremore populus est et in timore, ascendit Jerusalem, et congregavit populum,

3. et adhortans eos dixit eis : Vos ipsi scitis quanta ego et fratres mei et domus patris mei fecimus pro legibus et pro sanctis, et prælia et angustias quas vidimus.

4. Hujus rei gratia perierunt fratres mei omnes propter Israel, et relictus sum ego solus.

5. Et nunc non mihi contingat parcere animæ meæ in omni tempore tribulationis, non enim melior sum fratribus meis.

6. Quinimo vindicabo gentem meam et sancta, uxores quoque et natos nostros, quia congregatæ sunt universæ gentes conterere nos inimicitiæ gratia.

7. Et accensus est spiritus populi simul ut audivit sermones istos,

8. et responderunt voce magna, dicentes : Tu es dux noster loco Judæ et Jonathæ fratris tui :

9. pugna prælium nostrum, et omnia quæcumque dixeris nobis faciemus.

10. Et congregavit omnes viros bellatores, et acceleravit consummare muros Jerusalem, et munivit eam in gyro.

11. Et misit Jonatham filium Abessalomi et cum eo exercitum qui satis esset in Joppen, et ejectis his qui erant in ea remansit illic ipse.

12. Et movit Tryphon a Ptolemaida cum exercitu multo ut veniret in terram Juda, et Jonathas cum eo in custodia.

13. Simon autem applicuit in Adida contra faciem campi.

14. Et cognovit Tryphon quia surrexit Simon loco Jonathæ fratris sui, et quia commissurus esset cum eo prælium, et misit ad eum legatos,

15. dicens : Pro argento quod debebat frater tuus Jonathas in ratione regis propter negotia quæ habuit detinemus eum.

16. Et nunc mitte argenti talenta centum, et duos filios ejus obsides, ut dimissus non recedat a nobis, et remittemus eum.

17. Et cognovit Simon quia cum dolo loquerentur secum, mittit tamen argentum et pueros, ne inimicitiam magnam sumeret ad populum, dicentem :

18. quia non misi ei argentum et pueros, et periit.

19. Et misit pueros et centum talenta, et mentitus est et non dimisit Jonatham.

20. Καὶ μετὰ ταῦτα ἦλθε Τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν καὶ ἐκτρίψαι αὐτήν, καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς Ἄδωρα. Καὶ Σίμων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ ἂν ἐπορεύετο.

21. Οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς Τρύφωνα πρεσβευτὰς κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ἐρήμου, καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς.

22. Καὶ ἡτοίμασε Τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν ἐν τῇ νυκτὶ ἐκείνῃ. Καὶ ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα. Καὶ ἀπῆρε καὶ ἦλθεν εἰς τὴν Γαλααδῖτιν.

23. Ὡς δὲ ἤγγισε τῇ Βασκαμᾷ, ἀπέκτεινε τὸν Ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ.

24. Καὶ ἐπέστρεψε Τρύφων καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

25. Καὶ ἀπέστειλε Σίμων, καὶ ἔλαβε τὰ ὀστᾶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψεν αὐτὰ ἐν Μωδεῒν πόλει τῶν πατέρων αὐτοῦ.

26. Καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς.

27. Καὶ ᾠκοδόμησε Σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἐκ τῶν ἔμπροσθεν.

28. Καὶ ἔστησεν ἐπ' αὐτὰ ἑπτὰ πυραμίδας, μίαν κατέναντι τῆς μιᾶς, τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρσιν ἀδελφοῖς.

29. Καὶ ταύταις ἐποίησε μηχανήματα, περιθεὶς στύλους μεγάλους, καὶ ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον, καὶ παρὰ ταῖς πανοπλίαις πλοῖα ἐπιγεγλυμμένα εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων τὴν θάλασσαν.

30. Οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν Μωδεῒν ἕως τῆς ἡμέρας ταύτης.

31. Ὁ δὲ Τρύφων ἐπορεύετο δόλῳ μετὰ Ἀντιόχου τοῦ βασιλέως τοῦ νεωτέρου, καὶ ἀπέκτεινεν αὐτόν,

32. καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ, καὶ περιέθετο διάδημα τῆς Ἀσίας, καὶ ἐποίησε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς.

33. Καὶ ᾠκοδόμησε Σίμων τὰ ὀχυρώματα τῆς Ἰουδαίας, καὶ περιετείχισε πύργοις ὑψηλοῖς καὶ τείχεσι μεγάλοις καὶ πύλαις καὶ μοχλοῖς, καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώμασι.

34. Καὶ ἐπέλεξε Σίμων ἄνδρας, καὶ ἀπέστειλε πρὸς Δημήτριον τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις Τρύφωνος ἦσαν ἁρπαγαί.

35. Καὶ ἀπέστειλεν αὐτῷ Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους, καὶ ἀπεκρίθη αὐτῷ, καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην·

36. Βασιλεὺς Δημήτριος Σίμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ πρεσβυτέροις καὶ ἔθνει Ἰουδαίων χαίρειν.

37. Τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν βαΐνην ἣν ἀπεστείλατε κεκομίσμεθα, καὶ ἕτοιμοί ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγάλην, καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν τοῦ ἀφιέναι ὑμῖν ἀφέματα.

38. Καὶ ὅσα ἐστήκαμεν πρὸς ὑμᾶς ἕστηκε, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδομήκατε ὑπαρχέτω ὑμῖν.

39. Ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέρας, καὶ τὸν στέφανον ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ἱερουσαλήμ, μηκέτι τελωνείσθω.

20. Et post hæc venit Tryphon ut intraret in regionem et contereret eam, et gyravit per viam quæ ducit in Adora. Et Simon et castra ejus opponebant se ei in omnem locum quocumque ibat.

21. Qui autem in arce erant miserunt ad Tryphonem legatos qui urgerent eum ut veniret ad eos per desertum, et mitteret illis alimonias.

22. Et paravit Tryphon omnem equitatum suum ut veniret illa nocte. Et fuit nix multa valde, et non venit propter nivem. Et movit castra et venit in Galaaditim.

23. Ut autem appropinquavit ad Bascamari, occidit Jonatham, et sepultus est illic.

24. Et convertit Tryphon et abiit in terram suam.

25. Et misit Simon, et accepit ossa Jonathæ fratris sui, et sepelivit ea in Modin civitate patrum ejus.

26. Et planxerunt eum omnis Israel planctu magno, et luxerunt eum dies multos.

27. Et ædificavit Simon super sepulcrum patris sui et fratrum suorum, et exaltavit illud ad aspectum lapide polito retro et ante.

28. Et statuit super ea septem pyramidas, unam contra unam, patri et matri et quatuor fratribus.

29. Et his fecit machinamenta, circumponens columnas magnas, et fecit super columnas arma ad nomen æternum, et juxta arma naves sculptas ut viderentur ab omnibus navigantibus mare.

30. Hoc est sepulcrum quod fecit in Modin usque in hunc diem.

31. Tryphon autem iter faciebat dolo cum Antiocho rege adolescente, et occidit eum,

32. et regnavit loco ejus, et imposuit sibi diadema Asiæ, et fecit plagam magnam in terra.

33. Et ædificavit Simon præsidia Judææ, muniens ea turribus excelsis et muris magnis et portis et seris, et posuit alimenta in munitionibus.

34. Et elegit Simon viros, et misit ad Demetrium regem ut faceret remissionem regioni, quia omnes actus Tryphonis fuerant direptiones.

35. Et misit ei Demetrius rex secundum verba ista, et respondit ei, et scripsit ei epistolam talem :

36. Rex Demetrius Simoni summo sacerdoti et amico regum et senioribus et genti Judæorum salutem.

37. Coronam auream et bainem quam misistis accepimus, et parati sumus facere vobiscum pacem magnam, et scribere iis qui præsunt negotiis remittere vobis remissiones.

38. Et quæcumque constituimus vobis constant, et munitiones quas ædificastis vobis sint.

39. Remittimus quoque ignorantias et peccata usque in hodiernum diem, et coronam quam debebatis, et si quid aliud erat tributarium in Jerusalem, non sit amplius tributarium.

40. Καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέσθω ἀναμέσον ἡμῶν εἰρήνη.

41. Ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ Ἰσραήλ.

42. Καὶ ἤρξατο ὁ λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς καὶ συναλλάγμασιν ἔτους πρώτου ἐπὶ Σίμωνος ἀρχιερέως μεγάλου καὶ στρατηγοῦ καὶ ἡγουμένου Ἰουδαίων.

43. Ἐν ταῖς ἡμέραις ἐκείναις παρενέβαλε Σίμων ἐπὶ Γάζαν, καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς, καὶ ἐποίησεν ἑλεπόλεις καὶ προσήγαγε τῇ πόλει, καὶ ἐπάταξε πύργον ἕνα καὶ κατελάβετο.

44. Καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει.

45. Καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν, καὶ ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες Σίμωνα δεξιὰς αὐτοῖς δοῦναι,

46. καὶ εἶπον· Μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου.

47. Καὶ συνελύθη Σίμων αὐτοῖς καὶ οὐκ ἐπολέμησεν αὐτούς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας ἐν αἷς ἦν τὰ εἴδωλα, καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν.

48. Καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν καὶ κατῴκισεν ἐκεῖ ἄνδρας οἵτινες τὸν νόμον ποιοῦσι, καὶ προσωχύρωσεν αὐτὴν, καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν.

49. Οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ἱερουσαλὴμ ἐκωλύοντο ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι εἰς τὴν χώραν, καὶ ἀγοράζειν καὶ πωλεῖν, καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῇ λιμῷ.

50. Καὶ ἐβόησαν πρὸς Σίμωνα δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν, καὶ ἐκαθάρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων.

51. Καὶ εἰσῆλθεν εἰς αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς ἔτους ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, μετὰ αἰνέσεως καὶ βαΐων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ.

52. Καὶ ἔστησε κατ' ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ' εὐφροσύνης.

53. Καὶ προσωχύρωσε τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν, καὶ ᾤκει ἐκεῖ αὐτὸς καὶ οἱ παρ' αὐτοῦ.

54. Καὶ εἶδε Σίμων τὸν Ἰωάννην υἱὸν αὐτοῦ, ὅτι ἀνήρ ἐστι, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων πασῶν, καὶ ᾤκει ἐν Γαζάροις.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συνήγαγε Δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ, καὶ ἐπορεύθη εἰς Μήδειαν τοῦ ἐπισπάσασθαι βοήθειαν αὐτῷ, ὅπως πολεμήσῃ τὸν Τρύφωνα.

2. Καὶ ἤκουσεν Ἀρσάκης, ὁ βασιλεὺς τῆς Περσίδος καὶ Μηδείας, ὅτι ἦλθε Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα.

40. Et si qui ex vobis apti sunt conscribi inter eos qui circa nos, conscribantur, et sit inter nos pax.

41. Anno centesimo septuagesimo ablatum est jugum gentium ab Israel.

42. Et cœpit populus Israel scribere in syngraphis et contractibus anno primo sub Simone summo sacerdote magno et duce et principe Judæorum.

43. In diebus illis applicuit Simon ad Gazam, et circumdedit eam castris, et fecit machinas et admovit civitati, et percussit turrim unam et comprehendit.

44. Et eruperunt qui erant in machina in civitatem, et factus est motus magnus in civitate.

45. Et ascenderunt qui erant in civitate cum uxoribus et filiis supra murum scissis tunicis suis, et clamaverunt voce magna postulantes a Simone dexteras sibi dari,

46. et dixerunt : Non nobis utaris secundum malitias nostras, sed secundum misericordiam tuam.

47. Et flexus eis Simon non debellavit eos : ejecit tamen eos de civitate, et emundavit domos in quibus fuerant simulacra, et sic intravit in eam hymnos canens et benedicens.

48. Et ejecta ab ea omni immunditia collocavit ibi viros qui legem facerent, et munivit eam, et ædificavit sibi in ea habitationem.

49. Qui autem erant in arce in Jerusalem prohibebantur egredi et ingredi regionem, et emere ac vendere, et esurierunt valde, et multi ex eis fame perierunt.

50. Et clamaverunt ad Simonem ut dexteras acciperent, et dedit illis, et ejecit eos inde, et mundavit arcem a contaminationibus.

51. Et intravit in eam tertia et vigesima die secundi mensis, anno centesimo septuagesimo primo, cum laude et ramis et cynaris et cymbalis et nablis et hymnis et canticis, quia contritus est inimicus magnus ex Israel.

52. Et constituit ut omnibus annis ageretur dies hæc cum lætitia.

53. Et munivit montem templi qui erat secus arcem, et habitavit ibi ipse et qui cum eo erant.

54. Et vidit Simon Joannem filium suum, quod vir esset, et posuit eum ducem virtutum universarum, et habitabat in Gazaris.

CAPUT XIV.

1. Et anno centesimo septuagesimo secundo congregavit Demetrius rex exercitus suos, et abiit in Mediam ad contrahenda sibi auxilia, ut expugnaret Tryphonem.

2. Et audivit Arsaces, rex Persidis et Mediæ, quia intravit Demetrius fines suos, et misit unum de principibus suis ut comprehenderet eum vivum.

3. Καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν Δημητρίου, καὶ συνέλαβεν αὐτὸν, καὶ ἤγαγεν αὐτὸν πρὸς Ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ.

4. Καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα πάσας τὰς ἡμέρας Σίμωνος, καὶ ἐζήτησεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξουσία αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας.

5. Καὶ μετὰ πάσης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν Ἰόππην εἰς λιμένα, καὶ ἐποίησεν εἴσοδον ταῖς νήσοις τῆς θαλάσσης·

6. καὶ ἐπλάτυνε τὰ ὅρια τῷ ἔθνει αὐτοῦ, καὶ ἐκράτησε τῆς χώρας·

7. καὶ συνήγαγεν αἰχμαλωσίαν πολλὴν, καὶ ἐκυρίευσε Γαζαρῶν καὶ Βαιθσούρων καὶ τῆς ἄκρας· καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ.

8. Καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ' εἰρήνης, καὶ ἡ γῆ ἐδίδου τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν αὐτῶν.

9. Πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου.

10. Ταῖς πόλεσιν ἐχορήγησε βρώματα, καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρου τῆς γῆς.

11. Ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ εὐφράνθη Ἰσραὴλ εὐφροσύνην μεγάλην.

12. Καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς.

13. Καὶ ἐξέλιπεν ὁ πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις.

14. Καὶ ἐστήρισε πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν νόμον ἐξεζήτησε, καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν.

15. Τὰ ἅγια ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τῶν ἁγίων.

16. Καὶ ἠκούσθη ἐν Ῥώμῃ ὅτι ἀπέθανεν Ἰωνάθαν, καὶ ἕως Σπάρτης, καὶ ἐλυπήθησαν σφόδρα.

17. Ὡς δὲ ἤκουσαν ὅτι Σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ' αὐτοῦ ἀρχιερεὺς, καὶ ἐπικρατεῖ τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ,

18. ἔγραψαν πρὸς αὐτὸν δέλτοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν ἣν ἔστησαν πρὸς Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ.

19. Καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἱερουσαλήμ. Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ Σπαρτιᾶται·

20. Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις Σίμωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι καὶ τῷ λοιπῷ δήμῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν.

21. Οἱ πρεσβευταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ εὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν.

22. Καὶ ἀνεγράψαμεν τὰ ὑπ' αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως· Νουμήνιος Ἀντιόχου καὶ Ἀντίπατρος Ἰάσωνος πρεσβευταὶ Ἰουδαίων ἦλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν.

23. Καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως, καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐ-

3. Et abiit et percussit castra Demetrii, et comprehendit eum, et duxit eum ad Arsacem, et posuit eum in custodia.

4. Et siluit terra Juda omnibus diebus Simonis, et quæsivit bona genti suæ, et placuit illis potestas ejus et gloria ejus omnibus diebus.

5. Et cum omni gloria sua accepit Joppen in portum, et fecit introitum insulis maris :

6. et dilatavit fines genti suæ, et obtinuit regionem :

7. et congregavit captivitatem multam, et dominatus est Gazaræ et Bæthsuræ et arci : et abstulit immunditias ex ea, et non erat qui resisteret ei.

8. Et erant colentes terram suam cum pace, et terra dabat fructus suos, et ligna camporum fructum suum.

9. Seniores in plateis sedebant, omnes de bonis communiter tractabant, et juvenes induebant se glorias et stolas belli.

10. Civitatibus tribuebat alimonias, et constituit eas in vasis munitionis, quoadusque nominatum est nomen gloriæ ejus usque ad extremum terræ.

11. Fecit pacem super terram, et lætatus est Israel lætitia magna.

12. Et sedit unusquisque sub vite sua et ficu sua, et non erat qui eos terreret.

13. Et defecit impugnans eos super terram, et reges contriti sunt in diebus illis.

14. Et confirmavit omnes humiles populi sui : legem exquisivit, et abstulit omnem iniquum et malum.

15. Sancta glorificavit, et multiplicavit vasa sanctorum.

16. Et auditum est Romæ quia defunctus esset Jonathas, et usque in Spartam, et contristati sunt valde.

17. Ut audierunt autem quia Simon frater ejus factus esset summus sacerdos loco ejus, et ipse obtineret regionem et civitates quæ in ea,

18. scripserunt ad eum tabulis æreis ut renovarent cum eo amicitiam et societatem quam statuerant cum Juda et Jonatha fratribus ejus.

19. Et lectæ sunt in conspectu ecclesiæ in Jerusalem. Et hoc exemplum epistolarum quas Spartiatæ miserunt :

20. Spartiatarum principes et civitas Simoni sacerdoti magno et senioribus et sacerdotibus et reliquo populo Judæorum fratribus salutem.

21. Legati qui missi sunt ad populum nostrum nuntiaverunt nobis de vestra gloria et honore, et gavisi sumus in introitu eorum.

22. Et scripsimus quæ ab eis erant dicta in conciliis populi sic : Numenius Antiochi et Antipater Jasonis filius legati Judæorum venerunt ad nos renovantes nobiscum amicitiam pristinam.

23. Et placuit populo excipere viros gloriose, et ponere exemplum sermonum eorum in segregatis populi libris,

τῶν ἐν τοῖς ἀποδεδειγμένοις τοῦ δήμου βιβλίοις, τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν. Τὸ δὲ ἀντίγραφον τούτων ἐγράψαμεν Σίμωνι τῷ ἀρχιερεῖ.

24. Μετὰ ταῦτα ἀπέστειλε Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην, ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην ὁλκῆς μνῶν χιλίων, εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν.

25. Ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπον· Τίνα χάριν ἀποδώσομεν Σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ;

26. Ἐστήρισε γὰρ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ' αὐτῶν, καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν. Καὶ κατέγραψαν ἐν δέλτοις χαλκαῖς, καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρει Σιών.

27. Καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς. Ὀκτωκαιδεκάτῃ ἐλοὺλ, ἔτους δευτέρου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ τοῦτο τρίτον ἔτος ἐπὶ Σίμωνος ἀρχιερέως· ἐν Σαραμὲλ,

28. ἐπὶ συναγωγῆς μεγάλης ἱερέων καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους καὶ τῶν πρεσβυτέρων τῆς χώρας, ἐγνώρισεν ἡμῖν, ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ.

29. Σίμων δὲ ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰαρὶβ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ καὶ ἀντέστησαν τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος, καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν·

30. καὶ ἤθροισεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεὺς, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ·

31. καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρίψαι τὴν χώραν αὐτῶν καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν.

32. Τότε ἀνέστη Σίμων, καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπάνησε χρήματα πολλὰ τῶν ἑαυτοῦ, καὶ ὡπλοδότησε τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς ὀψώνια·

33. καὶ ὠχύρωσε τὰς πόλεις τῆς Ἰουδαίας, καὶ τὴν Βαιθσούραν τὴν ἐπὶ τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων τοπρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας Ἰουδαίους·

34. καὶ Ἰόππην ὠχύρωσε τὴν ἐπὶ τῆς θαλάσσης, καὶ τὴν Γάζαρα τὴν ἐπὶ τῶν ὁρίων Ἀζώτου, ἐν ᾗ ᾤκουν οἱ πολέμιοι τοπρότερον ἐκεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια ἦν πρὸς τὴν τούτων ἐπανόρθωσιν ἔθετο ἐν αὐτοῖς.

35. Καὶ εἶδεν ὁ λαὸς τὴν πρᾶξιν τοῦ Σίμωνος καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποιῆσαι τῷ ἔθνει αὐτοῦ, καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρχιερέα, διὰ τὸ αὐτὸν πεποιηκέναι πάντα ταῦτα καὶ τὴν δικαιοσύνην καὶ τὴν πίστιν ἣν συνετήρησε τῷ ἔθνει αὐτοῦ, καὶ ἐζήτησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ.

36. Καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ εὐωδώθη ἐν ταῖς χερσὶν αὐτοῦ, τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν, καὶ τοὺς ἐν τῇ πόλει Δαυὶδ τοὺς ἐν Ἱερουσαλὴμ, οἳ ἐποίησαν ἑαυτοῖς ἄκραν ἐξ ἧς ἐξεπορεύοντο καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων, καὶ ἐποίουν πληγὴν μεγάλην ἐν τῇ ἁγνείᾳ.

sit ad memoriam populo Spartiatarum. Exemplum autem horum scripsimus Simoni summo sacerdoti.

24. Post hæc misit Simon Numenium Romam, habentem clypeum aureum magnum pondo minarum mille, ad statuendam cum eis societatem.

25. Cum autem audisset populus sermones istos, dixerunt : Quas gratias reddemus Simoni et filiis ejus?

26. Firmavit enim ipse et fratres ejus et domus patris ejus, et expugnaverunt inimicos Israel a se, et statuerunt ei libertatem. Et descripserunt in tabulis æreis, et posuerunt in titulis in monte Sion.

27. Et hoc est exemplum scripturæ. Octava decima die mensis elul, anno centesimo septuagesimo secundo, et hic annus tertius sub Simone sacerdote magno : in Saramel,

28. in conventu magno sacerdotum et populi et principum gentis et servorum regionis, innotuit nobis, quoniam frequenter facta sunt prælia in regione.

29. Simon autem filius Mattathiæ filius ex filiis Jarib et fratres ejus dederunt seipsos periculo et restiterunt adversariis gentis suæ, ut starent sancta ipsorum et lex, et gloria magna glorificaverunt gentem suam :

30. et congregavit Jonathas gentem suam, et factus est illis sacerdos magnus, et appositus est ad populum suum :

31. et voluerunt inimici eorum penetrare in regionem ipsorum ut attererent regionem ipsorum et extenderent manus in sancta ipsorum.

32. Tunc surrexit Simon, et pugnavit pro gente sua, et erogavit pecunias multas ex suis, et armavit viros virtutis gentis suæ, et dedit illis stipendia :

33. et munivit civitates Judææ, et Bethsuram quæ in finibus Judææ, ubi erant arma hostium antea, et posuit illic præsidium viros Judæos :

34. et Joppen munivit quæ ad mare, et Gazaram quæ est in finibus Azoti, in qua hostes antea habitabant, et collocavit illic Judæos, et quæcumque apta erant ad correctionem horum posuit in eis.

35. Et vidit populus actum Simonis et gloriam quam cogitabat facere genti suæ, et posuerunt eum ducem suum et principem sacerdotum, eo quod ipse fecerit hæc omnia et justitiam et fidem quam conservavit genti suæ, et exquisivit omni modo exsaltare populum suum.

36. Et in diebus ejus prosperatum est in manibus ejus, ut tollerentur gentes de regione ipsorum, et qui in civitate David erant in Jerusalem, qui fecerant sibi arcem de qua procedebant et contaminabant in circuitu sanctorum, et inferebant plagam magnam castitati.

37. Καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους, καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας καὶ τῆς πόλεως, καὶ ὕψωσε τὰ τείχη Ἱερουσαλήμ.

38. Καὶ ὁ βασιλεὺς Δημήτριος ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα,

39. καὶ ἐποίησεν αὐτὸν τῶν φίλων αὐτοῦ, καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ.

40. Ἤκουσε γὰρ ὅτι προσηγόρευνται οἱ Ἰουδαῖοι ὑπὸ Ῥωμαίων φίλοι καὶ σύμμαχοι καὶ ἀδελφοὶ, καὶ ὅτι ἀπήντησαν τοῖς πρεσβευταῖς Σίμωνος ἐνδόξως·

41. καὶ ὅτι εὐδόκησαν οἱ Ἰουδαῖοι καὶ οἱ ἱερεῖς τοῦ εἶναι Σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι προφήτην πιστόν·

42. καὶ τοῦ εἶναι ἐπ' αὐτῶν στρατηγὸν, καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων, καθιστάναι αὐτοὺς ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς χώρας καὶ ἐπὶ τῶν ὅπλων καὶ ἐπὶ τῶν ὀχυρωμάτων·

43. καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γράφωνται ἐπὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περιβάληται πορφύραν καὶ χρυσοφορῇ.

44. Καὶ οὐκ ἐξέσται οὐδενὶ τοῦ λαοῦ καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων καὶ ἀντειπεῖν τοῖς ὑπ' αὐτοῦ ῥηθησομένοις, καὶ ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ, καὶ περιβάλλεσθαι πορφύραν καὶ ἐμπορποῦσθαι πόρπην χρυσῆν·

45. ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ ἢ ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται.

46. Καὶ εὐδόκησε πᾶς ὁ λαὸς θέσθαι Σίμωνι καὶ ποιῆσαι κατὰ τοὺς λόγους τούτους.

47. Καὶ ἐπεδέξατο Σίμων καὶ εὐδόκησεν ἀρχιερατεύειν καὶ εἶναι στρατηγὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων καὶ ἱερέων, καὶ τοῦ προστατῆσαι πάντων.

48. Καὶ τὴν γραφὴν ταύτην εἶπον θέσθαι ἐν δέλτοις χαλκαῖς, καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν τόπῳ ἐπισήμῳ,

49. τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, ὅπως ἔχῃ Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ.

37. Et collocavit in ea viros Judæos, et munivit eam ad tutamentum regionis et civitatis, et exaltavit muros Jerusalem.

38. Et rex Demetrius statuit illi summum sacerdotium secundum hæc,

39. et fecit eum ex amicis suis, et glorificavit eum gloria magna.

40. Audivit enim quod appellati sunt Judæi a Romanis amici et socii et fratres, et quia obviam iverant legatis Simonis gloriose :

41. et quia consenserunt Judæi et sacerdotes eorum Simonem esse ducem et summum sacerdotem in æternum, donec surgat propheta fidelis :

42. et ut sit super eos dux, et ut cura esset illi pro sanctis, ut constitueret eos super opera eorum et super regionem et super arma et super præsidia :

43. et ut cura sit illi de sanctis, et ut audiatur ab omnibus, et scribantur in nomine ejus omnes conscriptiones in regione, et ut operiatur purpura et auro.

44. Et ne liceat ulli ex populo et ex sacerdotibus irritum facere aliquid horum et contradicere his quæ ab ipso dicentur, et convocare conventum in regione sine ipso, et vestiri purpura et uti fibula aurea :

45. qui autem fecerit extra hæc aut irritum fecerit aliquid horum, reus erit.

46. Et complacuit omni populo statuere Simoni et facere secundum verba ista.

47. Et suscepit Simon et placuit ei ut summo sacerdotio fungeretur et esset dux et princeps gentis Judæorum et sacerdotum, et præesset omnibus.

48. Et scripturam istam dixerunt ponere in tabulis æreis, et ponere eas in peribolo sanctorum in loco celebri,

49. exempla autem earum poni in ærario, ut habeat Simon et filii ejus.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Καὶ ἀπέστειλεν ὁ Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως ἐπιστολὰς ἀπὸ τῶν νήσων τῆς θαλάσσης Σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων καὶ παντὶ τῷ ἔθνει.

2. Καὶ ἦσαν περιέχουσαι τὸν τρόπον τοῦτον· Βασιλεὺς Ἀντίοχος Σίμωνι ἱερεῖ μεγάλῳ καὶ ἐθνάρχῃ καὶ ἔθνει Ἰουδαίων χαίρειν.

3. Ἐπειδὴ ἄνδρες λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βούλομαι δὲ ἀντιποιήσασθαι τῆς βασιλείας, ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν πρότερον· ἐξενολόγησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύασα πλοῖα πολεμικά.

4. Βούλομαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν, ὅπως μετέλθω τοὺς κατεφθαρκότας τὴν χώραν ἡμῶν καὶ τοὺς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ·

5. νῦν οὖν ἵστημί σοι πάντα τὰ ἀφαιρέματα ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἄλλα δόματα ἀφῆκάν σοι.

6. Καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμμα ἴδιον νόμισμα τῇ χώρᾳ σου·

CAPUT XV.

1. Et misit Antiochus filius Demetrii regis epistolas ab insulis maris Simoni sacerdoti et principi gentis Judæorum et universæ genti.

2. Et erant continentes hunc modum : Rex Antiochus Simoni sacerdoti magno et principi gentis et genti Judæorum salutem.

3. Quoniam viri pestilentes obtinuerunt regnum patrum nostrorum, volo autem vindicare regnum, ut restituam illud sicut erat antea : et electam feci multitudinem exercitus et paravi naves bellicas.

4. Volo autem procedere per regionem, ut ulciscar eos qui corruperunt regionem nostram et qui desolaverunt civitates multas in regno :

5. nunc ergo statuo tibi omnes oblationes quas remiserunt tibi reges qui ante me, et quæcumque alia dona remiserunt tibi.

6. Et permisi tibi facere percussuram proprii nomismatis in regione tua :

7. Ἱερουσαλὴμ δὲ καὶ τὰ ἅγια εἶναι ἐλεύθερα. Καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδόμησας, ὧν κρατεῖς, μενέτω σοι.

8. Καὶ πᾶν ὀφείλημα βασιλικὸν καὶ τὰ ἐσόμενα βασιλικὰ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον, ἀφιέσθω σοι.

9. Ὡς δ' ἂν κρατήσωμεν τῆς βασιλείας ἡμῶν, δοξάσομέν σε καὶ τὸ ἔθνος σου καὶ τὸ ἱερὸν δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ γῇ.

10. Ἔτους τετάρτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Ἀντίοχος εἰς τὴν γῆν πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους εἶναι τοὺς καταλειφθέντας σὺν Τρύφωνι.

11. Καὶ ἐδίωξεν αὐτὸν Ἀντίοχος ὁ βασιλεύς, καὶ ἦλθε φεύγων εἰς Δωρᾶ τὴν ἐπὶ τῆς θαλάσσης.

12. Εἶδε γὰρ ὅτι συνῆκται ἐπ' αὐτὸν τὰ κακά, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις.

13. Καὶ παρενέβαλεν Ἀντίοχος ἐπὶ Δωρᾶ καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολεμιστῶν καὶ ὀκτακισχιλία ἵππος.

14. Καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα ἀπὸ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς καὶ τῆς θαλάσσης, καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι.

15. Καὶ ἦλθε Νουμήνιος καὶ οἱ παρ' αὐτοῦ ἐκ Ῥώμης ἔχοντες ἐπιστολὰς τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε·

16. Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαίρειν.

17. Οἱ πρεσβευταὶ τῶν Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς φίλοι ἡμῶν καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμαχίαν, ἀπεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν Ἰουδαίων.

18. Ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων.

19. Ἤρεσεν οὖν ἡμῖν γράψαι τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακά, καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν καὶ τὴν χώραν αὐτῶν, καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμοῦσιν αὐτούς.

20. Ἔδοξε δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα παρ' αὐτῶν.

21. Εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς Σίμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδικήσῃ ἐν αὐτοῖς κατὰ τὸν νόμον αὐτῶν.

22. Καὶ τὰ αὐτὰ ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ καὶ Ἀττάλῳ, Ἀριαράθῃ καὶ Ἀρσάκῃ,

23. καὶ εἰς πάσας τὰς χώρας, καὶ Σαμψάμῃ, καὶ Σπαρτιάταις, καὶ εἰς Δῆλον, καὶ εἰς Μύνδον, καὶ εἰς Σικυῶνα, καὶ εἰς τὴν Καρίαν, καὶ εἰς Σάμον, καὶ εἰς τὴν Παμφυλίαν, καὶ εἰς τὴν Λυκίαν, καὶ εἰς Ἀλικαρνασσὸν, καὶ εἰς Ῥόδον, καὶ εἰς Φασηλίδα, καὶ εἰς Κῶ, καὶ εἰς Σίδην, καὶ εἰς Ἄραδον, καὶ εἰς Γόρτυναν, καὶ Κνίδον, καὶ Κύπρον, καὶ Κυρήνην.

24. Τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ.

25. Ἀντίοχος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρᾶ ἐν τῇ δευτέρᾳ, προσάγων διαπαντὸς αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς ποιούμενος, καὶ συνέκλεισε τὸν Τρύφωνα τοῦ μὴ εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι.

7. Jerusalem autem et sancta esse libera. Et omnia arma quæ fabricasti et præsidia quæ construxisti, quæ tenes, maneant tibi.

8. Et omne debitum regium et quæ futura sunt regia ex hoc et in omne tempus, remittantur tibi.

9. Cum autem obtinuerimus regnum nostrum, glorificabimus te et gentem tuam et templum gloria magna, ita ut manifestetur gloria vestra in universa terra.

10. Anno centesimo septuagesimo quarto exiit Antiochus in terram patrum suorum, et convenerunt ad eum omnes exercitus, ita ut pauci relicti essent cum Tryphone.

11. Et insecutus est eum Antiochus rex, et venit fugiens in Doram quæ ad mare.

12. Sciebat enim quod congregata sunt mala in eum, et reliquit eum exercitus.

13. Et applicuit Antiochus super Doram cum centum viginti millibus virorum belligeratorum et octo millibus equitum.

14. Et circuivit civitatem, et naves a mari accesserunt, et vexabat civitatem a terra et mari, et neminem sinebat egredi vel ingredi.

15. Venit autem Numenius et qui cum eo fuerunt ab urbe Roma habentes epistolas regibus et regionibus, in quibus continebantur hæc :

16. Lucius consul Romanorum Ptolemæo regi salutem.

17. Legati Judæorum venerunt ad nos amici nostri et socii, renovantes pristinam amicitiam et societatem, missi a Simone principe sacerdotum et populo Judæorum.

18. Attulerunt autem clypeum aureum minarum mille.

19. Placuit itaque nobis scribere regibus et regionibus, ut non quærant eis mala, neque impugnent eos et civitates eorum et regionem eorum, et ut non ferant auxilium pugnantibus adversus eos.

20. Visum autem est nobis accipere ab eis clypeum.

21. Si qui ergo pestilentes fugerint de regione ipsorum ad vos, tradite eos Simoni principi sacerdotum, ut vindicet in eos secundum legem suam.

22. Hæc eadem scripsit Demetrio regi et Attalo, Ariarathæ et Arsaci,

23. et in omnes regiones, et Sampsamæ, et Spartiatis, et in Delum, et in Myndum, et in Sicyonem, et in Cariam, et in Samum, et in Pamphyliam, et in Lyciam, et in Halicarnassum, et Rhodum, et Phaselida, et Coo, et Siden, et Aradon, et Gortynam, et Cnidum, et Cyprum, et Cyrenen.

24. Exemplum autem earum scripserunt Simoni principi sacerdotum.

25. Antiochus autem rex applicuit castra in Doram secundo, admovens ei semper manus et machinas faciens, et conclusit Tryphonem ne ingrederetur et egrederetur.

26. Καὶ ἀπέστειλεν αὐτῷ Σίμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ καὶ ἀργύριον καὶ χρυσίον καὶ σκεύη ἱκανά.

27. Καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλ' ἠθέτησε πάντα ὅσα συνέθετο αὐτῷ τοπρότερον, καὶ ἠλλοτριοῦτο αὐτῷ.

28. Καὶ ἀπέστειλε πρὸς αὐτὸν Ἀθηνόβιον ἕνα τῶν φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ, λέγων· Ὑμεῖς κατακρατεῖτε τῆς Ἰόππης καὶ Γαζάρων καὶ τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ, πόλεις τῆς βασιλείας μου·

29. τὰ ὅρια αὐτῶν ἠρημώσατε, καὶ ἐποιήσατε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς, καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασιλείᾳ μου.

30. Νῦν οὖν παράδοτε τὰς πόλεις ἃς κατελάβεσθε, καὶ τοὺς φόρους τῶν τόπων ὧν κατεκυριεύσατε ἐκτὸς τῶν ὁρίων τῆς Ἰουδαίας.

31. Εἰ δὲ μὴ, δότε ἀντ' αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου, καὶ τῆς καταφθορᾶς ἧς κατεφθάρκατε, καὶ τῶν φόρων τῶν πόλεων, ἄλλα τάλαντα πεντακόσια. Εἰ δὲ μὴ, παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς.

32. Καὶ ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βασιλέως εἰς Ἱερουσαλὴμ, καὶ εἶδε τὴν δόξαν Σίμωνος καὶ κυλικεῖον μετὰ χρυσωμάτων καὶ ἀργυρωμάτων, καὶ παράστασιν ἱκανὴν, καὶ ἐξίστατο, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ βασιλέως.

33. Καὶ ἀποκριθεὶς Σίμων εἶπεν αὐτῷ· Οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν, οὔτε ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν, ὑπὸ δὲ ἐχθρῶν ἡμῶν ἔν τινι καιρῷ ἀκρίτως κατεκρατήθη.

34. Ἡμεῖς δὲ καιρὸν ἔχοντες ἀντεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν.

35. Περὶ δὲ Ἰόππης καὶ Γαζάρων ὧν αἰτεῖς, αὗται ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην κατὰ τὴν χώραν ἡμῶν, τούτων δώσομεν τάλαντα ἑκατόν. Καὶ οὐκ ἀπεκρίθη αὐτῷ Ἀθηνόβιος λόγον.

36. Ἀπέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τούτους καὶ τὴν δόξαν Σίμωνος καὶ πάντα ὅσα εἶδε, καὶ ὠργίσθη ὁ βασιλεὺς ὀργὴν μεγάλην.

37. Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν εἰς Ὀρθωσιάδα.

38. Καὶ κατέστησεν ὁ βασιλεὺς τὸν Κενδεβαῖον στρατηγὸν τῆς παραλίας, καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ.

39. Καὶ ἐνετείλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς Ἰουδαίας· καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν Κεδρὼν καὶ ὀχυρῶσαι τὰς πύλας, καὶ ὅπως πολεμήσῃ τὸν λαόν. Ὁ δὲ βασιλεὺς ἐδίωκε τὸν Τρύφωνα.

40. Καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰάμνειαν, καὶ ἤρξατο τοῦ ἐρεθίζειν τὸν λαὸν καὶ ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν, καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν, καὶ ᾠκοδόμησε τὴν Κεδρών·

41. καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις, ὅπως ἐκπορευόμενοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς Ἰουδαίας καθὰ συνέταξεν αὐτῷ ὁ βασιλεύς.

26. Et misit ad eum Simon duo millia virorum electorum in auxilium ejus et argentum et aurum et vasa copiosa.

27. Et noluit ea accipere, sed rupit omnia quæ pactus est cum eo antea, et alienavit se ab eo.

28. Et misit ad eum Athenobium unum de amicis suis ut tractaret cum ipso, dicens : Vos tenetis Joppem et Gazaram et arcem quæ est in Jerusalem, civitates regni mei :

29. fines earum desolastis, et fecistis plagam magnam in terra, et dominati estis locorum multorum in regno meo.

30. Nunc ergo tradite civitates quas occupastis, et tributa locorum in quibus dominati estis extra fines Judææ.

31. Sin autem, date pro illis quingenta talenta argenti, et exterminii quod exterminastis, et tributorum civitatum, alia talenta quingenta. Sin autem, veniemus et expugnabimus vos.

32. Et venit Athenobius amicus regis in Jerusalem, et vidit gloriam Simonis et abacum cum vasis aureis et argenteis, et apparatum copiosum, et obstupuit, et retulit ei verba regis.

33. Et respondit Simon et dixit ei : Neque alienam terram sumpsimus, neque aliena detinuimus, sed hæreditatem patrum nostrorum, ab inimicis autem nostris injuste aliquo tempore possessa est.

34. Nos vero tempus habentes vindicamus hæreditatem patrum nostrorum.

35. Nam de Joppe et Gaza quæ expostulas, ipsæ faciebant in populo plagam magnam per regionem nostram, harum dabimus talenta centum. Et non respondit ei Athenobius verbum.

36. Reversus autem cum ira ad regem renuntiavit ei verba ista et gloriam Simonis et universa quæ vidit, et iratus est rex ira magna.

37. Tryphon autem conscendens navim fugit in Orthosiada.

38. Et constituit rex Cendebæum ducem maritimæ, et exercitum peditum et equitum dedit illi.

39. Et mandavit illi admovere castra contra faciem Judææ : et mandavit ei ædificare Cedronem et munire portas, et ut debellet populum. Rex autem persequebatur Tryphonem.

40. Et pervenit Cendebæus Jamniam, et cœpit irritare plebem et penetrare in Judæam, et captivare populum et interficere, et ædificavit Cedronem :

41. et collocavit illic equites et exercitus, ut egressi perambularent vias Judææ sicut constituit ei rex.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

1. Καὶ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων, καὶ ἀπήγγειλε Σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλει Κενδεβαῖος.

2. Καὶ ἐκάλεσε Σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ἰούδαν καὶ Ἰωάννην, καὶ εἶπεν αὐτοῖς·

CAPUT XVI.

1. Et ascendit Joannes de Gazaris, et nuntiavit Simoni patri suo quæ faciebat Cendebæus.

2. Et vocavit Simon duos filios suos seniores Judam et Joannem, et ait illis : Ego et fratres mei et domus patris

Ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐπολεμήσαμεν τοὺς πολεμίους Ἰσραὴλ ἀπὸ νεότητος ἕως τῆς σήμερον ἡμέρας, καὶ εὐωδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσασθαι τὸν Ἰσραὴλ πλεονάκις.

3. Νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ ἐλέει ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι· γίνεσθε ἀντ' ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου, καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν· ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθεια ἔστω μεθ' ὑμῶν.

4. Καὶ ἐπέλεξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν ἐπὶ τὸν Κενδεβαῖον, καὶ ἐκοιμήθησαν ἐν Μωδεΐν.

5. Καὶ ἀναστάντες τοπρωῒ ἐπορεύοντο εἰς τὸ πεδίον, καὶ ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς πεζικὴ καὶ ἱππεῖς, καὶ ἦν χειμάῤῥους ἀναμέσον αὐτῶν.

6. Καὶ παρενέβαλε κατὰ πρόσωπον αὐτῶν αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ. Καὶ εἶδε τὸν λαὸν δειλούμενον διαπερᾶσαι τὸν χειμάῤῥουν, καὶ διεπέρασε πρῶτος, καὶ ἴδον αὐτὸν οἱ ἄνδρες, καὶ διεπέρασαν κατόπισθεν αὐτοῦ.

7. Καὶ διεῖλε τὸν λαὸν καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν. Ἡ δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ σφόδρα.

8. Καὶ ἐσάλπισαν ταῖς ἱεραῖς σάλπιγξι, καὶ ἐτροπώθη Κενδεβαῖος καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί· οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα.

9. Τότε ἐτραυματίσθη Ἰούδας ὁ ἀδελφὸς Ἰωάννου. Ἰωάννης δὲ κατεδίωξεν αὐτοὺς ἕως ἦλθεν εἰς Κεδρὼν ἣν ᾠκοδόμησε.

10. Καὶ ἔφυγον ἕως εἰς τοὺς πύργους τοὺς ἐν τοῖς ἀγροῖς Ἀζώτου, καὶ ἐνεπύρισεν αὐτὴν ἐν πυρὶ, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας δισχιλίους, καὶ ἀπέστρεψεν εἰς γῆν Ἰούδα μετ' εἰρήνης.

11. Καὶ Πτολεμαῖος ὁ τοῦ Ἀβούβου ἦν καθεσταμένος στρατηγὸς εἰς τὸ πεδίον Ἱεριχὼ, καὶ ἔσχεν ἀργύριον καὶ χρυσίον πολύ.

12. Ἦν γὰρ γαμβρὸς τοῦ ἀρχιερέως.

13. Καὶ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι τῆς χώρας, καὶ ἐβουλεύετο δόλῳ κατὰ Σίμωνος καὶ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς.

14. Σίμων δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντίζων τῆς ἐπιμελείας αὐτῶν, καὶ κατέβη εἰς Ἱεριχὼ αὐτὸς καὶ Ματταθίας καὶ Ἰούδας οἱ υἱοὶ αὐτοῦ, ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, ἐν μηνὶ ἑνδεκάτῳ, οὗτος ὁ μὴν σαβάτ.

15. Καὶ ὑπεδέξατο αὐτοὺς ὁ τοῦ Ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον Δὼκ μετὰ δόλου ὃ ᾠκοδόμησε, καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν, καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας.

16. Καὶ ὅτε ἐμεθύσθη Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη Πτολεμαῖος καὶ οἱ παρ' αὐτοῦ, καὶ ἐλάβοσαν τὰ ὅπλα αὐτῶν, καὶ ἐπεισήλθοσαν τῷ Σίμωνι εἰς τὸ συμπόσιον, καὶ ἀπέκτειναν αὐτὸν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ, καί τινας τῶν παιδαρίων αὐτοῦ.

17. Καὶ ἐποίησεν ἀθεσίαν μεγάλην, καὶ ἀπέδωκε κακὰ ἀντὶ ἀγαθῶν.

18. Καὶ ἔγραψε ταῦτα Πτολεμαῖος, καὶ ἀπέστειλε τῷ βασιλεῖ, ὅπως ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν καὶ παραδῷ αὐτῷ τὴν χώραν αὐτῶν καὶ τὰς πόλεις.

19. Καὶ ἀπέστειλεν ἑτέρους εἰς Γάζαρα ἆραι τὸν

mei expugnavimus hostes Israel ab adolescentia usque in hunc diem, et prosperatum est in manibus nostris liberare Israel sæpenumero.

3. Nunc autem senui, et vos autem in misericordia sufficientes estis in annis : estote loco meo et fratris mei, et egressi pugnate pro gente nostra : auxilium vero de cœlo vobiscum sit.

4. Et elegit de regione viginti millia virorum belligeratorum et equites, et profecti sunt ad Cendebæum, et dormierunt in Modin.

5. Et surrexerunt mane et abierunt in campum, et ecce exercitus copiosus in obviam illis peditum et equitum, et torrens erat inter medium ipsorum.

6. Et admovit castra contra faciem eorum ipse et populus ejus. Et vidit populum trepidantem ad transfretandum torrentem, et transfretavit primus, et viderunt eum viri, et transierunt post eum.

7. Et divisit populum et equites in medio peditum. Erat autem equitatus adversariorum copiosus nimis.

8. Et exclamaverunt sacris tubis, et in fugam conversus est Cendebæus et castra ejus, et ceciderunt ex eis multi vulnerati : residui autem in munitionem fugerunt.

9. Tunc vulneratus est Judas frater Joannis. Joannes autem insecutus est eos donec venit Cedronem quam ædificavit.

10. Et fugerunt usque ad turres quæ erant in agris Azoti, et succendit eam igni, et ceciderunt ex illis ad duo millia virorum, et reversus est in terram Juda cum pace.

11. Et Ptolemæus filius Abubi constitutus erat dux in campo Jericho, et habebat argentum et aurum multum.

12. Erat enim gener summi sacerdotis.

13. Et exaltatum est cor ejus, et volebat obtinere regionem, et cogitabat dolum adversus Simonem et filios ejus ut tolleret eos.

14. Simon autem perambulans civitates quæ erant in regione et sollicitudinem gerens de cura earum, descendit in Jericho ipse et Mattathias et Judas filii ejus, anno centesimo septuagesimo septimo, mense undecimo, hic est mensis sabat.

15. Et suscepit eos filius Abubi in munitiunculam quæ vocatur Doc cum dolo quam ædificavit, et fecit eis convivium magnum, et abscondit illic viros.

16. Et cum inebriatus esset Simon et filii ejus, surrexit Ptolemæus cum suis, et sumpserunt arma sua, et irruerunt in Simonem in convivio, et occiderunt eum et duos filios ejus, et quosdam pueros ejus.

17. Et fecit deceptionem magnam, et reddidit mala pro bonis.

18. Et scripsit hæc Ptolemæus, et misit regi, ut mitteret ei exercitum in auxilium et traderet ei regionem et civitates eorum.

19. Et misit alios in Gazaram tollere Joannem, et tribu-

Ἰωάννην, καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτὸν, ὅπως δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ δόματα.

20. Καὶ ἑτέρους ἀπέστειλε καταλαβέσθαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱεροῦ.

21. Καὶ προδραμών τις ἀπήγγειλεν Ἰωάννῃ εἰς Γάζαρα, ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὅτι ἀπέσταλκε καὶ σὲ ἀποκτεῖναι.

22. Καὶ ἀκούσας ἐξέστη σφόδρα, καὶ συνέλαβε τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν καὶ ἀπέκτεινεν αὐτούς· ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι.

23. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάννου καὶ τῶν πολέμων αὐτοῦ καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ ὧν ἠνδραγάθησε, καὶ τῆς οἰκοδομῆς τῶν τειχέων ὧν ᾠκοδόμησε, καὶ τῶν πράξεων αὐτοῦ,

24. ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ' οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

nis misit epistolas ut venirent ad se, ut daret eis argentum et aurum et dona.

20. Et alios misit occupare Jerusalem et montem templi.

21. Et præcurrens quidam nuntiavit Joanni in Gazara, quia periit pater ejus et fratres ejus, et quia misit te quoque interficere.

22. Ut audivit autem vehementer expavit, et comprehendit viros qui venerant perdere eum et occidit eos : cognovit enim quia quærebant perdere eum.

23. Et cætera sermonum Joannis et bellorum ejus et bonarum actionum ejus quas fortiter egit, et ædificii murorum quos exstruxit, et rerum gestarum ejus,

24. ecce hæc scripta sunt in libro dierum sacerdotii ejus, ex quo factus est princeps sacerdotum post patrem suum.

ΜΑΚΚΑΒΑΙΩΝ

ΔΕΥΤΕΡΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Τοῖς ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις χαίρειν. Οἱ ἀδελφοὶ οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας εἰρήνην ἀγαθήν.

2. Καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ Θεὸς, καὶ μνησθείη τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν δούλων αὐτοῦ τῶν πιστῶν.

3. Καὶ δῴη ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ καὶ ψυχῇ βουλομένῃ.

4. Καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ αὐτοῦ καὶ ἐν τοῖς προστάγμασι, καὶ εἰρήνην ποιήσαι,

5. καὶ ἐπακούσαι ὑμῶν τῶν δεήσεων, καὶ καταλλαγείη ὑμῖν, καὶ μὴ ὑμᾶς ἐγκαταλίποι ἐν καιρῷ πονηρῷ.

6. Καὶ νῦν ὧδέ ἐσμεν προσευχόμενοι περὶ ὑμῶν.

7. Βασιλεύοντος Δημητρίου ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐννάτου, ἡμεῖς οἱ Ἰουδαῖοι γεγραφήκαμεν ὑμῖν ἐν τῇ θλίψει καὶ ἐν τῇ ἀκμῇ τῇ ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσι τούτοις, ἀφ' οὗ ἀπέστη Ἰάσων καὶ οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς καὶ τῆς βασιλείας.

8. Καὶ ἐνεπύρισαν τὸν πυλῶνα, καὶ ἐξέχεαν αἷμα ἀθῷον. Καὶ ἐδεήθημεν τοῦ Κυρίου, καὶ εἰσηκούσθημεν· καὶ προσηνέγκαμεν θυσίαν καὶ σεμίδαλιν, καὶ ἐξήψαμεν τοὺς λύχνους καὶ προεθήκαμεν τοὺς ἄρτους.

9. Καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ χασελεῦ μηνός.

10. Ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου, οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἡ γερουσία καὶ Ἰούδας, Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους, καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις, χαίρειν καὶ ὑγιαίνειν.

MACCABÆORUM

SECUNDUS.

CAPUT I.

1. Fratribus qui sunt per Ægyptum Judæis salutem. Fratres qui sunt in Jerosolymis Judæi et qui in regione Judææ pacem bonam.

2. Et benefaciat vobis Deus, et meminerit testamenti sui quod ad Abraam et Isaac et Jacob servos suos fideles.

3. Et det vobis cor omnibus ut colatis eum et faciatis ejus voluntatem corde magno et animo volenti.

4. Et adaperiat cor vestrum in lege sua et in præceptis, et faciat pacem,

5. et exaudiat orationes vestras, et reconcilietur vobis, nec vos deserat in tempore malo.

6. Et nunc hic sumus orantes pro vobis.

7. Regnante Demetrio anno centesimo sexagesimo nono, nos Judæi scripsimus vobis in tribulatione et impetu qui supervenit nobis in istis annis, ex quo recessit Jason et qui cum eo a sancta terra et a regno.

8. Et portam succenderunt, et effuderunt sanguinem innocentem. Et oravimus ad Dominum, et exauditi sumus : et obtulimus sacrificium et similaginem, et accendimus lucernas et proposuimus panes.

9. Et nunc ut agatis dies scenopegiæ mensis chasleu.

10. Anno centesimo octogesimo octavo, qui sunt in Jerosolymis et qui in Judæa, senatusque et Judas, Aristobulo magistro Ptolemæi regis, qui est de genere christorum sacerdotum, et his qui in Ægypto sunt Judæis, salutem et sanitatem.

11. Ἐκ μεγάλων κινδύνων ὑπὸ τοῦ Θεοῦ σεσωσμένοι, μεγάλως εὐχαριστοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα παρατασσόμενοι.

12. Αὐτὸς γὰρ ἐξέβρασε τοὺς παραταξαμένους ἐν τῇ ἁγίᾳ πόλει.

13. Εἰς γὰρ τὴν Περσίδα γενόμενος ὁ ἡγεμὼν, καὶ ἡ περὶ αὐτὸν ἀνυπόστατος δοκοῦσα εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς Ναναίας ἱερῷ, παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν Ναναίαν ἱερέων.

14. Ὡς γὰρ συνοικήσων αὐτῇ παρεγένετο εἰς τὸν τόπον ὅ, τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι, χάριν τοῦ λαβεῖν τὰ χρήματα εἰς φερνῆς λόγον.

15. Καὶ προθέντων αὐτὰ τῶν ἱερέων τῆς Ναναίας, κἀκείνου προςελθόντος μετ' ὀλίγων εἰς τὸν περίβολον τοῦ τεμένους, συγκλείσαντες τὸ ἱερὸν,

16. ὡς εἰςῆλθεν Ἀντίοχος, ἀνοίξαντες τὴν τοῦ φατνώματος κρυπτὴν θύραν, βάλλοντες πέτρους συνεκεραύνωσαν τὸν ἡγεμόνα, καὶ μέλη ποιήσαντες καὶ τὰς κεφαλὰς ἀφελόντες τοῖς ἔξω παρέῤῥιψαν.

17. Κατὰ πάντα εὐλογητὸς ἡμῶν ὁ Θεὸς, ὃς παρέδωκε τοὺς ἀσεβήσαντας.

18. Μέλλοντες οὖν ἄγειν ἐν τῷ χασελεῦ πέμπτῃ καὶ εἰκάδι τὸν καθαρισμὸν τοῦ ἱεροῦ, δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε τῆς σκηνοπηγίας καὶ τοῦ πυρὸς, ὅτε Νεεμίας οἰκοδομήσας τό, τε ἱερὸν καὶ τὸ θυσιαστήριον ἀνήνεγκε θυσίαν.

19. Καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤγοντο οἱ πατέρες ἡμῶν, οἱ τότε εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ πυρὸς τοῦ θυσιαστηρίου λαθραίως, κατέκρυψαν ἐν κοιλώματι φρέατος τάξιν ἔχοντος ἀνύδρου, ἐν ᾧ κατησφαλίσαντο ὥςτε πᾶσιν ἄγνωστον εἶναι τὸν τόπον.

20. Διελθόντων δὲ ἐτῶν ἱκανῶν, ὅτε ἔδοξε τῷ Θεῷ, ἀποσταλεὶς Νεεμίας ὑπὸ τοῦ βασιλέως τῆς Περσίδος τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάντων ἔπεμψεν ἐπὶ τὸ πῦρ. Ὡς δὲ διεσάφησαν ἡμῖν μὴ εὑρηκέναι πῦρ ἀλλὰ ὕδωρ παχὺ,

21. ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν. Ὡς δὲ ἀνηνέχθη τὰ τῶν θυσιῶν, ἐκέλευσε τοὺς ἱερεῖς Νεεμίας ἐπιῤῥᾶναι τῷ ὕδατι τά τε ξύλα καὶ τὰ ἐπικείμενα.

22. Ὡς δὲ ἐγένετο τοῦτο, καὶ χρόνος διῆλθεν, ὅ, τε ἥλιος ἀνέλαμψε πρότερον ἐπινεφὴς ὢν, ἀνήφθη πυρὰ μεγάλη, ὥςτε θαυμάσαι πάντας.

23. Προσευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δαπανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς καὶ πάντες καταρχομένου Ἰωνάθου, τῶν δὲ λοιπῶν ἐπιφωνούντων,

24. ὡς Νεεμίου. Ἦν δὲ ἡ προσευχὴ τὸν τρόπον ἔχουσα τοῦτον· Κύριε, Κύριε ὁ Θεὸς, ὁ πάντων κτίστης, ὁ φοβερὸς, καὶ ἰσχυρὸς, καὶ δίκαιος, καὶ ἐλεήμων, ὁ μόνος βασιλεὺς καὶ χρηστὸς,

25. ὁ μόνος χορηγὸς, ὁ μόνος δίκαιος καὶ παντοκράτωρ καὶ αἰώνιος, ὁ διασώζων τὸν Ἰσραὴλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας τοὺς πατέρας ἐκλεκτοὺς, καὶ ἁγιάσας αὐτούς·

26. πρόςδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς τοῦ λαοῦ σου Ἰσραὴλ, καὶ διαφύλαξον τὴν μερίδα σου καὶ καθαγίασον.

27. Ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον τοὺς δουλεύοντας ἐν τοῖς ἔθνεσι, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς ἔπιδε, καὶ γνώτωσαν τὰ ἔθνη ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

11. De magnis periculis a Deo liberati, magnifice gratias agimus ei, utpote qui adversus regem dimicamus.

12. Ipse enim ebullire fecit eos qui pugnaverunt in sancta civitate.

13. Nam cum in Perside esset dux ipse, et qui cum ipso exercitus qui intolerabilis videbatur esse, percussi sunt in templo Nanææ, fraude utentibus iis qui circa Nanæam sacerdotibus.

14. Etenim quasi cum ea habitaturus venit ad locum Antiochus et amici ejus, ut acciperet pecunias dotis nomine.

15. Cumque proposuissent eas sacerdotes Nanææ, et ipse cum paucis ingresus esset intra ambitum fani, clauserunt templum.

16. Cum autem intrasset Antiochus, aperto occulto ostio laquearis, mittentes lapides percusserunt ducem, et diviserunt membratim et capitibus amputatis ad eos qui foris erant projecerunt.

17. Per omnia benedictus Deus noster, qui tradidit impios.

18. Facturi igitur quinta et vigesima die mensis chasleu purificationem templi, necessarium duximus significare vobis, ut et vos quoque agatis diem scenopegiæ et ignis, quando Neemias ædificato templo et altari obtulit sacrificium.

19. Nam cum in Persidem ducerentur patres nostri, sacerdotes qui tunc erant cultores Dei, acceperunt de igne altaris occulte, et absconderunt in cavitate putei situm habentis siccum, in quo contutati sunt eum ita ut omnibus ignotus esset locus.

20. Cum autem præteriissent anni multi, quando placuit Deo, missus Neemias a rege Persidis nepotes sacerdotum illorum qui absconderant misit ad ignem. Ut autem narraverunt nobis non invenisse ignem sed aquam crassam,

21. jussit eos haurientes ferre. Ut autem oblata sunt ea quæ ad sacrificia, jussit sacerdotes Neemias aspergere aqua ipsa et ligna et quæ erant superposita.

22. Utque hoc factum est, et tempus affuit quo sol refulsit qui prius erat in nubilo, accensus est ignis magnus, ita ut omnes mirarentur.

23. Orationem autem faciebant sacerdotes dum consummaretur sacrificium, et sacerdotes et omnes Jonatha inchoante, cæteris autem respondentibus,

24. ut Neemia. Erat autem oratio hunc habens modum : Domine Domine Deus, omnium creator, terribilis, et fortis, et justus, et misericors, qui solus es rex et bonus,

25. solus præstans, solus justus et omnipotens et æternus, qui liberas Israel de omni malo, qui fecisti patres electos, et sanctificasti eos :

26. Accipe sacrificium pro universo populo tuo Israel, et custodi partem tuam et sanctifica.

27. Congrega dispersionem nostram, libera eos qui serviunt in gentibus, contemptos et abominatos respice, et sciant gentes quia tu es Deus noster.

28. Βασάνισον τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφανίᾳ.

29. Καταφύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν ἅγιόν σου, καθὼς εἶπε Μωϋσῆς.

30. Οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους.

31. Καθὼς δὲ ἀνηλώθη τὰ τῆς θυσίας, καὶ τὸ περιλειπόμενον ὕδωρ ὁ Νεεμίας ἐκέλευσε λίθους μείζονας κατασχεῖν·

32. ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ ἀνήφθη· τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς, ἐδαπανήθη.

33. Ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ βασιλεῖ τῶν Περσῶν, ὅτι εἰς τὸν τόπον οὗ τὸ πῦρ ἀπέκρυψαν οἱ μεταχθέντες ἱερεῖς, τὸ ὕδωρ ἐφάνη, ἀφ' οὗ καὶ οἱ περὶ τὸν Νεεμίαν ἥγνισαν τὰ τῆς θυσίας,

34. περιφράξας δὲ ὁ βασιλεὺς ἱερὸν ἐποίησε, δοκιμάσας τὸ πρᾶγμα.

35. Καὶ οἷς ἐχαρίζετο ὁ βασιλεὺς πολλὰ διάφορα ἐλάμβανε καὶ μετεδίδου.

36. Προσηγόρευσαν δὲ οἱ περὶ τὸν Νεεμίαν τοῦτο Νέφθαρ, ὃ διερμηνεύεται, Καθαρισμός. Καλεῖται δὲ παρὰ τοῖς πολλοῖς Νεφθαεί.

ΚΕΦΑΛΑΙΟΝ Β.

1. Εὑρίσκεται δὲ ἐν ταῖς ἀπογραφαῖς Ἱερεμίας ὁ προφήτης ὅτι ἐκέλευσε τοῦ πυρὸς λαβεῖν τοὺς μεταγινομένους, ὡς σεσήμανται, καὶ ὡς ἐνετείλατο τοῖς μεταγενομένοις ὁ προφήτης,

2. δοὺς αὐτοῖς τὸν νόμον, ἵνα μὴ ἐπιλάθωνται τῶν προσταγμάτων τοῦ Κυρίου, καὶ ἵνα μὴ ἀποπλανηθῶσι ταῖς διανοίαις, βλέποντες ἀγάλματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ τὸν περὶ αὐτὰ κόσμον.

3. Καὶ ἕτερα τοιαῦτα λέγων, παρεκάλει μὴ ἀποστῆναι τὸν νόμον ἀπὸ τῆς καρδίας αὐτῶν.

4. Ἦν δὲ ἐν τῇ γραφῇ, ὡς τὴν σκηνὴν καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ προφήτης χρηματισμοῦ γενηθέντος αὐτῷ συνακολουθεῖν, ὡς δὲ ἐξῆλθεν εἰς τὸ ὄρος οὗ ὁ Μωϋσῆς ἀναβὰς ἐθεάσατο τὴν τοῦ Θεοῦ κληρονομίαν.

5. Καὶ ἐλθὼν ὁ Ἱερεμίας εὗρεν οἶκον ἀντρώδη, καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος εἰσήνεγκεν ἐκεῖ, καὶ τὴν θύραν ἐνέφραξε.

6. Καὶ προσελθόντες τινὲς τῶν συνακολουθούντων, ὥστε ἐπισημήνασθαι τὴν ὁδὸν, καὶ οὐχ ἠδυνήθησαν εὑρεῖν.

7. Ὡς δὲ ὁ Ἱερεμίας ἔγνω, μεμψάμενος αὐτοῖς εἶπεν, ὅτι καὶ ἄγνωστος ὁ τόπος ἔσται ἕως ἂν συναγάγῃ ὁ Θεὸς ἐπισυναγωγὴν τοῦ λαοῦ καὶ ἵλεως γένηται·

8. καὶ τότε ὁ Κύριος ἀναδείξει ταῦτα, καὶ ὀφθήσεται ἡ δόξα τοῦ Κυρίου καὶ ἡ νεφέλη, ὡς καὶ ἐπὶ Μωϋσῆ ἐδηλοῦτο, ὡς καὶ ὁ Σαλωμῶν ἠξίωσεν ἵνα ὁ τόπος καθαγιασθῇ μεγάλως.

9. Διεσαφεῖτο δὲ καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκε θυσίαν ἐγκαινισμοῦ καὶ τῆς τελειώσεως τοῦ ἱεροῦ·

10. καθὼς καὶ Μωϋσῆς προσηύξατο πρὸς Κύριον, καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ τὰ τῆς θυσίας ἐδαπάνησεν, οὕτως καὶ Σαλωμῶν προσηύξατο, καὶ καταβὰν τὸ πῦρ ἀνήλωσε τὰ ὁλοκαυτώματα.

11. Καὶ εἶπε Μωϋσῆς, διὰ τὸ μὴ βεβρῶσθαι τὸ περὶ τῆς ἁμαρτίας, ἀνηλώθη.

12. Ὡσαύτως καὶ ὁ Σαλωμῶν τὰς ὀκτὼ ἡμέρας ἤγαγεν.

28. Afflige opprimentes et contumeliam facientes in superbia.

29. Planta populum tuum in loco sancto tuo, sicut dixit Moyses.

30. Sacerdotes autem psallebant hymnos.

31. Cum autem consumptum esset sacrificium, ex residua aqua jussit Neemias lapides majores perfundi :

32. quod ut factum est, et flamma accensa est, sed lumine refulgente ab altari, consumpta est.

33. Ut vero manifestata est res, nuntiatum est regi Persarum, et quod in loco in quo ignem absconderant hi qui translati fuerant sacerdotes, aqua apparuit, de qua Neemias et qui cum eo erant purificaverunt quæ ad sacrificium,

34. circumsepiens autem rex templum fecit, ut rem probaret.

35. Et quibus gratificabatur rex multa eximia accipiebat et tribuebat.

36. Appellavit autem Neemias hunc locum Nephthar, quod interpretatur, Purificatio. Vocatur autem apud plures Nephthai.

CAPUT II.

1. Invenitur autem in descriptionibus Jeremias propheta quod jussit eos ignem accipere qui transmigrabantur, ut significatum est, et ut mandavit transmigratis propheta,

2. dans eis legem, ne obliviscerentur præcepta Domini, et ut non exerrarent mentibus, videntes simulacra aurea et argentea et ornamenta eorum.

3. Et alia hujusmodi dicens, hortabatur ne legem amoverent a corde suo.

4. Erat autem in ipsa scriptura, quomodo tabernaculum et arcam jussit propheta divino responso ad se facto comitari secum, usquequo exiit in montem in quo Moyses ascendit et vidit Dei hæreditatem.

5. Et veniens Jeremias invenit domum speluncæ, et tabernaculum et arcam et altare incensi intulit illuc, et ostium obstruxit.

6. Et accesserunt quidam ex his qui simul sequebantur, ut notarent viam, et non potuerunt invenire.

7. Ut autem cognovit Jeremias, culpans illos dixit, quod ignotus erit locus donec congreget Deus congregationem populi et propitius fiat :

8. et tunc Dominus ostendet hæc, et apparebit majestas Domini et nubes, sicut et in Moyse manifestabatur, et sicut Salomon petiit ut locus sanctificaretur magnifice.

9. Manifestabatur autem et ut sapientiam habens obtulit sacrificium dedicationis et consummationis templi :

10. sicut et Moyses oravit ad Dominum, et descendit ignis de cœlo et consumpsit holocaustum, sic et Salomon oravit, et descendit ignis de cœlo et consumpsit holocausta.

11. Et dixit Moyses, eo quod non sit comestum quod erat pro peccato, consumptum est.

12. Similiter et Salomon octo diebus celebravit.

13. Ἐξηγοῦντο δὲ καὶ ἐν ταῖς ἀναγραφαῖς καὶ ἐν τοῖς ὑπομνηματισμοῖς τοῖς κατὰ τὸν Νεεμίαν τὰ αὐτὰ, καὶ ὡς καταβαλλόμενος βιβλιοθήκην ἐπισυνήγαγε τὰ περὶ τῶν βασιλέων καὶ προφητῶν, καὶ τὰ τοῦ Δαυὶδ, καὶ ἐπιστολὰς βασιλέων περὶ ἀναθεμάτων.

14. Ὡσαύτως δὲ καὶ Ἰούδας τὰ διαπεπτωκότα διὰ τὸν πόλεμον τὸν γεγονότα ἡμῖν ἐπισυνήγαγε πάντα, καὶ ἔστι παρ' ἡμῖν.

15. Ὧν οὖν ἐὰν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε.

16. Μέλλοντες οὖν ἄγειν τὸν καθαρισμὸν ἐγράψαμεν ὑμῖν. Καλῶς οὖν ποιήσετε ἄγοντες τὰς ἡμέρας.

17. Ὁ δὲ Θεὸς ὁ σώσας τὸν πάντα λαὸν αὐτοῦ, καὶ ἀποδοὺς τὴν κληρονομίαν πᾶσι καὶ τὸ βασίλειον, καὶ τὸ ἱεράτευμα, καὶ τὸν ἁγιασμὸν,

18. καθὼς ἐπηγγείλατο διὰ τοῦ νόμου· ἐλπίζομεν γὰρ ἐπὶ τῷ Θεῷ ὅτι ταχέως ἡμᾶς ἐλεήσει καὶ ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν ἅγιον τόπον.

19. Ἐξείλετο γὰρ ἡμᾶς ἐκ μεγάλων κακῶν, καὶ τὸν τόπον ἐκαθάρισε.

20. Τὰ δὲ κατὰ τὸν Ἰούδαν τὸν Μακκαβαῖον καὶ τοὺς τούτου ἀδελφοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγάλου καθαρισμὸν, καὶ τὸν τοῦ βωμοῦ ἐγκαινισμὸν,

21. ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὸν τούτου υἱὸν Εὐπάτορα πολέμους,

22. καὶ τὰς ἐξ οὐρανοῦ γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ φιλοτίμως ἀνδραγαθήσασιν, ὥστε τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν καὶ τὰ βάρβαρα πλήθη διώκειν,

23. καὶ τὸ περιβόητον καθ' ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνακομίσασθαι, καὶ τὴν πόλιν ἐλευθερῶσαι, καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορθῶσαι, τοῦ Κυρίου μετὰ πάσης ἐπιεικείας ἵλεω γενομένου αὐτοῖς,

24. τὰ ὑπὸ Ἰάσωνος τοῦ Κυρηναίου δεδηλωμένα διὰ πέντε βιβλίων, πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν.

25. Συνορῶντες γὰρ τὸ χύμα τῶν ἀριθμῶν καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασι διὰ τὸ πλῆθος τῆς ὕλης,

26. ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγινώσκειν ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν εὐκοπίαν, πᾶσι δὲ τοῖς ἐντυγχάνουσιν ὠφέλειαν.

27. Καὶ ἡμῖν μὲν τοῖς τὴν κακοπάθειαν ἐπιδεδεγμένοις τῆς ἐπιτομῆς οὐ ῥᾴδιον, ἱδρῶτος δὲ καὶ ἀγρυπνίας τὸ πρᾶγμα.

28. Καθάπερ τῷ παρασκευάζοντι συμπόσιον καὶ ζητοῦντι τὴν ἑτέρων λυσιτέλειαν οὐκ εὐχερὲς μὲν, ὅμως διὰ τὴν τῶν πολλῶν εὐχαριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν.

29. Τὸ μὲν διακριβοῦν περὶ ἑκάστων τῷ συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ ἐπιπορεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς διαπονοῦντες.

30. Καθάπερ γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι τῆς ὅλης καταβολῆς φροντιστέον, τῷ δὲ ἐγκαίειν καὶ ζωγραφεῖν ἐπιχειροῦντι, τὰ ἐπιτήδεια πρὸς διακόσμησιν ἐξεταστέον, οὕτω δοκῶ καὶ ἐπὶ ἡμῖν.

31. Τὸ μὲν ἐμβατεύειν καὶ περὶ πάντων ποιεῖσθαι λόγον, καὶ πολυπραγμονεῖν ἐν τοῖς καταμέρος, τῷ τῆς ἱστορίας ἀρχηγέτῃ καθήκει.

13. Narrabantur autem et in descriptionibus et in commentariis qui secundum Neemiam hæc eadem, et qualiter construens bibliothecam congregavit quæ de regibus et prophetis, et quæ ipsius David, et epistolas regum de donariis.

14. Similiter autem et Judas quæ deciderant per bellum quod nobis acciderat congregavit omnia, et sunt apud nos.

15. Si ergo desideratis hæc, mittite qui perferant vobis.

16. Acturi itaque purificationem scripsimus vobis. Bene ergo feceritis si egeritis hos dies.

17. Deus autem qui liberavit populum suum, et reddidit hæreditatem omnibus et regnum, et sacerdotium, et sanctificationem,

18. sicut promisit in lege : speramus enim in Deo quod cito nostri miserebitur et congregabit nos de ea quæ sub cœlo in locum sanctum.

19. Eripuit enim nos de magnis periculis, et locum purgavit.

20. De Juda vero Maccabæo et fratribus ejus et de templi magni purificatione, et de aræ dedicatione,

21. sed et de præliis quæ pertinent ad Antiochum Nobilem et filium ejus Eupatorem,

22. et de illuminationibus quæ de cœlo factæ sunt ad eos qui pro Judaismo abunde fortiter fecerunt, ita ut universam regionem cum pauci essent popularentur et barbaram multitudinem fugarent,

23. et famosissimum in toto orbe templum recuperarent, et civitatem liberarent, et leges quæ futurum erat ut abolerentur restituerent, Domino cum omni tranquillitate propitio facto illis,

24. quæ ab Jasone Cyrenæo quinque libris declarata sunt, tentavimus nos uno volumine breviare.

25. Considerantes enim effusionem numerorum et difficultatem quæ adest volentibus aggredi narrationes historiarum propter multitudinem rerum,

26. curavimus volentibus quidem legere ut esset animi oblectatio, studiosis vero ut facilius possint memoriæ commendare, omnibus autem legentibus utilitas conferatur.

27. Et nobis quidem qui laborem breviandi suscepimus non facile, sed sudoris et vigiliarum negotium est.

28. Sicut ei qui præparat convivium et quærenti aliorum utilitatem non facile quidem est, tamen propter multorum gratiam libenter laborem sustinebimus.

29. Subtilem quidem et exquisitam de singulis tractationem historiographo concedentes, persequi autem delineationes epitomes studentes.

30. Sicut enim novæ domus architecto de universa structura curandum est, ei vero qui inurere et pingere aggreditur, quæ apta sunt ad ornatum exquirenda sunt, ita æstimo et in nobis.

31. Nam penetrare quidem et de omnibus facere sermonem, et curiosius singulas quasque partes disquirere, historiæ congruit auctori.

32. Τὸ δὲ σύντομον τῆς λέξεως μεταδιώκειν, καὶ τὸ ἐξεργαστικὸν τῆς πραγματείας παραιτεῖσθαι, τῷ τὴν μετάφρασιν ποιουμένῳ συγχωρητέον.

33. Ἐντεῦθεν οὖν ἀρξώμεθα τῆς διηγήσεως, τοῖς προειρημένοις τοσοῦτον ἐπιζεύξαντες. Εὔηθες γὰρ τὸ μὲν πρὸ τῆς ἱστορίας πλεονάζειν, τὴν δὲ ἱστορίαν ἐπιτεμεῖν.

32. Brevitatem vero dictionis sectari, et subtilem executionem rerum vitare, brevianti concedendum est.

33. Hinc ergo narrationem incipiemus, prædictis hactenus connectentes. Stultum enim est ante historiam effluere, in ipsa autem historia succingi.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Τῆς ἁγίας τοίνυν πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης, καὶ τῶν νόμων ἔτι κάλλιστα συντηρουμένων διὰ τὴν Ὀνίου τοῦ ἀρχιερέως εὐσέβειάν τε καὶ μισοπονηρίαν,

2. συνέβαινε καὶ αὐτοὺς τοὺς βασιλεῖς τιμᾷν τὸν τόπον, καὶ τὸ ἱερὸν ἀποστολαῖς ταῖς κρατίσταις δοξάζειν,

3. ὥστε καὶ Σέλευκον τὸν τῆς Ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων προσόδων πάντα τὰ πρὸς τὰς λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα δαπανήματα.

4. Σίμων δέ τις ἐκ τῆς Βενιαμὶν φυλῆς προστάτης τοῦ ἱεροῦ καθεσταμένος διηνέχθη τῷ ἀρχιερεῖ περὶ τῆς κατὰ τὴν πόλιν παρανομίας.

5. Καὶ νικῆσαι τὸν Ὀνίαν μὴ δυνάμενος, ἦλθε πρὸς Ἀπολλώνιον Θρασαίου, τὸν κατ' ἐκεῖνον τὸν καιρὸν κοίλης Συρίας καὶ Φοινίκης στρατηγόν·

6. καὶ προσήγγειλε περὶ τοῦ χρημάτων ἀμυθήτων γέμειν τὸ ἐν Ἱεροσολύμοις γαζοφυλάκιον, ὥστε τὸ πλῆθος τῶν διαφόρων ἀναρίθμητον εἶναι, καὶ μὴ προσήκειν αὐτὰ πρὸς τὸν τῶν θυσιῶν λόγον, εἶναι δὲ δυνατὸν ὑπὸ τὴν τοῦ βασιλέως ἐξουσίαν πεσεῖν ἅπαντα ταῦτα.

7. Συμμίξας δὲ ὁ Ἀπολλώνιος τῷ βασιλεῖ, περὶ τῶν μηνυθέντων αὐτῷ χρημάτων ἐνεφάνισεν. Ὁ δὲ προχειρισάμενος Ἡλιόδωρον, τὸν ἐπὶ τῶν πραγμάτων, ἀπέστειλε δοὺς ἐντολὰς, τὴν τῶν προειρημένων χρημάτων ἐκκομιδὴν ποιήσασθαι.

8. Εὐθέως δὲ ὁ Ἡλιόδωρος ἐποιεῖτο τὴν πορείαν, τῇ μὲν ἐμφάσει ὡς τὰς κατὰ κοίλην Συρίαν καὶ Φοινίκην πόλεις ἐφοδεύσων, τῷ πράγματι δὲ τὴν τοῦ βασιλέως πρόθεσιν ἐπιτελέσων.

9. Παραγενηθεὶς δὲ εἰς Ἱεροσόλυμα, καὶ φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀποδεχθεὶς, ἀνέθετο περὶ τοῦ γεγονότος ἐμφανισμοῦ, καὶ τίνος ἕνεκεν πάρεστι διεσάφησεν. Ἐπυνθάνετο δὲ εἰ ταῖς ἀληθείαις ταῦτα οὕτως ἔχοντα τυγχάνει.

10. Τοῦ δὲ ἀρχιερέως ὑποδείξαντος παραθήκας εἶναι χηρῶν τε καὶ ὀρφανῶν,

11. τινὰ δὲ καὶ Ὑρκανοῦ τοῦ Τωβίου σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ κειμένου, οὐχ ὥσπερ ἦν διαβάλλων ὁ δυσσεβὴς Σίμων, τὰ δὲ πάντα ἀργυρίου τετρακόσια τάλαντα, χρυσίου δὲ διακόσια·

12. ἀδικηθῆναι δὲ τοὺς πεπιστευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμημένου κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι καὶ ἀσυλίᾳ, παντελῶς ἀμήχανον εἶναι.

13. Ὁ δὲ Ἡλιόδωρος, δι' ἃς εἶχε βασιλικὰς ἐντολὰς, πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναληπτέα ταῦτα εἶναι.

14. Ταξάμενος δὲ ἡμέραν εἰσῄει τὴν περὶ τούτων ἐπίσκεψιν οἰκονομήσων. Ἦν δὲ οὐ μικρὰ καθ' ὅλην τὴν πόλιν ἀγωνία.

CAPUT III.

1. Igitur cum sancta civitas habitaretur cum omni pace, leges autem adhuc optime custodirentur propter Oniæ pontificis pietatem et odium malorum,

2. fiebat ut et ipsi reges locum honorarent, et templum maximis muneribus illustrarent,

3. ita ut Seleucus Asiæ rex de reditibus suis præstaret omnes sumptus ad ministeria sacrificiorum pertinentes.

4. Simon autem quidam de tribu Benjamin præpositus templi constitutus contendebat cum principe sacerdotum de ea quæ in civitate fiebat legum transgressione.

5. Sed cum vincere Oniam non posset, venit ad Apollonium Thraseæ filium, qui illo tempore erat dux Cœlesyriæ et Phœnices :

6. et nuntiavit pecuniis immensis plenum esse ærarium Jerosolymis, ita ut multitudo communium copiarum esset innumerabilis, et ea non pertinere ad rationem sacrificiorum, esse autem possibile sub potestate regis cadere universa hæc.

7. Collocutus autem Apollonius cum rege, de indicatis sibi pecuniis aperuit. Ille vero eligens Heliodorum, qui erat super negotia ejus, misit cum mandatis, ut prædictam pecuniam asportaret.

8. Statimque Heliodorus iter est aggressus, specie quidem quasi eas quæ per Cœlesyriam et Phœnicen civitates esset peragraturus, revera autem regis propositum perfecturus.

9. Sed cum venisset Jerosolymam, et benigne a summo sacerdote civitatis esset exceptus, narravit de dato indicio, et cujus rei gratia adesset aperuit. Interrogabat autem si vere hæc ita essent.

10. Tunc summus sacerdos ostendit deposita esse viduarum et pupillorum,

11. quædam vero et Hyrcani Tobiæ viri valde eminentis, non sicut detulerat impius Simon, universa autem argenti talenta esse quadringenta, et auri ducenta :

12. fraudari vero eos qui credidissent loci sanctitati et honorati per universum mundum templi majestati et securitati, omnino impossibile esse.

13. Heliodorus, pro his quæ habebat in mandatis a rege, omnino dicebat in regium fiscum referenda hæc esse.

14. Constituta autem die intrabat de his visitationem ordinaturus. Non modica vero per universam civitatem erat trepidatio.

15. Οἱ δὲ ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαντες ἑαυτοὺς, ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παραθήκης νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῶα διαφυλάξαι.

16. Ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν, τιτρώσκεσθαι τὴν διάνοιαν. Ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινε τὴν κατὰ ψυχὴν ἀγωνίαν.

17. Περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέος τι καὶ φρικασμὸς σώματος, δι' ὧν πρόδηλον ἐγένετο τοῖς θεωροῦσι τὸ κατὰ καρδίαν ἐνεστὸς ἄλγος.

18. Οἱ δὲ ἐκ τῶν οἰκιῶν ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετείαν, διὰ τὸ μέλλειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον.

19. Ὑπεζωσμέναι δὲ ὑπὸ τοὺς μαστοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς ἐπλήθυνον. Αἱ δὲ κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον ἐπὶ τοὺς πυλῶνας, αἱ δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων διεξέκυπτον.

20. Πᾶσαι δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἐποιοῦντο τὴν λιτανείαν.

21. Ἐλεεῖν δ' ἦν τὴν τοῦ πλήθους παμμιγῆ πρόπτωσιν, τήν τε τοῦ μεγάλως ἀγωνιῶντος ἀρχιερέως προσδοκίαν.

22. Οἱ μὲν οὖν ἐπεκαλοῦντο τὸν παντοκράτορα Θεὸν τὰ πεπιστευμένα τοῖς πεπιστευκόσι σῶα διαφυλάσσειν μετὰ πάσης ἀσφαλείας.

23. Ὁ δὲ Ἡλιόδωρος τὸ διεγνωσμένον ἐπετέλει. Αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος,

24. ὁ τῶν πατέρων Κύριος καὶ πάσης ἐξουσίας δυνάστης ἐπιφάνειαν μεγάλην ἐποίησεν, ὥστε πάντας τοὺς κατατολμήσαντας συνελθεῖν, καταπλαγέντας τὴν τοῦ Θεοῦ δύναμιν, εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι.

25. Ὤφθη γάρ τις ἵππος αὐτοῖς, φοβερὸν ἔχων τὸν ἐπιβάτην, καὶ καλλίστῃ σαγῇ διακεκοσμημένος, φερόμενος δὲ ῥύδην ἐνέσεισε τῷ Ἡλιοδώρῳ τὰς ἐμπροσθίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυσῆν πανοπλίαν ἔχων.

26. Ἕτεροι δὲ δύο προεφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν ἐκπρεπεῖς, κάλλιστοι δὲ τῇ δόξῃ, διαπρεπεῖς δὲ τὴν περιβολήν· οἳ καὶ παραστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως, πολλὰς ἐπιρριπτοῦντες αὐτῷ πληγάς.

27. Ἄφνω δὲ πεσόντα πρὸς τὴν γῆν καὶ πολλῷ σκότει περιχυθέντα συναρπάσαντες καὶ εἰς φορεῖον ἐνθέντες,

28. τὸν ἄρτι μετὰ πολλῆς παραδρομῆς καὶ πάσης δορυφορίας εἰς τὸ προειρημένον εἰσελθόντα γαζοφυλάκιον, ἔφερον ἀβοήθητον ἑαυτῷ καθεστῶτα, φανερῶς τὴν τοῦ Θεοῦ δυναστείαν ἐπεγνωκότες.

29. Καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος καὶ πάσης ἐστερημένος ἐλπίδος καὶ σωτηρίας ἔρριπτο.

30. Οἱ δὲ τὸν Κύριον εὐλόγουν τὸν παραδοξάζοντα τὸν ἑαυτοῦ τόπον. Καὶ τὸ μικρῷ πρότερον δέους καὶ ταραχῆς γέμον ἱερὸν, τοῦ παντοκράτορος ἐπιφανέντος Κυρίου, χαρᾶς καὶ εὐφροσύνης ἐπεπλήρωτο.

31. Ταχὺ δέ τινες τῶν τοῦ Ἡλιοδώρου συνήθων ἠξίουν τὸν Ὀνίαν ἐπικαλέσασθαι τὸν Ὕψιστον, καὶ τὸ ζῆν χαρίσασθαι τῷ παντελῶς ἐν ἐσχάτῃ πνοῇ κειμένῳ.

32. Ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεὺς, μήποτε διάληψιν ὁ βασιλεὺς σχῇ κακουργίαν τινὰ περὶ τὸν Ἡλιόδωρον ὑπὸ τῶν Ἰουδαίων συντετελέσθαι, προσήγαγε θυσίαν ὑπὲρ τῆς τοῦ ἀνδρὸς σωτηρίας.

15. Sacerdotes autem ante altare cum stolis sacerdotalibus jactantes se, invocabant in cœlum eum qui de deposito legem posuit ut his qui deposuerant ea salva custodiret.

16. Jam vero qui videret summi sacerdotis vultum, mente vulnerabatur. Facies enim et color immutatus declarabat eam quæ in animo agoniam.

17. Circumfusa enim erat mœstitia quædam viro et horror corporis, per quæ manifestus aspicientibus dolor cordis ejus efficiebatur.

18. Alii autem de domibus gregatim prosiliebant ad publicam supplicationem, pro eo quod in contemptum locus esset venturus.

19. Accinctæque mulieres ciliciis sub mammis per vias confluebant. Sed et virgines quæ conclusæ erant, aliæ quidem concurrebant ad januas, aliæ autem ad muros, aliquæ vero per fenestras aspiciebant.

20. Universæ autem protendentes manus in cœlum, deprecabantur.

21. Erat autem miserabilis commistæ multitudinis ruina, et summi sacerdotis in magna agonia constituti exspectatio.

22. Et hi quidem invocabant omnipotentem Deum ut credita salva his qui crediderant cum omni integritate conservaret.

23. Heliodorus autem quod decreverat perficiebat. Ibi autem ipso cum satellitibus ad ærarium jam præsente,

24. patrum Dominus et omnis potestatis dominator magnam fecit ostensionem, ita ut omnes qui ausi fuerant convenire, obstupescentes Dei virtutem, in dissolutionem et formidinem converterentur.

25. Apparuit enim illis quidam equus, terribilem habens sessorem, et optimo operimento adornatus, invectus autem cum impetu incussit Heliodoro anteriores ungulas : qui autem ei insidebat videbatur arma habere aurea.

26. Alii autem duo apparuerunt ei juvenes virtute decori, optimi gloria, speciosique amictu : qui etiam circumstantes ex utraque parte flagellabant eum sine intermissione, multas inferentes ei plagas.

27. Subito autem concidentem in terram et multa caligine circumfusum rapientes et in sellam gestatoriam imponentes,

28. eum qui nuper cum multo cursorum comitatu et omni satellitio prædictum ingressus erat ærarium, portabant nullius sibi ipsi auxilii ferendi compotem, manifesto Dei potestatem cognoscentes.

29. Et ille quidem per divinam virtutem jacebat mutus atque omni spe et salute privatus.

30. Hi autem Dominum benedicebant qui magnificabat locum suum. Et templum quod paulo ante timore ac tumultu erat plenum, apparente omnipotente Domino, gaudio et lætitia impletum est.

31. Confestim vero ex amicis Heliodori quidam rogabant Oniam ut invocaret Altissimum, et vitam donaret ei qui omnino in supremo spiritu erat constitutus.

32. Suspicatus autem summus sacerdos, ne forte rex suspicaretur maleficium aliquod circa Heliodorum a Judæis esse consummatum, obtulit hostiam pro viri salute.

33. Ποιουμένου δὲ τοῦ ἀρχιερέως τὸν ἱλασμὸν, οἱ αὐτοὶ νεανίαι πάλιν ἐφάνησαν τῷ Ἡλιοδώρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν ἐστολισμένοι, καὶ στάντες εἶπον· Πολλὰς τῷ Ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας ἔχε, διὰ γὰρ αὐτόν σοι κεχάρισται τὸ ζῆν ὁ Κύριος.

34. Σὺ δὲ ὑπ' αὐτοῦ μεμαστιγωμένος διάγγελε πᾶσι τὸ μεγαλεῖον τοῦ Θεοῦ κράτος. Ταῦτα δὲ εἰπόντες ἀφανεῖς ἐγένοντο.

35. Ὁ δὲ Ἡλιόδωρος θυσίαν ἀνενέγκας τῷ Κυρίῳ, καὶ εὐχὰς μεγίστας εὐξάμενος τῷ τὸ ζῆν περιποιήσαντι, καὶ τὸν Ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέδευσε πρὸς τὸν βασιλέα.

36. Ἐξεμαρτύρει δὲ πᾶσιν ἅπερ ἦν ὑπ' ὄψιν τεθεαμένος, ἔργα τοῦ μεγίστου Θεοῦ.

37. Τοῦ δὲ βασιλέως ἐπερωτήσαντος τὸν Ἡλιόδωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμφθῆναι εἰς Ἱεροσόλυμα, ἔφησεν·

38. Εἴ τινα ἔχεις πολέμιον ἢ πραγμάτων ἐπίβουλον, πέμψον αὐτὸν ἐκεῖ, καὶ μεμαστιγωμένον αὐτὸν προσδέξῃ, ἐάν περ καὶ διασωθείη· διὰ τὸ περὶ τὸν τόπον ἀληθῶς εἶναί τινα Θεοῦ δύναμιν.

39. Αὐτὸς γὰρ ὁ τὴν κατοικίαν ἐπουράνιον ἔχων ἐπόπτης ἐστὶ καὶ βοηθὸς ἐκείνου τοῦ τόπου, καὶ τοὺς παραγινομένους ἐπὶ κακώσει τύπτων ἀπόλλυσιν.

40. Καὶ τὰ μὲν κατὰ Ἡλιόδωρον καὶ τὴν τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώρησεν.

33. Faciente autem summo sacerdote propitiationem, iidem juvenes rursus apparuerunt Heliodoro eisdem vestibus amicti, et stantes dixerunt : Multas Oniæ sacerdoti gratias habe, nam propter eum tibi Dominus vitam donavit.

34. Tu autem ab eo flagellatus nuntia omnibus magnam Dei potestatem. Et his dictis non comparuerunt.

35. Heliodorus autem hostia Domino oblata, et votis maximis promissis ei qui vivere concessit, et Oniæ gratias agens, rediit cum exercitu ad regem.

36. Testabatur autem omnibus ea quæ sub oculis suis viderat, opera maximi Dei.

37. Cum autem rex interrogasset Heliodorum, quis esset aptus adhuc semel Hierosolymam mitti, ait :

38. Si quem habes hostem aut rerum insidiatorem, mitte eum illuc, et flagellatum eum recipies, si tamen evaserit : eo quod in loco sit vere Dei quædam virtus.

39. Nam ipse qui habet supercœlestem habitationem visitator et adjutor est loci illius, et venientes ad malefaciendum percutit et perdit.

40. Igitur de Heliodoro et ærarii custodia ita res se habet.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ὁ δὲ προειρημένος Σίμων, ὁ τῶν χρημάτων καὶ τῆς πατρίδος ἐνδείκτης γεγονὼς, ἐκακολόγει τὸν Ὀνίαν, ὡς αὐτός τε εἴη τὸν Ἡλιόδωρον ἐπισεσεικὼς, καὶ τῶν κακῶν δημιουργὸς καθεστηκώς·

2. καὶ τὸν εὐεργέτην τῆς πόλεως καὶ τὸν κηδεμόνα τῶν ὁμοεθνῶν καὶ ζηλωτὴν τῶν νόμων, ἐπίβουλον τῶν πραγμάτων ἐτόλμα λέγειν.

3. Τῆς δὲ ἔχθρας ἐπὶ τοσοῦτον προβαινούσης ὥστε καὶ διά τινος τῶν ὑπὸ τοῦ Σίμωνος δεδοκιμασμένων φόνους συντελεῖσθαι,

4. συνορῶν ὁ Ὀνίας τὸ χαλεπὸν τῆς φιλονεικίας, καὶ Ἀπολλώνιον μαίνεσθαι, ὡς τὸν κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν, συναύξοντα τὴν κακίαν τοῦ Σίμωνος, ὡς τὸν βασιλέα διεκομίσθη,

5. οὐ γινόμενος τῶν πολιτῶν κατήγορος, τὸ δὲ συμφέρον κοινῇ κατ' ἰδίαν παντὶ τῷ πλήθει σκοπῶν.

6. Ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀδύνατον εἶναι τυχεῖν εἰρήνης ἔτι τὰ πράγματα, καὶ τὸν Σίμωνα παῦλαν οὐ ληψόμενον τῆς ἀνοίας.

7. Μεταλλάξαντος δὲ τὸν βίον Σελεύκου, καὶ παραλαβόντος τὴν βασιλείαν Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς, ὑπενόθευσεν Ἰάσων ὁ ἀδελφὸς Ὀνίου τὴν ἀρχιερωσύνην,

8. ἐπαγγειλάμενος τῷ βασιλεῖ δι' ἐντεύξεως ἀργυρίου τάλαντα ἑξήκοντα πρὸς τοῖς τριακοσίοις, καὶ προσόδου τινὸς ἄλλης τάλαντα ὀγδοήκοντα.

9. Πρὸς δὲ τούταις ὑπισχνεῖτο καὶ ἕτερα διαγράψαι πεντήκοντα πρὸς τοῖς ἑκατὸν, ἐὰν συγχωρηθῇ διὰ τῆς ἐξουσίας αὐτοῦ γυμνάσιον καὶ ἐφηβίαν αὐτῷ συστήσασθαι, καὶ τοὺς ἐν Ἱεροσολύμοις Ἀντιοχεῖς ἀναγράψαι.

CAPUT IV.

1. Simon autem prædictus, pecuniarum et patriæ delator factus, male loquebatur de Onia, tamquam ipse Heliodorum instigasset, et malorum artifex fuisset:

2. benefactoremque civitatis et provisorem gentis suæ et æmulatorem legum, audebat insidiatorem rerum dicere.

3. Sed cum inimicitiæ in tantum procederent ut etiam per quemdam ex iis qui a Simone probati erant homicidia fierent,

4. considerans Onias periculum contentionis, et Apollonium insanire, utpote ducem Cœlesyriæ et Phœnicis, augentem malitiam Simonis, ad regem se contulit,

5. non civium accusator factus, sed communem utilitatem apud semetipsum universæ multitudinis considerans.

6. Videbat enim sine regali providentia impossibile esse pacem ulterius rebus dari, nec Simonem cessaturum a stultitia.

7. Sed post Seleuci vitæ excessum, cum suscepisset regnum Antiochus qui Nobilis appellabatur, ambiebat Jason frater Oniæ summum sacerdotium,

8. adito rege promittens ei argenti talenta trecenta sexaginta, et ex reditu quodam alia talenta octoginta.

9. Super hæc autem promittebat alia centum quinquaginta se tributurum, si per potestatem ejus concederetur gymnasium et ephebiam sibi constituere, et eos qui in Jerosolymis erant Antiochenos scribere.

10. Ἐπινεύσαντος δὲ τοῦ βασιλέως καὶ τῆς ἀρχῆς κρατήσας, εὐθέως ἐπὶ τὸν ἑλληνικὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετῆγε.

10. Quod cum rex annuisset et obtinuisset principatum, statim ad gentilem ritum contribules transferre cœpit.

11. Καὶ τὰ κείμενα τοῖς Ἰουδαίοις φιλάνθρωπα βασιλικὰ διὰ Ἰωάννου τοῦ πατρὸς Εὐπολέμου, τοῦ ποιησαμένου τὴν πρεσβείαν ὑπὲρ φιλίας καὶ συμμαχίας πρὸς τοὺς Ῥωμαίους, παρώσατο, καὶ τὰς μὲν νομίμους καταλύων πολιτείας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν.

11. Et amotis his quæ humanitate regia Judæis fuerant constituta per Joannem patrem Eupolemi, qui apud Romanos de amicitia et societate functus est legatione, legitima quidem civium jura dissolvens, prava instituta innovabat.

12. Ἀσμένως γὰρ ὑπ' αὐτὴν τὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσε, καὶ τοὺς κρατίστους τῶν ἐφήβων ὑποτάσσων ὑπὸ πέτασον ἦγεν.

12. Alacriter enim sub ipsa arce gymnasium constituit, et optimos quosque epheborum subjiciens sub velum duxit.

13. Ἦν δ' οὕτως ἀκμή τις ἑλληνισμοῦ, καὶ πρόσβασις ἀλλοφυλισμοῦ, διὰ τὴν τοῦ ἀσεβοῦς καὶ οὐκ ἀρχιερέως Ἰάσωνος ὑπερβάλλουσαν ἀναγνείαν,

13. Erat autem sic vigor quidam gentilitatis, et profectus alienigenæ conversationis, propter impii et non sacerdotis Jasonis eximium scelus,

14. ὥστε μηκέτι περὶ τὰς τοῦ θυσιαστηρίου λειτουργίας προθύμους εἶναι τοὺς ἱερεῖς, ἀλλὰ τοῦ μὲν ναοῦ καταφρονοῦντες καὶ τῶν θυσιῶν ἀμελοῦντες ἔσπευδον μετέχειν τῆς ἐν παλαίστρᾳ παρανόμου χορηγίας, μετὰ τὴν τοῦ δίσκου πρόκλησιν,

14. ita ut sacerdotes jam non circa altaris officia dediti essent, sed contempto templo et sacrificiis neglectis festinarent participes fieri ejus quæ in palæstra fiebat præbitionis iniquæ, post disci provocationem.

15. καὶ τὰς μὲν πατρῴους τιμὰς ἐν οὐδενὶ τιθέμενοι, τὰς δὲ ἑλληνικὰς δόξας καλλίστας ἡγούμενοι.

15. Et patrios quidem honores pro nihilo habentes, græcas glorias optimas arbitrabantur.

16. Ὧν χάριν περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις, καὶ ὧν ἐζήλουν τὰς ἀγωγὰς καὶ καθάπαν ἤθελον ἐξομοιοῦσθαι, τούτους πολεμίους καὶ τιμωρητὰς ἔσχον.

16. Quarum rerum gratia occupavit eos grave infortunium, et quorum instituta æmulabantur ac per omnia consimiles esse cupiebant, hos hostes et punitores habuerunt.

17. Ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους οὐ ῥᾴδιον, ἀλλὰ ταῦτα ὁ ἀκόλουθος καιρὸς δηλώσει.

17. In leges enim divinas impie agere non facile est, sed hæc tempus sequens declarabit.

18. Ἀγομένου δὲ πενταετηρικοῦ ἀγῶνος ἐν Τύρῳ, καὶ τοῦ βασιλέως παρόντος,

18. Cum autem quinquennalis agon Tyri celebraretur, et rex præsens esset,

19. ἀπέστειλεν Ἰάσων ὁ μιαρὸς θεωροὺς ἀπὸ Ἱεροσολύμων Ἀντιοχεῖς ὄντας, παρακομίζοντας ἀργυρίου δραχμὰς τριακοσίας εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν, ἃς καὶ ἠξίωσαν οἱ παρακομίσαντες μὴ χρῆσθαι πρὸς θυσίαν, διὰ τὸ μὴ καθήκειν, εἰς ἑτέραν δὲ καταθέσθαι δαπάνην.

19. misit Jason facinorosus ministros ab Jrosolymis qui erant Antiocheni, portantes argenti drachmas trecentas in sacrificium Herculis, quas etiam postulaverunt hi qui asportaverant ne in sacrificium erogarentur, quia non oporteret, sed in alium sumptum deputarentur.

20. Ἔπεμψεν οὖν ταῦτα, διὰ μὲν τὸν ἀποστείλαντα, εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν· ἕνεκεν δὲ τῶν παρακομιζόντων εἰς τὰς τῶν τριήρων κατασκευάς.

20. Misit igitur hæc, quantum quidem ad se qui mittebat pertinebat, in sacrificium Herculis : propter eos autem qui portabant in fabricam triremium.

21. Ἀποσταλέντος δὲ εἰς Αἴγυπτον Ἀπολλωνίου τοῦ Μενεσθέως διὰ τὰ πρωτοκλίσια Πτολεμαίου τοῦ Φιλομήτορος βασιλέως, μεταλαβὼν Ἀντίοχος ἀλλότριον αὐτὸν τῶν αὐτῶν γεγονέναι πραγμάτων, τῆς κατ' αὐτὸν ἀσφαλείας ἐφρόντιζεν. Ὅθεν εἰς Ἰόππην παραγενόμενος, κατήντησεν εἰς Ἱεροσόλυμα.

21. Misso autem in Ægyptum Apollonio Mnesthei filio propter primates Ptolemæi Philometoris regis, cum cognovisset Antiochus alienum se a negotiis ipsis effectum, propriæ securitati consuluit. Inde Joppen veniens profectus est Jerosolymam.

22. Μεγαλοπρεπῶς δὲ ὑπὸ τοῦ Ἰάσωνος καὶ τῆς πόλεως παραδεχθείς, μετὰ δᾳδουχίας καὶ βοῶν εἰσεπορεύεται, εἶθ' οὕτως εἰς τὴν Φοινίκην κατεστρατοπέδευσε.

22. Magnifice autem a Jasone et civitate susceptus, cum facularum luminibus et acclamationibus introductus est, et inde in Phœnicem exercitum convertit.

23. Μετὰ δὲ τριετῆ χρόνον ἀπέστειλεν Ἰάσων Μενέλαον τὸν τοῦ προσημαινομένου Σίμωνος ἀδελφὸν, παρακομίζοντα τὰ χρήματα τῷ βασιλεῖ, καὶ περὶ πραγμάτων ἀναγκαίων ὑπομνηματισμοὺς τελέσοντα.

23. Post triennii autem tempus misit Jason Menelaum supradicti Simonis fratrem, portantem pecunias regi, et de negotiis necessariis commonitiones facturum.

24. Ὁ δὲ συσταθεὶς τῷ βασιλεῖ καὶ δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας, εἰς ἑαυτὸν κατήντησε τὴν ἀρχιερωσύνην, ὑπερβαλὼν τὸν Ἰάσωνα τάλαντα ἀργυρίου τριακόσια.

24. At ille commendatus regi et magnificans se facie potestatis, in semetipsum retorsit summum sacerdotium, superans Jasonem talentis argenti trecentis.

25. Λαβὼν δὲ τὰς βασιλικὰς ἐντολὰς παρεγένετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων, θυμοὺς δὲ ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων.

25. Acceptisque a rege mandatis venit, nihil quidem habens dignum sacerdotio, animos vero crudelis tyranni et feræ barbaræ iras gerens.

26. Καὶ ὁ μὲν Ἰάσων, ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ' ἑτέρου, φυγὰς εἰς τὴν Ἀμμανίτιν χώραν συνήλαστο.

27. Ὁ δὲ Μενέλαος τῆς μὲν ἀρχῆς ἐκράτει, τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων οὐδὲν εὐτάκτει·

28. ποιουμένου δὲ τὴν ἀπαίτησιν Σωστράτου τοῦ τῆς ἀκροπόλεως ἐπάρχου, πρὸς τοῦτον γὰρ ἦν ἡ τῶν φόρων πρᾶξις· δι' ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασιλέως προσεκλήθησαν.

29. Καὶ ὁ μὲν Μενέλαος ἀπέλιπε τῆς ἀρχιερωσύνης διάδοχον Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφὸν, Σώστρατος δὲ Κράτητα τὸν ἐπὶ τῶν Κυπρίων.

30. Τοιούτων δὲ συνεστηκότων, συνέβη Ταρσεῖς καὶ Μαλλώτας στασιάζειν, διὰ τὸ Ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ δεδόσθαι.

31. Θᾶττον οὖν ὁ βασιλεὺς ἧκε καταστεῖλαι τὰ πράγματα, καταλιπὼν τὸν διαδεχόμενον Ἀνδρόνικον τῶν ἐν ἀξιώματι κειμένων.

32. Νομίσας δὲ ὁ Μενέλαος εἰληφέναι καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ νοσφισάμενος ἐχαρίσατο τῷ Ἀνδρονίκῳ, καὶ ἕτερα ἐτύγχανε πεπρακὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πόλεις.

33. Ἃ καὶ σαφῶς ἐπεγνωκὼς ὁ Ὀνίας, παρήλεγχεν ἀποκεχωρηκὼς εἰς ἄσυλον τόπον, ἐπὶ Δάφνης τῆς πρὸς Ἀντιόχειαν κειμένης·

34. ὅθεν ὁ Μενέλαος λαβὼν ἰδίᾳ τὸν Ἀνδρόνικον, παρεκάλει χειρώσασθαι τὸν Ὀνίαν. Ὁ δὲ παραγενόμενος ἐπὶ τὸν Ὀνίαν, καὶ πεισθεὶς ἐπὶ δόλῳ, καὶ δεξιὰς μεθ' ὅρκων δοὺς, καίπερ ἐν ὑποψίᾳ κείμενος ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν, ὃν καὶ παραχρῆμα παρέκλεισεν οὐκ αἰδεσθεὶς τὸ δίκαιον.

35. Δι' ἣν αἰτίαν οὐ μόνον Ἰουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυσφόρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ.

36. Τοῦ δὲ βασιλέως ἐπανελθόντος ἀπὸ τῶν κατὰ Κιλικίαν τόπων ἐνετύγχανον οἱ κατὰ πόλιν Ἰουδαῖοι, συμμισοπονηρούντων καὶ τῶν Ἑλλήνων, ὑπὲρ τοῦ παρὰ λόγον τὸν Ὀνίαν ἀπεκτάνθαι.

37. Ψυχικῶς οὖν ὁ Ἀντίοχος ἐπιλυπηθεὶς καὶ τραπεὶς εἰς ἔλεον καὶ δακρύσας διὰ τὴν τοῦ μετηλλαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν,

38. καὶ πυρωθεὶς τοῖς θυμοῖς, παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύραν περιελόμενος, καὶ τοὺς χιτῶνας περιῤῥήξας, περιαγαγὼν καθ' ὅλην τὴν πόλιν, ἐπ' αὐτὸν τὸν τόπον οὗπερ εἰς τὸν Ὀνίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον ἀπεκόσμησε, τοῦ Κυρίου τὴν ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος.

39. Γενομένων δὲ πολλῶν ἱεροσυλημάτων κατὰ τὴν πόλιν ὑπὸ τοῦ Λυσιμάχου μετὰ τῆς Μενελάου γνώμης, καὶ διαδοθείσης ἔξω τῆς φήμης, ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον, χρυσωμάτων ἤδη πολλῶν διενηνεγμένων.

40. Ἐπεγειρομένων δὲ τῶν ὄχλων καὶ ταῖς ὀργαῖς διεμπιμπλαμένων, καθοπλίσας ὁ Λυσίμαχος πρὸς τρισχιλίους, κατήρξατο χειρῶν ἀδίκων, προηγησαμένου τινὸς τυράννου προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον καὶ τὴν ἄνοιαν.

41. Συνιδόντες δὲ καὶ τὴν ἐπίθεσιν τοῦ Λυσιμάχου,

26. Et Jason quidem, qui proprium fratrem circumvenerat, circumventus ab alio, profugus in Ammanitem expulsus est regionem.

27. Menelaus autem principatum quidem obtinuit, de pecuniis vero regi promissis nihil bene disponebat :

28. cum exactionem faceret Sostratus qui arci erat præpositus, nam ad hunc exactio vectigalium pertinebat : quam ob causam utrique a rege sunt evocati.

29. Et Menelaus quidem reliquit sacerdotii successorem Lysimachum fratrem suum, Sostratus autem Cratetem qui erat præpositus Cypriis.

30. His autem constitutis, contigit Tarsenses et Mallotas seditionem movere, eo quod Antiochidi regis concubinæ dono essent dati.

31. Festinanter itaque rex venit sedare res, relinquens suffectum Andronicum ex iis qui in dignitate positi erant.

32. Ratus autem Menelaus accepisse se tempus opportunum, aurea quædam vasa templi furatus donavit Andronico, et alia vendiderat Tyri et per circumjacentes civitates.

33. Quæ cum certissime cognovisset Onias, arguebat in loco tuto se continens, in Daphne quæ ad Antiochiam posita est :

34. unde Menelaus assumens seorsum Andronicum, hortabatur ut Oniam interficeret. Ille autem veniens ad Oniam, et suadens cum dolo, et dexteram dans cum jurejurando, quamvis esset suspectus persuasit de asylo procedere, quem etiam statim in carcere peremit non veritus justitiam.

35. Ob quam causam non solum Judæi, sed etiam multi ex aliis nationibus indignabantur et moleste ferebant de nece viri injusta.

36. Sed regressum regem de Ciliciæ locis adierunt Judæi qui per civitatem, ex iis qui simul scelus oderant et Græci, de eo quod præter rationem Onias interfectus fuerat.

37. Contristatus itaque animo Antiochus et flexus ad misericordiam et lacrymas fundens propter defuncti sobrietatem et magnam modestiam,

38. accensusque animis, confestim Andronico purpuram auferens, et vestes scindens, circumducens per totam civitatem, in eodem loco in quo in Oniam impietatem commiserat, ibi homicidam e mundo sustulit, Domino illi condignam retribuente pœnam.

39. Multis autem sacrilegiis per civitatem a Lysimacho commissis Menelai consilio, et divulgata fama, congregata est multitudo adversus Lysimachum, multis jam vasis aureis exportatis.

40. Turbis autem insurgentibus et ira repletis, Lysimachus armatis fere tribus millibus, iniquis manibus uti cœpit, duce quodam tyranno ætate pariter et dementia provecto.

41. Intelligentes autem et conatum Lysimachi, alii lapi-

συναρπάσαντες οἱ μὲν πέτρους, οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς παρακειμένης σποδοῦ δρασσόμενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ τὸν Λυσίμαχον.

42. Δι' ἣν αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐποίησαν, τινὰς δὲ καὶ κατέβαλον, πάντας δὲ εἰς φυγὴν συνήλασαν, αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ τὸ γαζοφυλάκιον ἐχειρώσαντο.

43. Περὶ δὲ τούτων ἐνέστη κρίσις πρὸς τὸν Μενέλαον.

44. Καταντήσαντος δὲ τοῦ βασιλέως εἰς Τύρον, ἐπ' αὐτοῦ τὴν δικαιολογίαν ἐποιήσαντο οἱ πεμφθέντες ἄνδρες τρεῖς ὑπὸ τῆς γερουσίας.

45. Ἤδη δὲ λελειμμένος ὁ Μενέλαος, ἐπηγγείλατο χρήματα ἱκανὰ τῷ Πτολεμαίῳ τῷ Δορυμένους πρὸς τὸ πεῖσαι τὸν βασιλέα.

46. Ὅθεν ἀπολαβὼν ὁ Πτολεμαῖος εἴς τι περίστυλον ὡς ἀναψύξοντα τὸν βασιλέα, μετέθηκε·

47. καὶ τὸν μὲν τῆς ὅλης κακίας αἴτιον Μενέλαον ἀπέλυσε τῶν κατηγορημάτων, τοῖς δὲ ταλαιπώροις, οἵτινες, εἰ καὶ ἐπὶ Σκυθῶν ἔλεγον, ἀπελύθησαν ἂν ἀκατάγνωστοι, τούτοις θάνατον ἐπέκρινε.

48. Ταχέως οὖν τὴν ἄδικον ζημίαν ὑπέσχον οἱ ὑπὲρ πόλεως καὶ δήμων καὶ τῶν ἱερῶν σκευῶν προαγορεύσαντες.

49. Δι' ἣν αἰτίαν καὶ Τύριοι μισοπονηρήσαντες τὰ πρὸς τὴν κηδείαν αὐτῶν μεγαλοπρεπῶς ἐχορήγησαν.

50. Ὁ δὲ Μενέλαος, διὰ τὰς τῶν κρατούντων πλεονεξίας, ἔμενεν ἐπὶ τῆς ἀρχῆς, ἐπιφυόμενος τῇ κακίᾳ, μέγας τῶν πολιτῶν ἐπίβουλος καθεστώς.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἔφοδον ὁ Ἀντίοχος εἰς Αἴγυπτον ἐστείλατο.

2. Συνέβη δὲ καθ' ὅλην τὴν πόλιν σχεδὸν ἐφ' ἡμέρας τεσσαράκοντα φαίνεσθαι διὰ τοῦ ἀέρος τρέχοντας ἱππεῖς, διαχρύσους στολὰς ἔχοντας, καὶ λόγχας σπειρηδὸν ἐξωπλισμένους,

3. καὶ ἴλας ἵππων διατεταγμένας, καὶ προσβολὰς γινομένας, καὶ καταδρομὰς ἑκατέρων, καὶ ἀσπίδων κινήσεις, καὶ χαμάκων πλήθη, καὶ μαχαιρῶν σπασμούς, καὶ βελῶν βολάς, καὶ χρυσῶν κόσμων ἐκλάμψεις, καὶ παντοίους θωρακισμούς.

4. Διὸ πάντες ἠξίουν ἐπ' ἀγαθῷ τὴν ἐπιφάνειαν γενέσθαι.

5. Γενομένης δὲ λαλιᾶς ψευδοῦς, ὡς μετηλλαχότος τὸν βίον Ἀντιόχου, παραλαβὼν ὁ Ἰάσων οὐκ ἐλάττους τῶν χιλίων, αἰφνιδίως ἐπὶ τὴν πόλιν συνετελέσατο ἐπίθεσιν. Τῶν δὲ ἐπὶ τῷ τείχει συνελασθέντων, καὶ τέλος ἤδη καταλαμβανομένης τῆς πόλεως, ὁ Μενέλαος εἰς τὴν ἀκρόπολιν ἐφυγάδευσεν.

6. Ὁ δὲ Ἰάσων ἐποιεῖτο σφαγὰς τῶν πολιτῶν τῶν ἰδίων ἀφειδῶς, οὐ συννοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν δυσημερίαν εἶναι τὴν μεγίστην. Δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν τρόπαια καταβάλλεσθαι,

7. τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησε, τὸ δὲ τέλος τῆς ἐπιβουλῆς αἰσχύνην λαβών, φυγὰς πάλιν εἰς τὴν Ἀμμανῖτιν ἀπῆλθεν.

8. Πέρας οὖν κακῆς ἀναστροφῆς ἔτυχεν ἐγκλεισθεὶς πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων τύραννον, πόλιν ἐκ πό-

des, alii fustes validos arripuere, quidam vero ex vicino cinere apprehendentes, mixtum jecerunt in eos qui circa Lysimachum.

42. Quam ob causam multos quidem eorum vulnerarunt, quosdam autem et prostraverunt, omnes vero in fugam compulerunt, ipsum vero sacrilegum apud ærarium interfecerunt.

43. De his autem instabat judicium adversus Menelaum.

44. At cum venisset rex Tyrum, ad ipsum retulerunt judicium missi tres viri a senioribus.

45. Et cum jam superaretur Menelaus, promisit pecunias multas Ptolemæo Dorymenis filio ut suaderet regi.

46. Itaque Ptolemæus adiens in quodam atrio quasi refrigerandi gratia positum regem, deduxit a sententia:

47. et Menelaum quidem universæ malitiæ reum criminibus absolvit, miseros autem qui, etiamsi apud Scythas causam dixissent, absoluti essent innocentes judicati, hos morte damnavit.

48. Cito ergo injustam pœnam dederunt qui pro civitate et populis et sacris vasis causam persecuti sunt.

49. Quamobrem Tyrii quoque in malefactum indignati quæ ad sepulturam eorum pertinebant magnifice suppeditaverunt.

50. Menelaus autem, propter eorum qui in potentia erant avaritiam, permanebat in principatu, crescens in malitia, magnus civium insidiator constitutus.

CAPUT V.

1. Circa hoc autem tempus Antiochus secundam profectionem paravit in Ægyptum.

2. Contigit autem per universam civitatem fere per dies quadraginta videri per aera equites currentes, auratas stolas habentes, et hastis quasi cohortes armatos,

3. et turmas equorum per ordinem digestas, et congressiones fieri, et incursiones utrinque, et scutorum motus, et spiculorum multitudines, et gladiorum eductiones, et telorum jactus, et aureorum ornamentorum splendores, omnisque generis loricas.

4. Quamobrem omnes rogabant in bonum ostenta converti.

5. Sed cum falsus rumor exisset, tamquam vita excessisset Antiochus, assumptis Jason non minus mille viris, aggressus est civitatem repente. His autem ad murum compulsis, et ad ultimum jam apprehensa civitate, Menelaus fugit in arcem.

6. Jason vero non parcebat in cæde civibus suis, non cogitans prosperitatem adversus cognatos calamitatem esse maximam. Arbitrans autem hostium et non civium se trophæa dejicere,

7. principatum quidem non obtinuit, finem vero insidiarum confusionem accipiens, profugus iterum abiit in Ammanitem.

8. Itaque ad ultimum nactus malum reditum est inclusus apud Aretam Arabum tyrannum, fugiens de civitate in

λεως φεύγων, διωκόμενος ὑπὸ πάντων, καὶ στυγούμενος ὡς τῶν νόμων ἀποστάτης, καὶ βδελυσσόμενος ὡς πατρίδος καὶ πολιτῶν δήμιος, εἰς Αἴγυπτον συνεβράσθη.

9. Καὶ ὁ συχνοὺς τῆς πατρίδος ἀποξενώσας ἐπὶ ξένης ἀπώλετο πρὸς Λακεδαιμονίους ἀναχθεὶς, ὡς διὰ τὴν συγγένειαν τευξόμενος σκέπης.

10. Καὶ ὁ πλῆθος ἀτάφων ἐκρίψας ἀπένθητος ἐγενήθη, καὶ κηδείας οὐδ' ἡστινοσοῦν οὔτε πατρῴου τάφου μετέσχε.

11. Προςπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν γεγονότων, διέλαβεν ἀποστατεῖν τὴν Ἰουδαίαν· ὅθεν ἀναζεύξας ἐξ Αἰγύπτου τεθηριωμένος τῇ ψυχῇ, ἔλαβε τὴν μὲν πόλιν δορυάλωτον·

12. καὶ ἐκέλευσε τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς ἐμπίπτοντας, καὶ τοὺς εἰς τὰς οἰκίας ἀναβαίνοντας κατασφάζειν.

13. Ἐγίνοντο δὲ νέων καὶ πρεσβυτέρων ἀναιρέσεις, ἀνδρῶν τε καὶ γυναικῶν καὶ τέκνων ἀφανισμὸς, παρθένων τε καὶ νηπίων σφαγαί.

14. Ὀκτὼ δὲ μυριάδες ἐν ταῖς πάσαις ἡμέραις τρισὶ κατεφθάρησαν, τέσσαρες μὲν ἐν χειρῶν νομαῖς· οὐχ ἧττον δὲ τῶν ἐσφαγμένων ἐπράθησαν.

15. Καὶ οὐκ ἀρκεσθεὶς δὲ τούτοις κατετόλμησεν εἰς τὸ πάσης τῆς γῆς ἁγιώτατον ἱερὸν εἰςελθεῖν, ὁδηγὸν ἔχων τὸν Μενέλαον τὸν καὶ τῶν νόμων καὶ τῆς πατρίδος προδότην γεγονότα·

16. καὶ ταῖς μιαραῖς χερσὶ τὰ ἱερὰ σκεύη λαμβάνων, καὶ τὰ ὑπ' ἄλλων βασιλέων ἀνατεθέντα πρὸς αὔξησιν καὶ δόξαν τοῦ τόπου καὶ τιμὴν, ταῖς βεβήλοις χερσὶ συσσύρων ἐπεδίδου.

17. Καὶ ἐμετεωρίζετο τὴν διάνοιαν ὁ Ἀντίοχος, οὐ συνορῶν ὅτι διὰ τὰς ἁμαρτίας τῶν τὴν πόλιν οἰκούντων ἀπώργισται βραχέως ὁ Δεσπότης, διὸ γέγονε περὶ τὸν τόπον παρόρασις.

18. Εἰ δὲ μὴ συνέβαινε προενέχεσθαι πολλοῖς ἁμαρτήμασι, καθάπερ ὁ Ἡλιόδωρος ὁ πεμφθεὶς ὑπὸ Σελεύκου τοῦ βασιλέως ἐπὶ τὴν ἐπίσκεψιν τοῦ γαζοφυλακίου, οὗτος προαχθεὶς παραχρῆμα μαστιγωθεὶς ἀνετράπη τοῦ θράσους.

19. Ἀλλ' οὐ διὰ τὸν τόπον τὸ ἔθνος, ἀλλὰ διὰ τὸ ἔθνος τὸν τόπον ὁ Κύριος ἐξελέξατο.

20. Διόπερ καὶ αὐτὸς ὁ τόπος συμμετασχὼν τῶν τοῦ ἔθνους δυςπετημάτων γενομένων, ὕστερον εὐεργετημάτων ὑπὸ τοῦ Κυρίου ἐκοινώνησε· καὶ ὁ καταλειφθεὶς ἐν τῇ τοῦ Παντοκράτορος ὀργῇ, πάλιν ἐν τῇ τοῦ μεγάλου Δεσπότου καταλλαγῇ μετὰ πάσης δόξης ἐπανωρθώθη.

21. Ὁ γοῦν Ἀντίοχος ὀκτακόσια πρὸς τοῖς χιλίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα θᾶττον εἰς Ἀντιόχειαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας τὴν μὲν γῆν πλωτὴν, καὶ τὸ πέλαγος πορευτὸν θέσθαι διὰ τὸν μετεωρισμὸν τῆς καρδίας.

22. Κατέλιπε δὲ καὶ ἐπιστάτας τοῦ κακοῦν τὸ γένος, ἐν μὲν Ἱεροσολύμοις Φίλιππον, τὸ μὲν γένος Φρύγα, τὸν δὲ τρόπον βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαντος·

23. ἐν δὲ Γαριζὶν Ἀνδρόνικον· πρὸς δὲ τούτοις Μενέλαον, ὃς χείριστα τῶν ἄλλων ὑπερήρετο τοῖς πολίταις.

24. Ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας Ἰουδαίους ἔχων διάθεσιν, ἔπεμψε δὲ τὸν μυσάρχην Ἀπολλώνιον μετὰ

civitatem, expulsus ab omnibus, odiosus et refuga legum, et exsecrabilis ut patriæ et civium hostis, in Ægyptum extrusus est.

9. Et qui multos de patria expellendo peregrinos fecerat peregre periit ad Lacedæmonas delatus, quasi pro cognatione refugium habiturus.

10. Et qui insepultos multos abjecerat illamentatus fuit, neque exsequiis ullis omnino neque patrio sepulcro participavit.

11. Cum innotuissent autem regi pro his rebus gestis, suspicatus est societatem deserturos Judæos : et ob hoc profectus ex Ægypto efferatus animo, civitatem quidem armis cepit :

12. jussit autem militibus interficere occursantes nemini parcendo, et eos qui in domos ascenderent trucidare.

13. Fiebant ergo cædes juvenum ac seniorum, virorumque et mulierum et natorum exterminium, virginumque et parvulorum neces.

14. Erant autem toto triduo octoginta millia interfecti, quadraginta quidem millia in ipso manuum conflictu : non minus autem jugulatis venumdati.

15. Non contentus autem his ausus est intrare templum universæ terræ sanctissimum, Menelao ductore qui legum et patriæ fuit proditor :

16. et scelestis manibus sumens sancta vasa, etiam quæ ab aliis regibus erant posita ad augmentum et gloriam loci et honorem, profanis manibus contrectans procedebat.

17. Et elevatus est mente Antiochus, non considerans quod propter peccata habitantium civitatem modicum Dominus fuerat iratus, propter quod accidit circa locum despectio.

18. Alioquin nisi contigisset eos multis peccatis esse involutos, sicut Heliodorus qui missus est a Seleuco rege ad visitationem ærarii, hic adveniens statim flagellatus repulsus fuisset ab audacia.

19. Verum non propter locum gentem, sed propter gentem locum Dominus elegit.

20. Ideoque et ipse locus particeps factus malorum gentis quæ acciderunt, postea beneficiorum a Domino particeps fuit : et qui derelictus in ira Omnipotentis fuit, iterum in magni Domini reconciliatione cum summa gloria exaltatus est.

21. Igitur Antiochus mille et octingentis ablatis de templo talentis velociter Antiochiam regressus est, existimans præ superbia se terram quidem navigabilem, pelagus vero deambulabile facturum propter cordis elationem.

22. Reliquit autem et præpositos ad affligendam gentem, Jerosolymis quidem Philippum, genere quidem Phrygem, moribus autem magis barbarum eo ipso a quo constitutus est :

23. in Garizin autem Andronicum : præterea vero Menelaum, qui gravius quam cæteri imminebat civibus.

24. Inimice autem erga cives Judæos affectus, misit vero odiosum principem Apollonium cum exercitu viginti et duo-

στρατεύματος δισμυρίων πρὸς τοῖς δισχιλίοις, προστάξας τοὺς ἐν ἡλικίᾳ πάντας κατασφάξαι, τὰς δὲ γυναῖκας καὶ νεωτέρους πωλεῖν.

25. Οὗτος δὲ παραγενόμενος εἰς Ἱεροσόλυμα, καὶ τὸν εἰρηνικὸν ὑποκριθεὶς, ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέρας τοῦ σαββάτου· καὶ λαβὼν ἀργοῦντας τοὺς Ἰουδαίους, τοῖς ὑφ' ἑαυτὸν ἐξοπλησίαν παρήγγειλε·

26. καὶ τοὺς ἐξελθόντας πάντας ἐπὶ τὴν θεωρίαν συνεξεκέντησε, καὶ εἰς τὴν πόλιν σὺν τοῖς ὅπλοις εἰςδραμὼν ἱκανὰ κατέστρωσε πλήθη.

27. Ἰούδας δὲ ὁ Μακκαβαῖος δέκατός που γενηθεὶς, καὶ ἀναχωρήσας εἰς τὴν ἔρημον, θηρίων τρόπον ἐν τοῖς ὄρεσι διέζη σὺν τοῖς μετ' αὐτοῦ, καὶ τὴν χορτώδη τροφὴν σιτούμενοι διετέλουν, πρὸς τὸ μὴ μετασχεῖν τοῦ μολυσμοῦ.

rum millium, præcipiens omnes perfectæ ætatis interficere, mulieres autem ac juvenes vendere.

25. Qui cum venisset Jerosolymam, et pacificum se simulasset, quievit usque ad diem sanctum sabbati : et nactus feriatos Judæos, arma capere suis præcepit :

26. omnesque simul qui ad spectaculum processerant trucidavit, et civitatem cum armatis discurrens ingentem multitudinem peremit.

27. Judas autem Maccabæus qui decimus fuerat, et secesserat in desertum, ferarum more vitam in montibus cum suis agebat, et fœni cibo vescentes demorabantur, ne participes essent coinquinationis.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Μετ' οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα Ἀθηναῖον, ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἐκ τῶν πατρῴων νόμων, καὶ τοῖς τοῦ Θεοῦ νόμοις μὴ πολιτεύεσθαι·

2. μολῦναι δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν, καὶ προςονομάσαι Διὸς Ὀλυμπίου, καὶ τὸν ἐν Γαριζὶν, καθὼς ἐτύγχανον οἱ τὸν τόπον οἰκοῦντες, Διὸς Ξενίου.

3. Χαλεπὴ δὲ καὶ τοῖς ὄχλοις ἦν καὶ δυσχερὴς ἡ ἐπίστασις τῆς κακίας.

4. Τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ κώμων ἐπεπλήρωτο ὑπὸ τῶν ἐθνῶν ῥαθυμούντων μεθ' ἑταιρῶν, καὶ ἐν τοῖς ἱεροῖς περιβόλοις γυναιξὶ πλησιαζόντων, ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον φερόντων.

5. Τὸ δὲ θυσιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο.

6. Ἦν δ' οὔτε σαββατίζειν, οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν, οὔτε ἁπλῶς Ἰουδαῖον ὁμολογεῖν εἶναι.

7. Ἤγοντο δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ μῆνα τοῦ βασιλέως γενέθλιον ἡμέραν ἐπὶ σπλαγχνισμόν· γενομένης δὲ Διονυσίων ἑορτῆς, ἠναγκάζοντο οἱ Ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ.

8. Ψήφισμα δὲ ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας πόλεις ἑλληνίδας, Πτολεμαίων ὑποτιθεμένων, τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν Ἰουδαίων ἄγειν καὶ σπλαγχνίζειν·

9. τοὺς δὲ μὴ προαιρουμένους μεταβαίνειν ἐπὶ τὰ ἑλληνικὰ κατασφάζειν· παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν.

10. Δύο γὰρ γυναῖκες ἀνηνέχθησαν περιτετμηκυῖαι τὰ τέκνα αὐτῶν· τούτων δὲ ἐκ τῶν μαστῶν κρεμάσαντες τὰ βρέφη καὶ δημοσίᾳ περιαγαγόντες αὐτὰς τὴν πόλιν, κατὰ τοῦ τείχους ἐκρήμνισαν.

11. Ἕτεροι δὲ πλησίον συνδραμόντες εἰς τὰ σπήλαια, λεληθότως ἄγειν τὴν ἑβδομάδα, μηνυθέντες τῷ Φιλίππῳ συνεφλογίσθησαν, διὰ τὸ εὐλαβῶς ἔχειν βοηθῆσαι ἑαυτοῖς κατὰ τὴν δόξαν τῆς σεμνοτάτης ἡμέρας.

12. Παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ, μὴ συστέλλεσθαι διὰ τὰς συμφορὰς, λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλεθρον, ἀλλὰ πρὸς παιδείαν τοῦ γένους ἡμῶν εἶναι.

13. Καὶ τὸ μὴ πολὺν χρόνον ἐᾶσθαι τοὺς δυσσεβοῦντας, ἀλλ' εὐθέως περιπίπτειν ἐπιτιμίοις, μεγάλης εὐεργεσίας σημεῖόν ἐστιν.

CAPUT VI.

1. Sed non post multum tempus misit rex senem Atheniensem, compellere Judæos ut se transferrent a patriis legibus, nec se Dei legibus regerent :

2. contaminare etiam quod in Jerosolymis erat templum, et cognominare Jovis Olympii, et quod in Garizin, prout erant hi qui locum inhabitabant, Jovis Hospitalis.

3. Difficilis autem etiam turbis erat et gravis malorum incursio.

4. Nam templum luxuria et comessationibus erat plenum a gentibus scortantibus cum sodalibus, et in sacris septis cum mulieribus se miscentibus, præterea vero intro ferentibus ea quæ non licebant.

5. Altare etiam plenum erat illicitis quæ legibus prohibebantur.

6. Neque autem sabbata custodire erat, neque dies solemnes patrios servare, neque omnino se Judæum confiteri.

7. Ducebantur autem cum amara necessitate in die qui per mensem natali regis ad viscerationem : et cum celebraretur Bacchanalium solemnitas, cogebantur Judæi hederas habentes pompam agere Baccho.

8. Decretum autem exiit in proximas civitates græcas, suggerentibus Ptolemæis, eamdem rationem contra Judæos adhibere et sacrificare :

9. eos autem qui nollent transire ad græcos ritus jugulare : erat ergo videre præsentem miseriam.

10. Duæ enim mulieres delatæ sunt natos suos circumcidisse : quas ad ubera infantibus suspensis cum publice per civitatem circumduxissent, per murum præcipitaverunt.

11. Alii vero ad proximas concurrentes speluncas, ut latenter septimam diem celebrarent, cum indicati essent Philippo simul succensi sunt, eo quod verebantur propter gloriam honoratissimæ diei sibimet auxilium ferre.

12. Obsecro autem eos qui hunc librum lecturi sunt, ne abhorrescant propter adversos casus, sed reputent supplicia non ad interitum, sed ad correptionem esse generis nostri.

13. Atqui non multo tempore sini impie agere, sed statim incidere in supplicia, magni beneficii est indicium.

14. Οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μακροθυμῶν ὁ Δεσπότης, μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν κολάσαι,

15. οὕτω καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι, ἵνα μὴ πρὸς τέλος ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστερον ἡμᾶς ἐκδικᾷ.

16. Διόπερ οὐδέποτε μὲν τὸν ἔλεον αὐτοῦ ἀφ' ἡμῶν ἀφίστησι· παιδεύων δὲ μετὰ συμφορᾶς οὐκ ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν.

17. Πλὴν ἕως ὑπομνήσεως ταῦθ' ἡμῖν εἰρήσθω. Δι' ὀλίγων δ' ἐλευστέον ἐπὶ τὴν διήγησιν.

18. Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν, καὶ τὴν πρόσοψιν τοῦ προσώπου κάλλιστος τυγχάνων, ἀναχανὼν ἠναγκάζετο φαγεῖν ὕειον κρέας.

19. Ὁ δὲ τὸν μετ' εὐκλείας θάνατον μᾶλλον ἢ τὸν μετὰ μύσους βίον ἀναδεξάμενος, αὐθαιρέτως ἐπὶ τὸ τύμπανον προσῆγε·

20. προπτύσας δὲ, καθ' ὃν ἔδει τρόπον προσέρχεσθαι τοὺς ὑπομένοντας ἀμύνεσθαι, ὧν οὐ θέμις γεύσασθαι διὰ τὴν πρὸς τὸ ζῆν φιλοστοργίαν.

21. Οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγχνισμῷ τεταγμένοι, διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν, ἀπολαβόντες αὐτὸν κατιδίαν παρεκάλουν, ἐνέγκαντα κρέα οἷς καθῆκον αὐτῷ χρήσασθαι δι' αὐτοῦ παρασκευασθέντα, ὑποκριθῆναι δὲ ὡς ἐσθίοντα τὰ ὑπὸ τοῦ βασιλέως προστεταγμένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν,

22. ἵνα τοῦτο πράξας ἀπολυθῇ τοῦ θανάτου, καὶ διὰ τὴν ἀρχαίαν πρὸς αὐτοὺς φιλίαν τύχῃ φιλανθρωπίας.

23. Ὁ δὲ λογισμὸν ἀστεῖον ἀναλαβὼν καὶ ἄξιον τῆς ἡλικίας καὶ τῆς τοῦ γήρως ὑπεροχῆς, καὶ τῆς ἐπικτήτου καὶ ἐπιφανοῦς πολιᾶς, καὶ τῆς ἐκ παιδὸς καλλίστης ἀνατροφῆς, μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας, ἀκολούθως ἀπεφήνατο, ταχέως λέγων προπέμπειν εἰς τὸν ᾅδην·

24. οὐ γὰρ τῆς ἡμετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων, ὑπολαβόντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς ἀλλοφυλισμὸν,

25. καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν καὶ διὰ τὸ μικρὸν καὶ ἀκαριαῖον ζῆν, πλανηθῶσι δι' ἐμὲ, καὶ μῦσος καὶ κηλῖδα τοῦ γήρως κατακτήσομαι.

26. Εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ Παντοκράτορος χεῖρας οὔτε ζῶν οὔτε ἀποθανὼν ἐκφεύξομαι.

27. Διόπερ ἀνδρείως μὲν νῦν διαλλάξας τὸν βίον, τοῦ μὲν γήρως ἄξιος φανήσομαι,

28. τοῖς δὲ νέοις ὑπόδειγμα γενναῖον καταλελοιπὼς, εἰς τὸ προθύμως καὶ γενναίως ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων ἀπευθανατίζειν. Τοσαῦτα δὲ εἰπὼν, ἐπὶ τὸ τύμπανον εὐθέως ἦλθε.

29. Τῶν δὲ ἀγόντων τὴν μικρῷ πρότερον εὐμένειαν πρὸς αὐτὸν εἰς δυσμένειαν μεταβαλόντων, διὰ τὸ τοὺς προειρημένους λόγους, ὡς αὐτοὶ διελάμβανον, ἀπόνοιαν εἶναι·

30. μέλλων δὲ ταῖς πληγαῖς τελευτᾶν, ἀναστενάξας εἶπε· Τῷ Κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι φανερόν ἐστιν ὅτι, δυνάμενος ἀπολυθῆναι τοῦ θανάτου, σκληρὰς ὑποφέρω κατὰ τὸ σῶμα ἀλγηδόνας μαστιγούμενος, κατὰ ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα πάσχω.

14. Non enim sicut et in aliis nationibus Dominus patienter exspectat, donec eos cum ad plenitudinem peccatorum devenerint puniat,

15. ita et in nobis statuit, ne peccatis nostris ad finem pervenientibus demum in nos vindicet.

16. Propter quod nunquam quidem a nobis misericordiam suam amovet : corripiens vero cum calamitate populum suum non derelinquit.

17. Sed hæc nobis ad commonitionem dicta sint. Per pauca autem veniendum est ad narrationem.

18. Eleazarus unus de primoribus scribarum, vir jam provectus ætate, et vultu maxime decorus, hians compellebatur carnem porcinam manducare.

19. At ille gloriosam mortem magis quam odibilem vitam complectens, voluntarie ad supplicium accedebat :

20. exspuens autem, quemadmodum oportebat accedere eos qui sustinebant puniri, ea quæ non licebat gustare propter vitæ amorem.

21. Qui autem iniquo sacrificio assistebant, propter antiquam viri notitiam, assumentes eum seorsum hortabantur, afferentem carnes quibus vesci ei licebat a se paratas, simulare tantum quasi manducaret quæ a rege erant imperata de sacrificii carnibus,

22. ut hoc facto a morte liberaretur, et propter veterem erga ipsos amicitiam consequeretur humanitatem.

23. At ille civile consilium capiens dignumque ætate ac senectutis eminentia, et adjuncta illustrique canitie, et optima a puero educatione, potius autem sancta et a Deo condita legum constitutione, congruenter respondit, cito dicens præire se in infernum :

24. non enim ætate nostra dignum est fingere, ut multi adolescentes, arbitrantes Eleazarum nonaginta annorum transisse ad vitam alienigenarum,

25. et ipsi propter meam simulationem et propter modicam et brevem vitam, decipiantur propter me, et exsecrationem ac maculam senectuti conquiram.

26. Nam et si in præsenti tempore suppliciis hominum eripiar, sed manus Omnipotentis nec vivus nec defunctus effugiam.

27. Quamobrem fortiter nunc vita excedendo, senectute quidem dignus apparebo,

28. adolescentibus autem exemplum generosum relinquam, ad prompte ac generose pro gravissimis ac sanctis legibus honesta morte perfungendum. His autem dictis, confestim ad supplicium venit.

29. Hi autem qui eum ducebant eam quam paulo ante erga ipsum mititatem habebant in asperitatem converterant, eo quod prædicti sermones, ut ipsi arbitrabantur, arrogantiæ pleni essent :

30. sed cum ei sub plagis moriendum esset, ingemuit et dixit : Domino qui habet sanctam scientiam manifestum est quia, cum a morte possem liberari, duros corpore sustineo dolores flagellatus, secundum animam vero propter ipsius timorem libenter hæc patior.

31. Καὶ οὗτος οὖν τοῦτον τὸν τρόπον μετήλλαξεν, οὐ μόνον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς πλείστοις τοῦ ἔθνους τὸν ἑαυτοῦ θάνατον ὑπόδειγμα γενναιότητος καὶ μνημόσυνον ἀρετῆς καταλιπών.

31. Et iste quidem hoc modo vita decessit, non solum juvenibus, sed et plurimis gentis mortem suam exemplum fortitudinis et memoriale virtutis relinquens.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

CAPUT VII.

1. Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλληφθέντας ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑείων κρεῶν ἐφάπτεσθαι, μάστιξι καὶ νευραῖς αἰκιζομένους.

2. Εἷς δὲ αὐτῶν γενόμενος προήγορος οὕτως ἔφη· Τί μέλλεις ἐρωτᾷν καὶ μανθάνειν παρ' ἡμῶν; Ἕτοιμοι γὰρ ἀποθνήσκειν ἐσμὲν ἢ παραβαίνειν τοὺς πατρίους νόμους.

3. Ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς προσέταξε τήγανα καὶ λέβητας ἐκπυροῦν. Τῶν δὲ ἐκπυρωθέντων,

4. παραχρῆμα τὸν γενόμενον αὐτῶν προήγορον προσέταξε γλωσσοτομεῖν, καὶ περισκυθίσαντας ἀκρωτηριάζειν, τῶν λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώντων.

5. Ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον ἐκέλευσε τῇ πυρᾷ προσάγειν ἔμπνουν καὶ τηγανίζειν. Τῆς δὲ ἀτμίδος ἐφ' ἱκανὸν διαδιδούσης τοῦ τηγάνου, ἀλλήλους παρεκάλουν σὺν τῇ μητρὶ γενναίως τελευτᾷν,

6. λέγοντες οὕτως· Ὁ Κύριος ὁ Θεὸς ἐφορᾷ καὶ ταῖς ἀληθείαις ἐφ' ἡμῖν παρακαλεῖται, καθάπερ διὰ τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωυσῆς, λέγων· Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

7. Μεταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον ἦγον ἐπὶ τὸν ἐμπαιγμόν· καὶ τὸ τῆς κεφαλῆς δέρμα σὺν ταῖς θριξὶ περισύραντες ἐπηρώτων εἰ φάγεσαι πρὸ τοῦ τιμωρηθῆναι τὸ σῶμα κατὰ μέλος;

8. Ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ εἶπεν· Οὐχί. Διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβε βάσανον ὡς ὁ πρῶτος.

9. Ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε· Σὺ μὲν, ἀλάστωρ, ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις, ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει.

10. Μετὰ δὲ τοῦτον ὁ τρίτος ἐνεπαίζετο, καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε, καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινε,

11. καὶ γενναίως εἶπεν· Ἐξ οὐρανοῦ ταῦτα κέκτημαι, καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα, καὶ παρ' αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι.

12. Ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν τοῦ νεανίσκου ψυχὴν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο.

13. Καὶ τούτου δὲ μεταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι.

14. Καὶ γενόμενος πρὸς τὸ τελευτᾷν οὕτως ἔφη· Αἱρετὸν μεταλλάσσοντα ὑπ' ἀνθρώπων τὰς ὑπὸ τοῦ Θεοῦ προςδοκᾷν ἐλπίδας, πάλιν ἀναστήσεσθαι ὑπ' αὐτοῦ. Σοὶ μὲν γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται.

15. Ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκίζοντο. Ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν·

16. Ἐξουσίαν ἐν ἀνθρώποις ἔχων, φθαρτὸς ὢν, ὃ θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ Θεοῦ καταλελεῖφθαι.

17. Σὺ δὲ καρτέρει, καὶ θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα σου βασανίσει.

1. Contigit autem et septem fratres una cum matre apprehensos compelli a rege de illicitis carnibus porcinis tangere, flagris et taureis cruciatos.

2. Unus autem ex illis factus primus concionator sic ait: Quid vis quærere et discere a nobis? Parati enim sumus mori magis quam patrias leges prævaricari.

3. Iratus itaque rex jussit sartagines et ollas æneas succendi. Quibus succensis,

4. statim jussit ei ex ipsis qui prior fuerat locutus amputari linguam, et excoriato extremas quoque partes præcidi, cæteris fratribus et matre inspicientibus.

5. Et cum jam per omnia inutilis factus esset jussit pyræ admoveri spirantem et torreri in sartagine. Vapore autem multum se dilatante ex sartagine, invicem se cum matre hortabantur mori fortiter,

6. dicentes sic : Dominus Deus aspicit et vere consolatur in nobis, quemadmodum per canticum illud, quod in faciem protestatur, declaravit Moyses, dicens : Et in servis suis consolabitur.

7. Mortuo itaque illo primo hoc modo, secundum deducebant ad ludibrium : et cute capitis cum capillis abstracta interrogabant si manducabis priusquam corpus per singula membra crucietur?

8. At ille respondens patria voce dixit : Non. Propter quod et iste reliquum tormentum suscepit sicut primus.

9. In ultimo autem spiritu constitutus ait : Tu quidem, sceleste, a præsenti nos vita absolvis, sed rex mundi defunctos nos pro suis legibus in æternam resurrectionem vitæ nos suscitabit.

10. Post hunc autem tertius illudebatur, et linguam postulatus cito protulit, et manus constanter extendit,

11. et generose ait : Cœlo ista possedi, et propter ejus leges hæc ipsa despicio, et ab ipso ea me rursus recepturum spero.

12. Ita ut ipse rex et qui cum eo erant mirarentur adolescentis animum, quod nihil duceret cruciatus.

13. Et hoc defuncto, quartum vexabant similiter torquentes.

14. Et cum jam esset ad mortem sic ait : Eligibile est ab hominibus morti datos eas quæ sunt a Deo spes exspectare, iterum ab ipso resuscitandos. Tibi enim resurrectio ad vitam non erit.

15. Deinceps autem cum admovissent quintum vexabant eum. At ille respiciens in eum dixit :

16. Potestatem inter homines habens, cum sis corruptibilis, facis quod vis : noli autem putare genus nostrum a Deo esse derelictum.

17. Tu autem sustine, et vide magnam potestatem ipsius, qualiter te et semen tuum torquebit.

18. Μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων ἀποθνήσκειν ἔφη· Μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι' ἑαυτοὺς ταῦτα πάσχομεν, ἁμαρτάνοντες εἰς τὸν ἑαυτῶν Θεὸν, διὸ ἄξια θαυμασμοῦ γέγονε.

19. Σὺ δὲ μὴ νομίσῃς ἀθῷος ἔσεσθαι, θεομαχεῖν ἐπιχειρήσας.

20. Ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερε διὰ τὰς ἐπὶ Κύριον ἐλπίδας.

21. Ἕκαστον δὲ αὐτῶν παρεκάλει τῇ πατρίῳ φωνῇ, γενναίῳ πεπληρωμένη φρονήματι, καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διεγείρασα,

22. λέγουσα πρὸς αὐτούς· Οὐκ οἶδ' ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐδὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διερύθμισα.

23. Τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης, ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευρὼν γένεσιν, καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πάλιν ἀποδώσει μετ' ἐλέους, ὡς νῦν ὑπεροράτε ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νόμους.

24. Ὁ δὲ Ἀντίοχος, οἰόμενος καταφρονεῖσθαι, καὶ τὴν ὀνειδίζουσαν ὑφορώμενος φωνὴν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι' ὅρκων ἐπίστου, ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ τῶν πατρίων νόμων, καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν.

25. Τοῦ δὲ νεανίου μηδαμῶς προσέχοντος, προσκαλεσάμενος ὁ βασιλεὺς τὴν μητέρα, παρῄνει τοῦ μειρακίου γενέσθαι σύμβουλον ἐπὶ σωτηρίᾳ.

26. Πολλὰ δὲ αὐτοῦ παραινέσαντος, ἐπεδέξατο πείσειν τὸν υἱόν.

27. Προσκύψασα δὲ αὐτῷ, χλευάσασα τὸν ὠμὸν τύραννον, οὕτως ἔφησε τῇ πατρῴᾳ φωνῇ· Υἱὲ, ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα, καὶ θηλάσασάν σε ἔτη τρία, καὶ ἐκθρέψασάν σε καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην, καὶ τροφοφορήσασαν.

28. Ἀξιῶ σε, τέκνον, ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα, γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ Θεὸς, καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτω γεγένηται.

29. Μὴ φοβηθῇς τὸν δήμιον τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος ἐπίδεξαι τὸν θάνατον, ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε.

30. Ἔτι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε· Τίνα μένετε; Οὐχ ὑπακούω τοῦ προστάγματος τοῦ βασιλέως· τοῦ δὲ προστάγματος ἀκούω τοῦ νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωϋσέως.

31. Σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑβραίους, οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ Θεοῦ.

32. Ἡμεῖς γὰρ διὰ τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν.

33. Εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδείας ὁ ζῶν Κύριος ἡμῶν βραχέως ἐπώργισται, καὶ πάλιν καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις.

34. Σὺ δὲ, ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς δούλους αὐτοῦ ἐπαιρόμενος χεῖρα.

35. Οὔπω γὰρ τὴν τοῦ παντοκράτορος ἐπόπτου Θεοῦ κρίσιν ἐκπέφευγας.

36. Οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ, βραχὺν ὑπε-

18. Post hunc ducebant sextum, et is mori incipiens ait : Noli frustra errare, nos enim propter nos ipsos hæc patimur, peccantes in Deum nostrum, quare digna admiratione facta sunt.

19. Tu autem ne existimes tibi impune futurum, quod contra Deum pugnare tentaveris.

20. Supra modum autem mater mirabilis et bona memoria digna, quæ pereuntes septem filios sub unius diei tempore conspiciens bono animo ferebat propter spes quas in Domino habebat.

21. Singulosque illorum hortabatur voce patria, forti repleta sapientia, et fœmineæ cogitationi masculinum animum inserens,

22. dicens ad eos : Nescio qualiter in utero meo apparuistis, neque ego spiritum et vitam donavi vobis, et singulorum compagem non ego composui.

23. Sedenim mundi creator, qui formavit hominis nativitatem quique omnium invenit originem, et spiritum vobis iterum cum misericordia reddet et vitam, sicut nunc vosmetipsos despicitis propter leges ejus.

24. Antiochus autem, contemni se arbitratus, simul et exprobrantis voce despecta, cum adhuc adolescentior superesset, non solum verbis hortabatur, sed et cum juramento affirmabat, divitem se et beatum illum facturum translatum a patriis legibus, et amicum habiturum et negotia crediturum.

25. Sed adolescente nequaquam attendente, advocavit rex matrem, et suadebat ei ut adolescenti fieret consultrix in salutem.

26. Cum autem multis eam esset hortatus, promisit suasuram se filio.

27. Itaque inclinata ad illum, irridens crudelem tyrannum, sic ait patria voce : Fili, miserere mei quæ te in utero novem mensibus portavi, et lac triennio dedi, et alui te et in ætatem istam perduxi et educavi.

28. Obsecro te, nate, ut aspiciens ad cœlum et terram, et omnia quæ in eis sunt, videns, intelligas quia cum non essent fecit ea Deus, et hominum genus sic factum est.

29. Ne timeas carnificem istum, sed dignus fratribus effectus suscipe mortem, ut in ipsa miseratione cum fratribus tuis te recipiam.

30. Cum hæc adhuc perorarel ait adolescens : Quem sustinetis? Non obedio præcepto regis : sed præceptum audio legis quæ data est patribus nostris per Moysem.

31. Tu vero qui omnis malitiæ inventor factus es in Hebræos, non effugies manus Dei.

32. Nos autem pro peccatis nostris patimur.

33. Et si nobis propter increpationem et correptionem vivens Dominus noster modicum iratus est, sed iterum reconciliabitur servis suis.

34. Tu autem, o sceleste et omnium hominum flagitiosissime, noli frustra extolli fremens vanis spebus, in servos ejus elevans manum.

35. Nondum enim omnipotentis inspectoris Dei judicium effugisti.

36. Nam fratres quidem nostri, modico nunc dolore sus-

νέγκαντες πόνον, ἀεννάου ζωῆς ὑπὸ διαθήκην Θεοῦ πεπτώκασι· σὺ δὲ τῇ τοῦ Θεοῦ κρίσει δίκαια τὰ πρόςιμα τῆς ὑπερηφανίας ἀποίσῃ.

37. Ἐγὼ δὲ, καθάπερ οἱ ἀδελφοί μου, καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νόμων, ἐπικαλούμενος τὸν Θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι, καὶ σὲ μετὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι διότι μόνος αὐτὸς Θεός ἐστιν.

38. Ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆναι τὴν τοῦ Παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαίως ἐπηγμένην.

39. Ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς τούτῳ παρὰ τοὺς ἄλλους χειρίστως ἀπήντησε, πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ.

40. Καὶ οὗτος οὖν καθαρὸς τὸν βίον μετήλλαξε παντελῶς ἐπὶ τῷ Κυρίῳ πεποιθώς.

41. Ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησε.

42. Τὰ μὲν οὖν περὶ σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον δεδηλώσθω.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ἰούδας δὲ ὁ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρειςπορευόμενοι λεληθότως εἰς τὰς κώμας προςεκαλοῦντο τοὺς συγγενεῖς, καὶ τοὺς μεμενηκότας ἐν τῷ Ἰουδαϊσμῷ προςλαβόμενοι συνήγαγον εἰς ἑξακισχιλίους.

2. Καὶ ἐπεκαλοῦντο τὸν Κύριον ἐπιδεῖν ἐπὶ τὸν ὑπὸ πάντων καταπατούμενον λαὸν, οἰκτεῖραι δὲ καὶ τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων βεβηλωθέντα·

3. ἐλεῆσαι δὲ καὶ τὴν καταφθειρομένην πόλιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι, καὶ τῶν καταβοώντων πρὸς αὐτὸν αἱμάτων εἰςακοῦσαι·

4. μνησθῆναι δὲ καὶ τῆς τῶν ἀναμαρτήτων νηπίων παρανόμου ἀπωλείας, καὶ περὶ τῶν γενομένων εἰς τὸ ὄνομα αὐτοῦ βλασφημιῶν, καὶ μισοπονηρῆσαι.

5. Γενόμενος δὲ ἐν συστήματι ὁ Μακκαβαῖος ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν ἐγίνετο, τῆς ὀργῆς τοῦ Κυρίου εἰς ἔλεον τραπείσης.

6. Πόλεις δὲ καὶ κώμας ἀπροσδοκήτως ἐρχόμενος ἐνεπίμπρα, καὶ τοὺς ἐπικαίρους τόπους ἀπολαμβάνων οὐκ ὀλίγους τῶν πολεμίων ἐνίκα τροπούμενος.

7. Μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβουλὰς συνεργοὺς ἐλάμβανε. Καὶ λαλιά τις τῆς εὐανδρίας αὐτοῦ διεχεῖτο πανταχῇ.

8. Συνορῶν δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν ἐρχόμενον τὸν ἄνδρα, πυκνότερον δὲ ἐν ταῖς εὐημερίαις προβαίνοντα, πρὸς Πτολεμαῖον τὸν κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν.

9. Ὁ δὲ ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν πρώτων φίλων ἀπέστειλεν, ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐλάττους τῶν δισμυρίων, τὸ σύμπαν τῶν Ἰουδαίων ἐξᾶραι γένος. Συνέστησε δὲ αὐτῷ καὶ Γοργίαν ἄνδρα στρατηγὸν καὶ ἐν πολεμικαῖς χρείαις πεῖραν ἔχοντα.

10. Διεστήσατο δὲ ὁ Νικάνωρ τὸν φόρον τῷ βασιλεῖ τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων ἐκ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας ἐκπληρώσειν·

11. εὐθέως δὲ εἰς τὰς παραθαλασσίους πόλεις ἀπέστειλε, προςκαλούμενος ἐπ' ἀγορασμὸν Ἰουδαϊκῶν σω-

tentato, æternæ vitæ sub testamento Dei ceciderunt: tu vero judicio Dei justas superbiæ pœnas exsolves.

37. Ego autem, sicut fratres mei, et corpus et animam trado pro patriis legibus, invocans Deum maturius genti propitium fieri, teque cum tormentis et verberibus confiteri quod ipse est Deus solus.

38. In me vero et fratribus meis desinere Omnipotentis iram quæ super omne genus nostrum juste superducta est.

39. Tunc rex accensus ira in hunc super cæteros crudelissime desæviit, indigne ferens se derisum.

40. Et hic itaque mundus obiit per omnia in Domino confidens.

41. Novissime autem post filios mater consumpta est.

42. Quæ igitur ad sacrificia et nimias crudelitates hucusque declarata sint.

CAPUT VIII.

1. Judas vero Maccabæus et qui cum illo erant introibant latenter in castella et convocantes cognatos, et eos qui permanserant in Judaismo assumentes collegerunt ad sex mille viros.

2. Et invocabant Dominum ut respiceret in populum qui ab omnibus calcabatur, et misereretur etiam templo quod ab impiis hominibus erat contaminatum:

3. misereretur etiam exterminatæ civitati et quæ esset illico complananda, et sanguines ad se clamantes exaudiret:

4. memoraretur quoque iniquissimam mortem parvulorum innocentium, et blasphemias nomini suo illatas, et super sceleribus indignaretur.

5. At Maccabæus congregata multitudine intolerabilis jam gentibus efficiebatur, ira Domini in misericordiam conversa.

6. Et superveniens civitatibus et castellis improvisus succendebat eas, et opportuna loca occupans non paucas hostium strages dabat.

7. Maxime autem noctes ad hujuscemodi incursiones adjutrices assumebat. Et fama quædam virtutis ejus ubique diffundebatur.

8. Videns autem Philippus paulatim virum ad profectum venire, ac frequentius ei res cedere prospere, ad Ptolemæum ducem Cœlesyriæ et Phœnicis scripsit ut auxilium ferret regis negotiis.

9. At ille velociter deligens Nicanorem Patrocli de primoribus amicorum misit, subdens de permistis gentibus non minus viginti millibus, ut universum Judæorum genus deleret. Adjunxit autem ei et Gorgiam virum militarem et in bellicis rebus experientissimum.

10. Constituit autem Nicanor tributum quod a rege Romanis dandum erat duo millia talentorum de captivitate Judæorum supplere:

11. statimque ad maritimas civitates misit, convocans ad coemptionem Judaicorum mancipiorum, promittens se do-

 μάτων, ὑπισχνούμενον ἐνενήκοντα σώματα ταλάντου παραχωρήσειν· οὐ προσδεχόμενος τὴν παρὰ τοῦ Παντοκράτορος μέλλουσαν παρακολουθήσειν ἐπ' αὐτῷ δίκην.

12. Τῷ δὲ Ἰούδᾳ προσέπεσε περὶ τῆς τοῦ Νικάνορος ἐφόδου· καὶ μεταδόντος αὐτοῦ τοῖς σὺν αὐτῷ τὴν παρουσίαν τοῦ στρατοπέδου,

13. οἱ δειλανδροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ Θεοῦ δίκην διεδίδρασκον καὶ ἐξετόπιζον ἑαυτούς.

14. Οἱ δὲ τὰ περιλελειμμένα πάντα ἐπώλουν, ὁμοῦ δὲ τὸν Κύριον ἠξίουν ῥύσασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος πρὶν συντυχεῖν πεπραμένους·

15. καὶ εἰ μὴ δι' αὐτούς, ἀλλὰ διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν διαθήκας, καὶ ἕνεκεν τῆς ἐπ' αὐτοὺς ἐπικλήσεως τοῦ σεμνοῦ καὶ μηγαλοπρεποῦς ὀνόματος αὐτοῦ.

16. Συναγαγὼν δὲ ὁ Μακκαβαῖος τοὺς περὶ αὐτὸν ὄντας τὸν ἀριθμὸν ἑξακισχιλίους παρεκάλει μὴ καταπλαγῆναι τοὺς πολεμίους, μηδὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως παραγινομένων ἐπ' αὐτοὺς ἐθνῶν πολυπληθίαν, ἀγωνίσασθαι δὲ γενναίως,

17. πρὸ ὀφθαλμῶν λαβόντας τὴν ἀνόμως εἰς τὸν ἅγιον τόπον συντετελεσμένην ὑπ' αὐτῶν ὕβριν καὶ τὸν τῆς ἐμπεπαιγμένης πόλεως αἰκισμόν, ἔτι δὲ τὴν τῆς προγονικῆς πολιτείας κατάλυσιν.

18. Οἱ μὲν γὰρ ὅπλοις πεποίθασιν ἅμα καὶ τόλμαις, ἔφησεν, ἡμεῖς δὲ ἐπὶ τῷ παντοκράτορι Θεῷ, δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ' ἡμᾶς καὶ τὸν ὅλον κόσμον ἐν ἑνὶ νεύματι καταβαλεῖν, πεποίθαμεν.

19. Προσαναλεξάμενος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀντιλήψεις, καὶ τὴν ἐπὶ Σενναχηρεὶμ τῶν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων, ὡς ἀπώλοντο,

20. καὶ τὴν ἐν τῇ Βαβυλωνίᾳ τὴν πρὸς αὐτοὺς Γαλάτας παράταξιν γενομένην, ὡς οἱ πάντες ἐπὶ τὴν χρείαν ἦλθον ὀκτακισχίλιοι σὺν Μακεδόσι τετρακισχιλίοις, τῶν Μακεδόνων ἀπορουμένων, οἱ ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώλεσαν διὰ τὴν γενομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέλειαν πολλὴν ἔλαβον.

21. Ἐφ' οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑτοίμους ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀποθνήσκειν, τετραμερές τι τὸ στράτευμα ἐποίησε,

22. τάξας καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας τάξεως, Σίμωνα καὶ Ἰώσηφον καὶ Ἰωνάθαν, ὑποτάξας ἑκάστῳ χιλίους πρὸς τοῖς πεντακοσίοις.

23. Ἔτι δὲ καὶ Ἐλεάζαρον παραγνοὺς τὴν ἱερὰν βίβλον, καὶ δοὺς σύνθημα Θεοῦ βοηθείας, τῆς πρώτης σπείρας αὐτὸς προηγούμενος συνέβαλε τῷ Νικάνορι.

24. Γενομένου δὲ αὐτοῖς τοῦ Παντοκράτορος συμμάχου, κατέσφαξαν τῶν πολεμίων ὑπὲρ τοὺς ἐνναχισχιλίους, τραυματίας δὲ καὶ τοῖς μέλεσιν ἀναπήρους τὸ πλεῖστον μέρος τῆς τοῦ Νικάνορος στρατιᾶς ἐποίησαν, πάντας δὲ φυγεῖν ἠνάγκασαν·

25. τὰ δὲ χρήματα τῶν παραγεγονότων ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλαβον. Συνδιώξαντες δὲ αὐτοὺς ἐφ' ἱκανόν,

26. ἀνέλυσαν ὑπὸ τῆς ὥρας συγκλειόμενοι. Ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου, δι' ἣν αἰτίαν οὐχ ἐμακροθύμησαν κατατρέχοντες αὐτούς.

27. Ὁπλολογήσαντες δὲ αὐτοὺς καὶ τὰ σκῦλα ἐκδύ-

naginta mancipia talento traditurum . non respiciens ad vindictam quæ eum ab Omnipotente esset consecutura.

12. Judæ autem allatum fuit de Nicanoris adventu : et cum indicasset his qui secum erant exercitus adventum,

13. qui formidabant et non credebant Dei justitiæ diffugiebant et sese de loco removebant.

14. Alii vero quæ supererant omnia vendebant, simulque Dominum deprecabantur ut eriperet eos ab impio Nicanore priusquam cominus veniret venditos :

15. et si non propter eos, propter testamentum tamen quod erat ad patres eorum, et propter invocationem sancti et magnifici nominis ejus super ipsos.

16. Congregatis autem Maccabæus sex millibus qui cum ipso erant hortabatur ne terrerentur ab hostibus, neque metuerent inique venientium adversum se gentium multitudinem, sed fortiter contenderent,

17. ante oculos habentes contumeliam quæ loco sancto injuste ab his esset illata itemque ludibrio habitæ civitatis injuriam, adhuc etiam avitæ reipublicæ dissolutionem.

18. Nam illi quidem armis confidunt, ait, simul et audacia, nos autem in omnipotente Deo, qui potest et venientes adversum nos et universum mundum uno nutu delere, confidimus.

19. Admonens etiam eos et de auxiliis quæ facta sunt erga parentes, et de illo quod sub Sennacherim centum octoginta quinque millia perierunt,

20. et de prælio quod eis adversus Galatas fuit in Babylonia, quomodo omnes ad rem venerunt octo mille cum Macedonibus quatuor millibus, Macedonibus hæsitantibus, ipsi octo mille peremerunt centum viginti millia propter auxilium illis datum de cœlo, et utilitatem multam acceperunt.

21. His verbis cum benefidentes illos effecisset paratosque pro legibus et patria mori, quadripartitum exercitum fecit,

22. constituens etiam fratres suos duces utrique ordini, Simonem et Josephum et Jonathan, subjectis unicuique millenis et quingentenis.

23. Adhuc etiam cum jussisset Eleazarum legere sacrum librum, et dedisset tesseram adjutorii Dei, primæ aciei ipse dux commisit cum Nicanore.

24. Et facto sibi adjutore Omnipotente, interfecerunt super novem millia hostium, vulneratos autem et membris mutilos majorem partem exercitus Nicanoris fecerunt, omnes autem fugere compulerunt :

25. pecunias vero eorum qui ad emptionem ipsorum venerant tulerunt. Persecuti autem eos multum,

26. reversi sunt ab hora conclusi. Nam erat ante sabbatum, quam ob causam non diu perseveraverunt insequentes illos.

27. Arma autem ipsorum congregantes et spolia exuentes

σαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο, περισσῶς εὐλογοῦντες καὶ ἐξομολογούμενοι τῷ Κυρίῳ τῷ διασώσαντι αὐτοὺς εἰς τὴν ἡμέραν ταύτην, ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς.

28. Μετὰ δὲ τὸ σάββατον, τοῖς ἠκισμένοις καὶ ταῖς χήραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ τὰ παιδία ἐμερίσαντο.

29. Ταῦτα δὲ διαπραξάμενοι, καὶ κοινὴν ἱκετείαν ποιησάμενοι, τὸν ἐλεήμονα Κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὐτοῦ δούλοις.

30. Καὶ τῶν περὶ Τιμόθεον καὶ Βακχίδην συνεριζόντων ὑπὲρ τοὺς δισμυρίους αὐτῶν ἀνεῖλον, καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγένοντο, καὶ λάφυρα πλεῖστα ἐμερίσαντο, ἰσομοίρους ἑαυτοὺς καὶ τοῖς ἠκισμένοις καὶ ὀρφανοῖς καὶ χήραις, ἔτι δὲ καὶ πρεσβυτέροις ποιήσαντες.

31. Ὁπλολογήσαντες δὲ αὐτοὺς ἐπιμελῶς πάντα συνέθηκαν εἰς τοὺς ἐπικαίρους τόπους, τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν εἰς Ἱεροσόλυμα.

32. Τὸν δὲ φυλάρχην τῶν περὶ Τιμόθεον ἀνεῖλον, ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους ἐπιλελυπηκότα.

33. Ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι, τοὺς ἐμπρήσαντας τοὺς ἱεροὺς πυλῶνας, Καλλισθένην καί τινας ἄλλους, ὑφῆψαν εἰς ἓν οἰκίδιον πεφευγότας, οἵτινες ἄξιον τῆς δυσσεβείας ἐκομίσαντο μισθόν.

34. Ὁ δὲ τρισαλιτήριος Νικάνωρ, ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶσιν τῶν Ἰουδαίων ἀγαγὼν,

35. ταπεινωθεὶς ὑπὸ τῶν κατ' αὐτὸν νομιζομένων ἐλαχίστων εἶναι, τῇ τοῦ Κυρίου βοηθείᾳ, τὴν δοξικὴν ἀποθέμενος ἐσθῆτα, διὰ τῆς μεσογείου, δραπέτου τρόπον, ἔρημον ἑαυτὸν ποιήσας, ἧκεν εἰς Ἀντιόχειαν, ὑπεράγαν δυσημερήσας ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ.

36. Καὶ ὁ τοῖς Ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν Ἱεροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελλεν ὑπέρμαχον ἔχειν τὸν Θεὸν τοὺς Ἰουδαίους, καὶ διὰ τὸν τρόπον τοῦτον ἀτρώτους εἶναι τοὺς Ἰουδαίους, διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ' αὐτοῦ προτεταγμένοις νόμοις.

hostium sabbatum agebant, valde benedicentes et confitentes Domino qui liberavit eos in isto die, principium misericordiæ statuendo in eos.

28. Post sabbatum vero, debilibus et viduis et orphanis distribuerunt de spoliis, residua ipsi et pueri partiti sunt.

29. His itaque gestis, et communi facta obsecratione, misericordem Dominum postulabant ut in finem servis suis reconciliaretur.

30. Et ex his qui cum Timotheo et Bacchide erant contra se contendentes super viginti millia interfecerunt, et munitiones excelsas valde obtinuerunt, et plures prædas diviserunt, æquam secum portionem debilibus et pupillis et viduis, sed et senioribus facientes.

31. Et cum arma eorum collegissent diligenter omnia composuerunt in locis opportunis, residua vero spolia Jerosolymam detulerunt.

32. Et phylarchen qui cum Timotheo erat interfecerunt, virum scelestissimum et qui in multis Judæos afflixerat.

33. Et cum epinicia agerent in patria, eos qui sacras januas incenderunt, id est Callisthenem et quosdam alios, cum in quoddam domicilium refugissent, incenderunt, et dignam impietate reportavit mercedem.

34. Facinorosissimus autem Nicanor, qui mille negotiantes ad Judæorum venditionem adduxerat,

35. humiliatus auxilio Domini ab his quos nullos existimaverat, deposita veste gloriæ per mediterranea, fugitivi modo, solitarium se faciens, venit Antiochiam, summam infelicitatem de interitu exercitus consecutus.

36. Et qui promiserat Romanis se tributum restituere de eorum qui in Jerosolymis captivitate, prædicabat protectorem Deum habere Judæos, et hoc modo invulnerabiles esse Judæos, eo quod sequerentur leges ab ipso constitutas.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

1. Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυκὼς ἀκόσμως ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων.

2. Εἰσεληλύθει γὰρ εἰς τὴν λεγομένην Περσέπολιν, καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν πόλιν συνέχειν. Διὸ δὴ τῶν πληθῶν ὁρμησάντων ἐπὶ τὴν τῶν ὅπλων βοήθειαν, ἐτράπησαν· καὶ συνέβη τροπωθέντα τὸν Ἀντίοχον ὑπὸ τῶν ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι.

3. Ὄντι δὲ αὐτῷ κατ' Ἐκβάτανα προσέπεσε τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ Τιμόθεον γεγονότα.

4. Ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τὴν τῶν πεφυγαδευκότων αὐτὸν κακίαν εἰς τοὺς Ἰουδαίους ἐναπερείσασθαι· διὸ συνέταξε τὸν ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύειν τὴν πορείαν, τῆς ἐξ οὐρανοῦ δὴ κρίσεως συνούσης αὐτῷ. Οὕτω γὰρ ὑπερηφάνως εἶπε· Πολυάνδριον Ἰουδαίων Ἱεροσόλυμα ποιήσω παραγενόμενος ἐκεῖ.

5. Ὁ δὲ πανεπόπτης Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ. Ἄρτι δὲ

CAPUT IX.

1. Circa illud autem tempus Antiochus inhoneste revertebatur ex iis qui circa Persidem locis.

2. Intraverat enim in eam quæ dicitur Persepolis, et tentavit spoliare templa et civitatem opprimere. Sed multitudine ad armorum auxilium concurrente, in fugam versi sunt : et contigit ut fugatus Antiochus a regionis habitatoribus turpiter rediret.

3. Et cum esset Ecbatanis allata sunt quæ erga Nicanorem et Timotheum gesta sunt.

4. Elatus autem ira arbitrabatur se etiam illorum qui se fugaverant injuriam in Judæos retorquere : ideoque jussit aurigam sine intermissione agitantem expedire iter, cœlesti eum judicio jam perurgente. Sic enim superbe locutus erat : Congeriem sepulcri Judæorum faciam Jerosolymam cum illuc venero.

5. Sed qui universa conspicit Dominus Deus Israel percussit eum insanabili et invisibili plaga. Ut enim finivit hunc

αὐτοῦ καταλήξαντος τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγηδὼν, καὶ πικραὶ τῶν ἔνδον βάσανοι,

6. πάνυ δικαίως, τὸν πολλαῖς καὶ ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα. Ὁ δ' οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν·

7. ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐπεπλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς Ἰουδαίους, καὶ κελεύων ἐποξύνειν τὴν πορείαν. Συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος φερομένου ῥοίζῳ, καὶ δυσχερεῖ πτώματι περιπεσόντα πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι.

8. Ὁ δ' ἄρτι δοκῶν τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν, διὰ τὴν ὑπὲρ ἄνθρωπον ἀλαζονείαν, καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμενος ὕψη στήσειν, κατὰ γῆν γενόμενος ἐν φορείῳ παρεκομίζετο, φανερὰν τοῦ Θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύμενος,

9. ὥστε καὶ ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν, καὶ ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσι τὰς σάρκας αὐτοῦ διαπίπτειν, ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι τῇ σαπρίᾳ.

10. Καὶ τὸν μικρῷ πρότερον τῶν οὐρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐδύνατο, διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος.

11. Ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφανίας λήγειν ὑποτεθραυσμένος, καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι, θείᾳ μάστιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι.

12. Καὶ μηδὲ τῆς ὀσμῆς αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' ἔφη· Δίκαιον ὑποτάσσεσθαι τῷ Θεῷ, καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπερηφάνως.

13. Ηὔχετο δὲ ὁ μιαρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα Δεσπότην, οὕτω λέγων·

14. Τὴν μὲν ἁγίαν πόλιν, ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ πολυάνδριον οἰκοδομῆσαι, ἐλευθέραν ἀναδεῖξαι·

15. τοὺς δὲ Ἰουδαίους, οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶσαι, οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις, πάντας αὐτοὺς ἴσους Ἀθηναίοις ποιήσειν.

16. Ὃν δὲ πρότερον ἐσκύλευσεν ἅγιον νεὼν καλλίστοις ἀναθήμασι κοσμήσειν, καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν, τὰς δὲ ἐπιβαλλούσας πρὸς τὰς θυσίας συντάξεις ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν·

17. πρὸς δὲ τούτοις καὶ Ἰουδαῖον ἔσεσθαι, καὶ πάντα τόπον οἰκητὸν ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ Θεοῦ κράτος.

18. Οὐδαμῶς δὲ ληγόντων τῶν πόνων, ἐπεληλύθει γὰρ ἐπ' αὐτὸν δικαία ἡ τοῦ Θεοῦ κρίσις, τὰ κατ' αὐτὸν ἀπελπίσας ἔγραψε πρὸς τοὺς Ἰουδαίους τὴν ὑπογεγραμμένην ἐπιστολὴν, ἱκετηρίας τάξιν ἔχουσαν, περιέχουσαν δὲ οὕτως·

19. Τοῖς χρηστοῖς Ἰουδαίοις τοῖς πολίταις πολλὰ χαίρειν καὶ ὑγιαίνειν καὶ εὖ πράττειν, βασιλεὺς καὶ στρατηγὸς Ἀντίοχος.

20. Εἰ ἔῤῥωσθε, καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἐστὶν ὑμῖν, εὔχομαι μὲν τῷ Θεῷ τὴν μεγίστην χάριν, εἰς οὐρανὸν τὴν ἐλπίδα ἔχων.

21. Κἀγὼ δὲ ἀσθενῶς διεκείμην ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἂν ἐμνημόνευον φιλοστόργως. Ἐπανάγων ἐκ τῶν περὶ τὴν Περσίδα τόπων, καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν ἐχούσῃ, ἀναγκαῖον ἡγησάμην φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας.

ipsum sermonem, apprehendit eum dolor dirus viscerum, et amara internorum tormenta,

6. Valde juste, quippe qui multis et novis cruciatibus aliorum torserat viscera. Ille autem nullo modo ab insolentia cessabat :

7. adhuc autem et superbia repletus erat, ignem spirans animo in Judæos, et præcipiens accelerari iter. Contigit autem et cadere ipsum de curru qui impetu ferebatur, et gravi ruina decidentem omnibus corporis membris distorqueri.

8. Isque qui nuper sibi videbatur fluctibus maris imperare, supra humanum modum superbia repletus, et montium altitudines in statera putabat appendere, humiliatus ad terram in gestatorio portabatur, manifestam Dei virtutem omnibus contestans,

9. ita ut de corpore impii vermes etiam scaturirent, et viventis in doloribus et cruciatibus carnes ejus diffluerent, odore etiam illius universus exercitus gravaretur ob putredinem.

10. Et eum qui paulo ante sidera cœli se contingere arbitrabatur, eum nemo poterat propter intolerabilem odoris gravitatem portare.

11. Hic igitur cœpit a magnitudine superbiæ desistere vulneratus, et ad agnitionem venire, divino flagello per momenta singula doloribus suis augmenta capientibus.

12. Et cum nec ipse jam fœtorem suum ferre posset hæc ait : Justum est subditum esse Deo, et mortalem non paria Deo sentire superbe.

13. Orabat autem hic scelestus Dominum a quo non esset amplius misericordiam consecuturus, sic dicens :

14. Ipsam quidem sanctam civitatem, ad quam festinans veniebat ut eam ad solum deduceret ac sepulcrorum congeriem faceret, liberam redditurum :

15. Judæos autem, quos ne sepultura quidem se dignos habiturum, sed avibus devorandos una cum parvulis projecturum feris dixerat, omnes æquales Atheniensibus facturum :

16. templum etiam sanctum quod prius expoliaverat optimis donis ornaturum, et sacra vasa multipliciter omnia restituturum, et pertinentes ad sacrificia sumptus de reditibus suis præstiturum :

17. super hæc et Judæum se futurum, et omnem locum habitabilem perambulaturum prædicantem Dei potestatem.

18. Sed non cessantibus doloribus, supervenerat enim in eum justum Dei judicium, de se desperans scripsit ad Judæos subscriptam epistolam, deprecationis quidem modum habentem, hæc autem continentem :

29. Optimis Judæis civibus plurimam salutem et bene valere et esse felices, rex et princeps Antiochus.

20. Si bene valetis, et filii et vestra ex sententia vobis sunt, ago quidem Deo maximas gratias, in cœlo spem habens.

21. Et ego in infirmitate autem constitutus vestri honoris et benevolentiæ memor eram benigne. Reversus autem de Persidis locis, et in infirmitate gravi apprehensus, necessarium duxi communis omnium securitatis curam habere.

22. Οὐκ ἀπογινώσκων τὰ κατ' ἐμαυτὸν, ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν ἀσθένειαν.

23. Θεωρῶν δὲ ὅτι καὶ ὁ πατὴρ, καθ' οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν, ἀνέδειξε τὸν διαδεξόμενον,

24. ὅπως ἐάν τι παράδοξον ἀποβαίνῃ, ἢ καὶ προςαγγελθῇ τι δυςχερὲς, εἰδότες οἱ κατὰ τὴν χώραν ᾧ καταλέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσωνται·

25. πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας προσδεχομένους τὸ ἀποβησόμενον, ἀναδέδειχα τὸν υἱόν μου Ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις ὑμῶν παρακατετιθέμην καὶ συνίστων. Γέγραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα.

26. Παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ καὶ κατιδίαν, ἕκαστον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν μου.

27. Πέπεισμαι γὰρ αὐτὸν, ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει, συμπεριενεχθήσεσθαι ὑμῖν.

28. Ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος τὰ χείριστα παθὼν, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον.

29. Παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύντροφος αὐτοῦ· ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου, πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη.

22. Non desperans memetipsum, sed spme multam habens effugiendi infirmitatem.

23. Respiciens autem quod et pater meus, quibus temporibus in loca superiora duxit exercitum, declaravit successorem,

24. ut si quid præter opinionem accideret, aut etiam difficile quid nuntiaretur, scientes hi qui in regionibus cui esset rerum summa relicta, non turbarentur :

25. ad hæc autem considerans proximos dynastas et vicinos regno temporibus attendentes et eventum exspectantes, designavi filium meum Antiochum regem, quem sæpe recurrens in superiora regna multis vestrum deponebam et commendabam. Scripsi autem ad eum quæ subjecta sunt.

26. Oro itaque vos et peto, memores beneficiorum publice et privatim, ut unusquisque conservet præsentem benevolentiam ad me et filium meum.

27. Confido enim eum, modeste et humane sequentem propositum meum, conversaturum vobiscum.

28. Igitur homicida et blasphemus pessima passus, ut alios tractaverat, in peregrina terra in montibus misero obitu vita excessit.

29. Transferebat autem corpus Philippus collactaneus ejus : qui etiam metuens filium Antiochi, ad Ptolemæum Philometorem in Ægyptum abiit.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ Κυρίου προάγοντος αὐτοὺς, τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν,

2. τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον.

3. Καὶ τὸν νεὼν καθαρίσαντες ἕτερον θυσιαστήριον ἐποίησαν, καὶ πυρώσαντες λίθους, καὶ πῦρ ἐκ τούτων λαβόντες, ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον, καὶ θυμίαμα καὶ λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο.

4. Ταῦτα δὲ ποιήσαντες ἠξίωσαν τὸν Κύριον πεσόντες ἐπὶ κοιλίαν, μηκέτι περιπεσεῖν τοιούτοις κακοῖς, ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιεικείας παιδεύεσθαι, καὶ μὴ βλασφήμοις καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι.

5. Ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνὸς, ὅς ἐστι χασελεῦ.

6. Καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι.

7. Διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας ἔχοντες, ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον.

8. Ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τάςδε τὰς ἡμέρας.

CAPUT X.

1. Maccabæus autem et qui cum eo erant, Domino provehente eos, templum quidem et civitatem receperunt,

2. aras autem quas alienigenæ ad forum exstruxerant, itemque delubra demolitisunt.

3. Et purgato templo aliud altare fecerunt, et cum ignivissent lapides, et ex his ignem accepissent, sacrificium obtulerunt post biennium, et incensum et lucernas et panum propositionem fecerunt.

4. Quibus gestis rogaverunt Dominum prostrati super ventrem, ne amplius talibus malis inciderent, sed et si quando peccassent, ab ipso cum mansuetudine corriperentur, et non blasphemis ac barbaris gentibus traderentur.

5. Qua die autem templum ab alienigenis pollutum fuerat, contigit eadem die purificationem templi fieri, vigesima et quinta ejusdem mensis, qui est chasleu.

6. Et cum lætitia dies octo egerunt in modum tabernaculorum, recordantes quod ante modicum temporis diem solemnem tabernaculorum in montibus et in speluncis more bestiarum solitarii egerant.

7. Propter quod thyrsos et ramos virides, itemque palmas habentes, hymnos referebant ei qui prosperavit mundari locum suum.

8. Et decreverunt communi præcepto et decreto universæ genti Judæorum omnibus annis agere dies istos.

9. Καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προςαγορευθέντος Ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε.

10. Νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίοχον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον, δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ τῶν πολέμων κακά.

11. Αὐτὸς γὰρ παραλαβὼν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινὰ, κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον.

12. Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων, τὸ δίκαιον συντηρεῖν προηγούμενος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν, καὶ ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν.

13. Ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα, καὶ προδότης παρέκαστα ἀκούων, διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν, καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι, μήτ' εὐγενῆ τὴν ἐξουσίαν ἔχων, ὑπ' ἀθυμίας φαρμακεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον.

14. Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει, καὶ παρέκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει.

15. Ὁμοῦ δὲ τούτῳ καὶ οἱ Ἰδουμαῖοι, ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες, ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ Ἱεροσολύμων προςλαβόμενοι πολεμοτροφεῖν ἐπεχείρουν.

16. Οἱ δὲ περὶ τὸν Μακκαβαῖον ποιησάμενοι λιτανίαν, καὶ ἀξιώσαντες τὸν Θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν Ἰδουμαίων ὀχυρώματα ὥρμησαν,

17. οἷς καὶ προσβαλόντες εὐρώστως ἐγκρατεῖς ἐγένοντο τῶν τόπων, πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύναντο, κατέσφαζον δὲ τοὺς ἐμπίπτοντας· ἀνεῖλον δὲ οὐχ ἧττον τῶν δισμυρίων.

18. Συμφυγόντων δὲ οὐκ ἔλαττον τῶν ἐνναχισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα, καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας,

19. ὁ Μακκαβαῖος εἰς ἐπείγοντας τόπους, ἀπολιπὼν Σίμωνα καὶ Ἰώσηφον, ἔτι δὲ καὶ Ζακχαῖον καὶ τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη.

20. Οἱ δὲ περὶ τὸν Σίμωνα, φιλαργυρήσαντες, ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυριάδας δραχμὰς λαβόντες εἴασάν τινας διαῤῥυῆναι.

21. Προςαγγελθέντος δὲ τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυρίου πεπράκασι τοὺς ἀδελφοὺς, τοὺς πολεμίους κατ' αὐτῶν ἀπολύσαντες.

22. Τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτεινε, καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο.

23. Τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος, ἀπώλεσεν τοῖς δυσὶν ὀχυρώμασιν πλείους τῶν δισμυρίων.

24. Τιμόθεος δὲ, ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν Ἰουδαίων, συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς, καὶ τοὺς τῆς Ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν ὡς δοριάλωτον ληψόμενος τὴν Ἰουδαίαν.

25. Οἱ δὲ περὶ τὸν Μακκαβαῖον, συνεγγίζοντος αὐτοῦ, πρὸς ἱκετείαν τοῦ Θεοῦ ἐτράπησαν, γῇ τὰς κεφαλὰς καταπάσαντες, καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες,

26. ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα προς-

9. Et Antiochi quidem qui appellatus est Nobilis vitæ excessus ita se habuit.

10. Nunc autem quæ ad Antiochum Eupatorem pertinent, qui quidem impii filius fuit, narrabimus, ipsa breviantes bellorum mala.

11. Hic enim suscepto regno constituit super negotia Lysiam quemdam, Cœlesyriæ et Phœnicis ducem primarium.

12. Nam Ptolemæus qui dicebatur Macer, justitiam conservare eligens erga Judæos propter iniquitatem quæ facta erat in eos, etiam conabatur quæ ad illos pertinebant pacifice transigere.

13. Unde accusatus ab amicis apud Eupatorem, et frequenter proditor audiens, eo quod Cyprum creditam sibi a Philometore deseruisset, et ad Antiochum Nobilem transisset, neque nobilem potestatem habens, præ tristitia veneno sumpto vitam reliquit.

14. Gorgias autem cum esset dux locorum, assumptis advenis, assidue contra Judæos bellum nutriebat.

15. Simul autem cum hoc et Idumæi, qui tenebant opportunas munitiones, exercebant Judæos, et fugatos ab Jerosolymis suscipientes bellum nutrire tentabant.

16. Hi vero qui erant cum Maccabæo facientes supplicationem, et Deum rogantes ut esset sibi adjutor, impetum fecerunt in munitiones Idumæorum,

17. quibus et insistentes multa vi loca obtinuerunt, omnesque qui in muro pugnabant ulti sunt, accurrentes autem interemerunt: interfecerunt autem non minus viginti millibus.

18. Cum autem confugissent non minus novem millibus in duas turres valde munitas, et omnia quæ adversus expugnationem habentes,

19. Maccabæus, ad eorum expugnationem relicto Simone et Josepho, itemque Zacchæo eisque qui cum ipso erant satis multis, ipse ad loca quæ perurgebant conversus est.

20. Hi vero qui cum Simone erant, argenti cupiditate ducti, a quibusdam qui in turribus erant suasi sunt pecunia: et septuaginta millibus drachmis acceptis dimiserunt quosdam effugere.

21. Cum autem Maccabæo nuntiatum esset quod factum est, principibus populi congregatis accusavit quod pecunia fratres vendidissent, adversariis contra eos dimissis.

22. Hos igitur proditores factos interfecit, et confestim duas turres occupavit.

23. Armis autem omnia in manibus prospere agens, in duabus munitionibus plusquam viginti millia peremit.

24. At Timotheus, qui prius a Judæis fuerat superatus, convocato magno exercitu peregrinæ multitudinis, et congregato Asiano equitatu non pauco, advenit quasi armis Judæam capturus.

25. Maccabæus autem et qui cum ipso erant, appropinquante illo, ad supplicationem Dei se verterunt, caput terra aspergentes, lumbosque ciliciis præcincti,

26. ad eam quæ est ante altare crepidinem provoluti, ro-

πεσόντες, ἠξίουν ἵλεων αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος διασαφεῖ.

27. Γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα, προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις ἐφ' ἑαυτῶν ἦσαν.

28. Ἄρτι δὲ τῆς ἀνατολῆς διαδεχομένης προσέβαλον ἑκάτεροι· οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν Κύριον καταφυγὴν, οἱ δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν.

29. Γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ' ἵππων χρυσοχαλίνων ἄνδρες πέντε διαπρεπεῖς, καὶ ἀφηγούμενοι τῶν Ἰουδαίων οἱ δύο,

30. καὶ τὸν Μακκαβαῖον μέσον λαβόντες, καὶ σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις ἄτρωτον διεφύλαττον· εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξεῤῥίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ κατεκόπτοντο ταραχῆς πεπληρωμένοι.

31. Κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακοσίοις, ἱππεῖς δὲ ἑξακόσιοι.

32. Αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ Χαιρέου.

33. Οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἄσμενοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας.

34. Οἱ δὲ ἔνδον, τῇ ἐρυμνότητι τοῦ τόπου πεποιθότες, ὑπεράγαν ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους προΐοντο.

35. Ὑποφαινούσης δὲ τῆς πέμπτης ἡμέρας, εἴκοσι νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον, πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς βλασφημίας, προσβαλόντες τῷ τείχει, ἀῤῥενωδῶς καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον.

36. Ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπίμπρων τοὺς πύργους, καὶ πυρὰς ἀνάψαντες ζῶντας τοὺς βλασφήμους κατέκαιον.

37. Οἱ δὲ τὰς πύλας διέκοπτον, εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο τὴν πόλιν, καὶ τὸν Τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέσφαξαν καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνη.

38. Ταῦτα δὲ διαπραξάμενοι, μεθ' ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ Κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν Ἰσραὴλ, καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Μετ' ὀλίγον δὲ παντελῶς χρόνον Λυσίας ἐπίτροπος τοῦ βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων, λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι,

2. συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν ἵππον πᾶσαν, παρεγένετο ἐπὶ τοὺς Ἰουδαίους, λογιζόμενος τὴν μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν,

3. τὸ δὲ ἱερὸν ἀργυρολόγητον, καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρατὴν δὲ τὴν ἀρχιερωσύνην κατ' ἔτος ποιήσειν,

4. οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ Θεοῦ κράτος, πεφρενωμένος δὲ ταῖς μυριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱππέων καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα.

5. Εἰσελθὼν δὲ εἰς τὴν Ἰουδαίαν καὶ συνεγγίσας τῷ Βαιθσούρᾳ, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, ἀπὸ δὲ Ἱεροσολύμων ἀπέχοντι ὡσεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν.

gabant ut propitius sibi factus inimicis ipsorum esset inimicus, et adversariis adversaretur, sicut lex dicit.

27. Et ita post orationem, sumptis armis, longius de civitate processerunt : proximi autem hostibus effecti resederunt.

28. Primo autem solis ortu utrique commiserunt : isti quidem prosperitatis et victoriæ sponsorem cum virtute refugium in Dominum habentes, illi autem ducem certaminum statuentes furorem.

29. Sed cum vehemens pugna esset, apparuerunt adversariis de cœlo viri quinque in equis auro frænatis decori, et ducatum Judæis præstantes duo,

30. et Maccabæum assumentes medium, et armis suis tegentes invulneratum conservabant : in adversarios autem tela et fulmina jaciebant : ex quo cæcitate confusi intercidebantur repleti perturbatione.

31. Interfecti sunt autem viginti millia quingenti, et equites sexcenti.

32. Ipse vero Timotheus confugit in Gazaram dictum præsidium, valde munitum, cui præerat Chæreas.

33. Maccabæus autem et qui cum eo erant lætantes obsederunt præsidium diebus quatuor.

34. At hi qui intus erant, loci firmitate confisi, supra modum blasphemabant et sermones nefandos jactabant.

35. Sed cum dies quinta illucesceret, viginti juvenes ex his qui cum Maccabæo erant, accensi animis propter blasphemias, viriliter accesserunt ad murum, et feroci animo occurrentem cædebant.

36. Sed et alii similiter ascendentes in circumflexione adversus eos qui intus erant, incendebant turres, et pyras incendentes ipsos blasphemos vivos concremarunt.

37. Alii autem portas interciderunt, et intromittentes reliquam aciem occupaverunt civitatem, et Timotheum occultantem se in quodam lacu peremerunt et fratrem illius Chæream et Apollophanem.

38. Quibus gestis, cum hymnis et confessionibus benedicebant Dominum qui magnifice benefaciebat Israel, et victoriam ipsis dabat.

CAPUT XI.

1. Sed parvo prorsus post tempore Lysias procurator regis et propinquus ac negotiorum præpositus, valde graviter ferens de his quæ acciderant,

2. congregatis octoginta circiter millibus et equitatu universo, veniebat adversum Judæos, existimans se civitatem quidem Græcis habitaculum facturum,

3. templum vero in pecuniæ quæstum, sicut cætera delubra gentium, venale autem per singulos annos summum sacerdotium facturum,

4. nusquam recogitans Dei potestatem, sed mente effrænatus ob myriades peditum et millia equitum et elephantos octoginta.

5. Ingressus autem Judæam et appropians Bæthsuræ, munito quidem loco, distanti autem ab Jerosolyma quasi stadiis quinque, illud vexabat.

6. Ὡς δὲ μετέλαβον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώματα, μετ' ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν Κύριον, ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ἰσραήλ.

7. Αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προετρέψατο τοὺς ἄλλους ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς αὐτῶν.

8. Ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. Αὐτόθι δὲ καὶ πρὸς τοῖς Ἱεροσολύμοις ὄντων, ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι, πανοπλίαν χρυσῆν κραδαίνων.

9. Ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα Θεὸν, καὶ ἐπεῤῥώσθησαν ταῖς ψυχαῖς, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ θῆρας τοὺς ἀγριωτάτους, καὶ σιδηρᾶ τείχη τιτρώσκειν ὄντες ἕτοιμοι.

10. Προσῆγον ἐν διασκευῇ τὸν ἀπ' οὐρανοῦ σύμμαχον ἔχοντες, ἐλεήσαντος αὐτοὺς τοῦ Κυρίου.

11. Λεοντηδὸν δὲ ἐντινάξαντες εἰς τοὺς πολεμίους κατέστρωσαν αὐτῶν χιλίους πρὸς τοῖς μυρίοις, ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις·

12. τοὺς δὲ πάντας ἠνάγκασαν φυγεῖν· οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διεσώθησαν· καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων διεσώθη.

13. Οὐκ ἄνους δὲ ὑπάρχων, πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ ἑαυτὸν ἐλάσσωμα, καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς Ἑβραίους, τοῦ πάντα δυναμένου Θεοῦ συμμαχοῦντος αὐτοῖς, προςαποστείλας,

14. ἔπεισε συλλύσεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις καὶ διότι καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς ἀναγκάζειν γενέσθαι.

15. Ἐπένευσε δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν οἷς ὁ Λυσίας παρεκάλει, τοῦ συμφέροντος φροντίζων. Ὅσα γὰρ ὁ Μακκαβαῖος ἐπέδωκε τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν Ἰουδαίων, συνεχώρησεν ὁ βασιλεύς.

16. Ἦσαν γὰρ αἱ γεγραμμέναι τοῖς Ἰουδαίοις ἐπιστολαὶ, παρὰ μὲν Λυσίου, περιέχουσαι τὸν τρόπον τοῦτον· Λυσίας τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν.

17. Ἰωάννης καὶ Ἀβεσσαλὼμ οἱ πεμφθέντες παρ' ὑμῶν, ἐπιδόντες τὸν ὑπογεγραμμένον χρηματισμὸν, ἠξίουν περὶ τῶν δι' αὐτοῦ σημαινομένων.

18. Ὅσα μὲν οὖν ἔδει καὶ τῷ βασιλεῖ προςενεχθῆναι, διεσάφησα· ἃ δὲ ἦν ἐνδεχόμενα, συνεχώρησεν.

19. Ἐὰν μὲν οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα εὔνοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ὑμῖν ἀγαθῶν γενέσθαι.

20. Ὑπὲρ δὲ τῶν κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ τοῖς παρ' ἐμοῦ διαλεχθῆναι ὑμῖν.

21. Ἔῤῥωσθε. Ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, διοςκορινθίου εἰκοστῇ τετάρτῃ.

22. Ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ περιεῖχεν οὕτως· Βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν.

23. Τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος, βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταράχους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν,

24. ἀκηκοότες τοὺς Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ τὰ Ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας, καὶ διὰ τοῦτο ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νόμιμα αὐτῶν·

25. αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταρα-

6. Ut autem Maccabæus et qui cum eo erant cognoverunt expugnari ab illo præsidia, cum fletu et lacrymis rogabant una cum turbis Dominum, ut bonum angelum mitteret ad salutem Israel.

7. Et ipse primus Maccabæus sumptis armis cæteros exhortatus est simul secum periculum subire et ferre auxilium fratribus suis.

8. Pariter autem et prompto animo processerunt. Ibidem vero cum etiam apud Jerosolymam essent, apparuit præcedens eos eques in veste candida, armaturam auream vibrans.

9. Tunc omnes simul benedixerunt misericordem Deum, et convaluerunt animis, non solum homines sed et bestias ferocissimas, et muros ferreos parati ferire.

10. Ibant prompti de cœlo habentes adjutorem, miserante super eos Domino.

11. Leonum autem more irruentes in hostes prostraverunt ex eis undecim millia, equitum vero mille sexcentos :

12. universos autem in fugam verterunt : plures autem ex eis vulnerati nudi evaserunt : sed et ipse Lysias turpiter fugiens evasit.

13. Et quia non insensatus erat, secum ipse reputans factam circa se diminutionem, et intelligens invictos esse Hebræos, omnipotente Deo auxilium eis ferente, misit ad eos,

14. persuasitque se consensurum omnibus quæ justa sunt ideoque regem etiam compulsurum amicum fieri.

15. Annuit autem Maccabæus precibus Lysiæ, in omnibus utilitati consulens. Quæcumque enim Maccabæus tradidit Lysiæ per scripta de Judæis, ea rex concessit.

16. Nam erant scriptæ Judæis epistolæ, a Lysia si quidem, hunc modum continentes : Lysias populo Judæorum salutem.

17. Joannes et Abessalom qui missi fuerant a vobis, tradentes subscriptum responsum, rogabant pro iis quæ per illud significabantur.

18. Quæcumque igitur regi etiam oportebat perferri, exposui : quæ autem res permittebat, concessit.

19. Si igitur in negotiis fidem conservaveritis, et deinceps bonorum vobis causa esse tentabo.

20. De singulis autem quibusque rebus mandavi et istis et his qui missi sunt a me colloqui vobiscum.

21. Benevalete. Anno centesimo quadragesimo octavo, dioscorinthii die vigesima quarta.

22. Regis autem epistola hæc continebat : Rex Antiochus Lysiæ fratri salutem.

23. Patre nostro inter deos translato, nos volentes eos qui sunt in regno sine tumultu degentes rebus suis adhibere diligentiam,

24. cum audissemus Judæos non consentire ei quæ a patre jussa fuit ad Græcorum ritum translationi, sed tenere velle suum institutum, ac propterea postulare concedi sibi legitima sua :

25. volentes igitur hanc quoque gentem quietam esse,

χῆς εἶναι, κρίνομεν τό, τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι, καὶ πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη.

26. Εὖ οὖν ποιήσεις διαπεμψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμετέραν προαίρεσιν εὔθυμοί τε ὦσι καὶ ἡδέως διαγίνωνται πρὸς τὴν τῶν ἰδίων ἀντίληψιν.

27. Πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιαύτη ἦν· Βασιλεὺς Ἀντίοχος τῇ γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν.

28. Εἰ ἔῤῥωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν.

29. Ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις.

30. Τοῖς οὖν καταπορευομένοις μέχρι τριακάδος ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας,

31. Χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι καὶ νόμοις καθὰ καὶ τὸ πρότερον, καὶ οὐδεὶς αὐτῶν κατ' οὐδένα τρόπον παρενοχληθήσεται περὶ τῶν ἠγνοημένων.

32. Πέπομφα δὲ καὶ τὸν Μενέλαον παρακαλέσοντα ὑμᾶς.

33. Ἔῤῥωσθε. Ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ.

34. Ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχουσαν οὕτως· Κόϊντος Μέμμιος, Τίτος Μάνλιος, πρεσβῦται Ῥωμαίων, τῷ δήμῳ τῶν Ἰουδαίων χαίρειν.

35. Ὑπὲρ ὧν Λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑμῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν.

36. Ἃ δὲ ἔκρινε προςανενεχθῆναι τῷ βασιλεῖ, πέμψατέ τινα παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων, ἵνα ἐκθῶμεν ὡς καθήκει ὑμῖν. Ἡμεῖς γὰρ προςάγομεν πρὸς Ἀντιόχειαν.

37. Διὸ σπεύσατε, καὶ πέμψατέ τινας, ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώμης.

38. Ὑγιαίνετε. Ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Γενομένων τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυσίας ἀπῄει πρὸς τὸν βασιλέα, οἱ δὲ Ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο.

2. Τῶν δὲ κατὰ τόπον στρατηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίου, ἔτι δὲ Ἱερώνυμος καὶ Δημοφῶν, πρὸς δὲ τούτοις Νικάνωρ ὁ Κυπριάρχης, οὐκ εἴων αὐτοὺς εὐσταθεῖς καὶ τὰ τῆς ἡσυχίας ἄγειν.

3. Ἰοππῖται δὲ τηλικοῦτο συνετέλεσαν τὸ δυςσέβημα· παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἰουδαίους ἐμβῆναι εἰς τὰ παρασταθέντα ὑπ' αὐτῶν σκάφη σὺν γυναιξὶ καὶ τέκνοις, ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς αὐτοὺς δυςμενείας,

4. κατὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα καὶ τούτων ἐπιδεξαμένων, ὡς ἂν εἰρηνεύειν θελόντων καὶ μηδὲν ὕποπτον ἐχόντων, ἐπαναχθέντας αὐτοὺς ἐβύθισαν, ὄντας οὐκ ἔλαττον τῶν διακοσίων.

5. Μεταλαβὼν δὲ Ἰούδας τὴν γεγονυῖαν εἰς τοὺς ὁμοεθνεῖς ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδράσι, καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν Θεόν,

judicamus et templum restitui illis, et ut agant secundum suorum majorum consuetudinem.

26. Bene igitur feceris si miseris ad eos et dexteram dederis, ut cognita nostra voluntate et bono animo sint et jucunde rebus propriis deserviant.

27. Ad gentem vero ipsam regis epistola talis erat : Rex Antiochus senatui Judæorum et cæteris Judæis salutem.

28. Si valetis, sic est ut volumus : sed et ipsi bene valemus.

29. Significavit nobis Menelaus velle vos descendere et esse cum propriis.

30. His igitur qui commeant usque ad diem trigesimum mensis xanthici erit dextera cum securitate,

31. ut Judæi utantur cibis et legibus suis sicut et prius, et nemo eorum ullo modo molestiam patiatur de his quæ per ignorantiam gesta sunt.

32. Misi autem et Menelaum qui vos alloquatur.

33. Valete. Anno centesimo quadragesimo octavo, xanthici mensis quintadecima die.

34. Miserunt autem etiam Romani ad eos epistolam ita habentem : Quintus Memmius, Titus Manlius, legati Romanorum, populo Judæorum salutem.

35. De his quæ Lysias cognatus regis concessit vobis, et nos consentimus.

36. De quibus autem ad regem judicavit referendum, confestim aliquem mittite consideraturum de his, ut decernamus sicut congruit vobis. Nos enim Antiochiam accedimus.

37. Ideo festinate, et mittite aliquos, ut nos quoque sciamus cujus estis voluntatis.

38. Valete. Anno centesimo quadragesimo octavo, quinta decima die mensis xanthici.

CAPUT XII.

1. His autem factis pactionibus, Lysias quidem pergebat ad regem, Judæi autem agriculturæ operam dabant.

2. Ex ducibus autem qui erant per loca Timotheus et Apollonius Gennæi filius, sed et Hieronymus et Demophon, præter hos autem Nicanor Cypriarches, non sinebant eos in quiete agere et silentio.

3. Joppitæ vero tale quoddam flagitium perpetraverunt : cum rogassent eos qui secum habitabant Judæos ascendere in paratas ab ipsis scaphas cum uxoribus et filiis, quasi nullis inimicitiis erga eos subjacentibus,

4. secundum autem commune decretum civitatis et his acquiescentibus, tamquam pacifice agere volentibus nihilque suspectum habentibus, eos cum in altum processissent submerserunt, cum essent non minus ducentis.

5. Quam crudelitatem Judas in suæ gentis homines factam ut cognovit, præcipiens viris qui erant cum ipso, et invocato justo judice Deo,

6. παρεγένετο ἐπὶ τοὺς μιαιφόνους τῶν ἀδελφῶν· καὶ τὸν μὲν λιμένα νύκτωρ ἐνέπρησε, καὶ τὰ σκάφη κατέφλεξε, τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέντησε.

7. Τοῦ δὲ χωρίου συγκλεισθέντος, ἀνέλυσεν ὡς πάλιν ἥξων καὶ τὸ σύμπαν τῶν Ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα.

8. Μεταλαβὼν δὲ καὶ τοὺς ἐν Ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βουλομένους τρόπον τοῖς παροικοῦσιν Ἰουδαίοις,

9. καὶ τοῖς Ἰαμνίταις νυκτὸς ἐπιβαλὼν, ὑφῆψε τὸν λιμένα σὺν τῷ στόλῳ, ὥστε φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ἱεροσόλυμα, σταδίων ὄντων διακοσίων τεσσαράκοντα.

10. Ἐκεῖθεν δὲ ἀποσπασθέντων σταδίους ἐννέα, ποιουμένων τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον, προσέβαλον Ἄραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχιλίων, ἱππεῖς δὲ πεντακόσιοι·

11. γενομένης δὲ καρτερᾶς μάχης, καὶ τῶν περὶ τὸν Ἰούδαν διὰ τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν εὐημερησάντων, ἐλαττωθέντες οἱ Νομάδες Ἄραβες ἠξίουν δοῦναι τὸν Ἰούδαν δεξιὰν αὐτοῖς, ὑπισχνούμενοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν αὐτούς.

12. Ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς αὐτοὺς χρησίμους, ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς· καὶ λαβόντες δεξιὰς εἰς τὰς σκηνὰς αὐτῶν ἐχωρίσθησαν.

13. Ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν καὶ τείχεσι περιπεφραγμένην, καὶ παμμιγέσιν ἔθνεσι κατοικουμένην, ὄνομα δὲ Κάσπιν.

14. Οἱ δ' ἔνδον, πεποιθότες τῇ τῶν τειχέων ἐρυμνότητι, τῇ τε τῶν βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο, τοῖς περὶ τὸν Ἰούδαν λοιδοροῦντες καὶ προσέτι βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις.

15. Οἱ δὲ περὶ τὸν Ἰούδαν, ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ κριῶν καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν Ἱεριχὼ κατὰ τοὺς Ἰησοῦ χρόνους, ἐνέσεισαν θηριωδῶς τῷ τείχει.

16. Καταλαβόμενοί τε τὴν πόλιν τῇ τοῦ Θεοῦ θελήσει, ἀμυθήτους ἐποιήσαντο σφαγὰς, ὥστε τὴν παρακειμένην λίμνην, τὸ πλάτος ἔχουσαν σταδίων δύο, κατάῤῥυτον αἵματι πεπληρωμένην φαίνεσθαι.

17. Ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους πεντήκοντα διήνυσαν εἰς τὸν Χάρακα, πρὸς τοὺς λεγομένους Τουβιήνους Ἰουδαίους.

18. Καὶ Τιμόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλαβον, ἄπρακτόν τε ἀπὸ τῶν τόπων ἐκλελυκότα, καταλελοιπότα δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ μάλα ὀχυράν.

19. Δωσίθεος δὲ καὶ Σωσίπατρος, τῶν περὶ τὸν Μακκαβαῖον ἡγεμόνων, ἐξοδεύσαντες ἀπώλεσαν τοὺς ὑπὸ Τιμοθέου καταλειφθέντας ἐν τῷ ὀχυρώματι πλείους τῶν μυρίων ἀνδρῶν.

20. Ὁ δὲ Μακκαβαῖος, διατάξας τὴν ἑαυτοῦ στρατιὰν σπειρηδὸν, κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν, καὶ ἐπὶ τὸν Τιμόθεον ὥρμησεν ἔχοντα περὶ αὐτὸν μυριάδας δώδεκα πεζῶν, ἱππεῖς δὲ χιλίους πρὸς τοῖς πεντακοσίοις.

21. Τὴν δὲ ἔφοδον μεταλαβὼν Ἰούδα, ὁ Τιμόθεος προσεξαπέστειλε τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν ἄλλην ἀποσκευὴν εἰς τὸ λεγόμενον Καρνίον. Ἦν γὰρ

6. venit adversus interfectores fratrum : et portum quidem nocte succendit, et scaphas exussit, eos autem qui illuc refugerant peremit.

7. Ipsa autem regione* conclusa, discessit quasi iterum reversurus et universam Joppitarum rempublicam eradicaturus.

8. Sed cum cognovisset et eos qui erant Jamniæ velle pari modo facere habitantibus secum Judæis,

9. Jamnitis quoque nocte supervenit, et portum cum navibus succendit, ita ut lumen ignis appareret Jerosolymis, ab stadiis ducentis quadraginta.

10. Inde autem cum abiissent novem stadiis, et iter facerent contra Timotheum, commiserunt cum eo Arabes non pauciores quinque millibus, et equites quingenti :

11. cumque pugna valida facta esset, et his qui circa Judam auxilio Dei prospere cessisset, victi Nomades Arabes petebant a Juda dextras sibi dari, promittentes se et pascua daturos et in cæteris profuturos ipsis.

12. Judas autem arbitratus vere in multis eos utiles concessit pacem acturum se cum iis : dextrisque acceptis discessere ad tabernacula sua.

13. Aggressus est autem et civitatem quamdam firmam pontibus murisque circumseptam, quæ a turbis habitabatur gentium promiscuarum, cui nomen Caspis.

14. Hi vero qui intus erant, confidentes in stabilitate murorum, apparatu alimoniarum, remissius agebant, maledictis lacessentes Judam et præterea blasphemantes et loquentes quæ fas non est.

15. Qui autem circa Judam erant, invocato magno mundi principe, qui sine arietibus et machinis temporibus Jesu præcipitavit Jericho, irruerunt ferociter in muros.

16. Et capta civitate per Dei voluntatem, innumerabiles cædes fecerunt, ita ut adjacens stagnum, stadiorum duorum latitudinis, repletum sanguine fluere videretur.

17. Inde autem discedentes stadia septingenta quinquaginta venerunt in Characa, ad eos qui dicuntur Tubieni Judæos.

18. Et Timotheum quidem in illis locis non comprehenderunt, nullis rebus gestis tunc a locis illis regressum, relicto autem in quodam loco firmissimo præsidio.

19. Dositheus autem et Sosipater, ex iis ducibus qui cum Maccabæo, exeuntes peremerunt a Timotheo relictos in præsidio plures quam decem millia viros.

20. At Maccabæus, ordinato exercitu suo per cohortes, constituit eos super cohortes, et adversus Timotheum processit habentem secum centum viginti millia peditum, equitumque duo millia quingentos.

21. Cognito autem Judæ adventu, Timotheus præmisit mulieres et filios et reliquum apparatum in locum qui Car-

δυςπολιόρκητον καὶ δυςπρόςιτον τὸ χωρίον διὰ τὴν τῶν πάντων τῶν τόπων στενότητα.

22. Ἐπιφανείσης δὲ τῆς Ἰούδα σπείρας πρώτης, καὶ γενομένου δέους ἐπὶ τοὺς πολεμίους, φόβου τε ἐκ τῆς τοῦ πάντα ἐφορῶντος ἐπιφανείας γενομένου ἐπ' αὐτούς, εἰς φυγὴν ὥρμησαν, ἄλλος ἀλλαχῇ φερόμενος, ὥςτε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι, καὶ ταῖς τῶν ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι.

23. Ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώτερον Ἰούδας, συγκεντῶν τοὺς ἀλιτηρίους, διέφθειρέ τε εἰς μυριάδας τρεῖς ἀνδρῶν.

24. Αὐτὸς δὲ ὁ Τιμόθεος ἐμπεσὼν τοῖς περὶ τὸν Δωσίθεον καὶ Σωσίπατρον ἠξίου μετὰ πολλῆς γοητείας ἐξαφεῖναι σῶον αὐτόν· διὰ τὸ πλειόνων μὲν γονεῖς, ὧν δὲ ἀδελφοὺς ἔχειν, καὶ τούτους ἀλογηθῆναι συμβήσεται εἰ ἀποθάνοι.

25. Πιστώσαντος δὲ αὐτοῦ διὰ πλειόνων τὸν ὁρισμόν, ἀποκαταστήσειν τούτους ἀπημάντους, ἀπέλυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας.

26. Ἐξελθὼν δὲ ἐπὶ τὸ Καρνίον καὶ τὸ Ἀταργατεῖον κατέσφαξε μυριάδας σωμάτων δύο καὶ πεντακιςχιλίους.

27. Καὶ μετὰ τὴν τούτων τροπὴν καὶ ἀπώλειαν ἐπεστράτευσεν Ἰούδας καὶ ἐπὶ Ἐφρὼν πόλιν ὀχυράν, ἐν ᾗ κατῴκει Λυσίας καὶ πάμφυλα πλήθη. Νεανίαι δὲ πρὸ τῶν τειχῶν κατεστῶτες ῥωμαλέοι ἀπεμάχοντο εὐρώστως, ἐνθάδε ὀργάνων καὶ βελῶν πολλαὶ παραθέσεις ὑπῆρχον.

28. Ἐπικαλεσάμενοι δὲ τὸν Δυνάστην, τὸν μετὰ κράτους συντρίβοντα τὰς τῶν πολεμίων ἀλκάς, ἔλαβον τὴν πόλιν ὑποχείριον, καὶ κατέστρωσαν τῶν ἔνδον εἰς μυριάδας δύο καὶ πεντακιςχιλίους.

29. Ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν ἐπὶ Σκυθῶν πόλιν, ἀπέχουσαν ἀπὸ Ἱεροσολύμων σταδίους ἑξακοσίους.

30. Ἀπομαρτυρησάντων δὲ τῶν ἐκεῖ κατοικούντων Ἰουδαίων, ἣν οἱ Σκυθοπολῖται ἔσχον πρὸς αὐτοὺς εὔνοιαν, καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν ἐποιοῦντο,

31. εὐχαριστήσαντες αὐτοῖς καὶ προςπαρακαλέσαντες καὶ εἰς τὰ λοιπὰ πρὸς τὸ γένος εὐμενεῖς εἶναι, παρεγένοντο εἰς Ἱεροσόλυμα τῆς τῶν ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου.

32. Μετὰ δὲ τὴν λεγομένην πεντηκοστὴν ὥρμησαν ἐπὶ Γοργίαν τὸν τῆς Ἰδουμαίας στρατηγόν.

33. Ἐξῆλθεν δὲ μετὰ πεζῶν τριςχιλίων, ἱππέων δὲ τετρακοσίων·

34. καὶ παραταξαμένων συνέβη πεσεῖν ὀλίγους τῶν Ἰουδαίων.

35. Δωσίθεος δέ τις τῶν τοῦ Βακήνορος, ἔφιππος ἀνὴρ καὶ καρτερός, εἴχετο τοῦ Γοργίου, καὶ λαβόμενος τῆς χλαμύδος ἦγεν αὐτὸν εὐρώστως, καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν, τῶν ἱππέων Θρακῶν τινὸς ἐπενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθελόντος, διέφυγεν ὁ Γοργίας εἰς Μαρισά.

36. Τῶν δὲ περὶ τὸν Ἔσδριν ἐπιπλεῖον μαχομένων καὶ κατακόπων ὄντων, ἐπικαλεσάμενος ὁ Ἰούδας τὸν Κύριον σύμμαχον φανῆναι καὶ προοδηγὸν τοῦ πολέμου,

37. καταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μεθ' ὕμνων κραυγήν, ἀναβοήσας, καὶ ἐνσείσας ἀπροσδοκήτως τοῖς περὶ τὸν Γοργίαν, τροπὴν αὐτῶν ἐποιήσατο.

nion dicitur. Erat enim inexpugnabile et accessu difficile castellum propter omnium locorum angustias.

22. Cumque cohors Judæ prima apparuisset, et exorto timore in hostibus, ac terrore ex præsentia illius qui universa conspicit, in fugam versi sunt, alius alio delatus, ita ut sæpe a suis læderentur, et gladiorum mucronibus trajicerentur.

23. Judas autem vehementer instabat, trucidans prophanos, et prostravit ad triginta millia virorum.

24. Ipse vero Timotheus incidit in partes Dosithei et Sosipatri et multis precibus postulabat ut vivus dimitteretur: eo quod plurium quidem parentes, aliorum vero fratres haberet, quos morte ejus decipi eveniret.

25. Cum autem multis modis firmasset hoc constitutum, restituturum se eos illæsos, dimiserunt eum propter fratrum salutem.

26. Egressus autem in Carnion et Atergatæum interfecit viginti quinque millia corporum.

27. Post horum autem fugam et necem movit exercitum Judas etiam super Ephron civitatem munitam, in qua habitabat Lysias et multitudo diversarum gentium. Et robusti juvenes pro muris consistentes fortiter repugnabant, in hac autem machinarum et telorum multus erat apparatus.

28. Sed cum Omnipotentem invocassent, qui cum potestate vires hostium confringit, ceperunt civitatem, et ex eis qui intus erant ad viginti quinque millia prostraverunt.

29. Inde autem abeuntes ad civitatem Scytharum processerunt, quæ ab Jerosolymis sexcentis stadiis aberat.

30. Contestantibus autem his qui ibi erant Judæis, quod benigne a Scythopolitis haberentur, et temporibus infelicitatis mansuete secum egerint,

31. gratias agentes et exhortati etiam de cætero erga genus ipsum benignos esse, venerunt Jerosolymam die solemni septimanarum instante.

32. Post eam vero quæ dicitur pentecoste abierunt contra Gorgiam præpositum Idumææ.

33. Exivit autem cum peditibus tribus millibus, et equitibus quadringentis:

34. quibus congressis contigit paucos cadere Judæorum.

35. Dositheus vero quidam de iis qui Bacenoris, eques vir et fortis, Gorgiam tenuit, et apprehendens eum chlamyde ducebat eum fortiter, et cum vellet sceleratum illum capere vivum, eques quidam de Thracibus irruit in eum humerumque amputavit, atque ita Gorgias effugit in Maresa.

36. At illis qui cum Esdrin erant diutius pugnantibus et fatigatis, cum invocasset Judas Dominum ut adjutorem se ostenderet et ducem belli,

37. incipiens patria voce cum hymnis clamorem, exclamans, et irruens improviso in eos qui circa Gorgiam, in fugam eos vertit.

38. Ἰούδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἦγεν εἰς Ὀδολλὰμ πόλιν. Τῆς δὲ ἑβδομάδος ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες αὐτόθι τὸ σάββατον διήγαγον.

39. Τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ τὸν Ἰούδαν καθ' ὃν τρόπον τὸ τῆς χρείας ἐγεγόνει, τὰ τῶν προπεπτωκότων σώματα ἀνακομίσασθαι, καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους τάφους.

40. Εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας ἱερώματα τῶν ἀπὸ Ἰαμνείας εἰδώλων, ἀφ' ὧν ὁ νόμος ἀπείργει τοὺς Ἰουδαίους· τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούσδε πεπτωκέναι.

41. Πάντες οὖν εὐλογήσαντες τοῦ δικαιοκρίτου Κυρίου, τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος,

42. εἰς ἱκετείαν ἐτράπησαν ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα τελείως ἐξαλειφθῆναι. Ὁ δὲ γενναῖος Ἰούδας παρεκάλεσε τὸ πλῆθος συντηρεῖν ἑαυτοὺς ἀναμαρτήτους εἶναι, ὑπ' ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ τὴν τῶν προπεπτωκότων ἁμαρτίαν.

43. Ποιησάμενός τε κατ' ἀνδραλογίαν κατασκευάσματα εἰς ἀργυρίου δραχμὰς δισχιλίας, ἀπέστειλεν εἰς Ἱεροσόλυμα προσαγαγεῖν περὶ ἁμαρτίας θυσίαν, πάνυ καλῶς καὶ ἀστείως πράττων, ὑπὲρ ἀναστάσεως διαλογιζόμενος·

44. εἰ γὰρ μὴ τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα, περισσὸν ἂν ἦν καὶ ληρῶδες ὑπὲρ νεκρῶν προσεύχεσθαι.

45. Εἶτ' ἐμβλέπων τοῖς μετ' εὐσεβείας κοιμωμένοις κάλλιστον ἀποκείμενον χαριστήριον,

46. ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια. Ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσατο, τῆς ἁμαρτίας ἀπολυθῆναι.

38. Judas autem collecto exercitu venit in civitatem Odollam. Et cum septima dies superveniret, secundum consuetudinem purificati in eodem loco sabbatum egerunt.

39. At sequenti die venit cum suis Judas eo quo oportebat tempore, ut corpora prostratorum tolleret, et cum cognatis reponeret in sepulcris paternis.

40. Invenerunt autem sub tunicis mortuorum quorumque de sacris idolorum quæ de Jamnia, a quibus lex prohibet Judæos: omnibus ergo manifestum est ob hanc causam eos corruisse.

41. Omnes itaque benedixerunt justum judicem Dominum, qui occulta facit manifesta,

42. atque ita ad preces conversi rogaverunt ut id quod factum erat delictum perfecte deleretur. At vero fortissimus Judas hortabatur populum conservare se sine peccato, sub oculis videntes quæ facta sunt peccato eorum qui prostrati sunt.

43. Et facta viritim collatione ad duo millia drachmas argenti, misit Jerosolymam offerri pro peccato sacrificium, valde bene et religiose faciens, de resurrectione cogitans:

44. nisi enim eos qui ceciderant resurrecturos speraret, superfluum et vanum esset orare pro mortuis.

45. Deinde considerans his qui cum pietate dormiunt optimam esse repositam gratiam,

46. sancta et pia consideratio. Quare pro defunctis propitiationem fecit, ut a peccato solverentur.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Τῷ δὲ ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει προσέπεσε τοῖς περὶ τὸν Ἰούδαν, Ἀντίοχον τὸν Εὐπάτορα παραγενέσθαι σὺν πλήθεσιν ἐπὶ τὴν Ἰουδαίαν,

2. καὶ σὺν αὐτῷ Λυσίαν τὸν ἐπίτροπον καὶ ἐπὶ τῶν πραγμάτων, ἕκαστον ἔχοντα δύναμιν Ἑλληνικὴν πεζῶν μυριάδας ἕνδεκα, καὶ ἱππεῖς πεντακισχιλίους τριακοσίους, καὶ ἐλέφαντας εἰκοσιδύο, ἅρματα δὲ δρεπανηφόρα τριακόσια.

3. Καὶ Μενέλαος δὲ συνέμιξεν αὐτοῖς, καὶ παρεκάλει μετὰ πολλῆς εἰρωνείας τὸν Ἀντίοχον, οὐκ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος, οἰόμενος δὲ ἐπὶ τῆς ἀρχῆς κατασταθήσεσθαι.

4. Ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρε τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδείξαντος τοῦτον αἴτιον εἶναι πάντων τῶν κακῶν, προσέταξεν, ὡς ἔθος ἐστὶν ἐν τῷ τόπῳ, προσαπολέσαι ἀγαγόντας αὐτὸν εἰς Βέροιαν.

5. Ἔστι δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πηχῶν πλήρης σποδοῦ, οὗτος δὲ ὄργανον εἶχε περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν σποδόν.

6. Ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ὄντα, ἢ καί τινων ἄλλων κακῶν ὑπεροχὴν πεποιημένον, ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον.

7. Τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν, μηδὲ τῆς γῆς τυχόντα Μενέλαον,

CAPUT XIII.

1. Anno centesimo quadragesimo nono cognovit Judas Antiochum Eupatorem venire cum multitudine adversus Judæam,

2. et cum eo Lysiam procuratorem et præpositum negotiorum, unumquemque habentem exercitum Græcum peditum centum decem millia, et equites quinque millia trecentos, et elephantes viginti duos, currus autem cum falcibus trecentos.

3. Commiscuit autem se illis et Menelaus, et hortabatur cum multa ironia Antiochum, non pro patriæ salute, sed sperans se constitui in principatum.

4. Sed rex regum suscitavit animos Antiochi in peccatorem, et suggerente Lysia hunc esse causam omnium malorum, jussit, ut est consuetudo in loco, necare adducentes illum in Berœam.

5. Est autem in loco turris quinquaginta cubitorum aggestum habens cineris, hæc autem instrumentum habebat rotundum undique præceps in cinerem.

6. Hic sacrilegii reum, et quorumdam etiam aliorum malorum summitatem factum, omnes propellunt ad interitum.

7. Tali lege prævaricatorem legis contigit mori, neque etiam terram nactum Menelaum,

8. πάνυ δικαίως· ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν βωμὸν ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδὸς, ἐν σποδῷ τὸν θάνατον ἐκομίσατο.

9. Τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο, τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμενος τοῖς Ἰουδαίοις.

10. Μεταλαβὼν δὲ Ἰούδας ταῦτα παρήγγειλε τῷ πλήθει δι' ἡμέρας καὶ νυκτὸς ἐπικαλεῖσθαι τὸν Κύριον, εἴποτε ἄλλοτε, καὶ νῦν ἐπιβοηθεῖν -

11. τοῖς τοῦ νόμου καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσι, καὶ τὸν ἄρτι βραχέως ἀνεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσιν ὑποχειρίους γενέσθαι.

12. Πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιωσάντων τὸν ἐλεήμονα Κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν, καὶ προπτώσεως ἐφ' ἡμέρας τρεῖς ἀδιαλείπτως, παρακαλέσας αὐτοὺς ὁ Ἰούδας ἐκέλευσε παραγίνεσθαι.

13. Καθ' ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενόμενος ἐβουλεύσατο, πρὶν εἰςβαλεῖν τοῦ βασιλέως τὸ στράτευμα εἰς τὴν Ἰουδαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρατεῖς, ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ Κυρίου βοηθείᾳ.

14. Δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κτίστῃ τοῦ κόσμου, παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι μέχρι θανάτου περὶ νόμων, περὶ ἱεροῦ, πόλεως, πατρίδος, πολιτείας, ἐποιήσατο περὶ Μωδεῖν τὴν στρατοπεδείαν.

15. Δοὺς δὲ τοῖς περὶ αὐτὸν σύνθεμα Θεοῦ νίκης, μετὰ νεανίσκων ἀρίστων κεχριμένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλὴν ἐν τῇ παρεμβολῇ, ἀνεῖλεν εἰς ἄνδρας τετρακιςχιλίους, καὶ τὸν πρωτεύοντα τῶν ἐλεφάντων σὺν τῷ κατ' οἰκίαν ὄχλῳ συνέθηκε,

16. καὶ τὸ τέλος τὴν παρεμβολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν, καὶ ἐξέλυσαν εὐημεροῦντες.

17. Ὑποφαινούσης δὲ ἤδη τῆς ἡμέρας τοῦτ' ἐγεγόνει, διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ Κυρίου σκέπην.

18. Ὁ δὲ βασιλεὺς, εἰληφὼς γεῦσιν τῆς τῶν Ἰουδαίων εὐτολμίας, κατεπείρασε διὰ μεθόδων τοὺς τόπους.

19. Καὶ ἐπὶ Βαιθσούρᾳ φρούριον ὀχυρὸν τῶν Ἰουδαίων προςῆγεν, καὶ ἐτροποῦτο, προσέκρουε, ἠλαττονοῦτο.

20. Τοῖς δὲ ἔνδον Ἰούδας τὰ δέοντα εἰςέπεμψε.

21. Προςήγγειλε δὲ τὰ μυστήρια τοῖς πολεμίοις Ῥόδοκος ἐκ τῆς Ἰουδαϊκῆς τάξεως· ἀνεζητήθη δὲ καὶ κατελήφθη καὶ κατεκλείσθη.

22. Ἐδευτερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν Βαιθσούρᾳ, δεξιὰν ἔδωκεν, ἔλαβεν, ἀπῄει,

23. προσέβαλε τοῖς περὶ τὸν Ἰούδαν, ἥττων ἐγένετο, μετέλαβεν ἀπονενοῆσθαι τὸν Φίλιππον ἐν Ἀντιοχείᾳ τὸν ἀπολελειμμένον ἐπὶ τῶν πραγμάτων, συνεχύθη· τοὺς Ἰουδαίους παρεκάλεσεν, ὑπετάγη καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς δικαίοις, συνελύθη καὶ θυσίαν προςήγαγεν, ἐτίμησε τὸν νεὼ, καὶ τὸν τόπον ἐφιλανθρώπησε,

24. καὶ τὸν Μακκαβαῖον ἀπεδέξατο· κατέλιπε στρατηγὸν ἀπὸ Πτολεμαΐδος ἕως τῶν Γεῤῥηνῶν ἡγεμονίδην·

25. ἦλθεν εἰς Πτολεμαΐδα. Ἐδυςφόρουν περὶ τῶν συνθηκῶν οἱ Πτολεμαεῖς, ἐδείναζον γὰρ ὑπὲρ ὧν ἠθέλησαν ἀθετεῖν τὰς διαστάλσεις.

8. valde juste : nam quia multa erga aram delicta commisit, cujus ignis et cinis erat sanctus, in cinere mortem reportavit.

9. Sed rex superbia barbarus factus veniebat, pessima eorum quæ sub patre ipsius facta fuerant Judæis repræsentaturus.

10. Quibus Judas cognitis præcepit populo ut die ac nocte Dominum invocarent, siquando et alias, etiam nunc adjuvaret eos

11. qui lege et patria et sancto templo privandi essent, ac populum qui nuper paululum respirasset ne sineret blasphemis nationibus subdi.

12. Omnibus itaque simul idem facientibus et obsecrantibus misericordem Dominum cum fletu et jejuniis, et prostratione per triduum continuum, hortatus eos Judas jussit venire.

13. Ipse autem seorsum cum senioribus consilium cepit, priusquam rex admoveret exercitum ad Judæam et obtinerent civitatem, egressos dijudicare res Domini auxilio.

14. Dans itaque procurationem creatori mundi, hortatus suos ut fortiter dimicarent usque ad mortem pro legibus, pro templo, civitate, patria, republica, circa Modin exercitum constituit

15. Et dato signo suis Dei victoriæ, cum juvenibus fortissimis electis nocte aggressus aulam regiam in castris, interfecit ad viros quatuor millia, et maximum elephantorum cum ea quæ in domo turba coacervavit,

16. ac demum metu ac perturbatione castra repleverunt, rebusque prospere gestis abierunt.

17. Hoc autem factum est die jam illucescente, adjuvante eum Domini protectione.

18. Sed rex, accepto gustu audaciæ Judæorum, arte tentabat loca.

19. Et Bæthsuræ quæ erat Judæorum præsidium castra admovit, sed fugabatur, impingebat, minorabatur.

20. His autem qui intus erant Judas necessaria mittebat.

21. Ennuntiavit autem mysteria hostibus Rodocus de Judaico exercitu : qui requisitus comprehensus est et conclusus.

22. Iterum rex sermonem habuit ad eos qui erant in Bæthsura, dexteram dedit, accepit, abiit,

23. commisit cum Juda, superatus est, cognovit rebellasse Philippum Antiochiæ qui relictus erat super negotia, confusus est : Judæos deprecatus est, subditusque eis juravit de omnibus quæ justa erant, et reconciliatus obtulit sacrificium, honoravit templum, et in locum humaniter se gessit.

24. et Maccabæum amplexatus est : reliquit a Ptolemaide usque ad Gerrenos ducem principem :

25. venit Ptolemaidam. Graviter ferebant conventiones Ptolomeenses : indignabantur enim pro quibus voluerant rumpere fœdera.

26. Προςῆλθεν ἐπὶ τὸ βῆμα Λυσίας, ἀπελογήσατο ἐνδεχομένως, συνέπεισε, κατεπράϋνεν, εὐμενεῖς ἐποίησεν, ἀνέζευξεν εἰς Ἀντιόχειαν. Οὕτω τὰ τοῦ βασιλέως τῆς ἐφόδου καὶ τῆς ἀναζυγῆς ἐχώρησε.

26. Accessit Lysias ad tribunal, exposuit rationem quantum fieri potuit persuasit, sedavit, tranquillos fecit, regressus est in Antiochiam. Hoc modo regis profectio et reditus processit.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Μετὰ δὲ τριετῆ χρόνον προςέπεσε τοῖς περὶ τὸν Ἰούδαν Δημήτριον τὸν τοῦ Σελεύκου, διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰςπλεύσαντα μετὰ πλήθους ἰσχυροῦ καὶ στόλου,

2. κεκρατηκέναι τῆς χώρας ἐπανελόμενον Ἀντίοχον καὶ τὸν τούτου ἐπίτροπον Λυσίαν.

3. Ἄλκιμος δέ τις προγενόμενος ἀρχιερεὺς, ἑκουσίως δὲ μεμολυμμένος ἐν τοῖς τῆς ἐπιμιξίας χρόνοις, συννοήσας ὅτι καθ' ὀντιναοῦν τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία, οὐδὲ πρὸς ἅγιον θυσιαστήριον ἔτι πρόςοδος,

4. ἧκε πρὸς τὸν βασιλέα Δημήτριον πρώτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ ἔτει, προςάγων αὐτῷ στέφανον χρυσοῦν καὶ φοίνικα, πρὸς δὲ τούτοις τῶν νομιζομένων θαλλῶν τοῦ ἱεροῦ. Καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔσχε.

5. Καιρὸν δὲ λαβὼν τῆς ἰδίας ἀνοίας συνεργὸν, προςκληθεὶς εἰς συνέδριον ὑπὸ τοῦ Δημητρίου, καὶ ἐπερωτηθεὶς ἐν τίνι διαθέσει καὶ βουλῇ καθεστήκασιν οἱ Ἰουδαῖοι,

6. πρὸς ταῦτα ἔφη· Οἱ λεγόμενοι τῶν Ἰουδαίων Ἀσιδαῖοι, ὧν ἀφηγεῖται Ἰούδας ὁ Μακκαβαῖος, πολεμοτροφοῦσι καὶ στασιάζουσιν, οὐκ ἐῶντες τὴν βασιλείαν εὐσταθείας τυχεῖν.

7. Ὅθεν ἀφελόμενος τὴν προγονικὴν δόξαν, λέγω δὴ τὴν ἀρχιερωσύνην, δεῦρο νῦν ἐλήλυθα,

8. πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρονῶν, δεύτερον δὲ καὶ τῶν ἰδίων πολιτῶν στοχαζόμενος· τῇ μὲν γὰρ τῶν προειρημένων ἀλογιστίᾳ τὸ σύμπαν ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ.

9. Ἕκαστα δὲ τούτων ἐπεγνωκὼς σὺ, βασιλεῦ, καὶ τῆς χώρας καὶ τοῦ περιϊσταμένου γένους ἡμῶν προνοήθητι, καθ' ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρωπίαν.

10. Ἄχρι γὰρ Ἰούδας περίεστιν, ἀδύνατον εἰρήνης τυχεῖν τὰ πράγματα.

11. Τοιούτων δὲ ῥηθέντων ὑπὸ τούτου, θᾶττον οἱ λοιποὶ φίλοι δυςμενῶς ἔχοντες τὰ πρὸς τὸν Ἰούδαν προςεπύρωσαν τὸν Δημήτριον.

12. Προςκαλεσάμενος δὲ εὐθέως Νικάνορα τὸν γενόμενον ἐλεφαντάρχην καὶ στρατηγὸν ἀναδείξας τῆς Ἰουδαίας, ἐξαπέστειλε,

13. δοὺς ἐντολὰς, αὐτὸν μὲν τὸν Ἰούδαν ἐπανελέσθαι, τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι, καταστῆσαι δὲ Ἄλκιμον ἀρχιερέα τοῦ μεγίστου ἱεροῦ.

14. Τὰ δὲ ἐκ τῆς Ἰουδαίας πεφυγαδευκότα τὸν Ἰούδαν ἔθνη συνέμισγον ἀγεληδὸν τῷ Νικάνορι, τὰς τῶν Ἰουδαίων ἀτυχίας καὶ συμφορὰς ἰδίας εὐημερίας δοκοῦντες ἔσεσθαι.

15. Ἀκούσαντες δὲ τὴν τοῦ Νικάνορος ἔφοδον καὶ τὴν ἐπίθεσιν τῶν ἐθνῶν, καταπασάμενοι γῆν ἐλιτάνευον τὸν ἄχρι αἰῶνος συστήσαντα τὸν ἑαυτοῦ λαὸν, ἀεὶ δὲ μετ' ἐπιφανείας ἀντιλαμβανόμενον τῆς ἑαυτοῦ μερίδος.

CAPUT XIV.

1. Sed post triennii tempus cognovit Judas et qui cum eo erant Demetrium Seleuci, per portum qui ad Tripolim adnavigantem cum multitudine valida et classe,

2. tenuisse regionem postquam occidisset Antiochum et ejus procuratorem Lysiam.

3. Alcimus autem quidam qui summus sacerdos fuerat, sed voluntarie coinquinatus temporibus commistionis, considerans nullo modo sibi esse salutem, neque accessum ultra ad sanctum altare,

4. venit ad regem Demetrium quasi centesimo quinquagesimo primo anno, offerens ei coronam auream et palmam super hæc autem thallos qui templi esse videbantur. Et illa quidem die siluit.

5. Tempus autem opportunum dementiæ suæ nactus, convocatus a Demetrio ad consilium, et interrogatus qua dispositione et consilio Judæi niterentur,

6. ad hæc respondit : Ipsi qui dicuntur Asidæi Judæorum, quibus præest Judas Maccabæus, bella nutriunt et seditiones movent, nec patiuntur regnum esse quietum.

7. Quare defraudatus majorum gloria, dico autem summo sacerdotio, huc nunc veni,

8. primo quidem de rebus ad regem spectantibus legitime sentiens, secundo autem etiam propriis civibus consulens : nam illorum pravitate universum genus nostrum non minime vexatur.

9. Sed his singulis, o rex, cognitis, et regioni et obsesso generi nostro prospice, pro ea quam erga omnes habes obviam humanitatem.

10. Nam quamdiu superest Judas, impossibile est pacem esse negotiis.

11. Talibus autem ab hoc dictis, cito cæteri amici hostiliter se habentes adversus Judam inflammaverunt Demetrium.

12. Advocans autem confestim Nicanorem præpositum elephantorum et ducem declarans Judææ, misit,

13. datis mandatis, ut ipsum quidem Judam occideret, eos vero qui cum illo erant dispergeret, et constitueret Alcimum maximi templi summum sacerdotem.

14. Tunc gentes quæ de Judæa fugerant Judam gregatim se Nicanori miscebant, miserias et clades Judæorum prosperitates rerum suarum æstimantes fore.

15. Audito itaque Nicanoris adventu et conventu nationum, conspersi terra rogabant eum qui populum suum constituit in æternum, quique semper suam portionem signis evidentibus protegebat.

16. Προστάξαντος δὲ τοῦ ἡγουμένου ἐκεῖθεν εὐθέως ἀνέζευξαν, καὶ συμμίσγουσιν αὐτοῖς ἐπὶ κώμην Δεσσαού.

17. Σίμων δὲ ὁ ἀδελφὸς Ἰούδα συμβεβληκὼς ἦν τῷ Νικάνορι, βραχέως δὲ διὰ τὴν αἰφνίδιον τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς.

18. Ὅμως δὲ ἀκούων ὁ Νικάνωρ ἣν εἶχον οἱ περὶ τὸν Ἰούδαν ἀνδραγαθίαν καὶ ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσιν εὐψυχίαν, ἐπευλαβεῖτο τὴν κρίσιν δι' αἱμάτων ποιήσασθαι.

19. Διόπερ ἔπεμψε Ποσιδώνιον καὶ Θεόδοτον καὶ Ματταθίαν δοῦναι καὶ λαβεῖν δεξιάς.

20. Πλείονος δὲ γενομένης περὶ τούτων ἐπισκέψεως, καὶ τοῦ ἡγεμόνος τοῖς πλήθεσιν ἀνακοινωσαμένου, καὶ φανείσης ὁμοψήφου γνώμης, ἐπένευσαν ταῖς συνθήκαις.

21. Ἐτάξαντο δὲ ἡμέραν ἐν ᾗ κατ' ἰδίαν ἥξουσιν εἰς τὸ αὐτό· καὶ προῆλθε, καὶ παρ' ἑκάστου διαφόρους ἔθεσαν δίφρους.

22. Διέταξεν Ἰούδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις, μή ποτε ἐκ τῶν πολεμίων αἰφνιδίως κακουργία γένηται· τὴν ἁρμόζουσαν ἐποιήσαντο κοινολογίαν.

23. Διέτριβεν δὲ ὁ Νικάνωρ ἐν Ἱεροσολύμοις, καὶ ἔπραττεν οὐθὲν ἄτοπον, τοὺς δὲ συναχθέντας ἀγελαίους ὄχλους ἀπέλυσε·

24. καὶ εἶχε τὸν Ἰούδαν διαπαντὸς ἐν προσώπῳ, ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο,

25. παρεκάλεσεν αὐτὸν γῆμαι καὶ παιδοποιήσασθαι. Ἐγάμησεν, εὐστάθησεν, ἐκοινώνησε βίου.

26. Ὁ δὲ Ἄλκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ τὰς γενομένας συνθήκας, ἀναλαβὼν ἧκε πρὸς τὸν Δημήτριον καὶ ἔλεγε τὸν Νικάνορα ἀλλότρια φρονεῖν τῶν πραγμάτων· τὸν γὰρ ἐπίβουλον τῆς βασιλείας Ἰούδαν διάδοχον ἀναδέδειχεν ἑαυτοῦ.

27. Ὁ δὲ βασιλεὺς ἔκθυμος γενόμενος, καὶ ταῖς τοῦ παμπονήρου ἐρεθισθεὶς διαβολαῖς, ἔγραψε Νικάνορι φάσκων, ὑπὲρ μὲν τῶν συνθηκῶν βαρέως φέρειν, κελεύων δὲ τὸν Μακκαβαῖον δέσμιον ἐξαποστέλλειν ταχέως εἰς Ἀντιόχειαν.

28. Προσπεσόντων δὲ τούτων τῷ Νικάνορι συνεκέχυτο καὶ δυσφόρως ἔφερεν, εἰ τὰ διεσταλμένα ἀθετήσει, μηδὲν τ' ἀνδρὸς ἠδικηκότος.

29. Ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐτήρει στρατηγήματι τοῦτ' ἐπιτελέσαι.

30. Ὁ δὲ Μακκαβαῖος αὐστηρότερον διεξάγοντα συνιδὼν τὸν Νικάνορα πρὸς αὐτὸν, καὶ τὴν εἰθισμένην ἀπάντησιν ἀγριωτέραν ἐσχηκότα, νοήσας οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀλίγους τῶν περὶ ἑαυτὸν, συνεκρύπτετο τὸν Νικάνορα.

31. Συγγνοὺς δὲ ὁ ἕτερος ὅτι γενναίως ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται, παραγενόμενος ἐπὶ τὸ μέγιστον καὶ ἅγιον ἱερὸν, τῶν ἱερέων τὰς καθηκούσας θυσίας προσαγόντων ἐκέλευσε παραδιδόναι τὸν ἄνδρα.

32. Τῶν δὲ μεθ' ὅρκων φασκόντων μὴ γινώσκειν ποῦ ποτ' ἐστὶν ὁ ζητούμενος, προτείνας τὴν δεξιὰν εἰς τὸν νεὼ,

33. ταῦτα ὤμοσε· Ἐὰν μὴ δέσμιόν μοι τὸν Ἰούδαν

16. Imperante autem duce statim inde moverunt, et commiscent se eis ad castellum Dessau.

17. Simon vero frater Judæ commiserat cum Nicanore, paululum vero ob repentinum adversariorum adventum timore prolapsus.

18. Nicanor tamen audiens virtutem comitum Judæ et animi magnitudinem quam in certaminibus pro patria habebant, sanguine judicium facere metuebat.

19. Quamobrem misit Posidonium et Theodotum et Mattathiam ut darent dextras atque acciperent.

20. Et cum diu de his consilium ageretur, et ipse dux ad multitudinem retulisset, et omnium una appareret sententia, annuerunt conventionibus.

21. Itaque diem constituerunt qua secreto inter se agerent : et processit, et ab unoquoque diversas posuerunt sellas.

22. Disposuit autem Judas armatos paratos in opportunis locis, ne forte ab hostibus repente mali aliquid oriretur : congruum colloquium fecerunt.

23. Morabatur autem Nicanor Jerosolymis, nihilque iniqui agebat, gregesque turbarum quæ congregatæ fuerant dimisit :

24. habebat autem semper Judam in conspectu, ex animo erat viro inclinatus,

25. rogavitque eum duceret uxorem filiosque procrearet. Nuptias fecit, quiete egit, communiter vivebant.

26. Alcimus autem videns charitatem illorum ad invicem et factas conventiones, assumens venit ad Demetrium et dicebat Nicanorem aliena sentire a rebus : Judam enim regni insidiatorem successorem sibi designavit.

27. Itaque rex exasperatus, et pessimi hujus criminationibus irritatus, scripsit Nicanori dicens, graviter quidem se ferre de conventionibus, jubens autem Maccabæum citius vinctum mittere Antiochiam.

28. Quibus cognitis Nicanor confusus erat et graviter ferebat, si ea quæ convenerant irrita faceret, nulla a viro facta injuria.

29. Sed quia regi resistere non poterat, opportunitatem observabat ut id stratagemate perficeret.

30. At Maccabæus videns secum austerius agere Nicanorem, et consuetum occursum ferocius exhibentem, intelligens non ex bono esse austeritatem istam, non paucis suorum congregatis, occultabat se a Nicanore.

31. Quod cum ille cognovit fortiter se a viro astutia præventum, venit ad maximum et sanctum templum, et sacerdotibus solitas hostias offerentibus jussit tradere virum.

32. Quibus cum juramento dicentibus nescire se ubi esset qui quærebatur, extendens dextram ad templum,

33. juravit hæc : Nisi Judam mihi vinctum tradideritis,

παραδῶτε, τόνδε τοῦ Θεοῦ σηκὸν εἰς πεδίον ποιήσω, καὶ τὸ θυσιαστήριον κατασκάψω, καὶ ἱερὸν ἐνταῦθα τῷ Διονύσῳ ἐπιφανὲς ἀναστήσω.

istud Dei fanum in planitiem deducam, et altare effodiam, et templum hic Libero illustre erigam.

34. Τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν. Οἱ δὲ ἱερεῖς προτείναντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλοῦντο τὸν διαπαντὸς ὑπέρμαχον τοῦ ἔθνους ἡμῶν, ταῦτα λέγοντες·

34. Et his dictis abiit. Sacerdotes autem protendentes manus in cœlum invocabant eum qui semper protector esset gentis nostræ, hæc dicentes :

35. Σὺ, Κύριε τῶν ὅλων ἀπροςδεὴς ὑπάρχων, εὐδόκησας ναὸν τῆς σῆς κατασκηνώσεως ἐν ἡμῖν γενέσθαι.

35. Tu, Domine universorum, qui nullius indiges, voluisti templum habitationis tuæ fieri in nobis.

36. Καὶ νῦν, ἅγιε παντὸς ἁγιασμοῦ Κύριε, διατήρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προςφάτως κεκαθαρισμένον οἶκον.

36. Et nunc, sancte omnis sanctitatis Domine, conserva in æternum impollutam domum istam quæ nuper mundata est.

37. Ῥαζὶς δέ τις τῶν ἀπὸ Ἱεροσολύμων πρεσβυτέρων ἐμηνύθη τῷ Νικάνορι, ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων, καὶ κατὰ τὴν εὔνοιαν πατὴρ τῶν Ἰουδαίων προςαγορευόμενος.

37. Razias autem quidam de senioribus ab Jerosolymis delatus est Nicanori, vir amator civitatis et valde bene audiens, et qui pro bono affectu pater Judæorum appellabatur.

38. Ἦν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμιξίας κρίσιν εἰςενηνεγμένος Ἰουδαϊσμοῦ, καὶ σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ παραβεβλημένος μετὰ πάσης ἐκτενίας.

38. Hic enim superioribus temporibus continentiæ propositum tenuerat Judaismi, corpusque et animam pro Judaismo tradiderat cum omni perseverantia.

39. Βουλόμενος δὲ Νικάνωρ πρόδηλον ποιῆσαι ἣν εἶχε πρὸς τοὺς Ἰουδαίους δυσμένειαν, ἀπέστειλε στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλλαβεῖν αὐτόν·

39. Volens autem Nicanor manifestare odium quod habebat in Judæos, misit milites supra quingentos ut eum comprehenderent :

40. ἔδοξε γὰρ, ἐκεῖνον συλλαβὼν, τούτοις ἐργάσασθαι συμφοράν.

40. putabat enim, si illum cepisset, cladem se istis allaturum.

41. Τῶν δὲ πληθῶν μελλόντων τὸν πύργον καταλαβέσθαι, καὶ τὴν αὐλαίαν θύραν βιαζομένων, καὶ κελευόντων πῦρ προςάγειν καὶ τὰς θύρας ὑφάπτειν, περικατάληπτος γενόμενος ὑπέθηκεν ἑαυτῷ ξίφος,

41. Turbis autem jam occupaturis turrim, et aulæ ostio vim facientibus, et ignem admovere jubentibus et portas incendi, undique comprehensus gladium sibi supposuit,

42. εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ τοῖς ἀλιτηρίοις ὑποχείριος γενέσθαι, καὶ τῆς ἰδίας εὐγενείας ἀναξίως ὑβρισθῆναι.

42. eligens nobiliter mori potius quam subditus fieri peccatoribus, et nobilitate sua indignis injuriis affici.

43. Τῇ δὲ πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ ἀγῶνος σπουδὴν, καὶ τῶν ὄχλων εἴσω τῶν θυρωμάτων εἰςβαλόντων, ἀναδραμὼν γενναίως ἐπὶ τὸ τεῖχος, κατεκρήμνισεν ἑαυτὸν ἀνδρείως εἰς τοὺς ὄχλους.

43. Sed cum per contentionis festinationem non recto ictu plagam dedisset, et turbæ intra ostia irrupissent, recurrens generose ad murum, præcipitavit semetipsum viriliter in turbas.

44. Τῶν δὲ ταχέως ἀναποδισάντων, γενομένου διαστήματος ἦλθε κατὰ μέσον τὸν κενεῶνα.

44. Quibus velociter locum dantibus, facto spatio venit per medium ventrem.

45. Ἔτι δὲ ἔμπνους ὑπάρχων καὶ πεπυρωμένος τοῖς θυμοῖς, ἐξαναστὰς, φερομένων κρουνηδὸν τῶν αἱμάτων, καὶ δυςχερῶν ὄντων τῶν τραυμάτων, δρόμῳ τοὺς ὄχλους διελθὼν,

45. Et cum adhuc spiraret et animo esset accensus, surgens, cum sanguis instar fontis deflueret, et gravissima essent vulnera, cursu turbas pertransiens,

46. καὶ στὰς ἐπί τινος πέτρας ἀποῤῥωγάδος, παντελῶς ἔξαιμος ἤδη γενόμενος, προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκατέραις ταῖς χερσὶν, ἐνέσεισε τοῖς ὄχλοις· καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς ζωῆς καὶ τοῦ πνεύματος ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι, τόνδε τὸν τρόπον μετήλλαξεν.

46. et stans supra quamdam petram præruptam, penitus jam exsanguis effectus, proferens intestina et sumens utrisque manibus, projecit super turbas : et invocans dominatorem vitæ ac spiritus ut hæc ipsi iterum redderet, ita vita defunctus est.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

CAPUT XV.

1. Ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ἰούδαν ὄντας ἐν τοῖς κατὰ Σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς καταπαύσεως ἡμέρᾳ μετὰ πάσης ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν.

1. Nicanor autem ut comperit Judam esse in locis Samariæ, cogitavit quietis die cum omni securitate in ipsos irruere.

2. Τῶν δὲ κατ' ἀνάγκην συνεπομένων αὐτῷ Ἰουδαίων λεγόντων, μηδαμῶς οὕτως ἀγρίως καὶ βαρβάρως ἀπολέσῃς, δόξαν δὲ ἀπομέρισον τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα ἐφορῶντος μεθ' ἁγιότητος ἡμέρᾳ·

2. Judæis vero qui illum per necessitatem sequebantur dicentibus, ne ita ferociter et barbare disperdas, sed honorem tribue præhonoratæ cum sanctitate ab eo qui universa conspicit diei :

3. ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν εἰ ἔστιν ἐν οὐρανῷ δυνάστης ὁ προστεταχὼς ἄγειν τὴν τῶν σαββάτων ἡμέραν;

4. Τῶν δὲ ἀποφηναμένων· Ἔστιν ὁ Κύριος ζῶν αὐτὸς ἐν οὐρανῷ δυνάστης, ὁ κελεύσας ἀσκεῖν τὴν ἑβδομάδα.

5. Ὁ δὲ ἕτερος, Κἀγώ, φησι, δυνάστης ἐπὶ τῆς γῆς ὁ προστάσσων αἴρειν ὅπλα καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. Ὅμως οὐ κατέσχεν ἐπιτελέσαι τὸ σχέτλιον αὐτοῦ βούλημα.

6. Καὶ ὁ μὲν Νικάνωρ, μετὰ πάσης ἀλαζονείας ὑψαυχενῶν, διεγνώκει κοινὸν τῶν περὶ τὸν Ἰούδαν συστήσασθαι τρόπαιον.

7. Ὁ δὲ Μακκαβαῖος ἦν ἀδιαλείπτως πεποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήψεως τεύξασθαι παρὰ τοῦ Κυρίου·

8. καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾷν τὴν τῶν ἐθνῶν ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐτοῖς ἀπ' οὐρανοῦ βοηθήματα, καὶ τανῦν προσδοκᾷν τὴν παρὰ τοῦ Παντοκράτορος ἐσομένην αὐτοῖς νίκην καὶ βοήθειαν.

9. Καὶ παραμυθούμενος αὐτοὺς ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν, προσυπομνήσας δὲ αὐτοὺς καὶ τοὺς ἀγῶνας οὓς ἦσαν ἐκτετελεκότες, προθυμοτέρους αὐτοὺς κατέστησε.

10. Καὶ τοῖς θυμοῖς διεγείρας αὐτούς, παρήγγειλεν ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν ἀθεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν·

11. ἕκαστον δὲ αὐτῶν καθοπλίσας, οὐ τὴν ἀσπίδων καὶ λογχῶν ἀσφάλειαν, ὡς τὴν ἐν τοῖς ἀγαθοῖς λόγοις παράκλησιν, καὶ προσεξηγησάμενος ὄνειρον ἀξιόπιστον ὕπαρ τι, πάντας εὔφρανεν.

12. Ἦν δὲ ἡ τούτου θεωρία τοιάδε· Ὀνίαν τὸν γενόμενον ἀρχιερέα, ἄνδρα καλὸν καὶ ἀγαθόν, αἰδήμονα μὲν τὴν ἀπάντησιν, πρᾷον δὲ τὸν τρόπον, καὶ λαλιὰν προϊέμενον πρεπόντως, καὶ ἐκ παιδὸς ἐκμεμελετηκότα πάντα τὰ τῆς ἀρετῆς οἰκεῖα, τοῦτον τὰς χεῖρας προτείναντα κατεύχεσθαι τῷ παντὶ τῶν Ἰουδαίων συστήματι·

13. εἶθ' οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ διαφέροντα, θαυμαστὴν δέ τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν ὑπεροχήν.

14. Ἀποκριθέντα δὲ τὸν Ὀνίαν εἰπεῖν· Ὁ φιλάδελφος οὗτός ἐστιν, ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως, Ἱερεμίας ὁ τοῦ Θεοῦ προφήτης.

15. Προτείναντα δὲ τὸν Ἱερεμίαν τὴν δεξιὰν παραδοῦναι τῷ Ἰούδᾳ ῥομφαίαν χρυσῆν, διδόντα δὲ προσφωνῆσαι τάδε·

16. Λάβε τὴν ἁγίαν ῥομφαίαν, δῶρον παρὰ τοῦ Θεοῦ, δι' ἧς θραύσεις τοὺς ὑπεναντίους.

17. Παρακληθέντες δὲ τοῖς Ἰούδα λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ' ἀρετὴν παρορμῆσαι καὶ ψυχὰς νέων ἐπανορθῶσαι, διέγνωσαν μὴ στρατοπεδεύεσθαι, γενναίως δὲ ἐμφέρεσθαι, καὶ μετὰ πάσης εὐανδρίας ἐμπλακέντες κρῖναι τὰ πράγματα, διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυνεύειν.

18. Ἦν γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων ἔτι δὲ ἀδελφῶν καὶ συγγενῶν ἐν ἥττονι μέρει κείμενος αὐτοῖς ἀγών, μέγιστος δὲ καὶ πρῶτος ὁ περὶ τοῦ καθηγιασμένου ναοῦ φόβος.

19. Ἦν δὲ καὶ τοῖς ἐν τῇ πόλει κατειλημμένοις οὐ πάρεργος ἀγωνία, ταρασσομένοις τῆς ἐν ὑπαίθρῳ προσβολῆς.

3. ille vero ter scelestus interrogavit si est potens in cœlo qui imperavit agi diem sabbatorum?

4. Et respondentibus illis : Est Dominus vivus ipse in cœlo potens, qui jussit agi septimam diem.

5. At ille ait : Et ego potens sum super terram qui impero sumi arma et negotia regis impleri. Tamen non obtinuit ut miserum suum consilium perficeret.

6. Et Nicanor quidem, cum summa superbia erectus, cogitaverat commune trophæum statuere de Juda et his qui cum ipso erant.

7. Maccabæus autem semper confidebat cum omni spe auxilium sibi a Domino affuturum :

8. et hortabatur suos ne formidarent adventum nationum, sed in mente habentes adjutoria sibi antea facta de cœlo, et nunc sperarent ab Omnipotente sibi affuturam victoriam et auxilium.

9. Et allocutus eos de lege et prophetis, admonens etiam eos de certaminibus quæ confecerant, promptiores constituit eos.

10. Et animis eorum erectis, admonebat simul ostendens gentium fallaciam et juramentorum prævaricationem :

11. singulos autem illorum armans, non tam clypeorum et hastarum munitione, quam exhortatione per sermones, etiam exposito fide digno somnio, magnopere universos lætificavit.

12. Erat autem hujusmodi visus : Oniam qui fuerat summus sacerdos, virum honestum et bonum, verecundum visu, modestum moribus, et eloquio decorum, et a puero in omnibus virtutis officiis exercitatum, hunc manus protendentem orare pro omni populo Judæorum :

13. post hoc apparuisse sic virum canitie et gloria eximium, mirabilem vero quamdam et maximi decoris esse præstantiam circa illum.

14. Respondentem vero Oniam dixisse : Hic est fratrum amator, qui multum orat pro populo et sancta civitate, Jeremias propheta Dei.

15. Extendisse autem Jeremiam dextram et dedisse Judæ gladium aureum, et cum daret acclamasse hæc :

16. Accipe sanctum gladium, munus a Deo, in quo franges adversarios.

17. Exhortati itaque Judæ sermonibus bonis valde et qui possent ad virtutem incitare et animos juvenum erigere, statuerunt non castrametari, sed generose invehi, et cum omni virtute confligentes de negotiis judicare, eo quod et civitas et sancta et templum periclitarentur.

18. Erat enim pro uxoribus et filiis itemque pro fratribus et cognatis minor eis sollicitudo, maximus vero et primus pro sanctificato templo erat timor.

19. Sed et eos qui in civitate remanserant non minima sollicitudo habebat, turbatis ipsis illo qui sub dio congressu.

20. Καὶ πάντων ἤδη προσδοκώντων τὴν ἐσομένην κρίσιν, καὶ ἤδη συμμιξάντων τῶν πολεμίων καὶ τῆς στρατιᾶς ἐκταγείσης, καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκατασταθέντων, τῆς τε ἵππου κατὰ κέρας τεταγμένης,

21. συνιδὼν ὁ Μακκαβαῖος τὴν τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποικίλην παρασκευὴν, τήν τε τῶν θηρίων ἀγριότητα, προτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἐπεκαλέσατο τὸν τερατοποιὸν Κύριον τὸν κατόπτην, γινώσκων ὅτι οὐκ ἔστι δι' ὅπλων ἡ νίκη, καθὼς δὲ ἂν αὐτῷ κριθείη, τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην.

22. Ἔλεγε δὲ ἐπικαλούμενος τόνδε τὸν τρόπον· Σὺ, Δέσποτα, ἀπέστειλας τὸν ἄγγελόν σου ἐπὶ Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σενναχηρεὶμ εἰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας.

23. Καὶ νῦν, δυνάστα τῶν οὐρανῶν, ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος καὶ τρόμον. Μεγέθει βραχίονός σου

24. καταπλαγείησαν οἱ μετὰ βλασφημίας παραγενόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν. Καὶ οὗτος μὲν ἐν τούτοις ἔληξεν.

25. Οἱ δὲ περὶ τὸν Νικάνορα μετὰ σαλπίγγων καὶ παιάνων προσῆγον.

26. Οἱ δὲ περὶ τὸν Ἰούδαν μετ' ἐπικλήσεως καὶ εὐχῶν συνέμιξαν τοῖς πολεμίοις·

27. καὶ ταῖς μὲν χερσὶν ἀγωνιζόμενοι, ταῖς δὲ καρδίαις πρὸς τὸν Θεὸν εὐχόμενοι, κατέστρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων, τῇ τοῦ Θεοῦ μεγάλως εὐφρανθέντες ἐπιφανείᾳ.

28. Γενόμενοι δὲ ἀπὸ τῆς χρείας, καὶ μετὰ χαρᾶς ἀναλύοντες, ἐπέγνωσαν προπεπτωκότα Νικάνορα σὺν τῇ πανοπλίᾳ.

29. Γενομένης δὲ κραυγῆς καὶ ταραχῆς, εὐλόγουν τὸν Δυνάστην τῇ πατρίῳ φωνῇ.

30. Καὶ προσέταξεν ὁ καθ' ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς ὑπὲρ τῶν πολιτῶν, ὁ τὴν τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας, τὴν τοῦ Νικάνορος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ φέρειν εἰς Ἱεροσόλυμα.

31. Παραγενόμενος δὲ ἐκεῖ, καὶ συγκαλέσας τοὺς ὁμοεθνεῖς καὶ τοὺς ἱερεῖς, πρὸ τοῦ θυσιαστηρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας.

32. Καὶ ἐπιδειξάμενος τὴν τοῦ μιαροῦ Νικάνορος κεφαλὴν καὶ τὴν χεῖρα τοῦ δυσφήμου, ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ Παντοκράτορος οἶκον ἐμεγαλαύχησε,

33. καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς Νικάνορος ἐκτεμὼν, ἔφη κατὰ μέρος δώσειν τοῖς ὀρνέοις, τὰ δὲ ἐπίχειρα τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι.

34. Οἱ δὲ πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ Κύριον, λέγοντες· Εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον.

35. Ἐξέδησε δὲ τὴν τοῦ Νικάνορος κεφαλὴν ἐκ τῆς ἄκρας, ἐπίδηλον πᾶσι καὶ φανερὸν τῆς τοῦ Κυρίου βοηθείας σημεῖον.

36. Καὶ ἐδογμάτισαν πάντες μετὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε τὴν ἡμέραν,

20. Et cum omnes jam exspectarent judicium futurum, et jam hostes adessent atque exercitus esset ordinatus, et bestiæ in opportuna parte constitutæ, et equitatus ad cornua dispositus,

21. considerans Maccabæus adventum multitudinis et apparatum varium armorum, ac ferocitatem bestiarum, extendens manus in cœlum, prodigia facientem Dominum inspectorem invocavit, sciens quia victoria non est per arma, sed prout ab ipso judicatum fuerit, dat dignis victoriam.

22. Dicebat autem invocans hoc modo: Tu, Domine, misisti angelum tuum sub Ezecia rege Judææ, et interfecit de castris Sennacherim ad centum octoginta quinque millia.

23. Et nunc, dominator cœlorum, mitte angelum bonum ante nos in timorem et tremorem. Magnitudine brachii tui

24. exterreantur qui cum blasphemia veniunt adversus sanctum populum tuum. Et hic quidem ita peroravit.

25. Nicanor autem et qui cum ipso erant cum tubis et canticis admovebant.

26. Judas vero et qui cum eo erant cum invocatione et orationibus congressi sunt cum hostibus:

27. et manibus quidem pugnantes, sed et Dominum cordibus orantes, prostraverunt non minus triginta quinque millia, præsentia Dei magnifice delectati.

28. Cumque cessassent ab opere, et cum gaudio redirent, cognoverunt Nicanorem ruisse cum armis suis.

29. Facto itaque clamore et tumultu, patria voce Omnipotentem benedicebant.

30. Præcepit autem ille qui per omnia animo et corpore primus pugnator pro civibus erat, qui ætatis benevolentiam in eos qui ejusdem gentis conservabat, caput Nicanoris et manum cum humero abscissum Jerosolymam perferri.

31. Quo cum pervenisset, convocatis eis qui ejusdem gentis et sacerdotibus, ante altare stans, accersiit eos qui in arce erant.

32. Et ostenso capite scelesti Nicanoris et manu nefaria, quam extendens contra domum sanctam Omnipotentis magnifice gloriatus fuerat,

33. lingua etiam impii Nicanoris præcisa, jussit particulatim avibus dari, præmia autem dementiæ contra templum suspendi.

34. Omnes igitur in cœlum benedicebant præsentem Dominum, dicentes: Benedictus qui locum suum incontaminatum servavit.

35. Suspendit autem Nicanoris caput ex arce, evidens omnibus et manifestum signum auxilii Dei.

36. Itaque omnes communi consilio decreverunt nullo modo diem istum absque celebritate præterire,

37. ἔχειν δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δωδεκάτου μηνὸς, ἄδαρ λέγεται τῇ συριακῇ φωνῇ, πρὸ μιᾶς ἡμέρας τῆς Μαρδοχαϊκῆς ἡμέρας.

38. Τῶν οὖν κατὰ Νικάνορα χωρησάντων οὕτω, καὶ ἀπ' ἐκείνων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν Ἑβραίων, καὶ αὐτὸς αὐτόθι καταπαύσω τὸν λόγον.

39. Καὶ εἰ μὲν καλῶς καὶ εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς καὶ μετρίως, τοῦτο ἐφικτὸν ἦν μοι.

40. Καθάπερ γὰρ οἶνον καταμόνας πίνειν, ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν, πολέμιον· ὃν δὲ τρόπον οἶνος ὕδατι συγκερασθεὶς ἡδὺς, καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτω καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει. Ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

37. habere autem celebrem tertiam decimam diem mensis duodecimi, adar dicitur syriaca voce, pridie diei Mardochæi.

38. Igitur his erga Nicanorem sic gestis, et ex illis temporibus ab Hebræis civitate possessa, ego quoque in his finem faciam sermonis.

39. Et si quidem bene et ut historiæ competit, hoc et ipse velim : si autem exiliter et modice, hoc pro viribus meis fuit.

40. Sicut enim vinum seorsum bibere, similiter autem rursus et aquam, contrarium est : sicut autem vinum aquæ mistum suave est, et jucundam gratiam perficit, ita etiam hujusmodi ratio structuræ orationis delectat aures legentium historiam. Hic ergo erit finis.

LIBRI APOCRYPHI.

ΕΣΔΡΑΣ

ΠΡΩΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Καὶ ἤγαγεν Ἰωσίας τὸ πάσχα ἐν Ἱερουσαλὴμ τῷ Κυρίῳ αὐτοῦ, καὶ ἔθυσε τὸ πάσχα τῇ τεσσαρεςκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, στήσας τοὺς ἱερεῖς κατ' ἐφημερίας, ἐστολισμένους ἐν τῷ ἱερῷ τοῦ Κυρίου. Καὶ εἶπε τοῖς Λευίταις ἱεροδούλοις τοῦ Ἰσραὴλ, ἁγιάσαι ἑαυτοὺς τῷ Κυρίῳ ἐν τῇ θέσει τῆς ἁγίας κιβωτοῦ τοῦ Κυρίου, ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησε Σαλωμὼν ὁ τοῦ Δαυὶδ ὁ βασιλεύς. Οὐκ ἔσται ὑμῖν ἆραι ἐπ' ὤμων αὐτὴν, καὶ νῦν λατρεύετε τῷ Κυρίῳ Θεῷ ὑμῶν, καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ Ἰσραὴλ, καὶ ἑτοιμάσατε κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑμῶν, κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως Ἰσραὴλ, καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμὼν τοῦ υἱοῦ αὐτοῦ. Καὶ στάντες ἐν τῷ ἁγίῳ κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν ὑμῶν τῶν Λευιτῶν, τῶν ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραὴλ, ἐν τάξει θύσατε τὸ πάσχα, καὶ τὰς θυσίας ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν, καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ πρόσταγμα τοῦ Κυρίου, τὸ δοθὲν τῷ Μωϋσῇ. Καὶ ἐδωρήσατο Ἰωσίας τῷ λαῷ τῷ εὑρεθέντι ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας, μόσχους τρισχιλίους. Ταῦτα ἐκ τῶν βασιλικῶν ἐδόθη κατ' ἐπαγγελίαν τῷ λαῷ, καὶ τοῖς ἱερεῦσι, καὶ Λευίταις. Καὶ ἔδωκε Χελκίας, καὶ Ζαχαρίας, καὶ Συῆλος οἱ ἐπιστάται τοῦ ἱεροῦ τοῖς ἱερεῦσιν εἰς πάσχα πρόβατα δισχίλια ἑξακόσια, μόσχους τριακοσίους. Καὶ Ἰεχονίας, καὶ Σαμαίας, καὶ Ναθαναὴλ ὁ ἀδελφὸς, καὶ Ἀσαβίας, καὶ Ὀχιῆλος, καὶ Ἰωρὰμ χιλίαρχοι ἔδωκαν τοῖς Λευίταις εἰς πάσχα πρόβατα πεντακισχίλια, μόσχους ἑπτακοσίους. Καὶ ταῦτα τὰ γενόμενα εὐπρεπῶς, ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται, ἔχοντες τὰ ἄζυμα κατὰ τὰς φυλὰς, καὶ κατὰ τὰς μεριδαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ, προςενεγκεῖν τῷ Κυρίῳ κατὰ τὰ γεγραμμένα ἐν βιβλίῳ Μωϋσῇ. Καὶ οὕτως τὸ πρωϊνόν. Καὶ ὤπτησαν τὸ πάσχα πυρὶ ὡς καθήκει, καὶ τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκείοις καὶ λέβησι μετ' εὐωδίας, καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ. Μετὰ δὲ ταῦτα ἡτοίμασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. Οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέατα ἕως ἀωρίας· καὶ οἱ Λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. Καὶ οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἦσαν ἐπὶ τῆς τάξεως αὐτῶν, κατὰ τὰ ὑπὸ Δαυὶδ τεταγμένα, καὶ Ἀσὰφ, καὶ Ζαχαρίας, καὶ Ἐδδινοὺς ὁ παρὰ τοῦ βασιλέως.

ESDRAS

LIBER I.

CAPUT I.

Et fecit Josias pascha in Jerusalem Domino suo, et immolavit pascha quartadecima die mensis primi, statuens sacerdotes per vices dierum, stolis amictos in templo Domini. Et dixit Levitis sacris servis Israel, ut sanctificarent se Domino in positione sanctæ arcæ Domini, in domo quam ædificavit Salomon filius David rex. Non erit vobis tollere super humeros eam, et nunc deservite Domino Deo vestro, et curam agite gentis illius Israel, et parate secundum patrias, et tribus vestras, secundum scripturam David regis Israel, et secundum magnificentiam Salomonis filii ejus. Et stantes in templo secundum particulam principatus paternam vestram Levitarum, qui stant in conspectu fratrum vestrorum filiorum Israel, in ordine immolate pascha, et sacrificia parate fratribus vestris, et facite pascha secundum præceptum Domini, quod datum est Moysi. Et donavit Josias in plebem quæ inventa est agnorum et hœdorum triginta millia, vitulos tria millia. Hæc de regalibus data sunt secundum promissionem populo, et sacerdotibus, et Levitis. Et dedit Chelcias, et Zacharias, et Syelus præsides templi sacerdotibus in pascha oves duo millia sexcentum, vitulos trecentos. Et Jechonias, et Samaias, et Nathanael frater, et Asabias, et Ochielus, et Joram chiliarchi dederunt Levitis ad pascha oves quinque millia, vitulos septingentos. Et hæc cum fierent eleganter, steterunt sacerdotes et Levitæ, habentes azyma per tribus, et secundum partes principatus patrum in conspectu populi, ad offerendum Domino secundum ea quæ in libro Moysi scripta sunt. Et sic matutinum. Et assaverunt pascha igni prout oportebat, et hostias coxerunt in æneis et ollis cum benevolentia, et attulerunt omnibus qui erant ex plebe. Et post hæc paraverunt sibi, et sacerdotibus fratribus suis filiis Aaron. Sacerdotes enim offerebant adipes usque dum finita esset hora: et Levitæ paraverunt sibi et sacerdotibus fratribus suis filiis Aaron. Et sacri cantores filii Asaph erant super ordinem suum, secundum præcepta David, et Asaph, et Zacharias, et Eddinus qui erat a rege. Et ostiarii per sin-

Καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶνος. Οὐκ ἔστι παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν· οἱ γὰρ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς. Καὶ συνετελέσθη τὰ τῆς θυσίας τοῦ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀχθῆναι τὸ πάσχα, καὶ προσαχθῆναι τὰς θυσίας ἐπὶ τὸ τοῦ Κυρίου θυσιαστήριον, κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ἰωσίου. Καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ τὸ πάσχα καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. Καὶ οὐκ ἤχθη τὸ πάσχα τοιοῦτον ἐν τῷ Ἰσραὴλ ἀπὸ τῶν χρόνων Σαμουὴλ τοῦ προφήτου. Καὶ πάντες οἱ βασιλεῖς τοῦ Ἰσραὴλ οὐκ ἠγάγοσαν πάσχα τοιοῦτον, οἷον ἤγαγεν Ἰωσίας, καὶ οἱ ἱερεῖς, καὶ οἱ Λευῖται, καὶ οἱ Ἰουδαῖοι, καὶ πᾶς Ἰσραὴλ ὁ εὑρεθεὶς ἐν τῇ κατοικήσει αὐτῶν ἐν Ἱερουσαλήμ. Ὀκτωκαιδεκάτῳ ἔτει, βασιλεύοντος Ἰωσίου, ἤχθη τὸ πάσχα τοῦτο. Καὶ ὠρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον τοῦ Κυρίου αὐτοῦ ἐν καρδίᾳ πλήρει εὐσεβείας. Καὶ τὰ κατ' αὐτὸν δὲ ἀναγέγραπται ἐν τοῖς ἔμπροσθεν χρόνοις, περὶ τῶν ἡμαρτηκότων καὶ ἠσεβηκότων εἰς τὸν Κύριον, παρὰ πᾶν ἔθνος καὶ βασιλείαν, καὶ ἃ ἐλύπησαν αὐτὸν ἐστι, καὶ οἱ λόγοι τοῦ Κυρίου ἀνέστησαν ἐπὶ Ἰσραήλ. Καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην Ἰωσίου συνέβη Φαραὼ βασιλέα Αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν Χαρκαμὺς ἐπὶ τοῦ Εὐφράτου. Καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ Ἰωσίας. Καὶ διεπέμψατο πρὸς αὐτὸν βασιλεὺς Αἰγύπτου, λέγων· Τί ἐμοὶ καὶ σοί ἐστι, βασιλεῦ τῆς Ἰουδαίας; Οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ Κυρίου τοῦ Θεοῦ. Ἐπὶ γὰρ τοῦ Εὐφράτου ὁ πόλεμός μου ἐστί. Καὶ νῦν Κύριος μετ' ἐμοῦ ἐστι, καὶ Κύριος μετ' ἐμοῦ ἐπισπεύδων ἐστίν. Ἀπόστηθι, καὶ μὴ ἐναντιοῦ τῷ Κυρίῳ. Καὶ οὐκ ἀπέστρεψεν ἑαυτὸν Ἰωσίας ἐπὶ τὸ ἅρμα αὐτοῦ, ἀλλὰ πολεμεῖν αὐτὸν ἐπεχείρει, οὐ προσέχων ῥήμασιν Ἱερεμίου προφήτου ἐκ στόματος Κυρίου, ἀλλὰ συνεστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ Μαγεδδώ. Καὶ κατέβησαν οἱ ἄρχοντες πρὸς τὸν βασιλέα Ἰωσίαν. Καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν ἑαυτοῦ· Ἀποστήσατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα γὰρ λίαν. Καὶ εὐθέως ἀπέστησαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς παρατάξεως, καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον αὐτοῦ, καὶ ἀποκατασταθεὶς εἰς Ἱερουσαλὴμ μετήλλαξε τὸν βίον αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ. Καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ ἐπένθησαν τὸν Ἰωσίαν, καὶ ἐθρήνησεν Ἱερεμίας ὁ προφήτης ὑπὲρ Ἰωσίου, καὶ οἱ προκαθήμενοι σὺν γυναιξὶν ἐθρηνοῦσαν αὐτὸν ἕως τῆς ἡμέρας ταύτης. Καὶ ἐξεδόθη τοῦτο γίνεσθαι ἀεὶ εἰς ἅπαν τὸ γένος Ἰσραήλ. Ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν ἱστορουμένων περὶ τῶν βασιλέων τῆς Ἰουδαίας, καὶ τὸ καθ' ἓν πραχθὲν τῆς πράξεως Ἰωσίου, καὶ τῆς δόξης αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ ἐν τῷ νόμῳ Κυρίου· τά τε προπραχθέντα ὑπ' αὐτοῦ καὶ τὰ νῦν, ἱστόρηται ἐν τῷ βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα. Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν Ἰεχονίαν υἱὸν Ἰωσίου, ἀνέδειξαν βασιλέα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ, ὄντα ἐτῶν εἴκοσι τριῶν. Καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ Ἱερουσαλὴμ μῆνας τρεῖς. Καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου τοῦ μὴ βασιλεύειν ἐν Ἱερουσαλήμ, καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατὸν καὶ χρυσίου ταλάντῳ ἑνί. Καὶ ἀνέδειξε βασιλεὺς Αἰγύπτου βασιλέα Ἰωακὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ. Καὶ ἔδησεν Ἰωακὶμ τοὺς με-

gulas januas, ita ut non prævaricaretur unusquisque suam vicem : fratres enim illorum Levitæ paraverunt illis. Et consummata sunt in illa die quæ pertinebant ad sacrificium Domini agendi pascha, et offerendi hostias super Domini altare, secundum præceptum regis Josiæ. Et egerunt filii Israel qui inventi sunt in tempore illo pascha et diem festum azymorum per dies septem. Et non est celebratum pascha tale in Israel a temporibus Samuelis prophetæ. Et omnes reges Israel non celebraverunt tale pascha, quale egit Josias, et sacerdotes, et Levitæ, et Judæi, et omnis Israel qui inventus est in commoratione eorum in Jerusalem. Octavo decimo anno, regnante Josia, celebratum est pascha hoc. Et directa sunt opera Josiæ in conspectu Domini sui in corde pleno pietatis. Et quæ circa illum quidem conscripta sunt in pristinis temporibus, de eis qui peccaverunt et irreligiosi fuerunt in Dominum, præ omni gente et regno, et quæ contristaverunt eum sunt, et verba Domini surrexerunt super Israel. Et post omnem actum hunc Josiæ ascendit Pharao rex Ægypti, veniens bellum suscitare in Charcamis super Euphratem. Et exiit obviam illi Josias. Et misit ad eum rex Ægypti, dicens : Quid mihi et tibi est, rex Judææ? Non ad te sum missus a Domino Deo. Super Euphratem enim bellum meum est. Et nunc Dominus mecum est, et Dominus mecum festinans est. Discede, et noli adversari Domino. Et non avertit se Josias super currum suum, sed expugnare eum conabatur, non attendens verbis Jeremiæ prophetæ ex ore Domini, sed constituit ad eum bellum in campo Mageddo. Et descenderunt principes ad regem Josiam. Et dixit rex pueris suis : Amovete me a prælio, infirmatus sum enim valde. Et statim amoverunt eum pueri ipsius de acie, et ascendit super currum secundarium suum, et perveniens Jerosolymam vita functus est, et sepultus est in paterno sepulcro. Et in tota Judæa lugebant Josiam, et lamentatus est Jeremias propheta super Josia, et qui præsidebant cum uxoribus lamentabant eum usque in hunc diem. Et datum est hoc fieri semper in omne genus Israel. Hæc autem perscripta sunt in libro historiarum de regibus Judææ, et singula gesta actus Josiæ, et gloriæ ejus, et intellectus ejus in lege Domini : quæque gesta sunt ab eo et quæ nunc, scripta sunt in libro regum Israel et Judæ. Et assumentes qui erant ex gente Jechoniam filium Josiæ, constituerunt regem pro Josia patre suo, cum esset annorum viginti trium. Et regnavit in Israel et Jerusalem mensibus tribus. Et amovit ipsum rex Ægypti ne regnaret in Hierosolymis, et multavit gentem argenti talenta centum et auri talentum unum. Et constituit rex Ægypti regem Joacim fratrem ejus regem Judææ et Jerusalem. Et alligavit Joacim magnates,

γιστᾶνας, Ζαράκην δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλαβὼν ἀνήγαγεν ἐξ Αἰγύπτου. Ἐτῶν δὲ ἦν εἰκοσιπέντε Ἰωακὶμ, ὅτε ἐβασίλευσε τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου. Μετ' αὐτὸν δὲ ἀνέβη Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδησεν αὐτὸν ἐν χαλκείῳ δεσμῷ, καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα. Καὶ ἀπὸ τῶν ἱερῶν σκευῶν τοῦ Κυρίου λαβὼν Ναβουχοδονόσορ, καὶ ἀπενέγκας ἀπηρείσατο ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι. Τὰ δὲ ἱστορηθέντα περὶ αὐτοῦ, καὶ τῆς ἀκαθαρσίας αὐτοῦ καὶ δυσσεβείας, ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν χρόνων τῶν βασιλέων. Καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωακὶμ ὁ υἱὸς αὐτοῦ, ὅτε γὰρ ἀνεδείχθη, ἦν ἐτῶν ὀκτώ. Βασιλεύει δὲ μῆνας τρεῖς καὶ ἡμέρας δέκα ἐν Ἱερουσαλὴμ, καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι Κυρίου. Καὶ μετ' ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονόσορ μετήγαγεν αὐτὸν εἰς Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ Κυρίου, καὶ ἀνέδειξε Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ, ὄντα ἐτῶν εἴκοσι ἑνός. Βασιλεύει δὲ ἔτη ἕνδεκα, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐνετράπη ἀπὸ τῶν ῥηθέντων λόγων ὑπὸ Ἱερεμίου τοῦ προφήτου ἐκ στόματος τοῦ Κυρίου. Καὶ ὁρκισθεὶς ἀπὸ τοῦ βασιλέως Ναβουχοδονόσορ τῷ ὀνόματι Κυρίου, ἐπιορκήσας ἀπέστη. Καὶ σκληρύνας αὐτοῦ τὸν τράχηλον, καὶ τὴν καρδίαν αὐτοῦ παρέβη τὰ νόμιμα Κυρίου Θεοῦ Ἰσραήλ. Καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων πολλὰ ἠσέβησαν καὶ ὑπὲρ πάσας τὰς ἀκαθαρσίας πάντων τῶν ἐθνῶν, καὶ ἐμίαναν τὸ ἱερὸν τοῦ Κυρίου τὸ ἁγιαζόμενον ἐν Ἱερουσαλήμ. Καὶ ἀπέστειλεν ὁ Θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ ἀγγέλου αὐτοῦ μετακαλέσαι αὐτοὺς, καθότι ἐφείδετο αὐτῶν καὶ τοῦ σκηνώματος αὐτοῦ. Αὐτοὶ δὲ ἐμυκτήρισαν ἐν τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ᾗ ἡμέρᾳ ἐλάλησε Κύριος, ἦσαν ἐκπαίζοντες τοὺς προφήτας αὐτοῦ, ἕως οὗ θυμώσαντα αὐτὸν ἐπὶ τῷ ἔθνει αὐτοῦ, διὰ τὰ δυσσεβήματα προστάξαι ἀναβιβάσαι ἐπ' αὐτοὺς τοὺς βασιλεῖς τῶν Χαλδαίων. Οὗτοι ἀπέκτειναν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ, περικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ. Καὶ οὐκ ἐφείσαντο νεανίσκου καὶ παρθένου καὶ πρεσβύτου καὶ νεωτέρου, ἀλλὰ πάντας παρέδωκαν εἰς τὰς χεῖρας αὐτῶν. Καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ Κυρίου τὰ μεγάλα καὶ τὰ μικρὰ, καὶ τὰς κιβωτοὺς τοῦ Κυρίου, καὶ τὰς βασιλικὰς ἀποθήκας ἀναλαβόντες ἀπήνεγκαν εἰς Βαβυλῶνα. Καὶ ἐνεπύρισαν τὸν οἶκον τοῦ Κυρίου, καὶ ἔλυσαν τὰ τείχη Ἱερουσαλὴμ, καὶ τοὺς πύργους αὐτῆς ἐνεπύρισαν ἐν πυρὶ, καὶ συνετέλεσαν πάντα τὰ ἔνδοξα αὐτῆς ἀχρειῶσαι, καὶ τοὺς ἐπιλοίπους ἀπήγαγε μετὰ ῥομφαίας εἰς Βαβυλῶνα. Καὶ ἦσαν παῖδες αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ, μέχρις οὗ βασιλεῦσαι Πέρσας, εἰς ἀναπλήρωσιν ῥήματος τοῦ Κυρίου ἐν στόματι Ἱερεμίου. Ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάββατα αὐτῆς, πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Βασιλεύοντος Κύρου, Περσῶν ἔτους πρώτου, εἰς συντέλειαν ῥήματος Κυρίου ἐν στόματι Ἱερεμίου, ἤγειρε Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἅμα διὰ γραπτῶν, λέγων· Τάδε λέγει ὁ βασιλεὺς Περσῶν Κύρος· Ἐμὲ

et Zaracem fratrem suum apprehendens reduxit ex Ægypto. Annorum autem erat viginti quinque Joacim, cum regnare cœpisset in Judæa et Jerusalem. Et fecit malum in conspectu Domini. Post hunc autem ascendit Nabuchodonosor rex Babylonis, et alligans eum in æreo vinculo perduxit in Babyloniam. Et de sacris vasis Domini accipiens Nabuchodonosor, et auferens fixit in templo suo in Babylonia. Quæ autem narrata sunt de eo, et immunditia illius et irreligiositate, scripta sunt in libro temporum regum. Et regnavit pro eo Joacim filius ejus. Cum autem constitutus esset rex, erat annorum octo. Regnat autem menses tres et dies decem in Jerusalem, et fecit malum in conspectu Domini. Et post annum mittens Nabuchodonosor transmigravit eum in Babyloniam simul cum sacris vasis Domini, et constituit Sedeciam regem Judææ et Jerusalem, cum esset annorum viginti unius. Regnat autem annis undecim, et fecit malum in conspectu Domini, et non est veritus a verbis quæ dicta sunt ab Jeremia propheta ex ore Domini. Et adjuratus a rege Nabuchodonosor nomine Domini, perjurans discessit. Et indurata cervice sua, et corde suo transgressus est legitima Domini Dei Israel. Et duces populi et sacerdotum multa impie egerunt etiam super omnes immunditias omnium gentium, et polluerunt templum Domini quod sanctum erat in Jerosolymis. Et misit Deus patrum ipsorum per angelum suum revocare eos, propterea quod parceret illis et tabernaculo suo. Ipsi vero subsannabant in angelis suis, et qua die locutus est Dominus, erant illudentes prophetis ejus, quoadusque ad iracundiam concitatus super gentem suam, propter impietates præciperet ascendere super eos reges Chaldæorum. Hi occiderunt juvenes eorum in gladio, in circuitu sancti templi eorum. Et non pepercerunt juveni et virgini et seni et adolescenti, sed omnes tradiderunt in manus eorum. Et omnia sacra vasa Domini magna et parva, et arcas Domini, et regales apothecas resumentes tulerunt in Babyloniam. Et incenderunt domum Domini, et demolierunt muros Jerusalem, et turres ejus incenderunt igne, et consummaverunt omnia honorifica ejus inutilia reddere, et reliquos abduxit cum gladio in Babylonem. Et fuerunt pueri ei et filiis ejus, usque dum regnarent Persæ, in repletionem verbi Domini in ore Jeremiæ. Quousque bene ageret terra sabbata sua, omni tempore desertionis suæ sabbatizabit in completionem annorum septuaginta.

CAPUT II.

Regnante Cyro, Persarum anno primo, in consummationem verbi Domini in ore Jeremiæ, suscitavit Dominus spiritum Cyri regis Persarum, et prædicavit in toto regno suo, et simul per scripta, dicens : Hæc dicit rex Persarum

ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ Κύριος τοῦ Ἰσραὴλ, Κύριος ὁ ὕψιστος, καὶ ἐσήμηνέ μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἱερουσαλὴμ, τῇ ἐν τῇ Ἰουδαίᾳ. Εἴτις ἐστὶν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ Κύριος αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἱερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ, οἰκοδομείτω τὸν οἶκον τοῦ Κυρίου τοῦ Ἰσραήλ. Οὗτος ὁ Κύριος, ὁ κατασκηνώσας ἐν Ἱερουσαλήμ. Ὅσοι οὖν κατὰ τοὺς τόπους οἰκοῦσι, βοηθείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ, ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ, ἐν δόσεσι μεθ' ἵππων καὶ κτηνῶν σὺν τοῖς ἄλλοις τοῖς κατ' εὐχὰς προστεθειμένοις εἰς τὸ ἱερὸν τοῦ Κυρίου τὸ ἐν Ἱερουσαλήμ. Καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν πατριῶν τῆς Ἰούδα καὶ Βενιαμὶν φυλῆς, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ πάντων ὧν ἤγειρε Κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι οἶκον τῷ Κυρίῳ τὸν ἐν Ἱερουσαλὴμ, καὶ οἱ περὶ κύκλῳ αὐτῶν ἐβοήθησαν ἐν πᾶσιν, ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις, κτήνεσιν, καὶ εὐχαῖς ὡς πλείσταις πολλῶν, ὧν ὁ νοῦς ἠγέρθη. Καὶ ὁ βασιλεὺς Κύρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ Κυρίου, ἃ μετήνεγκε Ναβουχοδονόσορ ἐξ Ἱερουσαλὴμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδωλείῳ αὐτοῦ. Ἐξενέγκας δὲ αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν παρέδωκεν αὐτὰ Μιθραδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι, διὰ δὲ τούτου παρεδόθησαν Σαμανασσάρῳ προστάτῃ τῆς Ἰουδαίας. Ὁ δὲ τούτων ἀριθμὸς ἦν· σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ χίλια, θυίσκαι ἀργυραῖ εἰκοσιεννέα, φιάλαι χρυσαῖ τριάκοντα, ἀργυραῖ δισχίλιαι τετρακόσιαι δέκα, καὶ ἄλλα σκεύη χίλια. Τὰ δὲ πάντα σκεύη ἐκομίσθη χρυσᾶ καὶ ἀργυρᾶ, πεντακισχίλια τετρακόσια ἑξηκονταεννέα. Ἀνηνέχθη δὲ ὑπὸ Σαμανασσάρου ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας, ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ. Ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τῶν Περσῶν βασιλέως χρόνοις κατέγραψαν αὐτῷ κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ, Βήλεμος, καὶ Μιθραδάτης, καὶ Ταβέλλιος, καὶ Ῥάθυμος, καὶ Βεέλτεθμος, καὶ Σαμέλλιος ὁ γραμματεὺς, καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμμένην ἐπιστολήν. Βασιλεῖ Ἀρταξέρξῃ κυρίῳ οἱ παῖδές σου Ῥάθυμος ὁ τὰ προσπίπτοντα, καὶ Σαμέλλιος ὁ γραμματεὺς, καὶ οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν, καὶ κριταὶ οἱ ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ. Καὶ νῦν γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ, ὅτι οἱ Ἰουδαῖοι ἀναβάντες παρ' ὑμῶν πρὸς ἡμᾶς, ἐλθόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν τὴν ἀποστάτιν καὶ πονηρὰν, οἰκοδομοῦσι τάς τε ἀγορὰς αὐτῆς, καὶ τὰ τείχη θεραπεύουσι, καὶ ναὸν ὑποβάλλονται. Ἐὰν οὖν ἡ πόλις αὕτη οἰκοδομηθῇ, καὶ τὰ τείχη συντελεσθῇ, φορολογίαν οὐ μὴ ὑπομείνωσι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. Καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναὸν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν τὸ τοιοῦτο, ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ βασιλεῖ, ὅπως, ἂν φαίνηταί σοι, ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ τῶν πατέρων σου βιβλίοις, καὶ εὑρήσεις ἐν τοῖς ὑπομνηματισμοῖς γεγραμμένα περὶ τούτων, καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν ἀποστάτις, καὶ βασιλεῖς καὶ πόλεις ἐνοχλοῦσα, καὶ οἱ Ἰουδαῖοι ἀποστάται καὶ πολιορκίας συνιστάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος· δι' ἣν αἰτίαν καὶ ἡ πόλις αὕτη ἠρημώθη. Νῦν οὖν ὑποδεικνύομέν σοι, κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ πόλις αὕτη οἰκοδομηθῇ, καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, κάθοδος οὐκ ἔτι σοι ἔσται εἰς κοίλην Συρίαν καὶ Φοινίκην.

Cyrus : Me constituit regem orbis terrarum Dominus Israel, Dominus excelsus : et significavit mihi ædificare sibi domum in Jerusalem, quæ est in Judæa. Si quis est igitur vestrum de gente ejus, sit Dominus ipsius cum eo, et ascendens in Jerusalem quæ in Judæa, ædificet domum Domini Israel. Hic Dominus, qui habitaculum fixit in Jerusalem. Quotquot ergo circa loca habitant, adjuvent eum qui in loco ipsius, in auro et in argento, et in dationibus cum equis et in jumentis cum aliis quæ secundum vota apponuntur in ædem Domini quæ est in Jerusalem. Et stantes principes tribuum patriarum Juda, et Benjamin tribus, et sacerdotes et Levitæ, et de omnibus quorum suscitavit Dominus spiritum ascendere ad ædificandam domum Domini quæ est in Jerusalem, et qui erant in circuitu eorum adjuverunt in omnibus, in argento et auro, equis, jumentis, et votis compluribus multis, quorum sensus excitatus est. Et rex Cyrus protulit sacra vasa Domini, quæ transtulit Nabuchodonosor ex Jerusalem, et fixit ea in idolio suo. Et proferens ea Cyrus rex Persarum tradidit ea Mithridati, qui erat super thesauros ipsius, per hunc autem tradita sunt Samanassaro præsidi Judææ. Horum autem numerus fuit : libatoria aurea mille, libatoria argentea mille, mortariola argentea viginti novem, phialæ aureæ triginta, argenteæ duo millia quadringentæ decem, et alia vasa mille. Omnia autem vasa reportata sunt aurea et argentea, quinque millia quadringenta sexaginta novem. Reportata autem sunt a Samanassaro simul cum his qui ex captivitate, e Babylonia in Jerusalem. In Artaxersis autem regis Persarum temporibus scripserunt ei de his qui habitabant in Judæa et Jerusalem, Belemus, et Mithridates, et Tabellius, et Rathimus, et Beeltethmus, et Samellius scriba, et cæteri his coordinati, et habitantes in Samaria et cæteris locis, subjectam epistolam. Regi Artaxersi domino pueri tui Rathimus ab accidentibus, et Samellius scriba, et reliqui curiæ suæ, et judices in Cœlesyria, et Phœnice. Et nunc notum sit domino regi, quoniam Judæi qui ascenderunt a vobis ad nos, venientes in Jerusalem civitatem refugam et pessimam, ædificant fora ejus, et statuerunt muros, et templum suscitant. Quod si civitas ista ædificata fuerit, et muri consummati fuerint, tributa non sustinebunt pendere, sed etiam regibus resistent. Et quia aguntur quæ circa templum, recte habere arbitrati sumus non despicere hoc ipsum, sed notum facere domino regi, ut, si videbitur tibi, quæratur in libris patrum tuorum, et invenies in admonitionibus scripta de his, et scies quoniam civitas ista fuit refuga, et reges et civitates concutiens, et Judæi refugæ et oppressiones committentes in ea ab æterno : ob quam causam civitas ista deserta est. Nunc ergo notum facimus tibi, domine rex, quoniam si civitas hæc ædificata fuerit, et hujus muri erecti fuerint, descensus tibi ultra non erit in Cœlesyriam et Phœnicen. Tunc

Τότε ἀντέγραψεν ὁ βασιλεὺς Ῥαθύμῳ τῷ γράφοντι τὰ προςπίπτοντα, καὶ Βεελτέθμῳ, καὶ Σαμελλίῳ γραμματεῖ, καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις καὶ οἰκοῦσιν ἐν τῇ Σαμαρείᾳ, καὶ Συρίᾳ καὶ Φοινίκῃ τὰ ὑπογεγραμμένα. Ἀνέγνων τὴν ἐπιστολὴν ἣν πεπόμφατε πρὸς μέ. Ἐπέταξα οὖν ἐπισκέψασθαι· καὶ εὑρέθη ὅτι ἡ πόλις ἐκείνη ἐστὶν ἐξ αἰῶνος βασιλεῦσιν ἀντιπαρατάσσουσα, καὶ οἱ ἄνθρωποι ἀποστάσεις καὶ πολέμους ἐν αὐτῇ συντελοῦντες· καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ ἦσαν ἐν Ἱερουσαλὴμ, κυριεύοντες καὶ φορολογοῦντες κοίλην Συρίαν καὶ Φοινίκην. Νῦν οὖν ἐπέταξα ἀποκωλῦσαι τοὺς ἀνθρώπους ἐκείνους τοῦ οἰκοδομῆσαι τὴν πόλιν, καὶ προνοηθῆναι ὅπως μηδὲν παρὰ ταῦτα γένηται, καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς κακίας, εἰς τὸ βασιλεῖς ἐνοχλῆσαι. Τότε, ἀναγνωσθέντων τῶν παρὰ τοῦ βασιλέως Ἀρταξέρξου γραφέντων, Ῥάθυμος, καὶ Σαμέλλιος ὁ γραμματεὺς, καὶ οἱ τούτοις συντασσόμενοι, ἀναζεύξαντες εἰς Ἱερουσαλὴμ κατὰ σπουδὴν μεθ' ἵππου καὶ ὄχλου παρατάξεως, ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας. Καὶ ἤργει ἡ οἰκοδομὴ τοῦ ἱεροῦ τοῦ ἐν Ἱερουσαλὴμ μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Περσῶν βασιλέως.

scripsit rex Rathimo qui scribebat accidentia, et Beeltethmo, et Samelio scribæ, et cæteris coordinatis et habitantibus in Samaria, et Syria et Phœnice, ea quæ subjecta sunt. Legi epistolam quam misistis mihi. Præcepi ergo inquiri : et inventum est quoniam civitas illa est ab ævo regibus resistens, et homines rebelliones et prælia in ea efficientes : et reges fortes et duri erant in Jerusalem, dominantes et tributa exigentes a Cœlesyria et Phœnice. Nunc ergo præcepi prohibere illos ædificare civitatem, et providere ne quid ultra hæc fiat, et non procedant in plus malitiæ, ita ut regibus molestia importetur. Tunc, recitatis his quæ a rege Artaxerse scripta fuerunt, Rathimus, et Samellius scriba, et qui cum his constituti erant, jungentes festinanter in Jerusalem cum equitatu et turba agminis, cœperunt prohibere ædificantes. Et vacabat ædificatio templi in Jerusalem usque ad secundum annum regni Darii regis Persarum.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Καὶ βασιλεὺς Δαρεῖος ἐποίησε δοχὴν μεγάλην πᾶσι τοῖς ὑπ' αὐτὸν, καὶ πᾶσι τοῖς οἰκογενέσιν αὐτοῦ, καὶ πᾶσι τοῖς μεγιστᾶσι τῆς Μηδίας καὶ τῆς Περσίδος, καὶ πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς καὶ τοπάρχαις τοῖς ὑπ' αὐτὸν, ἀπὸ τῆς Ἰνδικῆς μέχρις Αἰθιοπίας ἐν ταῖς ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις. Καὶ ἐφάγοσαν καὶ ἐπίοσαν, καὶ ἐμπλησθέντες ἀνέλυσαν. Ὁ δὲ Δαρεῖος ὁ βασιλεὺς ἀνέλυσεν εἰς τὸν κοιτῶνα ἑαυτοῦ, καὶ ἐκοιμήθη, καὶ ἔξυπνος ἐγένετο. Τότε οἱ τρεῖς νεανίσκοι οἱ σωματοφύλακες οἱ φυλάσσοντες τὸ σῶμα τοῦ βασιλέως, εἶπαν ἕτερος πρὸς τὸν ἕτερον· Εἴπωμεν ἕκαστος ἡμῶν ἕνα λόγον, ὃς ὑπερισχύσει· καὶ οὗ ἐὰν φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον τοῦ ἑτέρου, δώσει αὐτῷ Δαρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας, καὶ ἐπινίκια μεγάλα, καὶ πορφύραν περιβαλέσθαι, καὶ ἐν χρυσώμασι πίνειν, καὶ ἐπὶ χρυσῷ καθεύδειν, καὶ ἅρμα χρυσοχάλινον, καὶ κίδαριν βυσσίνην, καὶ μανιάκην περὶ τὸν τράχηλον· καὶ δεύτερος καθιεῖται Δαρείου διὰ τὴν σοφίαν αὐτοῦ, καὶ συγγενὴς Δαρείου κληθήσεται. Καὶ τότε γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λόγον ἐσφραγίσαντο, καὶ ἔθηκαν ὑπὸ τὸ προςκεφάλαιον Δαρείου τοῦ βασιλέως, καὶ εἶπαν· Ὅταν ἐγερθῇ ὁ βασιλεὺς, δώσουσιν αὐτῷ τὸ γράμμα. Καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς καὶ οἱ τρεῖς μεγιστᾶνες τῆς Περσίδος, ὅτι οὗ ὁ λόγος αὐτοῦ σοφώτερος, αὐτῷ δοθήσεται τὸ νῖκος καθὼς γέγραπται. Ὁ εἷς ἔγραψεν· Ὑπερισχύει ὁ οἶνος. Ὁ ἕτερος ἔγραψεν· Ὑπερισχύει ὁ βασιλεύς. Ὁ τρίτος ἔγραψεν· Ὑπερισχύουσιν αἱ γυναῖκες, ὑπὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια. Καὶ ὅτε ἐξηγέρθη ὁ βασιλεὺς, λαβόντες τὸ γράμμα ἔδωκαν αὐτῷ, καὶ ἀνέγνω. Καὶ ἐξαποστείλας ἐκάλεσε πάντας τοὺς μεγιστᾶνας τῆς Περσίδος καὶ τῆς Μηδείας, καὶ τοὺς σατράπας καὶ στρατηγοὺς, καὶ τοπάρχας καὶ ὑπάτους, καὶ ἐκάθισεν ἐν τῷ χρηματιστηρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν. Καὶ εἶπε· Καλέσατε τοὺς νεανίσκους, καὶ αὐτοὶ δηλώσουσι τοὺς λόγους ἑαυτῶν. Καὶ ἐκλήθησαν, καὶ εἰςῆλθοσαν. Καὶ εἶπαν αὐτοῖς·

CAPUT III.

Et rex Darius fecit cœnam magnam omnibus qui sub ipso, et omnibus vernaculis suis, et omnibus magistratibus Mediæ et Persidis, et omnibus purpuratis et ducibus et locorum præfectis, et qui sub ipso ab India usque Æthiopiam in centum viginti septem provinciis. Et manducaverunt et biberunt, et saturati reverterunt. Darius autem rex ascendit in cubiculum suum, et dormivit, et expergefactus est. Tunc illi tres juvenes corporis custodes qui custodiebant corpus regis, dixerunt alter alteri : Dicamus unusquisque nostrum unum sermonem, qui præcellat : et cujuscumque apparuerit sermo sapientior alterius, dabit illi rex Darius dona magna, et epinicia magna, et purpura cooperiri, et in auro bibere, et super aurum dormire, et currum aureo freno, et cydarim byssinam, et torquem circa collum : et secundo loco sedebit a Dario propter sapientiam suam, et cognatus Darii vocabitur. Tunc scribentes singuli suum verbum signaverunt, et posuerunt subtus cervical Darii regis, et dixerunt : Cum surrexerit rex, dabunt ei scriptum. Et quodcumque judicaverit rex et tres magistratus Persidis, quoniam verbum ejus sapientius est, ipsi dabitur victoria sicut scriptum est. Unus scripsit : Forte est vinum. Alius scripsit : Fortior est rex. Tertius scripsit : Fortiores sunt mulieres, super omnia autem vincit veritas. Et cum surrexisset rex, accipientes scriptum dederunt ei, et legit. Et mittens vocavit omnes magistratus Persidis et Mediæ, et purpuratos et duces, et prætores et consules, et sedit in concilio, et lectum est scriptum coram ipsis. Et dixit : Vocate adolescentes, et ipsi indicabunt verba sua. Et vocati sunt, et introierunt. Et dixerunt eis : Judicate

Ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων. Καὶ ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου, καὶ ἔφη οὕτως· Ἄνδρες, πῶς ὑπερισχύει ὁ οἶνος; Πάντας τοὺς ἀνθρώπους τοὺς πιόντας αὐτὸν πλανᾷ, τὴν διάνοιαν τοῦ τε βασιλέως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν, τήν τε τοῦ οἰκέτου καὶ τὴν τοῦ ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν τοῦ πλουσίου. Καὶ πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐφροσύνην, καὶ οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα, καὶ πάσας καρδίας ποιεῖ πλουσίας, καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σατράπην. Καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν, καὶ οὐ μέμνηνται ὅταν πίνωσιν φιλιάζειν φίλοις καὶ ἀδελφοῖς, καὶ μετ' οὐ πολὺ σπῶνται τὰς μαχαίρας. Καὶ ὅταν ἀπὸ τοῦ οἴνου ἐγερθῶσιν, οὐ μέμνηνται ἃ ἔπραξαν. Ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶνος, ὅτι οὕτως ἀναγκάζει ποιεῖν; Καὶ ἐσίγησεν οὕτως εἴπας.

nobis de his quæ scripta sunt. Et cœpit prior qui dixerat de fortitudine vini, et dixit ita : Viri, quam prævalet vinum! Omnes homines qui bibunt illud seducit, mentem regis et orphani facit mentem unam, item servi ac liberi, pauperis ac divitis. Et omnem mentem convertit in securitatem et jucunditatem, et non meminit omnem tristitiam et omne debitum, et omnia corda facit opulenta, et non meminit regem nec magistratum. Et omnia per talenta loqui facit, et non meminerunt cum biberint amicitiam nec fraternitatem, sed non multum post sumunt gladios. Et cum a vino surrexerint, non meminerunt quæ gesserunt. O viri, nonne præcellit vinum, quia sic cogit facere? Et tacuit hoc dicto.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν, ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ βασιλέως. Ὦ ἄνδρες, οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι, τὴν γῆν καὶ τὴν θάλασσαν κατακρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς; Ὁ δὲ βασιλεὺς ὑπερισχύει, καὶ κυριεύει αὐτῶν καὶ δεσπόζει αὐτῶν· καὶ πᾶν ὃ ἐὰν εἴπῃ αὐτοῖς, ἐνακούουσιν. Ἐὰν εἴπῃ αὐτοῖς ποιῆσαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν. Ἐὰν δὲ ἐξαποστείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσι, καὶ κατεργάζονται τὰ ὄρη καὶ τὰ τείχη καὶ τοὺς πύργους, φονεύουσι καὶ φονεύονται, καὶ τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν. Ἐὰν δὲ νικήσωσι, τῷ βασιλεῖ κομίζουσι πάντα, καὶ ἐὰν προνομεύσωσι, καὶ τὰ ἄλλα πάντα. Καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ πολεμοῦσιν, ἀλλὰ γεωργοῦσι τὴν γῆν, πάλιν, ὅταν σπείρωσι, θερίσαντες ἀναφέρουσι τῷ βασιλεῖ. Καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέρουσι τοὺς φόρους τῷ βασιλεῖ. Καὶ αὐτὸς εἷς μόνος ἐστίν. Ἐὰν εἴπῃ ἀποκτεῖναι, ἀποκτέννουσιν. Ἐὰν εἴπῃ ἀφεῖναι, ἀφιοῦσιν. Εἶπε πατάξαι, τύπτουσιν. Εἶπεν ἐρημῶσαι, ἐρημοῦσιν. Εἶπεν οἰκοδομῆσαι, οἰκοδομοῦσιν. Εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν. Εἶπε φυτεῦσαι, φυτεύουσι. Καὶ πᾶς ὁ λαὸς αὐτοῦ καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσι. Πρὸς δὲ τούτοις, αὐτὸς ἀνάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει· αὐτοὶ δὲ τηροῦσι κύκλῳ περὶ αὐτόν. Καὶ οὐ δύνανται ἕκαστος ἀπελθεῖν, καὶ ποιεῖν τὰ ἔργα αὐτοῦ, οὐδὲ παρακούουσιν αὐτοῦ. Ὦ ἄνδρες, πῶς οὐχ ὑπερισχύει ὁ βασιλεύς, ὅτι οὕτως ἐπάκουστός ἐστι; Καὶ ἐσίγησεν. Ὁ δὲ τρίτος ὁ εἴπας περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας, οὗτός ἐστι Ζοροβάβελ, ἤρξατο λαλεῖν· Ἄνδρες, οὐ μέγας ὁ βασιλεύς, καὶ πολλοὶ οἱ ἄνθρωποι, καὶ ὁ οἶνος ἰσχύει; Τίς οὖν ὁ δεσπόζων αὐτῶν, ἢ τίς ὁ κυριεύων αὐτῶν; Οὐχ αἱ γυναῖκες; Αἱ γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαὸν ὃς κυριεύει τῆς θαλάσσης καὶ τῆς γῆς, καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται ἐξέθρεψαν αὐτοὺς τοὺς φυτεύσαντας τοὺς ἀμπελῶνας ἐξ ὧν ὁ οἶνος γίνεται. Καὶ αὗται ποιοῦσι τὰς στολὰς τῶν ἀνθρώπων, καὶ αὗται ποιοῦσι δόξαν τοῖς ἀνθρώποις, καὶ οὐ δύνανται οἱ ἄνθρωποι χωρὶς τῶν γυναικῶν εἶναι. Ἐὰν δὲ συναγάγωσι χρυσίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον, καὶ ἴδωσι γυναῖκα μίαν καλὴν τῷ εἴδει καὶ τῷ κάλλει, ταῦτα πάντα ἀφέντες, εἰς αὐτὴν ἐκκέχηναν, καὶ χάσκοντες

CAPUT IV.

Et inchoavit sequens dicere, qui dixit de fortitudine regis. O viri, nonne præcellunt homines, qui terram et mare obtinent et omnia quæ in eis sunt? Rex autem præcellit, et dominatur eorum et imperat eis : et omne quodcumque dixerit illis, obediunt. Si dixerit eis ut faciat bellum alter adversus alterum, faciunt. Et si miserit illos ad hostes bellatores, vadunt, et demoliuntur montes et muros et turres, jugulant et jugulantur, et regis verbum non prætereunt. Quod si vicerint, afferunt regi omnia, et quæcumque prædati fuerint, et alia omnia. Et quotquot non militant nec pugnant, sed colunt terram, rursum, cum severint, metentes afferunt regi. Et alter alterum cogentes, afferunt tributa regi. Et ipse unus solus est. Si dixerit, occidite, occidunt. Si dixerit, remittite, remittunt. Dixerit, percutite, percutiunt. Dixerit, exterminate, exterminant. Dixerit, ædificate, ædificant. Dixerit, excidite, excidunt. Dixerit, plantate, plantant. Et omnis plebs ejus et virtutes eum obaudiunt. Et super hæc ipse recumbit, comedit et bibit, et dormit : hi autem custodiunt in circuitu eum. Et non possunt unusquisque abire, et facere opera sua neque negligenter audiunt eum. Viri, quomodo non præcellit rex, cui sic obeditur? Et tacuit. Tertius, qui dixerat de mulieribus et veritate, hic est Zorobabel, cœpit loqui : Viri, non magnus rex, et multi homines, et vinum præcellit? Quis est ergo, qui imperat eis, aut quis qui dominatur eorum? Nonne mulieres? Mulieres genuerunt regem et omnem populum qui dominatur mari et terræ, et ex illis nati sunt, et ipsæ educaverunt eos qui plantaverunt vineas ex quibus vinum fit. Et ipsæ faciunt stolas hominum, et ipsæ faciunt gloriam hominibus, et non possunt homines sine mulieribus esse. Si autem congregaverint aurum et argentum et omnem rem speciosam, et viderint mulierem unam bono habitu et bona specie, omnia hæc relinquen-

τὸ στόμα θεωροῦσιν αὐτὴν, καὶ πάντες αὐτὴν αἱρετίζουσι μᾶλλον ἢ τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον. Ἄνθρωπος τὸν ἑαυτοῦ πατέρα ἐγκαταλείπει ὃς ἐξέθρεψεν αὐτὸν, καὶ τὴν ἰδίαν χώραν, καὶ πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται, καὶ μετὰ τῆς γυναικὸς ἀφίησι τὴν ψυχὴν, καὶ οὔτε τὸν πατέρα μέμνηται, οὔτε τὴν μητέρα, οὔτε τὴν χώραν. Καὶ ἐντεῦθεν δεῖ ὑμᾶς γνῶναι, ὅτι αἱ γυναῖκες κυριεύουσιν ὑμῶν. Οὐχὶ πονεῖτε, καὶ μοχθεῖτε, καὶ πάντα ταῖς γυναιξὶ δίδοτε καὶ φέρετε; Καὶ λαμβάνει ὁ ἄνθρωπος τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἐκπορεύεται ἐξοδεύειν καὶ λῃστεύειν καὶ κλέπτειν, καὶ εἰς τὴν θάλασσαν πλεῖν καὶ ποταμοὺς, καὶ τὸν λέοντα θεωρεῖ, καὶ ἐν σκότει βαδίζει· καὶ ὅταν κλέψῃ καὶ ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ ἀποφέρει. Καὶ πλεῖον ἀγαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον ἢ τὸν πατέρα καὶ τὴν μητέρα. Καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις διανοίαις διὰ τὰς γυναῖκας, καὶ δοῦλοι ἐγένοντο δι' αὐτὰς, καὶ πολλοὶ ἀπώλοντο καὶ ἐσφάλησαν καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας. Καὶ νῦν οὐ πιστεύετέ μοι; Οὐχὶ μέγας ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦνται ἅψασθαι αὐτοῦ; Ἐθεώρουν αὐτὸν καὶ Ἀπάμην τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμαστοῦ, τὴν παλλακὴν τοῦ βασιλέως, καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως, καὶ ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως, καὶ ἐπιτιθοῦσαν ἑαυτῇ. Καὶ ἐῤῥάπιζε τὸν βασιλέα τῇ ἀριστερᾷ, καὶ πρὸς τούτοις ὁ βασιλεὺς χάσκων τὸ στόμα ἐθεώρει αὐτήν. Καὶ ἐὰν προςγελάσῃ αὐτῷ, γελᾷ· ἐὰν δὲ πικρανθῇ ἐπ' αὐτὸν, κολακεύει αὐτὴν, ὅπως διαλλαγῇ αὐτῷ. Ὦ ἄνδρες, πῶς οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες, ὅτι οὕτως πράσσουσι; Καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἔβλεπον εἰς τὸν ἕτερον. Καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας. Ἄνδρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; Μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρανὸς, καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ. Οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ; Καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα. Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει, καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδικον οὐδέν. Ἄδικος ὁ οἶνος, ἄδικος ὁ βασιλεὺς, ἄδικοι αἱ γυναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων, καὶ ἄδικα πάντα τὰ ἔργα αὐτῶν τὰ τοιαῦτα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια, καὶ ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται. Καὶ ἡ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα, καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ οὐκ ἔστι παρ' αὐτὴν λαμβάνειν πρόσωπα, οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν. Καὶ πάντες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς, καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐδὲν ἄδικον· καὶ αὕτη, ἡ ἰσχὺς, καὶ τὸ βασίλειον, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλειότης τῶν πάντων αἰώνων. Εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας. Καὶ ἐσιώπησε τοῦ λαλεῖν. Καὶ πᾶς ὁ λαὸς τότε ἐφώνησε, καὶ τότε εἶπον· Μεγάλη ἡ ἀλήθεια, καὶ ὑπερισχύει. Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ· Αἴτησαι ὃ θέλεις πλείω τῶν γεγραμμένων, καὶ δώσομέν σοι ὃν τρόπον εὑρέθης σοφώτερος· καὶ ἐχόμενός μου καθήσῃ, καὶ συγγενής μου κληθήσῃ. Τότε εἶπε τῷ βασιλεῖ· Μνήσθητι τὴν εὐχὴν, ἣν ηὔξω, οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ᾗ τὸ βασίλειόν σου παρέλαβες, καὶ πάντα τὰ σκεύη

tes, in eam intendunt, et aperto ore conspiciunt eam, et omnes eam eligunt magis quam aurum et argentum et omnem rem speciosam. Homo patrem suum relinquit qui enutriit illum, et suam regionem, et ad propriam mulierem se conjungit, et cum muliere remittit animam, et neque patrem meminit, neque matrem, neque regionem. Et hinc oportet vos scire, quoniam mulieres dominantur vestri. Nonne laboratis, et doletis, et omnia mulieribus datis et affertis? Et accipit homo gladium suum, et egreditur insidiari viis et latrocinari et furta facere, et mare navigare, et flumina et leonem videt, et in tenebris ingreditur : et cum furtum fecerit, et rapinas et prædas amicæ affert. Et iterum diligit homo uxorem suam magis quam patrem et matrem. Et multi dementes facti sunt propter mulieres, et servi facti sunt propter illas, et multi perierunt et male rem gesserunt et peccaverunt propter mulieres. Et nunc non creditis mihi? Nonne magnus est rex in potestate sua? nonne omnes regiones verentur tangere eum? Considerabam eum et 'Apamen filiam Bartacis mirifici, concubinam regis, sedentem ad dexteram regis, et auferentem diadema de capite regis, et imponentem sibi. Et palmis cædebat regem de sinistra manu, et super hæc rex aperto ore intuebatur eam. Et si arriserit ei, ridet : et si indignata ei fuerit, blanditur ei, donec reconcilietur ei. O viri, cur non sunt fortes mulieres, quia sic faciunt? Et tunc rex et purpurati intuebantur in alterutrum. Et inchoavit loqui de veritate. Viri, nonne fortes sunt mulieres? Magna est terra, et excelsum est cœlum, et velox cursu sol, quoniam vertitur in gyro cœli, et rursus recurrit in locum suum in una die. Nonne magnus est qui hæc facit? Et veritas magna et fortior præ omnibus. Omnis terra veritatem invocat, cœlum etiam ipsam benedicit, et omnia opera moventur et tremunt et non est cum ea quicquam iniquum. Vinum iniquum, iniquus rex, iniquæ mulieres, iniqui omnes filii hominum, et iniqua omnia opera eorum hæc, et non est in ipsis veritas, et in sua iniquitate peribunt. Et veritas manet et invalescit in æternum, et vivit et obtinet in sæculum sæculi. Nec est apud eam accipere personas, neque differentia, sed quæ justa sunt facit ab omnibus injustis ac malignis. Et omnes benignantur operibus ejus, et non est in judicio ejus quicquam iniquum : et hæc, fortitudo, et regnum, et potestas, et majestas omnium ævorum. Benedictus Deus veritatis. Et desiit loquendo. Et omnis populus tunc clamavit : et tunc dixerunt : Magna est veritas, et prævalet. Tunc rex ait illi : Pete, si quid vis amplius quam quæ scripta sunt, et dabimus tibi secundum quod inventus es sapientior : et proximus mihi sedebis, et cognatus meus vocaberis. Tunc ait regi : Memor esto voti, quod vovisti, ædificare Jerusalem, in die qua regnum tuum accepisti, et omnia vasa, quæ accepta sunt ex

τὰ ληφθέντα ἐξ Ἱερουσαλὴμ, καὶ ἐκπέμψαι ἃ ἐχώρισε Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα, καὶ ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ. Καὶ σὺ ηὔξω οἰκοδομῆσαι τὸν ναὸν ὃν ἐνεπύρισαν οἱ Ἰδουμαῖοι, ὅτε ἠρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν Χαλδαίων. Καὶ νῦν τοῦτό ἐστιν ὅ σε ἀξιῶ, κύριε βασιλεῦ, καὶ ὃ αἰτοῦμαί σε, καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ. Δέομαι οὖν ἵνα ποιήσῃς τὴν εὐχὴν ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρανοῦ ποιῆσαι ἐκ στόματός σου. Τότε ἀναστὰς Δαρεῖος ὁ βασιλεὺς κατεφίλησεν αὐτὸν, καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς πρὸς πάντας τοὺς οἰκονόμους, καὶ τοπάρχας, καὶ στρατηγοὺς, καὶ σατράπας, ἵνα προπέμψωσιν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ, πάντας ἀναβαίνοντας οἰκοδομῆσαι τὴν Ἱερουσαλήμ. Καὶ πᾶσι τοῖς τοπάρχαις ἐν κοίλῃ Συρίᾳ, καὶ Φοινίκῃ, καὶ τοῖς ἐν τῷ Λιβάνῳ, ἔγραψεν ἐπιστολὰς, μεταφέρειν ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου εἰς Ἱερουσαλὴμ, καὶ ὅπως οἰκοδομήσωσι μετ' αὐτοῦ τὴν πόλιν. Καὶ ἔγραψε πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ τῆς βασιλείας εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα δυνατὸν, καὶ τοπάρχην, καὶ σατράπην, καὶ οἰκονόμον μὴ ἐπελεύσεσθαι ἐπὶ τὰς θύρας αὐτῶν, καὶ πᾶσαν τὴν χώραν, ἣν κρατοῦσιν, ἀφορολόγητον αὐτοῖς ὑπάρχειν. Καὶ ἵνα οἱ Ἰδουμαῖοι ἀφίωσι τὰς κώμας ἃς διακρατοῦσι τῶν Ἰουδαίων. Καὶ εἰς τὴν οἰκοδομὴν τοῦ ἱεροῦ δοθῆναι κατ' ἐνιαυτὸν τάλαντα εἴκοσι, μέχρι τοῦ οἰκοδομηθῆναι. Καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαυτώματα καρποῦσθαι καθ' ἡμέραν, καθὰ ἔχουσιν ἐντολὴν, ἑπτακαίδεκα προσφέρειν ἄλλα τάλαντα, δέκα κατ' ἐνιαυτόν. Καὶ πᾶσι τοῖς προςβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι τὴν πόλιν, ὑπάρχειν τὴν ἐλευθερίαν αὐτοῖς τε καὶ τοῖς ἐκγόνοις αὐτῶν, καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προςβαίνουσιν. Ἔγραψε δὲ καὶ τὴν χορηγίαν καὶ τὴν ἱερατικὴν στολὴν ἐν τίνι λατρεύουσιν ἐν αὐτῇ. Καὶ τοῖς Λευίταις ἔγραψε δοῦναι τὴν χορηγίαν, ἕως τῆς ἡμέρας ἧς ἐπιτελεσθῇ ὁ οἶκος καὶ Ἱερουσαλὴμ οἰκοδομηθῆναι. Καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώνια. Καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη ἃ ἐχώρισε Κῦρος ἀπὸ Βαβυλῶνος. Καὶ πάντα ὅσα εἶπε Κῦρος ποιῆσαι, καὶ αὐτὸς ἐπέταξε ποιῆσαι, καὶ ἐξαποστεῖλαι εἰς Ἱερουσαλήμ. Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν, ἐναντίον Ἱερουσαλὴμ, εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ, λέγων· Παρὰ σοῦ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα, καὶ ἐγὼ σὸς οἰκέτης. Εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν, καὶ σοὶ ὁμολογῶ, δέσποτα τῶν πατέρων. Καὶ ἔλαβε τὰς ἐπιστολὰς, καὶ ἐξῆλθε, καὶ ἦλθεν εἰς Βαβυλῶνα, καὶ ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσι. Καὶ εὐλόγησαν τὸν Θεὸν τῶν πατέρων αὐτῶν, ὅτι ἔδωκεν αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν, ἀναβῆναι καὶ οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ἱερὸν οὗ ὠνομάσθη τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτῷ. Καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ χαρᾶς ἡμέρας ἑπτά.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν κατὰ φυλὰς αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες, καὶ οἱ παῖδες αὐτῶν, καὶ αἱ παιδίσκαι, καὶ τὰ κτήνη αὐτῶν. Καὶ Δαρεῖος συναπέστειλε μετ' αὐτῶν ἱππεῖς χιλίους, ἕως τοῦ ἀποκαταστῆσαι αὐτοὺς εἰς Ἱερουσαλὴμ μετ' εἰρήνης, καὶ

Jerusalem, et remittere quæ separavit Cyrus, quando vovit excidere Babyloniam, et vovit remittere illuc. Et tu vovisti ædificare templum quod incenderunt Idumæi, quando exterminata est Judæa a Chaldæis. Et nunc hoc est quod a te postulo, domine rex, et quod peto a te, et hæc est majestas quæ a te. Postulo igitur ut facias votum quod vovisti regi cœli facere ex ore tuo. Tunc surgens Darius rex osculatus est illum, et scripsit ei epistolas ad omnes dispensatores, et locorum præfectos, et duces, et purpuratos, ut deducerent eum et eos qui cum illo erant, omnes ascendentes ædificare Jerusalem. Et omnibus provinciarum præfectis in Cœle syria, et Phœnice, et qui in Libano, scripsit epistolas, ut transferrent ligna cedrina a Libano in Jerusalem, et ut ædificarent cum eo civitatem. Et scripsit omnibus Judæis, qui ascendebant a regno in Judæam pro libertate, omnem potentem, et præfectum, et purpuratum, et dispensatorem non supervenire ad januas ipsorum, et omnem regionem, quam obtinent, immunem eis esse. Et ut Idumæi relinquant castella quæ obtinent Judæorum. Et in structuram templi dare per singulos annos talenta viginti, usque dum perædificaretur. Et super altare holocaustomata offerre quotidie, sicut habent præceptum, septem et decem offerre alia talenta, decem per singulos annos : et omnibus qui accedunt a Babylonia condere civitatem, ut esset libertas ipsis et filiis eorum, et omnibus sacerdotibus qui accederent. Scripsit autem et contributionem et sacram stolam in qua deserviunt in ea. Et Levitis scripsit dari contributionem, usque in diem qua consummabitur domus et Jerusalem exstruetur. Et omnibus custodientibus civitatem scripsit dari eis sortes, et stipendia. Et dimisit omnia vasa, quæcumque separaverat Cyrus e Babylonia. Et omnia quæcumque dixit Cyrus facere, et ipse præcepit fieri, et mitti Jerusalem. Et cum processisset ille adolescens, elevans faciem in cœlum, e regione Jerusalem, benedixit regem cœli, dicens : Abs te est victoria, et abs te est sapientia, et tua est gloria, et ego tuus servus. Benedictus es, qui dedisti mihi sapientiam, et tibi confitebor, domine patrum. Et accepit epistolas, et exivit, et venit in Babyloniam, et nuntiavit fratribus suis omnibus. Et benedixerunt Deum patrum suorum, quoniam dedit illis refrigerium et remissionem, ut ascenderent et ædificarent Jerusalem et templum ubi nominatum est nomen ejus in ipso. Et exultaverunt cum musicis et lætitia diebus septem.

CAPUT V.

Post hæc autem electi sunt ut ascenderent principes domus patriarum per tribus suas, et uxores illorum, et filii eorum, et filiæ, et servi ipsorum, et ancillæ, et pecora eorum. Et Darius misit una cum eis equites mille, donec deducerent eos in Jerusalem cum pace, et cum musicis

μετὰ μουσικῶν τυμπάνων, καὶ αὐλῶν. Καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, καὶ ἐποίησεν αὐτοῖς συναναβῆναι μετ' ἐκείνων. Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν εἰς τὰς φυλὰς, ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. Οἱ ἱερεῖς υἱοὶ Φινεὲς υἱοὶ Ἀαρὼν, Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ τοῦ Σαραίου, καὶ Ἰωακὶμ ὁ τοῦ Ζοροβάβελ τοῦ Σαλαθιὴλ, ἐκ τοῦ οἴκου τοῦ Δαυὶδ, ἐκ τῆς γενεᾶς Φαρὲς, φυλῆς δὲ Ἰούδα, ὃς ἐλάλησεν ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν λόγους σοφοὺς ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ, μηνὶ νισὰν, τοῦ πρώτου μηνός. Εἰσὶ δὲ οὗτοι οἱ ἐκ τῆς Ἰουδαίας ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας, οὓς μετῴκισεν Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα. Καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ καὶ τὴν λοιπὴν Ἰουδαίαν, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ ἐλθόντες μετὰ Ζοροβάβελ, καὶ Ἰησοῦ, Νεεμίου, Ζαραίου, Ῥησαίου, Ἐνηνέος, Μαρδοχαίου, Βεελσάρου, Ἀσφαράσου, Ῥεελίου, Ῥοΐμου, Βαανὰ, τῶν προηγουμένων αὐτῶν. Ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους, καὶ οἱ προηγούμενοι αὐτῶν. Υἱοὶ Φόρος, δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομηκονταδύο. Υἱοὶ Σαφὰτ, τετρακόσιοι ἑβδομηκονταδύο. Υἱοὶ Ἀρὲς, ἑπτακόσιοι πεντηκονταέξ. Υἱοὶ Φαὰθ Μωὰβ εἰς τοὺς υἱοὺς Ἰησοῦ καὶ Ἰωὰβ, δισχίλιοι ὀκτακόσιοι δεκαδύο. Υἱοὶ Ἠλὰμ, χίλιοι διακόσιοι πεντηκοντατέσσαρες. Υἱοὶ Ζαθουΐ, ἐννακόσιοι ἑβδομηκονταπέντε. Υἱοὶ Χορβὲ, ἑπτακόσιοι πέντε. Υἱοὶ Βανὶ, ἑξακόσιοι τεσσαρακονταοκτώ. Υἱοὶ Βηβαὶ, ἑξακόσιοι τριακοντατρεῖς. Υἱοὶ Ἀργαὶ, χίλιοι τριακόσιοι εἰκοσιδύο. Υἱοὶ Ἀδωνικὰν, ἑξακόσιοι τριακονταεπτά. Υἱοὶ Βαγοΐ, δισχίλιοι ἑξακόσιοι ἕξ. Υἱοὶ Ἀδινοῦ, τετρακόσιοι πεντηκοντατέσσαρες. Υἱοὶ Ἀτὴρ Ἐζεκίου, ἐννενηκονταδύο. Υἱοὶ Κιλὰν, καὶ Ἀζηνὰν, ἑξηκονταεπτά. Υἱοὶ Ἀζαροῦ, τετρακόσιοι τριακονταδύο. Υἱοὶ Ἀννὶς, ἑκατὸν εἷς. Υἱοὶ Ἀρὸμ, τριακονταδύο. Υἱοὶ Βασσαὶ, τριακόσιοι εἰκοσιτρεῖς. Υἱοὶ Ἀρσιφουρὶθ, ἑκατὸν δύο. Υἱοὶ Βαιτηροὺς, τρισχίλιοι πέντε. Υἱοὶ ἐκ Βαιθλωμῶν, ἑκατὸν εἰκοσιτρεῖς. Οἱ ἐκ Νετωφὰς, πεντηκονταπέντε. Οἱ ἐξ Ἀναθὼθ, ἑκατὸν πεντηκονταοκτώ. Οἱ ἐκ Βαιθασμὼν, τεσσαρακονταδύο. Οἱ ἐκ Καριαθιρὶ, εἰκοσιπέντε. Οἱ ἐκ Καφείρας, καὶ Βηρὼγ, ἑπτακόσιοι τεσσαρακοντατρεῖς. Οἱ Χαδιασαὶ, καὶ Ἀμμίδιοι, τετρακόσιοι εἰκοσιδύο. Οἱ ἐκ Κιραμᾶς καὶ Γαββῆς, ἑξακόσιοι εἴκοσι εἷς. Οἱ ἐκ Μακαλὼν, ἑκατὸν εἰκοσιδύο. Οἱ ἐκ Βετολίω, πεντηκονταδύο. Υἱοὶ Νιφὶς, ἑκατὸν πεντηκονταέξ. Υἱοὶ Καλαμωλάλου, καὶ Ὠνοὺς, ἑπτακόσιοι εἰκοσιπέντε. Υἱοὶ Ἱερεχοῦ, διακόσιοι τεσσαρακονταπέντε. Υἱοὶ Σανάας, τρισχίλιοι τριακόσιοι εἷς. Οἱ ἱερεῖς οἱ υἱοὶ Ἰεδδοῦ, τοῦ Ἰησοῦ, εἰς τοὺς υἱοὺς Σανασὶβ, ὀκτακόσιοι ἑβδομηκονταδύο. Υἱοὶ Ἐμμηροὺθ, διακόσιοι πεντηκονταδύο. Υἱοὶ Φασσούρου, χίλιοι τεσσαρακονταεπτά. Υἱοὶ Χαρμὶ, διακόσιοι δεκαεπτά. Οἱ Λευῖται οἱ υἱοὶ Ἰησοῦ, καὶ Καδοήλου, καὶ Βάννου, καὶ Σουδίου, ἑβδομηκοντατέσσαρες. Οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ, ἑκατὸν εἰκοσιοκτώ. Οἱ θυρωροὶ υἱοὶ Σαλοὺμ, υἱοὶ Ἀτὰρ, υἱοὶ Τολμὰν, υἱοὶ Δακοὺβ, υἱοὶ Ἀτητὰ, υἱοὶ Τωβὶς, πάντες ἑκατὸν τριακονταεννέα. Οἱ ἱερόδουλοι, υἱοὶ Ἠσα', υἱοὶ Ἀσιφὰ, υἱοὶ Ταβαὼθ, υἱοὶ Κηρὰς, υἱοὶ Σουδὰ, υἱοὶ Φαλαίου, υἱοὶ Λαβανὰ, υἱοὶ Ἀγραβὰ, υἱοὶ Ἀκοὺδ, υἱοὶ Οὐτὰ, υἱοὶ Κητὰβ, υἱοὶ Ἀκκαβὰ, υἱοὶ Συβαΐ, υἱοὶ Ἀνὰν, υἱοὶ Καθουὰ, υἱοὶ Γεδδοὺρ, υἱοὶ Ἰαΐρου, υἱοὶ Δαισὰν, υἱοὶ Νοεβὰ, υἱοὶ Χασεβὰ, υἱοὶ Καζηρὰ, υἱοὶ Ὀζίου,

tympanis, et tibiis. Et omnes fratres eorum erant ludentes, et fecit eos ascendere simul cum eis. Et hæc sunt nomina eorum qui ascenderunt per patrias suas in tribus, in partem principatus ipsorum. Sacerdotes filii Phinees filii Aaron, Jesus filius Josedec ipsius Saræ, et Joacim filius Zorobabel filii Salathiel, de domo David, ex progenie Phares, de tribu autem Juda, qui locutus est sub Dario rege Persarum sermones sapientes in secundo anno regni ipsius, mense nisan, primo mense. Sunt autem hi ex Judæa qui ascenderunt de captivitate transmigrationis, quos transmigravit Nabuchodonosor rex Babyloniæ in Babyloniam. Et reversi sunt in Jerusalem et reliquam Judæam, unusque in civitatem suam, qui venerunt cum Zorobabel, et Jesu, Neemia, Zaræa, Resæa, Eneneos, Mardochæo, Beelsaro, Aspharaso, Reelia, Roimo, Baana, præfectis eorum. Numerus eorum qui de gente, et præpositi eorum. Filii Phoros, duo millia et centum septuaginta duo. Filii Saphat, quadringenti septuaginta duo : Filii Ares, septingenti quinquaginta sex : Filii Phaath Moab in filios Jesu et Joab, duo millia octingenti duodecim. Filii Elam, mille ducenti quinquaginta quatuor. Filii Zathui, nongenti septuaginta quinque. Filii Chorbe, septingenti quinque : Filii Bani sexcenti quadraginta octo : Filii Bebæ, sexcenti triginta tres : Filii Argæ, mille trecenti viginti duo : Filii Adonican, sexcenti triginta septem : Filii Bagoi, duo millia sexcenti sex. Filii Adinu, quadringenti quinquaginta quatuor. Filii Aterezeciæ, nonaginta duo : Filii Cilan, et Azenan, sexaginta septem. Filii Azaru, quadringenti triginta duo. Filii Annis, centum unus. Filii Arom, triginta duo. Filii Bassæ, trecenti viginti tres. Filii Arsiphurith, centum duo. Filii Bætenis, tria millia quinque. Filii e Bæthlomon, centum viginti tres. Qui e Netophas, quinquaginta quinque. Qui ex Anathoth, centum quinquaginta octo. Qui e Bæthasmon, quadraginta duo. Qui e Cariathiri, viginti quinque. Qui e Caphiras, et Berog, septingenti quadraginta tres. Qui Chadiasæ, et Ammidii, quadringenti viginti duo. Qui e Ciramas, et Gabbes, sexcenti viginti unus. Qui e Macalon, centum viginti duo. Qui e Betolio, quinquaginta duo : Filii Niphis, centum quinquaginta sex : Filii Calamolali, et Onus, septingenti viginti quinque Fiili Jerechu, ducenti quadraginta quinque. Filii Sanaas, tria millia trecenti unus. Sacerdotes filii Jeddu, qui Jesu, in filios Sanasib, octingenti septuaginta duo. Filii Emmeruth, ducenti quinquaginta duo : Filii Phassuri, mille quadraginta septem : Filii Charmi, ducenti decem septem. Levitæ, filii Jesu, et Cadoeli, et Banni, et Sudiæ, septuaginta quatuor. Qui psallebant in templo, filii Asaph, centum viginti octo. Ostiarii filii Salum, filii Asar, filii Tolman, filii Dacub, filii Ateta, filii Tobis, omnes centum triginta novem. Sacris servientes, filii Hesay, filii Asipha, filii Tabaoth, filii Ceras, filii Suda, filii Phalææ, filii Labana, filii Agraba, filii Acud, filii Uta, filii Cetab, filii Accaba, filii Sybai, filii Anan, filii Cathua, filii Geddur, filii Iairi, filii Dæsan, filii Noeba, filii Chaseba, filii Cazera, filii Oziæ,

υἱοὶ Φινοὲ, υἱοὶ Ἀσαρὰ, υἱοὶ Βασθαῒ, υἱοὶ Ἀσσανὰ, υἱοὶ Μανὶ, υἱοὶ Ναφισὶ, υἱοὶ Ἀκοὺφ, υἱοὶ Ἀχιβὰ, υἱοὶ Ἀσοὺβ, υἱοὶ Φαρακὲμ, υἱοὶ Βασαλὲμ, υἱοὶ Μεεδδὰ, υἱοὶ Κουθὰ, υἱοὶ Χαρέα, υἱοὶ Βαρχουὲ, υἱοὶ Σερὰρ, υἱοὶ Θομοῒ, υἱοὶ Νασὶ, υἱοὶ Ἀτεφά. Υἱοὶ παίδων Σαλωμὼν, υἱοὶ Ἀσσαπφιὼθ, υἱοὶ Φαριρὰ, υἱοὶ Ἰειηλὶ, υἱοὶ Λοζὼν, υἱοὶ Ἰσδαὴλ, υἱοὶ Σαφυῒ, υἱοὶ Ἀγιὰ, υἱοὶ Φαχαρὲθ, υἱοὶ Σαβιὴ, υἱοὶ Σαρωθὶ, υἱοὶ Μισαίας, υἱοὶ Γὰς, υἱοὶ Ἀδδοὺς, υἱοὶ Σουβὰ, υἱοὶ Ἀφεῤῥὰ, υἱοὶ Βαρωδὶς, υἱοὶ Σαφὰγ, υἱοὶ Ἀλλώμ. Πάντες οἱ ἱερόδουλοι, καὶ οἱ υἱοὶ τῶν παίδων Σαλωμὼν τριακόσιοι ἑβδομηκονταδύο. Οὗτοι ἀναβάντες ἀπὸ Θερμελὲθ, καὶ Θελερσὰς, ἡγούμενος αὐτῶν Χαρααθαλὰν, καὶ Ἀαλάρ. Καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν καὶ γενεὰς, ὡς ἐκ τοῦ Ἰσραήλ εἰσιν. Υἱοὶ Δαλὰν τοῦ υἱοῦ τοῦ Βαενὰν, υἱοὶ Νεκωδὰν, ἑξακόσιοι πεντηκονταδύο. Καὶ ἐκ τῶν ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης, καὶ οὐχ εὑρέθησαν. Υἱοὶ Ὀβδία, υἱοὶ Ἀκβὼς, υἱοὶ Ἰαδδοὺ τοῦ λαβόντος Αὐγίαν γυναῖκα τῶν θυγατέρων Φαηζελδαίου, καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτοῦ. Καὶ τούτων ζητηθείσης τῆς γενικῆς γραφῆς ἐν τῷ καταλοχισμῷ καὶ μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ ἱερατεύειν. Καὶ εἶπεν αὐτοῖς Νεεμίας καὶ Ἀτθαρίας, μὴ μετέχειν τῶν ἁγίων ἕως ἀναστῇ ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. Οἱ δὲ πάντες Ἰσραὴλ ἦσαν ἀπὸ δωδεκαετοῦς καὶ ἐπάνω, χωρὶς παίδων καὶ παιδισκῶν, μυριάδες τέσσαρες δισχίλιοι τριακόσιοι ἑξήκοντα. Παῖδες τούτων καὶ παιδίσκαι, ἑπτακισχίλιοι τριακόσιοι τριακονταεπτά. Ψάλται καὶ ψαλτῳδοὶ, διακόσιοι τεσσαρακονταπέντε. Κάμηλοι τετρακόσιοι τριακονταπέντε, καὶ ἵπποι ἑπτακισχίλιοι τριακονταέξ. Ἡμίονοι διακόσιοι τεσσαρακονταπέντε, ὑποζύγια πεντακισχίλια πεντακόσια εἰκοσιπέντε. Καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς, ἐν τῷ παραγίνεσθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, τὸ ἐν Ἱερουσαλὴμ, ηὔξαντο ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν, καὶ δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων, χρυσίου μνᾶς χιλίας, καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας, καὶ στολὰς ἱερατικὰς ἑκατόν. Καὶ κατῳκίσθησαν οἱ ἱερεῖς, καὶ οἱ Λευῖται, καὶ οἱ ἐκ τοῦ λαοῦ αὐτοῦ ἐν Ἱερουσαλὴμ καὶ τῇ χώρᾳ, οἵ τε ἱεροψάλται, καὶ οἱ θυρωροὶ, καὶ πᾶς Ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν. Ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνὸς, καὶ ὄντων τῶν υἱῶν Ἰσραὴλ ἑκάστου ἐν τοῖς ἰδίοις, συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύχωρον τοῦ πρώτου πυλῶνος τοῦ πρὸς τῇ ἀνατολῇ. Καὶ καταστὰς Ἰησοὺς ὁ τοῦ Ἰωσεδὲκ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς, καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ τούτου ἀδελφοὶ, ἡτοίμασαν τὸ θυσιαστήριον τοῦ Θεοῦ Ἰσραὴλ, προσενέγκαι ἐπ' αὐτοῦ ὁλοκαυτώσεις, ἀκολούθως τοῖς ἐν τῇ Μωϋσέως βίβλῳ τοῦ ἀνθρώπου τοῦ Θεοῦ διηγορευμένοις. Καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς γῆς, καὶ κατώρθωσαν τὸ θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτῶν, ὅτι ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς. Καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς, καὶ ἀνέφερον θυσίας κατὰ τὸν καιρὸν, καὶ ὁλοκαυτώματα Κυρίῳ τὸ πρωϊνὸν καὶ τὸ δειλινόν. Καὶ ἠγάγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτὴν, ὡς ἐπιτέτακται ἐν τῷ νόμῳ, καὶ θυσίας καθ' ἡμέραν, ὡς προσῆκον ἦν. Καὶ μετὰ ταῦτα προσφορὰς ἐνδελεχισμοῦ καὶ θυσίας σαββάτων καὶ νουμηνιῶν καὶ ἑορτῶν πασῶν ἡγιασμένων. Καὶ ὅσοι ηὔξαντο εὐχὴν τῷ Θεῷ ἀπὸ τῆς νουμηνίας τοῦ ἑβδόμου

filii Phinoe, filii Asara, filii Basthai, filii Assana, filii Mavi, filii Naphisi, filii Acuph, filii Achiba, filii Asub, filii Pharacem, filii Basalem, filii Meedda, filii Cutha, filii Charea, filii Barchu, filii Serar, filii Thomoi, filii Nasi, filii Atepha. Filii puerorum Salomon, filii Asapphioth, filii Pharera, filii Jeieli, filii Lozon, filii Isdael, filii Saphui, filii Agia, filii Phachareth, filii Sabie, filii Sarothi, filii Misæas, filii Gas, filii Addus, filii Suba, filii Apherra, filii Barodis, filii Saphag, filii Allom. Omnes sacro servientes, et filii puerorum Salomonis trecenti septuaginta duo. Hi sunt qui ascenderunt a Thermeleth, et Thelersis, dux eorum Charaathalan, et Aalar. Et non potuerunt edicere patrias suas et progenies, quemadmodum sint ex Israel. Filii Dalan filii Bænan, filii Necodan, sexcenti quinquaginta duo. Et ex sacerdotibus qui fungebantur sacerdotio, et non sunt inventi. Filii Obdia, filii Acbos, filii Jaddu qui accepit Augiam uxorem ex filiabus Phaezeldæi, et vocatus est in nomine ejus. Et horum quæsita generis scriptura in computatione et non inventa, prohibiti sunt sacerdotio fungi. Et dixit illis Neemias et Attharias, ne participentur donec exsurgat pontifex indutus ostensionem, et veritatem. Omnes autem de Israel fuerunt a duodecimo anno et supra, exceptis servis et ancillis, quadraginta duo millia trecenti sexaginta. Servi horum et ancillæ, septem millia trecenti triginta septem. Cantores et cantatrices, ducenti quadraginta quinque. Cameli quadringenti quadraginta septem, et equi septem millia triginta sex. Muli ducenti quadraginta quinque. Subjugalia quinque millia quinquaginta viginti septem. Et de præpositis ipsis per patrias, dum venirent in templum Dei quod erat in Jerusalem, voverunt suscitare templum in loco suo secundum suam virtutem, et dare in sacrum gazophylacium operum, auri minas mille, et argenti minas quinque millia, et stolas sacerdotales centum. Et habitaverunt sacerdotes, et Levitæ, et qui de populo ejus in Jerusalem et regione, et sacri cantores, et ostiarii, et omnis Israel in pagis suis. Instante autem septimo mense, cumque essent filii Israel unusquisque in suis, convenerunt unanimes in atrium primæ portæ orientalis. Et stans Jesus filius Josedec, et fratres ejus sacerdotes, et Zorobabel filius Salathiel et hujus fratres, paraverunt altare Dei Israel, ut offerrent super illud holocaustomata, secundum quæ in libro Moysi hominis Dei scripta sunt. Et aggregati sunt illis ex aliis nationibus terræ, et erexerunt altare in loco ipsorum, quoniam in inimicitia erant eis, et confortaverunt eos omnes gentes quæ super terram, et offerebant hostias secundum tempus, et holocaustomata Domino matutinum et vespertinum. Et egerunt scenopegiæ diem solemnem, sicut præceptum est in lege, et sacrificia quotidie, sicut oportebat. Et post hæc oblationes sacrificii jugis et hostias sabbatorum, et neomeniarum et dierum solemnium omnium sanctificatorum. Et quotquot voverant votum Deo

μηνὸς, ἤρξαντο προσφέρειν θυσίας τῷ Θεῷ· καὶ ὁ ναὸς τοῦ Θεοῦ οὔπω ᾠκοδόμητο. Καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τέκτοσι, καὶ ποτὰ καὶ βρωτὰ καὶ χάρρα τοῖς Σιδωνίοις καὶ Τυρίοις, εἰς τὸ παράγειν αὐτοὺς ἐκ τοῦ Λιβάνου ξύλα κέδρινα, διαφέρειν σχεδίας εἰς τὸν Ἰόππης λιμένα, κατὰ τὸ πρόσταγμα τὸ γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ Περσῶν βασιλέως. Καὶ τῷ δευτέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ Θεοῦ εἰς Ἱερουσαλὴμ, μηνὸς δευτέρου ἤρξατο Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, καὶ οἱ ἀδελφοὶ αὐτῶν, καὶ οἱ ἱερεῖς οἱ Λευῖται, καὶ πάντες οἱ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας εἰς Ἱερουσαλὴμ, καὶ ἐθεμελίωσαν τὸν ναὸν τοῦ Θεοῦ τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνὸς τοῦ δευτέρου ἔτους, ἐν τῷ ἐλθεῖν εἰς τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ. Καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ Κυρίου. Καὶ ἔστη Ἰησοῦς, καὶ οἱ υἱοὶ, καὶ οἱ ἀδελφοὶ, καὶ Καδμιὴλ ὁ ἀδελφὸς, καὶ οἱ υἱοὶ Ἠμαδαβοὺν, καὶ οἱ υἱοὶ Ἰωδὰ τοῦ Ἡλιαδοὺδ σὺν τοῖς υἱοῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευῖται ὁμοθυμαδὸν ἐργοδιῶκται, ποιοῦντες εἰς τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ Κυρίου. Καὶ ᾠκοδόμησαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ Κυρίου. Καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων, καὶ οἱ Λευῖται υἱοὶ Ἀσὰφ ἔχοντες τὰ κύμβαλα, ὑμνοῦντες τῷ Κυρίῳ, καὶ εὐλογοῦντες κατὰ Δαυὶδ βασιλέα τοῦ Ἰσραήλ. Καὶ ἐφώνησαν δι' ὕμνων εὐλογοῦντες τῷ Κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἐν παντὶ Ἰσραήλ. Καὶ πᾶς ὁ λαὸς ἐσάλπισαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ, ὑμνοῦντες τῷ Κυρίῳ ἐπὶ τῇ ἐγέρσει τοῦ οἴκου Κυρίου. Καὶ ἦλθοσαν ἐκ τῶν ἱερέων, τῶν Λευιτῶν, καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν, οἱ πρεσβύτεροι οἱ ἑωρακότες τὸν πρὸ τούτου οἶκον, πρὸς τὴν τούτου οἰκοδομὴν, μετὰ κλαυθμοῦ καὶ κραυγῆς μεγάλης, καὶ πολλοὶ διὰ σαλπίγγων καὶ χαρᾶς, μεγάλῃ τῇ φωνῇ, ὥστε τὸν λαὸν μὴ ἀκούειν τῶν σαλπίγγων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ. Ὁ γὰρ ὄχλος ἦν ὁ σαλπίζων μεγάλως, ὥστε μακρόθεν ἀκούεσθαι. Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν, ἦλθοσαν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων, καὶ ἐπέγνωσαν ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τὸν ναὸν τῷ Κυρίῳ Θεῷ Ἰσραήλ. Καὶ προσελθόντες τῷ Ζοροβάβελ, καὶ Ἰησοῦ, καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν, λέγουσιν αὐτοῖς· Συνοικοδομήσωμεν ὑμῖν. Ὁμοίως γὰρ ὑμῖν, ἀκούομεν τοῦ Κυρίου ὑμῶν, καὶ αὐτῷ ἐπιθύομεν ἀφ' ἡμερῶν Ἀσβακαφὰς βασιλέως Ἀσσυρίων, ὃς μετήγαγεν ἡμᾶς ἐνταῦθα. Καὶ εἶπεν αὐτοῖς Ζοροβάβελ καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι τῶν πατριῶν τοῦ Ἰσραήλ· Οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίῳ Θεῷ ἡμῶν. Ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραὴλ ἀκολούθως οἷς προσέταξεν ἡμῖν Κύρος ὁ βασιλεὺς Περσῶν. Τὰ δὲ ἔθνη τῆς γῆς ἐπικοιμώμενα τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ πολιορκοῦντες, εἶργον τοῦ οἰκοδομεῖν. Καὶ βουλὰς δημαγωγοῦντες, καὶ συστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἀποτελεσθῆναι τὴν οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ βασιλέως Κύρου. Καὶ εἴρχθησαν τῆς οἰκοδομῆς ἔτη δύο ἕως τῆς Δαρείου βασιλείας.

a neomenia septimi mensis, cœperunt hostias offerre Deo : et templum Dei nondum ædificabatur. Et dederunt pecuniam lapidariis et fabris, et potum et pabula et carra Sidoniis, et Tyriis, ut transcenderent illi de Libano ligna cedrina, transportando rates in Joppe portum, secundum decretum quod scriptum erat eis a Cyro Persarum rege. Et secundo anno venientes in templum Dei in Jerusalem, mense secundo inchoavit Zorobabel filius Salathiel, et Jesus filius Josedec, et fratres eorum, et sacerdotes, et Levitæ, et omnes qui venerant de captivitate in Jerusalem, et fundaverunt templum Dei novilunio secundi mensis secundi anni, quum venissent in Judæam, et Jerusalem. Et statuerunt Levitas a viginti annis super opera Domini. Et stetit Jesus, et filii, et fratres, et Cadmiel frater, et filii Emadabum, et filii Joda filii Eliadud cum filiis et fratribus, omnes Levitæ unanimiter exactores operum, facientes ad opera in domo Domini. Et ædificaverunt ædificatores templum Domini. Et steterunt sacerdotes habentes stolas cum musicis et tubis, et Levitæ filii Asaph habentes cymbala, collaudantes Dominum, et benedicentes secundum David regem Israel. Et cantaverunt per hymnos benedicentes Dominum, quoniam dulcedo ejus et honor in sæcula super omnem Israel. Et omnis populus tuba cecinerunt et proclamaverunt voce magna, collaudantes Dominum in suscitatione domus Domini. Et venerunt ex sacerdotibus, Levitis, et præsidentibus secundum patrias ipsorum, seniores qui viderant pristinam domum, ad hujus ædificationem, cum planctu et clamore magno, et multi cum tubis et gaudio, magna voce, in tantum ut populus non audiret tubas propter planctum populi. Turba enim erat tubis canens magnifice, ita ut longe audirentur. Et audierunt inimici tribus Judæ et Benjamin, et venerunt scire quæ esset vox tubarum, et cognoverunt quoniam qui erant ex captivitate ædificant templum Domino Deo Israel. Et accedentes ad Zorobabel, et Jesum, et præpositos patriarum, dicunt eis: Ædificabimus una vobiscum. Similiter enim ac vos, audimus Dominum vestrum, et ei sacrificamus a diebus Asbacaphas regis Assyriorum, qui transmigravit nos huc. Et dixit illis Zorobabel et Jesus, et præpositi patriarum Israel : Non est nobis et vobis ædificare domum Domino Deo nostro. Nos enim soli ædificabimus Domino Israel secundum ea quæ præcepit nobis Cyrus rex Persarum. Gentes autem terræ incumbentes iis qui in Judæa et obsidentes, prohibuerunt ædificare. Et insidias et populos adducentes, et coitiones facientes impedierunt ne consummaretur ædificium omni tempore vitæ Cyri regis. Et probibiti sunt ab ædificatione per biennium usque ad Darii regnum.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας ἐπρο-

CAPUT VI.

In secundo autem anno regni Darii prophetavit Aggæus

φήτευσεν Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ, οἱ προφῆται, ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ, ἐπὶ τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραὴλ ἐπ' αὐτούς. Τότε στὰς Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, ἤρξαντο οἰκοδομεῖν τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἱερουσαλὴμ, συνόντων τῶν προφητῶν τοῦ Κυρίου, βοηθούντων αὐτοῖς. Ἐν αὐτῷ τῷ χρόνῳ παρῆν πρὸς αὐτοὺς Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης, καὶ Σαθραβουζάνης καὶ οἱ συνεταῖροι, καὶ εἶπαν αὐτοῖς· Τίνος ὑμῖν συντάξαντος τὸν οἶκον τοῦτον οἰκοδομεῖτε, καὶ τὴν στέγην ταύτην καὶ τὰ ἄλλα πάντα ἐπιτελεῖτε; Καὶ τίνες εἰσὶν οἰκοδόμοι οἱ ταῦτα ἐπιτελοῦντες; Καὶ ἔσχοσαν χάριν, ἐπισκοπῆς γενομένης ἐπὶ τὴν αἰχμαλωσίαν, παρὰ τοῦ Κυρίου, οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, καὶ οὐκ ἐκωλύθησαν τῆς οἰκοδομῆς, μέχρις οὗ ἀποσημανθῆναι Δαρείῳ περὶ αὐτῶν, καὶ προσφωνηθῆναι. Ἀντίγραφον ἐπιστολῆς ἧς ἔγραψε Δαρείῳ, καὶ ἀπέστειλαν. Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης, καὶ οἱ συνεταῖροι οἱ ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόνες, βασιλεῖ Δαρείῳ χαίρειν. Πάντα γνωστὰ ἔστω τῷ Κυρίῳ ἡμῶν τῷ βασιλεῖ, ὅτι παραγενόμενοι εἰς τὴν χώραν τῆς Ἰουδαίας, καὶ ἐλθόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν, κατελάβομεν τῆς αἰχμαλωσίας τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων ἐν Ἱερουσαλὴμ τῇ πόλει οἰκοδομοῦντας οἶκον τῷ Κυρίῳ μέγαν, καινὸν διὰ λίθων ξυστῶν πολυτελῶν, ξύλων τιθεμένων ἐν τοῖς τοίχοις, καὶ τὰ ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα, καὶ εὐοδούμενον τὸ ἔργον ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἐν πάσῃ δόξῃ καὶ ἐπιμελείᾳ συντελούμενον. Τότε ἐπυνθανόμεθα τῶν πρεσβυτέρων τούτων, λέγοντες· Τίνος ὑμῖν προστάξαντος οἰκοδομεῖτε τὸν οἶκον τοῦτον, καὶ τὰ ἔργα ταῦτα θεμελιοῦτε; Ἐπερωτήσαμεν οὖν αὐτοὺς, εἵνεκεν τοῦ γνωρίσαι σοι, καὶ γράψαι σοι τοὺς ἀνθρώπους τοὺς ἀφηγουμένους, καὶ τὴν ὀνοματογραφίαν ἠτοῦμεν αὐτοὺς τῶν προκαθηγουμένων. Οἱ δὲ ἀπεκρίθησαν ἡμῖν, λέγοντες· Ἐσμὲν παῖδες τοῦ Κυρίου τοῦ κτίσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ ᾠκοδόμητο οἶκος ἔμπροσθεν ἐτῶν πλειόνων διὰ βασιλέως τοῦ Ἰσραὴλ μεγάλου καὶ ἰσχυροῦ, καὶ ἐπετελέσθη. Καὶ ἐπεὶ οἱ πατέρες ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν Κύριον τοῦ Ἰσραὴλ τὸν οὐράνιον, παρέδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, βασιλέως τῶν Χαλδαίων. Τόν τε οἶκον καθελόντες ἐνεπύρισαν, καὶ τὸν λαὸν ᾐχμαλώτευσαν εἰς Βαβυλῶνα. Ἐν δὲ τῷ πρώτῳ ἔτει βασιλεύοντος Κύρου χώρας Βαβυλωνίας, ἔγραψεν ὁ βασιλεὺς Κύρος τὸν οἶκον τοῦτον οἰκοδομῆσαι. Καὶ τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ αὐτοῦ ναῷ, πάλιν ἐξήνεγκεν αὐτὰ Κύρος ὁ βασιλεὺς ἐκ τοῦ ναοῦ τοῦ ἐν Βαβυλωνίᾳ, καὶ παρεδόθη Σαβανασσάρῳ Ζοροβάβελ τῷ ἐπάρχῳ, καὶ ἐπέταγη αὐτῷ. Καὶ ἀπήνεγκε πάντα τὰ σκεύη ταῦτα, ἀποθεῖναι ἐν τῷ ναῷ τῷ ἐν Ἱερουσαλὴμ, καὶ τὸν ναὸν τοῦ Κυρίου οἰκοδομηθῆναι ἐπὶ τοῦ τόπου. Τότε ὁ Σαβανάσσαρος παραγενόμενος ἐνεβάλετο τοὺς θεμελίους τοῦ οἴκου Κυρίου τοῦ ἐν Ἱερουσαλὴμ, καὶ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν οἰκοδομούμενος οὐκ ἔλαβε συντέλειαν. Νῦν οὖν εἰ κρίνεται, βασιλεῦ, ἐπισκεπήτω ἐν τοῖς βασιλικοῖς βιβλιοφυλακίοις τοῦ Κύρου, καὶ ἐὰν εὑρίσκητε μετὰ τῆς γνώμης Κύρου τοῦ βασιλέως γενομένην τὴν οἰκοδομὴν τοῦ οἴκου Κυρίου

et Zacharias filius Addo, prophetæ, super Judæos qui in Judæa et Jerusalem, in nomine Domini Dei Israel super eos. Tunc stans Zorobabel filius Salathiel, et Jesus filius Josedec, inchoaverunt ædificare domum Domini quæ est in Jerusalem, cum adessent eis prophetæ Domini, et adjuvarent eos. In ipso tempore venit ad illos Sisinnes subregulus Syriæ et Phœnices, et Sathrabuzanes et sodales, et dixerunt eis : Quo præcipiente vobis domum hanc ædificatis, et tectum istud et alia omnia perficitis? Et qui sunt structores qui hæc perficiunt? Et habuerunt gratiam, visitatione facta super ipsam captivitatem, a Domino, seniores Judæorum, et non sunt impediti ædificare, donec significaretur Dario de istis, et responsum acciperetur. Exemplum epistolæ quam scripsit Dario, et miserunt. Sisinnes subregulus Syriæ et Phœnices et Sathrabuzanes, et sodales qui in Syria et Phœnice præsides, regi Dario salutem. Omnia nota sint domino nostro regi, quod quum venissemus in regionem Judææ, et introissemus in Jerusalem civitatem, invenimus de captivitate seniores Judæorum in Jerusalem civitate ædificantes domum Domino magnam, novam ex lapidibus politis pretiosis, lignis positis in parietibus, et opera illa instanter fieri, et prosperare opus in manibus eorum, et in omni gloria quam diligentissime perfici. Tunc interrogavimus seniores istos, dicentes : Quo præcipiente vobis ædificatis domum istam, et opera hæc fundatis? Interrogavimus igitur eos, ut notum faceremus tibi, et scriberemus tibi homines præpositos, et nominum scripturam præpositorum postulavimus illos. At illi responderunt nobis, dicentes: Servi sumus Domini qui creavit cœlum et terram. Et ædificabatur domus ante annos multos a rege Israel magno et forti, et consummata est. Et quoniam patres nostri exacerbantes peccaverunt in Dominum Israel cœlestem, tradidit eos in manus Nabuchodonosor regis Babyloniæ, regis Chaldæorum. Et domum istam demolientes incenderunt, et populum captivum duxerunt in Babylonem. In primo autem anno regnante Cyro in regione Babyloniæ, scripsit Cyrus rex domum hanc ædificare. Et illa sacra vasa aurea et argentea, quæ extulerat Nabuchodonosor de domo quæ est in Jerusalem, et consecraverat ea in suo templo, rursus protulit ea Cyrus rex de templo quod erat in Babylonia, et tradita sunt Sabanassaro Zorobabel subregulo, et præceptum est ei. Et extulit omnia vasa hæc, ut reponerentur in templo quod in Jerusalem, et ipsum templum Domini ædificaretur super locum. Tunc Sabanassarus adveniens jecit fundamenta domus Domini quæ est in Jerusalem, et exinde usque nunc ædificatur, et non accepit consummationem. Nunc ergo si videtur, o rex, perquiratur in regalibus bibliothecis Cyri, et si inventum fuerit cum consilio Cyri regis

τοῦ ἐν Ἱερουσαλὴμ, καὶ κρίνηται τῷ Κυρίῳ βασιλεῖ ἡμῶν, προςφωνησάτω ἡμῖν περὶ τούτων. Τότε ὁ βασιλεὺς Δαρεῖος προςέταξεν ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακίοις τοῖς κειμένοις ἐν Βαβυλῶνι, καὶ εὑρέθη ἐν Ἐκβατάνοις, τῇ βάρει τῇ ἐν Μηδείᾳ χώρᾳ τόπος εἷς, ἐν ᾧ ὑπομνημάτιστο τάδε, Ἔτους πρώτου βασιλεύοντος Κύρου, βασιλεὺς Κύρος προςέταξε τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἱερουσαλὴμ οἰκοδομῆσαι, ὅπου ἐπιθύουσι διὰ πυρὸς ἐνδελεχοῦς, οὗ τὸ ὕψος πηχῶν ἑξήκοντα, πλάτος πηχῶν ἑξήκοντα διὰ δόμων λιθίνων ξυστῶν τριῶν, καὶ δόμου ξυλίνου ἐγχωρίου καινοῦ ἑνὸς, καὶ τὸ δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου Κύρου τοῦ βασιλέως· καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου Κυρίου, τά τε χρυσᾶ καὶ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπήνεγκεν εἰς Βαβυλῶνα, ἀποκατασταθῆναι εἰς τὸν οἶκον τὸν ἐν Ἱερουσαλὴμ, οὗ ἦν κείμενα, ὅπως τεθῇ ἐκεῖ. Προςέταξε δὲ ἐπιμεληθῆναι Σισίννῃ ἐπάρχῳ Συρίας καὶ Φοινίκης, καὶ Σαθραβουζάνῃ καὶ τοῖς συνεταίροις, καὶ τοῖς ἀποτεταγμένοις ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόσιν, ἀπέχεσθαι τοῦ τόπου, ἐᾶσαι δὲ τὸν παῖδα Κυρίου Ζοροβάβελ, ἔπαρχον δὲ τῆς Ἰουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων, τὸν οἶκον τοῦ Κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου. Καὶ ἐγὼ δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι, καὶ ἀτενίσαι ἵνα συμποιῶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, μέχρι τοῦ ἐπιτελεσθῆναι τὸν οἶκον τοῦ Κυρίου. Καὶ ἀπὸ τῆς φορολογίας κοίλης Συρίας καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις τοῖς ἀνθρώποις εἰς θυσίαν τῷ Κυρίῳ, Ζοροβάβελ ἐπάρχῳ, εἰς ταύρους, καὶ κριοὺς, καὶ ἄρνας, ὁμοίως δὲ καὶ πυρὸν, καὶ ἅλα, καὶ οἶνον, καὶ ἔλαιον ἐνδελεχῶς κατ' ἐνιαυτὸν, καθὼς ἂν οἱ ἱερεῖς οἱ ἐν Ἱερουσαλὴμ ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ' ἡμέραν, ἀναμφισβητήτως, ὅπως προςφέρωνται σπονδαὶ τῷ Θεῷ τῷ ὑψίστῳ ὑπὲρ τοῦ βασιλέως καὶ τῶν παίδων, καὶ προςεύχωνται περὶ τῆς αὐτῶν ζωῆς· καὶ προστάξαι ἵνα ὅσοι ἐὰν παραβῶσί τι τῶν γεγραμμένων καὶ ἀκυρώσωσι, ληφθῆναι ξύλον ἐκ τῶν ἰδίων αὐτοῦ, καὶ ἐπ' αὐτοῦ κρεμασθῆναι, καὶ τὰ ὑπάρχοντα αὐτοῦ εἶναι βασιλικά. Διὰ ταῦτα καὶ ὁ Κύριος, οὗ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάντα βασιλέα καὶ ἔθνος ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν οἶκον Κυρίου ἐκεῖνον τὸν ἐν Ἱερουσαλήμ. Ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτικα ἐπιμελῶς κατὰ ταῦτα γίνεσθαι.

fieri structuram domus Domini, quæ in Jerusalem, et judicatur a Domino rege nostro, scribat de his nobis. Tunc Darius rex præcepit inquiri in bibliothecis quæ sunt in Babylonia, et inventus est in Ecbatanis, oppido quod in Media regione locus unus, in quo scripta erant ista : Anno primo regnante Cyro, rex Cyrus præcepit domum Domini quæ est in Jerusalem ædificare, ubi sacrificant igni assiduo, cujus altitudo cubitorum sexaginta, latitudo cubitorum sexaginta per domos lapideas politas tres, et domum ligneam ejus loci novam unam, et impendia dari de domo Cyri regis : et sacra vasa domus Domini, tam aurea quam argentea, quæ extulit Nabuchodonosor e domo quæ in Jerusalem, et abstulit in Babyloniam, restitui in domum quæ in Jerusalem, ubi erant posita, ut ponantur illic. Et præcepit curam agere Sisinnem subregulum Syriæ et Phœnices, et Sathrabuzanem et sodales, et qui ordinati erant in Syria et Phœnice præsides, ut abstinerent se a loco, sinerent autem puerum Domini Zorobabel, præsidem autem Judææ, et seniores Judæorum, domum Domini illam ædificare super locum. Et ego quoque præcepi in totum ædificare, et attendere ut adjuvent eos qui ex captivitate Judææ, donec consummentur ædes Domini. Et de tributo Cœlesyriæ et Phœnices diligenter contributionem dari his hominibus ad sacrificium Domino, Zorobabel præfecto, ad tauros, et arietes, et agnos, similiter autem et frumentum, et sal, et vinum, et oleum assidue per singulos annos, prout sacerdotes qui sunt in Jerusalem dictaverint consumi quotidie, sine ulla dilatione, ut offerantur libationes Deo summo pro rege, et pueris, et orent pro ipsorum vita : et denuntietur ut quicumque transgressi fuerint aliquid ex his quæ scripta sunt et spreverint, accipiatur lignum de suis propriis, et super illud suspendatur, et bona ipsius regi adscribantur. Propterea et Dominus, cujus nomen invocatum est ibi, exterminet omnem regem et gentem qui manum suam extenderit prohibere, aut male tractare domum Domini illam, quæ est in Jerusalem. Ego Darius rex decrevi quam diligentissime secundum hæc fieri.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τότε Σισίννης ἔπαρχος κοίλης Συρίας καὶ Φοινίκης, καὶ Σαθραβουζάνης καὶ οἱ συνεταῖροι, κατακολουθήσαντες τοῖς ὑπὸ τοῦ βασιλέως Δαρείου προσταγεῖσιν, ἐπεστάτουν τῶν ἱερῶν ἔργων ἐπιμελέστερον συνεργοῦντες τοῖς πρεσβυτέροις τῶν Ἰουδαίων καὶ ἱεροστάταις. Καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα, προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου τῶν προφητῶν. Καὶ συνετέλεσαν ταῦτα διὰ προστάγματος Κυρίου Θεοῦ Ἰσραὴλ, καὶ μετὰ τῆς γνώμης τοῦ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου βασιλέων Περσῶν, συνετελέσθη ὁ οἶκος ὁ ἅγιος ἕως τρίτης καὶ εἰκάδος μηνὸς Ἀδὰρ, τοῦ ἕκτου ἔτους βασιλέως Δαρείου. Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας, οἱ προσ-

CAPUT VII.

Tunc Sisinnes subregulus Cœlesyriæ et Phœnices, et Sathrabuzanes et sodales, obsecuti his quæ a Dario rege erant decreta, insistebant sacrosanctis operibus diligentius cooperantes senioribus Judæorum et sacris statoribus. Et prosperata sunt sacrosancta opera, prophetantibus Aggæo et Zacharia prophetis. Et consummaverunt hæc per præceptum Domini Dei Israel : et ex consilio Cyri et Darii et Artaxersis regis Persarum, consummata est domus sancta usque ad tertiam et vigesimam diem mensis adar, sexto anno Darii regis. Et fecerunt filii Israel, et sacerdotes et Levitæ et cæteri qui erant ex captivitate, qui appositi sunt, secun-

τεθέντες ἀκολούθως τοῖς ἐν τῇ Μωϋσέως βίβλῳ. Καὶ προςήνεγκαν εἰς τὸν ἐγκαινισμὸν τοῦ ἱεροῦ τοῦ Κυρίου ταύρους ἑκατὸν, κριοὺς διακοσίους, ἄρνας τετρακοσίους, χιμάρους ὑπὲρ ἁμαρτίας παντὸς τοῦ Ἰσραὴλ δώδεκα πρὸς ἀριθμὸν ἐκ τῶν φυλάρχων τοῦ Ἰσραὴλ δώδεκα. Καὶ ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται κατὰ φυλὰς, ἐστολισμένοι ἐπὶ τῶν ἔργων Κυρίου Θεοῦ Ἰσραὴλ ἀκολούθως τῇ Μωϋσέως βίβλῳ, καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶνος. Καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ τῶν ἐκ τῆς αἰχμαλωσίας τὸ πάσχα ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνὸς, ὅτε ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἅμα. Καὶ πάντες οἱ υἱοὶ τῆς αἰχμαλωσίας, ὅτι ἡγνίσθησαν, ὅτι οἱ Λευῖται ἅμα πάντες ἡγνίσθησαν. Καὶ ἔθυσαν τὸ πάσχα πᾶσι τοῖς υἱοῖς τοῖς αἰχμαλωσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι, καὶ ἑαυτοῖς. Καὶ ἐφάγοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν Κύριον. Καὶ ἠγάγοσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι ἔναντι Κυρίου, ὅτι μετέστρεψε τὴν βουλὴν τοῦ βασιλέως Ἀσσυρίων ἐπ' αὐτοὺς, κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ ἔργα Κυρίου Θεοῦ Ἰσραήλ.

dum ea quæ scripta sunt in libro Moysi. Et obtulerunt in dedicationem templi Domini tauros centum, arietes ducentos, agnos quadringentos, hircos pro peccato universi Israel duodecim ad numerum de principibus tribuum Israel duodecim. Et steterunt sacerdotes et Levitæ per tribus, amicti stolis super opera Domini Dei Israel secundum librum Moysi, et ostiarii per singulas januas. Et egerunt filii Israel ex his qui erant ex captivitate pascha in quartadecima mensis primi, quando sanctificati sunt sacerdotes, et Levitæ simul; et omnes filii captivitatis, quoniam purificati sunt, quoniam Levitæ simul omnes sanctificati sunt. Et immolaverunt pascha universis filiis captivitatis et fratribus suis sacerdotibus, et sibimetipsis. Et manducaverunt filii Israel qui ex captivitate, omnes qui recesserant ab execrationibus gentium terræ, quærentes Dominum. Et celebraverunt diem festum azymorum septem diebus epulantes in conspectu Domini quoniam convertit consilium regis Assyriorum in eos, confortare manus eorum ad opera Domini Dei Israel.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Καὶ μεταγενέστερος τούτων ἐστὶ, βασιλεύοντος Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, προσέβη Ἔσδρας Ἀζαραίου, τοῦ Ζεχρίου, τοῦ Χελκίου, τοῦ Σαλήμου, τοῦ Σαδδούκου, τοῦ Ἀχιτὼβ, τοῦ Ἀμαρίου, τοῦ Ὀζίου, τοῦ Βοκκὰ, τοῦ Ἀβισαΐ, τοῦ Φινεὲς, τοῦ Ἐλεάζαρ, τοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου. Οὗτος Ἔσδρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμματεὺς εὐφυὴς ὢν ἐν τῷ Μωϋσέως νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ Θεοῦ τοῦ Ἰσραήλ. Καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς δόξαν, εὑρόντος χάριν ἐνώπιον αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ. Καὶ συνανέβησαν ἐκ τῶν υἱῶν Ἰσραὴλ, καὶ τῶν ἱερέων καὶ Λευιτῶν καὶ ἱεροψαλτῶν, καὶ θυρωρῶν καὶ ἱεροδούλων, εἰς Ἱερουσαλὴμ, ἔτους ἑβδόμου βασιλεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνί. Οὗτος ἐνιαυτὸς ἕβδομος τῷ βασιλεῖ. Ἐξελθόντες γὰρ ἐκ Βαβυλῶνος τῇ νουμηνίᾳ τοῦ πρώτου μηνὸς, παρεγένοντο εἰς Ἱερουσαλὴμ κατὰ τὴν δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ τοῦ Κυρίου ἐπ' αὐτῷ. Ὁ γὰρ Ἔσδρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν ἐκ τοῦ νόμου Κυρίου καὶ ἐκ τῶν ἐντολῶν, διδάξαι πάντα τὸν Ἰσραὴλ δικαιώματα καὶ κρίματα. Προςπεσόντος δὲ τοῦ γραφέντος προστάγματος παρὰ Ἀρταξέρξου βασιλέως πρὸς Ἔσδραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ νόμου Κυρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον· Βασιλεὺς Ἀρταξέρξης Ἔσδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ νόμου Κυρίου, χαίρειν. Καὶ τὰ φιλάνθρωπα ἐγὼ κρίνας προσέταξα τοὺς βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱρετίζοντας, καὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν, καὶ τῶνδε ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, συμπορεύεσθαί σοι εἰς Ἱερουσαλήμ. Ὅσοι οὖν ἐνθυμοῦνται, συνεξορμάσθωσαν, καθάπερ δέδοχται ἐμοί τε, καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς, ὅπως ἐπισκέψωνται τὰ κατὰ τὴν Ἰουδαίαν καὶ Ἱερουσαλὴμ, ἀκολούθως ᾧ ἔχει ἐν τῷ νόμῳ Κυρίου· καὶ ἀπενεγκεῖν δῶρα τῷ Κυρίῳ τοῦ Ἰσραὴλ, ἃ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι, εἰς Ἱερουσαλήμ. Καὶ πᾶν χρυσίον καὶ ἀργύριον ὃ ἐὰν εὑρεθῇ ἐν τῇ χώρᾳ τῆς Βα-

CAPUT VIII.

Et posterior his est, regnante Artaxerse Persarum rege, accessit Esdras filius Azariæ, filii Zechriæ, filii Chelciæ, filii Salemi, filii Sadduci, filii Achitob, filii Amariæ, filii Oziæ, filii Bocca, filii Abisai, filii Phinees, filii Eleazari, filii Aaron primi sacerdotis. Hic Esdras ascendit de Babylonia tanquam scriba qui esset ingeniosus in lege Moysi quæ data est a Deo Israel. Et dedit ei rex gloriam, quod invenisset gratiam in conspectu ejus super omnes dignitates ipsius. Et ascenderunt simul ex filiis Israel, et sacerdotibus et Levitis et sacris cantoribus, et ostiariis et servis templi, in Jerusalem, anno septimo regnante Artaxerse in quinto mense. Hic annus septimus est regni. Exeuntes enim de Babylonia novilunio primi mensis, venerunt Jerosolymam, secundum prosperitatem itineris datam eis a Domino in eo. Esdras enim magnam disciplinam obtinebat ne prætermitteret quicquam eorum quæ essent ex lege Domini et ex præceptis, docendo universum Israel justificationes et judicia. Quum obvenisset autem scriptum præceptum ab Artaxerse rege ad Esdram sacerdotem et lectorem legis Domini, cujus exemplum subjectum est : Rex Artaxerses Esdræ sacerdoti et lectori legis Domini, salutem. Humaniora ego judicans, præcepi eis qui desiderant ex gente Judæorum sua sponte, et ex sacerdotibus et Levitis, et qui sunt in nostro regno, comitari tecum in Jerusalem. Quicumque ergo cupiunt, tecum conveniant et proficiscantur, sicut placuit mihi, et septem amicis consiliariis, ut visitent ea quæ aguntur secundum Judæam et Jerusalem, observantes sicut habet in lege Domini : et ferant munera Domino Israel, quæ vovi ego et amici, in Jerusalem. Et omne aurum et argentum quod inventum fuerit in regione

βυλωνίας, τῷ Κυρίῳ εἰς Ἱερουσαλὴμ σὺν τῷ δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους εἰς τὸ ἱερὸν τοῦ Κυρίου Θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλὴμ, συναχθῆναι τό τε χρυσίον καὶ τὸ ἀργύριον εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας, καὶ τὰ τούτοις ἀκόλουθα, ὥστε προσενεγκεῖν θυσίας τῷ Κυρίῳ ἐπὶ τὸ θυσιαστήριον τοῦ Κυρίου Θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλήμ. Καὶ πάντα ὅσα ἐὰν βούλῃ μετὰ τῶν ἀδελφῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ τὸ θέλημα τοῦ Θεοῦ σου. Καὶ τὰ ἱερὰ σκεύη τοῦ Κυρίου, τὰ διδόμενά σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ Θεοῦ σου, δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου. Κἀγὼ ἰδοὺ Ἀρταξέρξης βασιλεὺς προσέταξα τοῖς γαζοφύλαξι Συρίας καὶ Φοινίκης, ἵνα ὅσα ἐὰν ἀποστείλῃ Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐπιμελῶς διδῶσιν αὐτῷ ἕως ἀργυρίου ταλάντων ἑκατὸν, ὁμοίως δὲ καὶ ἕως πυροῦ κόρων ἑκατὸν, καὶ οἴνου μετρητῶν ἑκατὸν, καὶ ἄλλα ἐκ πλήθους, πάντα κατὰ τὸν τοῦ Θεοῦ νόμον ἐπιτελεσθήτω ἐπιμελῶς τῷ Θεῷ τῷ ὑψίστῳ, ἕνεκεν τοῦ μὴ γενέσθαι ὀργὴν εἰς τὴν βασιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. Καὶ ὑμῖν δὲ λέγεται, ὅπως πᾶσι τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ πραγματικοῖς τοῦ ἱεροῦ τούτου μηδὲ μία φορολογία, μηδὲ ἄλλη ἐπιβουλὴ γίνηται, καὶ μηδένα ἔχειν ἐξουσίαν ἐπιβαλεῖν τι τούτοις. Καὶ σὺ, Ἔσδρα, κατὰ τὴν σοφίαν τοῦ Θεοῦ ἀνάδειξον κριτὰς καὶ δικαστὰς, ὅπως δικάζωσιν ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς ἐπισταμένους τὸν νόμον τοῦ Θεοῦ σου, καὶ τοὺς μὴ ἐπισταμένους διδάξεις. Καὶ πάντες ὅσοι ἂν παραβαίνωσι τὸν νόμον τοῦ Θεοῦ σου καὶ τὸν βασιλικὸν, ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ θανάτῳ, ἐάν τε καὶ τιμωρίᾳ, ἢ ἀργυρικῇ ζημίᾳ, ἢ ἀπαγωγῇ. Καὶ εἶπεν Ἔσδρας ὁ γραμματεύς· Εὐλογητὸς μόνος Κύριος ὁ Θεὸς τῶν πατέρων μου, ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν τοῦ βασιλέως, δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ἱερουσαλὴμ, καὶ ἐμὲ ἐτίμησεν ἐναντίον τοῦ βασιλέως, καὶ τῶν συμβουλευόντων, καὶ πάντων τῶν φίλων καὶ μεγιστάνων αὐτοῦ. Καὶ ἐγὼ εὐθαρσὴς ἐγενόμην κατὰ τὴν ἀντίληψιν Κυρίου τοῦ Θεοῦ μου, καὶ συνήγαγον ἄνδρας ἐκ τοῦ Ἰσραὴλ ὥστε συναναβῆναι μοι. Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν καὶ τὰς μεριδαρχίας, οἱ ἀναβάντες μετ' ἐμοῦ ἐκ Βαβυλῶνος ἐν τῇ βασιλείᾳ Ἀρταξέρξου τοῦ βασιλέως. Ἐκ τῶν υἱῶν Φινεὲς, Γηρσών. Ἐκ τῶν υἱῶν Ἰαθαμάρου, Γαμαλιήλ. Ἐκ τῶν υἱῶν Δαυὶδ, Λαττοὺς ὁ Σεχενίου. Ἐκ τῶν υἱῶν Φόρος, Ζαχαρίας, καὶ μετ' αὐτοῦ ἀπεγράφησαν ἄνδρες ἑκατὸν πεντήκοντα. Ἐκ τῶν υἱῶν Φαὰθ Μωὰβ, Ἐλιαωνίας Ζαραίου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι. Ἐκ τῶν υἱῶν Ζαθόης, Σεχενίας Ἰεζήλου, καὶ μετ' αὐτοῦ ἄνδρες τριακόσιοι. Ἐκ τῶν υἱῶν Ἀδὶν, Ὠβὴθ Ἰωνάθου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι πεντήκοντα. Ἐκ τῶν υἱῶν Ἠλὰμ, Ἰεσίας Γοθολίου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα. Ἐκ τῶν υἱῶν Σαφατίου, Ζαραίας Μιχαήλου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα. Ἐκ τῶν υἱῶν Ἰωὰβ, Ἀβαδίας Ἰεζήλου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι δεκαδύο. Ἐκ τῶν υἱῶν Βανίας, Σαλιμὼθ Ἰωσαφίου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑξήκοντα καὶ ἑκατόν. Ἐκ τῶν υἱῶν Βαβὶ, Ζαχαρίας Βηβαὶ, καὶ μετ' αὐτοῦ ἄνδρες εἰκοσιοκτώ. Ἐκ τῶν υἱῶν Ἀστὰθ, Ἰωάννης Ἀκατὰν, καὶ μετ' αὐτοῦ ἄνδρες ἑκατὸν δέκα. Ἐκ τῶν υἱῶν Ἀδωνικὰμ οἱ ἔσχατοι. Καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλιφαλὰ τοῦ Γεουὴλ,

Babyloniæ, Domino in Jerusalem, cum illo quod est donatum ab ipsa gente in templum Domini Dei eorum quod est in Jerusalem, ut colligatur hoc aurum et argentum ad tauros et arietes, et agnos, et quæ his sunt congruentia ut offerant hostias Domino super altare Domini Dei ipsorum, quod est in Jerusalem. Et omnia quæcumque volueris, cum fratribus tuis, facere auro et argento, perfice secundum voluntatem Dei tui. Et sacrosancta vasa Domini, quæ data sunt tibi ad usum templi Dei tui, dabis de regali gazophylacio. Et ego quidem rex Artaxerses præcepi custodibus thesaurorum Syriæ et Phœnices, ut quæcumque scripserit Esdras sacerdos et lector legis Dei excelsi, diligenter dent ei usque ad argenti talenta centum, similiter autem et usque ad frumenti modios centum, et vini amphoras centum, et alia ex multitudine, omnia secundum legem Dei fiant diligenter Deo altissimo, ne forte exsurgat ira in regnum regis et filiorum ejus. Et vobis autem dicitur, ut omnibus sacerdotibus et Levitis, et sacris cantoribus, et ostiariis et servis templi et pragmaticis templi hujus nullum tributum, neque alia indictio irrogetur, neque habeat quisquam potestatem objicere eis quidquam. Tu autem, Esdra, secundum sapientiam Dei constitue judices et arbitros, ut judicent in tota Syria et Phœnice omnes qui noverunt legem Dei tui, et omnes, qui non noverunt, doce. Et omnes quotquot trangressi fuerint legem Dei tui et regalem, diligenter plectantur, sive morte, sive cruciatu, sive etiam pecuniæ mulctatione, vel abductione. Et dixit Esdras scriba : Benedictus solus Dominus Deus patrum meorum, qui dedit hæc in cor regis, clarificare domum suam quæ est in Jerusalem, et me honorificavit in conspectu regis, et consiliariorum, et omnium amicorum et purpuratorum ejus. Et ego constans animo factus sum secundum opitulationem Domini Dei mei, et congregavi ex Israel viros, ut simul ascenderent mecum. Et hi sunt propositi secundum suas patrias et principatus portionales, qui mecum ascenderunt de Babylonia in regno Artaxersis regis. Ex filiis Phinees, Gerson. Ex filiis Jathamari, Gamaliel. Ex filiis David, Lattus filius Secheniæ. Ex filiis Phoros, Zacharias, et cum eo adscripti sunt viri centum quinquaginta. Ex filiis Phaat Moab, Eliaonias Zaraæ, et cum eo viri ducenti. Ex filiis Zathoes, Sechenias Jezeli, et cum eo viri trecenti. Ex filiis Adin, Obeth Jonathæ, et cum eo viri ducenti quinquaginta. Ex filiis Elam, Jesias Gotholiæ, et cum eo viri septuaginta. Ex filiis Saphatiæ, Zaraias Michaeli, et cum eo viri septuaginta. Ex filiis Joab, Abadias Jezeli, et cum eo viri ducenti duodecim. Ex filiis Banias, Salimoth Josaphiæ, et cum eo viri centum sexaginta. Ex filiis Babi, Zacharias Bebai, et cum eo viri viginti octo. Ex filiis Astath, Joannes Acatan, et cum eo viri centum decem. Ex filiis Adonicam postremi. Et hæc nomina eorum : Eliphala filius Gevel, et

καὶ Σαμαίας, καὶ μετ' αὐτῶν ἄνδρες ἑβδομήκοντα. Ἐκ τῶν υἱῶν Βαγὼ, Οὐθὶ ὁ τοῦ Ἰσταλκούρου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα. Καὶ συνήγαγον αὐτοὺς ἐπὶ τὸν λεγόμενον Θερὰν ποταμὸν, καὶ παρενεβάλομεν ἡμέρας τρεῖς αὐτόθι, καὶ κατέμαθον αὐτούς. Καὶ ἐκ τῶν ἱερέων καὶ ἐκ τῶν Λευιτῶν οὐχ εὑρὼν ἐκεῖ, ἀπέστειλα πρὸς Ἐλεάζαρον, καὶ Ἰδουῆλον, καὶ Μαιὰ καὶ Μασμὰν, καὶ Ἀλναθὰν, καὶ Σαμαίαν, καὶ Ἰώριβον, Νάθαν, Ἐνναττὰν, Ζαχαρίαν, καὶ Μοσόλλαμον, τοὺς ἡγουμένους καὶ ἐπιστήμονας, καὶ εἶπα αὐτοῖς ἐλθεῖν πρὸς Λοδδαῖον τὸν ἡγούμενον τὸν ἐν τῷ τόπῳ τοῦ γαζοφυλακίου, ἐντειλάμενος αὐτοῖς διαλεχθῆναι Λοδδαίῳ, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ τοῖς ἐν τῷ τόπῳ γαζοφύλαξιν, ἀποστεῖλαι ἡμῖν τοὺς ἱερατεύσοντας ἐν τῷ οἴκῳ τοῦ Κυρίου ἡμῶν. Καὶ ἤγαγον ἡμῖν κατὰ τὴν κραταιὰν χεῖρα τοῦ Κυρίου ἡμῶν ἄνδρας ἐπιστήμονας, τῶν υἱῶν Μοολὶ τοῦ Λευὶ τοῦ Ἰσραὴλ, Ἀσεβηβίαν, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς, ὄντας δέκα καὶ ὀκτώ. Καὶ Ἀσεβίαν, καὶ Ἄννουον, καὶ Ὠσαίαν ἀδελφὸν ἐκ τῶν υἱῶν Χανουναίου, καὶ οἱ υἱοὶ αὐτῶν εἴκοσι ἄνδρες. Καὶ ἐκ τῶν ἱεροδούλων, ὧν ἔδωκε Δαυὶδ, καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευιτῶν, ἱεροδούλους διακοσίους καὶ εἴκοσι. Πάντων ἐσημάνθη ἡ ὀνοματογραφία. Καὶ εὐξάμην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι Κυρίου ἡμῶν, ζητῆσαι παρ' αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ τοῖς συνοῦσιν ἡμῖν, τέκνοις ἡμῶν,, καὶ κτήνεσιν. Ἐνετράπην γὰρ αἰτῆσαι τὸν βασιλέα πεζούς τε καὶ ἱππεῖς, καὶ προπομπὴν ἕνεκεν ἀσφαλείας τῆς πρὸς τοὺς ἐναντιουμένους ἡμῖν. Εἴπαμεν γὰρ τῷ βασιλεῖ, ὅτι ἡ ἰσχὺς τοῦ Κυρίου ἡμῶν ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐπανόρθωσιν. Καὶ πάλιν ἐδεήθημεν τοῦ Κυρίου ἡμῶν πάντα ταῦτα, καὶ ἐτύχομεν εὐϊλάτου. Καὶ ἐχώρισα τῶν φυλάρχων τῶν ἱερέων ἄνδρας δεκαδύο, καὶ Ἐσερεβίαν καὶ Σαμίαν, καὶ μετ' αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δώδεκα. Καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον, καὶ τὸ χρυσίον, καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ Κυρίου ἡμῶν, ἃ ἐδωρήσατο ὁ βασιλεὺς, καὶ οἱ σύμβουλοι αὐτοῦ, καὶ οἱ μεγιστᾶνες, καὶ πᾶς Ἰσραήλ. Καὶ στήσας παρέδωκα αὐτοῖς ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα, καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκατὸν, καὶ χρυσίου τάλαντα ἑκατὸν, καὶ χρυσώματα εἴκοσι, καὶ σκεύη χάλκεα ἀπὸ χρηστοῦ χαλκοῦ στίλβοντα, χρυσοειδῆ σκεύη, δώδεκα. Καὶ εἶπα αὐτοῖς· Καὶ ὑμεῖς ἅγιοι ἐστὲ τῷ Κυρίῳ· καὶ τὰ σκεύη τὰ ἅγια, καὶ τὸ χρυσίον, καὶ τὸ ἀργύριον, εὐχὴ τῷ Κυρίῳ, Κυρίῳ τῶν πατέρων ἡμῶν. Ἀγρυπνεῖτε, καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι ὑμᾶς αὐτὰ τοῖς φυλάρχοις τῶν ἱερέων καὶ τῶν Λευιτῶν, καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ, ἐν τοῖς παστοφορίοις τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν. Καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ τὰ σκεύη τὰ ἐν Ἱερουσαλὴμ, εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ Κυρίου. Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ Θερὰ, τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς, ἕως εἰσήλθομεν εἰς Ἱερουσαλὴμ, κατὰ τὴν κραταιὰν χεῖρα τοῦ Κυρίου ἡμῶν τὴν ἐφ' ἡμῖν. Καὶ ἐῤῥύσατο ἡμᾶς ἀπὸ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ, καὶ ἤλθομεν εἰς Ἱερουσαλήμ. Καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης, τῇ ἡμέρᾳ τῇ τετάρτῃ σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ οἴκῳ Κυρίου ἡμῶν, Μαρμωθὶ Οὐρία ἱερεῖ, καὶ μετ' αὐτοῦ

Samaias, et cum eis viri septuaginta. Ex filiis Bago, Uthi filius Istalcuri, et cum eo viri septuaginta. Et congregavi eos ad fluvium qui dicitur Theran, et castrametati fuimus illic triduo, et recognovi eos. Et ex sacerdotibus et ex Levitis non inveni illic. Misi ad Eleazarum, et Iduelum, et Maia, et Masman, et Alnathan, et Samæam, et Joribon, Nathan, Ennatan, Zachariam, et Mosollamon, ductores et peritos, et dixi eis, ut venirent ad Loddæum præpositum, qui in loco gazophylacii : et mandavi eis ut dicerent Loddæo, et fratribus ejus et iis qui in loco thesaurorum custodibus, ut mitterent nobis eos qui sacerdotio fungerentur in domo Domini nostri. Et adduxerunt nobis secundum manum validam Domini nostri viros peritos, ex filiis Mooli filii Levi filii Israel, Asebebiam, et filios ejus, et fratres ejus, qui erant decem et octo. Et Asebiam, et Ænuon, et Osæam fratrem ex filiis Chanunæi, et filii eorum viginti viri. Et ex his qui templo serviebant, quos dedit David, et ipsi principes ad operationem Levitarum, templo servientes ducentos et viginti. Omnium signata est descriptio per nomina. Et vovi illic jejunium juvenibus in conspectu Domini nostri, ut quærerem ab eo bonum iter nobis et qui nobiscum erant, filiis nostris, et pecoribus. Erubui enim petere a rege pedites, et equites, et comitatum tutelæ gratia contra adversarios nostros. Diximus enim regi, quoniam virtus Domini nostri erit cum eis qui inquirunt eum ad omnem correctionem. Et iterum deprecati sumus a Domino nostro omnia hæc, et propitium habuimus. Et separavi ex phylarchis sacerdotum viros duodecim, et Eserebiam et Samiam, et cum eis ex fratribus eorum viros duodecim. Et appendi eis argentum, et aurum, et sacra vasa domus Domini nostri, quæ donaverat rex, et consiliarii ejus, et principes, et omnis Israel. Et cum appendissem, tradidi eis argenti talenta sexcenta quinquaginta, et vasa argentea talentorum centum, et auri talenta centum, et aurea viginti, et vasa ærea, de bono ære splendentia, auri speciem reddentia, vasa duodecim. Et dixi eis : Et vos sancti estis Domino : et vasa sancta, et aurum, et argentum, votum est Domino, Domino patrum nostrorum. Vigilate, et custodite donec tradatis ea phylarchis sacerdotum et Levitarum et præfectis patriarum Israel in Jerusalem, in pastophoriis domus Dei nostri : Et hi qui susceperunt, sacerdotes, et Levitæ, argentum, et aurum et vasa, quæ in Jerusalem, intulerunt in templum Domini : Et promoventes a fluvio Thera, die duodecima mensis primi, usquequo introivimus in Jerusalem, secundum manum validam Domini nostri quæ in nobis. Et eruit nos ab introitu ab omni inimico : et venimus in Jerusalem. Et cum factus fuisset ibi tertius dies, quarta die ponderatum argentum et aurum traditum est in domo Domini nostri, Marmothi Uriæ sacerdoti :

Ἐλεάζαρ ὁ τοῦ Φινεές. Καὶ ἦσαν μετ' αὐτοῦ Ἰωσαβδὲς Ἰησοῦ, καὶ Μωὲθ Σαβάννου. Οἱ δὲ Λευῖται, πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα. Καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῶν αὐτῇ τῇ ὥρᾳ. Οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας προςήνεγκαν θυσίας τῷ Θεῷ τοῦ Ἰσραὴλ Κυρίῳ, ταύρους δώδεκα ὑπὲρ παντὸς Ἰσραὴλ, κριοὺς ἐνενηκονταὲξ, ἄρνας ἑβδομηκονταδύο, τράγους ὑπὲρ σωτηρίου δώδεκα, ἅπαντα θυσίαν τῷ Κυρίῳ. Καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως τοῖς βασιλικοῖς οἰκονόμοις, καὶ τοῖς ἐπάρχοις κοίλης Συρίας καὶ Φοινίκης, καὶ ἐδόξασαν τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ Κυρίου. Καὶ τούτων τελεσθέντων προςήλθοσάν μοι οἱ ἡγούμενοι, λέγοντες· Οὐκ ἐχώρισαν τὸ ἔθνος τοῦ Ἰσραὴλ καὶ οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ τὰς ἀκαθαρσίας αὐτῶν ἀπὸ τῶν ἐθνῶν τῶν Χαναναίων, καὶ Χετταίων, καὶ Φερεζαίων, καὶ Ἰεβουσαίων, καὶ Μωαβιτῶν, καὶ Αἰγυπτίων, καὶ Ἰδουμαίων. Συνῴκησαν γὰρ μετὰ τῶν θυγατέρων αὐτῶν καὶ αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν, ἐπεμίγη τὸ σπέρμα τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς, καὶ μετεῖχον οἱ προηγούμενοι καὶ οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος. Καὶ ἅμα τῷ ἀκοῦσαί με ταῦτα, διέῤῥηξα τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα, καὶ κατέτιλα τοῦ τριχώματος τῆς κεφαλῆς καὶ τοῦ πώγωνος, καὶ ἐκάθισα σύννους καὶ περίλυπος. Καὶ ἐπισυνήχθησαν πρός με ὅσοι ποτὲ ἐπεκινοῦντο ἐπὶ τῷ ῥήματι Κυρίου Θεοῦ τοῦ Ἰσραὴλ, ἐμοῦ πενθοῦντος ἐπὶ τῇ ἀνομίᾳ, καὶ ἐκαθήμην περίλυπος ἕως τῆς δειλινῆς θυσίας. Καὶ ἐξεγερθεὶς ἐκ τῆς νηστείας, διεῤῥηγμένα ἔχων τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα, κάμψας τὰ γόνατα, καὶ ἐκτείνας τὰς χεῖρας πρὸς τὸν Κύριον, ἔλεγον· Κύριε, ᾔσχυμμαι καὶ ἐντέτραμμαι κατὰ πρόσωπόν σου. Αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ τὰς κεφαλὰς ἡμῶν, καὶ αἱ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐρανοῦ, ἔτι ἀπὸ τῶν χρόνων τῶν πατέρων ἡμῶν, καὶ ἐσμὲν ἐν μεγάλῃ ἁμαρτίᾳ ἕως τῆς ἡμέρας ταύτης. Καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ τῶν πατέρων ἡμῶν παρεδόθημεν σὺν τοῖς ἀδελφοῖς ἡμῶν, καὶ σὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ σὺν τοῖς ἱερεῦσιν ἡμῶν, τοῖς βασιλεῦσι τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμαλωσίαν καὶ προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέρας. Καὶ νῦν κατὰ πόσον τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ τοῦ Κυρίου Κυρίου, καταλειφθῆναι ἡμῖν ῥίζαν καὶ ὄνομα ἐν τῷ τόπῳ ἁγιάσματός σου, καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῖν ἐν τῷ οἴκῳ Κυρίου τοῦ Θεοῦ ἡμῶν, δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς δουλείας ἡμῶν; Καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐγκατελείφθημεν ὑπὸ τοῦ Κυρίου ἡμῶν, ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπιον τῶν βασιλέων Περσῶν, δοῦναι ἡμῖν τροφὴν, καὶ δοξάσαι τὸ ἱερὸν τοῦ Κυρίου ἡμῶν, καὶ ἐγεῖραι τὴν ἔρημον Σιὼν, δοῦναι ἡμῖν στερέωμα ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ. Καὶ νῦν τί ἐροῦμεν, Κύριε, ἔχοντες ταῦτα; Παρέβημεν γὰρ τὰ προςτάγματά σου, ἃ ἔδωκας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν, λέγων, ὅτι ἡ γῆ εἰς ἣν εἰςέρχεσθε κληρονομῆσαι, ἔστι γῆ μεμολυσμένη μολυσμῷ τῶν ἀλλογενῶν τῆς γῆς, καὶ τῆς ἀκαθαρσίας αὐτῶν ἐνέπλησαν αὐτήν. Καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ συνοικήσητε τοῖς υἱοῖς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν, καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον, ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ

et cum ipso erat Eleazar filius Phinees. Et erant cum ipso Josabdos Jesu, et Moeth Sabanni. Levitæ autem, ad numerum et pondus universa. Et scriptum est universum pondus ipsorum eadem hora Qui autem venerunt ex captivitate obtulerunt sacrificia Deo Israel Domino, tauros duodecim pro omni Israel, arietes nonaginta sex, agnos septuaginta duos, hircos pro salutari duodecim, omnia sacrificium Domino. Et reddiderunt præcepta regis regalibus dispensatoribus, et subregulis Cœlesyriæ et Phœnices et honorificaverunt gentem et templum Domini. Et consummatis his accesserunt ad me præpositi, dicentes : Non segregaverunt genus Israel et principes et sacerdotes et Levitæ, alienigenas gentes terræ et immunditias earum ex gentibus Chananæorum, et Chettæorum, et Pherezæorum, et Jebusæorum, et Moabitarum, et Ægyptiorum, et Idumæorum. Conjuncti enim sunt filiabus earum et ipsi et filii eorum, et mistum est semen sanctum alienigenis gentibus terræ, et participes erant præpositi et magistratus iniquitatis hujus ab initio rei. Et mox ut audivi ista, conscidi vestimenta et sacram tunicam, et lacerans capillos capitis et barbam, sedi dolens et mœstus. Et convenerunt ad me quotquot tunc movebantur in verbo Domini Dei Israel, me lugente super niquitatem, et sedebam tristis usque ad sacrificium vespertinum. Et consurgens a jejunio, conscissa habens vestimenta et sacram tunicam, ingeniculans, et extendens manus ad Dominum, dicebam : Domine, confusus sum et reveritus sum ante faciem tuam. Peccata enim nostra multiplicata sunt super capita nostra, et ignorantiæ nostræ exaltatæ sunt usque ad cœlum, etiam a temporibus patrum nostrorum, et sumus in magno peccato usque ad diem hunc. Et propter peccata nostra et patrum nostrorum sumus traditi cum fratribus nostris, et cum regibus nostris, et cum sacerdotibus nostris, regibus terræ in gladium et captivitatem et deprædationem cum confusione usque in hodiernum diem. Et nunc quantum est hoc contigit nobis misericordia a Domino Domino, relinquere nobis radicem et nomen in loco sanctificationis tuæ, et detegere luminare nobis in domo Domini Dei nostri, dare nobis cibum in tempore servitutis nostræ? Et cum serviremus non fuimus derelicti a Domino nostro, sed constituit nos in gratia in conspectu regum Persarum, dare nobis cibum, et clarificare templum Domini nostri, et suscitare desertam Sion, dare nobis stabilitatem in Judæa et Jerusalem. Et nunc quid dicemus, Domine, habentes hæc? Transgressi enim sumus præcepta tua, quæ dedisti in manu puerorum tuorum prophetarum, dicens, quoniam terra in quam introitis possidere hæreditatem ejus, terra polluta est coinquinatione alienigenarum terræ, et immunditia sua repleverunt eam. Et nunc filias vestras non conjungetis filiis eorum, et filias eorum non accipietis filiis vestris, et non inquiretis pacem habere cum illis omni tempore, ut invalescentes manducetis optima terræ, et hæreditatem distri-

τῆς γῆς, καὶ κατακληρονομήσητε τοῖς τέκνοις ὑμῶν ἕως αἰῶνος. Καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν γίνεται διὰ τὰ ἔργα ἡμῶν τὰ πονηρὰ, καὶ τὰς μεγάλας ἁμαρτίας ἡμῶν. Σὺ γὰρ, Κύριε, ὁ κουφίσας τὰς ἁμαρτίας ἡμῶν, ἔδωκας ἡμῖν τοιαύτην ῥίζαν, πάλιν ἀνεκάμψαμεν παραβῆναι τὸν νόμον σου, εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς. Οὐχὶ ὠργίσθης ἡμῖν ἀπολέσαι ἡμᾶς, ἕως τοῦ μὴ καταλιπεῖν ῥίζαν καὶ σπέρμα καὶ ὄνομα ἡμῶν; Κύριε τοῦ Ἰσραὴλ, ἀληθινὸς εἶ. Κατελείφθημεν γὰρ ῥίζα ἐν τῇ σήμερον. Ἰδοὺ νῦν ἐσμὲν ἐνώπιόν σου ἐν ταῖς ἀνομίαις ἡμῶν. Οὐ γὰρ ἔστι στῆναι ἔτι ἔμπροσθέν σου ἐπὶ τούτοις. Καὶ ὅτε προσευχόμενος Ἔσδρας ἀνθωμολογεῖτο κλαίων, χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ, ἐπισυνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἱερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄνδρες καὶ γυναῖκες, καὶ νεανίαι· κλαυθμὸς γὰρ μέγας ἐν τῷ πλήθει. Καὶ φωνήσας Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ, εἶπεν Ἔσδρᾳ· Ἡμεῖς ἡμάρτομεν εἰς τὸν Κύριον· συνῳκίσαμεν γυναῖκας ἀλλογενεῖς ἐκ τῶν ἐθνῶν τῆς γῆς. Καὶ νῦν ἐστιν ἐπάνω πᾶς Ἰσραήλ. Ἐν τούτῳ γινέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν Κύριον, ἐκβαλεῖν πάσας τὰς γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν, σὺν τοῖς τέκνοις αὐτῶν, ὡς ἐκρίθη σοι, καὶ ὅσοι πειθαρχοῦσι τοῦ νόμου Κυρίου. Ἀναστὰς ἐπιτέλει. Πρὸς σὲ γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς μετὰ σοῦ ἰσχὺν ποιεῖν. Καὶ ἀναστὰς Ἔσδρας ὥρκισε τοὺς φυλάρχους τῶν ἱερέων καὶ Λευιτῶν παντὸς τοῦ Ἰσραὴλ, ποιῆσαι κατὰ ταῦτα. Καὶ ὤμοσαν.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Καὶ ἀναστὰς Ἔσδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπορεύθη εἰς τὸ παστοφόριον Ἰωνὰν τοῦ Ἐλιασίβου, καὶ αὐλισθεὶς ἐκεῖ, ἄρτου οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιε, πενθῶν ἐπὶ τῶν ἀνομιῶν τῶν μεγάλων τοῦ πλήθους. Καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ, πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας, συναχθῆναι εἰς Ἱερουσαλὴμ, καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις, κατὰ τὸ κρίμα τῶν προκαθημένων πρεσβυτέρων, ἀνιερωθήσονται τὰ κτήνη αὐτῶν, καὶ αὐτὸς ἀλλοτριωθήσεται ἀπὸ τοῦ πλήθους τῆς αἰχμαλωσίας. Καὶ ἐπισυνήχθησαν πάντες οἱ ἐκ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν ἐν τρισὶν ἡμέραις εἰς Ἱερουσαλήμ· οὗτος ὁ μὴν ἔννατος τῇ εἰκάδι τοῦ μηνός. Καὶ συνεκάθισαν πᾶν τὸ πλῆθος ἐν τῷ εὐρυχώρῳ τοῦ ἱεροῦ, τρέμοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα. Καὶ ἀναστὰς Ἔσδρας εἶπεν αὐτοῖς· Ὑμεῖς ἠνομήσατε καὶ συνῳκίσατε γυναιξὶν ἀλλογενέσι, τοῦ προσθεῖναι ἁμαρτίας τῷ Ἰσραήλ. Καὶ νῦν δότε ὁμολογίαν, δόξαν τῷ Κυρίῳ Θεῷ τῶν πατέρων ἡμῶν, καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ, καὶ χωρίσθητε ἀπὸ τῶν ἐθνῶν τῆς γῆς, καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογενῶν. Καὶ ἐφώνησεν ἅπαν τὸ πλῆθος, καὶ εἶπον μεγάλῃ τῇ φωνῇ· Οὕτως ὡς εἴρηκας, ποιήσομεν. Ἀλλὰ τὸ πλῆθος πολὺ καὶ ὥρα χειμερινὴ, καὶ οὐκ ἰσχύομεν στῆναι αἴθριοι. Καὶ τὸ ἔργον οὐκ ἔστιν ἡμῖν ἡμέρας μιᾶς οὐδὲ δύο. Ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις. Στήτωσαν δὲ οἱ προηγούμενοι τοῦ πλήθους, καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι ἔχουσι γυναῖκας ἀλλογενεῖς, παραγενηθήτωσαν λαβόντες χρόνον, ἑκάστου δὲ τόπου τοὺς πρεσβυτέρους καὶ τοὺς κριτὰς, ἕως τοῦ λῦσαι τὴν ὀργὴν

buatis filiis vestris usque in ævum. Et quæ contingunt nobis omnia fiunt propter opera nostra maligna, et magna peccata nostra. Tu enim, Domine, qui allevasti peccata nostra, dedisti nobis talem radicem, rursum reflexi sumus transgredi legem tuam, uti commisceremur immunditiæ gentium terræ. Nonne irasceris nobis perdere nos, quoadusque non relinquatur radix et semen et nomen nostrum? Domine Israel, verax es. Derelicti enim sumus radix in hodiernam diem. Ecce nunc sumus in conspectu tuo in iniquitatibus nostris. Non est enim stare adhuc ante te in his. Et quum orans Esdras confiteretur plorans, humi prostratus ante templum, congregati sunt ad eum ex Jerusalem turba magna valde, viri et mulieres, et juvenes et juvenculæ : fletus enim erat magnus in ipsa multitudine. Et quum clamasset Jechonias Jeheli ex filiis Israel, dixit Esdræ : Nos peccavimus in Dominum : collocavimus nobis in matrimonium mulieres alienigenas ex gentibus terræ. Et nunc est supra omnis Israel. In hoc fiat nobis jusjurandum ad Dominum, expellere omnes uxores nostras quæ ex alienigenis sunt, cum filiis earum, sicut decretum est tibi, et quicumque obediunt legi Domini. Exsurgens perfice. Ad te enim spectat negotium, et nos tecum sumus ad viriliter faciendum. Et exsurgens Esdras adjuravit principes sacerdotum et Levitarum universi Israel, facere secundum hæc. Et juraverunt.

CAPUT IX.

Et exsurgens Esdras ab atrio templi abiit in pastophorium Jonan filii Eliasibi, et hospitatus illic, non gustavit panem nec aquam bibit, lugens super iniquitates magnas multitudinis. Et facta est prædicatio in omni Judæa et Jerusalem, omnibus qui erant ex captivitate, congregari in Jerusalem, et quicumque non occurrerint biduo vel triduo diei, secundum judicium præsidentium seniorum, consecrabuntur pecora eorum, et ipse alienus judicabitur a multitudine captivitatis. Et congregati sunt omnes qui erant ex tribu Juda et Benjamin in tribus diebus in Jerusalem : hic mensis est nonus die mensis vigesima. Et consederunt omnis multitudo in area templi, trementes propter hiemem præsentem. Et exsurgens Esdras dixit illis : Vos inique fecistis et conjunxistis vos uxoribus alienigenis, ut adderetis peccata ipsi Israel. Et nunc date confessionem, gloriam Domino Deo patrum nostrorum, et facite voluntatem ipsius, et discedite a gentibus terræ, et ab uxoribus alienigenis. Et clamavit omnis multitudo, et dixerunt voce magna : Sicut dixisti, faciemus. Sed multitudo magna est et tempus hibernum, et non possumus stare sub dio. Et hoc opus non est nobis unius diei neque bidui. Multum enim in his peccavimus. Stent autem præpositi multitudinis, et omnes qui nobiscum inhabitant quotquot habent uxores alienigenas, assistant accipientes tempus, et cujusque loci seniores, et judices, usquequo solvant iram Domini a nobis negotii

Κυρίου ἀφ' ἡμῶν τοῦ πράγματος τούτου. Ἰωνάθας Ἀζαήλου, καὶ Ἐζεκίας Θεωκανοῦ ἐπεδέξαντο κατὰ ταῦτα. Καὶ Μοσόλλαμος, καὶ Λευὶς, καὶ Σαββαταῖος συνεβράβευσαν αὐτοῖς. Καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλωσίας. Καὶ ἐπελέξατο αὐτῷ Ἔσδρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν πατριῶν αὐτῶν πάντας κατ' ὄνομα, καὶ συνεκλείσθησαν τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ δεκάτου, ἐτάσαι τὸ πρᾶγμα. Καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς ἐπισυνέχοντας γυναῖκας ἀλλογενεῖς, ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός. Καὶ εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς γυναῖκας ἔχοντες. Ἐκ τῶν υἱῶν Ἰησοῦ τοῦ Ἰωσεδὲκ, καὶ τῶν ἀδελφῶν αὐτοῦ Μαθήλας, καὶ Ἐλεάζαρος, καὶ Ἰώριβος, καὶ Ἰωαδάνος. Καὶ ἐπέβαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς γυναῖκας αὐτῶν, καὶ εἰς ἐξιλασμὸν κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν. Καὶ ἐκ τῶν υἱῶν Ἐμμὴρ, Ἀνανίας, καὶ Ζαβδαῖος, καὶ Μάνης, καὶ Σαμαῖος, καὶ Ἱερεὴλ, καὶ Ἀζαρίας. Καὶ ἐκ τῶν υἱῶν Φαισοὺρ, Ἐλιωναῒς, Μασσίας, Ἰσμαῆλος, καὶ Ναθαναῆλος, καὶ Ὠκόδηλος, καὶ Σαλόας. Καὶ ἐκ τῶν Λευιτῶν, Ἰωζαβάδος, καὶ Σεμεῒς, καὶ Κώϊος, οὗτός ἐστι Καλιτὰς, καὶ Παθαῖος, καὶ Ἰούδας, καὶ Ἰωνάς. Ἐκ τῶν ἱεροψαλτῶν, Ἐλιάσεβος, Βακχοῦρος. Ἐκ τῶν θυρωρῶν, Σαλοῦμος, καὶ Τολβάνης. Ἐκ τοῦ Ἰσραὴλ ἐκ τῶν υἱῶν Φόρος, Ἱερμὰς, καὶ Ἰεζίας, καὶ Μελχίας, καὶ Μαῆλος, καὶ Ἐλεάζαρος, καὶ Ἀσεβίας, καὶ Βαναίας. Ἐκ τῶν υἱῶν Ἠλὰ, Ματθανίας, Ζαχαρίας, καὶ Ἰεζριῆλος, καὶ Ἰωαβδίος, καὶ Ἱερεμὼθ, καὶ Ἀϊδίας. Καὶ ἐκ τῶν υἱῶν Ζαμὼθ, Ἐλιαδὰς, Ἐλιάσιμος, Ὀθονίας, Ἰαριμὼθ, καὶ Σάβαθος, καὶ Ζεραλίας. Καὶ ἐκ τῶν υἱῶν Βηβαῒ, Ἰωάννης, καὶ Ἀνανίας, καὶ Ἰωζάβδος, καὶ Ἀμαθίας. Ἐκ τῶν υἱῶν Μανὶ, Ὠλαμὸς, Μαμοῦχος, Ἰεδαῖος, Ἰασούβος, καὶ Ἰασαῆλος, καὶ Ἱερεμώθ. Καὶ ἐξ υἱῶν Ἀδδὶ, Νάαθος, καὶ Μοοσίας, Λακκοῦνος, καὶ Ναΐδος, Ματθανίας, καὶ Σεσθὴλ, καὶ Βαλνούος, καὶ Μανασσίας. Καὶ ἐκ τῶν υἱῶν Ἀνὰν, Ἐλιωνὰς, καὶ Ἀσαίας, καὶ Μελχίας, καὶ Σαββαῖος, καὶ Σίμων Χοσαμαῖος. Καὶ ἐκ τῶν υἱῶν Ἀσὸμ, Ἀλταναῖος, καὶ Ματταθίας, καὶ Σαβανναῖος, καὶ Ἐλιφαλὰτ καὶ Μανασσῆς, καὶ Σεμεΐ. Καὶ ἐκ τῶν υἱῶν Βαανὶ, Ἱερεμίας, Μομδίος, Ἰσμαῆρος, Ἰουὴλ, Μαβδαῒ, καὶ Πεδίας, καὶ Ἄνως, Ῥαβασίων, καὶ Ἐνάσιβος, καὶ Μαμνιτάναιμος, Ἐλίασις, Βαννοὺς, Ἐλιαλὶ, Σομεῒς, Σελεμίας, Ναθανίας. Καὶ ἐκ τῶν υἱῶν Ἐζωρὰ, Σεσὶς, Ἐσρὶλ, Ἀζαῆλος, Σαματὸς, Ζαμβρὶ, Ἰώσηφος. Καὶ ἐκ τῶν υἱῶν Ἐθμὰ, Μαζιτίας, Ζαβαδαίας, Ἠδαῒς, Ἰουὴλ, Βαναίας. Πάντες οὗτοι συνῴκισαν γυναῖκας ἀλλογενεῖς, καὶ ἀπέλυσαν αὐτὰς σὺν τέκνοις. Καὶ κατῴκησαν οἱ ἱερεῖς, καὶ οἱ Λευῖται, καὶ οἱ ἐκ τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῇ χώρᾳ, τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν. Καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐρύχωρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυλῶνος, καὶ εἶπεν Ἔσδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ· Κόμισαι τὸν νόμον Μωϋσῆ, τὸν παραδοθέντα ὑπὸ Κυρίου Θεοῦ Ἰσραήλ. Καὶ ἐκόμισεν Ἔσδρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ τῷ πλήθει ἀπὸ ἀνθρώπου ἕως γυναικὸς, καὶ πᾶσι τοῖς ἱερεῦσιν, ἀκοῦσαι τοῦ νόμου, νουμηνίᾳ τοῦ ἑβδόμου μηνός. Καὶ ἀνεγίνωσκεν ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυλῶνος εὐρυχώρῳ, ἐξ ὄρθρου ἕως μέσης ἡμέρας, ἐνώπιον ἀνδρῶν τε καὶ γυναικῶν.

hujus. Jonathas Azaeli, et Ezecias Theocani susceperunt secundum hæc. Et Mosollamus, et Levis, et Sabbathæus simul cooperati sunt cum illis. Et fecerunt secundum omnia hæc qui erant ex captivitate. Et elegit sibi Esdras sacerdos viros principes patriarum suarum omnes per nomen, et clausi sunt novilunio mensis decimi, examinare negotium istud. Et determinatum est de viris qui habebant uxores alienigenas, usque ad neomeniam primi mensis. Et inventi sunt ex sacerdotibus permisti qui habebant alienigenas uxores. Ex filiis Jesu filii Josedec, et fratribus ejus, Mathelas, et Eleazarus, et Jo bus, et Joadanus. Et injecerunt manus ut expellerent uxores suas, et ad propitiationem arietes pro ignorantia sua. Et ex filiis Emmer, Ananias, et Zabdæus, et Manes, et Samæus, et Hiereel, et Azarias. Et de filiis Phæsur, Elionais, Massias, Ismaelus, et Nathanaelus, et Ocodelus, et Saloas. Et ex Levitis, Jozabadus, et Semeis, et Covis, hic est Calitas, et Pathæus, et Judas, et Jonas. Ex sacris cantoribus, Eliasebus, Bacchuros. Ex ostiariis, Salumus, et Tolbanes. Ex Israel ex filiis Phoros, Hiermas, et Jezias, et Melchias, et Maelus, et Eleazarus, et Asebias, et Banæas. Ex filiis Ela, Matthanias, Zacharias, et Jezrielus, et Joabdius, et Jeremoth, et Aidias. Et ex filiis Zamoth, Eliadas, Eliasimus, Othonias, Jarimoth, et Sabathus, et Zeralias Et ex filiis Bebai, Joannes, et Ananias, et Jozabdus, et Amathias. Ex filiis Mani, Olamus, Mamuchus, Jedæus, Jasubus, et Jasaelus, et Hieremoth. Et ex filiis Abdi, Naathus, et Moosias, Laccunus, et Naidus, Matthanias, et Sesthel, et Balnuus, et Manassias. Et ex filiis Anan, Elionas, et Asaias, et Melchias, et Sabbæus, et Simon Chosamæus. Et ex filiis Asom, Altanæus, et Mattathias, et Sabannæus, et Eliphalat, et Manasses, et Semei. Et ex filiis Baani, Jeremias, Momdius, Ismaerus, Juhel, Mabdai, et Pedias, et Anos, Rabasion, et Enasibus, et Manemtanæmus, Eliasis, Bannus, Eliali, Someis, Selemias, Nathanias. Et ex filiis Ezora, Sesis, Esril, Azælus, Samatos, Zambre, Josephus. Et ex filiis Ethma, Mazitias, Zabadaias, Edais, Juhel, Baneas. Omnes isti conjunxerunt sibi uxores alienigenas, et dimiserunt eas cum filiis. Et inhabitaverunt sacerdotes, et Levitæ, et qui erant ex Israel in Jerusalem et in regione, novilunio mensis septimi, et filii Israel in habitationibus suis. Et congregata est omnis multitudo simul in area quæ est ab oriente portæ sacræ, et dixit Esdræ sacerdoti et lectori: Affer legem Moysi, quæ tradita est a Domino Deo Israel. Et attulit Esdras pontifex legem omni multitudini a viro usque ad mulierem, et omnibus sacerdotibus, audire legem, novilunio mensis septimi. Et legebat in area quæ est ante sacram portam, a prima luce usque ad vesperam, coram viris et mulieribus. Et

Καὶ ἐπέδωκαν πᾶν τὸ πλῆθος τὸν νοῦν εἰς τὸν νόμον. Καὶ ἔστη Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ ξυλίνου βήματος τοῦ κατασκευασθέντος. Καὶ ἔστησαν παρ' αὐτῷ Ματταθίας, Σαμμοὺς, Ἀνανίας, Ἀζαρίας, Οὐρίας, Ἐζεκίας, Βαάλσαμος, ἐκ δεξιῶν· καὶ ἐξ εὐωνύμων Φαλδαῖος, καὶ Μισαὴλ, Μελχίας, Λωθάσουβος, Ναβαρίας, Ζαχαρίας. Καὶ ἀναλαβὼν Ἔσδρας τὸ βιβλίον ἐνώπιον τοῦ πλήθους, προεκάθητο ἐπιδόξως ἐνώπιον πάντων. Καὶ ἐν τῷ λῦσαι τὸν νόμον, πάντες ὀρθοὶ ἔστησαν. Καὶ εὐλόγησεν Ἔσδρας τῷ Κυρίῳ Θεῷ ὑψίστῳ, Θεῷ Σαβαὼθ, παντοκράτορι. Καὶ ἐπεφώνησε πᾶν τὸ πλῆθος, Ἀμήν. Καὶ ἄραντες ἄνω τὰς χεῖρας, προσπεσόντες ἐπὶ τὴν γῆν, προσεκύνησαν τῷ Κυρίῳ. Ἰησοῦς, καὶ Ἀννιοὺθ, καὶ Σαραβίας, καὶ Ἰαδινὸς, καὶ Ἰάκουβος, Σαβαταῖος, Αὐταίας, Μαιάννας, καὶ Καλίτας, Ἀζαρίας, καὶ Ἰώζαβδος, καὶ Ἀνανίας, Φαλίας, οἱ Λευῖται, ἐδίδασκον τὸν νόμον τοῦ Κυρίου, καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ Κυρίου, ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν. Καὶ εἶπεν Ἀτθαράτης Ἔσδρᾳ τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ, καὶ τοῖς Λευΐταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας· Ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ Κυρίῳ. Καὶ πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τοῦ νόμου. Βαδίσαντες οὖν φάγετε λιπάσματα, καὶ πίετε γλυκάσματα, καὶ ἀποστείλατε ἀποστολὰς τοῖς μὴ ἔχουσιν. Ἁγία γὰρ ἡ ἡμέρα τῷ Κυρίῳ. Καὶ μὴ λυπεῖσθε. Ὁ γὰρ Κύριος δοξάσει ὑμᾶς. Καὶ οἱ Λευῖται ἐκέλευον παντὶ τῷ δήμῳ, λέγοντες· Ἡ ἡμέρα αὕτη ἁγία, μὴ λυπεῖσθε. Καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραίνεσθαι, καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσι, καὶ εὐφρανθῆναι μεγάλως, ὅτι γὰρ ἐνεφυσιώθησαν ἐν τοῖς ῥήμασιν οἷς ἐδιδάχθησαν καὶ ἐπισυνήχθησαν.

dederunt omnis multitudo sensum ad legem. Et stetit Esdras sacerdos et lector legis super ligneum tribunal quod fabricatum erat. Et steterunt apud eum Mattathias, Sammus, Ananias, Azarias, Urias, Ezecias, Baalsamus, a dextris: et a sinistris Phaldæus, et Misael, Melchias, Lothasubus, Nabarias, Zacharias. Et assumens Esdras librum coram multitudine, præsidebat in gloria in conspectu omnium. Et cum absolvisset legem, omnes erecti steterunt. Et benedixit Esdras Dominum Deum altissimum, Deum Sabbaoth omnipotentem. Et respondit omnis populus, Amen. Et elevatis sursum manibus, procidentes in terram, adoraverunt Dominum. Jesus, et Anniuth, et Sarabias, et Jadinos, et Jacubus, Sabathæus, Autæas, Mæannas, et Calitas, Azarias, et Josabdus, et Ananias, Phalias, Levitæ, docebant legem Domini, et ad multitudinem legebant legem Domini, exaltantes simul lectionem. Et dixit Attharates Esdræ pontifici et lectori, et Levitis qui docebant multitudinem super omnes: Dies hic sanctus est Domino. Et omnes flebant cum audissent legem. Digressi ergo manducate pinguissima quæque, et bibite dulcissima quæque, et mittite munera his qui non habent. Sanctus enim est hic dies Domino. Et nolite mœsti esse. Dominus enim clarificabit vos. Et Levitæ denuntiabant omni populo, dicentes: Dies hic sanctus est, nolite mœsti esse. Et abierunt omnes manducare et bibere, et epulari, et dare munera his qui non habebant, et epulari magnifice, quoniam quidem sunt exaltati verbis quibus edocti sunt et congregati sunt.

ΨΑΛΜΟΣ ΡΝΑ.

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυΐδ, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ, ὅτε ἐμονομάχησε τῷ Γολιάδ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου. Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; Αὐτὸς Κύριος, αὐτὸς εἰσακούει. Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου, καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς Κύριος. Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ· ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτὸν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

PSALMUS CLI.

Hic psalmus idiographus in David, et extra numerum, quando monomachiam iniit cum Goliad.

Parvus eram in fratribus meis, et junior in domo patris mei, pascebam oves patris mei. Manus meæ fecerunt organum, et digiti mei concinnaverunt psalterium. Et quis annuntiabit Domino meo? Ipse Dominus, ipse exaudit. Ipse emisit angelum suum, et tulit me de ovibus patris mei, et unxit me in oleo unctionis suæ. Fratres mei pulchri et magni, et non bene sensit in eis Dominus. Exivi in occursum alienigenæ, et maledixit me in idolis suis: ego vero trahens gladium qui ab illo, capite truncavi eum, et abstuli opprobrium ex filiis Israel.

ΜΑΚΚΑΒΑΙΩΝ

ΤΡΙΤΟΣ.

Ὁ δὲ Φιλοπάτωρ, μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ' αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου, παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε καὶ ἱππικαῖς αὐτοῦ, καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβὼν, ἐξώρμησε μέχρι τῶν κατὰ Ῥαφίαν τόπων, ὅπου παρεμβεβλήκεισαν οἱ περὶ Ἀντίοχον. Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθεὶς, παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων πτολεμαϊκῶν τὰ κράτιστα, διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν, ὡς μόνος κτεῖναι αὐτὸν, καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. Τοῦτον δὲ διαγαγὼν Δωσίθεος ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν. Γενομένης δὲ καρτερᾶς μάχης, καὶ τῶν πραγμάτων μᾶλλον ἐῤῥωμένων τῷ Ἀντιόχῳ, ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρεκάλει μετὰ οἴκτου καὶ δακρύων, τοὺς πλοκάμους λελυμένη, βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ γυναιξὶ θαῤῥαλέως, ἐπαγγελλομένη δώσειν νικήσασιν ἑκάστῳ δύο μνᾶς χρυσίου. Καὶ οὕτω συνέβη τοὺς ἀντιπάλους ἐν χειρονομίαις διαφθαρῆναι, πολλοὺς δὲ καὶ δοριαλώτους συλληφθῆναι. Κατακρατήσας δὲ τῆς ἐπιβουλῆς ἔκρινε τὰς πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. Ποιήσας δὲ τοῦτο, καὶ τοῖς τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε. Τῶν δὲ Ἰουδαίων διαπεμψαμένων πρὸς αὐτὸν ἀπὸ τῆς γερουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν καὶ ξένια κομιοῦντας, καὶ ἐπὶ τοῖς συμβεβηκόσι συγχαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα πρὸς αὐτοὺς παραγενέσθαι. Διακομισθεὶς δὲ εἰς Ἱεροσόλυμα, καὶ θύσας τῷ μεγίστῳ Θεῷ, καὶ χάριτας ἀποδιδοὺς, καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιήσας, καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον, καὶ τῇ σπουδαιότητι καὶ εὐπρεπείᾳ καταπλαγεὶς, θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐταξίαν, ἐνεθυμήθη βουλεύσασθαι εἰςελθεῖν εἰς τὸν ναόν. Τῶν δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι τοῦτο, διὰ τὸ μηδὲ τοῖς ἐκ τοῦ ἔθνους ἐξεῖναι εἰσιέναι, μηδὲ πᾶσι τοῖς ἱερεῦσιν, ἀλλ' ἢ μόνῳ τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ, καὶ τούτῳ ἅπαξ κατ' ἐνιαυτὸν, οὐδαμῶς ἠβούλετο πείθεσθαι, τοῦ τε νόμου παραναγνωσθέντος οὐδαμῶς ἀπέλιπε προφερόμενος ἑαυτὸν, δεῖν εἰςελθεῖν λέγων, καὶ εἰ ἐκεῖνοι ἐστέρηνται ταύτης τῆς τιμῆς, ἐμὲ οὐ δεῖ. Καὶ ἐπυνθάνετο διὰ τίνα αἰτίαν εἰςερχόμενον αὐτὸν εἰς πᾶν τέμενος οὐθεὶς ἐκώλυσε τῶν παρόντων. Καί τις ἀπρονοήτως ἔφη κακῶς αὐτὸ τοῦτο τερατεύεσθαι. Γενομένου δέ, φησι, τούτου διά τινα αἰτίαν, οὐχὶ πάντως εἰςελεύσεσθαι καὶ θελόντων αὐτῶν καὶ μή; Τῶν δὲ ἱερέων ἐν ταῖς ἁγίαις ἐσθήσεσι προπεσόντων, καὶ δεομένων τοῦ μεγίστου Θεοῦ βοηθεῖν τῇ ἐνεστώσῃ ἀνάγκῃ, καὶ τὴν ὁρμὴν τοῦ κακῶς ἐπιβαλλομένου μεταθεῖναι, κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν ἐμπλησάν-

MACCABÆORUM

TERTIUS.

Philopator autem, ab iis qui retulerant cognita locorum a se possessorum abstractione facta ab Antiocho, denuntians omnibus exercitibus suis et pedestribus et equestribus, et sororem Arsinoen secum assumens, processit usque ad ea quæ sunt ad Raphiam loca, ubi castrametati erant qui circa Antiochum. Theodotus autem quidam complere insidias cogitans, assumens ex commissis suæ custodiæ armis ptolemaicis optima, contulit se noctu ad Ptolemæi tabernaculum, tamquam solus interfecturus eum, et in hoc dissoluturus bellum. Hunc autem deducens quidam qui Dositheus Drimyli dicebatur, genere Judæus, postea autem abjiciens legitima et a patriis sanctionibus alienatus, ignobilem quemdam decumbere fecerat in tabernaculo, quem contigit ferre illius supplicium. Facto autem ingenti prælio, et rebus melius succedentibus Antiocho, vehementer Arsinoe obambulans exercitus hortabatur cum ejulatione et lacrymis, crinibus solutis, ut auxiliarentur sibiipsis et filiis et uxoribus audacter, promittens daturam se vincentibus cuique duas minas auri. Et ita contigit adversarios in conserendis manibus perire, multos vero etiam captivos fieri. Compos autem factus propositi statuit propinquas civitates adiens consolari. Quod cum fecisset, et delubris dona tribuisset, bono esse animo subditos fecit. Cum autem Judæi misissent ad eum ex senatu et senioribus salutaturos eum et munera portaturos, et pro his quæ gesta erant congratulaturos, factum est ut magis ille cuperet quam citissime ad eos venire. Cum autem pervenisset Jerosolymam, et sacrificasset maximo Deo, et gratias reddidisset, et eorum quæ ordine sequebantur aliquid ipsi loco fecisset, et jam advenisset ad locum, et sedulitate et decore stupefactus esset, admiratus vero etiam sacræ ædis bonam dispositionem, cogitavit consilium capere introeundi in templum. His autem dicentibus non licere hoc fieri, quia neque his qui ex gente liceret ingredi, neque omnibus sacerdotibus, sed soli omnium præfecto summo sacerdoti, et hoc in anno semel, ille vero nequaquam acquiescebat, spretaque lege non cessabat provehere se, intrandum omnino dicens, et si illi privati sunt hoc honore, me non oportet. Et interrogabat quam ob causam intrantem ipsum in quodcumque fanum nemo eorum qui aderant, prohibuisset. Et quidam imprudenter dixit male hoc ipsum prodigiosum esse. Factum autem hoc fuerit, inquit, quavis de causa, nonne omnino se intraturum et volentibus ipsis et nolentibus? Cum autem sacerdotes cum omnibus vestibus procidissent, et orarent maximum Deum auxilium ferre imminenti necessitati, et impetum male irruentis reprimere, clamoreque cum lacrymis templum implerent, qui in civi-

των, οἱ κατὰ τὴν πόλιν ἀπολιπόμενοι ταραχθέντες ἐξεπήδησαν, ἄδηλον τιθέμενοι τὸ γινόμενον· αἵ τε κατάκλειστοι παρθένοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις ἐξώρμησαν, καὶ σποδῷ καὶ κόνει τὰς κεφαλὰς πασάμεναι, γόων τε καὶ στεναγμῶν τὰς πλατείας ἐνεπίμπλων. Αἱ δὲ καὶ προσαρτίως ἐσταλμέναι, τοὺς πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν αἰδῶ παραλείπουσαι, δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσταντο. Τὰ δὲ νεογνὰ τῶν τέκνων αἵ τε πρὸς τούτοις μητέρες καὶ τιθηνοὶ παραλιποῦσαι ἄλλως καὶ ἄλλως, αἱ μὲν κατ' οἴκους, αἱ δὲ κατὰ τὰς ἀγυιὰς, ἀνεπιτρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροίζοντο. Ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγομένων ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ' ἐκείνου κατεγχειρουμένοις. Σύν τε τούτοις οἱ τῶν πολιτῶν θρασυνθέντες οὐχ ἠνείχοντο τέλεον αὐτοῦ ἐπικειμένου, καὶ τὸ τῆς προθέσεως αὐτοῦ ἐκπληροῦν διανοουμένου· φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποιήσασθαι, καὶ θαῤῥαλέως ὑπὲρ τοῦ πατρῴου νόμου τελευτᾷν, ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύτητα, μόλις τε ὑπό τε τῶν γεραιῶν καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως ἔστησαν στάσιν. Καὶ τὸ μὲν πλῆθος, ὡς ἔμπροσθεν, ἐν τούτοις ἀνεστρέφετο δεόμενον· οἱ δὲ περὶ τὸν βασιλέα πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξιστάνειν τῆς ἐντεθυμημένης βουλῆς. Θρασυνθεὶς δὲ καὶ πάντα παραπέμψας, ἤδη καὶ πρόσβασιν ἐποιεῖτο, τέλος ἐπιθήσειν δοκῶν τῷ προειρημένῳ. Ταῦτ' οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες ἐτράπησαν εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κράτος ἔχοντα, τοῖς παροῦσιν ἐπαμῦναι, μὴ παριδόντα τὴν ἄνομον καὶ ὑπερήφανον πρᾶξιν. Ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ ἐμπόνου τῶν ὄχλων συναγομένης κραυγῆς, ἀνείκαστός τις ἦν βοή. Δοκεῖν γὰρ ἦν, μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ τείχη καὶ τὸ πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων ἀντὶ τῆς τοῦ τόπου βεβηλώσεως.

tate remanserant turbati exsilierunt, occultum quid esse quod fiebat existimantes : et inclusæ virgines in thalamis cum genitricibus proruperunt, et cinere et pulvere aspersis capitibus, gemitibus et suspiriis plateas implebant. Et aliæ vero nuper astrictæ, thalamos ad occursum assignatos et congruum pudorem relinquentes, cursum inordinatum in civitate faciebant. Infantes autem filii et cum his matres et nutrices defatigatæ aliter et aliter, hæ quidem per domos, hæ vero per vias, irrevocabiliter ad eminentissimum templum congregabantur. Varia autem erat eorum qui in illud conveniebant oratio pro his quæ ab illo injuste tentabantur. Cum his autem nonnulli ex civibus audaces facti non ferebant illum omnino instantem, et propositum suum implere statuentem : clamantes autem se ruituros ad arma, et audacter pro patria lege obituros, magnam fecerunt in loco asperitatem, vixque a senibus et presbyteris cohibiti ad eamdem orationis steterunt stationem. Et turba quidem, ut antea, in his versabatur orans : seniores autem qui erant circa regem multis modis conabantur superbam ejus mentem a suscepto consilio removere. Induratus autem et omnia abjiciens, jam et impetum faciebat, finem putans se impositurum rei prædictæ. Hæc igitur et qui circa illum erant spectantes eo se converterunt ut cum nostris invocarent eum qui omnem potestatem habet, ut his qui aderant auxilium ferret, non despiciens iniquum et superbum facinus. Ex densissima autem et laboriosa turbarum collecta vociferatione, incomparabilis quidam erat clamor. Existimare enim licebat, non modo homines, sed etiam muros et totum solum resonare, quasi jam omnibus tunc mortem obeuntibus pro loci contaminatione.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὁ μὲν οὖν ἀρχιερεὺς Σίμων ἐξεναντίας τοῦ ναοῦ κάμψας τὰ γόνατα, καὶ τὰς χεῖρας προτείνας εὐτάκτως, ἐποιήσατο τὴν δέησιν τοιαύτην· Κύριε, Κύριε, βασιλεῦ τῶν οὐρανῶν καὶ δέσποτα πάσης κτίσεως, ἅγιε ἐν ἁγίοις, μόναρχε παντοκράτωρ, πρόσχες ἡμῖν καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βεβήλου, θράσει καὶ σθένει πεφρυαγμένου. Σὺ γὰρ ὁ κτίσας τὰ πάντα καὶ τῶν ὅλων ἐπικρατῶν, Δυνάστης δίκαιος εἶ, καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ πράσσοντάς τι κρίνεις. Σὺ τοὺς ἔμπροσθεν ἀδικίαν ποιήσαντας, ἐν οἷς καὶ γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει πεποιθότες, διέφθειρας, ἐπαγαγὼν αὐτοῖς ἀμέτρητον ὕδωρ. Σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους Σοδομίτας, διαδήλους ταῖς κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας, παράδειγμα τοῖς ἐπιγινομένοις καταστήσας. Σὺ τὸν θρασὺν Φαραὼ, καταδουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον Ἰσραὴλ, ποικίλαις καὶ πολλαῖς δοκιμάσας τιμωρίαις, ἐγνώρισας τὴν σὴν δυναστείαν· ἐφ' αἷς ἐγνώρισας τὸ μέγα σου κράτος. Καὶ ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασι καὶ ὄχλων πλήθει ἐπέκλυσας βάθει θαλάσσης, τοὺς δὲ ἐμπιστεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι σώους διεκόμισας. Οἳ καὶ συνειδότες ἔργα σῆς χειρὸς,

CAPUT II.

Atqui summus sacerdos Simon ex adverso templi flectens genua, et manus extendens honeste, talem orationem habebat : Domine, Domine, rex cœlorum et dominator omnis creaturæ, sancte in sanctis, monarcha omnipotens, intende nobis oppressis ab impio et profano, qui præ audacia et robore intumuit. Tu enim qui creasti omnia et omnia imperio tenes, Dominus justus es, et eos qui contumelia et superbia in agendo utuntur judicas. Tu illos qui olim iniquitatem fecerunt, inter quos et gigantes fuerunt robore et audacia freti, perdidisti, superinducens eis immensam aquam. Tu superbiam operantes Sodomitas, conspicuos iniquitatibus factos, igne et sulphure combussisti, exemplum posteris constituens. Tu confidentem illum Pharaonem, qui servitute oppresserat populum tuum sanctum Israel, cum variis et multis suppliciis examinasses, notam fecisti potentiam tuam in quibus declarasti magnitudinem fortitudinis tuæ. Et cum ille persequeretur cum curribus et turbarum multitudine obruisti profundo mari, eos autem qui se tibi crediderant qui omni creaturæ dominaris salvos traduxisti. Qui etiam cognoscentes opera manus tuæ, lauda-

ᾔνεσάν σε τὸν παντοκράτορα. Σὺ, βασιλεῦ, κτίσας τὴν ἀπέραντον καὶ ἀμέτρητον γῆν, ἐξελέξω τὴν πόλιν ταύτην, καὶ ἁγιάσας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι, τῷ τῶν ἁπάντων ἀπροσδεεῖ, καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ, σύστασιν ποιησάμενος αὐτοῦ πρὸς δόξαν τοῦ μεγάλου καὶ ἐντίμου ὀνόματός σου. Καὶ ἀγαπῶν τὸν οἶκον τοῦ Ἰσραὴλ ἐπηγγείλω δὴ, ὅτι ἐὰν γένηται ἡμῶν ἀποστροφὴ, καὶ καταλάβῃ ἡμᾶς στενοχωρία, καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶμεν, εἰςακούσῃ τῆς δεήσεως ἡμῶν. Καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός. Ἐπεὶ δὲ πλεονάκις θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν τῇ ταπεινώσει, καὶ ἐῤῥύσω αὐτοὺς ἐκ μεγάλων κινδύνων, ἰδοὺ δὴ νῦν, ἅγιε βασιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας καταπονούμεθα, καὶ ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν, καὶ παρείμεθα ἐν ἀδυναμίαις. Ἐν δὲ τῇ ἡμετέρᾳ καταπτώσει ὁ θρασὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς γῆς ἀναδεδειγμένον τῷ ὀνόματι τῆς δόξης σου ἅγιον τόπον. Τὸ μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ, ἀνέφικτος ἀνθρώποις ἐστίν· ἀλλ' ἐπεὶ εὐδοκήσας τὴν δόξαν σου ἐν τῷ λαῷ σου Ἰσραὴλ, ἡγίασας τὸν τόπον τοῦτον. Μὴ ἐκδικήσῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει, ἵνα μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐτῶν, μηδὲ ἀγαλλιάσωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν, λέγοντες· Ἡμεῖς κατεπατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι τῶν προσοχθισμάτων. Ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν, καὶ διασκέδασον τὰς ἀμπλακίας ἡμῶν, καὶ ἐπίφανον τὸ ἔλεός σου κατὰ τὴν ὥραν ταύτην. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, καὶ δὸς αἰνέσεις ἐν στόματι τῶν καταπεπτωκότων καὶ συντετριμμένων τὰς ψυχὰς, ποιήσας ἡμῖν εἰρήνην. Ἐνταῦθα ὁ πάντων ἐπόπτης Θεὸς καὶ πρὸ πάντων ἅγιος ἐν ἁγίοις, εἰςακούσας τῆς ἐνθέσμου λιτανείας, τὸν ὕβρει καὶ θράσει μεγάλως ἐπηρμένον ἐμάστιξεν αὐτὸν, ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτὸν ὡς κάλαμον ὑπὸ ἀνέμου, ὥστε κατ' ἐδάφους ἄπρακτον ἔτι, καὶ τοῖς μέλεσι παραλελυμένον, μηδὲ φωνῆσαι δύνασθαι, δικαίᾳ περιπεπλεγμένον κρίσει. Ὅθεν οἵ τε φίλοι καὶ οἱ σωματοφύλακες αὐτοῦ, ταχεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλαβοῦσαν αὐτὸν εὐθύναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, ταχέως αὐτὸν ἐξεῖλκυσαν ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ. Ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος ἑαυτὸν, οὐδαμῶς εἰς μετάμελον ἦλθεν ἐπιτιμηθεὶς, μετ' ἀπειλῆς δὲ πικρᾶς ἀνέλυσε. Διακομισθεὶς δὲ εἰς τὴν Αἴγυπτον, καὶ τὰ τῆς κακίας ἐπαύξων, διὰ δὲ τῶν προαποδεδειγμένων συμποτῶν καὶ ἑταίρων τοῦ παντὸς δικαίου κεχωρισμένων, οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγείαις διηρκέσθη, ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν, ὥστε δυςφημίας ἐν τοῖς τόποις συνίστασθαι, καὶ πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθεσιν καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει. Προέθετο δὲ δημοσίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον· καὶ ἐπὶ τοῦ κατὰ τὴν αὐλὴν πύργου στήλην ἀναστήσας ἐξεκόλαψε γραφὴν, Μηδένα τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν εἰςιέναι, πάντας δὲ τοὺς Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι· τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι, τούτους τε ἀπογραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ σῶμα παρασήμῳ Διονύσου κισσοφύλλῳ, οὓς καὶ καταχωρίσαι εἰς

verunt te omnipotentem. Tu, rex, qui creasti interminatam immensamque terram, elegisti civitatem hanc, et sanctificasti locum hunc ad nomen tibi, nullius rei egenti, et mirum in modum glorificasti apparitione magnifica, commendationem faciens ejus ad gloriam magni et honorati nominis tui. Et diligens domum Israel pollicitus utique es, si accidat nobis adversitas, et apprehendat nos angustia, et venientes ad locum hunc oremus, exauditurum te orationem nostram. Et quidem fidelis es et verax. Quoniam autem sæpe afflictis patribus nostris auxilium tulisti eis in humilitate, et eruisti eos de magnis periculis: ecce nunc, sancte rex, propter multa et magna peccata nostra opprimimur, et subjecti sumus inimicis nostris, et collabimur in infirmitatibus. In nostra autem calamitate audax hic et profanus conatur afficere injuria locum hunc sanctum super terram erectum nomini gloriæ tuæ. Nam habitaculum quidem tuum cœlum cœli est, incomprehensibile hominibus: sed quoniam elegisti gloriam tuam in populo tuo Israel, sanctificasti locum hunc. Non ulciscaris nos in horum immunditia, neque punias nos in contaminatione, ne glorientur iniqui in furore suo, neque exsultent in superbia linguæ suæ, dicentes: Nos conculcavimus domum sanctificationis, sicut conculcantur domus abominationum. Dele peccata nostra, et dissipa errata nostra, et ostende misericordiam tuam in tempore hoc. Cito præoccupent nos miserationes tuæ, et da laudationes in ore prostratorum et contritorum animis, faciens nobis pacem. Hic omnium inspector Deus et ante omnes sanctus in sanctis, exaudita sancta supplicatione, eum qui contumelia et audacia valde elatus erat flagellavit, hinc et inde vibrans eum ut arundinem a vento, ita ut in solo jam inutilis, et membris resolutus, neque loqui posset, justo implicatus judicio. Quamobrem amici et corporis ejus custodes, cum celerem et acutam viderent eum apprehendisse pœnam, timentes ne et vita deficeret, cito illum extraxerunt ingenti perculsi timore. Sequenti autem tempore cum se collegisset, nequaquam ad pœnitentiam venit castigatus, sed cum amara comminatione discessit. Reversus autem in Ægyptum, et malitiam adaugens, per compotores et sodales jam indicatos ab omni justitia remotos, non solum in innumerabilibus libidinibus perseveravit, sed etiam eo temeritatis processit, ut infanda in locis constitueret, et multi ex amicis intendentes in regis propositum etiam ipsi sequerentur illius voluntatem. Proposuit autem publice contra gentem disseminare vituperationem: et in turri quæ erat ad aulam erigens columnam insculpsit scripturam, neminem eorum qui non sacrificarent ad sacra eorum ingredi, omnes autem Judæos in vulgi descriptionem et servilem conditionem abduci: qui autem contradicerent vi ablatos vita privari, hos autem descriptos signari etiam per ignem insigni Liberi hederæ folio, ac secedere ob jam

τὴν προσυνεσταλμένην αὐθεντίαν. Ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνηται, ὑπέγραψεν· Ἐὰν δέ τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς κατὰ τὰς τελετὰς μεμυημένοις ἀναστρέφεσθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦσιν εἶναι. Ἔνιοι μὲν οὖν ἐπὶ πόλεως τὰς τῆς πόλεως εὐσεβείας ἐπιβάθρας στυγοῦντες εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν, ὡς μεγάλης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασιλεῖ συναναστροφῆς. Οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν, καὶ οὐ διέστησαν τῆς εὐσεβείας· τά τε χρήματα περὶ τοῦ ζῆν ἀντικαταλλασσόμενοι ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν. Εὐέλπιδες δὲ καθειστήκεισαν ἀντιλήψεως τεύξεσθαι, καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδελύσσοντο, καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον, καὶ τῆς κοινῆς συναναστροφῆς καὶ εὐχρηστίας ἐστέρουν.

coercitam libertatem. Verum ne omnibus infensus videretur, subscripsit : Sin autem ex eis aliqui elegerint versari cum iis qui secundum teletas initiati sunt, hos æquo jure cives cum Alexandrinis esse. Igitur nonnulli quidem in civitate civilis religionis gradus honorantes facile seipsos dederunt, tamquam magnæ cujusdam gloriæ participes futuri ex ea quæ futura esset cum rege conversatione. Plerique autem generoso animo seipsos confirmaverunt, et a pietate non recesserunt : et pecunias pro vita commutantes intrepide conabantur seipsos liberare a descriptionibus. Bona autem spe freti perstabant auxilium se consecuturos, et suos illos qui recesserant abominabantur, et tamquam hostes gentis judicabant, et communi consuetudine et utilitate privabant.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Ἃ καὶ μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐχόλησεν, ὥστε οὐ μόνον τοῖς κατ' Ἀλεξάνδρειαν διοργίζεσθαι, ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως ἐναντιωθῆναι, καὶ προστάξαι σπεύσαντας συναγαγεῖν πάντας ἐπιτοαυτὸ, καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι. Τούτων δὲ οἰκονομουμένων φήμη δυσμενὴς ἐξηχεῖτο κατὰ τοῦ γένους, ἀνθρώποις συμφρονοῦσι εἰς κακοποίησιν, ἀφορμῆς διδομένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόντων. Οἱ δὲ Ἰουδαῖοι τὴν μὲν πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν διαφυλάσσοντες, σεβόμενοι δὲ τὸν Θεὸν καὶ τῷ τούτου νόμῳ πολιτευόμενοι, χωρισμὸν ἐποίουν ἐπί τινων καὶ καταστροφάς· δι' ἣν αἰτίαν ἐνίοις ἀπεχθεῖς ἐφαίνοντο. Τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες τὴν συναναστροφὴν, ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθειστήκεισαν. Τὴν μὲν οὖν περὶ τοῦ γένους ἐν πᾶσι θρυλλουμένην εὐπραξίαν οἱ ἀλλόφυλοι οὐδαμῶς διηριθμήσαντο· τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν διάστασιν ἐθρύλλουν, φάσκοντες, μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδους τοὺς ἀνθρώπους γενέσθαι, δυσμενεῖς δὲ εἶναι καὶ μέγα τι τοῖς πράγμασιν ἐναντιουμένους· καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ. Οἱ δὲ κατὰ τὴν πόλιν Ἕλληνες, οὐδὲν ἠδικημένοι, ταραχὴν ἀπροσδόκητον περὶ τοὺς ἀνθρώπους θεωροῦντες, καὶ συνδρομὰς ἀπροσκόπους γινομένας, βοηθεῖν μὲν οὐχ ἴσθενον, τυραννικὴ γὰρ ἦν ἡ διάθεσις, παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον, καὶ μεταπεσεῖσθαι ταῦτα ὑπελάμβανον· μὴ γὰρ οὕτως παροραθήσεται τηλικοῦτο σύστημα μηδὲν ἠγνοηκώς. Ἤδη δὲ καί τινες γείτονές τε καὶ φίλοι καὶ συμπραγματευόμενοι, μυστικῶς τινας ἐπισπώμενοι, πίστεις ἐδίδουν συνασπιεῖν, καὶ πᾶν ἐκτενὲς προσοίσεσθαι πρὸς ἀντίληψιν. Ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος, καὶ οὐ καθορῶν τὸ τοῦ μεγίστου Θεοῦ κράτος, ὑπολαμβάνων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ, ἔγραψε κατ' αὐτῶν ἐπιστολὴν τήνδε· Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον καὶ κατὰ τόπον στρατηγοῖς καὶ στρατιώταις, χαίρειν καὶ ἐῤῥῶσθαι. Ἔῤῥωμαι δὲ καὶ ἐγὼ αὐτὸς καὶ τὰ πράγματα ἡμῶν. Ἐκ τῆς εἰς τὴν Ἀσίαν γενομένης ἡμῖν ἐπιστρατείας, ἧς ἴστε καὶ αὐτοὶ, τῇ τῶν θεῶν πρὸς ἡμᾶς ἀπροπτώτῳ συμμαχίᾳ καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ κατὰ λόγον ἐπ' ἄριστον τέλος ἀχθείσης,

CAPUT III.

Quæ cum comperisset impius adeo iratus est, ut non solum iis qui ad Alexandriam succenseret, sed etiam iis qui in regione gravius adversaretur, et juberet festinantes congregare omnes simul, et pessima nece vitam ipsis adimere. His autem constitutis fama inimica pervulgabatur contra ipsum genus, hominibus consentientibus ad maleficium, occasione data ad constitutionem, tamquam eos a legitimis prohiberent. At Judæi erga reges quidem benevolentiam et fidem immutabilem conservabant, venerantes autem Deum et ex ipsius lege rempublicam gerentes, secessionem in aliquibus faciebant et mutationes: quam ad causam aliquibus odiosi videbantur. Sed justarum actionum functione conversationem ornantes, omnibus hominibus probati exstiterunt. Igitur ipsam quidem de genere in omnibus pervulgatam recte agendi rationem alienigenæ nequaquam recensuerunt : verum de adorationibus et cibis discrimen pervulgabant, dicentes, neque regi, neque exercitibus fœderatos esse homines, sed esse odiosos et majorem in modum negotiis adversari : et non mediocrem excitarunt vituperationem. Græci autem qui erant in civitate, nullis injuriis affecti, tumultum inexpectatum circa homines videntes, et concursus improvisos fieri, auxiliari quidem non poterant, tyrannica enim erat constitutio, sed consolabantur et graviter ferebant, et mutatum hæc iri putabant : non enim sic contemnet talem constitutionem qui nihil ignoraverit. Jam vero et quidam vicini et amici et qui simul negotiabantur, secreto quosdam accersentes, fidem dabant contegendi, et omnem diligentiam ad defensionem. Igitur ille quidem præsenti prosperitate exsultans, et non considerans maximi Dei potestatem, putans autem perpetuo in eodem perseverare consilio, scripsit contra eos epistolam hanc : Rex Ptolemæus Philopator iis qui per Ægyptum et per loca ducibus et militibus, gaudere et valere. Valeo autem et ego ipse et res nostræ. Post factam nobis in Asiam expeditionem, quam ipsi etiam scitis, quæ deorum erga nos improviso consilio et fortitudine etiam nostra secundum rationem ad optimum finem perducta est, putavimus, non

Ἡγησάμεθα, μὴ βίᾳ δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ κατοικοῦντα κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη, εὐποιῆσαί τε ἀσμένως. Καὶ τοῖς κατὰ πόλεις ἱεροῖς ἀπονείμαντες προςόδους πλείστας, προήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα, ἀναβάντες τιμῆσαι τὸ ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀνοίας. Οἱ δὲ λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξάμενοι παρουσίαν, τῷ δὲ πράγματι νόθως, προθυμηθέντων ἡμῶν εἰςελθεῖν εἰς τὸν ναὸν αὐτῶν, καὶ τοῖς ἐκπρεπέσι καὶ καλλίστοις ἀναθήμασι τιμῆσαι, τύφοις φερόμενοι παλαιοτέροις εἶρξαν ἡμᾶς τῆς εἰςόδου, ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς, δι' ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους φιλανθρωπίαν. Τὴν δὲ αὐτῶν εἰς ἡμᾶς δυςμένειαν ἔκδηλον καθιστάντες, ὡς μονώτατοι τῶν ἐθνῶν βασιλεῦσι καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενοῦντες, οὐδὲν γνήσιον βούλονται φέρειν. Ἡμεῖς δὲ τῇ τούτων ἀνοίᾳ συμπεριενεχθέντες, καὶ μετὰ νίκης διακομισθέντες, καὶ εἰς τὴν Αἴγυπτον τοῖς πᾶσιν ἔθνεσι φιλανθρώπως ἀπαντήσαντες, καθὼς ἔπρεπεν ἐποιήσαμεν. Ἐν δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους αὐτῶν ἀμνησικακίαν ἅπασι γνωρίζοντες, διά τε τὴν συμμαχίαν καὶ τὰ πεπιστευμένα μετὰ ἁπλότητος αὐτοῖς ἀρχῆθεν μύρια πράγματα τολμήσαντες ἐξαλλοιῶσαι, ἐβουλήθημεν καὶ πολιτείας αὐτοὺς Ἀλεξανδρέων καταξιῶσαι, καὶ μετόχους τῶν ἀεὶ ἱερέων καταστῆσαι. Οἱ δὲ τοὐναντίον ἐκδεχόμενοι, καὶ τῇ συμφύτῳ κακοηθείᾳ τὸ καλὸν ἀπωσάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύοντες, οὐ μόνον ἀπεστρέψαντο τὴν ἀτίμητον πολιτείαν, ἀλλὰ καὶ βδελύσσονται λόγῳ τε καὶ σιγῇ τοὺς ἐν αὐτοῖς ὀλίγους πρὸς ἡμᾶς γνησίως διακειμένους, παρέκαστα ὑφορώμενοι διὰ τῆς δυςκλεεστάτης ἐμβιώσεως διὰ τάχους ἡμᾶς καταστρέψαι τὰ κατορθώματα. Διὸ καὶ τεκμηρίοις καλῶς πεπεισμένοι τούτους κατὰ πάντα δυςνοεῖν ἡμῖν τρόπον, καὶ προνοούμενοι μήποτε αἰφνιδίου μετέπειτα ταραχῆς ἐνστάσης ἡμῖν τοὺς δυςσεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους ἔχωμεν πολεμίους, προςτετάχαμεν ἅμα τῷ προςπεσεῖν τὴν ἐπιστολὴν τήνδε, αὐθωρὶ τοὺς ἐννεμομένους σὺν γυναιξὶ καὶ τέκνοις, μετὰ ὕβρεων καὶ σκυλμῶν ἀποστεῖλαι πρὸς ἡμᾶς ἐν δεσμοῖς σιδηροῖς πάντοθεν κατακεκλεισμένους, εἰς ἀνήκεστον καὶ δυςκλεῆ πρέποντα δυςμενέσι φόνον. Τούτων γὰρ ὁμοῦ κολασθέντων, διειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ πράγματα ἐν εὐσταθείᾳ καὶ βελτίστῃ διαθέσει κατασταθήσεσθαι. Ὃς δ' ἂν σκεπάσῃ τινὰ τῶν Ἰουδαίων ἀπὸ γεραιοῦ μέχρι νηπίου, μέχρι τῶν ὑπομασθίων, αἰσχίστοις βασάνοις ἀποτυμπανισθήσεται πανοικί· μηνύειν δὲ τὸν βουλόμενον, ἐφ' ᾧ τὴν οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὔθυναν λήψεται, καὶ ἐκ τοῦ βασιλικοῦ ἀργυρίου δραχμὰς διςχιλίας, καὶ τῆς ἐλευθερίας τεύξεται καὶ στεφανωθήσεται. Πᾶς δὲ τόπος οὗ ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμενος Ἰουδαῖος, ἄβατος καὶ πυριφλεγὴς γινέσθω, καὶ πάσῃ θνητῇ φύσει κατὰ πάντα ἄχρηστος φανήσεται εἰς τὸν ἀεὶ χρόνον. Καὶ ὁ μὲν τῆς ἐπιστολῆς τύπος οὕτως ἐγέγραπτο.

violentia lanceæ, sed æquitate et multa humanitate indulgenter tractare gentes quæ habitant Cœlesyriam et Phœnicen, ac libenter benefacere. Et cum templis quæ sunt per civitates tribuissemus reditus multos, venimus etiam Jerosolymam, ascendentes honorare templum scelestorum illorum et nunquam desistentium ab amentia. Illi autem verbo quidem nostram suscipientes præsentiam, re autem falso, volentibus nobis introire in templum eorum, et decentibus ac pulcherrimis donis honorare, tumoribus antiquioribus agitati prohibuerunt nos ab ingressu, cum inferiores essent nostris viribus, ob eam quam erga omnes homines habemus humanitatem. Suam autem erga nos malevolentiam manifestam facientes, quippe soli prorsus gentium contra reges et beneficos suos cervicem erigentes, nihil legitimum ferre volunt. Nos autem cum horum amentia conversati, et cum victoria reversi, et in Ægypto omnibus nationibus humaniter occurrentes, prout decebat fecimus. In his autem erga gentiles eorum oblivionem injuriarum omnibus notam facientes, propter societatem et commissa eis antiquitus cum simplicitate sexcenta negotia aggressi mutare, voluimus Alexandrinorum etiam republica eos dignari, et participes semper sacerdotum constituere. Illi autem in contrariam partem accipientes, et insita improbitate honestum repellentes, perpetuo autem ad malum proni, non solum cum ignominia repudiarunt jus civitatis, sed etiam abominantur et verbo et silentio paucos quosdam ex eis erga nos legitime affectos, semper suspicantes ob infamem vitæ rationem cito nos eversuros recte facta. Quamobrem argumentis etiam probe persuasi hos omnibus modis contra nos male sentire, et providentes ne forte repentina post hac turbatione nobis imminente hos a tergo proditores et barbaros habeamus hostes, jussimus simul atque allata fuerit epistola hæc, eadem hora eos qui habitant cum uxoribus et filiis, cum contumeliis et vexationibus mittere ad nos vinculis ferreis undique conclusos, ad tetram et infamem inimicis convenientem cædem. His enim simul punitis, putavimus in reliquum tempus perfecte nobis res in bono statu et optima dispositione constitutum iri. Quicumque autem quempiam Judæorum texerit a sene usque ad infantem, usque ad lactentes, turpissimis tormentis occidetur cum tota domo: Qui autem indicare voluerit, eo ipso substantiam ejus qui incidit in pœnam accipiet, et de regali argento drachmas bis mille, et libertatem adipiscetur et coronabitur. Omnis autem locus ubicumque deprehensus fuerit omnino tectus Judæus, invius et igne combustus fiat, et omni mortali naturæ ad omnia inutilis exstet in sempiternum tempus. Et formula quidem epistolæ sic scripta est.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πάντῃ δὲ, ὅπου προςέπιπτε τοῦτο τὸ πρόσταγμα, δημοτελὴς συνίστατο τοῖς ἔθνεσιν εὐωχία μετὰ ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς ἂν τῆς προκατεσκιῤῥωμένης αὐτοῖς

CAPUT IV.

Ubicumque autem promulgatum fuit hoc edictum, populare convivium constitutum est gentibus cum jubilationibus et gaudio, tamquam jam antiquitus indurata in eorum

πάλαι κατὰ διάνοιαν, μετὰ παῤῥησίας συνεκφαινομένης ἀπεχθείας. Τοῖς δὲ Ἰουδαίοις ἀνήκεστον πένθος ἦν καὶ πανόδυρτος μετὰ δακρύων βοὴ, στεναγμοῖς πεπυρωμένης τῆς αὐτῶν πάντοθεν καρδίας, ὀλοφυρομένων τὴν ἀπροσδόκητον ἐξαίφνης ἐπικριθεῖσαν αὐτοῖς ὀλεθρίαν. Τίς νομὸς ἢ πόλις, ἢ τίς τὸ σύνολον οἰκητὸς τόπος, ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων ἐπ' αὐτοῖς οὐκ ἐμπιπλῶντο; Οὕτω γὰρ μετὰ πικρᾶς καὶ ἀνοίκτου ψυχῆς ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο, ὥστε ἐπὶ ταῖς ἐξάλλοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν λαμβάνοντας πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον, καὶ λογιζομένους τὴν ἄδηλον τοῦ βίου καταστροφὴν, δακρύειν αὐτῶν τρισάθλιον ἐξαποστολήν. Ἤγετο γὰρ γεραιῶν πλῆθος πολιᾷ πεπυκασμένων, τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπικύφων, ἀνατροπῆς ὁρμῇ βιαίας, ἁπάσης αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμένων πορείαν. Αἱ δὲ ἄρτι πρὸς βίου κοινωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες, ἀντὶ τέρψεως μεταλαβοῦσαι γόους, καὶ κόνει τὴν μυροβραχῆ πεφυρμέναι κόμην, ἀκαλύπτως δὲ ἀγόμεναι θρῆνον ἀνθ' ὑμεναίων ὁμοθυμαδὸν ἐξῆρχον, ὡς ἐσπαραγμέναι σκυλμοῖς ἀλλοεθνέσι. Δέσμιαι δὲ δημόσιαι μέχρι τῆς εἰς τὸ πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας. Οἵ τε τούτων συζυγεῖς βρόχοις ἀντὶ στεφέων τοὺς αὐχένας περιπεπλεγμένοι μετὰ ἀκμαίας καὶ νεανικῆς ἡλικίας, ἀντὶ εὐωχίας καὶ νεωτερικῆς ῥαθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆγον, παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον. Κατήχθησαν δὲ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις· οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ τοὺς πόδας ἀῤῥήκτοις κατησφαλισμένοι πέδαις, ἔτι καὶ τῷ καθύπερθε πυκνῷ σανιδώματι διακειμένῳ τὸ φέγγος ἀποκλειόμενοι, ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμοὺς ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνωσι. Τούτων δὲ ἐπὶ τὴν λεγομένην σχεδίαν ἀχθέντων, καὶ τοῦ παράπλου περανθέντος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ, προσέταξεν αὐτοὺς ἐν τῷ πρὸ τῆς πόλεως ἱπποδρόμῳ παρεμβαλεῖν, ἀπλέτῳ καθεστῶτι περιμέτρῳ, καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐκαιροτάτῳ, καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν, καὶ τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν· πρὸς τὸ μηδὲ ταῖς δυνάμεσιν αὐτοῦ κοινωνεῖν, μηδὲ τὸ σύνολον καταξιῶσαι περιβόλων. Ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁμοεθνεῖς κρυβῇ ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν, διοργισθεὶς προσέταξε καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς ὡς ἐκείνοις ποιῆσαι, μὴ λειπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας, ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ ὀνόματος, οὐ γὰρ τὴν ἔμπροσθε βραχεῖ προδεδηλωμένην τῶν ἔργων κατάπονον λατρείαν, στρεβλωθέντας δὲ ταῖς παρηγγελμέναις αἰκίαις τὸ τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. Ἐγίνετο μὲν οὖν ἡ τούτων ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρίας, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας τεσσαράκοντα. Μεγάλως δὲ καὶ διηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμένος συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος, πεπλανημένῃ πόῤῥω τῆς ἀληθείας φρενὶ καὶ βεβήλῳ στόματι, τὰ μὲν κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς λαλεῖν ἢ ἀρήγειν

mente, audacter simul se prodente inimicitia. Judæis autem insanabilis luctus erat et prorsus lugubris cum lacrymis clamor, gemitibus undique inflammato ipsorum corde, gementibus improvisam repente sibi constitutam perniciem. Quæ præfectura aut civitas, aut quis omnino habitatus locus, vel quæ viæ planctu et gemitibus super his non complebantur? Sic enim acerbo et immiti animo a ducibus qui per civitates unanimiter ejiciebantur, ut ad eximia supplicia quidem etiam ex inimicis ante oculos sibi ponentes communem misericordiam, et considerantes incertam vitæ mutationem, flerent miserrimam eorum expulsionem. Agebatur enim senum multitudo canitie coopertorum, ob tarditatem quæ ex ætate, pedibus incurvis, impetu violentæ ejectionis, absque ullo pudore abutentibus ad citam itionem. Quæ autem nuper ad vitæ communionem conjugalem subierant thalamum adolescentulæ, pro delectatione translatæ ad gemitus, et pulvere unguentatam conspersæ comam, aperte autem ductæ lamentationem pro hymenæis unanimiter incipiebant, tamquam laceratæ vexationibus alienigenis. Vinctæ autem populares usque ad ascensum in navigium trahebantur cum violentia. Ipsique horum conjuges laqueis pro coronis implicati cervices cum florida et juvenili ætate, pro convivio et juvenili negligentia reliquos nuptiarum dies in lamentis agebant, ad pedes jam infernum videntes positum. Abducebantur autem ferarum more tracti ferreorum vinculorum necessitatibus : hi quidem transtris navium affixi collis, illi autem constricti pedes insolubilibus compedibus, præterea vero desuper densa tabula disposita a lumine exclusi, ut undique obtenebratis oculis vitam insidiatorum in tota navigatione degerent. His autem super dictam ratem ductis, et navigatione confecta, sicut erat sancitum a rege, jussit eos in hippodromo qui est ante civitatem castrametari, cujus ingens erat spatium, quique ad manifestum opprobrium valde erat opportunus, propositus omnibus qui pergebant in civitatem, et qui ex his in regionem proficiscebantur peregre : ut neque exercitibus ejus communicarent, neque muris omnino dignarentur. Postquam vero id factum est, cum vidisset eos qui in civitate ejusdem gentis essent clam egredientes frequentius lugere ignominiosam fratrum miseriam, iratus jussit et his simul eodem modo diligenter fieri, atque illis nihil minus ullo modo habentibus illorum supplicio, describi autem omne genus ex nomine, ad paulo ante demonstratam operum laboriosam servitutem, tortos autem denuntiatis tormentis demum deleri sub unius diei tempus. Facta igitur est horum descriptio cum acerbo studio et ambitiosa assessione, a solis ortu usque ad occasum, nondum accipiens finem ad dies quadraginta. Magnifice autem et assidue rex gaudio impletus convivia ad omnia idola celebrans, errante procul a veritate mente et prophano ore, muta quidem et quæ non possunt ipsis loqui neque auxiliari laudans, in

ἐπαινῶν, εἰς δὲ τὸν μέγιστον Θεὸν τὰ μὴ καθήκοντα λαλῶν. Μετὰ δὲ τὸ προειρημένον τοῦ χρόνου διάστημα προςηνέγκαντο οἱ γραμματεῖς τῷ βασιλεῖ, μηκέτι ἰσχύειν τὴν τῶν Ἰουδαίων ἀπογραφὴν ποιεῖσθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθὺν, καίπερ ὄντων κατὰ τὴν χώραν ἔτι τῶν πλειόνων, τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων, τῶν δὲ καὶ κατὰ τόπον, ὡς ἀδυνάτου καθεστῶτος πᾶσι τοῖς ἐπ' Αἴγυπτον στρατηγοῖς. Ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον, ὡς δεδωροκοπημένοις εἰς μηχανὴν τῆς ἐκφυγῆς, συνέβη σαφῶς αὐτὸν περὶ τούτου πεισθῆναι, λεγόντων μετὰ ἀποδείξεως, καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς γραφικοὺς καλάμους ἐν οἷς ἐχρῶντο ἐκλελοιπέναι. Τοῦτο δὲ ἦν ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς Ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου.

summum autem Deum quæ non decebat loquens. Post prædictum autem temporis intervallum nuntiaverunt scribæ regi, non posse ulterius Judæorum descriptionem fieri propter immensam eorum multitudinem, quippe cum adhuc plures essent per regionem, hi quidem adhuc domi consistentes, illi vero et per loca, ita ut minime id præstari posset ab omnibus qui super Ægyptum ducibus. Cum autem durius illis minatus esset, tamquam qui muneribus corrupti essent ad machinationem fugæ, contigit ei manifesto de hac re fidem fieri, dicentibus illis cum demonstratione, et chartam jam et scriptorios calamos quibus utebantur defecisse. Hoc autem erat opus invictæ e cœlo auxiliantis Judæis providentiæ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τότε προςκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ καὶ χόλῳ, κατὰ πᾶν ἀμετάθετος, ἐκέλευσεν ὑπὸ τὴν ἐπερχομένην ἡμέραν δαψιλέσι δράκεσι λιβανωτοῦ καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτίσαι, ὄντας τὸν ἀριθμὸν πεντακοσίους, καὶ ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ εἰςαγαγεῖν πρὸς συνάντησιν τοῦ μόρου τῶν Ἰουδαίων. Ὁ μὲν τάδε προστάσσων ἐτρέπετο πρὸς τὴν εὐωχίαν, συναγαγὼν τοὺς μάλιστα τῶν φίλων καὶ τῆς στρατιᾶς ἀπεχθῶς ἔχοντας πρὸς τοὺς Ἰουδαίους. Ὁ δὲ ἐλεφαντάρχης τὸ προσταγὲν ἀραρότως Ἕρμων συνετέλει. Οἵτε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέραν ἐξιόντες τὰς τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας, τήν τε λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν, ἔννυχον δόξαντες ὁμοῦ λήψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας. Οἱ δὲ πάσης σκέπης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνεσιν Ἰουδαῖοι, διὰ τὴν πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην, τὸν παντοκράτορα Κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμονα Θεὸν αὐτῶν καὶ πατέρα δυςκαταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπεκαλέσαντο δεόμενοι, τὴν κατ' αὐτῶν μεταστρέψαι βουλὴν ἀνοσίαν, καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παρὰ πόδας ἐν ἑτοίμῳ μόρου. Τούτων μὲν οὖν ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν· ὁ δὲ Ἕρμων, τοὺς ἀνηλεεῖς ἐλέφαντες ποτίσας, πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας καὶ τοῦ λιβάνου μεμεστωμένους, ὄρθριος ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων προσαγγεῖλαι τῷ βασιλεῖ. Τοῦτο δ' ἀπ' αἰῶνος χρόνου κτίσμα καλὸν ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν οἷς ἂν αὐτὸς θελήσῃ, ὕπνου μέρος ἀπέστειλε πρὸς τὸν βασιλέα· καὶ ἡδίστῳ καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ Δεσπότου, τῆς ἀθέσμου μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευσμένος. Οἱ δὲ Ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες τὸν ἅγιον ᾔνουν Θεὸν αὐτῶν· καὶ πάλιν ἠξίουν τὸν εὐκατάλλακτον, δεῖξαι τῆς μεγαλοσθενοῦς αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις. Μεσούσης δὲ ἤδη τῆς δεκάτης ὥρας σχεδὸν, ὁ πρὸς ταῖς κλήσεσι τεταγμένος, ἀθρόους τοὺς κλητοὺς ἰδὼν, ἔνυξε προσελθὼν τὸν βασιλέα. Καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμποσίας καιρὸν ἤδη παρατρέχοντα, τὸν περὶ τούτων

CAPUT V.

Tunc vocans Hermonem præpositum elephantorum curæ, gravi plenus ira et bile, omnino immutabilis, jussit in sequenti die largis pugillis thuris et vino multo puro omnes potare elephantos, qui erant numero quingenti, et efferatos copiosa potionis præbitione immittere in occursum mortis Judæorum. Ille quidem hæc præcipiens vertit se ad convivium, congregans eos maxime ex amicis et exercitu qui infensi erant Judæis. Præpositus autem elephantorum Hermon quod præceptum erat apte perficiebat. Ac præterea ministri ad vesperam exeuntes miserorum manus ligabant, et reliquam sibi moliebantur circa ipsos cautionem, crepusculo matutino existimantes simul accepturam gentem terminum mortis. Qui autem omni protectione destituti videbantur gentibus Judæi, eo quod undique premeret eos cum vinculis necessitas, omnipotentem Dominum et omnipotentiæ dominantem, misericordem Deum suum et patrem incessabili clamore omnes cum lacrymis invocabant, orantes ut removeret impium quod contra se consilium, et ipsos liberaret cum magnifica præsentia ex ea quæ ad pedes erat in promptu morte. Ergo horum quidem supplicatio assidue ascendebat in cœlum : Hermon autem, cum immites elephantos potasset, repletos multa præbitione vini et thure saturatos, diluculo ad aulam affuit ut hæc nuntiaret regi. Hanc autem ab æterno tempore creaturam bonam in nocte et die concessam ab eo qui gratificatur omnibus quibuscumque ipse voluerit, somni partem misit ad regem : et jucundissima et profunda detentus operatione Domini, injusto quidem proposito valde fraudatus, et ab irrevocabili cogitatione magnifice deceptus. Judæi autem præsignatam horam fugientes sanctum laudabant Deum suum : et iterum rogabant eum qui facile reconciliatur, ut demonstraret robustissimæ suæ manus potentiam gentibus superbis. Cum autem media jam fere esset decima hora, qui ad vocationes erat ordinatus, confertos videns vocatos, pupugit accedens regem. Et cum vix excitasset ostendit compotationis tempus jam præterire,

λόγον ποιούμενος. Ὃν ὁ βασιλεὺς λογισάμενος, καὶ τραπεὶς εἰς τὸν πότον, ἐκέλευσε τοὺς παραγεγονότας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνακλιθῆναι αὐτοῦ. Οὗ καὶ γενομένου, παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτοὺς, τὸ παρὸν τῆς συμποσίας ἐπιπολὺ γεραιρομένους εἰς εὐφροσύνην καταθέσθαι μέρος. Ἐπιπλεῖον δὲ προβαινούσης τῆς ὁμιλίας, τὸν Ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεὺς, μετὰ πικρᾶς ἀπειλῆς ἐπυνθάνετο τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ Ἰουδαῖοι τὴν παροῦσαν ἡμέραν περιβεβιωκότες; Τοῦ δὲ ὑποδείξαντος νυκτὸς τὸ προσταγὲν ἐπὶ τέλος ἀγηοχέναι, καὶ τῶν φίλων αὐτῷ προσμαρτυρησάντων, τὴν ὠμότητα χείρονα Φαλάριδος ἐσχηκὼς ἔφη· Τῷ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς. Ἀνυπερθέτως δὲ εἰς τὴν ἐπιτέλλουσαν ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀφανισμόν. Εἰπόντος δὲ τοῦ βασιλέως, ἀσμένως πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες, εἰς τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσε. Καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο τὸν χρόνον τῆς νυκτὸς, ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς. Ἄρτι δὲ ἀλεκτρυὼν ἐκεκράγει ὄρθριος, καὶ τὰ θηρία καθωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. Τὰ δὲ κατὰ τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν, προσδοκῶντα τὴν πρωΐαν μετὰ σπουδῆς. Οἱ δὲ Ἰουδαῖοι, κατὰ τὸν ἀμερῆ ψυχουλκούμενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν μέλεσι γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ μεγίστου Θεοῦ, πάλιν αὐτοῖς βοηθῆσαι συντόμως. Οὔπω δὲ ἡλίου βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως τοὺς φίλους ἐκδεχομένου, ὁ Ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρόθυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖσθαι. Τοῦ δὲ ἀποδεξαμένου καὶ καταπλαγέντος ἐπὶ τῇ παρανόμῳ ἐξόδῳ, κατὰ πᾶν ἀγνωσίᾳ κεκρατημένος ἐπυνθάνετο, τί τὸ πρᾶγμα ἐφ' οὗ τοῦτο αὐτῷ μετὰ σπουδῆς τετέλεσται; Τοῦτο δὲ ἦν ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύοντος Θεοῦ, τῶν πρὶν αὐτῷ μεμηχανημένων λήθην κατὰ διάνοιαν ἐντεθεικότος. Ὁ δὲ Ἕρμων ὑπεδείκνυε καὶ πάντες οἱ φίλοι, τὰ θηρία καὶ τὰς δυνάμεις ἡτοιμάσθαι, βασιλεῦ, κατὰ τὴν σὴν ἐκτενῆ πρόθεσιν. Ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαρεῖ χόλῳ, διὰ τὸ περὶ τούτων προνοίᾳ Θεοῦ διεσκεδάσθαι πᾶν αὐτοῦ τὸ νόημα, ἐνατενίσας μετὰ ἀπειλῆς εἶπεν· Εἴ σοι γονεῖς παρῆσαν ἢ παίδων γοναὶ, τήνδε θηρσὶν ἀγρίοις ἐσκεύασαν ἂν δαψιλῆ θοίναν, ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων. Καίπερ, εἰ μὴ διὰ τὴν τῆς συντροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ τούτων ἐστερήθης. Οὕτως ὁ Ἕρμων ἀπροσδόκητον καὶ ἐπικίνδυνον ὑπήνεγκεν ἀπειλὴν, καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη. Ὁ καθεὶς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροισμένους ἀπέλυσαν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. Οἵ τε Ἰουδαῖοι, τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες, τὸν ἐπιφανῆ Θεὸν καὶ βασιλέα τῶν βασιλέων ᾔνουν, καὶ τῆσδε τῆς βοηθείας αὐτοῦ τετευχότες. Κατὰ δὲ τούτους τοὺς νόμους ὁ βασιλεὺς συστησάμενος πάλιν τὸ συμπόσιον, εἰς εὐφροσύνην τραπῆναι παρεκάλει. Τὸν δὲ Ἕρμωνα προσκαλεσάμενος, μετὰ ἀπειλῆς εἶπε· Ποσάκις σοι δεῖ περὶ τούτων αὐτῶν προστάττειν, ἀθλιώτατε; Τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ τὸν τῶν

eam quæ de his rebus solet rationem faciens. Quam rex reputans, et versus ad convivium, jussit eos qui venerant ad compotationem accumbere coram se. Quod etiam cum factum esset, hortabatur ut epulis sese dantes, præsentem compotationis partem multum celebrantes in lætitia insumerent. Longius autem procedente convivio, Hermonem accersens rex, cum acerbis minis interrogabat quam ob causam permissi essent Judæi præsentem diem superstites agere? Illo autem ostendente noctu quod præceptum erat se ad finem perduxisse, et amicis ei testimonium dantibus, ille deteriorem Phalaride crudelitatem habens dixit : Hodierno somno gratiam habeant illi. Sine dilatione autem in advenientem diem similiter para elephantos ad scelestorum Judæorum perditionem. Cum dixisset autem rex, ultro omnes qui aderant cum gaudio simul collaudantes, in propriam domum unusquisque reversus est. Neque tam in somno insumpserunt tempus noctis, quam in excogitandis omnis generis ludibriis in eos qui miseri videbantur. Nuper autem gallus cantaverat matutinus, et bestias cum armasset Hermon in magno porticu concitabat. Turbæ autem quæ in civitate convenerant ad maxime miserabile spectaculum, exspectantes auroram cum aviditate. Judæi autem, ad invisibile tempus animo suspensi, lacrymosa supplicatione in canticis luctuosis tendentes manus in cœlum orabant summum Deum, ut rursus ipsis auxiliaretur brevi. Nondum autem solis radii disseminabantur, et rege amicos admittente, Hermon adstans vocabat ad exitum, ostendens propositum regis in promptu esse. Ille autem cum percepisset et ostupuisset super iniquo exitu, ignoratione prorsus detentus interrogabat, quodnam negotium esset pro quo id ei cum festinatione confectum esset? Hoc autem erat opus omnium dominantis Dei, eorum quæ antea ipsi excogitata erant oblivionem in mentem immittentis. Hermon autem suggessit et omnes amici, bestias et exercitus paratos esse, o rex, juxta tuum instans propositum. Ille autem super his quæ dicta erant repletus bile, eo quod omnis ejus de his cogitatio per Dei providentiam dissipata esset, intuens cum minis dixit : Si tibi parentes essent aut filiorum fœtus, hunc bestiis ferocibus apparassent copiosum cibum, pro inculpatis et qui majoribus meis perpetuam firmam fidem eximie præstiterunt Judæis. Atque, nisi intercederet communis educationis amor et utilitatis ratio, vita pro his privatus esses. Ita Hermon improvisam et periculosam subiit comminationem, et aspectu et vultu demissus fuit. Unusquisque autem amicorum mœste tabescens, eos qui congregati erant dimiserunt unumquemque ad proprium negotium. Atque Judæi, cum audissent ea quæ a rege, præsentem Deum et regem regum laudabant, hoc etiam ipsius auxilium assecuti. Verum secundum has ipsas leges rex iterum constituens convivium, hortabatur ad lætitiam se converterent. Accersito autem Hermone, cum minis dixit : Quoties tibi de his ipsis præcipiendum est, infelicissime? Elephantos adhuc etiam nunc arma in crastinum

Ἰουδαίων ἀφανισμόν. Οἱ δὲ συνανακείμενοι συγγενεῖς, τὴν ἄστατον διάνοιαν αὐτοῦ θαυμάζοντες, προεφέροντο τάδε· Βασιλεῦ, μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη τρίτον αὐτοὺς ἀφανίσαι, καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ σοὶ δεδογμένα; Ὧν χάριν ἡ πόλις διὰ τὴν προςδοκίαν ὀχλεῖ, καὶ πληθύουσα συστροφαῖς, ἤδη καὶ κινδυνεύει πολλάκις διαρπασθῆναι. Ὅθεν ὁ κατὰ πάντα Φάλερις βασιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας, καὶ τὰς γινομένας πρὸς ἐπισκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐδὲν ἡγούμενος, ἀτελέστατον ἐβεβαίωσεν ὅρκον, ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην, ἐν γόνασι καὶ ποσὶ θηρίων ᾐκισμένους· ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν, ἰσόπεδον πυρὶ καὶ δόρατι θήσεσθαι διατάχους, καὶ τὸν ἄβατον αὐτῶν ἡμῖν ναὸν πυρὶ πρηνέα ἐν τάχει, καὶ τῶν συντελούντων ἐκεῖ θυσίας ἔρημον τὸν ἅπαντα χρόνον καταστήσειν. Τότε περιχαρεῖς ἀναλύσαντες οἱ φίλοι καὶ συγγενεῖς μετὰ πίστεως, διέτασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους τῆς πόλεως πρὸς τήρησιν. Ὁ δὲ ἐλεφαντάρχης, τὰ θηρία σχεδὸν εἰπεῖν εἰς κατάστημα μανιῶδες ἀγηοχὼς, εὐωδεστάτοις πόμασιν οἴνου λελιβανωμένου φοβεραῖς κατεσκευασμένα σκευαῖς, περὶ τὴν ἕω, τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπποδρόμου καταμεμεστωμένης, εἰςελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ προκείμενον ὤτρυνε τὸν βασιλέα. Ὁ δὲ, ὀργῇ βαρείᾳ γεμίσας δυςσεβῆ φρένα, παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε, βουλόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεάσασθαι τὴν ἐπίπονον καὶ ταλαίπωρον τῶν προσεσημαμμένων καταστροφήν. Ὡς δὲ τῶν ἐλεφάντων ἐξιόντων περὶ πύλην, καὶ τῆς συνεπομένης ἐνόπλου δυνάμεως, τῆς τε τοῦ πλήθους πορείας κονιορτὸν ἰδόντες, καὶ βαρυηχῆ θόρυβον ἀκούσαντες οἱ Ἰουδαῖοι, ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην δόξαντες εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας, εἰς οἶκτον καὶ γόους τραπέντες, κατεφίλουν ἀλλήλους περιπλεκόμενοι τοῖς συγγενέσιν, ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παισὶ καὶ μητέρες νεάνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς ἔχουσαι βρέφη τελευταῖον ἕλκοντα γάλα. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμπροσθεν αὐτῶν γεγενημένας ἀντιλήψεις ἐξ οὐρανοῦ συνιδόντες, πρηνεῖς ὁμοθυμαδὸν ῥίψαντες ἑαυτοὺς καὶ τὰ νήπια χωρίσαντες τῶν μαστῶν, ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα, τὸν τῆς ἁπάσης δυνάμεως Δυνάστην ἱκετεύοντες, οἰκτεῖραι μετὰ ἐπιφανείας αὐτοὺς ἤδη πρὸς πύλαις ᾅδου καθεστῶτας.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἐλεάζαρος δέ τις, ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέων, ἐν πρεσβείῳ τὴν ἡλικίαν ἤδη λελογχὼς, καὶ πάσῃ τῇ κατὰ τὸν βίον ἀρετῇ κεκοσμημένος, τοὺς περὶ αὐτὸν καταστείλας πρεσβυτέρους ἐπικαλεῖσθαι τὸν ἅγιον Θεὸν, προςηύξατο τάδε· Βασιλεῦ μεγαλοκράτωρ, ὕψιστε, παντοκράτωρ Θεὲ, τὴν πᾶσαν διακυβερνῶν ἐν οἰκτιρμοῖς κτίσιν, ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα, ἐπὶ ἡγιασμένου τέκνα Ἰακὼβ, μερίδος ἡγιασμένης σου λαὸν ἐν ξένῃ γῇ ξένον ἀδίκως ἀπολλύμενον, Πάτερ. Σὺ Φαραὼ πληθύνοντα ἅρμασι, τοπρὶν Αἰγύπτου ταύτης δυνάστην ἐπαρθέντα ἀνόμῳ θράσει καὶ γλώσσῃ μεγαλοῤῥήμονι, σὺν τῇ ὑπερηφάνῳ στρατιᾷ ποντοβρόχους

ad Judæorum perditionem. Cognati autem qui simul discumbebant, inconstantem illius mentem admirantes, proferebant hæc : Rex, usquequo nos tamquam stolidos pertentas, præcipiens jam tertio illos deleri, et iterum in rebus ipsis mutatione dissolvens ea quæ tibi decreta sunt? Quamobrem civitas propter exspectationem tumultuatur, et plena coitionum, jam etiam periclitatur sæpe diripi. Quocirca rex in omnibus Phalaris impletus stoliditate, et factas in se ad visitationem Judæorum mutationes animi pro nihilo ducens, impium confirmavit juramentum, statuens hos quidem sine dilatione mittere in infernum, genibus et pedibus ferarum cruciatos : exercitu autem ducto contra Judæam, solo illam æquaturum igne et hasta velociter, et invium illorum nobis templum igne cito prostraturum, et ab illic sacrificantibus vacuum perpetuo facturum. Tunc læti discedentes amici et cognati cum fide, disposuerunt exercitus opportunissimis locis civitatis ad custodiam. Elephantorum autem præpositus, cum feras quasi ut ita dicam ad insanam habitudinem adduxisset, odoratissimis potionibus vini cum thure misti horribilibus præparationibus præparatas, circa auroram, civitate jam turbis innumerabilibus ad hippodromum referta, ingressus aulam ad id quod propositum erat incitavit regem. Ille autem, gravi ira impletus impium cor, omni mole cum feris exsiliit, volens immiti corde etiam pupillis oculorum spectare ærumnosam et miseram eorum qui jam dicti sunt subversionem. Ut autem elephantorum exeuntium circa portam, et subsequentis armati exercitus, et multitudinis euntis pulverem viderunt, et gravisonum tumultum audierunt Judæi, ultimum illud vitæ momentum finem sibi esse putantes miserrimæ exspectationis, ad miserationem et gemitus conversi, osculabantur se invicem complicati cognatis, super colla procidentes, parentes pueris et matres puellis, aliæ autem nuper genitos ad ubera habentes infantes ultimum sugentes lac. Verumtamen et quæ sibi antea præbita essent de cœlo auxilia conscii, pronos unanimiter se projicientes et separatis infantibus ab uberibus, exclamaverunt voce magna valde, omnis potentiæ Dominum suppliciter orantes, ut ipsorum cum præsentia misereretur qui jam ad portas inferni essent.

CAPUT VI.

Eleazarus autem quidam, vir insignis ex iis qui de regione sacerdotibus, in senio jam ætatem sortitus, et omni virtute ad vitam pertinente ornatus, eos qui circa se cohibens presbyteros ab invocando sancto Deo, precatus est hæc : Rex magnipotens, altissime, omnipotens Dee, qui creaturam omnem in miserationibus gubernas, respice in semen Abraam, in filios sanctificati Jacob, sanctificatæ portionis tuæ populum in peregrina terra peregrinum injuste pereuntem, Pater. Tu Pharaonem abundantem curribus, olim hujus Ægypti dominum elatum iniqua audacia et lingua magniloqua, cum quo superbo exercitu demersos ponto perdidisti, ostenso lumine

ἀπώλεσας, φέγγος ἐπιφάνας ἐλέους Ἰσραὴλ γένει. Σὺ τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα Σενναχηρεὶμ βαρὺν Ἀσσυρίων βασιλέα, δόρατι τὴν πᾶσαν ὑποχείριον ἤδη λαβόντα γῆν, καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου πόλιν, βαρέα λαλοῦντα κόμπῳ καὶ θράσει, Δέσποτα, ἔθραυσας, ἔκδηλον δεικνὺς ἔθνεσι πολλοῖς τὸ σὸν κράτος. Σὺ τοὺς κατὰ τὴν Βαβυλωνίαν τρεῖς ἑταίρους, πυρὶ τὴν ψυχὴν αὐθαιρέτως δεδωκότας εἰς τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς, διάπυρον δροσίσας κάμινον ἐῤῥύσω μέχρι τριχὸς ἀπημάντους, φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις. Σὺ τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥιφέντα θηρσὶ βορὰν Δανιὴλ εἰς φῶς ἀνήγαγες ἀσινῆ. Τόν τε βυθοτρεφοῦς ἐν γαστρὶ κήτους Ἰωνᾶν τηκόμενον ἀφειδῶς ἀπήμαντον πᾶσιν οἰκείοις ἀνέδειξας, Πάτερ. Καὶ νῦν, μισύβρι, πολυέλεε, τῶν ὅλων σκεπαστὰ, τὸ τάχος ἐπιφάνηθι τοῖς ἀπὸ Ἰσραὴλ γένους, ὑπὸ δὲ ἐβδελυγμένων ἀνόμων ἐθνῶν ὑβριζομένοις. Εἰ δὲ ἀσεβείαις κατὰ τὴν ἀποικίαν ὁ βίος ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς ἀπὸ ἐχθρῶν χειρὸς, ὡς προαιρῇ, Δέσποτα, ἀπόλεσον ἡμᾶς μόρῳ. Μὴ τοῖς ματαίοις οἱ ματαιόφρονες εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σου ἀπωλείᾳ, λέγοντες· Οὐδὲ ὁ Θεὸς αὐτῶν ἐῤῥύσατο αὐτούς. Σὺ δὲ, ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν ἔχων ἅπασαν, Αἰώνιε, νῦν ἔπιδε· ἐλέησον ἡμᾶς τοὺς καθ' ὕβριν ἀνόμων ἀλόγιστον ἐκ τοῦ ζῆν μεθιστανομένους ἐν ἐπιβούλων τρόπῳ. Πτηξάτω δὲ ἔθνη σὴν δύναμιν ἀνίκητον σήμερον, Ἔντιμε, δύναμιν ἔχων ἐπὶ σωτηρίᾳ Ἰακὼβ γένους. Ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων καὶ οἱ τούτων γονεῖς μετὰ δακρύων. Δειχθήτω πᾶσιν ἔθνεσιν ὅτι μεθ' ἡμῶν εἶ, Κύριε, καὶ οὐκ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν· ἀλλὰ καθὼς εἶπας, ὅτι οὐδ' ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν ὄντων ὑπερεῖδες αὐτοὺς, οὕτως ἐπιτέλεσον, Κύριε. Τοῦ δὲ Ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασιλεὺς σὺν τοῖς θηρίοις καὶ παντὶ τῷ τῆς δυνάμεως φρυάγματι κατὰ τὸν ἱππόδρομον παρῆγε. Καὶ θεωρήσαντες οἱ Ἰουδαῖοι μέγα εἰς οὐρανὸν ἀνέκραξαν, ὥστε καὶ τοὺς παρακειμένους αὐλῶνας συνηχήσαντας ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ τῷ στρατοπέδῳ. Τότε ὁ μεγαλόδοξος παντοκράτωρ καὶ ἀληθινὸς Θεὸς, ἐπιφάνας τὸ ἅγιον αὐτοῦ πρόσωπον, ἠνέῳξε τὰς οὐρανίους πύλας, ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς ἄγγελοι κατέβησαν φανεροὶ πᾶσι πλὴν τοῖς Ἰουδαίοις, καὶ ἀντέστησαν, καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς καὶ δειλίας, καὶ ἀκινήτοις ἔδησαν πέδαις. Καὶ ὑπόφρικον καὶ τὸ τοῦ βασιλέως σῶμα ἐγενήθη, καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον ἔλαβε. Καὶ ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνόπλους δυνάμεις, καὶ κατεπάτουν αὐτὰς καὶ ὠλόθρευον. Καὶ μετεστράφη τοῦ βασιλέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ τῶν ἔμπροσθεν αὐτῷ μεμηχανημένων. Ἀκούσας γὰρ τῆς κραυγῆς, καὶ συνιδὼν πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετὰ ὀργῆς τοῖς φίλοις διηπειλεῖτο, λέγων· Παραβασιλεύετε, καὶ τυράννους ὑπερβεβήκατε ὠμότητι· καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς ἤδη καὶ τοῦ πνεύματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμφέροντα τῇ βασιλείᾳ. Τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀχυρώματα, τῆς οἰκίας ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε; Τίς τοὺς ἐξαρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέροντας πάντων ἐθνῶν, καὶ τοὺς

misericordiæ generi Israel. Tu innumerabilibus exercitibus exsultantem Sennacherim gravem Assyriorum regem, qui hasta universam jam subjugaverat terram, et elatus super sanctam civitatem tuam gravia loquebatur fastu et audacia, Domine fregisti, manifesto ostendens gentibus multis potentiam tuam. Tu tres illos qui in Babylonia socios, qui sponte animam igni dederant ne servirent vanis, ignitum irrorans caminum liberasti usque ad capillum illæsos, flamma immissa in omnes adversarios. Tu calumniis invidiæ per terram leonibus projectum feris cibum Danielem in lucem revocasti incolumen. Et in ventre ceti in mari educati dure liquescentem Jonam illæsum omnibus familiaribus ostendisti, Pater. Et nunc, osor contumeliæ, multum misericors, universorum protector, cito appareas his qui de genere Israel, qui contumeliis afficiuntur abominatis iniquis gentibus. Quod si impietatibus per ipsam peregrinationem vita nostra constricta est, cum erueris nos de manu inimicorum, prout elegeris, Domine, perde nos morte. Non vanis vana sapientes benedicant super dilectorum tuorum perditione, dicentes : Neque Deus eorum liberavit eos. Tu autem, qui omne robur et potentiam omnem habes, Æterne, nunc respice : miserere nostri qui per injustam inimicorum injuriam e vita more insidiatorum submovemur. Admirentur autem gentes invictam tuam potentiam hodie, Honorate, qui potestatem habes ad salutem generis Jacob. Supplicat tibi universa multitudo parvulorum et horum parentes cum lacrymis. Pateat omnibus gentibus quod nobiscum es, Domine, et non avertisti faciem tuam a nobis : sed, sicut dixisti, neque cum essent in terra inimicorum suorum ipsos despecturum, sic perfice, Domine. Eleazaro autem finem jam faciente orationis, rex cum feris et toto exercitus fremitu ad hippodromum accedebat. Et aspicientes Judæi vehementer exclamarunt in cœlum, ita ut adjacentes etiam convalles simul sonantes continuum fletum facerent universo exercitui. Tunc magnifice gloriosus omnipotens et verax Deus, ostendens sanctam faciem suam, aperuit cœlestes portas, e quibus inclyti duo terribiles angeli descenderunt, manifesti omnibus præterquam Judæis, et ex adverso steterunt et exercitum adversariorum impleverunt turbatione et formidine, et immobilibus ligaverunt compedibus. Atqui regis etiam corpus factum est horrens, et oblivio gravem ejus audaciam occupavit. Et converterunt se bestiæ super subsequentes armatos exercitus, et conculcabant eos et exterminabant. Et versa est regis ira in misericordiam et lacrymas pro his quæ antea molitus fuerat. Audiens enim vociferationem, et videns præcipites omnes ad perditionem, illacrymatus cum ira amicis minabatur, dicens : Regios transgredimini mores, et tyrannos superastis crudelitate : et me benefactorem vestrum aggredimini a principatu jam et spiritu removere, clam machinantes quæ non conferunt regno Quis eos qui obtinent nostras in fide munitiones regionis, e

χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδεγμένους κινδύνους, οὕτως ἀθέσμοις περιέβαλεν αἰκίαις; Λύσατε, ἐκλύσατε ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ' εἰρήνης ἐξαποστείλατε, τὰ προπεπραγμένα παραιτησάμενοι. Ἀπολύσατε τοὺς υἱοὺς τοῦ παντοκράτορος ἐπουρανίου Θεοῦ ζῶντος, ὃς ἀφ' ἡμετέρων μέχρι τοῦ νῦν προγόνων ἀπαραπόδιστον μετὰ δόξης εὐστάθειαν παρέχει τοῖς ἡμετέροις πράγμασιν. Ὁ μὲν οὖν ταῦτα ἔλεξεν. Οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες τὸν ἅγιον σωτῆρα Θεὸν αὐτῶν εὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφευγότες. Εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν ἀπαλλαγεὶς, τὸν ἐπὶ τῶν προσόδων προσκαλεσάμενος, ἐκέλευσεν οἴνους τε καὶ τὰ λοιπὰ πρὸς εὐωχίαν ἐπιτήδεια τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέρας ἑπτά, κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν τὸν ὄλεθρον ἀναλαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτήρια ἄγειν. Τότε οἱ πρὶν ἐπονείδιστοι καὶ πλησίον τοῦ ᾅδου, μᾶλλον δ' ἐπ' αὐτῷ βεβηκότες, ἀντὶ πικροῦ καὶ δυσαιάκτου μόρου, κώθωνα σωτήριον συστησάμενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατεμέρισαν πλήρεις χαρμονῆς· καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος, ἀνέλαβον ᾠδὴν πάτριον, τὸν σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες Θεόν· οἰμωγήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι, χοροὺς συνίσταντο εὐφροσύνης εἰρηνικῆς σημεῖον. Ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμπόσιον βαρὺ συναγαγὼν, ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλομερῶς ἐπὶ τῇ παραδόξῳ γενηθείσῃ αὐτῷ σωτηρίᾳ. Οἵ τε πρὶν εἰς ὄλεθρον καὶ οἰωνοβρώτους αὐτοὺς ἔσεσθαι τιθέμενοι, μετὰ χαρᾶς ἀπογραψάμενοι, κατεστέναξαν αἰσχύνην ἐφ' ἑαυτοῖς περιβαλλόμενοι, καὶ τὴν πυρίπνουν τόλμαν ἀκλεῶς ἐσβεσμένοι· οἵ τε Ἰουδαῖοι, καθὼς προειρήκαμεν, συστησάμενοι τὸν προειρημένον χορὸν, μετ' εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον, καὶ κοινὸν ὁρισάμενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεὰς, τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χάριν καὶ λιχνείας, σωτηρίας δὲ τῆς διὰ Θεὸν γενομένης αὐτοῖς. Ἐνέτυχον δὲ τῷ βασιλεῖ, τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι. Ἀπογράφονται δὲ αὐτοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ παχὼν ἕως τῆς τετάρτης τοῦ ἐπιφὶ, ἐπὶ ἡμέρας τεσσαράκοντα· συνίστανται δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις τρισίν. Ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν ὅλων Δυνάστης ἀπταίστους αὐτοὺς ἐῤῥύσατο ὁμοθυμαδόν. Εὐωχοῦντο δὲ πάνθ' ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι τῆς τεσσαρεσκαιδεκάτης, ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς ἀπολύσεως αὐτῶν. Συναινέσας τε αὐτοὺς ὁ βασιλεὺς ἔγραψεν αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς, μεγαλοψύχως τὴν ἐκτενίαν ἔχουσαν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Βασιλεὺς Πτολεμαῖος ὁ Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον στρατηγοῖς καὶ πᾶσι τοῖς τεταγμένοις ἐπὶ πραγμάτων, χαίρειν καὶ ἐῤῥῶσθαι. Ἐῤῥώμεθα δὲ καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κατευθύναντος ἡμῖν τοῦ μεγάλου Θεοῦ τὰ πράγματα καθὼς προαιρούμεθα. Τῶν φίλων τινὲς, κακοηθείᾳ πυκνότερον ἡμῖν παρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰου-

domo removens stulte congregavit huc? Quis eos qui ab initio benevolentia erga nos omnibus in rebus superant omnes gentes, et deterrima sæpe hominum susceperunt pericula, sic iniquis implicuit suppliciis? Solvite, dissolvite injusta vincula : ad propria cum pace dimittite, quæ ante facta sunt deprecati. Dimittite filios omnipotentis cœlestis Dei viventis, qui a nostris majoribus hucusque nunc incolumem cum gloria bonum statum præbet rebus nostris. Ergo ille quidem hæc dixit. Hi autem indivisibili tempore soluti sanctum salvatorem Deum suum benedicebant, nuper a morte evadentes. Deinde rex in civitatem reversus, præfectum redituum accersens, jussit et vina et cætera ad convivium necessaria præbere Judæis ad dies septem, statuens eos quo in loco perniciem subire putabant, in hoc cum omni lætitia salutaria celebrare. Tunc qui antea ignominiosi et prope infernum erant, quinimo in eum descenderant, pro acerba et lugubri morte, convivium salutare instruentes, paratum ipsis ad ruinam et sepulturam locum tentoriis convivalibus diviserunt pleni gaudio : ac desinentes gemebundum lamentationis canticum, resumpserunt cantum patrium, salvatorem et prodigiorum factorem laudantes Deum : fletumque omnem et planctum removentes, choros constituerunt pacificæ lætitiæ signum. Eodem autem modo et rex pro his magno congregato symposio, sine intermissione erga cœlum confitebatur magnifice pro inopinata quæ sibi obvenerat salute. Quique antea in perniciem et avium escam eos futuros putabant, et cum gaudio descripserant, gemuerunt confusione in seipsis induti, et ignivoma audacia inglorie exstincta : Judæi autem, sicut prædiximus, constituto prædicto choro, cum epulis in confessionibus hilaribus et psalmis degebant, et communi de his lata lege ad omnem habitationem suam in generationes, prædictos dies agendos decreverunt lætos, non potationis causa et edacitatis, sed salutis sibi per Deum datæ. Adierunt autem regem, dimissionem suam ad propria postulantes. Describunt autem eos a vigesima quinta mensis pachon usque ad quartam mensis epiphi, ad dies quadraginta : statuunt autem eorum perditionem a quinta epiphi usque ad septimam, diebus tribus. In quibus etiam magna cum gloria patefaciens misericordiam suam omnium Dominus incolumes eos liberavit simul. Epulabantur autem omnibus a rege præbitis usque ad quartam decimam, in qua etiam adierunt pro dimissione sua. Collaudans autem eos rex scripsit eis subjectam epistolam ad duces qui per civitates, quæ magnam animi intentionem præ se ferebat.

CAPUT VII.

Rex Ptolemæus Philopator ducibus per Ægyptum et omnibus negotiorum præfectis, gaudere et valere. Valemus autem et ipsi et filii nostri, prospere dirigente nobis res magno Deo sicut volumus. Ex amicis quidam, morum improbitate frequentius nobis assistentes, persuaserunt nobis ut

δαίους, συναθροίσαντας σύστημα, κολάσασθαι ξενιζούσαις ἀποστατῶν τιμωρίαις· προσφερόμενοι μήποτε εὐσταθήσειν τὰ πράγματα ἡμῶν, δι' ἣν ἔχουσιν οὗτοι πρὸς πάντα τὰ ἔθνη δυσμένειαν, μέχρις ἂν συντελεσθῇ τοῦτο. Οἳ καὶ δεσμίους καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον δὲ ὡς ἐπιβούλους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν, νόμου Σκυθῶν ἀγριοτέραν ἐμπεπορπημένοι ὠμότητα. Ἡμεῖς δὲ ἐπὶ τούτοις σκληρότερον διαπειλησάμενοι, καθ' ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν, μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι, καὶ τὸν ἐπουράνιον Θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς ὑπερμαχοῦντα, τήν τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν ἀναλογισάμενοι, δικαίως ἀπολελύκαμεν πάσης καθ' ὀντινοῦν αἰτίας τρόπον· καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος, μήτε ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον. Γινώσκετε γὰρ, ὅτι κατὰ τούτων ἐάν τι κακοτεχνήσωμεν πονηρὸν, ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως Θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ' ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως διαπαντὸς ἕξομεν. Ἔῤῥωσθε. Λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν, τοὺς ἐκ τοῦ γένους τῶν Ἰουδαίων τὸν ἅγιον Θεὸν αὐθαιρέτως παραβεβηκότας καὶ τοῦ Θεοῦ τὸν νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως, προφερόμενοι, τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα, μηδέποτε εὐνοήσειν μηδὲ τοῖς τοῦ βασιλέως πράγμασιν. Ὁ δὲ τ' ἀληθὲς αὐτοὺς λέγειν παραδεξάμενος καὶ συναινέσας ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς παραβεβηκότας τοῦ Θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παῤῥησίας, ἄνευ πάσης βασιλικῆς ἐξουσίας ἢ ἐπισκέψεως. Τότε κατευφημήσαντες αὐτὸν ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς, καὶ πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ ἀλληλούϊα, μετὰ χαρᾶς ἀνέλυσαν. Τότε τὸν ἐμπεσόντα τῶν μεμιασμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἐκολάζοντο, καὶ μετὰ παραδειγματισμῶν ἀνῄρουν. Ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς τριακοσίους ἄνδρας, καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους χειρωσάμενοι. Αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν Θεὸν ἐσχηκότες, παντελῆ σωτηρίας ἀπόλαυσιν εἰληφότες, ἀνέζευξαν ἐκ τῆς πόλεως, παντοίοις εὐωδεστάτοις ἄνθεσι κατεστεμμένοι, μετ' εὐφροσύνης καὶ βοῆς, ἐν αἴνοις καὶ παμμελέσιν ὕμνοις εὐχαριστοῦντες τῷ Θεῷ τῶν πατέρων αὐτῶν, αἰωνίῳ σωτῆρι τοῦ Ἰσραήλ. Παραγενηθέντες δὲ εἰς Πτολεμαΐδα, τὴν ὀνομαζομένην διὰ τὴν τοῦ τόπου ἰδιότητα ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτοὺς ὁ στόλος κατὰ κοινὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτὰ, ἐκεῖ ἐποίησαν πότον σωτήριον, τοῦ βασιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα, ἑκάστῳ ἕως εἰς τὴν ἰδίαν οἰκίαν. Καταχθέντες δὲ μετ' εἰρήνης ἐν ταῖς πρεπούσαις ἐξομολογήσεσιν, ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους. Ἃς καὶ ἀνιερώσαντες ἐν στήλῃ κατὰ τὸν τῆς συμποσίας τόπον, προσευχῆς καθιδρύσαντες, ἀνέ-

Judæi qui sub regno sunt, quod conjurationem congregassent, punirentur novis rebellium suppliciis: prætendentes nunquam bono in statu collocatum iri res nostras, propter odium quod hi haberent erga omnes gentes, quoadusque hoc perficiatur. Qui et vinctos adducentes eos cum vexationibus tamquam mancipia, potius autem tamquam insidiatores, sine ullo judicio et inquisitione aggressi sunt interficere, lege Scytharum ferociorem induti crudelitatem. Nos autem super his durius comminati, pro ea quam habemus erga omnes homines æquitate, vix vitam eis condonantes, et cœlestem Deum agnoscentes qui tuto protexerat Judæos, tamquam pater pro filiis assidue propugnans, et amicitiæ quam habent erga nos et majores nostros stabilem benevolentiam recolentes, juste dimisimus quolibet cujusque causæ modo: et præcepimus cuique ut omnes ad propria reverterentur, nemine usquam ipsos prorsus lædente, neque exprobrarent de iis quæ præter rationem gesta essent. Scitote enim, si quid contra hos machinemur mali, vel omnino eos contristemus, non hominem, sed omnis potentiæ dominum Deum altissimum adversarium nobis ad ultionem rerum usquequaque inevitabiliter perpetuo nos habituros. Valete. Accepta autem epistola hac non statim urserunt abitionem, sed regem obsecrarunt, qui ex Judæorum genere sanctum Deum sponte deseruissent et ejus legem, ii per ipsos debitam pœnam reportarent, proponentes, qui ventris causa transgressi essent divinas leges, ne in regis quidem rebus unquam bene sensuros. Ille autem vere eos dicere confessus et collaudans dedit eis omnium potestatem, ut eos qui transgressi erant Dei legem disperderent per omnem qui in regno ipsius locum fidenter, sine ulla regali auctoritate aut scientia. Tunc bene precantes ei sicut par erat, qui ex his erant sacerdotes, et omnis multitudo acclamantes alleluia, cum gaudio abierunt. Tunc occurrentem ex contaminatis concivem per viam puniebant, et exempla edentes interficiebant. Illa autem die sustulerunt supra trecentos viros, et egerunt lætitiam cum gaudio prophanis interfectis. Illi autem ipsi qui usque ad mortem Deum retinuerant, integra salutis fruitione percepta, profecti sunt e civitate, cujusquemodi optimi odoris floribus coronati, cum lætitia et clamore, in laudibus et suavissimis hymnis gratias agentes Deo patrum suorum, æterno salvatori Israel. Cum venissent autem Ptolemaidam, quæ propter loci proprietatem nominatur rosifera, in qua exspectaverat eos classis ex communi ipsorum consilio dies septem, ibi fecerunt convivium salutare, rege præbente eis bono animo quæ ad discessum omnia, unicuique usque ad propriam domum. Delati autem cum pace in confessionibus decentibus, similiter et ibi statuerunt hos agere dies ad tempus sui incolatus lætos. Quos

λυσαν ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς, διά τε γῆς καὶ θαλάσσης καὶ ποταμοῦ ἀνασωζόμενοι, τῇ τοῦ βασιλέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν, καὶ πλείστην ἢ ἔμπροσθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης καὶ φόβου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων. Καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς, ὥςτε τοὺς ἔχοντάς τι μετὰ φόβου μεγίστου ἀποδοῦναι αὐτοῖς, τὰ μεγαλεῖα τοῦ μεγίστου Θεοῦ ποιήσαντος τελείως ἐπὶ σωτηρίᾳ αὐτῶν. Εὐλογητὸς ὁ ῥύστης Ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους. Ἀμήν.

ΤΕΛΟΣ.

etiam consecrantes in columna ad convivii locum, confirmantes votum, abierunt illæsi, liberi, gaudio delibuti, et per terram et mare et flumen incolumes, regis jussione, unusquisque ad propriam sedem, et majorem quam antea in inimicos potestatem adepti cum gloria et timore, prorsus a nemine dimoti de substantia. Et omnia sua omnes reportarunt ex descriptione, ita ut qui aliquid habebant maximo cum timore eis redderent, cum magnalia summus Deus fecisset perfecte ad salutem ipsorum. Benedictus liberator Israel in sempiterna tempora. Amen.

FINIS



EDITIONES VEL CODICES

EX QUIBUS SUPPLEMENTA EXTRACTA PRO HAC EDITIONE.

Al..	Alii Auctores.
Ald. *vel* A..	Editio Aldina.
Alex..	Codex Alexandrinus.
Aq.	Aquilæ Versio.
Chrysost..	Sanctus Chrysostomus.
Clem. Alex..	Clemens Alexandrinus.
Cod. Reg. Angl. . . .	Codex Regius Angliæ in Bibliotheca Londinensi conservatus.
Compl. *vel* C.. . . .	Editio Complutensis.
Francof. *vel* Franc.	Francofurtensis Editio seu Aldina emendata.
Grab..	Supplementa quæ textui Alexandrino inseruit Ernestus Grabius.
Ox.	Oxoniensis Codex Manuscriptus.
Polygl. Par..	Polyglotta Parisiensis, quæ eadem ac Complutensis denuo recognita.
Schol. Rom.	Scholia Romanæ editionis.
Sym.	Symmachi Versio.
Theod. *vel* The.. . .	Theodotionis Versio.
Theodor..	Theodoretus.

ORDO LIBRORUM V. T.

IN HAC EDITIONE SIXTINA.

LIBRI APOCRYPHI.

FINIS TABULÆ VOLUMINIS SECUNDI.

APPENDIX.

ROMANÆ EDITIONIS ERRORES TYPOGRAPHICI

AUT LIBRARII LAPSUS

IN HAC EDITIONE EMENDATI.

TOM. I.

Deut. XXV, 1, τὸν δίκαιον, ut *Alex.* pro τὸ δίκαιον. — Judic. IV, 12, τῷ Σισάρᾳ, ut *Alex.* pro Σισάρᾳ. — Judic. XIX, 8, τοῦ κλῖναι pro κλῖναι. — IV Reg. XV, 23, βασιλέως, ut *Alex.*, *Ald.* pro βασιλεῖ, error typographicus qui etiam emendatus est in versiculis 27 et 32 ejusdem capitis. — II Par. VII, 17, Φυλάξῃς, ut *Alex.* pro φυλάξῃ. Esdras VIII, 5, τριακόσιοι, ut *Alex.* et *Compl.* pro τριακόσια, sicut in versiculo præcedenti διακόσιοι.

TOM. II.

Tob. I, 21, ἡμέραι, ut *Alex. Ald.*, et *Compl.* pro ἡμέρας. — Judith XII, 9, ἐν τῇ σκηνῇ, ut *Alex.* pro τῇ σκηνῇ. — Esth. IV, in fine capitis φωνῆς ut *Alex.* pro φωνὴν quod rejicit verbum εἰσάκουσον. — Job. V, 26, θημονία, ut *Alex.* pro θιμονία. — XXI, 31, καὶ ὃ αὐτὸς, ut *Alex.* pro καὶ αὐτός. — XXII, 11, εἰς σκότος, ut *Alex.* pro σκότος. — XXXIV, 16, εἰ δὲ μὴ, ut *Alex.*, *Ald.* et *Compl.* pro ἴδε μή. — Ps. IX, 12, μὴ ἐπιλάθῃς, ut *Alex.* pro μὴ ἐπιλάθῃ. — XXVIII, 6, τοῦ Λιβάνου pro τὸν Λίβανον, error evidens jam emendatus etiam a L. Bos. — LXXIV, 5, μὴ παρανομεῖτε, ut *Ald.* et *Compl.* pro μὴ παρανομεῖν. — CXXXVIII, 9, κατ' ὄρθρον ut *Alex.*, *Ald.* et *Compl.* pro κατ' ὀρθόν. — Prov. III, 10, σίτου, ut *Alex.*, *Ald.* et *Compl.* pro σίτῳ, quod grammatica rejicit. — XI, 5, ἀμώμου, ut *Alex.* et *Compl.* pro ἀμώμους. — XXV, 18, κατὰ τοῦ φίλου, ut *Alex.* pro τοῦ φίλου. — 19. ὀδοὺς, ut *Alex.* pro ὀδὸς, quod etiam rejiciendum putat Nobilius. — Cant. VII, 2, κράματος, ut *Alex.* pro κράμα, quod rejicit grammatica. — Sap. V, 3, ἐν ἑαυτοῖς, ut *Alex.* pro ἑαυτοῖς. — VII, 28, οὐδένα, quod sensus postulat, pro οὐθὲν quod omnes viri docti rejiciunt. — VIII, 8, εἰκάζει, ut *Alex.* et ut postulant sensus et translatio latina Nobilii pro εἰκάζειν. — XIV, 25, πάντα, ut *Alex.* pro πάντας, quod sensus rejicit. — XV, 12, φασὶν, ut *Alex.* et ut sensus postulat pro φησίν. — XVI, 20, Ἀκοπιάστως, ut *Alex.* pro ἀκοπιάτως. — XIX, 14, ἄλλη τις, ut *Alex.* pro ἀλλ' ἥτις, error sine dubio typographicus. — Sapientia Sirach V, 10, ὠφελήσει, ut *Alex.* et multi alii codices pro ὠφελήσεις. — XVI, 31, ψυχὴ in nominativo, pro ψυχὴν quod grammatica et omnes viri docti rejiciunt. — XXVIII, 9, διαθήκης quod verbum a quo regitur postulat pro διαθήκην. — 21, μώλωπα, ut *Alex.* et *Compl.* pro μώλωπας. — XLII, 11, ἔγκλητον secundum grammaticæ regulas pro ἔκκλητον. — Osee III, 3, ἀνδρὶ, pro ἀνδρὶ ἑτέρῳ. Hæc vox ἑτέρῳ non invenitur in codice *Vaticano* et per typographi incuriam irrepsit in editionem Romanam, ut docet Nobilius. — Amos II, 3, καὶ πάντας τοὺς ἄρχοντας, ut *Alex.* et ut translatio latina Nobilii, pro καὶ πάντας — VI, 5, οἱ ἐπικροτοῦντες, ut *Alex.* et sanctus Hieronymus pro ἐπικρατοῦντες quod in hoc loco nullum sensum præbet. — Mich. VII, 19, ἀποῤῥίψει, ut *Alex.* pro ἀποῤῥιφήσονται quod est contra sensum et contra grammaticæ regulas. — Obd. I, 12, μεγαλοῤῥημονῆς, pro μεγαλοῤῥημονῇ. — Ambac. II, 18, ὅτι ἔγλυψαν, ut *Alex.* et translatio latina Nobilii, pro ει ἔγλυψαν. — Zach. XIV, 6, ψῦχος, ut *Alex.* et translatio latina Nobilii pro ψύχη. — Esai. XXVI, 18, ὃ ἐποιήσαμεν, pro ἐποιήσαμεν. Pronomen ὃ reperitur in codice *Vaticano*, per typographi incuriam est omissum, ut testatur Nobilius. — XXVIII, 13, πορεύσωσι pro πονεύσωσι, quod per typographi errorem irrepsit, ut refert Nobilius. — XXXIV, 17, εἰς γενεὰς, ut *Alex.* pro γενεὰς sine præpositione. — XXXVI, 14, οὐ μὴ δύνηται pro οὐ δύνηται. — XXXVII, 19, ἐνέβαλον, pro ἀνέβαλον. — XXXVIII, 10, πορεύσομαι ἐν πύλαις pro ἐν πύλαις; vox πορεύσομαι addenda est, ut monet Nobilius. — XLII, 24, τίς ἔδωκεν cum interrogatione, ut *Alex.* pro οἷς ἔδωκεν. — Jer. VI, 11, οὐ συνετέλεσα, ut *Alex.* et ut scribendum docet Nobilius pro συνετέλεσα. — XXXII, 38, κατάλυμα, ut *Alex.* pro κατάλειμμα quod est typographi erratum, ut monet Nobilius. — XXXVIII, 21, οἴμους, ut posuerant veteres interpretes, juxta L. Bos, pro ὤμους. — XLIII, 29, ἀπ' αὐτῆς, sicut habetur in codice *Vaticano* pro ἐπ' αὐτῆς, error typographicus, ut testatur Nobilius. — XLIV, 4, ἀπὸ Ἱερουσαλὴμ, ut versiculo 10 ejusdem capitis pro ἐπὶ Ἱερουσαλήμ. — Lamentat. IV, 7, ὑπὲρ λίθους, ut corrigendum docet Nobilius pro ὑπὲρ λίθου. — Ezech. XVII, 12, πρὸς ἑαυτὸν pro πρὸς αὐτοὺς, error typographi, ut monet Nobilius. — XX, 28, εἰς ἣν, ut *Alex.* et sicut vers. 42 ejusdem capitis pro ἥν. — XXI, 21, ἠπατοσκοπήσασθαι, ut *Alex.* et ut corrigendum docet Nobilius pro κατασκοπήσασθαι. — XXII, 9, λῃσταὶ pro ἦσαν, error typographicus qui, ut refert Nobilius, non reperitur in codice *Vaticano*. — XXXIII, 21, δωδεκάτῳ ut corrigendum docet Nobilius, pro δεκάτῳ. — Dan. III, 54, ὑπερυψούμενος sicut corrigendum docet Nobilius, pro ὑπερυμνούμενος. — VIII, 11, ἐράχθη quod est in *Vaticano* codice et pro quo per errorem positum est in editione Romana ἐταράχθη, ut monet Nobilius. — XI, 31, ἠφανισμένον, ut *Alex.* et ut corrigendum docet Nobilius, pro ἠφανισμένων. — XI, 40, εἰσελεύσεται, ut *Alex.* pro εἰσελεύσονται, quod grammaticæ constructio rejicit. — I Macc. VII, 13, καὶ (*initio versiculi*) quod in editione *Romana* per typographi incuriam omissum ut testatur Nobilius. — VIII, 4, συνέτριψαν, pro ἕως συνέτριψαν. Delendam docet Nobilius vocabulam ἕως, quæ per typographi incuriam in editionem Romanam irrepsit. — IX, 16, καὶ οἱ εἰς, ut docet Nobilius pro καὶ εἰς. — X, 82, φάλαγγα pro φάραγγα.

ANIMADVERSIONES

AD QUASDAM FORMAS DIALECTI ALEXANDRINÆ.

Dialectus Alexandrina ex variis nascitur et præcipue ex Attica, ut plerique asserunt. Ipsius diversitas apparet : 1° quidem temporibus verborum peculiari quadam ratione formatis et verisimiliter ex antiqua Græcorum lingua derivandis.

Sic Jes. Nav. XXI, 40, ἔδωκαν pro ἐδώκασι. Deut. XI, 7, ἑώρακαν pro ἑωράκασι, ut ponitur Deut. IV, 3, et Exod. X, 6. Judith. VII, 10, πέποιθαν, pro quo II Maccab. VIII, 18, ponitur πεποίθασι. — Esai. V, 29, παρέστηκαν, pro quo Zach. IV, 14, παρεστήκασι. Hæc forma etiam invenitur apud auctores profanos. Sic Lycophron v. 252, πέφρικαν; sic Geopon. 2, 6, 27, πέφυκαν; sic Homerus Batrachom. 179, ἔοργαν.

2° Sæpius interponitur syllaba σα in imperfecti tertia persona numeri pluralis. Sic Exod. XVIII, 26, ἐκρίνοσαν pro ἔκρινον. Gen. VI, 4, ἐγεννῶσαν. Exod. XXXIII, 8, κατενοοῦσαν. Num. I, 18, ἐπηξονοῦσαν. II Reg. XX, 15, ἐνοοῦσαν. I Paralip. XXII, 4, ἐφέροσαν. Nehem. IV, 18, ᾠκοδομοῦσαν. Job I, 4, ἐποιοῦσαν. Ps. v, 10, et XIII, 3, ἐδολιοῦσαν. Jerem. XLI, 10, ἑῶσαν. Ezech. XXII, 11, ἠνομοῦσαν, et 12, ἐλαμβάνοσαν. I Maccab. IV, 50, ἐφαίνοσαν. Hæc forma, secundum viros doctos, est Chalcidicæ dialecti et invenitur semel apud Lycophronem v. 21, ἐσχάροσαν. Eodem modo Posidippus in Brunckii Analect. t. II, p. 47, n. VI, εἴχοσαν.

3° Hæc syllaba σα inseritur etiam aoristo secundo. Sic Exod. XV, 27, et Ps. XLVII, 5, ἤλθοσαν pro ἦλθον. — Exod. XVI, 24, κατελίποσαν. — Deut. I, 25, ἐλάβοσαν. — VII, 19, ἴδοσαν. — XXXII, 5, ἡμάρτοσαν. — Jes. III, 14, ἤροσαν. — V, 11. ἐφάγοσαν. — VIII, 29, καθείλοσαν. Ruth IV, 11, εἴποσαν. — Nehem. III, 5, κατέσχοσαν. — Ps. LXXVI, 17, εἴδοσαν. — LXXVII, 29, ἐφάγοσαν. — CXIV, 3, εὕροσαν. — Jer. XXVIII, 7, ἐπίοσαν. Plerique grammatici asserunt hanc formam etiam esse Chalcidicæ dialecti, et invenitur in aliorum qui post Alexandri magni tempora vixerunt, scriptorum libris, quamquam rarius. Sic apud *Scymnum Chium* V, 694, ἔσχοσαν. Sic apud Theophylactum, *epist.* 19, t. VIII, opp. Meursii, p. 825, extr. εἴδοσαν; sic etiam apud Nicetam Choniaten p. 153, ed. Goubart, παρήλθοσαν.

4° Eadem syllaba σα inseritur optativo præsenti et aoristi secundi οισαν pro οιεν, et aoristi primi αισαν pro αιεν quoniam, post insertam syllabam σα, aurium causa littera ε ejicienda erat. Sic Job XVIII, 9, ἔλθοισαν. — XXI, 20, ἴδοισαν. —Ps. XXXIV, 25, εἴποισαν. — CIII, 35, ἐκλείποισαν. — Prov. XXX, 17, ἐκκόψαισαν et καταφάγοισαν. — Job. V, 14, ψηλαφήσαισαν. — XVIII, 7, θηρεύσαισαν. — XX, 10, ὀλέσαισαν et πυρσεύσαισαν. — 25, περιπατήσαισαν. — Gen. XLIX, 8, αἰνέσαισαν. — Deut. I, 44, ποιήσαισαν. — Esai. LXVI, 20, ἀνενέγκαισαν. Has formas Phavorinus Æolicas esse dicit.

5° Alexandrini sequendo Cilicum loquelam admiserunt primum aoristum in his verbis : ὁράω, εἰπεῖν, ἔρχομαι, λαμβάνω, πίπτω, ἐσθίω, φαίνω, εὑρίσκω, φεύγω, etc. ut εἶδα, εἶπα, ἦλθα, ἔλαβα, ἔπεσα, ἔφαγα, ἔφανα, εὗρα, ἔφυγα. Sic I Reg. X, 14, εἴδαμεν — II Reg. X, 14. ἔφυγαν. — XVII, 20, εἶπαν, παρῆλθαν et εὗραν. — Esth. V, 4, ἐλθάτω. — Ps. LXXVI, 19, ἔφαναν. — Prov. IX, 5, ἔλθατε. — Amos IV, 4, εἰσήλθατε, ἐπληθύνατε, ἠνέγκατε. — VI, 2, διέλθατε. — Ps. XIX, 9, ἔπεσαν. — Idem XXVI, 2. — Esai, I, 4, ἐγκατελίπατε. Hæ formulæ, ut omnes sciunt, reperiuntur in multis Græcorum scriptoribus, quorum non pauca exempla afferri possent.

6° Sequendo eumdem loquendi modum Alexandrini a Græcis receperunt formam imperativi εἶπον pro εἰπέ. De primo est aoristo εἶπα. Sic Gen. XII, 13, — XX 13, — Exod. VI, 6, — VIII, 5 et 16. — Lev. XXI, 1. — Esai. XL, 9, etc. Hæc forma etiam Dorica est, ut demonstrari potest e Pindaro *Olymp.* 6, 156, et Theocrito *Idyll.* XIV, 11; et ex multis aliis.

7° Alia forma peregrina reperitur in perfecto τεθέληκα pro ἠθέληκα. Semel tantum legitur Ps. XL, 12, τεθέληκας. Reperitur etiam apud Æschinem edit. Reisk. p. 306.

8° Secunda persona futuri ὄψει (*Dialect. attica*) et ὄψῃ indifferenter adhibentur. Sic II Reg. III, 13, ὄψει, et Deut. XXVIII, 67, ὄψῃ, etc. Idem dici potest de 2ª persona præs. indic. med. ἐπίστῃ (*Dial. attica*) ut Deut. XXII, 2, pro quo Deut. XX, 20, ἐπίστασαι sine dialecto ponitur.

9° Futurum primum vel aoristus subjunctivi sæpius adhibetur pro futuro indicativi. Sic Deut. XXVIII, 48, ἐπιθήσῃ pro ἐπιθήσει. — Sic I Reg. XX, 10, ἀπαγγείλῃ, quod nos, secundum codicem *Alex.* et edit. *Ald.* et *Compl.*, mutavimus in ἀπαγγελεῖ.

10° Quod ad augmenta in verbis attinet, eadem regula observatur quæ in auctoribus profanis. Aliquando sunt neglecta omnino aut penitus omissa, aliquando duplicata : exemplum ultimi II Reg. III, 11, ubi ἠδυνάσθη pro ἐδυνάσθη; et sic in multis.

11° Omnes sciunt sæpissime reperiri in auctoribus profanis verbum in numero singulari, etiamsi nominativus sit in numero plurali; et hoc fere semper observatur quando nominativus est neutri generis, exempli gratia τὰ ζῶα τρέχει. Sequendo hanc regulam Alexandrini sæpius utuntur verbo in numero singulari, quamvis nominativus numeri pluralis non sit neutri generis. Sic Deut. IX, 10, ἐγέγραπτο πάντες οἱ λόγοι, et sic in aliis locis.

12° Aliqui hebraismi usitati apud Septuaginta; sic Jud. XIX, 30, ὡς αὕτη, *sicut hæc*, pro *sicut hoc*, femininum pro neutro positum, ut in hebræo. — Similiter Jud. XXI, 3, αὕτη, *hæc* pro *hoc* : et sic in quibusdam aliis locis.

13° In quibusdam libris ut *Judicum*, *Ruth* et *Regum* redundat verbum substantivum εἰμί positum post pronomen ἐγὼ, et sæpius inter hoc pronomen et verbum aliquod. Sic Judic. V, 3, ᾄσομαι ἐγώ εἰμι τῷ Κυρίῳ, ἐγώ εἰμι ψαλῶ, quasi diceret : *ego sum qui canam Domino*, *ego sum qui psallam*. — Judic. VI, 18, ἐγώ εἰμι καθίσομαι. — XI, 27, ἐγώ εἰμι οὐχ ἥμαρτόν σοι. — 35, ἐγώ εἰμι ἤνοιξα. — Ruth IV, 4, ἐγώ εἰμι ἀγχιστεύσω. — II Reg, XI, 5, ἐγώ εἰμι ἐν γαστρὶ ἔχω. — XII, 7, ἐγώ εἰμι ἐῤῥυσάμην. — XV, 28, ἐγώ εἰμι στρατεύομαι. — XVIII, 2, ἐγώ εἰμι ἵστημι — XXIV, 12, τρία ἐγώ εἰμι αἴρω ἐπὶ σέ. — 17, ἐγώ εἰμι ἠδίκησα. — III Reg. II, 2, ἐγώ εἰμι πορεύομαι. — IV Reg. IV 13, ἐγώ εἰμι οἰκῶ. — X, 9, ἐγώ εἰμι συνεστράφην. — XXII, 20, ἐγώ εἰμι ἐπάγω.

14° In libro Ecclesiastes redundat vocula σὺν, ut cap. VII, 30, ἐποίησεν ὁ Θεὸς σὺν τὸν ἄνθρωπον εὐθῆ. — VIII, 15, ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην. — 17, οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον.

15° Contractio sæpe usurpatur a LXX in substantivis ut IV Reg. IX, 18, ἀπαντὴν pro ἀπάντησιν, ut I Paralip. XXVII, 1, πᾶν λόγον pro πάντα λόγον, et sic alibi.

Ex his quæ breviter exposuimus patet versionem Septuaginta interpretum non esse græcitatis barbaræ, ut quidam viri minus docti contenderunt. Formulæ enim dialecti Alexandrinæ nec elegantia nec harmonia carent, nec derivantur a lingua corrupta; sed, ut docet H. Stephanus, ex lingua antiqua et primitiva Græcorum, cujus multa vestigia reperiuntur apud auctores profanos.






89094588076
B89094588076A